ΝΙΚΗΦΟΡΟΥ ΘΕΟΤΟΚΟΥ

# ΚΥΡΙΑΚΟΔΡΟΜΙΟΝ

ΕΙΣ ΤΑΣ ΠΡΑΞΕΙΣ ΤΩΝ ΑΠΟΣΤΟΛΩΝ.

Κύριε [illegible]!

[illegible] με χαρά και [illegible] [illegible] [illegible] [illegible] [illegible] να ίδω τον κ. [illegible] [illegible] ένα [illegible] [illegible], [illegible] ο κ. [illegible] [illegible] [illegible], [illegible] ο κ. [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible], να [illegible] [illegible] [illegible] [illegible] ο [illegible].

τῇ 16/28 Χβρίου 1862

Ε. [illegible]

Τῷ [illegible]

[illegible] [illegible]

[illegible] [illegible]

Α. Τάξις
Λατινικά
1–2 Καλλιγραφία

Β. Τάξις

Ιταλικά

10–11 Καλλιγραφία

Γ. Τάξις

Ωδική

1–2 Έργα. [illegible]

~~[illegible]~~

1–2 ~~Αριθμητική~~

Δ'. Τάξις

[illegible] ~~[illegible]~~

Δευτέρα 1–2 Αριθμητική [illegible]

Δ'. 2–3 ~~[illegible]~~

Γ'. 2–3 ————— , Αριθ.

Γ. Ε'. 8½–10 [illegible] [illegible] ~~[illegible]~~

Ε. Τάξις

Δευτέρα

2–3 [illegible]

Δ'. 8½–10 —————

(*) Τρίτη ἀριθμεῖται ἡ παροῦσα τῶν Κυριακοδρομίων τῶν Ἀποστόλων ἔκδοσις, ἡ δὲ τῶν Εὐαγγελίων Τετάρτη, ὡς ἐν τῇ κατὰ τὴν Βενετίαν ἐκδόσει μόνων τῶν τοῦ Εὐαγγελίου βιβλίων ἐκδοθέντων, οὐχὶ δὲ καὶ τῶν τῶν Ἀποστόλων.


## ΝΙΚΗΦΟΡΟΥ ΘΕΟΤΟΚΟΥ

ΤΟΥ ΑΣΤΡΑΧΑΝΙΟΥ ΚΑΙ ΣΤΑΥΡΟΥΠΟΛΕΩΣ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ


# ΚΥΡΙΑΚΟΔΡΟΜΙΟΝ,

ΗΤΟΙ

*Ἑρμηνεία καὶ μετ᾽ αὐτὴν ἠθικὴ ὁμιλία εἰς τὰς τῶν Ἀποστόλων Πράξεις, τὰς ἐν ταῖς ἁγίαις τῶν ὀρθοδόξων χριστιανῶν ἐκκλησίαις ἀναγινωσκομένας κατὰ τὰς ἀπὸ τοῦ Πάσχα μέχρι τῆς Πεντηκοστῆς κυριακάς, καὶ εἰς τὰς τοῦ Ἀποστόλου Παύλου ἐπιστολάς, τὰς ἀναγινωσκομένας κατὰ τὰς λοιπὰς κυριακὰς τοῦ ὅλου ἐνιαυτοῦ.*


**ΕΚΔΟΣΙΣ ΤΡΙΤΗ (*),**

Ὑπὸ τῶν τοῦ ἀοιδίμου ΝΙΚΟΛΑΟΥ Π. ΖΩΣΙΜΑ εὐγενεστάτων καὶ εὐσεβεστάτων γενικῶν ἐπιτρόπων, τῶν ἐν Μόσχᾳ, κυρίων

**ΑΝΤΩΝΙΟΥ Π. ΚΟΜΙΖΟΠΟΥΛΟΥ, ΜΙΧΑΗΛ Ι. ΜΠΟΣΤΑΝΤΖΟΓΛΟΥ**
Καὶ **ΤΡΙΑΝΤΑΦΥΛΛΟΥ Δ. ΚΡΙΤΖΟΥ,**

Ἑλλήνων πολιτῶν Νίζνης, ἵνα διανεμηθῇ δωρεὰν εἰς τὰς ἁγίας τῶν ὀρθοδόξων ἐκκλησίας, κατ᾽ ἐνδιάθηκον αὐτοῦ ἐντολήν.


ΤΟΜΟΣ ΠΡΩΤΟΣ.




**ΕΝ ΑΘΗΝΑΙΣ,**

ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ ΣΤΥΛΙΑΝΟΥ Κ. ΒΛΑΣΤΟΥ.

ΚΑΤΑ ΤΗΝ ΟΔΟΝ ΕΡΜΟΥ, ΑΡΙΘ. 212.

**1854.**

ΤΗΣ

ΜΙΑΣ ΑΓΙΑΣ ΚΑΘΟΛΙΚΗΣ

ΚΑΙ

# ΑΠΟΣΤΟΛΙΚΗΣ ΕΚΚΛΗΣΙΑΣ

## ΤΩΝ ΟΡΘΟΔΟΞΩΝ

ΤΗΝ ΙΕΡΑΝ ΤΑΥΤΗΝ ΒΙΒΛΟΝ

ΑΝΑΤΙΘΗΣΙ

ΝΙΚΟΛΑΟΣ ΖΩΣΙΜΑΣ.

E. DEMIDES.

ΥΜΙΝ πάντως, **ΑΡΧΙΠΟΙΜΑΝΤΟΡΕΣ ΘΕΙΟΤΑΤΟΙ!** (*) εὐλόγως, οἶμαι, καὶ τὴν τῆς παρούσης Ἀποστολικῆς Βίβλου προσαγωγὴν καὶ ἀνάθεσιν τῶν ἐννομωτάτων γενέσθαι ἐξ αὐτῆς ἐκείνης τῆς ὥρας διανενόημαι, καθ' ἣν ὁ ἀοίδιμος καὶ σοφὸς αὐτῆς συγγραφεὺς τὰ ὕστατα πνέων, ἰδίαις χερσὶ ταῖς ἐμαῖς παρέθετο· ἣν ἐγώ, τοῦτο μὲν περὶ πολλοῦ ποιούμενος τὴν πρὸς ἐμὲ τὸν ταπεινὸν τοῦ μακαρίου πατρὸς εὔνοιαν, τοῦτο δέ, ἵνα μὴ φωταυγὴς οὕτω λύχνος ὑπὸ τὸν μόδιον διαμείνῃ λανθάνων, κοινοῖς τῆς ἐμῆς αὐταδελφότητος ἀναλώμασι τύποις ἐκδοῦναι οὐκ ὤκνησα· ὅπως, γενομένη πολλοῖς τῶν εὐσεβῶν εὐαπόκτητος, πολλὴν ἐντεῦθεν, οἵα εἰκός, ἐπάγῃ καὶ τὴν ὠφέλειαν.

Ἀλλ' ἵνα δὴ ἀδεῆ τε καὶ ἀσφαλῆ τὴν χρῆσιν τῷ τῶν εὐσεβῶν θιάσῳ παρέχοιτο, ἣν δήπου ἐπάναγκες τῇ **ΥΜΕΤΕΡΑι ΤΕΤΡΑΚΤΥΪ** ταύτην ἀναθῆναι, καὶ τοῖς **ΥΜΕΤΕΡΟΙΣ** πανσεβάστοις ὀνόμασιν ἐμπιστευθῆναι· οὐ μὴν ἀλλὰ καὶ τὰ τῶν **ΑΠΟΣΤΟΛΩΝ** τοῖς **ΑΠΟΣΤΟΛΟΙΣ** καὶ τὰ τῶν **ΠΡΩΤΟΚΟΡΥΦΑΙΩΝ** τοῖς **ΠΡΩΤΟΚΟΡΥΦΑΙΟΙΣ**, τῶν ἐνθεσμοτάτων ἀποδιδόναι οὐδεὶς ὅςις οὐκ ἂν συνομολογήσειεν, ὡς καὶ τὰ **ΚΑΙΣΑΡΟΣ ΚΑΙΣΑΡΙ**, καὶ τὰ τοῦ **ΘΕΟΥ** τῷ **ΘΕΩι**.

Δέξασθε οὖν μετ' εὐμενείας, **ΑΡΧΙΕΡΑΡΧΑΙ ΜΑΚΑΡΙΩΤΑΤΟΙ**, καὶ τὸ Ἀποστολικὸν τουτὶ Κυριακοδρόμιον· ὡς ἀπὸ τῆς εὐσεβείας καθαρὸν καὶ γνή-

---

(*) Ἡ παροῦσα ἀφιερωτικὴ ἐπιστολὴ εὑρίσκεται εἰς τὴν ἐν Μόσχᾳ πρώτην ἔκδοσιν τῶν Κυριακοδρομίων, ὅπου ἀφιεροῦται τὸ βιβλίον τῇ Τετρακτύϊ τῶν ἁγιωτάτων Πατριαρχῶν, τῷ τε Παναγιωτάτῳ Ἀρχιεπισκόπῳ Κωνσταντινουπόλεως, καὶ οἰκουμενικῷ πατριάρχῃ ΓΡΗΓΟΡΙΩ, καὶ τῷ Μακαριωτάτῳ Πάππᾳ καὶ Πατριάρχῃ Ἀλεξανδρείας ΘΕΟΦΙΛΩ, καὶ τῷ Μακαριωτάτῳ Πατριάρχῃ Ἀντιοχείας ΑΝΘΕΜΙΩ, καὶ τῷ Μακαριωτάτῳ Πατριάρχῃ τῆς Ἱερουσαλὴμ ΑΝΘΙΜΩ.


(Σημ. Τυπογράφου.)

σιον ἔκγονον· καὶ αὐτὸ μὲν τῇ βραβευθείσῃ ΥΜΙΝ παρὰ τοῦ παναγίου ΠΝΕΥΜΑΤΟΣ χάριτι ἐμψυχώσατε, ὅπως φέρῃ τὸν ψυχωφελῆ καρπὸν ἄφθονον ἅμα καὶ ἐς ἀεὶ διαμένοντα· τὴν δὲ φιλοπονήσασαν ἀείμνηστον ἐκείνην καὶ ἱερὰν ψυχὴν μακαρισμοῦ καὶ μνήμης πρὸς ΚΥΡΙΟΝ ἀξιώσαιτε· ἐμοὶ δὲ καὶ τῇ ἐμῇ αὐταδελφότητι τοῖς ταπεινοῖς, τοῖς πρὸς τὴν ἀνακοίνωσιν καὶ διανομὴν αὐτοῦ ἐκ τῶν ἐνόντων συνεργήσασι, τὰ σωτήρια εὔξαισθε, ὡς ἂν κἀν ἄλλοις τῶν ὠφελίμων εἴη ἡμῖν γενέσθαι τῷ προσφιλεῖ ἡμῶν γένει συνεργοὺς καὶ συμπράκτορας.

ΤΗΣ ΥΜΕΤΕΡΑΣ ΠΑΝΥΠΕΡΤΙΜΟΥ ΚΑΙ ΘΕΟΔΟΞΑΣΤΟΥ ΜΑΚΑΡΙΟΤΗΤΟΣ

Τέκνον ἐν Χριστῷ εὐπειθέστατον καὶ ὑποκλινέστατος δοῦλος

ΖΩΗΣ ΖΩΣΙΜΑ.



# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΑΣ

# ΠΡΑΞΕΙΣ ΤΩΝ ΑΠΟΣΤΟΛΩΝ

## ΤΑΣ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΑΣ ΤΗι ΚΥΡΙΑΚΗι ΤΟΥ ΠΑΣΧΑ.

Ο οὐρανὸς καὶ ἡ γῆ καὶ τὰ καταχθόνια ἐχάρησαν χαρὰν μεγάλην σφόδρα ἐκείνην τὴν ἡμέραν, ἐν ᾗ ὁ Ἰησοῦς Χριςὸς τὸν θάνατον πατήσας ἀνέςη τριήμερος, ζωὴν τῷ κόσμῳ χαρισάμενος. Ἐχάρησαν μὲν οἱ ἐν τῷ οὐρανῷ Ἄγγελοι διὰ τὴν τῶν ἀνθρώπων σωτηρίαν, οἱ δὲ ἐπὶ γῆς ἄνθρωποι διὰ τὴν ἐξανάστασιν καὶ τὴν ἀρχαίαν αὐτῶν ἀποκατάστασιν, οἱ δὲ ἐν τοῖς καταχθονίοις κατεχόμενοι διὰ τὴν τῶν ἐκεῖθεν δεσμῶν ἀπαλλαγὴν αὐτῶν καὶ ἀπολύτρωσιν. Ταύτης τῆς παγκοσμίου χαρᾶς κατὰ πᾶν ἔτος ἐν τῇ ἡμέρᾳ τοῦ Πάσχα τὴν ἀνάμνησιν ποιοῦσα ἡ τοῦ Χριστοῦ Ἐκκλησία, ψάλλει μὲν ᾄσματα χαροποιὰ καὶ πανευφρόσυνα, ἀναγινώσκει δὲ ἐκ παλαιοτάτης θείων Πατέρων παραδόσεως ἀπ' αὐτῆς τῆς ἡμέρας ἄχρι τῆς Πεντηκοστῆς τὸ βιβλίον τῶν πράξεων τῶν ἁγίων Ἀποστόλων (1). Πράξεις δὲ τῶν Ἀποστόλων ὀνομάζεται τὸ βιβλίον ὡς περιέχον τὰ τούτων ἔργα καὶ τὸ κήρυγμα καὶ τὰ θαύματα· ὁ δὲ τούτου ποιητὴς ὁ Λουκᾶς ἐςιν ὁ Εὐαγγελιστὴς καὶ Ἀπόστολος· αὐτὸς πρῶτον συνέγραψε τὸ κατ' αὐτὸν Εὐαγγέλιον, ἔπειτα τῶν Ἀποστόλων τὰς Πράξεις, ἀποστείλας καὶ ἐκεῖνο καὶ ταύτας πρὸς τὸν αὐτὸν Θεόφιλον. Ἀληθῶς δὲ θεόπνευστόν ἐστι τὸ βιβλίον τῶν Πράξεων καθὼς καὶ τὸ τοῦ Εὐαγγελίου. Δι' αὐτοῦ διηγούμενος ὁ θεηγόρος Λουκᾶς τῶν Ἀποστόλων τὰ ἔργα, περιγράφει τὴν ἐκπλήρωσιν τῶν ὑποσχέσεων τοῦ Ἰησοῦ Χριστοῦ, καὶ τὴν ἔκβασιν τῶν ὑπ' αὐτοῦ προῤῥηθέντων λόγων (2). Ἐν αὐτῷ ἀναγινώσκεις τὴν περιεστατωμένην Ἱστορίαν τῆς ἐξ οὐρανοῦ καταβάσεως τοῦ παναγίου Πνεύματος, ἣν ὁ Χριςὸς ὑπεσχέθη (3)· βλέπεις τὴν ἐκ τῆς τελείας ἀγάπης ἕνωσιν καὶ σύμπνοιαν τῆς καρδίας τῶν πιστευσάντων, κατὰ τὸν λόγον τῆς προσευχῆς τοῦ Κυρίου (4). « Ἵνα ὦσιν ἕν, » καθὼς ἡμεῖς ἕν ἐσμεν » (5)· καὶ τοὺς

(1) Χρυσ. λόγ. ὅτι οὐκ ἀκίνδ. τοῖς ἀκροατ. (2) Πράξ. 2. (3) Ἰωάν. 15, 26. (4) Πράξ. 4, 32.
(5) Ἰωάν. 17, 22.

ἱεροὺς Ἀποστόλους παραδιδομένους εἰς τὰ Συνέδρια καὶ εἰς τὰς συναγωγάς, καὶ ὑβριζομένους καὶ λιθαζομένους, καὶ ὑπομένοντας τὸν διὰ μαρτυρίου θάνατον, καθὼς περὶ αὐτῶν προεφήτευσεν ὁ θεάνθρωπος (1). Βλέπεις ἐν αὐτῷ τῶν Ἀποστόλων τὰς ὁδοιπορίας, τοὺς κόπους, τὸν ζῆλον, τοὺς κινδύνους, τὰ παθήματα, τὰς ἀρετάς, τὰ θαύματα, καὶ ὅσα ἄλλα περὶ αὐτῶν προεῖπεν ὁ Κύριος, Ἡ ἐν αὐτῷ εὐρυθμία τῆς συντάξεως, ἡ γλυκύτης τοῦ λόγου, ἡ λαμπρότης τῶν νοημάτων, ἡ καθαρότης τοῦ ὕφους, ἡ σύντομος ἔκθεσις τῶν εἰς πᾶσαν ὑπόθεσιν ἀναγκαίων περιστάσεων, οὐ μόνον ἀποδεικνύει ὅτι αὐτό ἐστι γνήσιον τοῦ πνευματοῤῥήτορος Λουκᾶ σύγγραμμα, ἀλλὰ καὶ εὐφραίνει καὶ κατανύγει τὴν καρδίαν παντὸς ἀναγινώσκοντος αὐτὸ ἢ ἀκούοντος. Ἔχει δὲ αὐτὸ τὸ ἅγιον βιβλίον ἴδιον ἰδιαίτατον διδασκαλίας τρόπον. Διδάσκει τὴν πίστιν οὐ δογματικῶς, ἀλλ' ἱστορικῶς, οὐ διὰ λόγων ἀποφαντικῶν, ἀλλὰ δι' ἐκθέσεως ἁπλοϊκῆς· διδάσκει τὴν ἀρετὴν οὐ νουθετῶν, ἀλλὰ τὰς ἀρετὰς περιγράφων, οὐ διὰ προτρεπτικῶν λόγων, ἀλλὰ δι' ὑποτυπώσεως ἐναρέτων ἔργων, οὐ διὰ φοβερισμῶν ἢ ὑποσχέσεων βραβείων, ἀλλὰ διὰ παραδειγμάτων καὶ πράξεων. Τοιουτοτρόπως δὲ διδάσκων ἐφέλκει παραδόξως καὶ ἐπιστηρίζει τὸν νοῦν τοῦ ἀνθρώπου εἰς τὴν ἀλήθειαν τῆς πίστεως, καὶ θερμαίνει τὴν καρδίαν θαυμασίως εἰς τῆς ἀρετῆς τὸν ἔρωτα· ἀναγινώσκεται δὲ ἐν ταῖς Ἐκκλησίαις, ἀπὸ τῆς σήμερον ἄχρι τῆς Πεντηκοστῆς· ἐπειδὴ ἱστορεῖ τὴν μετὰ τὴν ἀνάστασιν τοῦ Ἰησοῦ Χριστοῦ τεσσαρακονθήμερον διατριβὴν μετὰ τῶν ἁγίων αὐτοῦ μαθητῶν, καὶ τὴν εἰς οὐρανοὺς ἀνάληψιν αὐτοῦ, καὶ τὴν ἐν τῇ ἡμέρᾳ τῆς Πεντηκοστῆς κατάβασιν τοῦ παναγίου Πνεύματος. Διὰ τούτου οὖν τοῦ θεοδιδάκτου βιβλίου ἀπὸ τῆς σήμερον ἄχρι τῆς Πεντηκοστῆς διδάσκει ἡμᾶς ὁ θεοφόρος Λουκᾶς τοῦ Θεοῦ τὸν λόγον. Ἀλλ' ὅταν ἀκούωμεν τὰ λεγόμενα, καὶ οὐ καταλαμβάνωμεν ἐντελῶς τὰ ἐν αὐτοῖς νοήματα, τότε ἢ οὐδέν, ἢ ὀλίγον ὠφελούμεθα. Διὰ τοῦτο δὲ ὁ θεόπνευστος Παῦλος παρήγγελλεν εἰς τοὺς Κορινθίους, ἵνα ἔχωσι διερμηνευτὴν τῶν θείων λόγων· « Καὶ εἷς, ἔλεγε, διερμη- » νευέτω » (2). Καὶ ἡμεῖς ὁμολογοῦμεν παῤῥησίᾳ, ὅτι οὐκ ἐσμὲν ἄξιοι πρὸς τὴν διακονίαν ἔργου τοσοῦτον θείου καὶ ὑψηλοῦ, ὅσον ἐστὶ τὸ ἔργον τῆς τοιαύτης ἑρμηνείας· εἰς αὐτὸν ὅμως θαῤῥήσαντες τὸν ἀποκρύψαντα τὰς περὶ τῶν θείων ἐννοίας « Ἀπὸ σοφῶν » καὶ συνετῶν, καὶ ἀποκαλύψαντα αὐτὰς » νηπίοις » (3), τὸ πανάγιον αὐτοῦ ἐπικαλεσάμενοι ὄνομα, ἀρχόμεθα τοῦ ἐπιχειρήματος, ζητοῦντες παρ' ὑμῶν προσεκτικὴν ἀκρόασιν, ἵνα ἀκούσαντες καὶ κατανοήσαντες θησαυρήσητε τοὺς καρποὺς τῶν θείων χαρισμάτων.

*Τὸν μὲν πρῶτον λόγον ἐποιησάμην περὶ πάντων, ὦ Θεόφιλε, ὧν ἤρξατο ὁ Ἰησοῦς ποιεῖν τε καὶ διδάσκειν, ἄχρι ἧς ἡμέρας ἐντειλάμενος τοῖς Ἀποστόλοις διὰ Πνεύματος ἁγίου, οὓς ἐξελέξατο, ἀνελήφθη* (4).

Ὁ μὲν θεσπέσιος Παῦλος Εὐαγγέλιον ὠνόμασε τὸ πρῶτον τοῦ θεηγόρου Λουκᾶ σύγγραμμα, ὡς περιέχον τῆς σωτηρίας τὰ Εὐαγγέλια, βεβαιώσας ὅτι πᾶσαι αἱ κατὰ

(1) Πράξ. 5, καὶ 7. Ματθ. 10, 17. Λουκ. 21, 13. (2) Α'. Κορ. 14, 27. (3) Ματθ. 11, 25. (4) Πράξ. 1, 1, 2.



διαφόρους τόπους εὑρισκόμεναι τῶν πιστῶν Ἐκκλησίαι ὑπὲρ τούτου ἐπαίνοις ἔστεψαν τὸν Ἱερομύστην Λουκᾶν· « Συνεπέμψαμεν » δέ, λέγει, μετ' αὐτοῦ τὸν ἀδελφόν, οὗ ὁ » ἔπαινος ἐν τῷ Εὐαγγελίῳ διὰ πασῶν τῶν » Ἐκκλησιῶν » (1). Ὁ δὲ τρισμακάριος Λουκᾶς, εἴτ' ἐπειδὴ τὸ ὄνομα, λόγος, σημαίνει γενικῶς τὴν περὶ πάσης ὑποθέσεως συγγραφήν, εἴτ' ἐπειδὴ ταπεινοφρονῶν ἔφευγε τῶν ἀνθρώπων τοὺς ἐπαίνους, ὠνόμασε τὸ κατ' αὐτὸν Εὐαγγέλιον, λόγον πρῶτον, ἐπειδὴ πρῶτον ἔγραψεν αὐτό, ἔπειτα τῶν Ἀποστόλων τὰς πράξεις· ὅτι δὲ ὁ Θεόφιλος, πρὸς ὃν ἀπέστειλε ταῦτα τὰ δύο βιβλία οὐκ ἦν ἄνθρωπος ἰδιώτης, ἀλλ' Ἡγεμὼν καὶ Ἄρχων, φανερόν ἐστιν ἐκ τοῦ ἐπιθέτου ὃ προσήρμοσε τῷ ὀνόματι αὐτοῦ ἐν τῷ Εὐαγγελίῳ, εἰπών· « Κράτιστε Θεό- » φιλε » (2)· διότι καὶ τὸν Φίληκα τὸν τῆς Καισαρείας Ἡγεμόνα Κράτιςον ὠνόμασεν, ὁμοίως καὶ τὸν Φῆστον τὸν τούτου διάδοχον ἐν τῇ κατὰ τὴν Καισάρειαν Ἡγεμονείᾳ (3). Ποῦ δὲ ἡγεμόνευεν ὁ Θεόφιλος, καὶ ποία ἡ τούτου πατρίς, καὶ τὰ λοιπὰ τὰ περὶ αὐτοῦ ἄδηλα. Ἀκούων δὲ τὸν Λουκᾶν λέγοντα· «Λόγον ἐποιησάμην περὶ πάντων», ἤγουν ἐλάλησα περὶ πάντων τῶν ἔργων τοῦ Ἰησοῦ Χριστοῦ, μὴ νομίσῃς ὅτι τοῦτο ἀντιφέρεται εἰς τοῦτον τοῦ Εὐαγγελιστοῦ Ἰωάννου τὸν λόγον· «Ἅτινα ἐὰν γράφηται » καθ' ἕν, οὐδὲ αὐτὸν οἶμαι χωρῆσαι τὸν » κόσμον τὰ γραφόμενα βιβλία » (4). Διότι ὁ μὲν Λουκᾶς ἀληθῶς περὶ πάντων ἐλάλησε, πλὴν γενικῶς, κεφαλαιωδῶς, συντόμως· ὁ δὲ Ἰωάννης λέγει, ὅτι ἐὰν καθ' ἓν τῶν ἔργων καὶ θαυμάτων καὶ διδαγμάτων τοῦ Ἰησοῦ Χριστοῦ ἐγράφετο εἰδικῶς καὶ περιεστατωμένως καὶ λεπτομερῶς, οὐκ ἐχώρει ὁ κόσμος τὰ γραφόμενα βιβλία. Πρὸς τούτοις δὲ σημείωσον ὅτι διὰ τοῦ ῥήματος, οἶμαι, ἤγουν νομίζω ἐγώ, ἐμετρίασεν ὁ Ἰωάννης τὴν τοῦ λόγου αὐτοῦ ὑπερβολήν. Τί δὲ σημαίνει τό, « Ἄχρι ἧς ἡμέρας ἐντειλάμενος » τοῖς Ἀποστόλοις διὰ Πνεύματος ἁγίου; » ὁ Λουκᾶς ἔγραψεν, εἰς τὸ ὑπ' αὐτοῦ φιλοπονηθὲν Εὐαγγέλιον οὐ μόνον ὅσα ἐποίησε καὶ παρήγγειλεν ὁ Ἰησοῦς Χριστὸς τοῖς Ἀποστόλοις πρὸ τῆς ἀναςάσεως αὐτοῦ, ἀλλὰ καὶ ὅσα αὐτοῖς παρήγγειλεν ἐξότου ἀνέςη ἐκ νεκρῶν ἕως αὐτῆς τῆς ἡμέρας ἐν ᾗ ἀνελήφθη. Καὶ πρῶτον μὲν διηγήθη ἐν τῷ Εὐαγγελίῳ ὅτι ὁ Ἰησοῦς Χριστὸς μετὰ τὴν ἀνάστασιν αὐτοῦ παρέστησεν εἰς τοὺς Ἀποστόλους διὰ τῆς ἑρμηνείας τῶν Θείων Γραφῶν, ὅσα περὶ αὐτοῦ εἶπον ὁ Μωϋσῆς καὶ πάντες οἱ λοιποὶ προφῆται· « Καὶ ἀρξάμε- » νος ἀπὸ Μωσέως, καὶ ἀπὸ πάντων τῶν » προφητῶν, διηρμήνευεν αὐτοῖς ἐν πάσαις » ταῖς Γραφαῖς τὰ περὶ αὐτοῦ » (5). Δεύτερον δέ, ὅτι διὰ τοῦ ἀσπασμοῦ ἔδωκεν αὐτοῖς τὴν ἐντολὴν τῆς εἰρήνης· « Αὐτὸς δὲ » ὁ Ἰησοῦς ἔστη ἐν μέσῳ αὐτῶν, καὶ λέγει » αὐτοῖς, εἰρήνη ὑμῖν » (6). Τρίτον, ὅτι ἐνετείλατο αὐτοῖς λέγων· ἐπειδὴ ὑμεῖς ἐστε μάρτυρες αὐτόπται πάντων τῶν ἔργων μου, πρέπον ἐστὶν ἵνα ἀρξάμενοι ἀπὸ τῆς Ἱερουσαλὴμ κηρύξητε εἰς πάντα τὰ ἔθνη τὸ ὄνομά μου καὶ τὴν μετάνοιαν καὶ τὴν δι' ἐμοῦ ἄφεσιν τῶν ἁμαρτιῶν· « Καὶ κη- » ρυχθῆναι ἐπὶ τῷ ὀνόματι αὐτοῦ μετά- « νοιαν καὶ ἄφεσιν ἁμαρτιῶν εἰς πάντα τὰ » ἔθνη ἀρξάμενον (*) ἀπὸ Ἱερουσαλήμ. Ὑ- » μεῖς δέ ἐστε μάρτυρες τούτων » (7). Τέταρτον, ὅτι παρήγγειλεν αὐτοῖς, ἵνα καθί-

(1) Β'. Κορ. 8, 18. (2) Λουκ. 1, 3. (3) Πράξ. 23, 24, 26, καὶ 24, 23, καὶ 26, 85. (4) Ἰωάν 21, 25.
(5) Λουκ. 24, 27. (6) Αὐτ. 36. (*) ἀρξαμένων ἡ ἐν Κανταβριγ. Ἐκδ. καὶ ἄλλοι κώδικ. (7) Αὐτ. 47, 48.

σαντες ἐν Ἱερουσαλήμ, περιμένωσιν ἐκεῖ ἕως ἂν λάβωσι τὴν οὐρανόθεν πεμφθησομένην εἰς αὐτοὺς δύναμιν· « Ὑμεῖς δὲ καθίσατε ἐν τῇ πόλει Ἱερουσαλήμ, ἕως οὗ ἐνδύσησθε δύναμιν ἐξ ὕψους » (1). Αὕτη δὲ ἐστιν ἡ τελευταία αὐτοῦ ἐντολή, ἣν ἔδωκεν αὐτοῖς κατ' αὐτὴν τὴν ἡμέραν, ἐν ᾗ ἀνελήφθη εἰς τοὺς οὐρανούς· διότι ταῦτα εἰπών, ἐξήγαγεν αὐτοὺς ἔξω τῆς Ἱερουσαλὴμ ἕως εἰς Βηθανίαν, καὶ εὐλογήσας αὐτούς, « Διέστη ἀπ' αὐτῶν, καὶ ἀνεφέρετο εἰς τὸν οὐρανόν » (2). Ἐπειδὴ δὲ πάντα ὅσα ἐνετείλατο ὁ Κύριος τοῖς Ἀποστόλοις αὐτοῦ καὶ πρὸ τῆς ἀναστάσεως καὶ μετὰ τὴν ἀνάστασιν αὐτοῦ ἦσαν πνευματικὰ καὶ θεῖα, καὶ πάντα δὲ ἐποίησε καὶ ἐδίδαξε συνημμένος ὢν τῷ ἁγίῳ Πνεύματι, ὡς ὁμοφυὴς αὐτῷ καθὸ Θεὸς καὶ ὁμοούσιος, διὰ τοῦτο εἶπε τό, « Διὰ Πνεύματος ἁγίου ». Ἰδοὺ δὲ ὅλη ἡ κατὰ σειρὰν ἔννοια τῶν προκειμένων λόγων· Ὦ Θεόφιλε, λέγει, ἐν τῷ πρώτῳ μου λόγῳ, ἤγουν ἐν τῷ Εὐαγγελίῳ, ὅπερ συγγράψας ἀπέστειλά σοι, ἐλάλησα περὶ πάντων τῶν ἔργων καὶ θαυμάτων καὶ τῶν διδαχῶν τοῦ Κυρίου Ἰησοῦ, ἐξ αὐτοῦ τοῦ καιροῦ, ἐξότου αὐτὸς μετὰ τοῦ σὺν αὐτῷ ἁγίου Πνεύματος ἤρξατο ταῦτα ποιεῖν, ἕως αὐτῆς τῆς ἡμέρας καθ' ἣν δοὺς τὰς ἐσχάτας αὐτοῦ παραγγελίας εἰς ἐκείνους, οὓς ἐξελέξατο ἐκ παντὸς τοῦ κόσμου, τουτέστιν εἰς τοὺς Ἀποστόλους, ἀνελήφθη εἰς τὸν οὐρανόν. Ταῦτα δὲ εἰπὼν περιληπτικῶς ὁ παμμακάριστος Ἀπόστολος (3), ἐξηγεῖ αὐτὰ διὰ τῶν ἑξῆς, λέγων·

*Οἷς καὶ παρέστησεν ἑαυτὸν ζῶντα μετὰ τὸ παθεῖν αὐτόν, ἐν πολλοῖς τεκμηρίοις, δι' ἡμερῶν τεσσαράκοντα ὀπτανόμενος αὐτοῖς καὶ λέγων τὰ περὶ τῆς Βασιλείας του Θεοῦ. Καὶ συναυλιζόμενος παρήγγειλεν αὐτοῖς ἀπὸ Ἱεροσολύμων μὴ χωρίζεσθαι, ἀλλὰ περιμένειν τὴν ἐπαγγελίαν τοῦ Πατρὸς, ἣν ἠκούσατέ μου* (4).

Συντόμως, δι' ἑνὸς μόνου λόγου εἶπε προλαβὼν, ὅτι ὁ Ἰησοῦς Χριστὸς ἀνελήφθη· νῦν δὲ περιγράφει πλατύτερον, τί ἐποίησεν ἐξότου ἐκ νεκρῶν ἀνέστη ἕως τῆς ἡμέρας καθ' ἣν ἀνελήφθη εἰς τὸν οὐρανόν. Αὐτὸς ὁ Ἰησοῦς Χριστός, μετὰ τὸ πάθος τὸ τοῦ θανάτου αὐτοῦ πρόξενον, ἀναστὰς ἐκ νεκρῶν παρεστάθη, λέγει, ζῶν ἐνώπιον τῶν Ἀποστόλων, ἡμέρας τεσσαράκοντα ἐμφανιζόμενος εἰς αὐτοὺς « Ἐν πολλοῖς τεκμηρίοις » Τίνα δέ εἰσι τὰ τεκμήρια ταῦτα; τὰ σημεῖά εἰσι καὶ αἱ ἀποδείξεις, ὅσας ὁ Ἰησοῦς ἐποίησε πρὸς πίστωσιν τῆς ἑαυτοῦ ἀναστάσεως. « Ἀνασὰς πρωῒ πρώτῃ σαββάτου ἐφάνη πρῶτον Μαρίᾳ τῇ Μαγδαληνῇ » (5). Τῇ αὐτῇ δὲ ἡμέρᾳ ἐφάνη εἰς τοὺς δύω μαθητὰς τοὺς πορευομένους εἰς Ἐμμαοὺς (6). Τὸ δὲ ἑσπέρας τῆς αὐτῆς ἡμέρας εἰσῆλθε « Τῶν θυρῶν κεκλεισμένων, ὅπου ἦσαν οἱ μαθηταὶ συνηγμένοι » (7). Κατὰ τὸν αὐτὸν τρόπον καὶ μεθ' ἡμέρας ὀκτὼ πάλιν παρεστάθη ἐνώπιον αὐτῶν (8). « Ἐφάνη ἐνώπιον τῶν ἕνδεκα μαθητῶν εἰς τὸ ὄρος τῆς Γαλιλαίας » (9). Μετὰ ταῦτα ἐφανέρωσεν ἑαυτὸν τοῖς Μαθηταῖς ἐπὶ τῆς θαλάσσης τῆς Τιβεριάδος (10). Οὐ μόνον δὲ ἐπαρουσιάζετο ἐνώπιον αὐτῶν, ἀλλὰ καὶ συνωμίλει

(1) Λουκ. 49. (2) Αὐτ. 51. (3) Ἰωάν. 15, 19. (4) Πράξ. 1, 3, 4. (5) Μάρκ. 16, 9. (6) Λουκ. 24. 13. (7) Ἰωάν. 20, 19. (8) Αὐτ. 26. (9) Ματθ. 28. 16. (10) Ἰωάν. 21, 1.



μετ' αὐτῶν, καὶ διηρμήνευεν αὐτοῖς τὰς Γραφὰς, καὶ παρήγγελλεν αὐτοῖς, ἵνα μὴ χωρισθῶσιν ἀπὸ Ἱερουσαλὴμ (1). Ἵνα δὲ ἔτι μᾶλλον πληροφορήσῃ αὐτούς, « Ἐπέδειξεν αὐτοῖς τὰς χεῖρας καὶ τοὺς πόδας, ἔτι δὲ καὶ τὴν πλευρὰν αὐτοῦ, καὶ ἐνεφύσησε δὲ, καὶ ἔδωκεν αὐτοῖς τὴν χάριν τοῦ παναγίου Πνεύματος εἰς τὸ λύειν καὶ δεσμεῖν τὰς ἁμαρτίας » (2). Πρὸς πίστωσιν δὲ ἔτι περισσοτέραν, ἔστερξεν ἵνα ὁ ἀπιστῶν Θωμᾶς ψηλαφήσῃ τὴν πλευρὰν αὐτοῦ· πρὸς τούτοις δὲ καὶ « Συναυλιζόμενος ἦν », ἤγουν ἔτρωγε μετ' αὐτῶν· ἔφαγεν ἐνώπιον αὐτῶν « Ἰχθύος ὀπτοῦ μέρος, καὶ ἀπὸ μελισσίου κηρίου » (3)· Συνέφαγε μετ' αὐτῶν ἄρτον καὶ ὀψάριον εἰς τὴν παραθαλασίαν τῆς θαλάσσης Τιβεριάδος (4). Ταῦτά εἰσι τὰ τεκμήρια, ὅσα ὁ Ἰησοῦς Χριστὸς διὰ τεσσαράκοντα ἡμερῶν παῤῥησιαζόμενος ἐδείκνυε τοῖς Μαθηταῖς αὐτοῦ πρὸς βεβαίωσιν τῆς ἐκ νεκρῶν αὐτοῦ ἀναστάσεως. Σημείωσαι δὲ ὅτι οὐ μόνον εἰς τοὺς Ἀποστόλους καὶ εἰς τὴν Μαγδαληνὴν Μαρίαν ἐφάνη μετὰ τὴν ἀνάστασιν αὐτοῦ, ἀλλὰ προσέτι ἐφανερώθη καὶ « Ἐπάνω πεντακοσίοις ἀδελφοῖς » (5), ὡς μαρτυρεῖ ὁ θεσπέσιος Παῦλος. Πότε δὲ, καὶ ποῦ τοῦτο ἐγένετο, καὶ τίνες ἦσαν οὗτοι οἱ πεντακόσιοι, ἐσιώπησεν ὁ Παῦλος, εἶπε δὲ μόνον ὅτι εἰς τὸν καιρὸν αὐτοῦ πολλοὶ ἐξ αὐτῶν ἦσαν ζῶντες, τινὲς δὲ ἀπέθανον. « Ἐξ ὧν οἱ πλείους μένουσιν ἕως ἄρτι, τινὲς δὲ καὶ ἐκοιμήθησαν. » Μήπως δὲ τοῦτο ἐγένετο εἰς τὸ ὄρος τῆς Γαλιλαίας (6), ἐπειδὴ ἐκεῖ διέταξεν ὁ Κύριος τοῖς Μαθηταῖς αὐτοῦ ἐλθεῖν· εἰς πάντας δὲ τοὺς ῥηθέντας ἐφάνη, ἐπειδὴ αὐτοὶ μόνοι ἦσαν ἄξιοι τῆς θεωρίας τοῦ ἀφθαρτισθέντος καὶ θεωθέντος αὐτοῦ σώματος καὶ τῆς ὑποδοχῆς τοῦ μυστηρίου τῆς ἐκ νεκρῶν ἀναστάσεως αὐτοῦ. Σημείωσον πρὸς τούτοις, ὅτι τὴν μὲν εἰς οὐρανοὺς ἀνάληψιν τοῦ Κυρίου Ἰησοῦ ἐδίδαξεν ἡμᾶς ὁ Ἱερὸς Μάρκος εἰπών· « Ὁ μὲν οὖν Κύριος μετὰ τὸ λαλῆσαι αὐτοῖς, ἀνελήφθη εἰς τὸν οὐρανόν, καὶ ἐκάθησεν ἐκ δεξιῶν τοῦ Θεοῦ » (7). Ὁμοίως καὶ αὐτὸς ὁ θεηγόρος Λουκᾶς, γράψας ἐν τῷ κατ' αὐτὸν Εὐαγγελίῳ ταῦτα· « Καὶ ἐγένετο ἐν τῷ εὐλογεῖν αὐτὸν αὐτοὺς, διέστη ἀπ' αὐτῶν καὶ ἀνεφέρετο εἰς τὸν οὐρανόν » (8). Ὅτι δὲ τῇ τεσσαρακοστῇ ἡμέρᾳ μετὰ τὴν ἀνάστασιν αὐτοῦ ἀνελήφθη ὁ Σωτήρ, καὶ ὅτι ἐλάλησε πρὸς τοὺς Ἀποστόλους « Τὰ περὶ τῆς βασιλείας τοῦ Θεοῦ, καὶ παρήγγειλεν αὐτοῖς ἵνα μὴ ἀναχωρήσωσιν ἀπὸ τῆς Ἱερουσαλὴμ, ἀλλ' ἐκεῖ συνηνωμένοι περιμένωσι τὴν ἐκπλήρωσιν τῆς ὑποσχέσεως τοῦ Πατρὸς αὐτοῦ, » καθὼς ἀπὸ στόματος αὐτοῦ ἤκουσαν· μόνον τὸ βιβλίον τῶν Πράξεων ταῦτα ἡμᾶς ἐδίδαξε· Πότε δὲ ἤκουσαν τὴν ἐπαγγελίαν ταύτην οἱ Ἀπόστολοι; ὅταν εἶπε πρὸς αὐτοὺς ὁ Κύριος· « Καὶ ἐγὼ ἐρωτήσω τὸν Πατέρα, καὶ ἄλλον παράκλητον δώσει ὑμῖν, ἵνα μένῃ μεθ' ὑμῶν εἰς τὸν αἰῶνα » (2). Ἐπειδὴ δὲ παρέστησεν ὁ Λουκᾶς τὸν Χριστὸν λαλοῦντα τότε πρὸς τοὺς Ἀποστόλους αὐτοῦ καὶ λέγοντα αὐτοῖς· « Τὴν ἐπαγγελίαν τοῦ Πατρός, ἣν ἠκούσατέ μου, » διὰ τοῦτο ἐπάγει καὶ τὰ ἑξῆς λόγια ὡς ὑπὸ τοῦ Ἰησοῦ Χριστοῦ λεγόμενα τότε πρὸς αὐτούς.

*Ὅτι Ἰωάννης μὲν ἐβάπτισεν ὕδατι, ὑμεῖς δὲ βαπτισθήσεσθε ἐν Πνεύ-*

(1) Λουκ. 24, 39. (2) Ἰωάν. 20, 20, 22. (3) Λουκ. 24, 42. (4) Ἰωάν. 21, 15. (5) Ά. Κορινθ. 15 6. (6) Ματθ. 28, 16. (7) Μάρκ. 16, 19. (8) Λουκ. 24, 51. (9) Ἰωάν. 16. 16.

*ματι ἁγίῳ οὐ μετὰ πολλὰς ταύτας ἡμέρας* (1).

Διὰ τούτων τῶν λόγων ἐφανέρωσεν ὁ Θεάνθρωπος τὸν λόγον, δι' ὃν εἶπεν, ἵνα περιμένωσι τὴν ἐπαγγελίαν τοῦ Πατρὸς αὐτοῦ. Πρέπον ἐστὶ, λέγει, ἵνα περιμένητε τὴν ἐκπλήρωσιν τῆς ὑποσχέσεως τοῦ Πατρός μου, διότι ὁ μὲν Ἰωάννης ὁ ἐμὸς βαπτιστὴς καὶ πρόδρομος ἐβάπτισε δι' ὕδατος, ὑμεῖς δὲ μετ' ὀλίγας ἡμέρας μέλλετε βαπτισθῆναι ἐν Πνεύματι ἁγίῳ. Τὰ αὐτὰ δὲ εἶπε καὶ ὁ Ἰωάννης ὁ βαπτιστὴς, « Ἐγὼ μὲν βαπτίζω, εἶπεν, ὑμᾶς ἐν ὕδατι εἰς μετάνοιαν, αὐτὸς ὑμᾶς βαπτίσει ἐν Πνεύματι ἁγίῳ καὶ πυρί » (2). Πυρὸς δὲ ἐμνημόνευσεν ὁ Ἰωάννης, ἐπειδὴ ὡς Προφήτης προεγνώρισεν ὅτι ἐν εἴδει πυρὸς ἔμελλε κατελθεῖν τὸ Πνεῦμα τὸ ἅγιον ἐπὶ τοὺς Ἀποστόλους. Τὸ δὲ « Ὑμεῖς δὲ βαπτισθήσεσθε ἐν Πνεύματι ἁγίῳ, » ἀπορίαν προξενεῖ περὶ τοῦ βαπτίσματος τῶν θείων Ἀποστόλων. Τινὲς νομίζοντες ὡς φαίνεται, ὅτι τότε ἐβαπτίσθησαν οἱ Ἀπόστολοι, ὅτε κατῆλθε τὸ Πνεῦμα τὸ ἅγιον ἐπ' αὐτοὺς ἐν τῷ ὑπερῴῳ, οὗ ἦσαν καθήμενοι, λέγουσιν ὅτι κἂν μὴ ὕδωρ ἦν ἐν τῷ ὑπερῴῳ, ὅμως ἦν τὸ Πνεῦμα· καὶ ὅτι καὶ ὁ Χριστὸς κἂν οὐκ ἐχρίσθη αἰσθητῷ ἐλαίῳ, ὅμως ἦν Χριστός » (3). Πρὸς τούτοις δὲ λέγουσιν, ὅτι βεβαπτισμένοι ἦσαν οἱ Ἀπόστολοι δι' ὕδατος κατὰ διαφόρους καιροὺς εἰς τὸ Ἰωάννου βάπτισμα, ἔπειτα ἐν τῇ ἡμέρᾳ τῆς Πεντηκοστῆς ἐβαπτίσθησαν καὶ τὸ διὰ τοῦ Πνεύματος βάπτισμα. Ἀλλ' ἐκ τούτων συνάγεται, ὅτι οἱ Ἀπόςολοι ἄχρι τῆς ἡμέρας τῆς Πεντηκοςῆς οὐκ ἦσαν βεβαπτισμένοι τὸ βάπτισμα τοῦ Ἰησοῦ Χριστοῦ, καὶ ἑπομένως οὐκ ἦσαν καθαροὶ ἀπὸ τοῦ ῥύπου τῆς προπατορικῆς ἁμαρτίας. Ἀλλὰ πρῶτον μὲν πῶς ἔστερξαν αὐτοὶ μὴ βαπτισθῆναι τὸ βάπτισμα τοῦ Ἰησοῦ Χριστοῦ, ἰδόντες αὐτὸν ἐν Ἰορδάνῃ βαπτισθέντα καὶ ἀκούσαντες ἀπὸ τοῦ στόματος αὐτοῦ, ὅτε μετὰ τοῦ Νικοδήμου ἐλάλει, τό, « Ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ Πνεύματος, οὐ δύναται εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ » (4); Δεύτερον δὲ πῶς ἀβάπτιστοι ὄντες, ἐβάπτιζον ἄλλους, ὡς μαρτυρεῖ ὁ Εὐαγγελιςὴς Ἰωάννης, λέγων· « Καίτοι γε Ἰησοῦς αὐτὸς οὐκ ἐβάπτιζεν, ἀλλ' οἱ μαθηταὶ αὐτοῦ; » (5) Τρίτον, πῶς ὁ Θεάνθρωπος εἶπε παῤῥησίᾳ περὶ αὐτῶν ὅτι εἰσὶ καθαροί· « Καὶ ὑμεῖς καθαροί ἐστε, ἀλλ' οὐχὶ πάντες » (6). Αὐτοὶ δὲ πάντες ἦσαν ἔτι ἀκάθαρτοι ἀπὸ τῆς τοῦ προπάτορος ἁμαρτίας; Μήπως οὖν προτιμητέον ἐστὶ τὸ ἱςορούμενον ὑπὸ Εὐωδίου τοῦ πρώτου τῆς Ἀντιοχείας Ἐπισκόπου, ἀνδρὸς ἁγίου καὶ τῶν Ἀποστόλων διαδόχου; (7) Οὗτος δὲ ἱστορεῖ ταῦτα· « Ὁ Χριστὸς ἰδίαις χερσὶ τὸν Πέτρον μόνον ἐβάπτισε· Πέτρος δὲ Ἀνδρέαν καὶ τοὺς Ζεβεδαίου υἱούς· Ἀνδρέας δὲ καὶ οἱ τοῦ Ζεβεδαίου, τοὺς λοιποὺς Ἀποστόλους· τοὺς δὲ ἑβδομήκοντα Πέτρος καὶ Ἰωάννης ὁ Θεολόγος βαπτίζουσιν. Ἐὰν δὲ τοῦτο δεχθῶμεν, φανερόν ἐστιν ὅτι τό, Βαπτισθήσεσθε ἐν Πνεύματι ἁγίῳ » (8), οὐ σημαίνει βάπτισμα, ἐῤῥέθη δὲ μεταφορικῶς, ἵνα φανερώσῃ τὸν πλοῦτον τῆς χάριτος τοῦ ἁγίου Πνεύματος, ὃν ἔλαβον οἱ μαθηταὶ τοῦ Σωτῆρος ἐν τῇ ἡμέρᾳ τῆς Πεντηκοστῆς. Ἔλαβον μὲν αὐτοὶ προλαβὸν διάφορα χαρίσματα τοῦ ἁγίου Πνεύματος·

(1) Πράξ. 1, 5. (2) Ματθ. 3, 11. (3) Χρυσ. Θεοφ. Οἰκουμ. Αὐτ, (4) Ἰωάν. 3, 5. (5) Αὐτ. 4, 2.
(6) Αὐτ. 13, 10. (7) Εὐσ. Ἱστορ. β. 3. Κ. 11. (8) Παρὰ Νικηφ. Ξανθ. ἐν β. 2. Κ. 3.



« Ἔλαβον τὴν ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ. Τὴν ἐξουσίαν κατὰ πνευμάτων ἀκαθάρτων, ὥςε ἐκβάλλειν αὐτά. Τὴν δύναμιν τοῦ θεραπεύειν πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν· Τὸ χάρισμα τοῦ λύειν καὶ δεσμεῖν τὰς ἁμαρτίας » (1). Κατὰ τὴν ἡμέραν ὅμως τῆς Πεντηκοστῆς οὐχ' ἓν ἢ δύο χαρίσματα, ἀλλὰ τὸ πλήρωμα ἔλαβον τῶν χαρίτων τοῦ παναγίου Πνεύματος, πληρωθέντες σοφίας καὶ δυνάμεως καὶ παντὸς ἄλλου θεϊκοῦ χαρίσματος. Ἐλήφθη δὲ ἡ μεταφορὰ ἐκ τοῦ βαπτίζω, ἵνα φανερωθῇ τὸ δαψιλὲς καὶ πλούσιον τῆς θείας δωρεᾶς. Διότι καθὼς τὸ ὕδωρ καταβρέχει ὅλον τὸ σῶμα τοῦ ἐν αὐτῷ βαπτιζομένου, οὕτω τότε τὸ πανάγιον Πνεῦμα ἐπλήρωσεν ὅλον τὸν νοῦν καὶ τὴν ψυχὴν καὶ τὴν καρδίαν τῶν μαθητῶν τοῦ Σωτῆρος. Οὐκ ἐφανέρωσε δὲ αὐτοῖς ὁ Κύριος οὐδὲ τὴν ὥραν οὐδέ τὴν ἡμέραν τῆς καταβάσεως τοῦ ἁγίου Πνεύματος, ἵνα μετὰ περισσοτέρας προσοχῆς καὶ προθυμίας περιμένοντες, ἄξιοι γένωνται τῆς τούτου ὑποδοχῆς. Εἶπεν ὅμως τό, « οὐ μετὰ πολλὰς ταύτας ἡμέρας », ἵνα παρηγορήσῃ τὴν ἀθυμίαν τῆς καρδίας αὐτῶν, διὰ τὸν χωρισμὸν αὐτοῦ, καὶ ἐπιστηρίξῃ τὴν τούτων πίστιν καὶ τὴν ἐλπίδα. Ταῦτα δὲ τὰ ὑπὸ τοῦ Ἰησοῦ Χριστοῦ ῥηθέντα μετὰ τὴν ἀνάστασιν αὐτοῦ γράψας ὁ Ἀπόστολος, ἱστορεῖ διὰ τῶν ἑξῆς καὶ τὰ τότε ἐρωτήματα τῶν Ἀποστόλων, καὶ τὰς πρὸς αὐτοὺς ἀποκρίσεις τοῦ Ἰησοῦ Χριστοῦ.

Οἱ *μὲν οὖν συνελθόντες ἐπηρώτων αὐτὸν λέγοντες·* Κ*ύριε, εἰ ἐν τῷ χρόνῳ τούτῳ ἀποκαθιστάνεις τὴν* Β*ασιλείαν τῷ Ἰσραήλ* (2).

Ὅτε τὸ πανάγιον Πνεῦμα κατῆλθεν ἐπὶ τοὺς Ἀποστόλους, τότε ἐφώτισε καὶ ὕψωσε τὸν νοῦν αὐτῶν ἀπὸ τῶν χαμερπῶν καὶ γηΐνων νοημάτων ἐπὶ τὰς ὑψηλὰς καὶ ἐπουρανίους ἐννοίας, κατὰ τὴν τοῦ Κυρίου πρόῤῥησιν· « Ὁ δὲ Παράκλητος, τὸ Πνεῦμα τὸ ἅγιον, ὃ πέμψει ὁ Πατὴρ ἐν τῷ ὀνόματί μου, ἐκεῖνος ὑμᾶς διδάξει πάντα καὶ ὑπομνήσει ὑμᾶς πάντα ἃ εἶπον ὑμῖν » (3). Πρὸ δὲ τῆς καταβάσεως τοῦ ἁγίου Πνεύματος τοσοῦτον ἀτελεῖς ἦσαν αὐτοί, ὥστε παχυλῶς ἐννόουν καὶ αὐτὰ τὰ λόγια τὰ σημαίνοντα πράγματα πνευματικὰ καὶ ἐπουράνια· προκατειλημμένοι δὲ ὄντες ὑπὸ τῆς γνώμης τῶν κοινολαϊτῶν Ἰουδαίων, ἐπίστευον ὅτι ὁ Μεσσίας ἐλθὼν ἀποδώσει αὐτοῖς τὴν ἐπίγειον βασιλείαν, ἣν ἥρπασαν ἀπ' αὐτῶν οἱ βασιλεῖς τῆς Ῥώμης. Ἐνόμιζον οὖν, ὅτι ὁ Ἰησοῦς Χριστὸς μετὰ τὴν ἐκ νεκρῶν αὐτοῦ ἀνάστασιν καθίσῃ ἐπὶ τὸν θρόνον τῆς βασιλείας τοῦ Ἰσραήλ. Διὰ τοῦτο οἱ μὲν υἱοὶ τοῦ Ζεβεδαίου προσῆλθον πρὸς αὐτὸν παρακαλοῦντες καὶ λέγοντες· « Δὸς ὑμῖν ἵνα εἷς ἐκ δεξιῶν σου καὶ εἷς ἐξ εὐωνύμων σου καθίσωμεν ἐν τῇ δόξῃ σου» (4). Ὁ δὲ Λουκᾶς καὶ ὁ Κλεόπας μὴ γνωρίσαντες τὸν ἀναστάντα Χριστόν, ὅτε ἐλάλει πρὸς αὐτοὺς ἐν τῇ ὁδῷ διηγούμενοι πρὸς αὐτὸν τὶ φρονοῦσι περὶ τοῦ Ἰησοῦ Χριστοῦ, καὶ τὶ ὑπ' αὐτοῦ ἐλπίζουσιν, ἔλεγον· « Ἡμεῖς δὲ ἠλπίζομεν ὅτι αὐτός ἐςιν ὁ μέλλων λυτροῦσθαι τὸν Ἰσραήλ » (5). Τοιαῦτα οὖν φρονήματα ἔχοντες οἱ Ἀπόστολοι περὶ τοῦ Ἰησοῦ Χριστοῦ καὶ τοιαύτας ἐλπίδας, ἰδόν-

(1) Λουκ. 10, 19. Ἰωάν. 20, 23. Ματθ. 10, 1. (2) Πράξ. 1, 6. (3) Ἰωάν. 14, 26. (4) Μάρκ. 10, 37.
(5) Λουκ. 24, 21.

τες ὅτι ἐπλησίασεν ὁ καιρός, ἐν ᾧ αὐτὸς ἔμελλε χωρισθῆναι ἀπ' αὐτῶν, συνήχθησαν ἐνώπιον αὐτοῦ καὶ ἠρώτων αὐτόν, λέγοντες· Κύριε, φανέρωσον ἡμῖν, ἐὰν κατὰ τὸν παρόντα καιρὸν φέρῃς τὴν βασιλείαν τῶν Ἰσραηλιτῶν εἰς τὴν προτέραν αὐτῆς κατάστασιν. « Κύριε, εἰ ἐν τῷ χρόνῳ τούτῳ ἀπο» καθιστάνεις τὴν βασιλείαν τῷ Ἰσραήλ; » Αὐτὸς δ' ἀπεκρίθη πρὸς αὐτούς, λέγων·

*Εἶπε δὲ πρὸς αὐτοὺς οὐχ' ὑμῶν ἐστι γνῶναι χρόνους ἢ καιρούς, οὓς ὁ Πατὴρ ἔθετο ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ* (1).

Ὅταν οἱ Ἀπόστολοι πρὸ τοῦ σωτηρίου πάθους τοῦ Ἰησοῦ Χριστοῦ ἠρώτησαν αὐτὸν πότε ἔσται τὸ τέλος τοῦ κόσμου, τότε ἀπεκρίθη πρὸς αὐτούς, λέγων· « Περὶ δὲ » τῆς ἡμέρας ἐκείνης καὶ τῆς ὥρας οὐδεὶς » οἶδεν, οὐδὲ οἱ Ἄγγελοι οἱ ἐν οὐρανῷ, οὐ» δὲ ὁ Υἱός, εἰμὴ ὁ Πατήρ » (2)· ὅταν δὲ μετὰ τὴν ἐκ νεκρῶν αὐτοῦ ἀνάστασιν ἠρώτησαν αὐτὸν πότε ἐπιστρέφει τὴν βασιλείαν εἰς τοὺς Ἰσραηλίτας, τότε εἶπεν αὐτοῖς· « Οὐχ' ὑμῶν ἐστι γνῶναι χρόνους ἢ » καιρούς, οὓς ὁ Πατὴρ ἔθετο ἐν τῇ ἰδίᾳ » ἐξουσίᾳ » Ἐὰν δὲ παραβάλλῃς ταύτας τὰς δύω ἀποκρίσεις, βλέπεις ὅτι, καὶ αἱ δύω ἓν καὶ τὸ αὐτὸ ἔχουσι νόημα, ἤγουν τὴν ἐπίκρυψιν τῆς ζητουμένης γνώσεως τῶν καιρῶν· διαφέρει δὲ ἡ πρώτη ἀπόκρισις τῆς δευτέρας, καθὸ ἐν μὲν τῇ πρώτῃ φαίνεται αἴτιον τῆς ἀγνοίας τῶν καιρῶν ἡ ἄγνοια τοῦ Ἰησοῦ Χριστοῦ, ἐν δὲ τῇ δευτέρᾳ ἡ ἀδυναμία τῶν ἀνθρώπων. Καὶ ὅτι μὲν ὁ Ἰησοῦς Χριστὸς οὐ μόνον ὡς Θεός, ἀλλὰ καὶ ὡς ἄνθρωπος ἐγίνωσκε διὰ τὴν καθ' ὑπόστασιν ἕνωσιν τῆς Θεότητος καὶ τοὺς χρόνους καὶ τοὺς καιροὺς καὶ τὰς ἡμέρας καὶ τὰς ὥρας τῶν μελλόντων γενέσθαι· ὅτι δὲ οἰκονομικῶς εἶπεν ὅτι οὐδὲ ὁ Υἱὸς οἶδεν, ἵνα δηλονότι παύσῃ τὴν ἀτελεσφόρητον τῶν Ἀποστόλων περιέργειαν, βέβαιόν ἐστι καὶ ἀναμφίβολον. Διὰ ποῖον δὲ λόγον οὐ δύνανται οἱ ἄνθρωποι γινώσκειν τοὺς χρόνους καὶ τοὺς καιρούς; Διότι, λέγει, ὁ Πατὴρ ἔθετο αὐτοὺς ἐν τῇ ἐξουσίᾳ αὐτοῦ· ἀλλ' οὐ μόνον οἱ καιροί, ἀλλὰ τὰ πάντα εἰσὶν ὑπὸ τὸ κράτος τῆς δεσποτείας αὐτοῦ, ὅταν ὅμως θέλῃ, τότε δηλοποιεῖ αὐτὰ τοῖς ἀνθρώποις. Διὰ ποῖον οὖν λόγον τοιουτοτρόπως ἐξουσιάζει τοὺς καιρούς, ὥστε ἐστέρησεν ἡμᾶς τῆς τούτων γνώσεως; Ὁ Θεὸς μεταβάλλει τοὺς χρόνους καὶ τοὺς καιροὺς αὐξάνων ἢ ἐλαττῶν τὸ μέτρον αὐτῶν καθὼς θέλει καὶ βούλεται. Βλέπομεν εἰς τὰ ἅγια βιβλία τοιαύτας μεταβολάς. Ἐπὶ Ἰησοῦ τοῦ Ναυῆ μετέβαλεν ὁ Θεὸς τὸ μέτρον τῆς ἡμέρας, καὶ ἐποίησε μίαν ἡμέραν μείζονα τῶν ἄλλων ἡμερῶν (3). Εἰς τὸν καιρὸν τοῦ Ἐζεκίου μετέβαλε τὸν ἀριθμὸν τῶν ἡμερῶν τῆς ζωῆς αὐτοῦ, προστιθεὶς αὐτῷ ἔτη ζωῆς δεκαπέντε (4)· εἰς τὸν καιρὸν τοῦ Ἰωνᾶ μετέβαλε τὰς τρεῖς ἡμέρας εἰς πολλοὺς αἰῶνας (5)· διότι ἡ Νινευὴ κατεστράφη μετὰ πολλοὺς αἰῶνας, οὐχὶ δὲ μετὰ τρεῖς ἡμέρας καθὼς αὐτὸς ὥρισε, καὶ ὁ Ἰωνᾶς ἐκήρυξεν· εἰς τὸν καιρὸν δὲ τῆς συντελείας μέλλει κολοβῶσαι τὸν διωρισμένον ἀριθμὸν τῶν ἡμερῶν διὰ τοὺς ἐκλεκτούς (6). Ταῦτα τὰ παραδείγματα πληροφοροῦσιν ἡμᾶς, ὅτι ὁ Θεὸς μεταβάλλει καὶ τοὺς καιροὺς καὶ τοὺς ὅρους τῆς ζωῆς τῶν ἀνθρώπων· ὅθεν ἢ πληροῖ μακρότητος ἡμερῶν τὸν ἄνθρωπον, ἢ ἐπάγει ἐπ' αὐτὸν ἄωρον θάνατον. Ἐπειδὴ δὲ αἱ τοιαῦται μεταβολαί εἰσι μυστηριώδεις, ἀπὸ μόνης τῆς ἐξουσίας τοῦ Θεοῦ κρεμάμεναι, καὶ τελούμεναι ὅταν αὐτὸς θέλῃ, καὶ ὅπως θέλῃ, διὰ τοῦτο εἶπεν ὁ Ἰησοῦς Χριστός, ὅτι τοὺς καιροὺς καὶ τοὺς χρόνους ἔθετο ὁ Πατὴρ ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ, δι' αὐτὰς δὲ τὰς μυστηριώδεις τοῦ ὅρου τῶν καιρῶν μεταβολὰς οὐκ ἔστιν ὁ ἄνθρωπος ἐπιδεκτικὸς τῆς τούτων γνώσεως· ἔκρυψε δὲ τὴν γνῶσιν αὐτῶν ὁ Θεός, οὐ καθότι οὐ θέλει, οὐδὲ καθότι οὐ δύναται ἀποκαλύψαι ἡμῖν αὐτούς, ἀλλὰ καθότι ὁ νοῦς τοῦ ἀνθρώπου οὐ δύναται χωρῆσαι τὸ μυστήριον τῶν περὶ αὐτοὺς μεταβολῶν. « Οὐχ ἡμῶν ἐστίν, οὐκ ἔστι τῆς » ἀνθρωπίνης δυνάμεως γνῶναι χρόνους » ἢ καιρούς, οὐ δύναται ὁ ἄνθρωπος κατανοῆσαι πότε, καὶ πῶς, καὶ διατὶ ὁ Θεὸς ποιεῖ τοιαύτας μεταβολὰς εἰς τοὺς καιρούς. Ἰδοὺ οὖν τὸ διατὶ ὁ Θεάνθρωπος ἔκρυψεν ἀπὸ τῶν ἀνθρώπων τὴν γνῶσιν καὶ τῆς συντελείας τοῦ κόσμου, καὶ τοῦ τέλους τῆς ζωῆς ἑνὸς ἑκάστου· κρύπτει τοὺς καιρούς, ἵνα μεταβάλλῃ αὐτοὺς κατὰ τὸ συμφέρον τῆς ψυχῆς ἡμῶν. Ἀλλὰ καὶ τὸ ἑξῆς ἐστὶν ἄξιον ἐξετάσεως. Διατί δηλονότι ὁ Χριστὸς οὐκ ἐθεράπευσε τὴν προκατάληψιν τῶν Ἀποστόλων; Αὐτοὶ νομίζοντες ὅτι ἡ Βασιλεία αὐτοῦ ἐστὶν ἐπίγειος, παρεκάλουν αὐτόν, ἵνα φανερώσῃ εἰς αὐτοὺς πότε ἐπανάγει τὴν Βασιλείαν τοῦ Ἰσραὴλ εἰς τὴν προτέραν αὐτῆς κατάστασιν· διατί οὖν οὐκ ἀπεκρίθη πρὸς αὐτούς, καθὼς καὶ εἰς τὸν Πιλάτον· « Ἡ Βασιλεία ἡ ἐμὴ οὐκ ἔστιν » ἐκ τοῦ κόσμου τούτου » (1), ἀλλὰ δοὺς γενικὴν ἀπόκρισιν περὶ τῆς ἀγνοίας, τῶν καιρῶν, ἐστερέωσε κατά τινα τρόπον τὴν ἀμαθῆ αὐτῶν ὑπόληψιν; Πολλάκις εἶπε τοῦτο πρὸς αὐτούς, αὐτοὶ ὅμως οὐκ ἠδυνήθησαν κατανοῆσαι τοὺς λόγους αὐτοῦ. Διὰ τοῦτο ἔλεγε πρὸς αὐτούς· « Ἔτι πολλὰ » ἔχω λέγειν ὑμῖν, ἀλλ' οὐ δύνασθε βαστά» ζειν ἄρτι. Ὅταν δὲ ἔλθῃ ἐκεῖνος, τὸ » Πνεῦμα τῆς ἀληθείας, ὁδηγήσει ὑμᾶς εἰς » πᾶσαν τὴν ἀλήθειαν » (2). Ἀφῆκεν οὖν τὴν πρόληψιν αὐτῶν, ἵνα τὸ Πνεῦμα τῆς ἀληθείας τὸ μετ' ὀλίγας ἡμέρας ἐλευσόμενον πρὸς αὐτοὺς διὰ τοῦ φωτισμοῦ τῆς χάριτος αὐτοῦ θεραπεύσῃ αὐτήν. ἀποκριθεὶς δὲ γενικῶς πρὸς τὸ ἐρώτημα αὐτῶν, ἐπέστρεψεν εὐθὺς τὸν λόγον ἐπὶ τὸν προκείμενον αὐτῷ σκοπόν, τὸν περὶ τῆς καταβάσεως τοῦ ἁγίου Πνεύματος, καὶ τῶν τούτου χαρισμάτων, καὶ εἶπεν.

*Ἀλλὰ λήψεσθε δύναμιν ἐπελθόντος τοῦ ἁγίου Πνεύματος ἐφ' ὑμᾶς· καὶ ἔσεσθέ μοι μάρτυρες ἔν τε Ἱερουσαλὴμ καὶ ἐν πάσῃ τῇ Ἰουδαίᾳ καὶ Σαμαρείᾳ καὶ ἕως ἐσχάτου τῆς γῆς* (3).

Διατί ὁ Θεάνθρωπος πρὸ τῆς ἀναστάσεως αὐτοῦ περιώρισε τὴν ἀποστολὴν τῶν δώδεκα Ἀποστόλων εἰς σύνορα μικρὰ καὶ συνεσταλμένα εἰπὼν πρὸς αὐτούς· « Εἰς ὁδὸν ἐθνῶν » μὴ ἀπέλθητε καὶ εἰς πόλιν Σαμαρειτῶν » μὴ εἰσέλθητε » (4); Μετὰ δὲ τὴν ἐκ νεκρῶν αὐτοῦ ἀνάστασιν ἐπλάτυνε τῆς ἀποστολῆς αὐτῶν τὰ ὅρια, καὶ ἐξέτεινεν αὐτὰ οὐ μόνον ἕως πάσης τῆς Ἰουδαίας καὶ Σαμαρείας, ἀλλὰ καὶ ἕως τῶν ἐσχάτων μερῶν τῆς γῆς; « Καὶ ἔσεσθέ μοι μάρτυρες » ἔν τε Ἱερουσαλὴμ καὶ ἐν πάσῃ τῇ Ἰου-

(1) Πράξ. 1. 7. (2) Μάρκ. 13 32. (3) Ἰησ. 10. 12. (4) Ἡσ. 38, 5. (5) Ἰων. 3. 4. (6) Ματθ. 24, 22.



(1) Ἰωάν. 18, 36. (2) Αὐτ. 16, 12, 13. (3) Πράξ. 1, 8. (4) Ματθ. 10, 5.

» δαίᾳ καὶ Σαμαρείᾳ καὶ ἕως ἐσχάτου τῆς » γῆς. » Πρῶτον μὲν ἐπειδὴ ἔπρεπεν ἡ προτίμησις εἰς τοὺς Ἰσραηλίτας, καθότι αὐτοὶ ἦσαν θεοσεβεῖς, καὶ προδιατεθειμένοι ὑπὸ τῶν ἁγίων Προφητῶν πρὸς τὴν ὑποδοχὴν τῆς εἰς Χριστὸν πίστεως, εἶχον δὲ καὶ ἐπουράνια προνόμια· « Ὧν ἡ υἱοθε- » σία, λέγει ὁ θεῖος Παῦλος, καὶ ἡ δόξα » καὶ αἱ διαθῆκαι καὶ ἡ νομοθεσία καὶ ἡ » λατρεία καὶ αἱ ἐπαγγελίαι· Ὧν οἱ πα- » τέρες, καὶ ἐξ ὧν ὁ Χριστὸς κατὰ σάρ- » κα » (1). Βλέπε δὲ ὅτι καὶ πρὸ τῆς ἀναστάσεως οὐκ ἀπηγόρευσεν ὁ Σωτὴρ ἡμῶν τὸ Εὐαγγελικὸν κήρυγμα ἀπὸ τῶν ἐθνῶν, ἀλλὰ προετίμησε τοὺς Ἰσραηλίτας· « Πο- » ρεύεσθε δὲ μᾶλλον, εἶπε, πρὸς τὰ πρό- » βατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ » (2). Δεύτερον δὲ ἐπειδὴ πρὸ τῆς καταβάσεως τοῦ ἁγίου Πνεύματος οὐκ εἶχον οἱ Ἀπόστολοι τὰ ἀναγκαῖα πρὸς τὴν ἐπιστροφὴν τῶν ἐθνῶν χαρίσματα. Ὅταν δὲ τὸ πανάγιον Πνεῦμα μετέδωκεν αὐτοῖς ἐν τῇ ἡμέρᾳ τῆς Πεντηκοστῆς τὸ πλήρωμα τῶν θείων αὐτοῦ χαρισμάτων, τότε ἐγένοντο ἱκανοὶ καὶ ἐπιτήδειοι πρὸς τὸ κηρύξαι καὶ εἰς τὰ ἔθνη τὰ πάντη ἀκατήχητα καὶ πεπλανημένα, τὰ λατρεύοντα τῇ κτίσει ἀντὶ τοῦ κτίστου· Ἄκουε δὲ πόσον φανερὰ εἶπε τοῦτο πρὸς αὐτοὺς ὁ Κύριος· « Λήψεσθε, λέγει, ὅταν » ἔλθῃ ἐφ' ὑμᾶς τὸ Πνεῦμα τὸ ἅγιον, δύ- » ναμιν, τὴν δύναμιν, δηλαδὴ τῆς σοφίας, » τῶν γλωσσῶν, τοῦ ζήλου, τῶν θαυμά- » των, τῆς τελειότητος τῆς ἀρετῆς, χαρί- » σματα ἀναγκαιότατα διὰ τὴν τῶν ἐθνῶν » ἐπιστροφήν· » τότε δὲ οὕτω προητοιμασμένοι καὶ προκατηρτισμένοι. « Ἔσε- » σθέ μοι μάρτυρες, » ἤγουν μαρτυρήσετε ὅσα εἴδετε καὶ ἠκούσατε, καὶ κηρύξετε τὴν εἰς ἐμὲ πίστιν καὶ εἰς τὴν Ἱερουσαλήμ, καὶ εἰς ὅλην τὴν Ἰουδαίαν καὶ Σαμάρειαν, καὶ ἕως εἰς εἰς αὐτὰ τὰ ἔσχατα πέρατα τῆς γῆς. Σημείωσαι δέ, ὅτι ταῦτα τὰ λόγιά εἰσι τὰ ἔσχατα πάντων τῶν λόγων ὧν ἐλάλησεν ὁ Ἰησοῦς Χριστὸς ἔτι εὑρισκόμενος ἐπὶ τῆς γῆς· διότι ἀφοῦ εἶπε ταῦτα, εὐθὺς ἔμπροσθεν εἰς τὰ ὄμματα τῶν Ἀποστόλων ὑψώθη ὑπεράνω τῆς γῆς, καὶ νεφέλη περιλαβοῦσα τὸ πανάγιον αὐτοῦ σῶμα, ἐκάλυψεν αὐτὸ ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν. « Καὶ ταῦτα εἰπών, βλεπόντων αὐτῶν » ἐπήρθη, καὶ νεφέλη ὑπέλαβεν αὐτὸν ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν » (3).

(1) Ρωμ. 9, 4, 5. (2) Ματθ. 10, 6. (3) Πράξ. 1. [illegible]



# ΟΜΙΛΙΑ

ΜΕΤΑ ΤΑΣ

## ΠΡΑΞΕΙΣ ΤΩΝ ΑΠΟΣΤΟΛΩΝ

### ΤΑΣ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΑΣ ΤΗ͂Ι ΚΥΡΙΑΚΗ͂Ι ΤΟΥ ΠΑΣΧΑ.

ΑΝΔΡΕΣ ἀδελφοί, « Αὕτη ἡ ἡμέρα ἣν » ἐποίησεν ὁ Κύριος, ἀγαλλιασώμεθα καὶ » εὐφρανθῶμεν ἐν αὐτῇ. Συστήσασθε ἑορτὴν » ἐν τοῖς πυκάζουσιν ἕως τῶν κεράτων τοῦ » θυσιαστηρίου » (1). Ὁ Θεὸς ἐποίησε πάσας τὰς ἡμέρας, ποία οὖν ἐστὶν ἡ ἡμέρα, περὶ ἧς ὁ ἅγιος προφήτης λέγει, ὅτι ὁ Θεὸς ἐποίησεν αὐτήν; καὶ διατί νομοθετεῖ ὁ Θεός, ἵνα χαίρωμεν ἐν αὐτῇ καὶ εὐφραινώμεθα, καὶ συστήσαντες ἐν αὐτῇ ἑορτὴν συνέλθωμεν πάντες, ὥστε καταπυκνωθέντες φθάσωμεν ἕως εἰς τὰ ἄκρα τοῦ θυσιαστηρίου; Δύω δημιουργίας ἐποίησεν ὁ Θεός, μίαν ὑλικήν, ἥτις ἐστὶν ὁ οὐρανὸς καὶ ἡ γῆ καὶ πάντα τὰ ἐν αὐτοῖς, καὶ ἄλλην πνευματικήν, ἥτις ἐστὶν ἡ Ἐκκλησία καὶ πάντες οἱ εὐσεβεῖς οἱ ταύτην συγκροτοῦντες καὶ μέλη αὐτῆς ὄντες. Παρατήρησον δὲ τὴν ὁμοιότητα τὴν μεταξὺ τῆς ὑλικῆς καὶ τῆς πνευματικῆς, ἵνα μάθῃς ποία ἐστὶν ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος. « Ἐν ἀρχῇ ἐ- » ποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν » γῆν » (2). Ἀπ' ἀρχῆς ὁ Θεὸς διέταξε τὴν Ἐκκλησίαν τῶν πρωτοτόκων ἐν οὐρανοῖς ἀπογεγραμμένων, καὶ τὴν τῶν πιστῶν τῶν ἐπὶ γῆς ἀγωνιζομένων (3). « Ἡ δὲ γῆ ἦν » ἀόρατος καὶ ἀκατασκεύαστος » (4). Καὶ ἡ Ἐκκλησία δὲ πρὸ τῆς νομοθεσίας ἀφανὴς ἦν ὡς μὴ ἔχουσα τὸ φῶς τῶν νόμων, καὶ μετὰ τὴν νομοθεσίαν ἀσύστατος ὡς ἔχουσα νόμους σκιώδεις· « Σκιὰν γὰρ εἶ- » χεν ὁ νόμος » (5). Καὶ ἐγένετο, λέγει, φῶς, ἤγουν φῶς αἰσθητὸν τὸ φωτίζον τὴν αἰσθητὴν κτίσιν (6). Ἀλλὰ καὶ φῶς ἐγένετο νοερὸν ὁ Χριστός, φωτίζων τὴν πνευματικὴν κτίσιν, « φῶς μέγα φωτίζον τοὺς ἐν » σκότει καὶ σκιᾷ θανάτου κατοικοῦντας. » Τοῦτο προϊδὼν ὁ Ἡσαΐας ἐκραύγαζεν· « Ὁ λαὸς ὁ πορευόμενος ἐν σκότει, ἴδετε » φῶς μέγα· οἱ κατοικοῦντες ἐν χώρᾳ » καὶ σκιᾷ θανάτου, φῶς λάμψει ἐφ' ὑ- » μᾶς » (7). Καὶ ὁ Εὐαγγελιστὴς δὲ Ἥλιον ὠνόμασε τὸν Ἰησοῦν Χριστόν, ὅταν εἶπε· « Καὶ λίαν πρωῒ τῆς μιᾶς σαββάτων ἔρ- » χονται ἐπὶ τὸ μνημεῖον, ἀνατείλαντος τοῦ » Ἡλίου » (8). Καὶ ἐκάλεσεν ὁ Θεὸς τὸ φῶς, ἡμέραν· καὶ τὸ σκότος ἐκάλεσε νύκτα· καὶ ἐγένετο ἑσπέρα, καὶ ἐγένετο πρωΐ, ἡμέρα μία (9). « Ἀκούεις; τὸ φῶς, λέγει, τὸ αἰ- » σθητὸν ὠνόμασεν ὁ Θεὸς ἡμέραν »· αὕτη δὲ ἡ ἡμέρα ἐστὶν ἡ μία, ἤγουν ἡ πρώτη τῶν λοιπῶν ἓξ ἡμερῶν τῆς ἑβδομάδος. Ἀ-

(1) Ψαλ. 117, 24, 27. (2) Γεν. 1, 1. (3) Ἑβρ. 12, 23. (4) Γεν. 1, 2. (5) Ἑβρ. 10, 1. (6) Γεν. 1, 3. (7) Ἡσ. 9, 2. (8) Μάρκ. 16, 2. (9) Γεν. 1, 5.

κουσαν νῦν καὶ τους Εὐαγγελιστὰς μαρτυροῦντας, ὅτι εἰς τὴν ἡμέραν τὴν μίαν, ἤγουν τὴν πρώτην τῆς ἑβδομάδος, ἥτις ἔπειτα ὠνομάσθη Κυριακὴ ἀπὸ τοῦ ὀνόματος τοῦ Κυρίου, ἀνέτειλεν ἐκ τοῦ τάφου τὸ νοερὸν φῶς, τουτέστιν ὁ Χριστός. « Εἰς μίαν σαββάτων, λέγει ὁ Ματθαῖος, » λίαν πρωῒ τῆς μιᾶς σαββάτων » (1)· « Ἀναστὰς δὲ πρωῒ πρώτῃ σαββάτου », διδάσκει ὁ Μάρκος (2)· « Τῇ δὲ μιᾷ τῶν » σαββάτων ὄρθρου βαθέως », κηρύττει ὁ Λουκᾶς (3). « Οὔσης οὖν ὀψίας τῇ ἡμέρᾳ » ἐκείνῃ τῇ μιᾷ τῶν σαββάτων », ἐπιβεβαιοῖ ὁ Ἰωάννης (4). Βλέπεις οὖν, ὅτι ἐν ἡμέρᾳ Κυριακῇ καὶ τὸ κτιστὸν φῶς ἐδημιουργήθη, καὶ τὸ ἄκτιστον φῶς ἐφάνη· τῇ Κυριακῇ ἐκτίσθη τὸ ὑλικὸν φῶς, καὶ ἐφώτισε τὴν κτίσιν, τῇ Κυριακῇ ἀνέτειλε τὸ νοητὸν φῶς, καὶ κατηύγασε τῶν ἀνθρώπων τὸ γένος. Θαυμαστὴ ἡ σχέσις καὶ ἡ ὁμοιότης τούτων τῶν δύο ἡμερῶν, ἐπειδὴ ἕνα καὶ τὸν αὐτὸν ἔχουσι ποιητήν, τὸν Θεόν. Ὁ Θεὸς ἐποίησε τὴν πρώτην ἡμέραν τῆς πλάσεως τοῦ κόσμου, ὁ Θεὸς ἐποίησε καὶ τῆς ἀναπλάσεως αὐτοῦ τὴν πρώτην ἡμέραν, ἤγουν τὴν ἡμέραν τῆς Χριστοῦ ἀναστάσεως.

Ἐπειδὴ δὲ κατ' αὐτὴν τὴν ἡμέραν, ἐν ᾗ ὁ Χριστὸς ἀνέστη, κατηργήθη ὁ θάνατος ὁ κρατῶν τῶν ἀνθρώπων τὰ σώματα ἐν τῇ φθορᾷ χωρὶς τινος ἐλπίδος ἀναστάσεως, καὶ ἐσκυλεύθη ὁ ᾅδης, στερηθεὶς τῶν ὑπ' αὐτοῦ κατεχομένων δικαίων ψυχῶν, καὶ συνανέστη τῷ ἀναστάντι Χριστῷ τὸ γένος τῶν ἀνθρώπων, καὶ ἀνέβη ὁ ἄνθρωπος εἰς ὕψος τοῦ προτέρου ὑψηλότερον, καὶ εἰς δόξαν λαμπροτέραν τῆς πρὸ τῆς πτώσεως δόξης, συγκληρονόμος γενόμενος τῆς βασιλείας τοῦ Ἰησοῦ Χριστοῦ, τοῦ ὑπὲρ ἡμῶν ἐνανθρωπήσαντος, καὶ τὸν ἐχθρὸν διὰ τῆς ἀναστάσεως αὐτοῦ καταργήσαντος· διὰ τοῦτο ἐνομοθέτησεν ὁ Θεός, ἵνα κατ' αὐτὴν τὴν ἡμέραν χαίρωμεν τῇ ψυχῇ, καὶ εὐφραινώμεθα τῷ πνεύματι τὴν πνευματικὴν καὶ ἀναφαίρετον χαράν. « Αὕτη ἡ ἡμέρα ἣν » ἐποίησεν ὁ Κύριος ἀγαλλιασώμεθα καὶ » εὐφρανθῶμεν ἐν αὐτῇ » (5). Περὶ ταύτης δὲ τῆς ἀγαλλιάσεως καὶ εὐφροσύνης εἶπεν ὁ Θεάνθρωπος πρὸς τοὺς ἰδίους μαθητάς. « Πάλιν δὲ ὄψομαι ὑμᾶς, καὶ χαρήσεται » ὑμῶν ἡ καρδία, καὶ τὴν χαρὰν ὑμῶν » οὐδεὶς αἴρει ἀφ' ὑμῶν » (6).

Ἀλλὰ διατί διέταξεν ὁ Θεὸς οὐ μόνον ἵνα χαίρωμεν καὶ εὐφραινώμεθα ἐν αὐτῇ τῇ ἡμέρᾳ τῆς ἀναστάσεως, ἀλλ' ἵνα συστήσωμεν καὶ ἑορτήν; Διότι ἐν ταῖς ἑορταῖς τοῦ Θεοῦ χαίρομεν τῷ πνεύματι· ἐν ταῖς ἑορταῖς ἡμεῖς ἐξόχως συναθροιζόμεθα εἰς τὰς Ἐκκλησίας κατὰ τὴν θείαν ἐντολὴν τὴν λέγουσαν· « Ἐν Ἐκκλησίαις εὐλογεῖτε τὸν » Θεόν, Κύριον ἐκ πηγῶν Ἰσραήλ » (7). Ἐκεῖ δὲ συνερχόμενοι προσφέρομεν εὐλογίας, ὕμνους, δοξολογίας, εὐχαριστίας, προσκύνησιν, λατρείαν εἰς τὸν δημιουργὸν τῆς κτίσεως καὶ πλάστην ἡμῶν καὶ Σωτῆρα. Ὅπου δὲ εἰσι δύο ἢ τρεῖς, πολλῷ μᾶλλον ὅπου πολλοί, συνηγμένοι εἰς δόξαν τοῦ ὀνόματος τοῦ Ἰησοῦ Χριστοῦ, ἐκεῖ ἐστὶν αὐτὸς ἐν μέσῳ αὐτῶν (8)· ὅπου δὲ αὐτός, ἐκεῖ ἐστὶν ἡ εἰρήνη καὶ ἡ ἀληθινὴ χαρὰ τῆς ψυχῆς καὶ ἡ ἀγαλλίασις. Ἵνα δὲ παραστήσῃ ὅτι κατ' αὐτὴν τὴν μεγάλην ἑορτὴν χρέος ἔχουσι πάντες οἱ πιστοί, ἵνα συνέρχωνται εἰς τὴν Ἐκκλησίαν, διὰ τοῦτο εἶπε· « Συ» στήσασθε ἑορτὴν ἐν τοῖς πυκάζουσιν ἕως

(1) Ματθ. 28, 1. (2) Μάρκ. 16, 2, 9. (3) Λουκ. 24, 1. (4) Ἰωάν. 20, 19. (5) Ψαλ. 117, 24. (6) Ἰωάν. 16, 22. (7) Ψαλ. 67, 26. (8) Ματθ. 18, 20.



» τῶν κεράτων τοῦ θυσιαστηρίου » (1). Ἑορτάσατε, λέγει, καὶ συναθροίσθητε ἐν τῇ Ἐκκλησίᾳ πάντες, ἄνδρες καὶ γυναῖκες, νέοι καὶ γέροντες, καὶ αὐτὰ τὰ μικρὰ παιδία· συνάχθητε πάντες, ἵνα δοξολογήσητε τὸν Χριστὸν τὸν ἀναστάντα ἐκ νεκρῶν, καὶ συναναστήσαντα ὑμᾶς ἐκ τῆς φθορᾶς, καὶ οὕτως ἔλθῃ εἰς τὴν καρδίαν ὑμῶν ἡ πνευματικὴ χαρὰ καὶ ἡ θεία εὐφροσύνη.

Σημείωσαι δὲ πρῶτον, ὅτι κἂν αὐτὴ ἡ μία καὶ πρώτη ἡμέρα, ἤγουν ἡ Κυριακὴ μετὰ τῶν ἄλλων ἓξ ἡμερῶν ἀνακυκλουμένη ποιῇ τὴν ἑβδομάδα, καὶ ὁσάκις δὲ καθ' ὅλον τὸ ἔτος ἀνακυκλοῦται, τοσάκις καὶ ἡ ἀνάστασις τοῦ Χριστοῦ ἑορτάζεται· ἔχει ὅμως ἡ τοιαύτη ἑβδομαδιαία περίοδος τὴν πρώτην αὐτῆς ἀρχὴν ἀπὸ τῆς ἡμέρας τοῦ Πάσχα, ἥτις κυρίως καὶ καθ' αὐτὸ λογίζεται ὡς αὐτὴ ἡ ἡμέρα, ἐν ᾗ ὁ Χριστὸς ἀνέστη ἐκ νεκρῶν· Δεύτερον δὲ σημείωσον, ὅτι οὐδὲ ἄνθρωπος, οὐδὲ ἄγγελος, ἀλλ' αὐτὸς ὁ Κύριος καὶ ἐποίησε καὶ διώρισε τὴε ἑορτὴν τῆς Χριστοῦ ἀναστάσεως. Ἐβεβαίωσε τοῦτο ὁ Προφητάναξ, εἰπών· « Αὕτη ἡ ἡμέρα ἣν » ἐποίησεν ὁ Κύριος. Συστήσασθε ἑορτὴν » ἐν τοῖς πυκάζουσι » (2).

Πρεπόντως οὖν καὶ δικαίως τόσον πολλὴ καὶ μεγάλη ἐξαίρεσις καὶ τιμὴ καὶ δόξα ἐδόθη εἰς αὐτὴν τὴν ἡμέραν, καθότι αὐτὴν διώρισεν ὁ Θεὸς εἰς ἀνάμνησιν τῆς τοῦ Σωτῆρος ἡμῶν ἀναστάσεως, ἥτις ἐστὶν ἡ ἀπόδειξις τῆς εἰς αὐτὸν πίστεως καὶ τὸ θεμέλιον πάντων τῶν ὑπὸ τῶν εὐσεβῶν πιστευομένων. Ἐὰν δὲ αὐτὸ τὸ θεμέλιον ἀφέλῃς, καὶ ἡ πίστις ματαιοῦται καὶ τὰ πιστευόμενα. Διὰ τοῦτο ὁ πάνσοφος Παῦλος ἔγραφε πρὸς τοὺς Κορινθίους· « Εἰ δὲ Χρι» στὸς οὐκ ἐγήγερται, κενὸν ἄρα τὸ κήρυγ» μα ἡμῶν, κενὴ δὲ καὶ ἡ πίστις ὑμῶν. Εἰ » δὲ Χριστὸς οὐκ ἐγήγερται, ματαία ἡ πί» στις ὑμῶν· ἄρα καὶ οἱ κοιμηθέντες ἐν » Χριστῷ ἀπώλοντο » (3). Ἐὰν πληροφορήσῃς τὸν ἄπιστον, ὅτι ὁ Χριστὸς ἀνέστη ἐκ νεκρῶν, αὐτὸς πιστεύει εὐθύς, ὅτι ὁ Χριστός ἐστι Θεὸς ἀληθινός, δέχεται τοὺς εὐαγγελικοὺς νόμους, περιμένει νεκρῶν ἀνάστασιν, πείθεται ὅτι ἐστὶ κρίσις καὶ ἀνταπόδοσις καὶ μέλλουσα ζωὴ αἰώνιος, καὶ στέργει καὶ ὁμολογεῖ πάντα τὰ ὑπὸ τῆς χριστιανικῆς πίστεως διδασκόμενα.

Διὰ τοῦτο οὖν ὁ πανυπεράγαθος Θεὸς πληροφορῆσαι θέλων πάντας, ὅτι ὁ Χριστὸς ἀνέστη ἐκ νεκρῶν, πρῶτον μὲν πολλοὺς αἰῶνας πρὸ τῆς Χριστοῦ ἀναστάσεως ἀπέστειλεν ἄνδρας ἁγίους. οἵτινες καὶ διὰ συμβόλων καὶ διὰ προφητικῶν λόγων προκατήγγειλαν τὴν τούτου ἀνάστασιν. Ὁ μὲν Ἀβραὰμ ἀγαλλόμενος ἐπεθύμησεν ἰδεῖν τὴν ἡμέραν τοῦ Κυρίου, καὶ εἶδεν αὐτήν, καὶ ἐχάρη (4). Ἡμέρα τῆς χαρᾶς τοῦ Κυρίου ἐστὶν ἡ ἡμέρα τῆς ἐκ νεκρῶν ἀναστάσεως αὐτοῦ, εἶδε δὲ αὐτήν, ὅτε ἐτέλεσε τὸ σύμβολον αὐτῆς· ἔδεσε τὸν Ἰσαάκ, τὰ δὲ δεσμὰ σύμβολόν εἰσι τῆς σινδόνης, δι' ἧς ὁ ἀπὸ Ἀριμαθαίας Ἰωσὴφ εἴλησε τὸ σῶμα τοῦ Ἰησοῦ· ἔθηκε τὸν Ἰσαὰκ ἐν τῷ θυσιαστηρίῳ· σύμβολον τοῦτο τοῦ ἐν τάφῳ τεθέντος Χριστοῦ. Ἐλύθη ὁ Ἰσαὰκ τῶν δεσμῶν, καὶ ἀνέστη ἐκ τοῦ θυσιαστηρίου ζῶν. τοῦτό ἐστι τὸ σύμβολον τῆς ἀναστάσεως τοῦ Χριστοῦ, ὅστις καὶ τῆς σινδόνος καὶ τοῦ σουδαρίου ἀποχωρισθείς, ἐξανέστη τοῦ τάφου, καὶ ζῇ εἰς τοὺς αἰῶνας. Ὁ δὲ Ἰωσὴφ οὐκ ἐποίησε σύμβολα, ἀλλ' αὐτὸς ἐγέ-

(1) Ψαλ. 117, 27. (2) Αὐτ. 26, 27. (3) Α'. Κορ. 15, 14, 17, 18. (4) Ἰωάν. 3, 56.

νετο σύμβολον τῆς μὲν πρὸς τοὺς ἐν κόσμῳ ἀνθρώπους ὑπὸ τοῦ Θεοῦ καὶ Πατρὸς ἀποστολῆς καὶ ὑπακοῆς τοῦ Χριστοῦ, καθότι καὶ αὐτὸς ὑπὸ τοῦ πατρὸς αὐτοῦ Ἰακὼβ ἀπεστάλη πρὸς τοὺς ἀδελφοὺς αὐτοῦ· «Καὶ » ὑπακούσας αὐτῷ ἦλθεν ἐν Δωθαεὶμ ὅ» που ἦσαν αὐτοί » (1)· τῆς δὲ ταφῆς τοῦ Χριστοῦ, ἐν λάκκῳ βληθείς, τῆς δὲ ἀναστάσεως καὶ τῆς ἐν οὐρανῷ καὶ ἐπὶ γῆς δοθείσης τῷ Χριστῷ ἐξουσίας, ἐκ τοῦ λάκκου ἐξελθών, καὶ ἐν Αἰγύπτῳ ἐξουσίαν λαβὼν βασιλικήν. Ποῖον δὲ ἄλλο σύμβολον ἐμφαντικώτερον τοῦ συμβόλου τοῦ Ἰωνᾶ; αὐτὸς σαφέστατα προετύπωσε τὴν μὲν ταφὴν τοῦ Ἰησοῦ, ἐν τῇ κοιλίᾳ τοῦ κήτους ταφείς, τὴν δὲ τριήμερον ἀνάστασιν, μετὰ τρεῖς ἡμέρας ζῶν καὶ σῶος ἐκ τῆς κοιλίας τοῦ κήτους ἐξελθών.

Καὶ ταῦτα μὲν εἰσι τῆς ἀναστάσεως τὰ σύμβολα, πολλαὶ δὲ εἰσιν αἱ περὶ αὐτῆς Προφητεῖαι, ἐξ ὧν ἡμεῖς τὰς τοῦ προπάτορος τοῦ Ἰησοῦ Χριστοῦ προβάλλομεν ὡς τῶν ἄλλων ἐπισημοτέρας. Ὁ προφητάναξ Δαβὶδ τὴν τοῦ Χριστοῦ ἀνάστασιν προκαταγγέλλων, ἄλλοτε ἔψαλλεν· « Ἀ» ναςήτω ὁ Θεὸς » (2), ἔπειτα εὐθὺς περιέγραφε τῆς ἀναστάσεως τὰ ἔργα, πρῶτον μὲν τὸν ἀφανισμὸν τῆς διαβολικῆς ἐξουσίας, λέγων· « Καὶ διασκορπισθήτωσαν » οἱ ἐχθροὶ αὐτοῦ, καὶ φυγέτωσαν ἀπὸ » προσώπου αὐτοῦ οἱ μισοῦντες αὐτόν. Ὡς » ἐκλείπει καπνὸς ἐκλειπέτωσαν· ὡς τήκε» ται κηρὸς ἀπὸ προσώπου πυρός, οὕτως » ἀπολοῦνται οἱ ἁμαρτωλοὶ ἀπὸ προσώ» που τοῦ Θεοῦ ». Δεύτερον δὲ τὴν χαρὰν καὶ τὴν ἀγαλλίασιν τῶν δικαίων. « Καὶ οἱ δίκαιοι εὐφρανθήτωσαν· ἀγαλλιά» σθωσαν ἐνώπιον τοῦ Θεοῦ, τερφθήτωσαν » ἐν εὐφροσύνῃ. » Ἄλλοτε δὲ πάλιν προετοιμάσας τὴν καρδίαν αὐτοῦ διὰ τῶν θείων ἀναβάσεων, παρεκάλει θερμῶς ἵνα πληρωθῇ ταχέως ἡ τοῦ Χριςοῦ ἀνάςασις· « Ἐξε» γέρθητι, ἔλεγεν, ἡ δόξα μου, ἐξεγέρθητι » ψαλτήριον καὶ κιθάρα » (3). Ἀκούεις; τρία ὀνόματα εἶπεν εἰς τὸν Ἰησοῦν, δόξαν ψαλτήριον, κιθάραν, διὰ τὴν θεότητα, διὰ τὴν ψυχήν, διὰ τὸ σῶμα. Ἐπειδὴ δὲ μετὰ πολλῆς εὐλαβείας καὶ κατανύξεως παρεκάλει, ἐπακούσας ὁ Θεὸς τῆς φωνῆς τῆς δεήσεως αὐτοῦ, ἀπεκρίθη καὶ ἐφανέρωσεν εἰς αὐτὸν τὸν καιρὸν τῆς ἐκ νεκρῶν ἀναστάσεως αὐτοῦ, εἰπών. « Ἐξεγερθήσομαι ὄρ» θρου. » Καθὼς δὲ εἶπεν, οὕτω καὶ ἐγένετο· διότι « Ὄρθρου βαθέως ἦλθον αἱ Μυρο» φόροι καὶ τὸν μὲν λίθον εὗρον ἀποκεκυ» λισμένον ἀπὸ τοῦ μνημείου, τὸ δὲ σῶμα » τοῦ Κυρίου Ἰησοῦ οὐχ εὗρον » (4). Μετὰ δὲ ταῦτα κάλαμος γραμματέως ὀξυγράφου » γενόμενος ὁ θεῖος προφήτης ἔγραψε τὰ τοῦ ἁγίου Πνεύματος λόγια, τὰ περὶ τῆς ἡμέρας τῆς Χριστοῦ ἀναστάσεως· « Αὕτη » ἡ ἡμέρα ἣν ἐποίησεν ὁ Κύριος, ἀγαλλια» σώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ, καὶ » τὰ τούτων ἀκόλουθα » (5). Ὁ δὲ μεγαλοφωνόφατος Ἡσαΐας προεκήρυξεν οὐ μόνον τὴν ἐκ νεκρῶν ἀνάστασιν τοῦ Σωτῆρος Χριστοῦ, ἀλλὰ καὶ τὴν ἔγερσιν τῶν νεκρῶν τῶν ἐξελθόντων ἐκ τῶν μνημείων, ὅτε ὁ Ἰησοῦς « Κράξας φωνῇ μεγάλῃ, ἀφῆκε τὸ » πνεῦμα » (6), καὶ τὴν εὐφροσύνην πάσης τῆς γῆς διὰ τὴν ἰατρείαν τῆς προπατορικῆς πληγῆς, καὶ διὰ τὴν σωτηρίαν τὴν ὑπὸ τῆς ἀναστάσεως τοῦ Χριστοῦ προξενηθεῖσαν τοῖς ἀνθρώποις. « Ἀναστήσονται οἱ

(1) Γεν. 37, 17. (2) Ψαλ. 67, 1, 2. Αὐτ. 3, 4. (3) Αὐτ. 56, 9. (4) Λουκ. 24, 1.
(5) Ψαλ. 117, 24 (6) Ματθ. 27, 50.



» νεκροί, εἶπε, καὶ ἐγερθήσονται οἱ ἐν τοῖς » μνημείοις, καὶ εὐφρανθήσονται οἱ ἐν τῇ » γῇ· ἡ γὰρ δρόσος ἡ παρὰ σοῦ ἴαμα αὐ» τοῖς ἐστί » (1).

Μετὰ δὲ τὰ προφητικὰ σύμβολα, καὶ τὰ σαφέστατα τῶν προφητῶν κηρύγματα, αὐτὸς ὁ σεσαρκωμένος τοῦ Θεοῦ Λόγος, πρὸ τοῦ πάθους αὐτοῦ ἐφανέρωσε τὴν τριήμερον αὐτοῦ ἀνάστασιν, πρῶτον μὲν ἀλληγορικῶς, εἰπών· « Λύσατε τὸν ναὸν τοῦ» τον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐ» τόν » (2). Ἔπειτα ἀναγωγικῶς· « Ὥσ» περ γὰρ ἦν Ἰωνᾶς ἐν τῇ κοιλίᾳ τοῦ κή» τους τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας· οὕ» τως ἔσται ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ » καρδίᾳ τῆς γῆς, τρεῖς ἡμέρας, καὶ τρεῖς » νύκτας » (3). Μετὰ δὲ ταῦτα φανερὰ διὰ » κυριολεξίας ἐδήλωσε τὰ περὶ τῆς ἀναστάσεως αὐτοῦ, εἰπών· « Μέλλει δὲ ὁ υἱὸς » τοῦ ἀνθρώπου παραδίδοσθαι εἰς χεῖρας » ἀνθρώπων, καὶ ἀποκτενοῦσιν αὐτόν, καὶ » τῇ τρίτῃ ἡμέρᾳ ἐγερθήσεται » (4). Καὶ ἐν αὐτῷ δὲ τῷ καιρῷ τοῦ πάθους αὐτοῦ προεῖπε μετὰ ὑποσχέσεως τὴν ἐκ νεκρῶν αὐτοῦ ἀνάστασιν· « Πάντες ὑμεῖς σκαν» δαλισθήσεσθε ἐν ἐμοὶ ἐν τῇ νυκτὶ ταύτῃ » γέγραπται γάρ· πατάξω τὸν ποιμένα, » καὶ διασκορπησθήσονται τὰ πρόβατα » τῆς ποίμνης. Μετὰ δὲ τὸ ἐγερθῆναί με, » προάξω ὑμᾶς εἰς τὴν Γαλιλαίαν » (5).

Ἤκουσας δὲ τί ἐδίδαξαν ἡμᾶς περὶ τῆς Χριστοῦ ἀναστάσεως καὶ αἱ σήμερον ἀναγνωσθεῖσαι τῶν Ἀποστόλων πράξεις; Αὐταὶ εἶπον, ὅτι ὁ Σωτὴρ ἡμῶν μετὰ τὴν ἀνάστασιν αὐτοῦ ἡμέρας τεσσαράκοντα ἐπαῤῥησιάζετο ἐνώπιον τῶν Ἀποστόλων. « ἐν πολλοῖς τεκμηρίοις» (6). Ἐὰν δὲ μελετήσῃς τὰ Ἱερὰ Εὐαγγέλια, βλέπεις καὶ ποσάκις, καὶ πῶς, καὶ ποῦ, καὶ εἰς ποίους ἐφάνη ὁ Ἰησοῦς Χριστός, ἵνα ἀποδείξῃ ὅτι ἀνέστη ἐκ νεκρῶν· βλέπεις ἐκεῖ τὰ σημεῖα καὶ θαύματα ὅσα ἐποίησε μετὰ τὴν ἀνάστασιν· ἐκεῖ βλέπεις ὅτι εἰσῆλθε δὶς « Τῶν » θυρῶν κεκλεισμένων, ὅπου ἦσαν οἱ μα» θηταὶ συνηγμένοι » (7). Καὶ ὅτι εἰς τὴν Ἐμμαοὺς, ὅταν ἔκοψε τὸν ἄρτον ἐνώπιον τῶν δύο μαθητῶν, εὐθὺς « Ἄφαντος ἐγένε» το ἀπ' αὐτῶν » (8). Καὶ ὅτι ἐπὶ τῆς θαλάσσης Τιβεριάδος, ὅταν εἶπε πρὸς τοὺς μαθητὰς αὐτοῦ· « Βάλετε εἰς τὰ δεξιὰ μέ» ρη τοῦ πλοίου τὸ δίκτυον », τότε τοσοῦτον πλῆθος ὀψαρίων συνεκλείσθη εἰς τὸ δίκτυον, ὥςε οὐκ ἐδυνήθησαν ἑλκύσαι αὐτό (9). Ἀλλὰ καὶ ἡ ἐπὶ τῆς παραθαλασσίας ἐκείνης εὑρεθεῖσα τότε ἀνθρακιά, καὶ τὸ ὀψάριον, καὶ ὁ ἄρτος τεκμήρια ἦσαν τῆς παντοδυναμίας τοῦ ἐκ νεκρῶν ἀναστάντος Χριστοῦ.

Σημείωσον δὲ καὶ τὰ μεγάλα τῆς οἰκονομίας τοῦ Θεοῦ μυστήρια. Ἵνα πιστώσῃ τὸν κόσμον ὁ Θεὸς περὶ τοῦ ὅτι ἀνέστη ἐκ νεκρῶν ὁ μονογενὴς αὐτοῦ Υἱός, συγχωρεῖ ἵνα αὐτοὶ οἱ μέλλοντες γενέσθαι μάρτυρες, καὶ κήρυκες τῆς ἀναστάσεως αὐτοῦ, ἤγουν οἱ ἅγιοι Ἀπόστολοι, μὴ πιστεύσωσιν, ἀλλὰ διστάσωσι περὶ αὐτῆς. Ὅταν αἱ μυροφόροι γυναῖκες ἐπιστρέψασαι ἀπὸ τοῦ μνημείου, ἦλθον πρὸς αὐτούς, καὶ ἀνήγγειλαν αὐτοῖς, ὅτι εἰσῆλθον εἰς τὸ μνημεῖον, οὐχ εὗρον δὲ τὸ σῶμα τοῦ Κυρίου Ἰησοῦ· καὶ ὅτι εἶδον δύο ἀγγέλους ἐν ἐσθήσεσιν ἀστραπτούσαις, οἵτινες εἶπον πρὸς αὐτάς, ὅτι ἀνέστη ὁ Κύριος, τότε αὐτοὶ οὐ μόνον οὐκ ἐπίστευσαν, ἀλλ' ἐνόμισαν· ὅτι ὅσα ἔλεγον αἱ γυναῖκες,

(1) Ἡσ. 26, 19. (2) Ἰωάν. 2, 19. (3) Ματθ. 12, 40. (4) Αὐτ. 17, 22, 23. (5) Αὐτ. 26, 31, 32. Ζαχ. 13, 7.
(6) Πράξ. 1, 3. (7) Ἰωάν. 20, 19, 26. (8) Λουκ. 24, 31. (9) Αὐτ. 21, 1, 6, 9.

ἦσαν φλυαρίαι. « Καὶ ἐφάνησαν ἐνώπιον » αὐτῶν ὡσεὶ λῆρος τὰ ῥήματα αὐτῶν, καὶ » ἠπίστουν αὐταῖς » (1). Ὅταν δὲ οἱ ἕνδεκα ὀφθαλμοφανῶς εἶδον αὐτὸν εἰς τὸ ὄρος τῆς Γαλιλαίας, καὶ τότε τινὲς ἐξ αὐτῶν ἐδίςασαν (2). Μετὰ ταῦτα οἱ πιςεύσαντες ἐσπούδαζον πληροφορῆσαι τὸν Θωμᾶν, ὅτι ὁ Χριστὸς ἀληθῶς ἀνέστη ἐκ νεκρῶν. Ἡμεῖς, ἔλεγον πρὸς αὐτόν, εἴδομεν αὐτόν, εἴδομεν τὰς χεῖρας καὶ τὴν πλευρὰν αὐτοῦ, ἠκούσαμεν τῆς φωνῆς αὐτοῦ, ὅτε εἶπεν· « Εἰρή» νη ὑμῖν » (3). Ἠσθάνθημεν τοῦ ἐμφυσήματος αὐτοῦ, ὅτε ἐνεφύσησε, καὶ εἶπεν ἡμῖν· « Λάβετε Πνεῦμα ἅγιον ». Αὐτὸς δὲ ἀπεκρίνατο πρὸς αὐτούς· Ἐγὼ οὐδὲ πείθομαι, οὐδὲ πιστεύω· « Ἐὰν μὴ ἴδω, εἶπεν, » ἐν ταῖς χερσὶν αὐτοῦ τὸν τύπον τῶν ἥ» λων, καὶ βάλω τὸν δάκτυλόν μου εἰς τὸν » τύπον τῶν ἥλων, καὶ βάλω τὴν χεῖρά « μου εἰς τὴν πλευρὰν αὐτοῦ, οὐ μὴ πι» στεύσω » (4). Ὦ καλὴ ἀπιστία τοῦ Θωμᾶ, πίστεως καὶ βεβαιώσεως μήτηρ. Εἶδε τέλος πάντων ὁ μακάριος τοὺς τύπους τῶν ἥλων, ἔβαλε τὴν χεῖρα αὐτοῦ εἰς τὴν λογχευθεῖσαν πλευράν, καὶ πιστεύσας ἐβόησεν· « Ὁ Κύριός καὶ ὁ Θεός μου » (5). Καὶ αὐτὸς μὲν ταῦτα βοήσας, τὸν κόσμον ἐπληροφόρησεν· ὁ δὲ Θεάνθρωπος μακαρισμοῦ ἠξίωσε τοὺς μὴ ἰδόντας καὶ πιστεύσαντας. « Μακάριοι οἱ μὴ ἰδόντες καὶ πιστεύσαν» τες ». Ταῦτα δὲ πάντα ὁ Θεὸς ᾠκονόμησεν, ἵνα μάθη ὁ κόσμος ὅλος, ὅτι οἱ Ἀπόστολοι οὐχ ἁπλῶς καὶ ἀνεξετάστως ἐπίστευσαν, ὅτι ὁ Χριστὸς ἀνέστη ἐκ νεκρῶν, ἀλλ' ἐξετάσαντες καὶ ἐρευνήσαντες, καὶ διὰ ἰσχυρῶν καὶ ἀναντιῤῥήτων ἀποδείξεων πεισθέντες, ἐπίστευσαν καὶ ἐπληροφορήθησαν· ταῦτα δὲ μαθόντες πάντες οἱ ἄνθρωποι, πιστεύσωσιν, ὅτι ὁ Χριστὸς ἀνέστη ἐκ τῶν νεκρῶν· ἐπὶ τούτῳ δὲ τῷ θεμελίῳ οἰκοδομηθέντες, πιστεύσωσιν εἰς πάντα ὅσα ἡ εἰς Χριστὸν πίστις διδάσκει, πιστεύσαντες δέ, τῆς αἰωνίου ἀπολαύσωσι τοῦ Χριστοῦ Βασιλείας.

Ἀδελφοί μου ἀγαπητοί, ὑμεῖς ἠκούσατε τὰ μεγαλεῖα ταύτης τῆς ἡμέρας, καὶ τὰς ἀποδείξεις τῆς ἀναςάσεως τοῦ Χριςοῦ, ἐμάθετε δὲ καὶ διὰ ποῖον σκοπὸν ὁ Θεὸς προσέταξεν, ἵνα ἐν αὐτῇ τῇ ἡμέρᾳ ἑορτὴν συγκροτοῦντες πανηγυρίζωμεν. Μηδεὶς οὖν εἰς ταύτην τὴν ἁγίαν ἡμέραν μολύνῃ ἑαυτὸν διὰ τοῦ ῥύπου τῆς ἁμαρτίας. Ἐν τῇ ἡμέρᾳ, ἐν ᾗ ἀνέτειλε τὸ φῶς τὸ φωτίζον τὴν ψυχήν σου, μὴ πέσῃς εἰς τὸ σκότος τῆς ἁμαρτίας τὸ κατασκοτίζον τὸν νοῦν σου. Ταύτην τὴν ἡμέραν, ἣν ἐποίησεν ὁ Θεὸς διὰ τὴν σωτηρίαν σου, μὴ ποιήσῃς αὐτὴν ἡμέραν τῆς ἀπωλείας σου. Αὐτὴ ἡ ἡμέρα ἐστὶν ἡμέρα ἀγαλλιάσεως καὶ εὐφροσύνης πνευματικῆς· ἡ ἀρετὴ δέ, ὡς ἔργον Θεοῦ, γεμίζει τὴν ψυχὴν χαρᾶς καὶ ἀγαλλιάσεως· ἡ δὲ ἁμαρτία, ἥτις ἐστὶν ἔργον τοῦ διαβόλου, καταβυθίζει αὐτὴν εἰς τὸ πέλαγος τῆς αἰσχύνης καὶ τῆς θλίψεως. Μὴ οὖν λυπήσῃς τὴν ψυχήν σου διὰ τῶν ἔργων τῆς ἁμαρτίας, ἀλλ' εὔφρανον αὐτὴν διὰ τῶν κατορθωμάτων τῆς ἀρετῆς. Ἡ σήμερον ἡμέρα ἐστὶν ἑορτῶν ἑορτὴ καὶ πανήγυρις πανηγύρεων. Ἑορτάσατε οὖν, διότι « Τὸ Πάσχα ἡμῶν ὑπὲρ ἡμῶν ἐτύθη » Χριστός » (5). Πανηγυρίσατε, πλὴν « Μὴ » ἐν ζύμῃ παλαιᾷ, μηδὲ ἐν ζύμῃ κακίας καὶ πονηρίας, ἀλλ' ἐν ἀζύμοις εἰλικρινείας καὶ » ἀληθείας ». Ἑορτάσατε, ναί, πλὴν « Πε» ριπατήσατε εὐσχημόνως ὡς ἐν ἡμέρᾳ·

(1) Λουκ. 24, 11. (2) Ματθ. 28, 17. (3) Ἰωάν. 20, 19, 22. (4) Αὐτ. 25. (5) Αὐτ, 28, 20.
(6) Α. Κορινθ. 5, 7, 8.



» μὴ κώμοις καὶ μέθαις, μὴ κοίταις καὶ » ἀσελγείαις, μὴ ἔριδι καὶ ζήλῳ· ἀλλ' ἐν» δύσασθε τὸν Κύριον Ἰησοῦν Χριστόν, » καὶ τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε εἰς » ἐπιθυμίας » (1). Πανηγυρίσατε, ναί, πλὴν ὡς πρέπει εἰς τοὺς Χριστιανούς. Εὐφράνθητε, πλὴν πνευματικῶς, καὶ « Μὴ μεθύ» σκεσθε οἴνῳ, ἐν ᾧ ἐστιν ἀσωτεία, ἀλλὰ » πληροῦσθε ἐν Πνεύματι, λαλοῦντες ἑαυ» τοῖς ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς πνευ» ματικαῖς· ᾄδοντες καὶ ψάλλοντες ἐν τῇ » καρδίᾳ ὑμῶν τῷ Κυρίῳ· εὐχαριστοῦντες » πάντοτε ὑπὲρ πάντων, ἐν ὀνόματι τοῦ » Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τῷ Θεῷ » καὶ Πατρί. » (2). Ἀμήν.

# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΑΣ

# ΠΡΑΞΕΙΣ ΤΩΝ ΑΠΟΣΤΟΛΩΝ

## ΤΑΣ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΑΣ ΤΗι ΚΥΡΙΑΚΗι ΤΟΥ ΑΝΤΙΠΑΣΧΑ.

ΚΑΘΩΣ τὰ φυσικὰ πράγματα, οὕτω καὶ τὰ ἠθικὰ ἔργα, ὅταν εἰς τὰς πρώτας αὐτῶν ἀρχὰς συναντήσωσι μεγάλα ἐμπόδια, οὐ μόνον οὐδόλως εὐδοκιμοῦσιν, ἀλλὰ καὶ αὐτὰ τὰ τούτων ἴχνη ἐξουδενοῦνται. Ἐὰν ἐπλήθυνεν ἡ εἰδωλολατρεία, καὶ ἐπλήρωσε πᾶσαν τὴν οἰκουμένην, ὁ τοσοῦτος πληθυσμὸς καὶ ἡ τοιαύτη ἔκτασις ἠκολούθησεν, ἐπειδὴ εἰς τὰς πρώτας ἀρχὰς αὐτῆς οὐδεὶς οὐδὲ ἐπολέμησεν, οὐδὲ ἠναντιώθη, οὐδὲ κᾂν ἐφάνη ὅλως ἐχθρὸς αὐτῆς. Ἐὰν ἄλλη αἵρεσις καὶ προφανεστάτη πλάνη ἐμεγαλύνθη καὶ μετεδόθη εἰς πολλὰ γένη καὶ λαούς, τοῦτο ἐγένετο, ἐπειδὴ ἐκεῖ, ὅπου αὐτὴ πρῶτον ἐγεννήθη, οὐδεὶς ἀνέλαβεν ὅπλα, ἵνα καταστρέψῃ αὐτήν, οὐδεὶς εὑρέθη ἐναντίος αὐτῇ ἢ πολέμιος. Ὅταν οὖν βλέπωμεν, ὅτι εἰς αὐτὰς τὰς πρώτας ἀρχὰς ἔργου τινὸς πολλοὶ ἐπανίστανται κατ' αὐτοῦ ἐχθροὶ ἰσχυροί, ἐξουσιαστικοί, δυναστικοί, ἔχοντες πᾶσαν ἐξουσίαν καταργῆσαι αὐτό, καὶ παντοιοτρόπως ἀγωνιζόμενοι πρὸς τὸν τούτου ἀφανισμόν· οἱ δὲ ἐργάται τοῦ ἔργου ἐκείνου εἰσὶν ὀλίγοι, πτωχοί, ἀδύνατοι, ἰδιῶται καὶ εὐτελεῖς· τὸ δὲ ἔργον αὐτῶν οὐδὲ ἀφανίζεται, οὐδὲ ἐμποδίζεται, ἀλλ' αὐξάνει καὶ πολυπλασιάζεται καὶ ἐκτείνεται, τί ἄλλο ἐξ ἀνάγκης συμπεραίνομεν, εἰμὴ ὅτι οὐδὲ φυσικὴ οὐδὲ προαιρετική, ἀλλὰ θεία δύναμις προάγει τὸ ἔργον ἐκεῖνο καὶ διευθύνει καὶ κατευοδοῖ; τοῦτο οὖν ἐστι τὸ καύχημα καὶ ἡ δόξα, τῆς χριστιανικῆς πίστεως· τοῦτο ἐκ περιουσίας ἀποδεικνύει, ὅτι ἡ εἰς Χριστὸν πίστις ἐστὶ θεοδίδακτος, θεοπαράδοτος καὶ θεοπολυπλασίαστος. Πολεμοῦσι τὸ ἔργον τοῦ χρι-

(1) Ῥωμ. 13, 13, 14. (2) Ἐφεσ. 5, 18, 20.

στιανικοῦ κηρύγματος εἰς αὐτὰς τὰς πρώτας ἀρχὰς αὐτοῦ Ἀρχιερεῖς, ἄρχοντες, ἡγεμόνες, Συνέδρια ὁλόκληρα, καὶ πάσῃ δυνάμει ἀγωνίζονται, ἵνα οὐ μόνον ἐμποδίσωσιν αὐτό, ἀλλὰ καὶ ἐξ ὁλοκλήρου ἀφανίσωσιν· οἱ δὲ ἐργάται τοῦ ἔργου, ἤγουν οἱ κήρυκες τῆς πίστεώς εἰσι δώδεκα ἁλιεῖς· ἄνθρωποι ἰδιῶται, ἀγράμματοι, ἄοπλοι, πτωχοί· τὸ δὲ ἔργον τοῦ εὐαγγελικοῦ κηρύγματος διωκόμενον εὐοδοῦται, καὶ πολεμούμενον αὐξάνει, καὶ εἰς ὀλίγον καιροῦ διάστημα πολυπλασιάζεται καὶ ἁπλοῦται εἰς γένη καὶ φυλὰς καὶ λαοὺς καὶ ἔθνη· ὑπερπηδᾷ ἡ πίστις πάντα τὰ ἐμπόδια, νικᾷ τοὺς κατ' αὐτῆς πολέμους, καὶ κηρύττεται εἰς πᾶσαν τὴν οἰκουμένην (1). Τί ἐςι τοῦτο; Καὶ τί ἄλλο εἰμὴ δύναμις Ὑψίστου; « Δε» ξιὰ Κυρίου ἐποίησε δύναμιν » (2), δεξιὰ Κυρίου ὕψωσε τὴν ἀλήθειαν τῆς πίστεως, δεξιὰ Κυρίου ἐκήρυξεν αὐτὴν ἐν ὅλῳ τῷ κόσμῳ. Λαμβάνει περὶ τούτου πληροφορίαν ὅστις προσηλώσει τὸν νοῦν αὐτοῦ πρὸς κατανόησιν τῆς σήμερον ἀναγνωσθείσης πράξεως τῶν Ἀποστόλων.

*Ἐν ταῖς ἡμέραις ἐκείναις διὰ τῶν χειρῶν τῶν Ἀποστόλων ἐγένετο σημεῖα καὶ τέρατα ἐν τῷ λαῷ πολλά· (καὶ ἦσαν ὁμοθυμαδὸν ἅπαντες ἐν τῇ στοᾷ Σολομῶντος* (3).

Ἄλλα ἆρά γέ εἰσι τὰ σημεῖα καὶ ἄλλα τὰ τέρατα; Θαύματά εἰσι καὶ τὰ σημεῖα, θαύματα δὲ καὶ τὰ τέρατα· ὅθεν πολλάκις ἀδιαφόρως ἐκλαμβάνονται ὑπὸ τῆς θείας Γραφῆς· φαίνεται ὅμως, ὅτι κυρίως καὶ καθ' αὑτὸ τὰ μὲν τέρατά εἰσι θαύματα, τρόμον προξενοῦντα καὶ φρίκην, διότι ἡ λέξις τέρας, τρόμον σημαίνει· τὰ δὲ σημεῖα, θάμβος καὶ εὐεργεσίαν. Ὁ προφήτης Ἰωὴλ εἰπών· « Καὶ δώσω τέρατα ἐν τῷ » οὐρανῷ ἄνω, καὶ σημεῖα ἐπὶ τῆς γῆς » κάτω » (4). χαρακτηρίζει ἔπειτα τὰ μὲν σημεῖα, λέγων· « Αἷμα καὶ πῦρ καὶ ἀτμί» δα καπνοῦ. » Αὐτὰ δέ εἰσι σημεῖα θάμβους καὶ εὐεργεσίας, καθότι προεσήμαινον τὴν σάρκα καὶ τὴν θεότητα τοῦ Θεανθρώπου, καὶ τὸ Πνεῦμα τὸ ἅγιον τὸ ἐπελθὸν ἐν τῇ Παρθένῳ. Περὶ δὲ τῶν τεράτων λέγει· « Ὁ ἥλιος μεταστραφήσεται εἰς σκό» τος, καὶ ἡ σελήνη εἰς αἷμα, πρὶν ἢ ἐλ» θεῖν τὴν ἡμέραν Κυρίου τὴν μεγάλην » καὶ ἐπιφανῆ » (5). Οὐδεὶς δὲ ἀμφιβάλλει, ὅτι ταῦτά εἰσι φόβητρα καὶ τρόμοι μεγάλοι. Καὶ αὐτὸς δὲ ὁ Κύριος ἡμῶν περὶ σημείων λαλήσας, ἔδωκεν ἀφορμὴν ἵνα καταλάβωμεν ὅτι τὰ σημεῖα θαμβητικὰ καὶ εὐεργετικά εἰσι. « Σημεῖα δὲ, εἶπε, » τοῖς πιστεύσασι ταῦτα παρακολουθήσει· » ἐν τῷ ὀνόματί μου δαιμόνια ἐκβαλοῦσι· » γλώσσαις λαλήσουσι καιναῖς· ὄφεις ἀ» ροῦσι· κἂν θανάσιμόν τι πίωσιν, οὐ μὴ » αὐτοὺς βλάψῃ· ἐπὶ ἀῤῥώστους χεῖρας » ἐπιθήσουσι, καὶ καλῶς ἕξουσιν » (6). Οἱ θεοφόροι Ἀπόστολοι καὶ τέρατα ἐποίησαν καὶ σημεῖα· τέρατα μὲν ἦσαν ὁ αἰφνίδιος καὶ βίαιος θάνατος τοῦ Ἀνανίου καὶ τῆς Σαπφείρας (7), ὅςτις φόβον μέγαν προεξένησεν οὐ μόνον εἰς τοὺς ἰδόντας ἀλλὰ καὶ εἰς τοὺς ἀκούσαντας· μετὰ δὲ τοῦτο καὶ ἡ τύφλωσις τοῦ Ἐλύμα τοῦ μάγου (8)· σημεῖα δὲ αἱ ἰατρεῖαι τῶν ἀσθενῶν, ὁ διωγμὸς τῶν ἀκαθάρτων πνευμάτων, αἱ ἀναστάσεις τῶν νεκρῶν, καὶ τὰ λοιπὰ εὐερ-

(1) Ῥωμ. 1, 8. (2) Ψαλμ. 117, 16. (3) Πράξ. 5, 12. (4) Ἰωὴλ 2, 30. (5) Αὐτ. 31.
(6) Μαρκ. 16, 17, 18. (7) Πράξ. 5, 5. (8) Πράξ. 13, 11.



γετικὰ θαύματα, ὅσα διηγεῖται ὁ Θεῖος ἱστορικός. Τί δέ ἐστιν ἡ στοὰ τοῦ Σολομῶντος; καὶ διατί ἅπαντες οἱ Ἀπόστολοι ἐν αὐτῇ ὁμοθυμαδόν, ἤγουν ὁμοῦ καὶ ἐπὶ ἑνὶ καὶ τῷ αὐτῷ σκοπῷ συναθροιζόμενοι ἐποίουν τὰ θαύματα; Ἡ στοὰ τοῦ Σολομῶντος παραστὰς ἦν, καὶ ὡς νάρθηξ, ὡς φαίνεται ἐξ ὧν διαλαμβάνει τὸ δέκατον κεφάλαιον τῶν Πράξεων τῶν Ἀποστόλων· ἔκειτο δὲ ἔξω τοῦ Ἱεροῦ τοῦ Σολομῶντος εἰς τὸ μέρος τῆς καλουμένης Ὡραίας Πύλης τοῦ ναοῦ. Ἐλέγετο δὲ Στοὰ τοῦ Σολομῶντος, ἐπειδὴ αὐτὴ μόνη ἐσώθη ἀπὸ τῆς οἰκοδομῆς τοῦ Ναοῦ τοῦ Σολομῶντος, ὃν ὁ Ναβουχοδονόσορ ἐξηφάνισεν, ὁ δὲ Κῦρος ὁ Πέρσης ἀνήγειρεν (1). Ἐπειδὴ δὲ εὐρύχωρος ἦν ἡ στοὰ ἐκείνη, καὶ ἐχώρει πλῆθος πολὺ λαοῦ (2), διὰ τοῦτο πάντες ὁμοῦ οἱ Ἀπόστολοι ἐκεῖ συνήρχοντο, ἵνα διδάσκωσι πάντα τὰ ἐκεῖ συναθροιζόμενα πλήθη.

*Τῶν δὲ λοιπῶν οὐδεὶς ἐτόλμα κολλᾶσθαι αὐτοῖς, ἀλλ' ἐμεγάλυνεν αὐτοὺς ὁ λαός. Μᾶλλον δὲ προσετίθεντο πιστεύοντες τῷ Κυρίῳ πλήθη ἀνδρῶν τε καὶ γυναικῶν)* (3).

Φόβος καὶ τρόμος ἐπέπεσεν ἐπὶ τὴν καρδίαν ἐκείνου τοῦ λαοῦ, ὅταν ἤκουσαν μὲν τὸν Ἀπόστολον Πέτρον ἐλέγχοντα τὸν Ἀνανίαν καὶ τὴν Σαπφείραν διὰ τὴν ἱεροσυσυλίαν (4)· εἶδον δέ, ὅτι ἐκεῖνοι εὐθὺς μετὰ τὸν ἔλεγχον ἔπεσον καὶ οἱ δύο νεκροὶ παρὰ τοὺς πόδας τοῦ Πέτρου. Ὅθεν οὐδεὶς τῶν λοιπῶν, ἤγουν τῶν μὴ πιστευσάντων « Ἐ» τόλμα, λέγει, κολλᾶσθαι αὐτοῖς », τουτέστιν, οὐδεὶς ἐτόλμα πλησιάσαι, ἵνα ἐνοχλήσῃ τοὺς Ἀποστόλους· ἀλλὰ πᾶς ὁ λαὸς ἐμεγάλυνεν αὐτούς, εἴτουν εἶχε μεγάλην καὶ ἔνδοξον ὑπόληψιν περὶ αὐτῶν, καὶ διὰ πολλῶν ἐπαίνων ἔστεφεν αὐτούς. Οὐ μόνον δὲ ἐμεγάλυνεν αὐτοὺς ὁ λαός, ἀλλὰ καὶ πλήθη ἀνδρῶν τε καὶ γυναικῶν ἐπίστευον εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν. καὶ ἐγίνοντο προσθήκη τοῦ ἀριθμοῦ τῶν εἰς αὐτὸν πιστευσάντων. Σημείωσαι δέ, ὅτι τὰ λόγια τὰ ἀπὸ τῶν, « Καὶ ἦσαν ἅπαντες », ἕως τῶν λόγων τούτων, « Ἀνδρῶν τε καὶ γυ» ναικῶν » (5) εἰσὶ παρεκβατικά, και ὡς διὰ μέσου, τὰ δὲ ἑξῆς εἰσιν ἀκόλουθα τῶν λόγων· « Ἐγένετο σημεῖα καὶ τέρατα ἐν » τῷ λαῷ πολλά ».

*Ὥστε κατὰ τὰς πλατείας ἐκφέρειν τοὺς ἀσθενεῖς, καὶ τιθέναι ἐπὶ κλινῶν καὶ κραββάτων, ἵνα, ἐρχομένου Πέτρου, κἂν ἡ σκιὰ ἐπισκιάσῃ τινὶ αὐτῶν. Συνήρχετο δὲ καὶ τὸ πλῆθος τῶν πέριξ πόλεων εἰς Ἱερουσαλήμ, φέροντες ἀσθενεῖς καὶ ὀχλουμένους ὑπὸ πνευμάτων ἀκαθάρτων, οἵτινες ἐθεραπεύοντο ἅπαντες* (6).

Τόσα σημεῖα καὶ τέρατα ἐγίνοντο διὰ τῶν χειρῶν τῶν Ἀποστόλων, ὥστε ὁ λαὸς ὁ ταῦτα βλέπων, βάλλοντες τοὺς ἀσθενεῖς αὐτῶν ἐπὶ κλινῶν καὶ κραββάτων, ἔφερον αὐτοὺς καὶ ἐτίθουν εἰς τοὺς εὐρυχώρους δρόμους, ἵνα, ὅταν ἐκεῖθεν διέλθῃ ὁ Πέτρος, κἂν ἡ σκιὰ αὐτοῦ πέσῃ ἐπάνω τινὸς τῶν ἀσθενούντων. Ἐκ τούτου φανερόν ἐστιν, ὅτι καὶ ἡ σκιὰ τοῦ Πέτρου ἰάτρευε τοὺς ἀσθενεῖς· διότι, ἐὰν αὐτοὶ οὐκ ἐθεραπεύοντο, οἱ ἐκφέροντες αὐτοὺς εἰς τὰς πλατείας ἐπὶ κλι-

(1) Ὁρ. β. 15, 14, καὶ β. 20, κ. 8. (2) Ἀρχ. Ἰωσ. (3) Πράξ. 5, 13, 14. (4) Αὐτ. 5, 1, 11.
(5) Πράξ. 5, 14. (6) Αὐτ. 5, 15, 16.

νῶν καὶ κραββάτων, οὐκ ἔστεργον κοπιάζειν ματαίως. Ἰδοὺ οὖν ἐκπεπληρωμένος ὁ λόγος τοῦ Θεανθρώπου, ὅστις εἶπεν· « Ὁ » πιστεύων εἰς ἐμέ, τὰ ἔργα ἃ ἐγὼ ποιῶ, » κἀκεῖνος ποιήσει, καὶ μείζονα τούτων » ποιήσει » (1). Οὐχ᾽ ἡ σκιά, ἀλλὰ τὸ κράσπεδον τοῦ ἱματίου τοῦ Ἰησοῦ Χριστοῦ τὴν αἱμοῤῥοοῦσαν γυναῖκα καὶ τοὺς ἀσθενεῖς τοὺς εἰς τὴν περίχωρον τῆς Γεννησαρὲτ κατοικοῦντας ἰάτρευσε (2)· τοῦ δὲ Πέτρου οὐχὶ τὸ ἱμάτιον, ἀλλ᾽ ἡ μόνη σκιὰ ἐθεράπευσε τοὺς ἐπὶ κλινῶν καὶ κραββάτων κατακειμένους (3). Ἐὰν οὖν ἡ μόνη σκιὰ τοῦ Πέτρου εἶχε παρὰ Θεοῦ ἰαματικὴν χάριν, πολλῷ μᾶλλον τὰ ὀστᾶ αὐτοῦ καὶ τὰ λείψανα τῶν ἄλλων ἁγίων. Παραλόγως οὖν τινες εὐσέβειαν ἐπαγγελλόμενοι, κατηγοροῦσι τοὺς ὀρθοδόξους τοὺς σεβομένους τὰ τῶν ἁγίων λείψανα, καὶ πιστεύοντας ὅτι καὶ τὰς ἀῤῥωστίας τῶν ἀσθενῶν καὶ ἄλλα θαυμάσια ἐπιτελέσαι δύνανται τῇ τοῦ Χριστοῦ δυνάμει. Βλέπε δέ, ὅτι τοσοῦτον περιβόητα ἐγένοντο τότε τῶν Ἀποστόλων τὰ θαύματα, ὥστε καὶ τὸ πλῆθος τῶν πλησίον τῆς Ἱερουσαλὴμ πόλεων ἔδραμον ἐκεῖ φέροντες τοὺς ἀσθενεῖς καὶ τοὺς ὑπὸ τῶν δαιμόνων ἐνοχλουμένους· καὶ ὅτι πάντες οἱ πρὸς τοὺς Ἀποςόλους προσερχόμενοι ἐλάμβανον τῆς ἀσθενείας αὐτῶν τὴν ἰατρείαν· « Οἵτινες, λέγει, ἐθεραπεύοντο ἅπαντες ». Ἰδοὺ δὲ πῶς ὁ πανεύφημος Λουκᾶς ἱστόρησε τὴν ἐκπλήρωσιν καὶ τούτου τοῦ λόγου τοῦ Κυρίου Ἰησοῦ. « Ἐν τῷ ὀνόματί μου δαι» μόνια ἐκβαλοῦσιν· Ἐπὶ ἀῤῥώστους χεῖ» ρας ἐπιθήσουσι. καὶ καλῶς ἕξουσιν » (4). Ἄκουσον δὲ καὶ τὰ συμβάντα μετὰ τὰ τοσαῦτα τῶν Ἀποστόλων θαύματα.

*Ἀναστὰς δὲ ὁ Ἀρχιερεὺς καὶ ἅπαντες οἱ σὺν αὐτῷ, ἡ οὖσα αἵρεσις τῶν Σαδδουκαίων, ἐπλήσθησαν ζήλου. Καὶ ἐπέβαλον τὰς χεῖρας αὐτῶν ἐπὶ τοὺς Ἀποστόλους, καὶ ἔθεντο αὐτοὺς ἐν τηρήσει δημοσίᾳ* (5).

Αἱρετικοὶ ἦσαν οἱ Σαδδουκαῖοι, καθότι ἐπίστευον, ὅτι οὐδὲ ἀνάστασις νεκρῶν ἐςιν, οὐδὲ Πνεῦμα, οὐδὲ ἄγγελος (6). Τοσοῦτον δὲ ἐπλήθυνεν ὁ ἀριθμὸς αὐτῶν, ὥστε τὸ ἓν μέρος τοῦ Συνεδρίου τῶν Ἰουδαίων ἦσαν Σαδδουκαῖοι, τὸ δὲ ἕτερον Φαρισαῖοι (7). Ἐπειδὴ οὖν ὁ τότε Ἀρχιερεύς, ἴσως ὁ Καϊάφας, καὶ πάντες οἱ μετ᾽ αὐτοῦ ὄντες, οἵτινες ἦσαν ἐκ τῆς αἱρέσεως τῶν Σαδδουκαίων, ἤκουσαν ὅτι οἱ Ἀπόστολοι κηρύττουσιν, ὅτι ὁ Ἰησοῦς Χριςὸς ἀνέστη ἐκ νεκρῶν, καὶ ἔβλεπον ὅτι ἐπιβεβαιοῦσι τὸ κήρυγμα αὐτῶν διὰ τοῦ πλήθους τῶν θαυμάτων· ἑπομένως δὲ ἡ μὲν αἵρεσις αὐτῶν ἡ τὴν ἀνάςασιν τῶν νεκρῶν ἀθετοῦσα ἐξελέγχεται ὡς ψευδής, ἡ δὲ εἰς Χριστὸν πίστις βεβαιοῦται καὶ ἐπιστηρίζεται, ἐξαναστάντες ἐπλήσθησαν ζήλου, ἤγουν τοσοῦτον ἐξεκαύθησαν ὑπὲρ τῆς θρησκείας αὐτῶν, ὥστε τολμήσαντες ἥπλωσαν τὰς ἀνόμους αὐτῶν χεῖρας, καὶ πιάσαντες τοὺς Ἀποστόλους « Ἔθεντο αὐτοὺς ἐν τηρήσει δημοσίᾳ, » τουτέστι κατέκλεισαν αὐτοὺς εἰς τὴν κοινὴν φυλακήν· καὶ ταῦτα μὲν ἔπραξαν αὐτοὶ οἱ θεομάχοι, θέλοντες ἐμποδίσαι τοῦ Εὐαγγελικοῦ κηρύγματος τὴν ἀλήθειαν, καὶ ἐξαλεῖψαι τὴν εἰς Χριστὸν πίστιν.

*Ἄγγελος δὲ Κυρίου, διὰ τῆς νυκτὸς ἤνοιξε τὰς θύρας τῆς φυλακῆς· ἐξαγα-*

(1) Ἰωάν. 14, 12. (2) Ματθ. 9, 20 καὶ 14, 36. (3) Πράξ. 5, 15. (4) Μαρκ. 16, 17, 18. (5) Πράξ. 5, 17, 18.
(6) Ματθ. 22, 23. (7) Πράξ. 23, 8, Αὐτ. 6.



*γών τε αὐτοὺς εἶπε· Πορεύεσθε, καὶ σταθέντες λαλεῖτε ἐν τῷ Ἱερῷ τῷ λαῷ πάντα τὰ ῥήματα τῆς ζωῆς ταύτης* (1).

Ἀκούετε ποία δύναμις ἔλυσε τὰ ἐμπόδια τοῦ Εὐαγγελικοῦ κηρύγματος; οὐχὶ δύναμις ἡγεμόνων οὐδὲ ἀρχόντων, οὐ δύναμις δώρων οὐδὲ μεσιτείας, ἀλλὰ μόνη τοῦ παντοδυνάμου Θεοῦ ἡ δύναμις. Ὁ μὲν Ἀρχιερεὺς τῶν Ἰουδαίων ὁ τυφλὸς καὶ παμπόνηρος, καὶ σὺν αὐτῷ οἱ αἱρετικοὶ καὶ παγκάκιστοι ἄρχοντες τοῦ Ἰουδαϊκοῦ συνεδρίου, κατέκλεισαν τοὺς κήρυκας τῆς πίστεως εἰς τὴν φυλακήν, ἐλπίζοντες, ὅτι τοιουτοτρόπως ἐμποδίζουσι τὸ κήρυγμα καὶ ἐξαφανίζουσι τὴν εἰς Χριστὸν πίστιν· ὁ δὲ παντοδύναμος Θεός, θέλων ὡς πανεύσπλαγχνος τὸν πολυπλασιασμὸν τῆς πίστεως διὰ τὴν τῶν ἀνθρώπων σωτηρίαν, ἀπέστειλε τὸν Ἄγγελον αὐτοῦ ἐξ οὐρανοῦ τὴν νύκτα· ὅστις ἤνοιξε μὲν τὰς θύρας τῆς φυλακῆς, ἐξαγαγὼν δὲ ἔξω τοὺς Ἀποςόλους, παρήγγειλεν αὐτοῖς, λέγων· « Ὑπάγετε εἰς τὸ » Ἱερόν, καὶ σταθέντες ἐνώπιον τοῦ λαοῦ, » διδάξατε πάντα τὰ Ῥήματα τῆς ζωῆς » ταύτης. » Ῥήματα δὲ ζωῆς ὠνόμασεν ὁ Ἄγγελος τὴν διδασκαλίαν τῆς εἰς Χριστὸν πίστεως· καθὼς καὶ ὁ Πέτρος, ὅταν εἶπε· « Κύριε, πρὸς τίνα ἀπελευσόμεθα; » ῥήματα ζωῆς αἰωνίου ἔχεις » (2). « Ῥήματα δὲ ζωῆς εἰσιν ἡ διδαχὴ τῆς πίστεως, ἐπειδὴ ὁ πιστεύων καὶ φυλάττων ὅσα αὐτὰ διδάσκουσι κληρονόμος γίνεται τῆς αἰωνίου ζωῆς καὶ βασιλείας.

# ΟΜΙΛΙΑ

ΜΕΤΑ ΤΑΣ

## ΠΡΑΞΕΙΣ ΤΩΝ ΑΠΟΣΤΟΛΩΝ

### ΤΑΣ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΑΣ ΤΗι ΚΥΡΙΑΚΗι ΤΟΥ ΑΝΤΙΠΑΣΧΑ.

ΑΚΟΥΣΑΤΕ, ἀγαπητοί μου ἀδελφοί, τί ἱστόρησεν ἡ σήμερον ἀναγνωσθεῖσα τῶν Ἀποστόλων πρᾶξις; αὐτὴ εἶπεν ὅτι ὁ ἀρχιερεὺς καὶ οἱ σὺν αὐτῷ ἄρχοντες τοῦ συνεδρίου « Ἐπλήσθησαν ζήλου » (3). Ἀλλὰ τί σημαίνει ὁ ζῆλος; καὶ ποῖον ζῆλον εἶχον οἱ τοιοῦτοι πονηροὶ ἄνθρωποι; Τὸ ὄνομα ζῆλος, τὸ παραγόμενον ἐκ τοῦ ζέω, σημαίνει θερμότητα καὶ ἔξαψιν· καὶ ὅτε μὲν θερμαίνεται ἡ καρδία ἡμῶν ὑπὸ τῆς πρὸς Θεὸν ἀγάπης, τότε μετὰ μεγάλης προθυμίας ὑπερασπιζόμεθα τὴν ἀλήθειαν, τὴν δικαιοσύνην, τοῦ Θεοῦ τοὺς νόμους καὶ αὐτὸν τὸν Θεόν. « Ζηλῶν ἐζήλωκα Κυρίῳ παντοκρά» τορι » (4), ἔλεγεν ὁ Θεσβίτης Ἠλίας. Ὅτε δὲ τὰ φθοροποιὰ πάθη ἐξάπτουσι τὴν καρδίαν ἡμῶν, τότε μετὰ πεπυρωμένης ζέσεως προστατεύομεν τὸ ψεῦδος, τὴν ἀδι-

(1) Πράξ 5, 19, 20. (2) Ἰωάν. 6, 68. (3) Πράξ. 5, 17. (4) Γ᾽. Βασ. 19, 10.

κίαν, τοῦ διαβόλου τὰ ἔργα καὶ αὐτόν τὸν Σατανᾶν. Περὶ τούτου δὲ τοῦ ζήλου ἐλάλει ὁ ἀδελφόθεος Ἰάκωβος, ὅταν ἔλεγεν· «Ὅ» που γὰρ ζῆλος καὶ ἐρίθεια ἐκεῖ ἀκατα» στασία καὶ πᾶν φαῦλον πρᾶγμα » (1). Καθὼς δὲ, ὅταν ἀνάψῃς ξύλα εὐώδη, ἡ ἐξ αὐτῶν ἀναθυμίασις εὐωδιάζει· ὅταν δὲ δυσώδη, δυσώδης ἐστὶ καὶ ὁ ἐξ αὐτῶν καπνός· οὕτως ὅταν ἡ καρδία σου φλέγηται ὑπὸ τῆς θείας ἀγαπήσεως, τότε ἐνάρετά εἰσι τὰ κατορθώματά σου· ὅταν δὲ ὑπὸ τῆς φλογὸς τῶν παθῶν σου, τότε ἁμαρτία εἰσὶ τὰ ἔργα σου. Δύω οὖν εἰσι τὰ γενικὰ τοῦ ζήλου εἴδη· ζῆλος θεϊκός, καὶ ζῆλος δαιμονικός. Ὁ πρῶτος κατοικεῖ εἰς τὴν καρδίαν τῶν ἐναρέτων ἀνδρῶν, ὁ δεύτερος εἰς τὴν ψυχὴν τῶν πεπονηρευμένων ἀνθρώπων.

Πονηρὸς ἦν καὶ διεστραμμένος ὁ τότε ἀρχιερεὺς τῶν Ἰουδαίων, αἱρετικοὶ καὶ πονηροὶ καὶ παγκάκιστοι ἦσαν οἱ πλείονες τῶν ἀρχόντων τοῦ τότε Ἰουδαϊκοῦ συνεδρίου. Δαιμονικὸς οὖν ζῆλος ἐπλήρωσε τὴν καρδίαν αὐτῶν. « Ἐπλήσθησαν, λέγει, » ζήλου. » Ποῖα δὲ τὰ ἔργα τοῦ τοιούτου αὐτῶν ζήλου; Ἥπλωσαν οἱ ἄνομοι τὰς ἀδίκους αὐτῶν χεῖρας, καὶ κατέκλεισαν εἰς τὴν φυλακὴν τοὺς κήρυκας τῆς ἀληθείας, τοὺς φωστῆρας τῆς οἰκουμένης, τὰ δοχεῖα τοῦ παναγίου Πνεύματος, τὰς σάλπιγγας τῆς σωτηρίας, τοὺς εὐεργέτας τῆς ἀνθρωπότητος, τοὺς ὑπὸ Θεοῦ ἐκλελεγμένους ἐκ τοῦ κόσμου ὡς ὑπερτέρους καὶ κατὰ τὴν πίστιν καὶ κατὰ τὴν ἁγιωσύνην πάντων τῶν ἐπὶ γῆς ἀνθρώπων. Καὶ ὁ μὲν παντοδύναμος Θεὸς δι' ἀγγέλου ἐξήγαγεν αὐτοὺς ἐκ τῆς φυλακῆς· αὐτοὶ δὲ ὑπὸ τοῦ δαιμονικοῦ ζήλου ἐνεργούμενοι, ἔσειραν αὐτοὺς εἰς τὰ ἄνομα αὐτῶν κριτήρια· καὶ οὐ μόνον αὐστηρῶς αὐτοὺς ἐκεῖ ἤλεγξαν, ἀλλὰ καὶ ἀσπλάγχνως ἔδειραν, καὶ φοβερίσαντες αὐτοὺς παρήγγειλαν αὐτοῖς, ἵνα εἰς τὸ ἑξῆς μηδόλως κηρύττωσι τοῦ Ἰησοῦ Χριστοῦ τὸ πανσέβαστον ὄνομα· διὸ ὅσον τὸ ἐπ' αὐτοῖς ἐστέρησαν τῆς σωτηρίας ἅπαν τὸ γένος τῶν ἀνθρώπων.

Εἰς τὴν ἱστορίαν τῆς πολιτείας τοῦ πανενδόξου προφήτου Ἡλιοὺ βλέπεις ἐμφανῶς καὶ τοῦ θεϊκοῦ ζήλου τὰ ἅγια κατορθώματα, καὶ τοῦ δαιμονικοῦ ζήλου τὰ παγκάκιστα ἁμαρτήματα. Βλέπεις ἐκεῖ πῶς παλαίουσιν οἱ δύο ζῆλοι, ὁ δαιμονικὸς κατὰ τοῦ θείου, καὶ ὁ θεϊκὸς κατὰ τοῦ δαιμονικοῦ. Τῆς προγονικῆς προκαταλήψεως τὸ πάθος ἄναψεν εἰς τὴν καρδίαν τῆς Ἰεζάβελ τὸν ὑπὲρ τῆς εἰδωλολατρείας δαιμονικὸν ζῆλον· τὰ ἅγια τῆς ἀρετῆς κατορθώματα ἐξήγειραν τὸν ὑπὲρ τῆς εὐσεβείας ἔνθεον ζῆλον εἰς τὴν ψυχὴν Ἡλιοὺ τοῦ προφήτου. Ἡ Ἰεζάβελ φθείρει τὸν Ἀχαάβ, τὸν ἄνδρα αὐτῆς καὶ βασιλέα, ἀνασπᾷ ῥιζόθεν ἀπὸ τῆς καρδίας αὐτοῦ τὸ πρὸς τὸν ἀληθινὸν Θεὸν σέβας, ἀντ' αὐτοῦ δὲ φυτεύσασα τῆς εἰδωλομανίας τὴν λύσσαν, ποιεῖ αὐτὸν ὄργανον τῶν πονηρῶν αὐτῆς ἐπιτηδευμάτων. Ὁ Ἡλίας ἐλέγχει μὲν τὸν Ἀχαάβ. « Δια» στρέφεις, λέγει πρὸς αὐτόν, τὸν Ἰσραὴλ » σὺ καὶ ὁ οἶκος τοῦ πατρός σου, καθότι » ἐγκατέλιπες Κύριον τὸν Θεόν, καὶ ἐπο» ρεύθης ὀπίσω τῶν Βααλὶμ » (2). Φοβερίζει δὲ προφητικῶς τὴν Ἰεζάβελ· « Κατα» φάγονται, λέγει, οἱ κύνες τὰς σάρκας » Ἰεζάβελ. Καὶ ἔσται τὸ θνησιμαῖον ἐν » Ἰεζάβελ ὡς κοπρία ἐπὶ προσώπου τοῦ » ἀγροῦ ἐν μερίδι Ἰεσράελ, ὥστε μὴ εἰπεῖν

(1) Ἰάκ. 3, 16. (2) Γ'. Βασιλ. 18. 18.



» αὐτοὺς Ἰεζάβελ » (1). Ὁ δαιμονικὸς ζῆλος τῆς Ἰεζάβελ ἀναστηλοῖ τοῦ Βάαλ τὸ ἄγαλμα καὶ ἐν τῷ ἄλσει τῶν εἰδώλων τὰ προσκυνήματα· χειροτονεῖ τετρακοσίους πεντήκοντα προφήτας τοῦ Βάαλ καὶ τετρακοσίους προφήτας τοῦ ἄλσους, καὶ δι' αὐτοὺς καθ' ἡμέραν ἁβροδίαιτον ἑτοιμάζει τράπεζαν (2)· καταδιώκει καὶ φονεύει τοὺς προφήτας τοῦ ἀληθινοῦ Θεοῦ, καὶ τοσοῦτον δυναστεύει καὶ πλανᾷ τοὺς εὐσεβεῖς, ὥστε σχεδὸν ἐσβέσθη παντελῶς τοῦ Θεοῦ ἡ λατρεία, καὶ σχεδὸν ἐξέλιπεν ἡ εὐσέβεια· ἐκ τῶν πολλῶν μυριάδων ἐκείνων τοῦ λαοῦ ἑπτὰ μόνον χιλιάδες ἔμειναν, αἵτινες οὐκ ἔκαμψαν γόνυ οὐδὲ προσεκύνησαν τῷ Βάαλ (3). Ἀλλ' ἀντιπολεμεῖ ταῦτα τοῦ Ἡλιοὺ ὁ ἔνθεος ζῆλος· ἰδοὺ ὁ Ἡλίας πορεύεται ἀφόβως πρὸς τὸν Ἀχαάβ, ἵνα ἀναγγείλῃ αὐτῷ τὴν διὰ τὴν ἀσέβειαν τοῦ λαοῦ θεϊκὴν τιμωρίαν. Ἡλία, ἄνθρωπε τοῦ Θεοῦ, πρὸς τὸν Ἀχαὰβ ὑπάγεις; « Ἀλλ' αὐτὸς ἐποίησεν ἄλ» σος· καὶ προσέθηκε τοῦ ποιῆσαι παροργί» σματα τοῦ παροργίσαι τὸν Κύριον Θεὸν » τοῦ Ἰσραήλ, καὶ τὴν ψυχὴν αὐτοῦ τοῦ » ἐξολοθρευθῆναι, ἐκακοποίησεν ὑπὲρ πάν» τας τοὺς βασιλεῖς Ἰσραὴλ τοὺς γενομέ» νους ἔμπροσθεν αὐτοῦ » (4). Σὺ δὲ ὑπάγεις πρὸς αὐτόν, ἵνα λαλήσῃς αὐτῷ ἐν ὀνόματι Κυρίου Θεοῦ Ἰσραήλ; πῶς οὐ φοβεῖσαι; πῶς δὲ οὐ τρέμεις τὸν θυμὸν τῆς Ἰεζάβελ, ἥτις ζητεῖ τὴν ψυχήν σου; Ὁ θεῖος ζῆλός ἐςιν υἱὸς τῆς τελείας ἀγάπης, ἡ δὲ « τελεία ἀγάπη » ἔξω βάλλει τὸν φόβον » (5). Οὐδόλως δειλιᾷ οὐδὲ μικροψυχεῖ ὁ ζηλωτὴς Ἡλίας, ἀλλ' ἔρχεται θαρσαλέος καὶ σταθεὶς μεγαλοψύχως ἔμπροσθεν τοῦ Ἀχαάβ, ἄκουσον, λέγει, ὦ βασιλεῦ· ἀναγγέλλω σοι ἐγὼ ἐνώπιον Κυρίου τοῦ Θεοῦ τῶν δυνάμεων, τοῦ Θεοῦ Ἰσραὴλ τοῦ ζῶντος, ᾧ ἐγὼ λατρεύω, ὅτι τρία ἔτη κατὰ σειρὰν οὐδὲ βροχὴ οὐδὲ κἂν δρόσος στάξει ἐπὶ τῆς γῆς ταύτης, ἐὰν μὴ τὸ στόμα μου παρακαλέσῃ περὶ τούτου τὸν ἀληθινὸν Θεόν· « Ζῇ Κύριος ὁ Θεὸς » τῶν δυνάμεων, ὁ Θεὸς Ἰσραήλ, ᾧ παρέ» στην ἐνώπιον αὐτοῦ, εἰ ἔσται τὰ ἔτη » ταῦτα δρόσος καὶ ὑετός, ὅτι εἰ μὴ διὰ » στόματος λόγου μου » (6). Ταῦτα δὲ εἰπὼν ὁ ἅγιος προφήτης ἀνεχώρησεν ἐκεῖθεν· καὶ πρῶτον μὲν ἦλθεν εἰς τὸν χείμαῤῥον Χωρὰθ (7), ὅτε δὲ ἐξηράνθη ὁ χείμαῤῥος, πορευθεὶς εἰς Σάρεπτα τῆς Σιδωνίας, περιέμενεν ἐκεῖ καὶ τὴν τῶν τριῶν ἐτῶν συμπλήρωσιν καὶ τοῦ τιμωρουμένου λαοῦ τὴν διόρθωσιν.

Ὅταν δὲ ἐπληρώθησαν τὰ τρία ἔτη, ὁ δὲ Ἀχαὰβ καὶ ὁ λαός, κἂν ἐτιμωρήθησαν ὑπὸ τῆς ἀνομβρίας, οὐκ ἐπέστρεψαν ὅμως πρὸς τὸν Θεόν, ἀλλ' ἐπέμειναν ἐπὶ τῇ ἀσεβείᾳ λατρεύοντες τῷ Βάαλ· ἐπιστρέφει ὁ Ἡλίας εἰς τὴν Σαμάρειαν, καὶ λέγει πρὸς τὸν Ἀχαάβ, Σύναξον πάντας τοὺς προφήτας τῆς αἰσχύνης, ὅσαυς τρέφει ἡ Ἰεζάβελ. Ὅταν δὲ ἐκεῖνοι συναχθέντες ἦλθον ἐνώπιον αὐτοῦ, τότε αὐτοὺς μὲν ἤλεγξε, πρὸς δὲ τὸν λαὸν εἶπε· Φέρετε ὧδε δύο βόας· καὶ αὐτοὶ μὲν ἐκλεξάτωσαν τὸν ἕνα, καὶ ἑτοιμασάτωσαν τὴν θυσίαν αὐτῶν, πλὴν πῦρ μὴ ἐπιβαλέτωσαν· τὰ αὐτὰ δὲ καὶ ἐγὼ ποιήσω διὰ τοῦ ἑτέρου βοός. Ἐπικαλέσθητε δέ, εἶπε πρὸς τούς ψευδοπροφήτας, ὑμεῖς τοὺς Θεοὺς ὑμῶν, ἐπικαλέσομαι δὲ καὶ ἐγὼ ἐν τῷ ὀνόματι Κυρίου τοῦ Θεοῦ μου· ὁποῖον δὲ εἰσακούσῃ ὁ Θεός, καὶ ἀποστείλῃ οὐρανόθεν πῦρ ἐπάνω τῆς θυσίας αὐτοῦ, ἐκεῖ-

(1) Δ'. Βασιλ. 9, 36, 37. (2) Γ'. Βασιλ. 18, 22. (3) Αὐτ. 18, 19. (4) Αὐτ. 16, 33. (5) Ἰωάν. 4, 18. (6) Γ'. Βασιλ. 17, 1. (7) Αὐτ. 5, 10.

νός ἐστιν ὁ ἀληθινὸς Θεός, Πολλὰ δὲ ἤρεσεν εἰς πάντας ἡ τοιαύτη συνθήκη. Καὶ ἀπεκρίθησαν πᾶς ὁ λαός, καὶ εἶπον· « Καλὸν τὸ ῥῆμα ὃ ἐλάλησας » (1). Οἱ ἱερεῖς οὖν τῆς αἰσχύνης ἑτοιμάσαντες τὴν θυσίαν αὐτῶν, ἐκραύγαζον ἐπικαλούμενοι τὸν Βάαλ ἐκ πρωΐθεν ἕως μεσημβρίας, καὶ ἕως τῆς ὥρας τοῦ δειλινοῦ, καὶ κατακόπτοντες τὰς σάρκας αὐτῶν ἕως ἐκχύσεως αἵματος, πλὴν « Οὐκ ἦν φωνή, καὶ οὐκ ἦν ἀκρόασις » (2). Τότε οὖν εἶπε πρὸς αὐτοὺς ὁ Ἠλίας, δότε τόπον, ἵνα καὶ ἐγὼ ποιήσω τὸ ὁλοκαύτωμά μου· οἰκοδομήσας δὲ θυσιαστήριον ἐν ὀνόματι κυρίου, ἔθηκε τὸν βοῦν ἐπάνω τῶν ξύλων. Ἵνα δὲ λείψῃ πᾶσα ὑποψία, καὶ βεβαιωθῇ ἡ μεγαλουργία τοῦ θαύματος, ἐκέλευσε τοὺς περιεστῶτας, ἵνα τρὶς ἐκχέωσιν ὕδωρ πολὺ ἐπάνω τοῦ ὁλοκαυτώματος καὶ τῶν ξύλων· ἀφοῦ δὲ τὸ ἐκχυθὲν ὕδωρ ἐπλήρωσε κύκλῳ ὅλον τὸ θυσιαστήριον, τότε ἀνεβόησεν Ἠλιοῦ εἰς τὸν οὐρανόν, καὶ ἐδεήθη τοῦ Θεοῦ μετὰ πολλῆς εὐλαβείας, καὶ θερμότητος, ὅπως ἐξαποστείλῃ πῦρ οὐρανόθεν ἐπὶ τὴν θυσίαν αὐτοῦ, ἵνα, γνωρίσας ὁ λαὸς ὅτι αὐτός ἐστιν ὁ ἀληθινὸς Θεός, ἐπιστρέψῃ πρὸς αὐτόν (3). Μόλις δὲ ἐτελείωσε τὴν προσευχὴν αὐτοῦ, καὶ εὐθύς, ὢ τοῦ παραδόξου θαύματος! « Ἔπεσε πῦρ παρὰ Κυρίου ἐκ τοῦ οὐρανοῦ, καὶ κατέφαγε τὰ ὁλοκαυτώματα καὶ τὰς σχίδακας καὶ τὸ ὕδωρ τὸ ἐν τῇ θαλάσσῃ, καὶ τοὺς λίθους καὶ τὸν χοῦν ἐξέλειξε τὸ πῦρ » (4). Τότε οὖν ὅλος ὁ λαὸς ὁ ἰδὼν τοῦτο τὸ ἐξαίσιον θαῦμα, ἔπεσον ἐπὶ πρόσωπον εἰς τὴν γῆν, καὶ μεγάλῃ τῇ φωνῇ ἐβόησαν. « Ἀληθῶς κύριος ὁ Θεός, αὐτὸς ὁ Θεός » (5)· Τότε ἐπέστρεψαν πάντες ἀπὸ τῆς ἀσεβείας εἰς τὴν εὐσέβειαν· τότε εὐθὺς κατέβη καὶ βροχὴ μεγάλη, καὶ ἐπότισε πᾶσαν τὴν γῆν ἐκείνην. Τοιουτοτρόπως δὲ ὁ ζῆλος ὁ ἔνθεος ἐνίκησε καὶ κατήργησε τοῦ ζήλου τοῦ δαιμονικοῦ τὰ ἀποτελέσματα.

Πολλὰ ἀληθῶς καὶ ἀξιοθαύμαστά εἰσι τοῦ ζήλου τὰ κατορθώματα· πλὴν ἐπειδὴ διάφορά εἰσι τοῦ ζήλου τὰ εἴδη, χρείαν ἔχομεν πολλῆς διακρίσεως, ἵνα γνωρίσωμεν ποῖός ἐστιν ὁ ζῆλος ὁ εἰς τὸν Θεὸν εὐπρόσδεκτος, καὶ ποῖος ὁ τῷ Θεῷ ἀποτρόπαιος. Ἐκτὸς τοῦ δαιμονικοῦ ζήλου τοῦ ὑπὸ τῶν ὀλεθρίων παθῶν ἐξαπτομένου καὶ τοῦ θείου ζήλου τοῦ ὑπὸ τῆς ἀγάπης τοῦ Θεοῦ ἐξεγειρομένου, ἐστὶ καὶ ἄλλος ζῆλος, ὁ λεγόμενος ἀδιάκριτος. Οὗτος προξενεῖ ἁμαρτήματα μεγάλα καὶ πολλά, ἐπίσης καθὼς καὶ ὁ δαιμονικὸς ζῆλος. Τοιοῦτον ἀδιάκριτον ζῆλον εἶχον οἱ Ἰουδαῖοι ὡς περὶ αὐτῶν μαρτυρεῖ ὁ Παῦλος· « Μαρτυρῶ γὰρ αὐτοῖς, λέγει, ὅτι ζῆλον Θεοῦ ἔχουσιν, ἀλλ' οὐ κατ' ἐπίγνωσιν » (6). Οὐκ ἠδυνήθησαν αὐτοὶ διακρῖναι ὅτι ὁ νόμος ὁ Μωσαϊκὸς λαλεῖ περὶ τοῦ Ἰησοῦ Χριστοῦ, καὶ ἔστιν ἄριστος παιδαγωγός, ὁδηγῶν πάντας πρὸς τὴν εἰς Χριστὸν πίστιν· ὅθεν ἐξ ἀμαθείας καὶ ἀσθενοῦς διακρίσεως οὐκ ἐπίστευσαν εἰς αὐτόν, ἀλλὰ κατεδίωξαν, καὶ τελευταῖον ἐσταύρωσαν αὐτόν, ἐσυκοφάντησαν δὲ καὶ τὴν ἐκ νεκρῶν αὐτοῦ ἀνάστασιν. Ἐξ ἀγνοίας καὶ τυφλῆς διακρίσεως ἔπεσον εἰς ταῦτα τὰ φρικτὰ ἁμαρτήματα. « Εἰ γὰρ ἔγνωσαν, λέγει ὁ αὐτὸς Ἀπόστολος, οὐκ ἂν τὸν Κύριον τῆς δόξης ἐσταύρωσαν » (7). Ὅταν δὲ οὐκ ἐξ ἐμπαθείας, ἀλλ' ἐκ μόνης ἀγνοίας γεννᾶται ὁ ἀδιάκρι-

(1) Γ'. Βασιλ 18, 24. (2) Αὐτ. 26. (3) Αὐτ. 36. (4) Αὐτ. 38. (5) Αὐτ. 39. (6) Ῥωμ. 10, 2.
(7) Α'. Κορ. 2. 5.



τος ζῆλος, τότε ἔχει τινὰ συγγνώμην· ἐβεβαίωσε τοῦτο αὐτὸς ὁ σωτὴρ τοῦ κόσμου, δικαιολογήσας τοὺς σταυρωτὰς αὐτοῦ, καὶ παρακαλέσας ὑπὲρ αὐτῶν· « Πάτερ, ἄφες αὐτοῖς· οὐ γὰρ οἴδασι τί ποιοῦσι » (1).

Τοιοῦτος ἀδιάκριτος ζῆλος ἐκυρίευσε πρότερον τοῦ Παύλου τὴν καρδίαν, νομίζων αὐτὸς ἀρετὴν τὴν ὑπεράσπισιν τῶν πατρικῶν αὐτοῦ παραδόσεων, ὑπερβαλλόντως ἐδίωκε καὶ παντοιοτρόπως ἔβλαπτε τὴν τοῦ Χριςοῦ ἐκκλησίαν. Ἰδοὺ ἡ ἐξομολόγησις αὐτοῦ· « Ἠκούσατε, λέγει, τὴν ἐμὴν ἀναστροφήν ποτε ἐν τῷ Ἰδαϊσμῷ, ὅτι καθ' ὑπερβολὴν ἐδίωκον τὴν ἐκκλησίαν τοῦ Θεοῦ, καὶ ἐπόρθουν αὐτήν. Καὶ προέκοπτον ἐν τῷ Ἰουδαϊσμῷ ὑπὲρ πολλοὺς συνηλικιώτας ἐν τῷ γένει μου, περισσοτέρως ζηλωτὴς ὑπάρχων τῶν πατρικῶν μου παραδόσεων » (2). Ἀδιάκριτος ζῆλος καταφλέγει τὴν καρδίαν αὐτοῦ, καὶ τὸν νοῦν αὐτοῦ σκοτίζει· ὅθεν ποιεῖ τὰ πάνδεινα κακὰ εἰς τὴν ἐκκλησίαν· γίνεται συμβοηθὸς τῶν λιθαζόντων τὸν πρωτομάρτυρα Στέφανον, ὁρμᾷ ὡς λέων ἄγριος εἰς τὰς τῶν πιστῶν οἰκίας, σύρει ἀσπλάγχνως ἄνδρας τε καὶ γυναῖκας, καὶ κατακλείει αὐτοὺς εἰς τὴν φυλακήν. Ἡ φλὸξ τοῦ ἀδιακρίτου ζήλου πληροῖ τὴν ψυχὴν αὐτοῦ φοβερισμῶν καὶ ἐπιθυμίας φόνων· ὅθεν ἐξουσίαν ἐζήτησε παρὰ τοῦ ἀρχιερέως τῶν Ἰουδαίων, ἵνα ἐλθὼν εἰς τὴν Δαμασκόν, ὅσους ἂν εὕρῃ σεβομένους τὸν Ἰησοῦν Χριστόν, φέρῃ αὐτοὺς δεδεμένους εἰς τὴν Ἱερουσαλήμ· « Ὁ δὲ Σαῦλος ἔτι ἐμπνέων ἀπειλῆς καὶ φόνου εἰς τοὺς μαθητὰς τοῦ Κυρίου, προσελθὼν τῷ ἀρχιερεῖ, ᾐτήσατο παρ' αὐτοῦ ἐπιστολὰς εἰς Δαμασκὸν πρὸς τὰς συναγωγάς, ὅπως, ἐάν τινας εὕρῃ τῆς ὁδοῦ ὄντας ἄνδρας τε καὶ γυναῖκας, δεδεμένους ἀγάγῃ εἰς Ἱερουσαλήμ » (3). Ἠλεήθη ὅμως ὁ πρότερον βλάσφημος καὶ διώκτης καὶ ὑβριστής· « Ἀλλ' ἠλεήθην, λέγει αὐτός, ὅτι ἀγνοῶν ἐποίησα ἐν ἀπιστίᾳ » (4).

Πολλῶν καρδίας πολλάκις κατακυριεύει ὁ τοιοῦτος ἀδιάκριτος ζῆλος· οὗτός ἐστι ζηλωτής, ἀλλὰ καὶ ἀμαθής ἐστι τῶν δογμάτων τῆς πίστεως καὶ τῶν θείων νόμων· ἐπειδὴ δὲ ἔχει ζῆλον, λείπει δὲ αὐτῷ ἡ διάκρισις, τολμῶν διδάσκει τοὺς ἄλλους τὰ περὶ πίστεως καὶ χρηστοηθείας· ἀντὶ δὲ ὠφελείας προξενεῖ βλάβην· διότι ἀντὶ τῶν ὀρθῶν δογμάτων διδάσκει ἀλλόκοτα φρονήματα, καὶ ἀντὶ τῶν θείων νόμων κηρύττει ματαίας δεισιδαιμονίας· ὁ ἄλλος ἔχει ζῆλον, ἀλλ' οὐ κατ' ἐπίγνωσιν· διὸ ἐπιχειρεῖ τὸ ἔργον τῆς διορθώσεως ἀδιακρίτως, ἤγουν ἢ μετὰ πολλῆς αὐστηρότητος, ἢ χωρὶς τῆς τῶν περιστάσεων παρατηρήσεως, ἢ χωρὶς τῆς πρεπούσης ἐπιτηδειότητος· ὅθεν πολλάκις ἀντὶ διορθώσεως φυτεύει μῖσος μεταξὺ συγγενῶν καὶ φίλων, ἢ σπείρει σκάνδαλα μεταξὺ γονέων καὶ τέκνων, ἢ ἐγείρει διχόνοιαν μεταξὺ τῶν συζύγων. Πᾶς χριστιανὸς χρεωστεῖ κατὰ τὴν ἀποστολικὴν ἐντολὴν ἵνα μένῃ εἰς τὰ ὅρια τῆς ἰδίας τάξεως καὶ τοῦ ἰδίου ἐπαγγέλματος· « Ἕκαστος ἐν τῇ κλήσει ᾗ ἐκλήθη, ἐν ταύτῃ μενέτω » (5). Ὁ ἀδιάκριτος ζῆλος παρεκφέρων τὸν ἄνθρωπον, ἐξάγει αὐτὸν τῶν ὅρων τῆς ἰδίας τάξεως καὶ τοῦ ἰδίου ἐπαγγέλματος· ἐκ τούτου ἐπὶ σκοπῷ ζήλου, κἂν ὁ ζῆλος οὐκ ἔχῃ τόπον, ὁ ὑποτακτικὸς ἐξανίσταται κατὰ τοῦ ἰδίου προεστῶτος, καὶ ὁ λαϊκὸς νουθετεῖ τὸν ἱερέα, καὶ ὁ υἱὸς

(1) Λουκ. 23, 34. (2) Γαλ. 1, 13, 14. (3) Πράξ. 9, 1, 2. (4) Α'. Τιμ. 1, 13. (5) Α'. Κορ, 7, 20.

ἐλέγχει τὸν πατέρα, καὶ ὁ δοῦλος οὐχ ὑπακούει εἰς τὸν δεσπότην, καὶ ὁ ὑπήκοος κατὰ τοῦ ἄρχοντος καταφέρεται· τὰ δὲ ἀκόλουθα τούτου, ἤγουν τὴν ἀκαταστασίαν, τὰς ἀταξίας, τὰ ἀνομήματα, τίς δύναται ἀπαριθμῆσαι; πολλάκις ὁ ἀδιάκριτος ζῆλος καὶ μάχας καὶ φόνους καὶ πόλεων ἀναστατώσεις, καὶ μυρία ἄλλα προεξένησε κακά.

Ὁ ζῆλος τοῦ Ἀποστόλου Παύλου, ὁ πρῶτος ἀληθῶς ἦν ζῆλος ἀδιάκριτος, πλὴν ζῆλος μόνον γυμνὸς δηλονότι καὶ καθαρὸς ἀπὸ παντὸς πάθους· ὅθεν ὁ καρδιογνώστης Θεὸς ἐδίωξεν ἀπὸ τοῦ νοὸς αὐτοῦ τὴν ἄγνοιαν, καὶ θείῳ φωτὶ περιλάμψας αὐτόν, μετέστρεψε τὸν ἀδιάκριτον ζῆλον αὐτοῦ εἰς ζῆλον διακριτικὸν καὶ σοφὸν καὶ θεῖον· ἐκ τούτου αὐτὸς κατώρθωσε τὰ ὑπὲρ ἄνθρωπον τῆς ἀρετῆς κατορθώματα. Ὁ ζῆλος ἡμῶν οὐ μόνον ἐστὶν ἀδιάκριτος, ἀλλὰ καὶ ὑπὸ τῶν παθῶν ἡμῶν μεμολυσμένος. Ὁ ζῆλός μου καπνίζει τῆς ὑπερηφανείας τὸν καπνόν, τῷ μὲν σχήματι φαίνεται ζῆλος, τῷ δὲ πράγματί ἐστιν ὑπερηφάνεια. Ὁ ζῆλός μου δυσωδεῖ δυσωδίαν φθονεράν, τὸ φαινόμενόν ἐστι ζῆλος, τὸ κρυπτόμενόν ἐστι φθόνος. Ὁ ζῆλός μου βράζει ὑπὸ τοῦ πυρὸς τῆς δοξομανίας· γίνομαι ζηλωτής, ἵνα δοξάζωμαι ὑπὸ τῶν ἀνθρώπων. Ὁ ἀπαθὴς ζῆλος ἔχει συγγνώμην, κἂν μὴ ὑπάρχῃ κατ' ἐπίγνωσιν, ὁ ἐμπαθής ἐστιν ἀσύγγνωστος.

Ἀλλὰ πῶς ἆρά γε δυνάμεθα γνωρίσαι ποῖός ἐστιν ὁ ζῆλος ὁ θεϊκός, καὶ ποῖος ὁ δαιμονικός; ποῖος ὁ διακριτικός, καὶ ποῖος ὁ ἀδιάκριτος; Τοῦτο οὐκ ἔστιν εὔκολον· διότι καὶ τὰ πάθη σκοτίζουσι τὸν νοῦν, καὶ ἡ φιλαυτία ἀπατᾷ τὴν διάνοιαν, καὶ « Ὁ » σατανᾶς μετασχηματίζεται εἰς ἄγγελον » φωτός » (1), ἤγουν παρίστησιν εἰς τὸν νοῦν ἡμῶν τὴν ἁμαρτίαν μετὰ τῶν σχημάτων τῆς ἀρετῆς, καὶ τὴν ἀρετὴν μετὰ τῶν χαρακτήρων τῆς ἁμαρτίας. Διὰ τοῦτο δὲ ὁ θεόπνευστος Παῦλος παραγγέλλει, ἵνα δοκιμάζωμεν πᾶν ἔργον, διὰ δὲ τῆς δοκιμῆς γνωρίσαντες ποῖόν ἐστι τὸ καλόν, ἐκλέγωμεν καὶ κρατῶμεν αὐτό. « Πάντα » δοκιμάζετε· τὸ καλὸν κατέχετε » (2). Περὶ δὲ τοῦ τρόπου τῆς τοιαύτης δοκιμῆς γενικὸν κανόνα παρέδωκεν ἡμῖν ὁ τῶν ἁπάντων Κύριος. « Ἐκ γὰρ τοῦ καρποῦ, εἶπε, » τὸ δένδρον γινώσκεται » (3). Δοκίμαζε οὖν τὸν ζῆλόν σου, ἐξετάζων τὸν καρπὸν αὐτοῦ· Ἐὰν μὲν βλέπῃς, ὅτι ὁ καρπὸς αὐτοῦ ἐστιν ἀγάπη, δικαιοσύνη, ὑπακοή, εὐταξία, θείων νόμων τήρησις, ψυχῶν διόρθωσις, ὁ ζῆλός σού ἐστι θεῖος, ὁ ζῆλός σού ἐστι ζῆλος κατ' ἐπίγνωσιν· ἐὰν δὲ παρατηρῇς ὅτι καρποφορεῖ ἔχθρας, ἀδικίας, παρακοὴν ἀταξίας, θείων νόμων ἀθέτησιν, ψυχῶν ἀπώλειαν, ὁ ζῆλός σού ἐστι δαιμονικός, ἀδιάκριτος καὶ ἐμπαθής.

Ἀδελφοί μου ἀγαπητοί, ὁ ὑπὲρ τοῦ Θεοῦ ζῆλός ἐστι καρπὸς τῆς τελείας πρὸς Θεὸν ἀγάπης. Οὐδεὶς ἄλλος ἔχει αὐτόν, εἰμὴ ὁ ἀγαπῶν τὸν Θεόν, ἐξ ὅλης ψυχῆς καὶ καρδίας καὶ ἰσχύος καὶ διανοίας· διὰ τοῦτο δὲ ὁ ζῆλός ἐστιν ἀρετὴ μεγάλη καὶ πολλῶν καὶ μεγάλων ἀρετῶν πρόξενος. Πάντες οἱ ἀγῶνες τῶν Ἀποστόλων, πάντα τὰ ἆθλα τῶν μαρτύρων, πᾶσαι αἱ ἀρεταὶ τῶν ἁγίων διδασκάλων, πάντες οἱ κόποι τῶν ὁσίων πατέρων, τοῦ θείου ζήλου εἰσὶ καρποφορίαι. Μακάριος οὖν ἐκεῖνος ὁ ἄνθρωπος, ὅστις ἐθησαύρισε τὸν μέγαν θησαυρὸν τοῦ θείου

(1) Β'. Κόρ. 11, 14. (2) Α. Θεσ. 5, 21. (3) Ματθ. 12, 33.



ζήλου. Ὁ ζῆλος ὁ δαιμονικός, ὁμοίως δὲ καὶ ὁ ἀδιάκριτός ἐστι πηγὴ πολλῶν καὶ μεγάλων ἁμαρτημάτων· ἐκ τοῦ δαιμονικοῦ καὶ ἐκ τοῦ ἀδιακρίτου ζήλου ἀνέβλυσαν οἱ ἐκ τῶν διωκτῶν διωγμοί, τὰ ἐκ τῶν τυράννων βασανιστήρια, οἱ ἐκ τῶν αἱρετικῶν φόνοι, αἱ καταδρομαί, αἱ ἐπιβουλαί, τὰ σκάνδαλα. Τρισάθλιος καὶ ἀπηλπισμένος ἐστὶν ἐκεῖνος ὁ ἄνθρωπος ὁ ὑπὸ τοῦ δαιμονικοῦ ζήλου ἐνεργούμενος, ἢ ὑπὸ τοῦ μὴ κατ' ἐπίγνωσιν κυριευόμενος. Πρόσεχε οὖν, ἀδελφέ, καὶ μετὰ πάσης ἀκριβείας δοκίμαζε τὸν ζῆλόν σου· ἵνα μὴ ἀντὶ ἀρετῆς πράττῃς ἁμαρτίαν, καὶ ἀντὶ σωτηρίας κόλασιν αἰώνιον προξενήσῃς εἰς τὴν ψυχήν σου. « Πάντα δοκιμάζετε· τὸ καλὸν κατέ» χετε » (1).

# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΑΣ

# ΠΡΑΞΕΙΣ ΤΩΝ ΑΠΟΣΤΟΛΩΝ

## ΤΑΣ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΑΣ ΤΗι ΚΥΡΙΑΚΗι ΤΩΝ ΜΥΡΟΦΟΡΩΝ.

ΟΥΔΕΝ παράδοξον, ἐὰν ὁ λαὸς τοῦ Ἰσραὴλ ἐξελθὼν ἐξ Αἰγύπτου, τοσάκις ἐγόγγυσε κατὰ τοῦ Μωϋσέως καὶ Ἀαρών (2). Λαὸς χυδαῖος, πολὺς τὸν ἀριθμόν, παχυλὸς τὸν νοῦν, ἐφθαρμένος τὰ ἤθη, ἀτελὴς εἰς τὴν πίστιν, τί παράδοξον, ἐὰν στερούμενοι τῶν τροφῶν τῆς Αἰγύπτου, καὶ περιπατοῦντες εἰς τοιαύτην ἔρημον, ὅπου καὶ τὸ ὕδωρ ἢ ἔλειπε παντελῶς, ἢ ἦν πικρὸν καὶ ἄποτον, ἐγόγγυζον κατ' ἐκείνων, οἵτινες ἐξήγαγον αὐτοὺς ἐκ τῆς Αἰγύπτου, καὶ ἔφερον αὐτοὺς εἰς τοιαύτην ταλαιπωρίαν καὶ ἀνάγκην; Παράδοξόν ἐστι τὸ ὑπὸ τοῦ Ἀποστόλου Λουκᾶ ἱστορούμενον περὶ τῶν μαθητῶν τοῦ Ἰησοῦ Χριστοῦ· αὐτοὶ ἀσυγκρίτως ὀλιγώτεροι τῶν Ἰσραηλιτῶν, αὐτοὶ ἐλέπτυναν καὶ ὕψωσαν τὸν νοῦν αὐτῶν εἰς τὴν θεωρίαν τῶν μελλόντων ἀγαθῶν, αὐτοὶ τόσην ἀγάπην εἶχον μεταξὺ ἀλλήλων, ὥστε πάντες μίαν εἶχον γνώμην καὶ θέλησιν καὶ ψυχήν· « Τοῦ δὲ πλήθους τῶν πισευσάν» των, λέγει ὁ αὐτὸς Λουκᾶς, ἦν ἡ καρδία » καὶ ἡ ψυχὴ μία » (3). Αὐτοὶ τόσην πίστιν εἶχον εἰς τὸν Ἰησοῦν Χριςόν, ὥστε καταφρονήσαντες πᾶσαν κοσμικὴν προσπάθειαν, ἐπώλουν πάντα τὰ ὑπάρχοντα αὐτῶν, καὶ ἔβαλον τὰς τούτων τιμὰς « Παρὰ » τοὺς πόδας τῶν Ἀποστόλων » (4)· τόσην δὲ αὐτάρκειαν εἶχον πάντες, ὥστε οὐδένα πτωχὸν ἔβλεπες ἐν τῇ τοιαύτῃ συνοδίᾳ· « Οὐδὲ γὰρ ἐνδεής τις ὑπῆρχεν ἐν αὐ» τοῖς » (5). Πόθεν οὖν εἰσέβη εἰς τὴν καρδίαν αὐτῶν ὁ γογγυσμός; τόση ἰσότης εἰς τὰ πάντα· « Πάντες δὲ οἱ πιστεύοντες ἦ-

(1) Α. Θεσ, 5, 21. (2) Ἀριθμ. 14, 2. (3) Πράξ. 4, 32. (4) Αὐτ. 35. (5) Αὐτ. 34.

» σαν ἐπὶ τὸ αὐτό, καὶ εἶχον ἅπαντα κοινά » (1)· τόση τελειότης εἰς τῆς ἀρετῆς τὰ ἔργα, καὶ τόση ἀγγαλλίασις καὶ ἁπλότης· « Καθ' ἡμέραν τε προσκαρτεροῦντες ὁμοθυμαδὸν ἐν τῷ ἱερῷ, κλῶντες κατ' οἴκους ἄρτον, μετελάμβανον τροφῆς ἐν ἀγαλλιάσει καὶ ἀφελότητι καρδίας, αἰνοῦντες τὸν Θεόν, καὶ ἔχοντες χάριν πρὸς ὅλον τὸν λαόν ». Ἔπειτα γογγυσμός; Παράδοξον πρᾶγμα. Ὅστις μετὰ προσοχῆς ἀκούσῃ τὴν ἑρμηνείαν τῆς σήμερον ἀναγνωσθείσης πράξεως τῶν Ἀποστόλων, ἐκεῖνος κατανοεῖ οὐ μόνον τὴν αἰτίαν τοῦ γογγυσμοῦ, ἀλλὰ καὶ μετὰ πόσης φρονήσεως καὶ σοφίας πνευματικῆς κατέπαυσαν αὐτὸν οἱ θεοφόροι Ἀπόστολοι.

*Ἐν ταῖς ἡμέραις ἐκείναις πληθυνόντων τῶν μαθητῶν, ἐγένετο γογγυσμὸς τῶν Ἑλληνιστῶν πρὸς τοὺς Ἑβραίους, ὅτι παρεθεωροῦντο ἐν τῇ διακονίᾳ τῇ καθημερινῇ αἱ χῆραι αὐτῶν* (2).

Ἑβραῖοι ἦσαν οἱ Ἑλληνισταὶ καὶ κατὰ τὸ γένος καὶ κατὰ τὴν θρησκείαν· ἐλέγοντο δὲ Ἑλληνισταί, ἐπειδὴ ἐκ προγόνων κατῴκησαν εἰς πόλεις Ἑλλήνων, ἤγουν, εἰς τὴν Ἀλεξάνδρειαν, εἰς τὴν μικρὰν Ἀσίαν, εἰς τὰς νήσους τοῦ ἀρχιπελάγους καὶ ἀλλαχοῦ, ἐλάλουν δὲ καὶ τὴν ἑλληνικὴν διάλεκτον· ἤρχοντο δὲ οὗτοι οἱ Ἑλληνισταὶ κατὰ πᾶν ἔτος εἰς Ἰερουσαλὴμ διὰ τὴν ἑορτὴν τοῦ Πάσχα καὶ τῆς Πεντηκοστῆς. Ὅτι δὲ ἡ καθημερινὴ διακονία σημαίνει τὴν καθημερινὴν ὑπηρεσίαν τῆς ἑτοιμασίας καὶ διανομῆς τῶν πρὸς τροφὴν ἀναγκαίων, φανερόν ἐςιν οὐ μόνον ἐκ τοῦ λόγου τούτου, « Ἡ δὲ Μάρθα περιεσπᾶτο περὶ πολλὴν διακονίαν » (3)· ἀλλὰ καὶ ἐκ τούτων τῶν λόγων τοῦ Λουκᾶ· « Οὐκ ἀρεστόν ἐστιν ἡμᾶς, καταλείψαντας τὸν λόγον τοῦ Θεοῦ, διακονεῖν τραπέζαις » (4). Οἱ οὖν ἐπιστάται ταύτης τῆς καθημερινῆς ὑπηρεσίας, εἴτε κατὰ παραδρομὴν συμβαίνουσαν διὰ τὸν καθ' ἡμέραν πληθυσμὸν τῶν εἰς Χριστὸν πιστευόντων, εἴτε δι' ἀμέλειαν, εἴτε δι' ἄλλην αἰτίαν παρεθεώρουν, ἤγουν παρέβλεπον, οὐ προσεῖχον τὰς ἐκ τῶν Ἑλληνιστῶν χήρας γυναῖκας. Τίνι δὲ τρόπῳ παρέβλεπον αὐτάς; ἢ λογιζόμενοι, ὅτι οὐκ εἰσὶν ἄξιαι ὑπηρετῆσαι τοὺς Ἀποστόλους καὶ μαθητάς, οὐ μετήρχοντο αὐτὰς πρὸς τὴν τοιαύτην ὑπηρεσίαν, ἢ μὴ διδόντες εἰς αὐτὰς τόσον σιτηρέσιον, ὅσον καὶ εἰς τὰς ἐξ Ἑβραίων χήρας γυναῖκας· ἢ διορίζοντες αὐτὰς εἰς τὰς βαρυτέρας καὶ εὐτελεστέρας ὑπηρεσίας. Ταῦτα βλέποντες οἱ Ἑλληνιςαὶ ἐγόγγυζον κατὰ τῶν Ἑβραίων, ἐπειδή, ὡς φαίνεται, αὐτοὶ ἦσαν οἱ ἐπιστάται ταύτης τῆς διακονίας. Τοῦτο οὖν καθιστορεῖ ὁ Ἀπόστολος. Κατ' ἐκείνας, λέγει, τὰς ἡμέρας, ἐν αἷς δηλαδὴ οἱ Ἀπόστολοι καὶ οἱ μαθηταὶ ἦσαν ἅπαντες εἰς τὴν Ἰερουσαλήμ, ἐπλήθυνεν ὁ ἀριθμὸς τῶν μαθητῶν. Βλέποντες δὲ οἱ Ἑλληνισταί, ὅτι εἰς τὴν καθημερινὴν ἑτοιμασίαν καὶ διανομὴν τῶν τροφῶν, οἱ Ἑβραῖοι οἱ ἐπιστάται τούτου τοῦ ἔργου παρέβλεπον τὰς ἐξ αὐτῶν χήρας γυναῖκας, ἐγόγγυζον καὶ προσεκλαίοντο περὶ τούτου πρὸς αὐτοὺς τοὺς Ἑβραίους. Τί δὲ ἐποίησαν οἱ Ἀπόστολοι, τὸν τοιοῦτον γογγυσμὸν μαθόντες;

(1) Πράξ. 2, 44, 46, 47. (2) Αὐτ. 6, 1. (3) Λουκ. 10, 40. (4) Πράξ. 6, 2.



*Προσκαλεσάμενοι δὲ οἱ δώδεκα τὸ πλῆθος τῶν Μαθητῶν, εἶπον· Οὐκ ἀρεστόν ἐςιν ἡμᾶς, καταλείψαντας τὸν λόγον τοῦ Θεοῦ, διακονεῖν τραπέζαις* (1).

Προσκαλοῦσιν οἱ δώδεκα Ἀπόστολοι τὸ πλῆθος τῶν μαθητῶν τοῦ Χριστοῦ, καὶ ἐνώπιον πάντων παραιτοῦνται ἀπὸ τοῦ ἔργου τῆς τραπέζης, λέγοντες· Οὐκ ἔστιν ἀρεστόν, ἵνα ἡμεῖς ἐγκαταλείψωμεν τὸν λόγον τοῦ Θεοῦ, ἤγουν τὸ κήρυγμα τῆς πίστεως, ἀναλάβωμεν δὲ τὴν φροντίδα τῶν περὶ τὴν τράπεζαν ἀναγκαίων. Ἀλλ' εἰς ποῖον οὐκ ἔστιν ἀρεστόν; Οὐδὲ εἰς τὸν Θεόν, ὅστις ἀπέστειλεν αὐτοὺς εἰς πάντα τὰ ἔθνη διδάξαι τὸ Εὐαγγέλιον· οὐδὲ εἰς αὐτοὺς τοὺς Ἀποστόλους, οἵτινες ἀφιέρωσαν ἑαυτοὺς πρὸς τὴν ἐκπλήρωσιν τοῦ ἀποστολικοῦ ἐπαγγέλματος. Διατί δὲ οὐκ ἦν ἀρεστόν; Διότι τὸ μὲν ἔργον τῆς τραπέζης καὶ ἄλλοι ἀρκετοὶ ἦσαν ἐκπληρῶσαι ἐπίσης, καθὼς καὶ οἱ Ἀπόστολοι· τὸ δὲ ἔργον τοῦ εὐαγγελικοῦ κηρύγματος οὐδεὶς ἄλλος ἠδύνατο ἐκτελέσαι μετὰ τοσαύτης τελειότητος· διότι αὐτοὶ μόνοι ἦσαν ἐκλελεγμένοι ἐκ παντὸς τοῦ κόσμου πρὸς τοῦτο τὸ μέγα κατόρθωμα. Βλέπε δὲ πῶς διαφέρει ἀρετὴ ἀρετῆς. Ἀρετὴ καὶ ἡ ὑπηρεσία τῆς τραπέζης, ὡς ἔργον ἀγάπης καὶ ἐλεημοσύνης, πλὴν ὑπερτέρα ἡ ἀρετὴ τοῦ κηρύγματος τῆς πίςεως, καθότι « Χωρὶς πίστεως ἀδύνατον εὐαρεστῆσαι » (2)· καὶ τόσον δὲ ὑπερτέρα, ὅσον ἡ ψυχὴ τοῦ σώματος, καθότι ὁ μὲν λόγος τοῦ Θεοῦ τρέφει τὴν ψυχήν, ὁ δὲ τῆς τραπέζης ἄρτος τὸ σῶμα. Παραιτηθέντες οὖν οἱ δώδεκα Ἀπόστολοι τοῦ ἔργου τῆς τραπέζης ἐνώπιον παντὸς τοῦ πλήθους τῶν μαθητῶν, καὶ πληροφορήσαντες πάντας, ὅτι οὐχ ἁρμόζει τὸ ἔργον τοῦτο εἰς αὐτούς, παρήγγειλαν αὐτοῖς λέγοντες·

*Ἐπισκέψασθε οὖν, ἀδελφοί, ἄνδρας ἐξ ὑμῶν μαρτυρουμένους ἑπτά, πλήρεις Πνεύματος ἁγίου καὶ σοφίας, οὓς καταστήσομεν ἐπὶ τῆς χρείας ταύτης. Ἡμεῖς δὲ τῇ προσευχῇ καὶ τῇ διακονίᾳ τοῦ λόγου προσκαρτερήσομεν* (3).

Πλήρεις ὄντες τῶν χαρισμάτων τοῦ ἁγίου Πνεύματος οἱ πνευματοφόροι Ἀπόστολοι, καὶ ἐγνώριζον ἀκριβῶς τίνες ἦσαν ἄξιοι διὰ τὴν τοιαύτην ὑπηρεσίαν, εἶχον δὲ καὶ τελείαν ἐξουσίαν, ἵνα καὶ ἐκλέξωσι καὶ καταστήσωσι τοιούτους ἐπιστάτας· πλὴν ἵνα δείξωσιν, ὅτι καὶ οἱ λοιποὶ μαθηταὶ καὶ γνῶσιν εἶχον καὶ ἐξουσίαν πρὸς τὴν τοιαύτην ἐκλογὴν καὶ σύστασιν· καὶ ἄρωσιν ἐκ μέσου τὴν ἀφορμὴν τοῦ γογγυσμοῦ, ἐνεχείρισαν εἰς αὐτοὺς τῆς ἐκλογῆς τὸ ἔργον, διδάξαντες ποῖοί εἰσιν οἱ χαρακτῆρες οἱ πρέποντες εἰς τοὺς μέλλοντας ἀναδεχθῆναι τὴν τοιαύτην διακονίαν. Στοχασθῆτε, λέγουσιν, ὦ ἀδελφοί, καὶ ἀκριβῶς ἐρευνήσατε, ἵνα ἐκ τῶν μεταξὺ ὑμῶν εὕρητε ἄνδρας πρῶτον μὲν ἑπτά· ὥρισαν ἑπτά, ἢ καθότι τόσοι ἀρκετοὶ ἦσαν πρὸς τὴν τοιαύτην ὑπηρεσίαν, ἢ καθότι ὁ ἑπτὰ ἀριθμὸς ἱερὸς καὶ μυςηριώδης ἐλογίζετο· δεύτερον δὲ μαρτυρουμένους ὑπὸ πολλῶν, ὅτι εἰσὶ πιστοὶ καὶ ἱκανοὶ πρὸς ἐκπλήρωσιν τοῦ ἔργου· τρίτον πλήρεις Πνεύματος ἁγίου, ἤγουν ἔχοντας ἔργα δεικνύοντα, ὅτι ἐν αὐτοῖς κατοικεῖ τοῦ παναγίου Πνεύματος ἡ χάρις· τέταρτον πλήρεις σοφίας, τουτέςι φρονήσεως, ἐπιτη-

(1) Πράξ. 6, 2. (2) Ἑβρ. 15, 6. (3) Πράξ. 6, 3.

δειότητος, προθυμίας, ἵνα διατάσσωσιν, ὡς πρέπει, τὰ κοινὰ πράγματα, τὰ τῷ Θεῷ πρὸς κοινὴν πάντων ὠφέλειαν ἀφιερωθέντα. Καὶ αὐτοὺς μέν, εἶπον, τοὺς παρ' ὑμῶν ἐκλεχθέντας καταστήσομεν ἐπιστάτας καὶ ὑπουργοὺς ταύτης τῆς καθημερινῆς χρείας. Ἡμεῖς δὲ ἐπιμένομεν καθὰ καὶ πρότερον εἰς τὸ ἔργον τῆς προσευχῆς καὶ τοῦ κηρύγματος τῆς πίστεως. Ἐκ τούτου συμπεραίνεται τῆς προσευχῆς τὸ ὕψος καὶ τὸ ἀξίωμα· διότι συνέταξαν αὐτὴν οἱ θεῖοι Ἀπόστολοι μετὰ τῆς μεγάλης καὶ ὑψηλῆς ἀρετῆς τοῦ εὐαγγελικοῦ κηρύγματος, εἰπόντες· « Ἡμεῖς » δὲ τῇ προσευχῇ καὶ τῇ διακονίᾳ τοῦ λό- » γου προσκαρτερήσομεν ».

*Καὶ ἤρεσεν ὁ λόγος ἐνώπιον παντὸς τοῦ πλήθους· καὶ ἐξελέξαντο Στέφανον, ἄνδρα πλήρη πίστεως καὶ Πνεύματος ἁγίου, καὶ Φίλιππον, καὶ Πρόχορον, καὶ Νικάνορα, καὶ Τίμωνα, καὶ Παρμενᾶν, καὶ Νικόλαον προσήλυτον Ἀντιοχέα* (1).

Ἀρεστὸς ἐφάνη εἰς ὅλον τὸ πλῆθος τῶν μαθητῶν τοῦ Χριστοῦ ὁ λόγος τῶν δώδεκα Ἀποστόλων· διὸ κατὰ τὴν ἐντολὴν αὐτῶν ἐξελέξαντο ἄνδρας ἑπτά. Οὗτοι δὲ πάντες, πλὴν τοῦ Νικολάου, ἦσαν ἐκ τοῦ ἀριθμοῦ τῶν ἑβδομήκοντα μαθητῶν (2), ἦσαν δὲ Ἑλληνισταί, ἤγουν Ἑβραῖοι μὲν κατὰ τὸ γένος καὶ τὴν θρησκείαν, ὡς ἀνωτέρω εἴπομεν, Ἕλληνες δὲ κατὰ τὴν πατρίδα καὶ τὴν διάλεκτον, ὡς καί τὰ Ἑλληνικὰ αὐτῶν ὀνόματα ἐπιβεβαιοῦσιν· ἐπισημότεροι δὲ τούτων τῶν ἑπτὰ γεγόνασιν ὁ πρῶτος διὰ τὴν ἀρετήν, καὶ ὁ ἔσχατος διὰ τὴν κακίαν. Ὁ πρῶτος ὁ Στέφανος περιφανὴς ἐγένετο καὶ ἐπίσημος, ὡς πλήρης πίστεως, ἤγουν καθότι εἶχε πίστιν θερμὴν δι' ἀγάπης ἐνεργουμένην, καὶ καρποφοροῦσαν πάντα τὰ θεάρεστα ἔργα. Ἔτι δὲ καὶ ὡς πλήρης Πνεύματος ἁγίου, τουτέστιν ὡς πεπληρωμένος τῆς χάριτος τοῦ ἁγίου Πνεύματος, δι' ἧς « Ἐποίει τέρατα καὶ σημεῖα μεγά- » λα ἐν τῷ λαῷ » (3). Καὶ μετὰ τοσαύτης σοφίας καὶ δυνάμεως ἐδίδασκεν, ὥστε οὐδεὶς ἠδύνατο ἀντιστῆναι τῇ σοφίᾳ καὶ τῷ πνεύματι ᾧ ἐλάλει. Ὁ δὲ ἔσχατος, ἤγουν ὁ Νικόλαος, ὅστις, Ἕλλην ὢν πρῶτον προσῆλθεν εἰς τὴν Ἰουδαϊκὴν πίστιν, ἐξ οὗ προσήλυτος ἐλέγετο, ἔπειτα πιστεύσας εἰς τὸν Χριςὸν ἐξελέχθη σὺν τοῖς λοιποῖς διακόνοις, μετὰ τὴν χειροτονίαν καὶ τὴν δοθεῖσαν αὐτῷ ἐπιστασίαν ἀρχηγὸς ἐγένετο τῆς ἐξ αὐτοῦ λαβούσης τὸ ὄνομα αἱρέσεως τῶν Νικολαϊτῶν. Τούτους δὲ τοὺς ἑπτὰ ἄνδρας παρέστησαν οἱ τούτους ἐκλέξαντες ἐνώπιον τῶν Ἀποστόλων.

*Οὓς ἔστησαν ἐνώπιον τῶν Ἀποστόλων, καὶ προσευξάμενοι ἐπέθηκαν αὐτοῖς τὰς χεῖρας* (4).

Τὸ μὲν πλῆθος τῶν μαθητῶν παρέστησε τοὺς ὑπ' αὐτῶν ἐκλεχθέντας ἑπτὰ ἄνδρας ἐνώπιον τῶν Ἀποστόλων, οἱ δὲ Ἀπόστολοι προσευχηθέντες, ἔθηκαν τὰς χεῖρας αὐτῶν ἐπάνω εἰς τὰς τούτων κεφαλάς· ὅτι δὲ ἡ προσευχὴ καὶ ἡ τῶν χειρῶν ἐπίθεσις σημαίνει μετάδοσιν χάριτος τοῦ ἁγίου Πνεύματος, φανερόν ἐστιν ἐκ τῶν ἑξῆς παραδειγμάτων· ὅτε οἱ ἐν Ἱεροσολύμοις Ἀπόστολοι, ἤκουσαν, ὅτι οἱ Σαμαρεῖται ἐδέχθη-

(1) Πράξ. 6, 5. (2) Ὅρα τὸ μην. τοῦ Ἰαν, τῇ 4 ἡμέρ. (3) Πράξ. 6, 8, 10. (5) Αὐτ. 6, 6.



σαν « Τὸν λόγον τοῦ Θεοῦ, ἀπέστειλαν » πρὸς αὐτοὺς τὸν Πέτρον καὶ Ἰωάννην » (1). Αὐτοὶ δὲ ἐλθόντες ἐκεῖ· « Προσηύξαντο περὶ » αὐτῶν· καὶ ἐπετίθουν τὰς χεῖρας ἐπ' αὐ- » τούς, καὶ ἐλάμβανον Πνεῦμα ἅγιον ». Ὁμοίως καὶ οἱ ἐν Ἀντιοχείᾳ Ἀπόστολοι, ὅτε ἀπέλυσαν τὸν Βαρνάβαν καὶ τὸν Σαῦλον, ἐνήστευσαν καὶ προσηύξαντο, καὶ « Ἐ- » πιθέντες τὰς χεῖρας αὐτοῖς ἀπέλυσαν » (2). Τοῦτο αὐτὸ ἐποίησεν ἔπειτα καὶ αὐτὸς ὁ Παῦλος, ἤγουν διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν αὐτοῦ μετέδωκε τὴν χάριν τοῦ ἁγίου Πνεύματος εἰς τοὺς ἐν Ἐφέσῳ μαθητάς. « Καὶ ἐπιθέντος, λέγει ὁ ἱερὸς Λουκᾶς, αὐ- » τοῖς τοῦ Παύλου τὰς χεῖρας, ἦλθε τὸ » Πνεῦμα τὸ ἅγιον ἐπ' αὐτούς· ἐλάλουν τε » γλώσσαις καὶ προεφήτευον » (3). Οὐδεὶς οὖν ἀμφιβάλλει, ὅτι καὶ οὗτοι οἱ ἑπτὰ ἄνδρες ἔλαβον Θεοῦ χάριν διὰ τῆς προσευχῆς καὶ ἐπιθέσεως τῶν χειρῶν τῶν Ἀποςόλων, ἀμφιβολία δὲ προκύπτει περὶ τοῦ ποῖον χάρισμα ἔλαβον οὗτοι. Τινὲς μὲν λέγουσιν, ὅτι αὐτοὶ οὐκ ἐχειροτονήθησαν διάκονοι, καθότι ἐν τῇ ἐκκλησίᾳ ἡ οἰκονομία οὐκ ἦν ἐπάγγελμα τῶν διακόνων. ἀλλὰ τῶν πρεσβυτέρων (4). Τινὲς δὲ νομίζουσιν, ὅτι αὐτοὶ ἔλαβον καὶ τὸ ὄνομα καὶ τὸ ἀξίωμα τῶν πρεσβυτέρων (5). Ἄλλοι δὲ ἐπιβεβαιοῦσιν, ὅτι οἱ Ἀπόστολοι ἐχειροτόνησαν αὐτοὺς εἰς διακόνους οὐ κατὰ τὸν βαθμὸν τὸν ἐν ταῖς ἐκκλησίαις, ἀλλὰ κατὰ τὴν τάξιν τῆς περὶ τὴν τράπεζαν οἰκονομίας, τουτέστιν ἵνα μὴ ἀμελῶς, ἀλλὰ μετὰ πάσης ἀκριβείας διανέμωσι τὰ πρὸς τροφὴν εἰς τοὺς ὀρφανοὺς καὶ εἰς τὰς χήρας (6). Ἀλλ' ἐὰν στοχασθῇς, ὅτι οἱ Ἀπόστολοι παρήγγειλαν, ἵνα τὸ πλῆθος τῶν μαθητῶν ἐκλέξῃ ἄνδρας οὐ μόνον μεμαρτυρημένους ἐπ' ἀρετῇ καὶ ἐπιτηδειότητι, ἀλλὰ καὶ πλήρεις Πνεύματος ἁγίου καὶ σοφίας· καὶ ὅτι ὑπὲρ τούτων οὐ μόνον προσηύξαντο, ἀλλὰ καὶ ἐχειροτόνησαν αὐτούς· παρατηρήσῃς δὲ πρὸς τούτοις, ὅτι ὁ Στέφανος οὐ μόνον ἐποίει τέρατα καὶ σημεῖα μεγάλα, ἀλλὰ καὶ παῤῥησίᾳ ἐδίδασκε κηρύττων τὸν Χριστόν, καὶ ἐνώπιον αὐτοῦ τοῦ συνεδρίου περὶ Χριστοῦ δημηγορήσας, ἐξήλεγξε τὸ σκληροτράχηλον ἦθος καὶ τὴν θεοκτονίαν τῶν Ἑβραίων· ἐάν, λέγω, ταῦτα στοχασθῇς καὶ παρατηρήσῃς, μόλις πείθεσαι. ὅτι αὐτοὶ οὐδὲν ἄλλο ἦσαν, εἰμὴ ὑπηρέται τῆς σωματικῆς τραπέζης· πείθεσαι δὲ μᾶλλον, ὅτι ἦσαν διάκονοι οὐ μόνον τῆς σωματικῆς, ἀλλὰ καὶ τῆς πνευματικῆς ὑπηρεσίας· καὶ ὅτι οἱ Ἀπόστολοι διὰ τῆς προσευχῆς καὶ τῆς χειροτονίας μεταδόντες αὐτοῖς τὴν χάριν τοῦ ἁγίου Πνεύματος, κατέστησαν αὐτοὺς διακόνους καὶ τῶν θείων μυστηρίων καὶ τῆς διανομῆς τῶν σωματικῶν τροφῶν· ἐπιβεβαιοῖ τοῦτο καὶ ἡ πρᾶξις τῆς ἐκκλησίας τῆς ἀπ' αὐτοῦ τοῦ καιροῦ τῶν Ἀποστόλων, ἕως καὶ τῆς ἐν ταῖς καθ' ἡμᾶς ἡμέραις· διότι ἀφ' οὗ ἡ πίστις ἡπλώθη εἰς πολλὰ τοῦ κόσμου μέρη, καὶ ἔπαυσε τὸ κοινόβιον τῶν τότε ἐν Ἱεροσολύμοις χριστιανῶν, ἀκολούθως δὲ καὶ ἡ φροντὶς τῆς κοινῆς τραπέζης, ἐχειροτονοῦντο μέν, καὶ ἄχρι τοῦ νῦν χειροτονοῦνται οἱ διάκονοι καθὼς καὶ τότε, πλὴν ἀργοῦσιν ἀπὸ τῆς τότε σωματικῆς ὑπηρεσίας, ἐπειδὴ οὐκ ἔστιν ἀνάγκη, ὑπηρετοῦσι δὲ μόνον τὰ θεῖα μυστήρια. Μαρτυρεῖ περὶ τούτου ὁ μὲν Θεοφόρος Ἰγνάτιος ὁ τῶν Ἀποστόλων σύγχρονος, λέγων· « Δεῖ » δὲ τοὺς διακόνους ὄντας μυστηρίων Χρι-

(1) Πράξ. 8, 14, 15, 17. (2) Αὐτ. 13, 3. (3) Αὐτ. 19, 6. (4) Χρυσ. εἰς τὰς Πράξ. (5) Θεοφ. εἰς τὰς Πράξ. (6) Οἰκουμ. εἰς τὰς Πράξ.

» στοῦ Ἰησοῦ, κατὰ πάντα τρόπον ἀρέ-
» σκειν· οὐ γὰρ βρωμάτων καὶ ποτῶν εἰσι
» διάκονοι, ἀλλ' ἐκκλησίας Θεοῦ ὑπηρέ-
» ται » (1). Καὶ κατωτέρω· « Τί δὲ διάκο-
» νοι; ἀλλ' ἢ μιμηταὶ τῶν ἀγγελικῶν δυ-
» νάμεων, λειτουργοῦντες αὐτῷ λειτουργίαν
» καθαρὰν καὶ ἄμωμον, ὡς Στέφανος ὁ ἅ-
» γιος Ἰακώβῳ τῷ μακαρίῳ ». Ὁ δὲ ἐν
ἁγίοις Πολύκαρπος ὁ τοῦ θεολόγου Ἰωάννου
μαθητὴς γράφει ταῦτα· « Ὁμοίως διάκο-
» νοι ἄμεμπτοι κατενώπιον αὐτοῦ τῆς δι-
» καιοσύνης, ὡς Θεοῦ ἐν Χριστῷ διάκονοι,
» καὶ οὐκ ἀνθρώπων » (2). Ὁ δὲ Ἰουστῖνος
ὁ φιλόσοφος καὶ μάρτυς ἐφανέρωσεν εἰδικῶς
Ποία ἦν ἡ πνευματικὴ ὑπηρεσία τῶν τότε
διακόνων, λέγων· « Οἱ καλούμενοι παρ' ἡμῖν
» διάκονοι διδόασιν ἑκάστῳ τῶν παρόντων
» μεταλαβεῖν ἀπὸ τοῦ εὐχαριστηθέντος ἄρ-
» του καὶ οἴνου καὶ ὕδατος, καὶ τοῖς οὐ πα-
» ροῦσιν ἀποφέρουσιν » (3). Ἀκούσατε νῦν
καὶ τὰ λοιπὰ ὅσα μετὰ τὴν ἱστορίαν τὴν
περὶ τῶν ἑπτὰ διακόνων λέγει ὁ ἅγιος ἱστοριογράφος.

*Καὶ ὁ λόγος τοῦ Θεοῦ ηὔξανε, καὶ ἐπληθύνετο ὁ ἀριθμὸς τῶν μαθητῶν ἐν Ἱερουσαλὴμ σφόδρα· πολύς τε ὄχλος τῶν ἱερέων ὑπήκουον τῇ πίστει* (4).

Κατὰ τρεῖς τρόπους νόησον τὴν αὔξησιν τοῦ λόγου τοῦ Θεοῦ. Ηὔξανεν ὁ τοῦ Θεοῦ λόγος ἢ καθότι πολυπλασιαζόμενος ὁ ἀριθμὸς τῶν εἰς Χριστὸν πιστευόντων, ἐπολυπλασίαζε καὶ τὰ στόματα τῶν κηρυττόντων τὴν χριστιανικὴν πίστιν· ἢ καθότι οἱ ἀκούοντες τὸν λόγον τοῦ Θεοῦ, ἐκαρποφόρουν ἡμέραν ἐξ ἡμέρας πολυπλασίους τοῦ λόγου τοὺς καρπούς, ἤγουν τὰς θεοφιλεῖς ἀρετάς· ἢ καθότι καὶ τὰ δύο ὁμοῦ ἐγίνοντο, καὶ ὁ ἀριθμὸς δηλαδὴ τῶν ἱεροκηρύκων ηὔξανε, καὶ τὰ κατορθώματα τῶν ἀρετῶν ἐπολυπλασιάζοντο. Ὅθεν τό, « καὶ ἐπληθύ-
» νετο », ὡς αἰτιολογικόν ἐστιν· « ηὔξανε,
» λέγει, ὁ λόγος τοῦ Θεοῦ, καθότι πολλὰ ἐ-
» πληθύνετο ὁ ἀριθμὸς τῶν μαθητῶν εἰς τὴν
» Ἱερουσαλήμ ». Καὶ ἐξ αὐτῶν δὲ τῶν Ἑβραίων ἱερέων πολὺς ὄχλος, τουτέστι πλῆθος δυσαρίθμητον « Ὑπήκουον τῇ πίστει », δεχόμενοι δηλονότι τὴν εἰς Χριστὸν πίστιν, ὑπετάσσοντο εἰς πάσας τὰς ἐντολὰς καὶ παραγγελίας, ὅσας αὐτὴ διδάσκει.

(1) Ἰγν. Ἐπιστ. ἐν Τράλ. (2) Πολυκαρ. Ἐπιστ. ἐν Φιλιπ. (3) Ἰουστ. ἐν τῇ Β'. Ἀπολογ. (4) Πράξ. 6, 7.



# ΟΜΙΛΙΑ

ΜΕΤΑ ΤΑΣ

# ΠΡΑΞΕΙΣ ΤΩΝ ΑΠΟΣΤΟΛΩΝ

## ΤΑΣ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΑΣ ΤΗ͂Ι ΚΥΡΙΑΚΗ͂Ι ΤΩΝ ΜΥΡΟΦΟΡΩΝ.

ΠΟΘΕΝ ἆρά γε ἐν ὀλίγῳ καιροῦ διαστήματι τόσον πολλὰ ἐπλήθυνεν ὁ ἀριθμὸς τῶν μαθητῶν τοῦ Χριστοῦ, καὶ ἐξ αὐτῶν δὲ τῶν ἱερέων ὄχλος πολὺς ἐπιστρέψαντες ἐπίστευσαν εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, Ἡ χάρις τοῦ Θεοῦ ἐστι τὸ πρῶτον τῆς ἐπιστροφῆς αὐτῶν αἴτιον. Ἡ θεία χάρις εὑροῦσα τότε τοὺς ἀξίους ἑαυτῆς, ἐνήργει εἰς τὴν καρδίαν αὐτῶν, καὶ ἐπέστρεφεν αὐτοὺς ἀπὸ τῆς πλάνης αὐτῶν· καὶ τὰ θαύματα δὲ τὰ ἐξαίσια, τὰ καθ' ἑκάστην ἡμέραν ὑπὸ τῶν Ἀποστόλων γινόμενα, ἔπειθον τὸν νοῦν αὐτῶν πρὸς ὑποδοχὴν τῆς ἀληθείας τῆς πίστεως. Πρὸς τούτοις δὲ καὶ ἡ δύναμις, ἣν ἔδωκεν ὁ Θεὸς εἰς τὸν λόγον, τὸν ὑπὸ τῶν Ἀποστόλων κηρυττόμενον, ὡς μαγνῆτις ἔσυρε τὴν ψυχὴν τῶν ἀκροατῶν εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ. Πλὴν καὶ αὐτὸ τὸ ὑπέρλαμπρον φῶς τῶν πολλῶν καὶ μεγάλων ἀρετῶν τῶν Ἀποστόλων πολλὰ ἐφώτιζε καὶ τὸν νοῦν καὶ τὴν διάνοιαν τῶν ἀκροωμένων τὸν λόγον τῆς πίστεως· τὸ φῶς τῆς ἀρετῆς ἔχει δύναμιν, ἥτις θαυμασίως καὶ φωτίζει καὶ πείθει τὸν νοῦν τοῦ ἀνθρώπου, καὶ ἐφέλκει αὐτὸν πρὸς τὴν ὑποδοχὴν τῶν ὑπὸ τοῦ ἐναρέτου διδασκομένων·
« Οὕτω λαμψάτω, εἶπεν ὁ Κύριος, τὸ φῶς
» ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως
» ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα, καὶ δοξά-
» σωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐ-
» ρανοῖς » (1). Καθὼς δὲ τὸ φῶς τῶν καλῶν ἔργων φωτίζει τοὺς πιστούς, καὶ διεγείρει αὐτοὺς πρὸς δοξολογίαν τοῦ Θεοῦ· οὕτω φωτίζει καὶ τοὺς ἀπίστους, καὶ ἐξεγείρει τὸν νοῦν αὐτῶν πρὸς τὴν τοῦ ἀληθινοῦ Θεοῦ ἐπίγνωσιν. Ἐνεργεῖ δὲ ἐν ἡμῖν τῆς ἀρετῆς τὸ φῶς, εἴτ' ἐπειδὴ αἱ ἀρεταὶ εἰσιν ἔργα τῆς θείας χάριτος, εἴτ' ἐπειδὴ τῆς ἀρετῆς τὰ σπέρματα ἐμπεφυτευμένα εἰσὶν εἰς τὴν ἀνθρωπίνην φύσιν, τὰ δὲ κατὰ φύσιν καὶ ἀρέσκουσι καὶ ἐφέλκουσιν. Αἰσθητὴ γίνεται ἐσωτερικῶς τούτου τοῦ φωτὸς ἡ ἐνέργεια, διότι ὅταν βλέπωμεν τῆς ἀρετῆς τὰ ἔργα, αἰσθανόμεθα συνειδήσεως ἔλεγχον, καρδίας κατάνυξιν, μιμήσεως ἐπιθυμίαν, κλίσιν πρὸς ὑπακοὴν τῶν ὑπὸ τοῦ ἐργάτου τῶν ἀρετῶν λεγομένων καὶ διδασκομένων. Βλέποντες τὴν ἁγιότητα τῶν ἔργων τοῦ διδασκάλου, συμπεραίνομεν, ὅτι καθὼς εἰσιν ἅγια τὰ ἔργα αὐτοῦ, οὕτως, ἀληθινὰ καὶ ἅγιά εἰσιν ὅσα αὐτὸς διδάσκει· ὅσον δὲ περισσοτέρα ἡ ἀρετὴ, τόσον περισσότερόν

(4) Ματθ. 5, 16.

ἐστι καὶ τὸ ἐξ αὐτῆς φῶς· ὅσον δὲ περισσότερον τὸ φῶς, τοσοῦτον περισσότερος καὶ ὁ φωτισμός. Ἐπειδὴ δὲ εἰς τὸν καιρὸν τῶν Ἀποστόλων ὑπὲρ ἄλλοτέ ποτε ἔλαμψεν ὁ πυρσὸς τῶν θεαρέστων ἔργων, διὰ τοῦτο καὶ ὑπὲρ ἄλλοτέ ποτε πλῆθος τότε ἀνθρώπων ἀξίων τοῦ φωτὸς ἐφωτίσθη.

Ἔβλεπον οἱ τότε ἄνθρωποι τόσην καθαρότητα εἰς τὰ ἤθη, τόσην περιφρόνησιν τῶν ἐπιγείων, τόσην ἀγάπην εἰς τὸν πλησίον, τόσην ἐλεημοσύνην εἰς τοὺς πτωχούς, τόσην ἀρετὴν εἰς πάντα τὰ ἔργα τῶν Ἀποστόλων· ἔβλεπον ὅτι οἱ μὲν πιστεύοντες, ἐπώλουν τὰ ὑπάρχοντα αὐτῶν, καὶ ἔβαλλον τῆς τιμῆς αὐτῶν τὰ ἀργύρια παρὰ τοὺς πόδας τῶν Ἀποστόλων· οἱ δὲ Ἀπόστολοι μετήρχοντο αὐτὰ πρὸς διατροφὴν καὶ πρὸς τὰς λοιπὰς χρείας τῶν χηρῶν καὶ ὀρφανῶν καὶ πάντων τῶν δεομένων· ἔβλεπον ἐκεῖνο τὸ ἐπουράνιον κοινόβιον, ἐν ᾧ οὐδεὶς εἶχεν ἴδιον πρᾶγμα, ἀλλ' ἦσαν πάντα κοινά· ἔβλεπον μεταξὺ τῶν πιστευόντων τόσην ὁμόνοιαν καὶ ἀγάπην καὶ συμφωνίαν, ὥστε ἐφαίνετο μία καὶ ἡ καρδία καὶ ἡ ψυχὴ ὅλου ἐκείνου τοῦ πλήθους (1). Εἶδον μετὰ πόσης φρονήσεως καὶ ἀπροσπαθοῦς οἰκονομίας καθησύχασαν εὐθὺς τὸ μικρὸν τοῦ γογγυσμοῦ σκάνδαλον, ῥιζόθεν αὐτὸ ἀνασπάσαντες· ἔβλεπον, λέγω, τὰ ὑπέρλαμπρα φῶτα πασῶν τῶν ἀρετῶν τῶν Ἀποστόλων, καὶ ἐξ αὐτῶν ἐφωτίζοντο, φωτιζόμενοι δὲ ἐγνώριζον τῆς εἰς Χριστὸν πίστεως τὴν ἀλήθειαν· μία ὅμως μεταξὺ τῶν ἄλλων Ἀποστολικῶν ἀρετῶν ὑπερλάμπουσα, οὐ μόνον κατεφώτιζε τοὺς ἀνθρώπους, ἀλλὰ καὶ ἀναγκαῖα ἦν διὰ τὴν ἐπιστροφὴν αὐτῶν, ἤγουν ἡ μεγάλη ἀρετὴ τῆς ἀνεξικακίας. Αὐτὴ κατῴκησεν εἰς τὰς καρδίας τῶν ἀποστόλων, καὶ αὐτὴ συνήργησε πρὸς τὴν ἐπιστροφὴν τοῦ κόσμου.

Πόσον ἠγάπησαν οἱ Ἀπόστολοι τὸν Ἰησοῦν Χριστόν, τὸν θεῖον αὐτῶν διδάσκαλον καὶ Σωτῆρα, φανερόν ἐστι, καὶ οὐδεμιᾶς ἀποδείξεως ἔχει χρείαν· διότι αὐτοὶ ὑπὲρ τῆς ἀγάπης αὐτοῦ οὐ μόνον ἐγκατέλιπον πατρίδα καὶ οἰκίαν, φίλους καὶ συγγενεῖς, καὶ πάντα ὅσα εἶχον· οὐ μόνον μετὰ μεγάλης προθυμίας εἰσέβησαν εἰς μακρὰς ὁδοιπορίας, εἰς καθημερινοὺς κινδύνους, εἰς ἐπιθανατίους κακουχίας, διωγμοὺς ὑποφέροντες καὶ ῥαβδισμοὺς καὶ φυλακὰς καὶ βασάνους· ἀλλὰ καὶ τῆς ἰδίας αὐτῶν ζωῆς καταφρονήσαντες, παρέδωκαν ἑαυτοὺς εἰς θάνατον. Ὅταν οὖν ἔβλεπον ἐκείνους τοὺς ἱερεῖς καὶ ἄρχοντας τοῦ συνεδρίου, οἵτινες ἀδίκως κατέκριναν εἰς θάνατον τὸν ἀναμάρτητον Ἰησοῦν· ὅταν ἔβλεπον ἐκείνους τοὺς στρατιώτας, οἵτινες ἐνέπτυσαν εἰς τὸ πρόσωπον αὐτοῦ, καὶ ἐῤῥάπισαν, καὶ ἐκολάφισαν, καὶ ἐφραγγέλωσαν, καὶ ἐσταύρωσαν αὐτόν· ποῖα ἄρά γε κινήματα ἐποίει τότε ἡ φύσις κατ' αὐτῶν; ἆρά γε οὐκ ἐξανίστατο κατ' αὐτῶν τῆς μνησικακίας ὁ λογισμός, λέγων· Οὗτοί εἰσιν ἐκεῖνοι οἵτινες ἐξέτειναν ἀδίκους χεῖρας, καὶ θανάτῳ ἀσχήμονι ἐθανάτωσαν τὸν διδάσκαλον ὑμῶν καὶ Σωτῆρα τοῦ κόσμου; οὗτοί εἰσιν ἐκεῖνοι, οἵτινες οὐ μόνον ἐσταύρωσαν αὐτόν, ἀλλὰ καὶ τὴν ἔνδοξον ἐκ νεκρῶν αὐτοῦ ἀνάστασιν παντὶ τρόπῳ κατακρύψαι ἐσπούδασαν; αὐτοί εἰσιν οἱ ἐπίβουλοι τῆς σωτηρίας τῶν ἀνθρώπων. Ὅθεν ἀνάξιοί εἰσι τῆς ἀκροάσεως τοῦ Εὐαγγελικοῦ κηρύγματος καὶ τῆς ὑποδοχῆς τῆς πίστεως καὶ τῆς ἀπο-

(1) Πράξ. 4, 32.



λαύσεως τῆς σωτηρίας. Φύγετε οὖν ἀπ' αὐτῶν, καὶ ἀποστρέψατε ἀπ' αὐτῶν τὸ πρόσωπον ὑμῶν, καὶ ἐγκαταλείψατε αὐτοὺς εἰς τὸν βυθὸν τῆς ἰδίας ἀπωλείας· ἆρά γε οὐκ ἔλεγε ταῦτα πρὸς αὐτοὺς ὁ νόμος ὁ ἐν τοῖς μέλεσιν ἡμῶν, ὁ ἀντιστρατευόμενος τῷ νόμῳ τοῦ νοός, καὶ βιάζων ἡμᾶς, ἵνα πράξωμεν ἐκεῖνα ὅσα οὐ θέλομεν; (1) Περὶ τούτου οὐδόλως ἀμφιβάλλεις, ἐὰν στοχασθῇς, ὅτι ἄνθρωποι ἦσαν καὶ αὐτοὶ καθὼς καὶ ἡμεῖς.

Βλέπε ὅμως τὴν τῆς ἀνεξικακίας αὐτῶν ὑπέρλαμπρον μεγαλειότητα. Ἄρχονται αὐτοὶ τοῦ Εὐαγγελικοῦ κηρύγματος, ἔνδον τῆς Ἱερουσαλήμ, ἐν τῇ στοᾷ τοῦ Σολομῶντος καὶ ἐν τῷ Ἱερῷ, ἐν μέσῳ ἐκείνων τῶν Ἱερέων καὶ Γραμματέων καὶ Φαρισαίων, καὶ ἐν μέσῳ ἐκείνων τῶν Ἰουδαίων, οἵτινες κατέκριναν τὸν Ἰησοῦν Χριστὸν καὶ ἐθανάτωσαν αὐτόν, σταυρώσαντες ἐν μέσῳ δύω λῃστῶν. Τί δὲ κηρύττουσιν εἰς αὐτούς; Κηρύττουσι μετάνοιαν, καὶ προτρέποντες αὐτοὺς ἵνα πιστεύσωσιν εἰς τὸν Ἰησοῦν Χριστόν, ὑπόσχονται εἰς αὐτοὺς ἄφεσιν ἁμαρτιῶν καὶ τοῦ παναγίου Πνεύματος τὰ χαρίσματα· « Μετανοήσατε, ἔλεγον πρὸς » αὐτούς, καὶ βαπτισθήτω ἕκαστος ὑμῶν » ἐπὶ τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ εἰς ἄφε- » σιν ἁμαρτιῶν, καὶ λήψεσθε τὴν δωρεὰν » τοῦ ἁγίου Πνεύματος » (2). Τί δὲ ἄλλο ἐστὶ τοῦτο, εἰμὴ προθυμία πρὸς τὸ εὐεργετῆσαι ἐκείνους, οἵτινες παρέδωκαν εἰς ϛαυρικὸν θάνατον τὸν Χριστόν, ὃν αὐτοὶ τοσοῦτον ἠγάπησαν, ὥστε ὑπὲρ τῆς ἀγάπης αὐτοῦ ὅλον τὸν κόσμον καὶ τὴν ἰδίαν αὐτῶν ζωὴν κατεφρόνησαν; τοῦτο δὲ τί ἄλλο ἐστὶν, εἰμὴ ἀνεξικακακία καρδίας, καὶ τελεία ἀμνησικακία;

Δυσκόλως βλέπομεν ἐν ἱλαρῷ ὄμματι τοὺς βλάψαντας ἐκείνους τοὺς φίλους, οὓς ἡμεῖς καθ' ὑπερβολὴν ἀγαπῶμεν· δυσκόλως ἀμνημονοῦμεν τὴν βλάβην καὶ ἀδικίαν τὴν γενομένην πρὸς τοὺς ἠγαπημένους ἡμῶν φίλους· οὐδεὶς δὲ ἀγωνίζεται παντὶ τρόπῳ ἵνα εὐεργετήσῃ τοὺς φονεῖς τοῦ ἀγαπητοῦ αὐτοῦ φίλου. Μόνη ἡ τῶν θείων Ἀποστόλων ἀμνησικακία ἐτελείωσε τὸ μέγα κατόρθωμα· αὐτοὶ ἀφιέρωσαν πάσας τὰς ἑαυτῶν δυνάμεις ἵνα εὐεργετήσωσι τοὺς ἐχθροὺς καὶ διώκτας, καὶ φονεῖς τοῦ ὑπ' αὐτῶν ὑπὲρ πάντα ἀγαπηθέντος Ἰησοῦ Χριστοῦ, νουθετοῦντες καὶ διδάσκοντες αὐτοὺς τῆς αἰωνίου σωτηρίας αὐτῶν τὰ ἅγια μαθήματα.

Ἀκούσατε δὲ καὶ ἔτι περισσοτέραν ἀνεξικακίαν. Ἀληθῶς πολλὰ ἀνεξίκακός ἐστιν ἐκεῖνος, ὁ ἄνθρωπος, ὅστις εὐεργετεῖ τοὺς φονεῖς τοῦ φίλου αὐτοῦ, πλὴν πολλῷ περισσότερον ἀνεξίκακός ἐστιν ἐκεῖνος, ὅστις εὐεργετεῖ τοὺς ὑβρίζοντας καὶ δέροντας αὐτόν. Διότι διὰ τὴν ἐν ἡμῖν φιλαυτίαν, κἂν πολλὰ ἀγαπῶμεν τὸν φίλον, ἀγαπῶμεν ὅμως ἑαυτοὺς περισσότερον ἢ ἐκεῖνον. Οἱ θεῖοι Ἀπόστολοι ἐφάνησαν εὐεργέται οὐ μόνον τῶν σταυρωσάντων τὸν ὑπερηγαπημένον αὐτοῖς Ἰησοῦν, ἀλλὰ καὶ αὐτῶν τῶν διωκόντων καὶ τυραννούντων αὐτούς. Ὅταν οἱ ἄρχοντες καὶ οἱ πρεσβύτεροι καὶ οἱ γραμματεῖς, καὶ ὁ Ἄννας ὁ ἀρχιερεὺς καὶ ὁ Καϊάφας, καὶ ὅσοι ἦσαν ἐκ γένους ἀρχιερατικοῦ, ἤκουσαν ὅτι οἱ Ἀπόστολοι κηρύττουσι τὸν Ἰησοῦν Χριστόν, διὰ τῶν θαυμάτων βεβαιοῦντες τὸ κήρυγμα, καὶ ὅτι χιλιάδες ἀνθρώπων πιστεύουσιν εἰς τὸν Ἰησοῦν Χριστόν, τότε συναχθέντες καὶ

(1) Ῥωμ. 7, 23. (2) Πράξ. 2, 35.

στήσαντες ἐν μέσῳ αὐτῶν τοὺς Ἀποστόλους ἐφοβέρισαν αὐτοὺς αὐστηρῶς, παραγγείλαντες αὐτοῖς, ἵνα εἰς τὸ ἑξῆς μηδὲ διδάσκωσι, μηδὲ τὸ καθόλου λαλῶσιν ἐπὶ τῷ ὀνόματι τοῦ Ἰησοῦ Χριστοῦ (1). Τί δὲ ἐποίησαν οἱ Ἀπόστολοι ταῦτα ἀκούσαντες; ἆρά γε ἐκάκισαν κατὰ τῶν φοβερισάντων αὐτούς; ἆρά γε εἶπον· ἡμεῖς ἐπιθυμοῦντες τὴν σωτηρίαν ὑμῶν, σπεύδομεν ἀποκαλύψαι ὑμῖν τὴν ἀλήθειαν τῆς πίστεως· ἐπειδὴ δὲ οὐ θέλετε, ἀλλὰ φοβερίζετε ἡμᾶς, ἡμεῖς εἰς τὸ ἑξῆς σιωπήσομεν, ὑμεῖς δὲ κληρονομήσετε τὴν εἰς τοὺς ἀπειθεῖς ἡτοιμασμένην κόλασιν; Οὐχί, οὐδὲν τούτων εἶπον. Ἀλλὰ πρῶτον μὲν μετὰ πάσης πρᾳότητος ἀποκριθέντες, κατέστησαν αὐτοὺς κριτὰς ταύτης τῆς ὑποθέσεως· « Κρίνατε, λέ« γουσι πρὸς αὐτούς, ὑμεῖς, εἰ δίκαιόν ἐστιν » ἐνώπιον τοῦ Θεοῦ, ὑμῶν ἀκούειν μᾶλλον » εἰ τοῦ Θεοῦ. Οὐ δυνάμεθα γὰρ ἡμεῖς, ἃ » εἴδομεν καὶ ἠκούσαμεν, μὴ λαλεῖν » (2). Ἔπειτα προσευχηθέντες, καὶ ζητήσαντες τοῦ παντοδυνάμου Θεοῦ τὴν βοήθειαν, πάλιν μετὰ παῤῥησίας ἐσπούδαζον εὐεργετῆσαι αὐτοὺς τοῦ Θεοῦ τὸν λόγον κηρύττοντες.

Καὶ οἱ μὲν Ἀπόστολοι μηδόλως μνησικακήσαντες πάλιν κηρύττουσιν, οἱ δὲ Ἰουδαῖοι θεομαχοῦντες κατακλείουσιν αὐτοὺς ἐν τῇ φυλακῇ. Ἐπειδὴ Ἄγγελος Κυρίου ἤνοιξε τὰς θύρας τῆς φυλακῆς, αὐτοὶ δὲ ἐλθόντες εἰς τὸ ἱερὸν θαρσαλέως ἐδίδασκον, ἁρπάσαντες αὐτοὺς ἐκ τοῦ ἱεροῦ διὰ στρατιωτικῆς χειρὸς παρέστησαν αὐτοὺς ἐνώπιον τοῦ συνεδρίου αὐτῶν. Ἐκεῖ δὲ οἱ ἄδικοι καὶ ἀπάνθρωποι ὑβρίσαντες αὐτοὺς καὶ δείραντες ἀνιλεῶς, ἐξέβαλον καὶ ἐδίωξαν αὐτοὺς ἀπὸ προσώπου αὐτῶν. Τί δὲ ἐποίησαν οἱ ταῦτα παθόντες Ἀπόστολοι; ἐμίσησαν τοὺς ὑβρίσαντας καὶ ῥαβδίσαντας αὐτούς; ἔπαυσαν τὸ κήρυγμα; ἢ κᾂν ἐλυπήθησαν, ἢ ἐταράχθησαν, ἢ ἐσκυθρώπασαν; οὐχί· Ἀκούσατε δὲ τί ἐποίησαν· « Οἱ » μὲν οὖν, λέγει ὁ θεῖος ἱστορικός, ἐπο» ρεύοντο χαίροντες ἀπὸ προσώπου τοῦ » συνεδρίου, ὅτι ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ » κατηξιώθησαν ἀτιμασθῆναι » (3). Ὢ ἀνεξικακίας ὑπερβολή· τὴν καταφρόνησιν καὶ τὰς ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ ἀτιμίας λογίζονται δόξαν καὶ ἀξιώματα. Ὢ ἀμνησικακίας τελειότης· οἱ ῥαβδισμοὶ προξενοῦσι χαρὰν καὶ ἀγαλλίασιν εἰς τὰς ἀνεξικάκους τῶν Ἀποστόλων καρδίας· « Ἐ» πορεύοντο, λέγει, χαίροντες ἀπὸ προσώ» που τοῦ Συνεδρίου. » Διατί δὲ ἔχαιρον; « Ὅτι ἠξιώθησαν ὑπὲρ τοῦ ὀνόματος αὐ» τοῦ ἀτιμασθῆναι. » Μετὰ δὲ τὰς ὕβρεις καὶ τὰς πληγὰς προθύμως κατὰ πᾶσαν ἡμέραν πάλιν καὶ αὐτοὺς τοὺς ὑβρίσαντας καὶ ῥαβδίσαντας εὐεργετοῦσι κηρύττοντες τῆς σωτηρίας τὸν λόγον· « Πᾶσάν τε ἡμέραν » ἐν τῷ ἱερῷ καὶ κατ' οἶκον οὐκ ἐπαύσαντο » διδάσκοντες καὶ εὐαγγελιζόμενοι Ἰησοῦν τὸν Χριστόν. » Τοῦτο ἀληθῶς ἐστιν ἀκακακία πλήρης ἁγιότητος.

Ποῖος ἄνθρωπος νομίζει τὰς ὕβρεις τιμήν, καὶ τὴν καταφρόνησιν ἀξίωμα; ποῖος ἄνθρωπος χαίρει, ὅταν ῥαβδίζωσιν αὐτὸν οἱ ὑπ' αὐτοῦ εὐεργετούμενοι; ποῖος ἄνθρωπος ἀτιμαζόμενος καὶ ῥαβδιζόμενος ὑπὸ τῶν ὑπ' αὐτοῦ εὐεργετηθέντων, πάλιν εὐεργετεῖ αὐτούς; Οὐαὶ ἡμῖν τοῖς τρισαθλίοις, ὅτι οὐδόλως μιμούμεθα ταῦτα τὰ ἅγια παραδείγματα. Ὅταν ἐγὼ συμβουλεύω τινὰ τὰ συμφέροντα αὐτῷ, κᾂν ἐκεῖνος μηδὲ δέ-

(1) Πράξ. 4, 5, 6. (2) Αὐτόθι 4, 19, 20. (3) Αὐτόθι 5, 41.



ρῃ, μηδὲ ἐλέγχῃ, μηδὲ φοβερίζῃ με, μηδὲ λέγῃ μοι, σιώπα, σημεῖα δὲ μόνα ὀργῆς ἢ σκυθρωπότητος ἐμφανίζει εἰς τὸ πρόσωπον αὐτοῦ, ἐγὼ τότε εὐθὺς κακίζω, καὶ σιωπῶ, καὶ κλείω τὸ στόμα μου, καὶ στρέφω τὸ πρόσωπόν μου ἀπ' αὐτοῦ, καὶ ἐγκαταλείπω αὐτὸν εἰς τῆς ἀπωλείας αὐτοῦ τὸν βυθόν, Καὶ ὁ μὲν τρισμακάριος Παῦλος μεγαλοφώνως παρακαλεῖ ἡμᾶς, λέγων· « Παρακαλῶ οὖν » ὑμᾶς μιμηταί μου γίνεσθε. Μιμηταί μου » γίνεσθε, καθὼς κᾀγὼ Χριστοῦ » (1). Ἡμεῖς δὲ ὡς κωφοὶ καὶ ἀναίσθητοι μηδόλως ἀκούοντες τὴν ἁγίαν αὐτοῦ ἱκεσίαν, μηδὲ αἰσθανόμενοι τὴν ἐξ αὐτῆς σωτηριώδη ὠφέλειαν, τόσον μακρὰν ἀπέχομεν ἀπὸ τῆς μιμήσεως τούτου τοῦ Ἀποστολικοῦ παραδείγματος, ὅσον ὁ οὐρανὸς ἀπὸ τῆς γῆς. Οὐαὶ ἡμῖν τοῖς τρισαθλίοις, ὅτι οὐδόλως γνωρίζομεν πόσον ὕψος ἔχει τῆς ἀνεξικακίας ἡ ἀρετή, καὶ πόσον μεγάλα καὶ θαυμαστὰ ἔργα κατώρθωσεν αὐτὴ εἰς πᾶσαν τὴν οἰκουμένην.

Ἡ μεγάλη ἀρετὴ τῆς ἀνεξικακίας ἐγένετο πρόξενος τῆς τῶν ἀνθρώπων σωτηρίας. Τοῦτο φαίνεται παράδοξον καὶ ἀλλόκοτον, ὅμως ἐστὶ βέβαιον καὶ ἀληθέστατον. Ἀκούσατε τὴν ἀπόδειξιν· χωρὶς πίστεως οὐδεὶς δύναται σωθῆναι· μαρτυρεῖ τοῦτο ὁ θεηγόρος Παῦλος, λέγων· « Χωρὶς δὲ πίστεως » ἀδύνατον εὐαρεστῆσαι » (2). Οὐδεὶς δὲ πιστεύει χωρὶς κηρύγματος. Ἐπιβεβαιοῖ τοῦτο ὁ αὐτὸς Ἀπόστολος· « Πῶς δὲ πι» στεύσουσι, λέγει, οὗ οὐκ ἤκουσαν; πῶς δὲ » δὲ ἀκούσουσι χωρὶς κηρύσσοντος; » (3) Ἐπέμφθησαν ἀληθῶς παρὰ Θεοῦ οἱ Ἀπόστολοι εἰς πᾶσαν τὴν οἰκουμένην, ἵνα κηρύξωσι τὴν εὐαγγελικὴν πίστιν. « Πορευ» θέντες, εἶπε πρὸς αὐτοὺς ὁ Κύριος, εἰς » τὸν κόσμον ἅπαντα, κηρύξατε τὸ Εὐαγ» γέλιον πάσῃ τῇ κτίσει » (4). Ἀλλ' ἐὰν οἱ Ἀπόστολοι οὐκ ἦσαν ἀνεξίκακοι, ἀλλὰ μνησίκακοι καὶ ἐκδικητικοί, τουτέστιν ἐὰν αὐτοί, ὅτε ὕβριζον αὐτούς, οὐκ ηὐλόγουν, ἀλλ' ἀνθύβριζον τοὺς ὑβρίζοντας· καὶ ὅταν ἐδίωκον αὐτούς, οὐχ' ὑπέφερον τὸν διωγμόν, ἀλλ' ἀπεστρέφοντο τοὺς διώκτας· καὶ ὅταν ἐβλασφήμουν αὐτούς, οὐ παρεκάλουν τοὺς βλασφημοῦντας, ἀλλ' ὠργίζοντο καὶ ἔφευγον αὐτούς· ἆρά γε ἐπέττρεφεν ὁ κόσμος; ἆρά γε ἐπίστευε τόσον ἄμετρον πλῆθος ἀνθρώπων; οὐχί. Ἐὰν οἱ Ἀπόστολοι οὐκ εἶχον ἐν τῇ καρδίᾳ αὐτῶν τὴν μακαρίαν ἀρετὴν τῆς ἀνεξικακίας, ἀλλ' ἦσαν μνησίκακοι καὶ ὀργίλοι καὶ ἐκδικητικοί, ἔκλειον ἀναμφιβόλως τὸ στόμα, καὶ ἔστρεφον τὰ νῶτα, καὶ ἐμίσουν τοὺς ἀδικοῦντας καὶ διώκοντας αὐτούς. Ὅθεν ἔπαυε τῆς πίστεως τὸ κήρυγμα, ἑπομένως, μηδενὸς κηρύττοντος, ἔμενον οἱ ἄνθρωποι εἰς τὸ σκότος τῆς ἀπιστίας· τῆς ἀνεξικακίας οὖν κατόρθωμά ἐστιν ἡ ἐπιστροφὴ τοῦ κόσμου.

Ἐὰν δὲ στοχασθῇς, πόθεν προέρχονται πάντα τὰ κακά, ὅσα εἰς τὸν κόσμον γίνονται, βλέπεις ὅτι τὰ περισσότερα συμβαίνουσιν, ἐπειδὴ ἔφυγεν ἡ ἀνεξικακία ἐκ τῆς καρδίας ἡμῶν, ἀντ' αὐτῆς δ' ἐῤῥιζώθη ἡ μνησικακία καὶ τὸ πνεῦμα τῆς ἐκδικήσεως. « Ἀνένδεκτόν ἐστιν, εἶπεν ὁ Κύριος, μὴ » ἐλθεῖν τὰ σκάνδαλα » (5). Ἄνθρωποι σάρκα φοροῦντες, τὸν κόσμον οἰκοῦντες, ὑπὸ τοῦ διαβόλου πειραζόμενοι, εὔκολα καὶ διὰ λόγου καὶ δι' ἔργου παροργίζομεν ἀλλήλους. Ἐπειδὴ δὲ οὐκ ἐσμὲν ἀνεξίκακοι, διὰ τοῦτο ἄλλος τὸν ἄλλον οὐχ ὑποφέρει,

(1) Α. Κορινθ. 4, 16, καὶ 11, 1 (2) Ἑβρ. 11, 16. (3) Ῥωμ. 10, 14. (4) Μάρκ. 16, 15.
(5) Λουκ. 17, 4.

ἄλλος τοῦ ἄλλου τὸ σφάλμα οὐ συμπαθεῖ. Δι' ἕνα λόγον πληκτικόν, πολλάκις δὲ καὶ δι' ἓν περιφρονητικὸν σχῆμα πόσον ὀργιζόμεθα καὶ ἀγανακτοῦμεν, πόσον ἀποστρεφόμεθα καὶ μισοῦμεν τοὺς ἀδελφούς; διὰ μίαν εὐτελῆ καὶ πρόσκαιρον ζημίαν, πόσαι ἐπιβουλαί, πόσαι συκοφαντίαι, πόσαι ψευδομαρτυρίαι, πόσαι ταραχαί, πόσαι μάχαι, πόσα σκάνδαλα, πόσα ἐλεεινὰ καὶ φοβερὰ ἁμαρτήματα; ἐὰν βάλῃς εἰς τὴν καρδίαν τῶν ἀνθρώπων τὴν ἀνεξικακίαν, τότε βλέπεις ὅτι γίνονται οἱ ἄνθρωποι « Ἀκέραιοι ὡς αἱ περιστεραί » (1)· τότε ὁ εἷς ὑποφέρει τοῦ ἄλλου τὴν ἀσθένειαν, καὶ συμπαθεῖ τὸ τούτου σφάλμα· τότε βλέπεις τοῦτον εὐλογοῦντα τοὺς ὑβρίζοντας, ἐκεῖνον ἀγαθοποιοῦντα τοὺς διώκοντας, τὸν ἄλλον μὴ ἀποδιδόντα κακὸν ἀντὶ κακοῦ, ἀλλὰ προνοούμενον· « Καλὰ ἐνώπιον πάντων ἀνθρώπων » (2). τότε ἐκλείπουσι τὰ κακὰ ἐκ τῆς γῆς, βλέπεις δὲ τὴν ἀγαθότητα εἰς τὰ ἤθη, τὴν εἰρήνην εἰς τὰς πολιτείας, τὴν ἀγάπην εἰς τὰς ὁμηγύρεις, τὴν ἐκπλήρωσιν τῶν νόμων εἰς πάντα τόπον· βλέπεις τότε ἐκπληρουμένην τὴν ὑπὸ τοῦ Κυρίου διδαχθεῖσαν εἰς ἡμᾶς προσευχήν, ἤγουν τό, « Ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς » (3). Ἐκπληροῦσι τότε τὸ θέλημα τοῦ Θεοῦ οἱ ἐπὶ γῆς ἄνθρωποι, καθὼς καὶ οἱ ἐν τοῖς οὐρανοῖς ἄγγελοι. Ἔρχεται τότε ἡ βασιλεία τοῦ Θεοῦ ἐπὶ τοὺς ἀνθρώπους, τουτέστι βασιλεύει εἰς τὴν καρδίαν αὐτῶν ἡ ἀρετὴ καὶ ἡ χαρὰ καὶ ἡ δόξα τοῦ Θεοῦ.

Ἀλλὰ τίς δύναται φυτεῦσαι εἰς τὴν καρδίαν τῶν ἀνθρώπων τῆς ἀνεξικακίας τὴν μεγάλην καὶ θαυμασίαν ἀρετήν; καὶ τίς ἄλλος, παντοκράτωρ Κύριε, εἰ μὴ σὺ ὁ πανοικτίρμων καὶ παντοδύναμος; Σὺ οὖν, Κύριε, ἡ πηγὴ τῆς ἀγαθότητος ἐξαπόστειλον αὐτὴν ἐξ ὕψους κατοικητηρίου σου εἰς τὰς ψυχὰς ἡμῶν· ἵνα δι' αὐτῆς ἀλλήλων τὰ βάρη βαστάζοντες (4), ἀναπληρώσωμεν τὸν θεῖον καὶ σωτήριον νόμον σου, ἐν Χριστῷ Ἰησοῦ τῷ Σωτῆρι ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

(1) Ματθ 10, 16. (2) Ῥωμ. 12, 17. (3) Ματθ. 6, 10. (4) Γαλ, 6, 2.



# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΑΣ

# ΠΡΑΞΕΙΣ ΤΩΝ ΑΠΟΣΤΟΛΩΝ

## ΤΑΣ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΑΣ ΤΗι ΚΥΡΙΑΚΗι ΤΟΥ ΠΑΡΑΛΥΤΟΥ.

ΒΛΕΠΟΜΕΝ εἰς τὴν σήμερον ἀναγνωσθεῖσαν τῶν πράξεων τῶν Ἀποστόλων ἱστορίαν πεπληρωμένον κατὰ πάντα τοῦτον τὸν λόγον τοῦ Κυρίου· « Ὁ πιστεύων εἰς ἐμὲ τὰ ἔργα, ἃ ἐγὼ ποιῶ, κἀκεῖνος ποιήσει » (1). Ὁ μὲν δεσπότης τῶν ἁπάντων, τὸν ἐν τῇ προβατικῇ κολυμβήθρᾳ παράλυτον ἰάτρευσεν ἀπὸ τῆς ἀσθενείας, ἥτις τριάκοντα καὶ ὀκτὼ ἔτη αὐτὸν ἐβασάνιζεν· ὁ δὲ Πέτρος, ὁ εἰς αὐτὸν πιστεύσας, τὸν ἐν Λύδδᾳ Αἰνέαν, τὸν ὀκτὼ ἔτη ἐπὶ κραββάτῳ κατακείμενον ἀναστήσας ἀπὸ τῆς κλίνης αὐτοῦ, ὑγιῆ κατέστησεν. Ὁ Ἰησοῦς Χριστὸς δι' ἑνὸς λόγου, Ἔγειραι, ἔδωκε ζωὴν εἰς τὴν νεκρὰν θυγατέρα τοῦ Ἰαείρου (2). Ὁ δὲ εἰς αὐτὸν πιστεύσας Πέτρος δι' ἑνὸς λόγου, Ἀνάστηθι, ἐκ νεκρῶν ἀνέστησε τὴν Ταβιθά (3). Ὢ πόσον τερπνὰ καὶ κατανυκτικά εἰσι τῆς μεγαλειότητος καὶ εὐσπλαγχνίας τοῦ Θεοῦ τὰ θαυμάσια. Ὢ πόσον φανερὰ φαίνεται ἐν αὐτοῖς ἡ δύναμις τῆς πίστεως· ἡ πίστις καὶ τὰ θαυμάσιά εἰσι δύω πράγματα ἔχοντα μεταξὺ ἀλλήλων μεγάλην σχέσιν καὶ συνάφειαν. Ἀκούσατε, ἀδελφοί, ὅλην τὴν ἀναγνωσθεῖσαν ἱστορίαν μετὰ τῆς πρεπούσης παρατηρήσεως καὶ προσοχῆς, ἵνα κατανοήσαντες τὴν ἀμοιβαίαν σχέσιν τὴν μεταξὺ τῆς πίστεως καὶ τῶν θαυμάτων, πληροφορηθῆτε, ὅτι ἡ πίστις ἐστὶ τῶν θαυμάτων ἡ μήτηρ, τὰ δὲ θαύματα τῆς πίστεως τὸ στήριγμα.

*Ἐν ταῖς ἡμέραις ἐκείναις ἐγένετο Πέτρον διερχόμενον διὰ πάντων, κατελθεῖν καὶ πρὸς τοὺς ἁγίους τοὺς κατοικοῦντας Λύδδαν* (4).

Ὅσον καιρὸν ἐκράτει ὁ βαρὺς διωγμὸς κατὰ τῆς νεοσυσταθείσης τοῦ Χριστοῦ ἐκκλησίας, ὁ Πέτρος μετὰ τῶν λοιπῶν Ἀποστόλων ἔμενεν εἰς τὴν Ἱερουσαλήμ. Ὅταν δὲ ἡ τοῦ Θεοῦ πρόνοια διὰ τὸν πολυπλασιασμὸν τῆς πίστεως ἐξαπέστειλεν εἰρήνην εἰς τὰς ἐκκλησίας, τὰς καθ' ὅλης τῆς Ἰουδαίας καὶ τῆς Γαλιλαίας, καὶ Σαμαρείας τότε αὐτὸς ἐξῆλθεν ἐκ τῶν Ἱεροσολύμων (5)· « Διερχόμενος λέγει, διὰ πάντων ». Οὐκ εἶπε, διερχόμενος διὰ τῶν πόλεων, ἀλλά, διερχόμενος διὰ πάντων, ἵνα φανερώσῃ, ὅτι ἐπεσκέπτετο καὶ ἐστήριζε πάντας τοὺς κατοικοῦντας εἰς τοὺς τόπους, δι' ὧν διήρχετο, τοὺς μὲν πιστοὺς στηρίζων εἰς τὴν πίστιν καὶ εἰς τὴν ἀρετήν, τοὺς δὲ ἀπίστους ἀγω-

(1) Ἰωάν. 14, 12. (2) Μάρκ. 5, 41. (3) Πράξ. 9, 40, (4) Αὐτ. 9, 32. (5) Αὐτ. 9, 31.

νιζόμενος ἐπιστρέψαι ἀπὸ τῆς πλάνης εἰς τὴν ἀλήθειαν· τοιουτρόπως δὲ διὰ πάντων διερχόμενος κατέβη καὶ πρὸς τοὺς ἁγίους τοὺς κατοικοῦντας Λύδδαν. Καὶ ἁγίους μὲν ὀνομάζει, καθὼς καὶ ὁ Παῦλος τοὺς εἰς Χριστὸν πιστεύσαντας, καθότι καὶ ἡ κλῆσις αὐτῶν ἦν ἁγία, καὶ τὰ ἔργα αὐτῶν ἅγια (1)· ἡ δὲ Λύδδα, ἥτις καὶ Διόσπολις ἐλέγετο, πόλις ἦν πλησίον τῆς Ἰόππης κειμένη· διὰ τούτου δὲ τοῦ ἔργου παράδειγμα ἔδωκεν ὁ θεομακάριστος Πέτρος εἰς τοὺς ἐκκλησιαστικοὺς προεστῶτας, ἵνα καὶ αὐτοί, καθὼς ἐκεῖνος, περιερχόμενοι, ἐπισκέπτωνται πάντας τοὺς ὑπὸ τὴν πνευματικὴν αὐτῶν διοίκησιν εὑρισκομένους, διορθοῦντες τὰ τούτων σφάλματα καὶ ἐπιστηρίζοντες αὐτοὺς εἰς τῆς ἀρετῆς τὴν ἐργασίαν (2). Τί δὲ ἠκολούθησεν ὅταν ὁ Πέτρος κατήντησεν εἰς τὴν Λύδδαν;

*Εὗρε δὲ ἐκεῖ ἄνθρωπόν τινα Αἰνέαν ὀνόματι, ἐξ ἐτῶν ὀκτὼ κατακείμενον ἐπὶ κραββάτῳ, ὃς ἦν παραλελυμένος* (3).

Τίς ἦν ὁ **Αἰνέας**; ποίας καταστάσεως ἄνθρωπος; ποίου γένους; ποίας θρησκείας; ποίου πολιτεύματος; πιστὸς ἦν, ἢ ἄπιστος; πρῶτον ἐπίστευσεν εἰς τὸν Χριστόν, ἔπειτα ἔλαβε τὴν ἰατρείαν, ἢ πρῶτον ἰατρεύθη, ἔπειτα ἐπίστευσεν; αὐτὸς ἐζήτησε παρὰ τοῦ Πέτρου τὴν ὑγείαν, ἢ ὁ Πέτρος ἀφ' ἑαυτοῦ ἰάτρευσεν αὐτόν; Ταῦτα πάντα ἐπιώπησεν ὁ ἅγιος ἱστορικός, ἐπιβλέπων εἰς τὴν συντομίαν, μόνον δὲ τὸ ὄνομα καὶ τὴν ἀσθένειαν καὶ τῆς ἰατρείας τὸν τρόπον ἐφανέρωσε πρὸς πληροφορίαν τοῦ γενομένου θαύματος. Ἐπειδὴ δὲ ἐκ τῆς σιωπῆς οὐδὲν βέβαιον συμπεραίνεται, εἰμὴ σιωπὴ, διὰ τοῦτο πιθανὰ μόνον περὶ τῶν σιωπηθέντων λέγονται. Ἴσως ὁ Αἰνέας ἦν ἄνθρωπος πολλὰ γνωστὸς καὶ ἐπίσημος τότε, καὶ διὰ τοῦτο ἐσιώπησεν ὁ ἱστορικὸς τὰ περὶ αὐτοῦ Ἴσως δὲ ἐπίστευσεν εἰς τὸν Ἰησοῦν Χριστόν, ἢ τότε, ἢ πρότερον, καὶ διὰ τοῦτο ἔλαβε τὴν ἴασιν. Ἐνδεχόμενον δὲ τό, ὅτι ὅτι ὁ Πέτρος ἐκ μόνης φιλανθρωπίας χωρίς τινος δεήσεως ἰάτρευσεν αὐτόν, μιμούμενος τὸν Ἰησοῦν Χριστόν, ὅστις πολλάκις μὴ παρακαλούμενος ἐθαυματούργει, ὑπὸ τῆς ἰδίας αὐτοῦ εὐσπλαγχνίας δυσωπούμενος· ὠνομάζετο δὲ ὁ ἀσθενὴς Αἰνέας, βαρυτάτη δὲ καὶ πολυχρόνιος ἦν ἡ ἀσθένεια αὐτοῦ, παράλυσις δηλαδὴ ὅλου τοῦ σώματος· διὸ καὶ ὀκτὼ ἔτη κατέκειτο εἰς τὸν κράββατον· ἀκούσατε δὲ τῆς ἰατρείας τὸν τρόπον.

*Καὶ εἶπεν αὐτῷ ὁ Πέτρος Αἰνέα, ἰᾶταί σε Ἰησοῦς ὁ Χριστός, ἀνάστηθι καὶ στρῶσον σεαυτῷ* (4).

Ὅσον βαρεῖα καὶ πολυχρόνιος ἡ ἀσθένεια, τοσοῦτον εὔκολος καὶ ταχυτάτη ἡ ἰατρεία. Αἰνέα, εἶπε πρὸς τὸν ἀσθενοῦντα ὁ Πέτρος, ἰατρεύει σε ὁ Ἰησοῦς Χριστός· ἀνάστηθι, καὶ στρῶσον σεαυτῷ. Εὐθὺς δέ, ὢ τοῦ θαυμάτος! μεγάλη ὄντως, Ἰησοῦ Χριστὲ, ἡ δύναμις τοῦ ὀνόματός σου· ὁ παράλυτος, ὁ κατακείμενος ἔτη ὀκτὼ, καὶ μὴ δυνάμενος σαλεῦσαι ἀπὸ τῆς κλίνης αὐτοῦ, ἀνέστη καὶ περιεπάτει. Σημείωσαι δὲ ὅτι τὸ « Στρῶσον σεαυτῷ, » φράσις ἐστὶ μοναδική, μόνον ἐνταῦθα εὑρισκομένη, καὶ

(1) Β'. Τιμ. 1, 9. (2) Ἱερων. ἐν τῷ ὀνομαστ. (3) Πραξ. 9, 33. (4) Πράξ. 9, 34.



ἀκατανόητος, ὅσον ἀπὸ τῆς λέξεως· ὅθεν καὶ κατὰ διαφόρους τρόπους αὐτὴν ἐξηγήσαντο· τινὲς μὲν λέγουσιν, ὅτι σημαίνει τό, ἀνάστα καὶ στρῶσον σεαυτῷ τράπεζαν, ἵνα φάγῃς· τινὲς δὲ τό, ἀνάστα καὶ στρῶσον τὸν κράββατόν σου, ὃν πρότερον ἄλλοι ἐστρώννυόν σοι. Ἄλλοι δὲ διηρμήνευσαν τό, στρῶσον σεαυτῷ, διὰ τοῦ, ἆρον τὸν κράββατον (1), ὅθεν εἶπεν. « Καὶ ἔλεγχον δίδωσι τοῦ σημείου τοῦ ἆραι τὸν κράββατον, » ἤγουν καὶ ἔδωκεν ἀπόδειξιν τοῦ θαύματος τὴν ἆρσιν τοῦ κραββάτου· Ποῖα δὲ τούτου τοῦ θαύματος τὰ ἀποτελέσματα;

*Καὶ εἶδον αὐτὸν πάντες οἱ κατοικοῦντες Λύδδαν καὶ τὸν Σάρωνα, οἵτινες ἐπέστρεψαν ἐπὶ τὸν Κύριον* (2).

Ἡ πίστις τοῦ Πέτρου ἐτέλεσε τὸ θαῦμα, τὸ δὲ θαῦμα ἐφείλκυσε καὶ ἐστήριξεν εἰς τὴν πίστιν πάντας τοὺς κατοικοῦντας τὴν Λύδδαν καὶ τὸν Σάρωνα, διότι ἰδόντες αὐτοί, ὅτι διὰ τοῦ ὀνόματος τοῦ Ἰησοῦ Χριστοῦ, τοῦ ὑπὸ τοῦ Πέτρου προενεχθέντος, ὁ ἀκίνητος παράλυτος ἀνέστη καὶ περιεπάτει, ἐπιστρέψαντες ἀπὸ τῆς πλάνης αὐτῶν, ἐπίστευσαν ἐπὶ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν. Λύδδα δὲ καὶ Σάρων ὁ τόπος ἐστὶν ὁ μεταξὺ τοῦ ὄρους Θαβὼρ καὶ τῆς Τιβεριάδος λίμνης, ἔτι δὲ καὶ ὁ μεταξὺ τῆς ἐν Παλαιστίνῃ Καισαρείας ἄχρι τῆς Ἰόππης (3). Τοῦτο δὲ τὸ θαῦμα, συντόμως διηγηθεὶς ὁ θεηγόρος Λουκᾶς, μεταβαίνει εἰς τὴν διήγησιν ἄλλου θαύματος πολλῷ μείζονος, λέγων.

*Ἐν Ἰόππῃ δέ τις ἦν μαθήτρια ὀνόματι Ταβιθά, ἣ διερμηνευομένη λέγεται Δορκάς· αὕτη ἦν πλήρης ἀγαθῶν ἔργων καὶ ἐλεημοσυνῶν, ὧν ἐποίει* (4).

Ἀκούεις, πῶς ὡς ἄριστος ἱστοριογράφος περιέγραψεν ἐν συντόμῳ τοὺς λαμπροὺς χαρακτῆρας ταύτης τῆς ἁγίας γυναικός; Αὐτή, λέγει, πατρίδα εἶχε τὴν Ἰόππην, (πόλιν παραθαλάσσιον τῆς Παλαιστίνης ἄχρι τοῦ νῦν σωζομένην) ἦν δὲ μαθήτρια τοῦ Ἰησοῦ Χριστοῦ, πεπληρωμένη δὲ ἦν καλῶν ἔργων, καὶ πολλὰς δὲ ἐλεημοσύνας ἐποίει. Ἀλλὰ καὶ αὐτὸ τὸ ἑβραϊκὸν ὄνομα αὐτῆς, Ταβιθά, διηρμήνευσεν ὁ τρισμακάριος, λέγων, ὅτι σημαίνει Δορκάς· ἥτις ἐστὶ ζῶον ὀξυδερκέστατον καὶ ταχύδρομον· ἵνα ἐκ τούτου μάθωμεν, ὅτι καὶ αὐτὸ τὸ ὄνομα αὐτῆς ἐσήμαινε τὸ ὀξυδερκὲς τοῦ νοὸς αὐτῆς πρὸς τὴν ἐκλογὴν τῶν ὄντως καλῶν ἔργων, καὶ τὴν προθυμίαν καὶ ταχύτητα αὐτῆς πρὸς τὴν τῆς ἀρετῆς ἐκπλήρωσιν.

*Ἐγένετο δὲ ἐν ταῖς ἡμέραις ἐκείναις ἀσθενήσασαν αὐτὴν ἀποθανεῖν, λούσαντες δὲ αὐτήν, ἔθηκαν ἐν τῷ ὑπερῴῳ* (5).

Ἐν ταῖς ἡμέραις ἐκείναις, ἤγουν ἐν αὐταῖς ταῖς ἡμέραις, ἐν αἷς ὁ Πέτρος διήρχετο τὰς πόλεις τῆς Ἰουδαίας ἐπισκεπτόμενος πάντας τοὺς ἐκεῖ κατοικοῦντας, ἠσθένησεν ἡ Ταβιθὰ, καὶ ἀπέθανεν. Οἱ οὖν περὶ αὐτὴν πιστοὶ ἔλουσαν τὸ σῶμα αὐτῆς, καὶ ἔθηκαν αὐτὸ εἰς τὸ ἀνώγαιον τῆς οἰκίας, ἕως ἂν ἔλθῃ ὁ Πέτρος, ὃν ἐμελέτη-

(1) Χρυσ. ἐν ταῖς τῶν Ἀποστ. Πράξ. (2) Πράξ. 9, 35. (3) Ἱερων. ἐν τῷ ὀνομαστ. (4) Πράξ. 9, 36.
(5) Αὐτόθι 9. 37.

σαν προσκαλέσαι, ὡς ἐκ τῶν ἐφεξῆς λόγων φαίνεται. Βλέπε δὲ, πόθεν οἱ ὀρθόδοξοι χριστιανοὶ παρέλαβον τὴν ἄχρι τῆς σήμερον σωζομένην παράδοσιν, ἵνα δι' ὕδατος νίπτωσι τῶν νεκρῶν τὰ σώματα. Γίνεται δὲ τοῦτο, ἵνα ὁ νεκρὸς ἐκεῖνος ἔχῃ καθαρὸν τὸ σῶμα αὐτοῦ ἀπὸ παντὸς σωματικοῦ μολυσμοῦ, καθὼς καθαρὰν ἔχει καὶ τὴν ψυχὴν αὐτοῦ ἀπὸ πάσης ψυχικῆς κηλίδος· καὶ ἵνα σημαίνῃ τὴν ἐσωτερικὴν κάθαρσιν ἡ ἐξωτερική. Ἀκούσατε δὲ καὶ τὴν λοιπὴν τῆς ἱστορίας ἀκολουθίαν.

*Ἐγγὺς δὲ οὔσης Λύδδης τῇ Ἰόππῃ, οἱ μαθηταὶ ἀκούσαντες, ὅτι Πέτρος ἐστὶν ἐν αὐτῇ, ἀπέστειλαν πρὸς αὐτὸν παρακαλοῦντες μὴ ὀκνῆσαι διελθεῖν ἕως αὐτῶν* (1).

Ἡ Λύδδα, ὅπου ἡ Ταβιθὰ ἀπέθανε, πλησίον ἦν τῆς πόλεως Ἰόππης. Οἱ οὖν μαθηταὶ τοῦ Χριστοῦ, οἱ τὴν Λύδδαν κατοικοῦντες, ἀκούσαντες ὅτι ὁ Ἀπόστολος Πέτρος εὑρίσκεται εἰς τὴν Ἰόππην, ἀπέστειλαν πρὸς αὐτὸν δύω ἄνδρας (*), παρακαλοῦντες, ἵνα μὴ ἀργοπορήσῃ ἐλθεῖν πρὸς αὐτούς. Αὐτοὶ ἤλπισαν ὅτι ὁ Πέτρος ὁ ἐνώπιον αὐτῶν ἰατρεύσας τὸν παράλυτον Αἰνέαν, καὶ διὰ τῆς σκιᾶς αὐτοῦ τόσα μεγάλα θαύματα τελέσας, δύναται καὶ τὴν Ταβιθὰ ἐκ νεκρῶν ἀναστῆσαι· ἐὰν οὐκ εἶχον τοιαύτην ἐλπίδα, οὐ παρηνώχλουν τὸν Πέτρον, ὅςις ἀφιερωμένος ἦν εἰς τὰς φροντίδας τοῦ Εὐαγγελικοῦ κηρύγματος· ηὔξανε δὲ τὴν ἐλπίδα αὐτῶν ἡ δέησις τῶν πτωχῶν, καὶ τῶν χηρῶν τὰ δάκρυα. Προθυμότατος δὲ ἐφάνη ὁ Πέτρος πρὸς τὴν ἐκπλήρωσιν τῆς ἱκεσίας τῶν μαθητῶν τοῦ Χριστοῦ.

*Ἀναστὰς δὲ Πέτρος συνῆλθεν αὐτοῖς· ὃν παραγενόμενον ἀνήγαγον εἰς τὸ ὑπερῷον· καὶ παρέστησαν αὐτῷ πᾶσαι αἱ χῆραι κλαίουσαι, καὶ ἐπιδεικνύμεναι χιτῶνας καὶ ἱμάτια ὅσα ἐποίει μετ' αὐτῶν οὖσα ἡ Δορκάς* (2).

Οἱ ὑπὸ τῶν μαθητῶν ἀποσταλέντες προσκαλέσαι τὸν Πέτρον ἐφανέρωσαν, ὡς φαίνεται εἰς αὐτόν, διὰ ποίαν αἰτίαν προσκαλοῦσιν αὐτόν. Ὅθεν εὐθὺς μετ' αὐτῶν τῶν ἀποσταλέντων ἦλθεν ὁ Πέτρος πρὸς αὐτούς· Ἐκεῖνοι δὲ ἀνεβίβασαν αὐτὸν εἰς τὸ ἀνώγαιον, ὅπου ἔκειτο τὸ νεκρὸν σῶμα τῆς Ταβιθά· ἐκεῖ δὲ εὐθὺς παρεστάθησαν ἐνώπιον αὐτοῦ πᾶσαι αἱ πτωχαὶ χῆραι γυναῖκες, κλαίουσαι καὶ ὀδυρόμεναι διὰ τὴν στέρησιν τῆς Ταβιθά, τῆς τροφοῦ αὐτῶν καὶ εὐεργέτιδος. Ἵνα δὲ πληροφορήσωσιν αὐτὸν περὶ τῆς ἐλεημοσύνης καὶ τῶν λοιπῶν εὐεργετημάτων τῆς Ταβιθά, ἐδείκνυον αὐτῷ τοὺς χιτῶνας καὶ τὰ ἐνδύματα, δι' ὧν ἐκείνη αὐτὰς ἠλέησε. Βλέπε δὲ καὶ τὴν ταπείνωσιν ταύτης τῆς μακαρίας γυναικός. Αὐτὴ οὐ μόνον ἠλέει τὰς πτωχὰς χήρας, ἀλλὰ καὶ συνανέστρέφετο μετ' αὐτῶν· τοῦτο δὲ ἐδήλωσεν ὁ ἱστορικὸς σημειώσας τό, «Μετ' » αὐτῶν οὖσα.» Τί δὲ ἐποίησε τότε ὁ Πέτρος;

*Ἐκβαλὼν δὲ ἔξω πάντας ὁ Πέτρος, θεὶς τὰ γόνατα προσηύξατο· καὶ ἐπιστρέψας πρὸς τὸ σῶμα, εἶπε· Ταβιθὰ*

(1) Πράξ. 9, 38. (*) Ὅρα τὴν κατὰ τὸ 1711 ἔτος ἐν Ἀμστελ. ἐκδ. τῆς Καιν. Διαθ. (2) Πράξ. 9, 39. (3) Αὐτόθι 9, 40.



*ἀνάστηθι· ἡ δὲ ἤνοιξε τοὺς ὀφθαλμοὺς αὐτῆς, καὶ ἰδοῦσα τὸν Πέτρον, ἀνεκάθισε* (1).

Διὰ τί ἐξέβαλε πάντας ἔξω; ὅπου πλῆθος ἀνθρώπων κλαιόντων καὶ θρηνούντων, ἐκεῖθεν δυσκόλως ἀναβαίνει ὁ νοῦς εἰς τοῦ Θεοῦ τὸν θρόνον· ἐξέβαλεν οὖν πάντας ἔξω ἵνα προσηλώσῃ ὅλως διόλου τὸν νοῦν αὐτοῦ πρὸς τὸν Θεόν· καὶ ἵνα μιμηθῇ τὸν ἑαυτοῦ διδάσκαλον, ὅστις πρῶτον ἐξέβαλε πάντας τοὺς ἐν τῇ οἰκίᾳ τοῦ Ἰαείρου, ἔπειτα ἀνέστησε τὴν τούτου θυγατέρα (2)· καὶ ἵνα φύγῃ ὅσον ἦν δυνατὸν τῶν ἀνθρώπων τὰς τιμὰς καὶ τοὺς ἐπαίνους. Ὅτε δὲ ἐξέβαλε πάντας ἔξω, τότε κλίνας εἰς τὴν γῆν τὰ γόνατα, ἐξέχεε τὴν δέησιν αὐτοῦ πρὸς τὸν Θεόν· καὶ τί μὲν εἶπε προσευχόμενος, ἐσιώπησεν ὁ ἱστορικός, ὡς φανερὸν ἐκ τῶν πραγμάτων. Διότι τί ἄλλο παρεκάλεσε τὸν πανοικτίρμονα Θεὸν τότε, εἰ μὴ ἵνα, ἐλεήσας ἐκείνους τοὺς πτωχούς, ἀναστήσῃ ἐκ τῶν νεκρῶν τὴν τούτων εὐεργέτιδα; Ἀλλὰ διὰ τί οὐκ ἐποίησε ταῦτα, ὅταν ἰάτρευσε τὸν Αἰνέαν; Τὸ θαῦμα τῆς ἀναστάσεως τοῦ νεκροῦ μεῖζόν ἐςι τοῦ θαύματος τῆς ἰατρείας τοῦ παραλύτου· διὸ καὶ ἐκτενὴς καὶ γονυπετὴς ἡ ὑπὲρ ἐκείνου προσευχή. Ἐπειδὴ δὲ λέγει ὁ ἱστοριογράφος, ὅτι ὁ Πέτρος μετὰ τὴν προσευχήν, ἐπέςρεψεν, ἤγουν ἐνητένισε πρὸς τὸ νεκρὸν σῶμα τῆς Ταβιθά, φανερόν ἐστιν, ὅτι, ὅταν ὑπὲρ αὐτῆς προσηύχετο, προσηλωμένος ἦν εἰς τὸν οὐρανὸν οὐ μόνον ὁ νοῦς αὐτοῦ, ἀλλὰ καὶ τὸ πρόσωπον καὶ τὰ ὄμματα. Ἐπέβλεψεν οὖν ἐπὶ τὸ νεκρὸν σῶμα, καί, ὥσπερ ἂν εἰ ἐκοιμᾶτο ἡ Ταβιθά, οὕτως αὐτὸς μὲν ἐλάλησε πρὸς αὐτήν, ἐκείνη δὲ ὑπήκουσεν αὐτῷ· Ταβιθά, εἶπεν. Ἐκείνη δέ, ὦ τῶν θαυμασίων σου Χριστὲ βασιλεῦ! ὡς ἐξ ὕπνου ἤνοιξε τοὺς ὀφθαλμοὺς αὐτῆς, καὶ ἰδοῦσα αὐτόν, ἀνεκάθισε.

*Δοὺς δὲ αὐτῇ χεῖρα, ἀνέστησεν αὐτήν· φωνήσας δὲ τοὺς ἁγίους καὶ τὰς χήρας παρέστησεν αὐτὴν ζῶσαν* (3).

Δύο ἀναστάσεις βλέπομεν εἰς τὸ περὶ τὴν Ταβιθὰ ἔργον· τὴν ἐκ τῶν νεκρῶν ἀνάστασιν αὐτῆς, καὶ τὴν ἀνάστασιν ἐκ τοῦ τόπου, ἐν ᾧ αὐτὴ ἔκειτο. Τὴν πρώτην ἐποίησεν ὁ Θεός, ἐπακούσας τῆς δεήσεως τοῦ Πέτρου· τὴν δευτέραν ὁ Πέτρος, δοὺς αὐτῇ χεῖρα βοηθείας. Τοῦτο τὸ παράδειγμα διδάσκει τό, ὅτι εἰς τὰ ἀγαθὰ ἔργα ὁ Θεὸς ποιεῖ ἐκεῖνο, ὅσον ὑπερβαίνει τὴν δύναμιν ἡμῶν, ἐγκαταλιμπάνει δέ, ὅσον ἐστὶ τῆς ἀνθρωπίνης δυνάμεως, ἵνα ἡμεῖς ἐκτελέσωμεν αὐτό. Ὅτε δὲ καὶ ἐκ νεκρῶν καὶ ἐκ τῆς κλίνης ἀνέστη ἡ Ταβιθά. τότε ὁ Πέτρος προσκαλέσας τοὺς ἁγίους, ἤγουν τοὺς πιστούς, καὶ τὰς πτωχὰς χήρας τὰς πρότερον κλαιούσας, παρέστησεν αὐτὴν ἐνώπιον αὐτῶν ζῶσαν. Τοῦτο δὲ ἐποίησεν, ἵνα δείξῃ, ὅτι ἐδεήθη τοῦ Θεοῦ ὑπὲρ τῆς ἀναστάσεως αὐτῆς διὰ τὰ δάκρυα αὐτῶν καὶ διὰ παρηγορίαν τῆς τούτων χρείας. Τί δὲ ἠκολούθησε μετὰ τοῦτο τὸ ἐξαίσιον θαῦμα;

*Γνωστὸν δὲ ἐγένετο καθ' ὅλης τῆς Ἰόππης· καὶ πολλοὶ ἐπίστευσαν ἐπὶ τὸν Κύριον* (4).

Ἐδημοσιεύθη τοῦτο τὸ μέγα θαῦμα εἰς ὅλην τὴν Ἰόππην· ὅθεν πολλοὶ τῶν ἐν αὐτῇ

(1) Πράξ. 9, 40. (2) Μάρκ. 5, 40. (3) Πράξ. 9, 41. (4) Αὐτ. 9, 42.

κατοικούντων ἐπίστευσαν ἐπὶ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν. Σὺ δὲ σημείωσον τὴν δύναμιν τῆς πίστεως· δι' αὐτὴν ὁ Θεὸς ποιεῖ τὰ θαύματα· « Καὶ πάντα ὅσα ἂν » αἰτήσητε ἐν τῇ προσευχῇ, πιστεύοντες, » λήψεσθε » (1). Τὰ δὲ θαύματα ποιοῦσι πιστοὺς τοὺς ἀπίστους. « Καὶ εἶδον αὐτόν, » ἤγουν τὸν Αἰνέαν, πάντες οἱ κατοικοῦντες Λύδδαν καὶ τὸν Σάρωνα, οἵτινες ἐπέστρεψαν ἐπὶ τὸν Κύριον. Γνωστὸν δὲ » ἐγένετο καθ' ὅλης Ἰόππης, τὸ θαῦμα τῆς ἐκ νεκρῶν ἀναστάσεως τῆς Ταβιθά· καὶ » πολλοὶ ἐπίστευσαν ἐπὶ τὸν Κύριον » (2).

# ΟΜΙΛΙΑ

ΜΕΤΑ ΤΑΣ

## ΠΡΑΞΕΙΣ ΤΩΝ ΑΠΟΣΤΟΛΩΝ

### ΤΑΣ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΑΣ ΤΗ͂Ι ΚΥΡΙΑΚΗ͂Ι ΤΟΥ ΠΑΡΑΛΥΤΟΥ.

ΤΙΣ ἔπεισε τοὺς μαθητὰς τοῦ Χριστοῦ, τοὺς κατοικοῦντας εἰς τὴν Ἰόππην, ἵνα ἐγκαταλίπωσιν ἄταφον τὸ νεκρὸν σῶμα τῆς Ταβιθά, προσκαλέσωσι δὲ ἀπὸ τῆς Λύδδας τὸν Πέτρον, ἵνα ἔλθῃ πρὸς αὐτούς; τίς ἐπληροφόρησεν αὐτούς, ὅτι ὁ Πέτρος ἐλθὼν εἰς τὴν Ἰόππην, ἀναστήσει τὴν Ταβιθὰ ἐκ τῶν νεκρῶν; Πολὺς ἦν ὁ ἀριθμὸς τῶν πιστῶν τῶν κατοικούντων τὴν Ἰουδαίαν καὶ Γαλιλαίαν καὶ Σαμάρειαν, διὸ ἀναμφίβολόν ἐςιν, ὅτι καὶ ἄλλοι ἐξ αὐτῶν ἀπέθανον, ἐν ὅσῳ ὁ Πέτρος διήρχετο τὰς ἐκεῖ πόλεις· διὰ τί οὖν διὰ μόνην τὴν Ταβιθά, καὶ οὐχὶ δι' ἄλλον τινὰ ταῦτα ἐγένοντο; Τὰ δάκρυα τῶν πτωχῶν ἔπεισαν τοὺς μαθητάς, ἵνα ταῦτα ποιήσωσιν. Ἡ ἐλεημοσύνη τῆς Ταβιθὰ ἐπληροφόρησεν αὐτούς, ὅτι ὁ μὲν Πέτρος ἐλεύσεται πρὸς αὐτούς, καὶ παρακαλέσει ὑπὲρ τῆς ἀναστάσεως αὐτῆς. Ὁ δὲ πανελεήμων Θεός, ἐπακούσας τὴν δέησιν αὐτοῦ, ἀναστήσει αὐτὴν ἐκ τῶν νεκρῶν· διὰ δὲ τὰς πολλὰς ἐλεημοσύνας αὐτῆς ἡ Ταβιθὰ μόνη κατηξιώθη τοσαύτης χάριτος καὶ ἐξαιρέσεως. Ἀπέδειξε τοῦτο ὁ Πέτρος πρῶτον μέν, ἐπειδή, ὅταν εἶδε τὰ δάκρυα τῶν πτωχῶν, καὶ τοὺς χιτῶνας, καὶ τὰ ἐνδύματα τῆς Ταβιθὰ εἰς τὰς χεῖρας αὐτῶν, τότε εὐθὺς μετὰ πολλοῦ θάῤῥους καὶ μεγάλης πεποιθήσεως ἔκλινεν εἰς τὴν γῆν τὰ γόνατα, καὶ παρεκάλεσε τὸν Θεὸν ὑπὲρ τῆς ἀναστάσεως αὐτῆς· δεύτερον δέ, ἐπειδὴ ἀφ' οὗ ἡ Ταβιθὰ ἀνέστη· « Φωνήσας, λέγει ὁ θεη» γόρος Λουκᾶς, τοὺς ἁγίους καὶ τὰς χήρας » παρέστησεν αὐτὴν ζῶσαν » (3). Διὰ ποῖον δὲ ἄλλον λόγον τοῦτο ἐποίησεν ὁ Πέτρος, εἰ μή, ἵνα ἀποδείξῃ, ὅτι διὰ τοὺς ἁγίους καὶ διὰ τὰς χήρας ἀνέςησεν αὐτὴν ὁ Θεός; διὰ μὲν τοὺς ἁγίους, ἵνα ἐπιστηριχθῶσιν

(1) Ματθ. 21, 22. (2) Πράξ. 9, 35. (3) Αὐτ. 9, 41.



εἰς τὸ ἅγιον τῆς ἐλεημοσύνης ἔργον, διὰ δὲ τὰς χήρας, ἵνα ἔχωσιν αὐτὴν καταφύγιον εἰς τὰς ἀνάγκας αὐτῶν, καθὼς καὶ πρότερον· μάθῃ δὲ διὰ τούτου τοῦ θαυμασιωτάτου παραδείγματος, καὶ πληροφορηθῇ ὁ κόσμος ὅλος, ὅτι μεγάλη ἐστὶ τῆς ἐλεημοσύνης ἡ δύναμις.

Πεπληρωμέναι εἰσὶν αἱ θεῖαι Γραφαὶ νομοθετημάτων, προτροπῶν, παραδειγμάτων, ὑποσχέσεων, βραβείων, ἀνταποδόσεων τῆς ἐλεημοσύνης· ἐξ αὐτῶν δὲ πάντων συμπεραίνεται, μᾶλλον δὲ αἰσθητῶς φαίνεται τῆς ἐλεημοσύνης ἡ χάρις καὶ ἡ δύναμις· καὶ ὅτι μὲν νενομοθετημένη ἐστὶν ἡ ἐλεημοσύνη, οὐδεὶς ἀμφιβάλλει, ἀκούων τὸν Κύριον, λέγοντα· « Πλὴν τὰ ἐνόντα δότε ἐλεημοσύ» νην. Πωλήσατε τὰ ὑπάρχοντα ὑμῶν, καὶ » δότε ἐλεημοσύνην » (1). Ποία ἄλλη νομοθεσία ἢ σαφεστέρα, ἢ ἐμφαντικωτέρα ταύτης τῆς νομοθεσίας; βλέπε δέ, καὶ πόση ἐστὶν ἡ χάρις αὐτῆς καὶ ἡ δύναμις.

Ἡ ἐλεημοσύνη ἔχει πτέρυγας, δι' ὧν ἀναβαίνει εἰς τὸν οὐρανόν, καὶ ἵσταται διὰ παντὸς ἐνώπιον τοῦ θρόνου τοῦ Θεοῦ, ἵνα, βλέπων καὶ μνημονεύων αὐτῆς ὁ Θεός, ἐλεῇ ἡμᾶς. Τοῦτο ἐφανέρωσεν ἡμῖν ὁ Θεὸς ὅταν ἀπέστειλε τὸν ἄγγελον αὐτοῦ πρὸς τὸν Κορνήλιον τὸν ἑκατοντάρχην, ἵνα ἀναγγείλῃ πρὸς αὐτὸν ταῦτα· « Αἱ προσευχαί σου καὶ » αἱ ἐλεημοσύναι σου ἀνέβησαν εἰς μνημό» συνον ἐνώπιον τοῦ Θεοῦ » (2). Τῆς ἐλεημοσύνης ἡ χάρις ὑπερβαίνει τὴν χάριν πάσης θυσίας· πᾶν ἀγαθὸν ἔργον δι' ἀγάπην Θεοῦ γινόμενον, θυσία ἐστὶν εἰς τὸν Θεὸν προσφερομένη. Θυσία ἐστὶ καὶ ἡ ἀγάπη καὶ ἡ ταπείνωσις καὶ ἡ σωφροσύνη καὶ ἡ ὑπακοὴ καὶ ἡ νηστεία καὶ ἡ προσευχὴ καὶ τῆς ψυχῆς ἡ κατάνυξις, κατὰ τό, « Θυσία » τῷ Θεῷ πνεῦμα συντετριμμένον » (3), καὶ πᾶσα ἄλλη ἀγαθοεργία· ἡ ἐλεημοσύνη ὅμως προτιμοτέρα ἐστὶ πασῶν τῶν θυσιῶν. Θέλει ὁ Θεὸς τὰς θυσίας, θέλει τὰ καλὰ ἔργα, ἐπειδὴ αὐτὸς καὶ τὰς θυσίας ἐνομοθέτησε, καὶ τῶν ἀγαθῶν ἔργων ἐστὶν ἡ πηγή. Ἵνα δὲ πληροφορήσῃ, ὅτι προτιμᾷ τὴν ἐλεημοσύνην πασῶν τῶν ἄλλων θυσιῶν, εἶπε, « Πορευθέντες δὲ μάθετε τί ἐστιν· ἔλεον » θέλω, καὶ οὐ θυσίαν » (4). Προτιμῶ, λέγει, τὸν ἔλεον καὶ αὐτῆς τῆς θυσίας.

Ἡ ἐλεημοσύνη οὐκ ἔστι δωρεά, ὥς τινες νομίζουσιν, ἀλλ' ἔστι δάνειον· εἰς τοῦτο δὲ τὸ δάνεισμα ὁ μὲν ἐλεῶν δανείζει, ὁ δὲ πτωχὸς δανείζεται, ὁ δὲ Θεὸς γίνεται ἐγγυητὴς τοῦ δανείσματος· ἀνάλαβε, λέγει ὁ Θεός, φροντίδα διὰ τὸν πτωχὸν τὸν ἀσθενῆ, εἴ τι δ' ἂν ἐξοδεύσῃς ὑπὲρ αὐτοῦ, ἐγὼ ἀνταποδώσω σοι, ὅταν ἔλθω πάλιν εἰς τὸν κόσμον, ἵνα κρίνω ζῶντας καὶ νεκρούς. « Ἐπιμελήθητι αὐτοῦ· καὶ ὅ,τι ἂν προσδα» πανήσῃς, ἐγὼ ἐν τῷ ἐπανέρχεσθαί με ἀ» ποδώσω σοι » (5)· ἀκούεις; ἐγώ, λέγει, ἀποδώσω σοι. Ποῖον ἄλλον ἐγγυητὴν εὑρίσκεις ἢ πιστότερον, ἢ πλουσιώτερον, ἢ ἀληθέστερον τοῦ Θεοῦ; Ἐπειδὴ ὅμως οὐχ ὁ ἐγγυητής, ἀλλ' ὅστις δανείζεται, ἐκεῖνος κυρίως καὶ καθ' αὑτὸ χρεωστεῖ τὴν ἀνταπόδοσιν· διὰ τοῦτο ὁ πανυπεράγαθος Θεός, ἵνα προτρέψῃ ἡμᾶς περισσότερον εἰς τῆς ἐλεημοσύνης τὸ ἔργον, γίνεται ἀντὶ ἐγγυητοῦ δανειζόμενος, ὅθεν ὡς χρεώστης ὑπόσχεται τὴν ἀνταπόδοσιν, λέγων· « Δανείζει » Θεῷ ὁ ἐλεῶν πτωχόν, καὶ τὸ δόμα αὐτοῦ » ἀνταποδώσει αὐτῷ » (6). Ὢ τοῦ παραδόξου πράγματος· ἡ ἐλεημοσύνη ἀναποδίζει

(1) Λουκ. 11, 41. καὶ 12, 33. (2) Πράξ. 10, 4. (3) Ψαλμ. 50, 17. (4) Ματθ, 9, 13. (5) Λουκ. 10, 35.
(6) Παροιμ. 19, 17.

πάντας τοὺς νόμους· κατὰ τοὺς νόμους τῆς φύσεως, τῆς τάξεως, τοῦ λόγου, τὰ χρέη τοῦ ἀνθρώπου πρὸς τὸν Θεόν εἰσιν ἄπειρα· ἡ δὲ ἐλεημοσύνη ποιεῖ τὸν Θεὸν χρεώστην τοῦ ἀνθρώπου. Βλέπεις, πόση τῆς ἐλεημοσύνης ἡ δύναμις;

Ἀλλ᾽ οὐδὲ εἰς τοῦτο ἀρκεῖται ὁ φιλανθρωπότατος· ἀναλαμβάνων δὲ τοῦ πτωχοῦ τὸ πρόσωπον, λέγει· ὅταν ἔρχηται ἐνώπιόν σου ὁ πτωχός, τότε ἐγὼ παρίσταμαι ἔμπροσθέν σου· ὅταν ζητῇ παρὰ σοῦ ἐλεημοσύνην ὁ πτωχός, τότε ἐγὼ ζητῶ ἐλεημοσύνην παρὰ σοῦ· εἴτε δὲ ἄρτον, εἴτε ἔνδυμα, εἴτε ἀργύριον, εἴτε ἄλλο τι δώσεις τῷ πτωχῷ, δίδως αὐτὸ εἰς ἐμέ· ὅ,τι καὶ ὅσον ποιήσεις εἰς τὸν πτωχόν, τοῦτο εἰς ἐμὲ ποιεῖς. « Ἀμὴν λέγω ὑμῖν, ἐφ᾽ ὅσον ἐποιήσατε ἑνὶ » τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, » ἐμοὶ ἐποιήσατε » (1). Βαβαὶ τῆς φιλανθρωπίας σου, πανάγαθε βασιλεῦ. Σὺ ὁ κατοικῶν ἐν οὐρανοῖς, καταβαίνεις ἐπὶ τῆς γῆς, ἵνα παραλάβῃς τὴν ἐλεημοσύνην μου. Σὺ ὁ ὑπὸ πάσης τῆς ἐπουρανίου δυνάμεως προσκυνούμενος καὶ δοξολογούμενος, καὶ ἐξουσιάζων πᾶσαν τὴν γῆν καὶ πᾶσαν τὴν οἰκουμένην, παρίστασαι ἐνώπιόν μου ὡς πτωχὸς τεταπεινωμένος. Σὺ, ὅστις ἀνοίγεις τὴν χεῖρά σου, καὶ ἐμπιπλᾷς πᾶν ζῶον εὐδοκίας, ἐκτείνεις τὴν δεξιάν σου, καὶ ζητεῖς παρ᾽ ἐμοῦ ὀλίγον ἄρτον, ἵνα χορτάσῃς· ὁ περιβάλλων τὸν οὐρανὸν ἐν νεφέλαις, ζητεῖς παρ᾽ ἐμοῦ ἔνδυμα, ἵνα σκεπάσῃς τὴν γύμνωσίν σου· ὁ παντοδύναμος καὶ παντοκράτωρ, ζητεῖς τὴν ἐπίσκεψίν μου εἰς τὰς χρείας σου· ὦ κύριε, κύριε τοῦ ἐλέους, σὺ ζητεῖς παρ᾽ ἐμοῦ ἐλεημοσύνην; Οὕτως ἔχει, ἀδελφοί, καὶ οὕτως ὁ Θεὸς ᾠκονόμησε διὰ τὴν σωτηρίαν ἡμῶν. « Ἀμὴν λέγω ὑμῖν, » ἐφ᾽ ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελ» φῶν μου τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε » (2). Τόσον ἐστὶ τῆς ἐλεημοσύνης τὸ ὕψος, τόση τῆς ἐλεημοσύνης ἡ χάρις καὶ ἡ δύναμις.

Διὰ τοῦτο ἀκούομεν, ὅτι καὶ ἀνταποδόσεις εἰσὶ διωρισμέναι διὰ τοὺς ἐλεήμονας μεγάλαι καὶ πολλαί, ἐπίγειοι καὶ ἐπουράνιοι. Βλέπε πρῶτον τὰς ἐπιγείους. Ὁ προφητάναξ Δαβὶδ δι᾽ ὀλίγων λέξεων ἐξέθετο πάσας, εἰπών· « Ὅλην τὴν ἡμέραν ἐλεεῖ » καὶ δανείζει ὁ δίκαιος, καὶ τὸ σπέρμα » αὐτοῦ εἰς εὐλογίαν ἔσται » (3). Τί δὲ σημαίνει ἡ εὐλογία τοῦ Θεοῦ; αὐτὴ σημαίνει πάντα τὰ ἀγαθά, καὶ πᾶσαν εὐτυχίαν· τὸν Ἀβραὰμ εὐλόγησεν ὁ Θεός (4), εὐλόγησε δὲ καὶ τὰ ἔσχατα τοῦ Ἰὼβ μᾶλλον ἢ τὰ ἔμπροσθεν (5)· αὐτοὶ δὲ καὶ οἱ δύω ἐγένοντο πλούσιοι, ἔνδοξοι, πανευτυχεῖς καὶ πανέντιμοι. Πόσην οὖν χαρὰν αἰσθάνεσθε, ὦ φιλότεκνοι γονεῖς, ὅταν πιστεύητε, ὅτι ὁ Θεὸς διὰ τὴν ἐλεημοσύνην ὑμῶν ἐξαποστέλλει τὴν εὐλογίαν αὐτοῦ ἐπὶ τὰ τέκνα ὑμῶν; πόσον εὐτυχεῖς νομίζετε ἑαυτούς, ὅταν βλέπητε ἐπὶ τοὺς υἱοὺς καὶ τὰς θυγατέρας καὶ τοὺς ἐγγόνους ὑμῶν τοῦ Θεοῦ τὴν εὐλογίαν, ἤγουν τὴν εἰρήνην, τὴν ἀγάπην, τὴν τιμήν, τὸν πλοῦτον, καὶ πᾶσαν ἄλλην ἐπίγειον εὐτυχίαν; τοῦτό ἐστι τὸ ἐπίγειον τῶν ἐλεημόνων ἀνταπόδομα· « Ὅλην τὴν ἡμέ» ραν ἐλεεῖ καὶ δανείζει ὁ δίκαιος, καὶ τὸ » σπέρμα αὐτοῦ εἰς εὐλογίαν ἔσται ».

Βλέπε δὲ δεύτερον καὶ τὰς πνευματικὰς καὶ ἐπουρανίους ἀνταποδόσεις. Τούτων πρώτη ἐςὶ τῶν ἁμαρτιῶν ἡ ἄφεσις· « Πλὴν » τὰ ἐνόντα, εἶπεν ὁ Κύριος, δότε ἐλεημο» σύνην· καὶ ἰδοὺ πάντα καθαρὰ ὑμῖν ἔ-

(1) Ματθ. 25, 40. (2) Αὐτ. 25. 40. (3) Ψαλμ. 36, 26. (4) Γεν. 12, 2. (5) Ἰὼβ 42, 12.



» σται » (1). Ἰδοὺ τὸ πνευματικὸν τῆς ἐλεημοσύνης ἀνταπόδομα τὸ ἑκατονταπλάσιον. Δίδεις ἄρτον φθαρτόν, καὶ λαμβάνεις κάθαρσιν ἁμαρτιῶν· δίδεις μέταλλον τῆς γῆς, καὶ λαμβάνεις σωτηρίαν τῆς ψυχῆς· δίδεις πρᾶγμα πρόσκαιρον, καὶ λαμβάνεις χάρισμα αἰώνιον· « Πλὴν τὰ ἐνόντα δότε ἐλεη» μοσύνην· καὶ ἰδοὺ πάντα καθαρὰ ὑμῖν » ἔσται ». Καὶ μὴ νομίσητε, λέγω, ὅτι εὑρίσκεται ἄνθρωπος, ὅστις οὐκ ἔχει χρείαν τῆς τοιαύτης ἀνταποδόσεως· μὴ νομίσητε, λέγω, ὅτι εὑρίσκεται ἄνθρωπος εἰς τὸν κόσμον καθαρὸς καὶ ἀναμάρτητος, καὶ μὴ ἔχων χρείαν καθάρσεως. « Μὴ λέγε, εἶπεν » ὁ δίκαιος Ἰώβ, ὅτι καθαρός εἰμι τοῖς ἔρ» γοις καὶ ἄμεμπτος ἐναντίον αὐτοῦ. Τίς » γὰρ καθαρὸς ἔσται ἀπὸ ῥύπου; Ἀλλ᾽ » οὐδείς, ἐὰν καὶ μία ἡμέρα ὁ βίος αὐτοῦ » ἐπὶ τῆς γῆς » (2). Ποίαν οὖν ἄλλην ἐλπίδα σωτηρίας ἔχομεν οἱ τάλανες, εἰ μὴ τὸ ἔλεος τοῦ Θεοῦ; δίδοται δὲ τοῦτο τὸ ἔλεος εἰς τοὺς ἐλεήμονας πρὸς ἀνταπόδοσιν τῆς ἐλεημοσύνης αὐτῶν· αὐτὸ δὲ οὐ μόνον ἰατρεύει τὰς πληγὰς τῶν ἁμαρτιῶν καὶ καθαρίζει ἀπὸ παντὸς μολυσμοῦ, ἀλλὰ καὶ ἁγιάζει τῶν ἐλεημόνων τὰς ψυχάς. Ἐβεβαίωσε τοῦτο αὐτὸς ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ, εἰπών, ὅτι οἱ ἐλεήμονες οὐ μόνον ἐλεοῦνται, ἀλλὰ καὶ μακάριοι γίνονται. « Μακάριοι οἱ ἐλεήμονες, » ὅτι αὐτοὶ ἐλεηθήσονται » (3). Ἐλέει οὖν τοὺς πτωχούς, καὶ μὴ ἀμφίβαλλε, ὅτι ἐλεήσει σε ὁ Θεός· ἐλέει τοὺς πτωχούς, καὶ μὴ διστάζῃς, ὅτι γίνεσαι ἄξιος μακαρισμοῦ· « Μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθή» σονται »· Ὁ Θεὸς ἐπιβεβαιῶν τοῦτο, διώκει ἐκ τῶν καρδιῶν ἡμῶν πάντα δισταγμὸν καὶ πᾶσαν ἀμφιβολίαν.

Ὅταν δὲ ἔλθῃ ἡ ἡμέρα ἐκείνη, ἐν ᾗ ὁ δίκαιος κριτὴς καθίσῃ ἐπὶ θρόνου δόξης αὐτοῦ, καὶ πᾶσαι αἱ ἐπουράνιαι δυνάμεις κύκλῳ αὐτοῦ, καὶ πάντες οἱ ἀπ᾽ αἰῶνος ἄνθρωποι ἐνώπιον αὐτοῦ, τότε σύ, ὦ ἄνθρωπε ἐλεήμων, σύ, ὅστις ἔτρεφες τοὺς πεινῶντας καὶ ἐσκέπαζες τοὺς γυμνούς, σύ, ὅστις ἐπροστάτευες τοὺς ὀρφανοὺς καὶ ἐκυβέρνας τὰς χήρας, σύ, ὅστις ὑπηρέτεις τοὺς ἀσθενεῖς καὶ ὑπεδέχου τοὺς ξένους, σύ, ὅστις ἐπεσκέπτου τοὺς ἐν φυλακῇ καὶ ἠλέεις τοὺς πένητας· σύ, ὦ μακάριε ἐλεήμων, τότε λαμβάνεις τῶν ἀνταποδόσεων τὸ πλήρωμα· διότι τότε, πρῶτον μὲν ὁ βασιλεὺς τῆς δόξης ἀντὶ τῆς ἐπιγείου τιμῆς, δι᾽ ἧς αὐτὸν ἐτίμησας, ἀνταποδίδωσί σοι τὴν τιμὴν τὴν οὐράνιον, βάλλει σε δηλαδὴ εἰς τὰ δεξιὰ αὐτοῦ ἐνώπιον πάντων τῶν ἀγγέλων καὶ πάντων τῶν ἀνθρώπων· ἔπειτα ἐνώπιον αὐτῶν κηρύττει τὰς πρὸς αὐτὸν εὐεργεσίας σου· ἐγώ, λέγει, ἐπείνασα, καὶ σύ με ἔθρεψας· ἐγὼ ἐδίψησα, καὶ σύ με ἐπότισας· ἐγὼ ἤμην γυμνός, καὶ σύ με ἐνέδυσας· ἐγὼ ἤμην ξένος, καὶ σύ με ἐφιλοξένησας· ἐγὼ ἤμην ἀσθενής, καὶ σὺ ὑπηρέτησάς με· ἐγὼ ἐν φυλακῇ, καὶ σὺ ἐπεσκέφθης με· Ὢ ἔπαινος πλήρης ἀθανάτου δόξης· ὢ τιμὴ ὑπερβαίνουσα ἀσυγκρίτως πάσας τὰς τιμὰς καὶ δόξας· ἔρχου, λέγει ἔπειτα, ὁ βασιλεὺς τῆς δικαιοσύνης καὶ τοῦ ἐλέους, ἔρχου, ὦ εὐλογημένε τοῦ πατρός μου, κληρονόμησον τὴν βασιλείαν τὴν διὰ σὲ ἡτοιμασμένην ἀπὸ καταβολῆς κόσμου (4). Τοῦτό ἐςιν ἀδελφοί μου τὸ ἀνταπόδομα τῶν ἀνταποδομάτων, ἀνταπόδομα χαρᾶς αἰωνίου, ἀνταπόδομα δόξης ἀπεράντου, ἀνταπόδομα μακαριότητος καὶ βασιλείας, ἧς οὐκ ἔσται τέλος.

(1) Λουκ. 11, 41. (2) Ἰὼβ 11, 4, καὶ 14, 4, 5. (3) Ματθ. 5, 7. (4) Αὐτ. 25, 34.

Ποία ἄλλη ἀρετὴ πλὴν τῆς ἐλεημοσύνης ἔχει παρὰ τῷ Θεῷ τόσην χάριν καὶ δυναμιν; διὰ ποίαν ἄλλην ἀρετὴν ὑπεσχέθη ὁ Θεὸς τόσας ἀνταμοιβάς, ὅσας ὑπεσχέθη διὰ τὴν ἐλεημοσύνην; ποίας ἄλλης ἀρετῆς τὰ κατορθώματα ἐγράφησαν εἰς τὰ ἅγια βιβλία μετὰ τοσαύτης ἀκριβολογίας, εἰ μὴ τὰ τῆς ἐλεημοσύνης; ἡ σήμερον ἀναγνωσθεῖσα τῶν Ἀποστόλων πρᾶξις ἐφανέρωσεν εἰς ἡμᾶς κατόρθωμα τῆς δυνάμεως τῆς ἐλεημοσύνης, εἰς οὐδὲν ἄλλο μέρος τῶν Θείων Γραφῶν εὑρισκόμενον· ἱστόρησε δηλαδή, ὅτι τὰ δάκρυα τῶν χηρῶν καὶ τῶν πτωχῶν, τῶν ὑπὸ τῆς Ταβιθὰ ἐλεηθέντων, ἀνέστησαν αὐτὴν ἐκ τῶν νεκρῶν. Τοῦτο δέ ἐστιν, ὅτι καὶ τοὺς νεκροὺς ἀνιστᾷ τῆς ἐλεημοσύνης ἡ δύναμις.

Σωτήρ μου Ἰησοῦ, ἐπειδὴ τόσον δύναται τῶν πτωχῶν τὰ δάκρυα, παρακαλῶ ἐξ ὅλης μου ψυχῆς καὶ καρδίας τὴν ἄπειρον εὐσπλαγχνίαν σου· δός μοι ταύτην τὴν χάριν, ἵνα ὅταν ἁπλώσωσι τὸ σῶμά μου νεκρόν, περικυκλώσωσι τὴν κλίνην μου οἱ πτωχοί, χέοντες δάκρυα οὐχὶ ἐνώπιον τοῦ Πέτρου, ἵνα ἀναστήσῃ με ἐκ τῶν νεκρῶν, ἀλλ' ἐνώπιον σοῦ τοῦ πανοικτίρμονος, ἵνα ἐλεήσῃς τὴν ψυχήν μου. Ἀμήν.

# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΑΣ

# ΠΡΑΞΕΙΣ ΤΩΝ ΑΠΟΣΤΟΛΩΝ

## ΤΑΣ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΑΣ ΤΗι ΚΥΡΙΑΚΗι ΤΗΣ ΣΑΜΑΡΕΙΤΙΔΟΣ.

ΟΣΑΚΙΣ ἐπολέμησεν ὁ διάβολος τὴν τοῦ Χριστοῦ ἐκκλησίαν, τοσάκις νικηθεὶς κατῃσχύνθη, καὶ ἔπαθε μεγάλην βλάβην. Μέγαν διωγμὸν εὐθὺς εἰς τὰς ἀρχὰς ἐκίνησε κατὰ τῆς ἐκκλησίας, ἀγωνιζόμενος ἵνα ἐξαλείψῃ καὶ ἐκ τῆς καρδίας καὶ ἐκ τοῦ στόματος τῶν ἀνθρώπων τοῦ Ἰησοῦ Χριστοῦ τὸ πανάγιον ὄνομα. Βλέπων δέ, ὅτι διὰ τῶν διωγμῶν οὐδὲν κερδαίνει, ἐπειδὴ ὅσον αὐτὸς ἐδίωκε τόσον ὁ ἀριθμὸς τῶν πιστῶν ηὔξανεν, ἐπιτηδεύεται, ἵνα ἐξολοθρεύσῃ παντελῶς τοὺς κήρυκας τῆς πίστεως. Ὅθεν ὅταν ὁ πρωτοδιάκονος καὶ ἀπόστολος Στέφανος ἐκήρυττε παῤῥησίᾳ τοῦ Χριστοῦ τὸ ὄνομα, τοσοῦτον θυμὸν καὶ ὀργὴν ἐξήγειρεν εἰς τὰς καρδίας τῶν Ἰουδαίων, ὥστε ἔτρυζον τοὺς ὀδόντας αὐτῶν, καὶ ὁρμήσαντες ἀνιλεῶς αὐτὸν ἐλιθοβόλησαν (1). « Ἐγένετο » δὲ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ διωγμὸς μέγας ἐπὶ » τὴν ἐκκλησίαν τὴν ἐν Ἱεροσολύμοις » (2). Ἐκ τούτου δὲ πάντες οἱ τοῦ Χριστοῦ μαθηταί, πλὴν τῶν ἀποστόλων, διεσκορπίσθησαν εἰς τὰς χώρας τῆς Ἰουδαίας καὶ Σαμαρείας. Διὸ ἔχαιρε τῆς ἐκκλησίας ὁ ἐχ-

(1) Πράξ. 7, 54, 59. (2) Αὐτ. 8, 7.



θρὸς καὶ ἐτέρπετο, νομίζων, ὅτι ἐνίκησε καὶ κατὰ κράτος κατήργησε τὴν εἰς Χριστὸν πίστιν. Αὐτὴ ὅμως ἡ τούτου νίκη ὑψώσασα τοῦ Χριστοῦ τὸ ὄνομα, κατῄσχυνε καὶ κατραυμάτισεν αὐτὸν ἐξ ὁλοκλήρου. Διότι τινὲς τῶν διασκορπισθέντων μαθητῶν καταντήσαντες εἰς τὴν μεγαλόπολιν Ἀντιόχειαν, ἐπέστρεψαν πολυάριθμον πλῆθος εἰς τὴν εἰς Χριστὸν πίστιν. Ἐκεῖ δὲ πρῶτον ἠκούσθη τὸ ὄνομα χριστιανός, ἐπειδὴ ἐκεῖ πρῶτον ὠνομάσθησαν χριστιανοί, ὅσοι εἰς τὸν Χριστὸν ἐπίστευον. Ὅθεν οὐ μόνον οὐκ ἐσβέσθη τοῦ Χριστοῦ τὸ ὄνομα, ὡς ὁ διάβολος παντὶ τρόπῳ ἠγωνίζετο, ἀλλ' ὑπερέλαμψε καὶ ὑπερυψώθη, καὶ ἐγένετο ὄνομα καὶ δόξα καὶ καύχημα πάντων τῶν πιστῶν, ὡς ὁ Θεὸς ἠθέλησε καὶ ἀπ' αἰῶνος ὥρισε. Χριστιανοί, ἀκούσατε τῆς σήμερον ἀναγνωσθείσης ἀποστολικῆς πράξεως τὴν ἐξήγησιν, ἵνα θαυμάσαντες τοῦ Θεοῦ τὰ ἔργα, μεγαλύνητε τοῦ Ἰησοῦ Χριστοῦ τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομα.

*Ἐν ταῖς ἡμέραις ἐκείναις, διασπαρέντες οἱ* **Ἀπόστολοι** *ἀπὸ τῆς θλίψεως τῆς γενομένης ἐπὶ Στεφάνῳ, διῆλθον ἕως* **Φοινίκης καὶ Κύπρου καὶ Ἀντιοχείας,** *μηδενὶ λαλοῦντες τὸν λόγον, εἰ μὴ μόνον* **Ἰουδαίοις** (1),

Θλίψιν γενομένην ἐπὶ Στεφάνῳ λέγει τὴν λύπην, ἣν πάντες οἱ πιστοὶ ἐδοκίμασαν διὰ τὸν λιθασμὸν τοῦ Στεφάνου, καὶ τὴν στενοχωρίαν τοῦ φοβεροῦ διωγμοῦ τῆς ἐκκλησίας, τοῦ γενομένου κατ' ἐκείνην τὴν ἡμέραν, ἐν ᾗ ὁ Στέφανος ἐλιθοβολήθη. Ἀποστόλους δὲ ἐνταῦθα ὠνόμασεν οὐχὶ τοὺς δώδεκα· διότι αὐτοὶ ἔμειναν τότε ἐν Ἱερουσαλήμ, τὴν ἐκεῖ συγκροτοῦντες ἐκκλησίαν (2)· ἀλλὰ τοὺς λοιποὺς μαθητὰς τοῦ Χριστοῦ, καθότι καὶ αὐτοὶ ἀπεσταλμένοι ἦσαν πρὸς τὸ κήρυγμα· οὗτοι οὖν οἱ μαθηταὶ διὰ τὸν γενόμενον ἐπὶ Στεφάνῳ διωγμὸν ἐν Ἱερουσαλὴμ φυγόντες ἐκεῖθεν, διεσκορπίσθησαν εἰς διαφόρους τόπους· καί τινες μὲν ἐξ αὐτῶν κατήντησαν εἰς τὴν Φοινίκην, ἐπαρχίαν τῆς Συρίας, ἐν ᾗ καὶ ἡ Τύρος καὶ ἡ Σιδών· τινὲς δὲ εἰς τὴν ἐπίσημον τῆς Κύπρου νῆσον· καὶ ἄλλοι εἰς τὴν μεγάλην καὶ πολυάνθρωπον πόλιν τῆς Ἀντιοχείας, τὴν πρωτεύουσαν τότε τῶν ἀνατολικῶν πόλεων. Τόποι δὲ ἦσαν οὗτοι, ἐν οἷς πολλοὶ τῶν Ἰουδαίων κατῴκουν, πολλοὶ δὲ καὶ ἐσύχναζον· αὐτοὺς δὲ μόνους καὶ οὐχὶ τοὺς ἐθνικοὺς ἐδίδασκον τῆς πίστεως τὸν λόγον οὗτοι οἱ ἅγιοι τοῦ Χριστοῦ μαθηταί, τὴν παραγγελίαν φυλάττοντες τοῦ διδασκάλου αὐτῶν, ὅστις παρήγγειλεν αὐτοῖς, ἵνα τοὺς Ἰουδαίους προτιμήσαντες, εἰς αὐτοὺς πρῶτον κηρύξωσι τὸ Εὐαγγέλιον· « Εἰς ὁδὸν » ἐθνῶν, εἶπε πρὸς αὐτοὺς ὁ Κύριος, μὴ ἀ» πέλθητε, καὶ εἰς πόλιν Σαμαρειτῶν μὴ » εἰσέλθητε. Πορεύεσθε δὲ μᾶλλον πρὸς τὰ » πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ » (3). Διὸ καὶ ὁ μακάριος Παῦλος ἔλεγε πρὸς τοὺς Ἰουδαίους, τοὺς μὴ ὑποδεξαμένους τὸ εὐαγγελικὸν κήρυγμα· « Ὑμῖν ἦν ἀναγκαῖον » πρῶτον λαληθῆναι τὸν λόγον τοῦ Θεοῦ· » ἐπειδὴ δὲ ἀπωθεῖσθε αὐτόν, καὶ οὐκ ἀ» ξίους κρίνετε ἑαυτοὺς τῆς αἰωνίου ζωῆς, » ἰδοὺ στρεφόμεθα εἰς τὰ ἔθνη » (4). Ἔλαβε δὲ ταύτην τὴν προτίμησιν τὸ ἰουδαϊκὸν γένος, ἐπειδὴ εἰς αὐτὸ διὰ τὴν θεογνωσίαν αὐτοῦ ἐδόθη πρότερον « Ἡ υἱοθεσία καὶ ἡ

(1) Πράξ. 11, 19. (2) Αὐτ. 11, 22. (3) Ματθ. 10, 5, 6. (4) Πράξ. 13, 46.

» δόξα καὶ αἱ διαθῆκαι καὶ ἡ νομοθεσία καὶ » ἡ λατρεία καὶ αἱ ἐπαγγελίαι » (1). Ἐξ αὐτοῦ δὲ τοῦ γένους ἦσαν οἱ πατέρες, ἤγουν ὁ Ἀβραὰμ καὶ ὁ Ἰσαὰκ καὶ ὁ Ἰακὼβ καὶ πάντες οἱ προφῆται· ἐξ αὐτοῦ τοῦ γένους καὶ αὐτὸς ὁ Χριστὸς τὸ κατὰ σάρκα. Διό αὐτοὶ ἦσαν οἱ προητοιμασμένοι πρὸς τὴν ὑποδοχὴν τῆς εὐαγγελικῆς ἀληθείας.

*Ἦσαν δέ τινες ἐξ αὐτῶν ἄνδρες Κύπριοι καὶ Κυρηναῖοι, οἵτινες εἰσελθόντες εἰς Ἀντιόχειαν, ἐλάλουν πρὸς τοὺς Ἑλληνιστάς, εὐαγγελιζόμενοι τὸν Κύριον Ἰησοῦν, Καὶ ἦν χεὶρ Κυρίου μετ' αὐτῶν, πολύς τε ἀριθμὸς πιστεύσας ἐπέστρεψεν ἐπὶ τὸν Κύριον* (2).

Ἐξ αὐτῶν τῶν εἰρημένων μαθητῶν τοῦ Χριστοῦ τινὲς Κύπριοι καὶ Κυρηναῖοι κατὰ τὴν πατρίδα, εἰσέβησαν εἰς τὴν Ἀντιόχειαν, καὶ ἐδίδασκον τοὺς ἐκεῖ Ἑλληνιστάς, ἤγουν ἐκείνους οἵτινες Ἰουδαῖοι μὲν ἦσαν τὸ γένος καὶ τὴν θρησκείαν, τὴν δὲ πατρίδα καὶ τὴν διάλεκτον Ἕλληνες· πρὸς αὐτοὺς εὐηγγελίζοντο τὸν Κύριον Ἰησοῦν, τουτέστιν ἀνήγγελλον καὶ διηγοῦντο πάντα τὰ περὶ τοῦ Ἰησοῦ Χριστοῦ· « Καὶ ἦν, λέγει, » χεὶρ Κυρίου μετ' αὐτῶν ». Χεῖρα δὲ Κυρίου ὀνομάζει τὰ θαύματα ὁ ἱερὸς Λουκᾶς οὐ μόνον ἐνταῦθα, ἀλλὰ καὶ ἀλλαχοῦ, καθὼς ὅταν λέγῃ ὡς ἐκ προσώπου τῶν Ἀποστόλων· « Ἐν τῷ τὴν χεῖρά σου ἐκτείνειν εἰς » ἴασιν » (3). Ὁμοίως καὶ ὡς ἐκ προσώπου τοῦ Παύλου. « Καὶ νῦν ἰδοὺ χεὶρ τοῦ Κυρίου » ἐπὶ σέ, καὶ ἔσῃ τυφλός » (4). Θαύματα οὖν ἐποίουν εἰς τὴν Ἀντιόχειαν οὗτοι οἱ ἅγιοι ἄνδρες, δι' αὐτῶν βεβαιοῦντες τὸν ὑπ' αὐτὸν διδασκόμενον εὐαγγελικὸν λόγον· διὸ καὶ πολὺ πλῆθος τῶν ἐκεῖ κατοικούντων, ἐπέστρεψαν εἰς τὴν εἰς Χριστὸν πίστιν.

*Ἠκούσθη δὲ ὁ λόγος εἰς τὰ ὦτα τῆς Ἐκκλησίας τῆς ἐν Ἱεροσολύμοις περὶ αὐτῶν, καὶ ἐξαπέστειλαν Βαρνάβαν διελθεῖν ἕως Ἀντιοχείας* (5).

Ἡ ἐν Ἱεροσολύμοις Ἐκκλησία ἐστὶν ἡ πρώτη καὶ ἡ μήτηρ πασῶν τῶν τοῦ Χριστοῦ ἐκκλησιῶν· διότι ἐξ αὐτῆς ἐξελθόντες οἱ Ἀπόστολοι καὶ οἱ μαθηταὶ τοῦ Χριστοῦ, καὶ διὰ τοῦ εὐαγγελικοῦ κηρύγματος ἐπιστρέψαντες τοὺς ἀνθρώπους εἰς τὴν εἰς Χριστὸν πίστιν, συνέστησαν τὰς κατὰ διαφόρους τόπους ἐκκλησίας· αὐτὴ οὖν ὡς πρώτη, ὡς μήτηρ, ὡς διδάσκαλος, καὶ ὡς ἔχουσα τότε ἐν αὐτῇ τοὺς θεοφόρους Ἀποστόλους, οὐ μόνον ἔλυε τὰς ἀπορίας τῶν ἄλλων ἐκκλησιῶν· οὐ μόνον αἱ λοιπαὶ ἐκκλησίαι ὡς λόγον Θεοῦ ἐδέχοντο, ὅσα αὐτὴ ἐθέσπιζεν· ἀλλὰ καὶ ἐφρόντιζεν, ἵνα οἱ πιστεύσαντες καὶ ἐκκλησίαν συγκροτήσαντες, στερεωθῶσιν εἰς τὴν τῶν ὀρθῶν δογμάτων ἀλήθειαν, καὶ εἰς τὴν θεοφιλῆ τῶν ἀρετῶν ἐργασίαν· διὰ τοῦτο καθώς, ὅταν ἔμαθεν, ὅτι ἡ Σαμάρεια ἐδέχθη τον λόγον τοῦ Θεοῦ ἀπέσειλε πρὸς αὐτοὺς τὸν Πέτρον καὶ Ἰωάννην (6)· οὕτως ὅταν ἔφθασαν εἰς τὰ ὦτα αὐτῆς τὰ περὶ Ἀντιοχέων, ἤγουν, ὅταν ἤκουσε τὰ θαύματα, ὅσα ἐποίησαν εἰς τὴν Ἀντιόχειαν οἱ ἐκεῖ ἐλθόντες μαθηταί, καὶ τὴν ἐπιστροφὴν τοῦ πλήθους τῶν Ἀντιοχέων, ἀπέστειλε πρὸς αὐτοὺς τὸν Βαρνάβαν, ἵνα συμβοηθὸς γενόμενος τοῦ ἔργου, στηρίξῃ μὲν τοὺς πιστεύσαντας, ἐπιστρέψῃ δὲ τοὺς ἔτι ἀπιστοῦντας. Ἀλλὰ διὰ τί ἀπέστειλε τὸν Βαρνάβαν; διότι αὐτὸς πρῶτος μεταξὺ τῶν ἑβδομήκοντα μαθητῶν ἔδειξεν ἔνθερμον πρὸς Χριστὸν ἀγάπην καὶ ζῆλον, πωλήσας τὸν ἀγρὸν αὐτοῦ, καὶ βαλὼν τὰ χρήματα παρὰ τοὺς πόδας τῶν Ἀποστόλων (1)· αὐτὸν οἱ Ἀπόστολοι γνωρίσαντες ἱκανὸν πρὸς τὸ παρακαλεῖν τοὺς ἀδελφούς, ὠνόμασαν ἀντὶ Ἰωσῆ Βαρνάβαν, ἤγουν υἱὸν παρακλήσεως, αὐτὸς « Ἦν ἀνὴρ » ἀγαθὸς καὶ πλήρης Πνεύματος ἁγίου καὶ » πίστεως » (2). Εἶχε δὲ πρὸς τούτοις καὶ κοσμικὰ προτερήματα ἁρμόδια πρὸς τὴν τοιαύτην ἀποστολήν· διότι ὡς Κύπριος τὴν πατρίδα, καὶ ἐκ τῆς φυλῆς Λευῒ καταγόμενος, ἀρεστὸς ἦν εἰς τοὺς συμπατριώτας αὐτοῦ τοὺς Κυπρίους, τοὺς πρότερον ἐλθόντας καὶ τὴν πίστιν κηρύξαντας εἰς τὴν Ἀντιόχειαν· ὡς δὲ ἐκ τῶν γεννητόρων αὐτοῦ τὴν ἑλληνίδα γλῶσσαν καὶ γινώσκων καὶ λαλῶν, ἐπιτήδειος ἦν διδάξαι τοὺς ἐν Ἀντιοχείᾳ· διὰ τὰς ἐν αὐτῷ οὖν ἀρετὰς καὶ χάριτας ἀπέστειλεν αὐτὸν ἐκεῖ ἡ ἐν Ἱεροσολύμοις ἐκκλησία.

(1) Ρωμ. 9, 4. (2) Πράξ. 11, 20. (3) Αὐτ. 4, 30. (4) Αὐτ. 13, 11. (5) Αὐτ. 11, 22.
(6) Αὐτ. 8, 14.



*Ὃς παραγενόμενος καὶ ἰδὼν τὴν χάριν τοῦ Θεοῦ, ἐχάρη καὶ παρεκάλει πάντας τῇ προθέσει τῆς καρδίας προσμένειν τῷ Κυρίῳ, ὅτι ἦν ἀνὴρ ἀγαθὸς καὶ πλήρης Πνεύματος ἁγίου καὶ πίστεως· καὶ προσετέθη ὄχλος ἱκανὸς τῷ Κυρίῳ* (3).

Ἰδοὺ ὁ καρπὸς τῆς ἀποστολῆς τοῦ Βαρνάβα· αὐτὸς ὁ ἄνθρωπος, ὢν ἀγαθοπροαίρετος καὶ πλήρης τῶν χαρισμάτων τοῦ ἁγίου Πνεύματος καὶ πίστεως θερμῆς τε καὶ σαθερᾶς, ὅταν ἔφθασεν εἰς τὴν Ἀντιόχειαν, ἰδὼν ἐκεῖ τὴν χάριν τοῦ Θεοῦ, ἤγουν τὰ θαύματα καὶ τὴν πίστιν καὶ τὴν ἀρετὴν τῶν πιστευσάντων, ἐπληρώθη χαρᾶς καὶ ἀγαλλιάσεως· θεῖον δὲ ζῆλον ἀναλαβών, παρεκάλει αὐτούς, ἵνα διαμένωσι στερεοὶ καὶ ἀκλόνητοι εἰς τὴν τῆς καρδίας αὐτῶν διάθεσιν καὶ προθυμίαν, δι' ἧς εἰς τὸν Χριστὸν πιστεύσαντες, εἰργάζοντο τῆς ἀρετῆς τὰ ἔργα· φανερὸν δέ ἐστιν, ὅτι τῷ αὐτῷ ζήλῳ καὶ τοὺς ἀπίστους ἐδίδασκε καὶ παρεκάλει, ἵνα ἐκ τῆς πλάνης αὐτῶν ἐπιστρέψωσι· διότι μετὰ τὴν ἔλευσιν αὐτοῦ εἰς τὴν Ἀντιόχειαν ἀρκετὸν πλῆθος ἐπίστευσαν τῷ Κυρίῳ, καὶ ἐγένοντο προσθήκη εἰς τοὺς προλαβὸν πιστεύσαντας· οὐκ ἀνεπαύθη δὲ εἰς τοῦτο ὁ τοῦ Θεοῦ ἄνθρωπος· ἀλλ' ἰδὼν ὅτι ὁ μὲν θερισμὸς ἦν πολύς, οἱ δὲ ἐργάται ὀλίγοι (4), ἐξῆλθεν ἐκ τῆς Ἀντιοχείας, ζητῶν τὸν προθυμότατον, ἅμα δὲ καὶ ἐπιτηδειότατον τοῦ Εὐαγγελίου ἐργάτην.

*Ἐξῆλθε δὲ εἰς Ταρσὸν ὁ Βαρνάβας ἀναζητῆσαι Σαῦλον· καὶ εὑρὼν αὐτόν, ἤγαγεν αὐτὸν εἰς Ἀντιόχειαν* (5).

Ὁ Παῦλος ἐλέγετο καὶ Σαοὺλ καὶ Σαῦλος (6)· ἆρά γε δὲ τριώνυμος ἦν; ἢ μόνον διώνυμος, καθότι Σαοὺλ καὶ Σαῦλος ἓν καὶ τὸ αὐτό ἐστι, διαφόρως προφερόμενον; (7) ἢ ἐλέγετο Σαοὺλ καὶ Σαῦλος, οἱ δὲ θεῖοι Ἀπόστολοι ὠνόμασαν αὐτὸν Παῦλον, καθὼς καὶ τὸν Ἰωσῆ ὠνόμασαν Βαρνάβαν· καὶ τὸν Ἰωσὴφ τὸν καλούμενον Βαρσαβᾶν, Ἰοῦστον· καὶ τὸν Ἰωάννην, Μάρκον; (8) τοῦτο πιθανὸν φαίνεται· ἄδηλον ὅμως τό, διὰ τί ὁ θεηγόρος Λουκᾶς, ἄχρι μὲν τοῦ δεκάτου τρίτου κεφαλαίου τῶν Πράξεων Σαῦλον ὀνομά-

(1) Πράξ. 4, 36, 37. (2) Αὐτ. 11, 24. (3) Αὐτ. 11, 23, 24. (4) Ματθ. 9, 37. (5) Πράξ. 11, 25.
(6) Αὐτ. 9, 4, 17. (7) Ὅρα Χρυσ. καὶ Θεοφ. εἰς τὸ Α. κεφ. τῶν Πράξεων. (8) Πράξ. 4, 36, καὶ 1, 23.

ζει τὸν Παῦλον (1)· ἀπὸ δὲ τοῦ κεφαλαίου τούτου, ἐν ᾧ ἱςορεῖ, ὅτι ὁ Σαῦλος ὁ καὶ Παῦλος παρέςη τῷ ἀνθυπάτῳ Σεργίῳ Παύλῳ (2), ἕως τέλους τῶν πράξεων ὀνομάζει αὐτὸν Παῦλον· ὅπερ δέ τινες λέγουσι, τουτέστιν, ὅτι τοῖς Ῥωμαίοις ὁ Λουκᾶς ἑπόμενος, ἐκάλεσε τὸν Σαῦλον Παῦλον, ἀπίθανόν ἐστι, καὶ τῶν ἀποστολικῶν φρονημάτων ἀνάξιον. Βλέπε δὲ δύω μεγάλας ἀρετὰς τοῦ Βαρνάβα· τὸν ἀποστολικὸν ζῆλον, δι' οὗ προτιμᾷ τοῦ ἰδίου συμφέροντος τὴν ὠφέλειαν τοῦ πλησίον· καὶ τὴν ἀληθινὴν ταπείνωσιν, δι' ἧς πείθεται, ἵνα μικρὰ μὲν περὶ ἑαυτοῦ φρονῇ, μεγάλα δὲ περὶ τοῦ Παύλου. Ὁ Βαρνάβας, ὡς ἀπεσταλμένος εἰς τὴν Ἀντιόχειαν ὑπὸ τῶν ἀποστόλων, εἶχεν ἐκεῖ καὶ τὰ πρωτεῖα καὶ πᾶσαν ἄλλην τιμὴν καὶ περιποίησιν· ὅμως ὁ ζῆλος τῆς πίστεως ἔπεισεν αὐτόν, ἵνα φέρῃ τὸν Παῦλον εἰς τὴν Ἀντιόχειαν διδάσκαλον καὶ ἀρχηγὸν τοῦ κηρύγματος. Ὁ Βαρνάβας ἱκανώτατος καὶ ἄριστος ἦν διδάσκαλος τῆς πίστεως· ἔδειξαν τοῦτο τὰ πράγματα. Διότι, ἀφ' οὗ ἦλθεν εἰς τὴν Ἀντιόχειαν, ὁ ἀριθμὸς τῶν πιστῶν ἐπλήθυνεν· ὅμως ἡ ταπείνωσις ἔπεισεν αὐτόν, ὅτι χρείαν ἔχει βοηθοῦ, καὶ ὅτι ὁ Παῦλος ὡς τελειότερος δύναται καρποφορῆσαι περισσότερον καρπόν. Διὸ ἔρχεται εἰς τὴν Ταρσόν, ἵνα ἀναζητήσῃ τὸν Παῦλον, εὑρὼν δὲ αὐτὸν ἐκεῖ, ἔφερεν εἰς τὴν Ἀντιόχειαν. Σημείωσαι δὲ καὶ τὸν ζῆλον καὶ τὴν ὑπακοὴν τοῦ Παύλου· ὅστις ὑπακούσας τῷ Βαρνάβᾳ, ἠκολούθησεν αὐτῷ προθύμως.

*Ἐγένετο δὲ αὐτοὺς ἐνιαυτὸν ὅλον συναχθῆναι ἐν τῇ Ἐκκλησίᾳ, καὶ διδάξαι ὄχλον ἱκανόν, χρηματίσαι τε πρῶτον ἐν Ἀντιοχείᾳ τοὺς μαθητὰς χριστιανούς* (3).

Ἐπέτυχεν ὁ θεῖος Βαρνάβας τοῦ σκοποῦ αὐτοῦ· διότι, ἀφ' οὗ ἔφερε τὸν Παῦλον εἰς τὴν Ἀντιόχειαν, τότε οἱ δύω ὁμοῦ ἓν ὁλόκληρον ἔτος ἐρχόμενοι εἰς τὴν ἐκκλησίαν, ἐδίδασκον τὸ συναθροιζόμενον πλῆθος· « Χρηματίσαι » τε πρῶτον, λέγει, ἐν Ἀντιοχείᾳ τοὺς μα» θητὰς χριστιανούς », ἤγουν τότε κατὰ πρῶτον οἱ μαθηταὶ οἱ εἰς τὸν Χριστὸν πιστεύοντες ὠνομάσθησαν χριστιανοί· κἂν δὲ οὐκ ἐφανέρωσεν ὑπὸ τίνος ὠνομάσθησαν, ὅμως καὶ ὁ λόγος πείθει, καὶ ἡ ἀκολουθία τῶν λεγομένων ζητεῖ, καὶ οἱ ἅγιοι πατέρες βεβαιοῦσιν, ὅτι οἱ θεοφόροι ἀπόστολοι ἐξ ἀποκαλύψεως χριστιανοὺς ὠνόμασαν τοὺς πιστούς (4). Τινὲς δὲ ἀπονέμουσι ταύτην τὴν δόξαν εἰς τὸν Παῦλον, λέγοντες, ὅτι αὐτὸς ὕψωσε τὸ ὄνομα τοῦ Χριστοῦ εἰς τὴν Ἀντιόχειαν, ὀνομάσας τοὺς μαθητὰς χριστιανούς. Μεγάλη δὲ καὶ τῆς Ἀντιοχείας καὶ τῶν Ἀντιοχέων ἡ δόξα, καθότι ἐν αὐτῇ πρῶτον ἠκούσθη τὸ ὄνομα χριστιανός, καὶ οἱ ἐν αὐτῇ πρῶτοι ὠνομάσθησαν χριστιανοί· πρὸ δὲ τούτου οἱ μὲν πιστοὶ ὠνόμαζον πάντας τοὺς εἰς Χριστὸν πιστεύοντας, μαθητάς, ἀδελφούς, ἁγίους, πιστούς· οἱ δὲ ἄπιστοι Ἰουδαῖοι, Γαλιλαίους, ἢ Ναζωραίους. Ἐξότου δὲ οἱ ἐν Ἀντιοχείᾳ ὠνομάσθησαν χριστιανοί, διὰ τούτου τοῦ ὀνόματος καὶ οἱ πιστοὶ καὶ οἱ ἄπιστοι ὠνόμαζον τοὺς εἰς Χριστὸν πιστεύοντας· « Εἰ δὲ ὡς χριστιανός, » μὴ αἰσχυνέσθω » (5), ἔγραφεν ὁ θεομακάριστος Πέτρος. « Ἐν ὀλίγῳ με πείθεις χρι» στιανὸν γενέσθαι » (6)· ἔλεγε πρὸς τὸν Παῦλον ὁ βασιλεὺς Ἀγρίππας.

(1) Πράξ. 12, 25. (2) Αὐτ. 13, 9. Οἱ Κριτ. (3) Αὐτ. 11, 26. (4) Ἀθαν. πρὸς Αὐτ. ἀπόκρ. 41. Νύσ. περὶ τελειότ. Χριςτ. Οἰκουμ. Θεοφ. εἰς τὰς Πράξ. (5) Ἁ. Πέτρ. 4, 16. (6) Πράξ. 26, 28.



*Ἐν ταύταις δὲ ταῖς ἡμέραις κατῆλθον ἀπὸ Ἱεροσολύμων προφῆται εἰς Ἀντιόχειαν* (1).

Μὴ θαυμάσῃς ἀκούων ἐν μὲν τῷ εὐαγγελίῳ, ὅτι πάντες οἱ προφῆται ἕως Ἰωάννου τοῦ βαπτιστοῦ προεφήτευσαν· ἐνταῦθα δέ, ὅτι προφῆται ἦλθον ἀπὸ τῆς Ἱερουσαλὴμ εἰς τὴν Ἀντιόχειαν· μηδὲ νομίσῃς ὅτι τὰ εὐαγγελικὰ λόγια ἀντιλέγουσιν εἰς τὰ τῶν ἀποστολικῶν πράξεων· διότι τὸ εὐαγγέλιον διὰ τούτων τῶν λόγων· « Πάν» τες γὰρ οἱ προφῆται καὶ ὁ νόμος ἕως Ἰω» άννου προεφήτευσαν » (2)· ἐδήλωσε τοὺς προφήτας τοὺς προφητεύσαντας περὶ τῆς παρουσίας τοῦ Ἰησοῦ Χριστοῦ, οἵτινες ἀρξάμενοι ἀπὸ Ἀδὰμ προεφήτευσαν ἕως τοῦ Ἰωάννου, μετ' αὐτὸν δὲ ἔπαυσαν τὰς τοιαύτας προφητείας· οἱ δὲ μετὰ Χριστὸν προφῆται προεφήτευον οὐ περὶ τοῦ Ἰησοῦ Χριστοῦ, ἀλλὰ περὶ τῶν μελλόντων γενέσθαι πραγμάτων· καὶ προεφήτευσε μὲν περὶ τοῦ προφητικοῦ αὐτῶν χαρίσματος ὁ προφήτης Ἰωήλ, λέγων· « Καὶ ἔσται μετὰ » ταῦτα ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ » πᾶσαν σάρκα, καὶ προφητεύσουσιν οἱ » υἱοὶ ὑμῶν, καὶ αἱ θυγατέρες ὑμῶν » (3). Ἔλαβον δὲ τὸ προφητικὸν χάρισμα οἱ μὲν δώδεκα Ἀπόστολοι διὰ τοῦ παναγίου πνεύματος, τοῦ ἐκχυθέντος ἐπ' αὐτοὺς ἐν τῇ ἡμέρᾳ τῆς Πεντηκοστῆς· οἱ δὲ λοιποὶ ἐλάμβανον αὐτὸ διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν τῶν Ἀποστόλων· « Καὶ ἐπιθέντος, λέγει ὁ » ἱερὸς Λουκᾶς, αὐτοῖς τοῦ Παύλου τὰς » χεῖρας, ἦλθε τὸ πνεῦμα τὸ ἅγιον ἐπ' αὐ» τούς· ἐλάλουν τε γλώσσαις καὶ προεφή» τευον » (4). Οὐ μόνον δὲ ἄνδρες, ἀλλὰ καὶ γυναῖκες ἐλάμβανον τοῦτο τὸ προφητικὸν χάρισμα κατὰ τὴν τοῦ Ἰωὴλ προφητείαν. Διότι καὶ αἱ τέσσαρες παρθένοι, αἱ θυγατέρες Φιλίππου τοῦ Εὐαγγελιστοῦ προεφήτευον (5). Καὶ τοῦ μὲν Ἀγάβου τὸ ὄνομα ἐφανέρωσεν ὁ ἅγιος ἱστορικός, τὸ δὲ τῶν λοιπῶν προφητῶν, τῶν μετὰ τοῦ Ἀγάβου ἐλθόντων ἀπὸ τῆς Ἱερουσαλὴμ εἰς τὴν Ἀντιόχειαν, ἐσιώπησε. Μήπως δὲ αὐτοὶ ἦσαν ἐκεῖνοι, ὧν τὰ ὀνόματα ἀναφέρει ἐν τῷ δεκάτῳ τρίτῳ κεφαλαίῳ, λέγων· « Ἦσαν δέ » τινες ἐν Ἀντιοχείᾳ κατὰ τὴν οὖσαν ἐκ» κλησίαν προφῆται καὶ διδάσκαλοι, ὅ, τε » Βαρνάβας καὶ Συμεών, ὁ καλούμενος Νί» γερ, καὶ Λούκιος ὁ Κυρηναῖος, Μαναήν » τε Ἡρώδου τοῦ τετράρχου σύντροφος, » καὶ Σαῦλος » (6).

*Ἀναστὰς δὲ εἷς ἐξ αὐτῶν ὀνόματι Ἄγαβος, ἐσήμανε διὰ τοῦ πνεύματος, λιμὸν μέγαν μέλλειν ἔσεσθαι ἐφ' ὅλην τὴν οἰκουμένην, ὅστις καὶ ἐγένετο ἐπὶ Κλαυδίου Καίσαρος* (7).

Εἷς ἐξ αὐτῶν τῶν προφητῶν, τῶν ἐλθόντων ἀπὸ τῆς Ἱερουσαλὴμ εἰς τὴν Ἀντιόχειαν, ὀνόματι Ἄγαβος, ςὰς ἐν μέσῳ τῶν ἐκεῖ πιστῶν, προεῖπε διὰ τῆς χάριτος τοῦ ἁγίου Πνεύματος, ὅτι μέλλει γενέσθαι μεγάλη πεῖνα εἰς πᾶσαν τὴν οἰκουμένην· ἥτις καὶ ἐγένετο εἰς τὸν καιρὸν Κλαυδίου Καίσαρος, τοῦ αὐτοκράτορος τῶν Ῥωμαίων. Ὁ Ἄγαβος ὁ λαβὼν τῆς προφητείας τὸ χάρισμα, εἷς ἦν τῶν ἑβδομήκοντα Ἀποστόλων, οὗ τὴν μνήμην ἐπιτελεῖ ἡ τῶν ὀρθοδόξων ἐκκλησίᾳ τῇ τετάρτῃ τοῦ Ἰαννουαρίου μηνός. Ὅτι δὲ πεῖνα ἠκολούθησεν, ὅτε ὁ Κλαύ-

(1) Πράξ. 11, 27. (2) Ματθ. 11, 13. (3) Ἰωὴλ. 2, 28. (4) Πράξ. 19, 6. (5) Αὐτ. 21. 9. (6) Αὐτ. 13, 1. (7) Αὐτ. 11, 28.

διος ἐβασίλευε, μαρτυροῦσι περὶ τούτου οὐ μόνον ὁ ἱερὸς Λουκᾶς, λέγων· « Ὅστις καὶ » ἐγένετο ἐπὶ Κλαυδίου Καίσαρος » (1)· ἀλλὰ καὶ ὁ Ἑβραῖος ὁ Ἰώσηπος, διηγούμενος ὅτι ἡ τῶν Ἀδιαβηνῶν βασίλισσα Ἑλένη, μαθοῦσα ὅτι τότε, ἤγουν εἰς τὸν καιρὸν τοῦ Κλαυδίου, πεῖνα ἐβασάνιζε τὴν Ἱερουσαλήμ, πρῶτον μὲν αὐτὴ ἀπέςειλε σῖτον πολὺν καὶ σύκων φορτώματα, ἔπειτα δὲ καὶ ὁ υἱὸς αὐτῆς ὁ Ἰζάτης ἔστειλε πολλὰ χρήματα. Πρὸς τούτοις δὲ μαρτυρεῖ περὶ τούτου καὶ ὁ Ῥωμαῖος Σουετόνιος ὁ Τρανκουΐλλος, λέγων περὶ τοῦ Κλαυδίου, ὅτι ὑπὸ τοῦ ὄχλου ὕβρεσι καὶ ἄρτου τμήμασι τοσοῦτον ἐκακώθη, ὥστε μόλις ἐδυνήθη εἰσελθεῖν εἰς τὸ παλάτιον ὀπισθόδρομος (2). Ὅτι δὲ ἡ τότε πεῖνα ἡπλώθη εἰς πᾶσαν τὴν οἰκουμένην, μαρτυρίας οὐκ ἔχομεν, εἴτ' ἐπειδὴ οὐκ ἦσαν πανταχοῦ ἱστορικοί, εἴτ' ἐπειδὴ ἀπώλοντο τὰ βιβλία τῶν τὰ περὶ αὐτῆς ἱστορησάντων. Μήπως δὲ τὸ σχῆμα τῆς ὑπερβολῆς μετῆλθεν ὁ προφήτης Ἄγαβος; διὰ δὲ τοῦ πᾶσαν τὴν οἰκουμένην ἐννόησε τὴν γῆν τὴν ὑπὸ τῶν Ῥωμαίων τότε βασιλευομένην; προεῖπε δὲ τὴν πρόῤῥησιν ταύτην πρῶτον μέν, ἵνα μὴ οἱ ἄπιστοι ἀφορμὴν λαβόντες ἐκ τῆς πείνας, κατηγορῶσι τοὺς πιστούς, λέγοντες, ὅτι ἡ τιμωρία ἐστάλη, ἐπειδὴ καταργεῖται ἡ πατροπαράδοτος αὐτῶν θρησκεία; δεύτερον δέ, ἵνα τοῦτο προμαθόντες οἱ πιστοί, προβλέψωσι βοηθήματα διὰ τοὺς ἐν τῇ Ἰουδαίᾳ πιστούς, ὅπου ἰσχυρώτερον ἐκράτει ἡ πεῖνα; Τοῦτο δὲ καὶ ἐποίησαν οἱ ἐν Ἀντιοχείᾳ πιστοί, ὡς φανερόν ἐστιν ἐκ τῶν ἑξῆς λόγων.

Τῶν δὲ *μαθητῶν, καθὼς ηὐπορεῖτό τις, ὥρισαν ἕκαστος αὐτῶν εἰς διακονίαν πέμψαι τοῖς κατοικοῦσιν ἐν τῇ Ἰουδαίᾳ ἀδελφοῖς· ὃ καὶ ἐποίησαν, ἀποστείλαντες πρὸς τοὺς πρεσβυτέρους διὰ χειρὸς Βαρνάβα καὶ Σαύλου* (3).

Ἀκούσαντες οἱ μαθηταί, ἤγουν οἱ ἐν Ἀντιοχείᾳ χριστιανοί, τὴν προφητείαν τοῦ Ἀποστόλου Ἀγάβου, ἐπίστευσαν εἰς τὰ προφητευθέντα· διὸ καθεὶς « Καθὼς ηὐπο- » ρεῖτο », ἤγουν κατὰ τὸν τρόπον ὃν εἶχεν, ἄλλος δηλαδὴ πολύ, καὶ ἄλλος ὀλίγον, ὥρισεν, ἵνα ἀποστείλῃ εἰς διακονίαν, τουτέστιν ὑπηρεσίαν καὶ βοήθειαν τῶν ἀδελφῶν χριστιανῶν, τῶν εἰς τὴν Ἰουδαίαν κατοικούντων. Τοῦτο δὲ καὶ ἐποίησαν, συνάξαντες πάντα ὅσα ἕκαστος ὥρισε, καὶ διὰ τῶν Ἀποστόλων Βαρνάβα καὶ Παύλου πέμψαντες αὐτὰ πρὸς τοὺς ἐν τῇ Ἰουδαίᾳ πρεσβυτέρους, ἵνα ἐκεῖνοι διανέμωσιν αὐτὰ πρὸς τοὺς ἐκεῖ πτωχούς. Τίνες δὲ ἆρά γε ἦσαν οὗτοι οἱ πρεσβύτεροι; Τὸ ὄνομα πρεσβύτερος, ὁμοίως καὶ τὸ ἐπίσκοπος, ἔχει δύο σημασίας, τὴν κατὰ λέξιν, καὶ τὴν κατὰ τὴν ἐκκλησιαστικὴν συνθήκην· καὶ τὸ μὲν ἐπίσκοπος, κατὰ μὲν τὴν πρώτην σημασίαν σημαίνει τὸν ἐπιστάτην, τὸν ἐπιτηρητήν, τὸν διοικητήν· κατὰ δὲ τὴν δευτέραν, τὸν ἀρχιερέα· οὕτω καὶ τὸ πρεσβύτερος, κατὰ μὲν τὴν πρώτην σημαίνει τὸν γηραιότερον· κατὰ δὲ τὴν δευτέραν, τὸν τελεστὴν τῶν μυστηρίων, ἤγουν τὸν ἱερέα, τὸν προεστῶτα ἐν τῇ ἐκκλησίᾳ. Τοιούτους δὲ πρεσβυτέρους, ἤγουν ἱερεῖς ἐχειροτόνησεν ὁ Παῦλος καὶ ὁ Βαρνάβας εἰς τὴν Λύστραν καὶ εἰς τὸ Ἰκόνιον καὶ εἰς τὴν Ἀντιόχειαν (4)· τοιούτους πρεσβυτέρους

(1) Ἰωσ. βιβλ. 20, κ. 1, 2 Ἀρχ. (2) Σουετ. περὶ Κλαυδ. κ. 18. (3) Πράξ. 11, 29, 30. (4) Αὐτ. 14, 23.



ἔγραφεν ὁ Παῦλος πρὸς τὸν Τίτον, ἵνα καταστήσῃ εἰς πᾶσαν πόλιν (1), καθὼς καὶ ἀπὸ στόματος αὐτῷ διέταξε· τοιοῦτοι ἦσαν οἱ πρεσβύτεροι τῆς ἐν Ἐφέσῳ ἐκκλησίας, οὓς ἐκάλεσεν ὁ αὐτὸς Παῦλος εἰς τὴν Μίλητον (2)· τοιούτους πρεσβυτέρους παρήγγειλεν ὁ ἀδελφόθεος Ἰάκωβος, ἵνα προσκαλῇ ὁ ἀσθενής, ὅπως ἀλείφωσιν αὐτὸν ἔλαιον εἰς ἐξάλειψιν ἁμαρτιῶν καὶ σώματος ὑγείαν (3). Ὁ δὲ Ἰωάννης ὁ Εὐαγγελιστὴς καὶ Ἀπόστολος ὠνόμασεν ἑαυτὸν πρεσβύτερον, οὐ κατὰ ταύτην τὴν σημασίαν, ἀλλὰ κατὰ τὴν πρώτην, ἤγουν καθὸ ἦν γηραιότερος (4)· διότι αὐτὸς ἦν ἀρχιερεύς, οὐχὶ δὲ ἱερεὺς μόνον. Πάντες δὲ οἱ Ἀπόςολοι, ὡς τελειωταὶ πάντων τῶν μυστηρίων καὶ διοικήτορες πάσης τῆς ἐκκλησίας, ἦσαν ἀρχιερεῖς· οἱ δὲ πρεσβύτεροι τῆς ἐκκλησίας ἦσαν μόνον ἱερεῖς, μίαν κατὰ μέρος διοικοῦντες ἐκκλησίαν· τοῦτο φανερόν ἐστιν· πρῶτον μέν, ἐπειδὴ βλέπομεν ὅτι ὁ Παῦλος ὑποτάσσει τοὺς πρεσβυτέρους εἰς τὴν κρίσιν τοῦ Τιμοθέου, ὅστις ἦν τῆς Ἐφέσου Ἀρχιερεύς· « Κατὰ πρεσβυτέρου, ἔγραφε « πρὸς αὐτόν, κατηγορίαν μὴ παραδέχου, » ἐκτὸς εἰ μὴ ἐπὶ δύο ἢ τριῶν μαρτύρων » (5). Ταῦτο δὲ οὐκ ἐποίει, ἐὰν τὸν αὐτὸν χαρακτῆρα εἶχον ὅ τε ἀρχιερεὺς καὶ ὁ πρεσβύτερος. Δεύτερον, ἐπειδὴ εἰς πᾶσαν ἐπαρχίαν ἢ πόλιν εἷς μόνος ἦν ἀρχιερεύς, πολλοὶ δὲ πρεσβύτεροι· ἐὰν οὖν οἱ πρεσβύτεροι ἦσαν ἀρχιερεῖς, ὁ Ἰάκωβος λέγων· « Προσκαλε- » σάσθω τοὺς πρεσβυτέρους τῆς ἐκκλη- » σίας (6), παρήγγειλε τὰ ἀδύνατα· διότι τίς ἀσθενὴς ἠδύνατο προσκαλέσαι ἐκ διαφόρων πόλεων τοὺς ἀρχιερεῖς; πῶς δὲ καὶ ὁ Λουκᾶς ἔλεγεν, ὅτι ὁ Παῦλος πέμψας ἀπὸ τῆς Μιλήτου εἰς Ἔφεσον, « Μετεκα- » λέσατο τοὺς πρεσβυτέρους τῆς ἐκκλη- » σίας; » (7) Σημείωσαι δέ, ὅτι τοὺς αὐτοὺς πρεσβυτέρους τῆς Ἐφέσου ὠνόμασεν ὁ Παῦλος καὶ ἐπισκόπους· « Ἐν ᾧ, εἶπε πρὸς » αὐτούς, τὸ Πνεῦμα τὸ ἅγιον ἔθετο ὑμᾶς » ἐπισκόπους » (8)· κατὰ τὴν πρώτην σημασίαν ἐκλαβὼν τό, ἐπισκόπους, ἤγουν ἐπιστάτας καὶ ἐπιτηρητάς· διότι καὶ αὐτοὶ οἱ τῆς ἐκκλησίας πρεσβύτεροι ἐπιστάται καὶ διοικηταί εἰσι τῶν ὑποθέσεων, τῶν ὑπὸ τὴν διοίκησιν τῆς ὑπ' αὐτοὺς ἐκκλησίας. Ἐπειδὴ δὲ ὁ Λουκᾶς εἶπεν ἁπλῶς πρὸς τοὺς πρεσβυτέρους, οὐχὶ δὲ πρὸς τοὺς πρεσβυτέρους τῆς ἐκκλησίας, μήπως οἱ πρεσβύτεροι, περὶ ὧν λαλεῖ, οὐκ εἶχον ἱερωσύνης χαρακτῆρα, ἀλλ' ἦσαν ἄνθρωποι γέροντες, πιστοὶ καὶ ἐπ' ἀγαθωσύνῃ δεδοκιμασμένοι, καὶ διωρισμένοι ὑπὸ τῶν ἀποστόλων διὰ τὴν διανομὴν τῆς ἐλεημοσύνης, καὶ τὴν τῶν πτωχῶν ἐπιστασίαν καὶ ἐπιμέλειαν; Βλέπε δὲ τὸ ἅγιον τῆς ἐλεημοσύνης τῶν Ἀντιοχέων παράδειγμα· αὐτὸ διδάσκει ἵνα ἕκαστος βοηθῇ καὶ ἐλεῇ, καθ' ὅσον δύναται, οὐ μόνον τοὺς παρόντας, ἀλλὰ καὶ τοὺς ἀπόντας καὶ μακρὰν ἀφ' ἡμῶν ἀπέχοντας ἀδελφούς, ὅταν ἀκούῃ, ὅτι εὑρίσκονται εἰς στενοχωρίας καὶ ἀνάγκας.

(1) Τίτ. 1, 5. (2) Πράξ, 20, 17. (3) Ἰακ. 5, 14. (4) Β'. Ἰωάν. 1, καὶ Γ'. 1. (5) Ἀ. Τιμ. 5, 19.
(6) Ἰάκ. 5, 14. (7) Πράξ. 20, 17. (8) Αὐτ. 28.

# ΟΜΙΛΙΑ

ΜΕΤΑ ΤΑΣ

# ΠΡΑΞΕΙΣ ΤΩΝ ΑΠΟΣΤΟΛΩΝ

## ΤΑΣ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΑΣ ΤΗ͂Ι ΚΥΡΙΑΚΗ͂Ι ΤΗΣ ΣΑΜΑΡΕΙΤΙΔΟΣ.

ΑΚΟΥΣΑΤΕ σήμερον, ἀγαπητοί μου ἀδελφοί, ὑπὸ τίνος, καὶ πότε ὠνομάσθημεν χριστιανοί· πολλὰ δὲ ψυχωφελές ἐστιν, ἵνα μάθητε καὶ τό, διὰ τί ἐδόθη ἡμῖν, καὶ εἰς ποῖον ὕψος ἀναβιβάζει ἡμᾶς τοῦτο τὸ πανυπέρτιμον καὶ δεδοξασμένον ὄνομα. Τινὲς μὲν ἐνόμισαν, ὅτι οἱ θεῖοι Ἀπόστολοι χριςιανοὺς ὠνόμασαν τοὺς εἰς τὸν Χριστὸν πιστεύσαντας, ἵνα διαστείλωσιν αὐτοὺς ἀπὸ τῶν Φαρισαίων καὶ Σαδδουκαίων καὶ τῶν Ἡρωδιανῶν. Ἄλλοι δέ, ὅτι τοῦτο ἐποίησαν οἱ Ἀπόστολοι κατὰ μίμησιν τῶν σχολαςικῶν ἐθνικῶν, οἵτινες ἀπὸ τοῦ ὀνόματος τοῦ πρώτου διδασκάλου ἐκείνου τοῦ φιλοσοφικοῦ συστήματος, ὅπερ αὐτοὶ ἐδέχοντο, ἐλάμβανον τὴν ὀνομασίαν· παραδείγματος χάριν, ἀπὸ τοῦ Πυθαγόρου Πυθαγόρειοι, καὶ ἀπὸ τοῦ Πλάτωνος Πλατωνικοί, καὶ ἀπὸ τοῦ Ἀριστοτέλους Ἀριστοτελικοί, καὶ ἀπὸ τοῦ Ἐπικούρου Ἐπικούρειοι· μικρὰ ὅμως εἰσὶ ταῦτα τὰ νοήματα καὶ φρονήματα, καὶ τῆς μεγαλοπρεπείας τοῦ θεοφωτίςου νοὸς τῶν θεοκηρύκων Ἀποςόλων πάντη ἀνάξια. Αὐτοὶ οἱ θεοφόροι ἄνδρες ἔθηκαν εἰς τοὺς μαθητὰς τοῦ Χριστοῦ τοῦτο τὸ ἅγιον ὄνομα, ἵνα δι' αὐτοῦ φανερώσωσι μεγάλα καὶ ὑψηλὰ πράγματα, καὶ σεμνύνωσι τοὺς ὀνομαζομένους, καὶ ὑψώσωσι τὸν νοῦν αὐτῶν εἰς τὴν θεωρίαν τῆς πρώτης ἀνθρωπίνης καταστάσεως, καὶ διδάξωσι τίνι τρόπῳ πρέπον ἐστίν, ἵνα πολιτεύωνται, ὅσοι ταύτης ἠξιώθησαν τῆς θεοδωρήτου ὀνομασίας.

Χριστοὺς ὀνομάζει ἡ θεία Γραφὴ τοὺς βασιλεῖς, ὡς διὰ τοῦ μύρου κεχρισμένους. « Μηδαμῶς μοι, ἔλεγεν ὁ Δαβὶδ περὶ τοῦ » βασιλέως Σαούλ, παρὰ Κυρίου ἐπενεγκεῖν » χεῖρά μου ἐπὶ χριστὸν Κυρίου » (1). Ὁ Σωτὴρ τοῦ κόσμου, καὶ καθὸ κεχρισμένην εἶχε τὴν ἑαυτοῦ ἀνθρώπινον φύσιν, οὐχὶ διὰ μύρου ὑλικοῦ, ἀλλὰ διὰ τῆς ὑποστατικῆς ἑνώσεως τῆς θεότητος, καὶ καθὸ ἦν βασιλεὺς πάσης τῆς ἀοράτου καὶ ὁρωμένης κτίσεως, κατ' ἐξοχὴν ὠνομάσθη Χριστός, ἤγουν βασιλεύς· ὠνομάσθη δὲ καὶ Ἰησοῦς τουτέστι σωτὴρ καθότι αὐτὸς ἔσωσε « Τὸν » λαὸν αὐτοῦ, ἤγουν τοὺς εἰς αὐτὸν πιςεύ» σαντας, ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν » (2)· τὸ ὄνομα Ἰησοῦς οὐδόλως ἁρμόζει οὐδὲ εἰς ἄνθρωπον, οὐδὲ εἰς ἄγγελον· διότι οὐδείς, εἰμὴ μόνος αὐτὸς θυσίαν προσαγαγὼν ἑαυτὸν ἐπάνω εἰς τὸ ξύλον τοῦ σταυροῦ, ἔσωσε

(1) Ά. Βασιλ. 26, 11. (2) Ματθ. 1, 27.



τῶν ἀνθρώπων τὸ γένος· ἐκ τοῦ δευτέρου οὖν ὀνόματος, ἤγουν τοῦ Χριστοῦ, σχηματίσαντες οἱ θεόπται Ἀπόστολοι τὸ χριςιανός, ἐπέθηκαν αὐτὸ ἐπὶ τοὺς πιστοὺς ὡς πολλὰ ἁρμόδιον καὶ κατάλληλον· διότι τὸ πάθος καὶ ὁ σταυρὸς καὶ ὁ θάνατος τοῦ Χριστοῦ ἀνυψώσας τοὺς εἰς αὐτὸν πιστεύοντας εἰς τὴν ἀρχαίαν καὶ πρώτην κατάστασιν, ἐποίησεν αὐτοὺς βασιλεῖς τῆς αἰωνίου αὐτοῦ Βασιλείας.

Βασιλέα κατέστησεν ὁ Θεὸς τὸν ἄνθρωπον, ὅταν ἔπλασεν αὐτὸν χοῦν λαβὼν ἀπὸ τῆς γῆς· « Αὐξάνεσθε, εἶπεν ὁ Θεὸς ἀφ' οὗ » ἔπλασε τοὺς πρωτοπλάστους, καὶ πλη» θύνεσθε, καὶ πληρώσατε τὴν γῆν, καὶ » κατακυριεύσατε αὐτῆς » (1). Ἡ κυριότης τῆς γῆς τί ἄλλο σημαίνει, εἰ μὴ ἐξουσίαν, δεσποτείαν, βασιλείαν; ἐδήλωσε δὲ ὁ Θεὸς καὶ εἰδικώτερον τὰ ὑπὸ τὴν ἐξουσίαν τοῦ ἀνθρώπου, εἰπών· « Καὶ ἄρχετε τῶν ἰχ» θύων τῆς θαλάσσης, καὶ τῶν πετεινῶν » τοῦ οὐρανοῦ, καὶ πάντων τῶν κτηνῶν, » καὶ πάσης τῆς γῆς, καὶ πάντων τῶν ἑρ» πετῶν τῶν ἑρπόντων ἐπὶ τῆς γῆς. Ἰδοὺ » δέδωκα ὑμῖν πάντα χόρτον σπόριμον » σπεῖρον σπέρμα, ὅ ἐστιν ἐπάνω πάσης » τῆς γῆς· καὶ πᾶν ξύλον, ὃ ἔχει ἐν ἑαυτῷ » καρπὸν σπέρματος σπορίμου, ὑμῖν ἔσται » εἰς βρῶσιν » (2). Οὐ μόνον δὲ ταύτην τὴν δεσποτείαν ἔλαβεν ὁ ἄνθρωπος, ἀλλὰ καὶ ἄλλην πολλῷ τιμιωτέραν ταύτης, τῶν παθῶν δηλαδὴ τὴν κυριότητα· ἀλλὰ πόθεν συμπεραίνεται αὐτὴ ἡ τιμιωτέρα κυριότης; Πρῶτον μὲν ἐκ τοῦ τόπου, εἰς ὃν ὁ Θεὸς ἔβαλε τὸν ἄνθρωπον· διότι αὐτὸς ἦν τόπος τρυφῆς· « Καὶ ἔθετο αὐτόν, λέγει ἡ θεία » Γραφή, ἐν τῷ παραδείσῳ τῆς τρυφῆς » (3). Ὅπου δὲ τρυφή, ἐκεῖ οὐκ ἔστι παθῶν ἐνόχλησις, οὐδὲ στενοχωρία. Δεύτερον δὲ ἐκ τῆς ἀκακίας αὐτῶν καὶ τῆς ἁπλότητος· τόσον ἄκακοι καὶ ἁπλοῖ ἦσαν οἱ δύο πρῶτοι ἄνθρωποι, ὥστε οὐδὲ τὴν γύμνωσιν αὐτῶν ἐγνώριζον, οὐδὲ τοῦ πάθους τῆς αἰσχύνης ᾐσθάνοντο· « Καὶ ἦσαν, λέγει, οἱ δύο » γυμνοί, ὅ, τε Ἀδὰμ καὶ ἡ γυνὴ αὐτοῦ, » καὶ οὐκ ᾐσχύνοντο » (4). Τότε δὲ ἐγνώρισαν, ὅτι εἰσὶ γυμνοί, τότε τὸ πάθος τῆς αἰσχύνης κατεκάλυψε τὰ πρόσωπα αὐτῶν, ὅταν παραβάντες τοῦ Θεοῦ τὴν ἐντολήν, ἐστερήθησαν τῆς ἀπαθείας· « Καὶ διηνοί» χθησαν οἱ ὀφθαλμοὶ τῶν δύο, καὶ ἔγνωσαν » ὅτι γυμνοὶ ἦταν. Τοῦτο δὲ γνωρίσαντες » ᾐσχύνθησαν, διὸ ἔρραψαν φύλλα συκῆς, » καὶ ἐποίησαν ἑαυτοῖς περιζώματα » (5).

Ἐπειδὴ δὲ ταύτας τὰς δύο ἐξουσίας ἔλαβεν ὁ ἄνθρωπος ἐκ χειρὸς τοῦ δημιουργοῦ αὐτοῦ, καὶ βασιλέως πάσης τῆς κτίσεως, διὰ τοῦτο, ὅσον καιρὸν ἔμενεν εἰς τὴν ὑπακοὴν αὐτοῦ, εἶχε καὶ τὴν ἐξουσίαν τῶν ἐπιγείων πραγμάτων, καὶ τὴν τῶν παθῶν κυριότητα· ἀφ' οὗ δέ, ἀποστατήσας ἀπὸ τῆς πρὸς τὸν Θεὸν ὑπακοῆς, ὑπήκουσε τῷ διαβόλῳ, ἀπώλεσε μὲν τὰς δύο βασιλείας, ἐγένετο δὲ δοῦλος ἀντὶ βασιλέως. Ἐκ τούτου βλέπομεν τὸν ἄνθρωπον μετὰ τὴν ἁμαρτίαν, φεῦ τῆς δυστυχίας, ἐξόριστον τοῦ παραδείσου, ὅπου καὶ ὁ θρόνος ἦν τῆς βασιλείας αὐτοῦ, καὶ ἡ καθέδρα τῆς τῶν παθῶν ἡσυχίας. Βλέπομεν αὐτὸν μετὰ τὴν ἁμαρτίαν συνεχόμενον καὶ περικυκλούμενον ὑπὸ παντοίων παθῶν, ὑπὸ παθῶν φυσικῶν· ταῦτα δέ εἰσιν αἱ ἄκανθαι καὶ τρίβολοι, καὶ αἱ λῦπαι καὶ οἱ ἱδρῶτες· καὶ ὑπὸ παθῶν προαιρετικῶν· ταῦτα δέ εἰσιν οἱ φθόνοι καὶ αἱ

(1) Γεν. 1, 28. (2) Αὐτ. 29. (3) Αὐτ. 2, 15. (4) Αὐτ. 25. (5) Αὐτ. 3, 17.

ἀδελφοκτονίαι, αἱ ἀσέλγειαι καὶ ὁ πληθυσμὸς τῆς κακίας τῶν ἀνθρώπων ἐπὶ τῆς γῆς. Βλέπομεν αὐτὸν μετὰ τὴν ἁμαρτίαν δουλεύοντα καὶ προσκυνοῦντα τῶν δαιμόνων τὴν δύναμιν ἐπ' ὀνόματι τῶν εἰδώλων. Βλέπομεν τὸν ἄνθρωπον, τὸν ὑπερένδοξον βασιλέα, ὅστις ἐπλάσθη, ἵνα ζῇ καὶ βασιλεύῃ εἰς πάντας τοὺς αἰῶνας, δεδουλωμένον τοῖς πάθεσι, καὶ ἀποθνήσκοντα καὶ διαλυόμενον, καὶ εἰς γῆν μεταβαλλόμενον, χωρὶς ἐλπίδος ἀναστάσεως.

Ἀλλὰ νικᾷ τοῦ Θεοῦ ἡ εὐσπλαγχνία τὴν δικαιοσύνην αὐτοῦ· « Καὶ κατακαυχᾶται » ἔλεος κρίσεως κατὰ τῆς τῶν ἀνθρώπων » ἀποστασίας » (1). Ἐξαποστέλλει ὁ Θεὸς τὸν Υἱὸν αὐτοῦ εἰς τὸν κόσμον, ἵνα ἀναστήσῃ τὸν ἄνθρωπον ἐκ τοῦ φοβεροῦ πτώματος τῶν ἐλεεινῶν αὐτοῦ δυστυχημάτων· ὁ Υἱὸς δὲ τοῦ Θεοῦ ἄνθρωπος γενόμενος, καὶ παθών, καὶ σταυρωθείς, καὶ ἀναστάς, ἐπανήγαγε τὸν ἄνθρωπον εἰς τὸ ἀρχαῖον ἀξίωμα, δοὺς αὐτῷ τὴν ἐξουσίαν, ἣν ἐκ παραβάσεως ἀπώλεσεν· « Ἐν τῷ ὀνόματί μου, » εἶπε, δαιμόνια ἐκβαλοῦσι· γλώσσαις λαλήσουσι καιναῖς· ὄφεις ἀροῦσι· κἂν θανάσιμόν τι πίωσιν, οὐ μὴ αὐτοὺς βλάψει· » ἐπὶ ἀῤῥώστους χεῖρας ἐπιθήσουσι, καὶ » καλῶς ἕξουσι (2). Λάβετε, εἶπε, Πνεῦμα » ἅγιον, ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, » ἀφίενται αὐτοῖς· ἄν τινων κρατῆτε, κεκράτηνται (3). Ἀμὴν λέγω ὑμῖν, εἶπεν, » ἐὰν ἔχητε πίστιν, καὶ μὴ διακριθῆτε, οὐ » μόνον τὸ τῆς συκῆς ποιήσετε, ἀλλά, κἂν » τῷ ὄρει τούτῳ εἴπητε· ἄρθητι καὶ βλήθητι εἰς τὴν θάλασσαν, γενήσεται. Καὶ » πάντα, ὅσα ἂν αἰτήσητε ἐν τῇ προσευχῇ, πιστεύοντες, λήψεσθε » (4). Αὐτή ἐστιν ἡ τῶν ἐπὶ γῆς πραγμάτων ἐξουσία, ἡ ὑπὸ τοῦ Ἰησοῦ Χριστοῦ δοθεῖσα τοῖς ἀνθρώποις. Βλέπε δὲ καὶ τὴν κατὰ τῶν παθῶν καὶ τῶν δαιμόνων ἐξουσίαν, ἣν αὐτὸς ὁ Θεάνθρωπος ἔδωκε τοῖς εἰς αὐτὸν πιστεύουσιν· « Ἰδού, εἶπε, δίδωμι ὑμῖν τὴν ἐξουσίαν » τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, » καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ, » καὶ οὐδὲν ὑμᾶς οὐ μὴ ἀδικήσει » (5). Φανερὸν δέ ἐστιν, ὅτι οἱ μὲν ὄφεις καὶ οἱ σκορπίοι εἰσὶ τὰ ἰοβόλα καὶ θανατηφόρα πάθη, ἡ δὲ δύναμις τοῦ ἐχθροῦ, εἰσὶ πάντες οἱ πειρασμοὶ καὶ τὰ πεπυρωμένα τοῦ διαβόλου βέλη. Αὐτὸς ὁ Ἰησοῦς ἐκ νεκρῶν ἀναστάς, συνανέστησε πᾶσαν τὴν ἀνθρώπινον φύσιν· ὅθεν διὰ τοῦτο εἶπεν· « Ὁ πιστεύων » εἰς ἐμέ, κἂν ἀποθάνῃ ζήσεται » (6). Μετὰ τὴν ἀνάστασιν αὐτοῦ οὐδεὶς τῶν νεκρῶν διαμένει ἐν τοῖς μνήμασιν ὡς γῆ καὶ σποδός, ἀλλ' ἀνίσταται καὶ ἄφθαρτος γίνεται· « Σαλπίσει γάρ, καὶ οἱ νεκροὶ ἐγερθήσονται ἄφθαρτοι » (7). Ὅτι δὲ καὶ βασιλεῖς ἡμᾶς κατέστησεν ὁ Θεάνθρωπος, βασιλείας οὐχὶ ἐπιγείου καὶ φθαρτῆς, ἀλλ' ἐπουρανίου καὶ ἀφθάρτου, ἐμαρτύρησε μὲν ὁ ἐπιστήθιος Ἰωάννης, εἰπὼν ῥητῶς· « Καὶ ἐποίησεν ἡμᾶς βασιλεῖς καὶ ἱερεῖς τῷ Θεῷ » καὶ Πατρὶ αὐτοῦ » (8)· παραλαβὼν τοῦτο παρ' αὐτοῦ τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ, ὅστις εἶπε· « Κἀγὼ διατίθεμαι ὑμῖν, καθὼς διέθετό μοι ὁ Πατήρ μου, βασιλείαν· » ἵνα ἐσθίητε καὶ πίνητε ἐπὶ τῆς τραπέζης μου ἐν τῇ βασιλείᾳ μου (9). Δεῦτε οἱ » εὐλογημένοι τοῦ Πατρός μου κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν » ἀπὸ καταβολῆς κόσμου » (10).

Ἐπειδὴ οὖν ὁ πανυπεράγαθος καὶ φιλανθρωπότατος Ἰησοῦς, καθαρίσας ἡμᾶς διὰ τοῦ ἰδίου αἵματος, καὶ ἀνακαινίσας τοὺς ἐν ἡμῖν χαρακτῆρας τῆς καθ' ὁμοίωσιν εἰκόνος τοῦ κτίσαντος ἡμᾶς βασιλέως καὶ Θεοῦ, ἐποίησε πάλιν βασιλεῖς, καθὼς ἤμεθα ἀπ' ἀρχῆς, ὅτε ἐπλάσθημεν· διὰ τοῦτο πανευσπλάγχνως ηὐδόκησεν, ἵνα ἀπὸ τοῦ ὀνόματος αὐτοῦ, τουτέστι Χριστοῦ, τοῦ σημαίνοντος βασιλέα, ὀνομασθῶμεν χριστιανοί, ὅπως ἂν τὸ ὄνομα δηλοποιῇ τὰ πράγματα. Ἐπειδὴ ἡμεῖς οἱ εἰς αὐτὸν πιστεύοντες βασιλεῖς τῆς ἐπουρανίου αὐτοῦ βασιλείας ὑπ' αὐτοῦ κατεστάθημεν, διὰ τοῦτο καὶ ὄνομα βασιλικὸν ἡμῖν ἔδωκε· καύχημα τοῦτο μέγα καὶ εὔκλεια καὶ δόξα τῶν πιστῶν, ὑπερβαίνουσα πάσας τὰς ἐπιγείους τιμὰς καὶ δόξας· ἐνδοξότερον τὸ ὄνομα χριστιανὸς πάντων τῶν ὀνομάτων, ὅσα σημαίνουσιν ἀξιώματα, προβιβασμοὺς ἐξουσίας, προνόμια ἀνθρώπων· τὸ ὄνομα τοῦτο, χριστιανός, ὑπέρτερόν ἐστιν, ἤ περ τὸ ὄνομα, ἄρχων, ἡγεμών, δεσπότης, βασιλεύς, καὶ πᾶν ἄλλο ἀξίας σημαντικὸν ὄνομα. Βλέπε δὲ τοῦ Θεανθρώπου τὴν φιλανθρωπίαν· καθὼς ὁ Θεὸς καὶ πατὴρ « Ἐχαρίσατο αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα » (1)· οὕτως αὐτὸς διὰ τῶν Ἀποστόλων αὐτοῦ ἐδωρήσατο ἡμῖν ὄνομα, τὸ ὑπὲρ πάντα τὰ ἐπὶ γῆς ἀξιωματικὰ ὀνόματα, τουτέστι τὸ ὄνομα χριστιανός.

Διὰ τοῦτο, ὅταν ἤκουσεν ὁ διάβολος, ὅτι οἱ μαθηταὶ τοῦ Χριστοῦ ὠνομάσθησαν χριστιανοί, ἄναψε τὰς φλόγας τῆς ὀργῆς καὶ τοῦ θυμοῦ εἰς τὰς καρδίας τῶν τότε διωκτῶν καὶ τυράννων, καὶ τόσην ἀποστροφὴν καὶ μῖσος ἐξήγειρε κατὰ τούτου τοῦ ὀνόματος, ὥστε, ἐάν τις ἔλεγεν, ὅτι ἐστὶ χριστιανός, διὰ τοῦτο καὶ μόνον βασανιστικῶς ὑπ' αὐτῶν ἐπαιδεύετο ἕως θανάτου. Ἵστατο ἐν τῷ σταδίῳ τῆς ἀθλήσεως, ἐνώπιον τοῦ τυράννου ὁ ἅγιος τοῦ Χριστοῦ μάρτυς· καὶ ὁ μὲν τύραννος ἔλεγε πρὸς αὐτόν· ἀρνήθητι τοῦτο τὸ ὄνομα, ἵνα φύγῃς τὰς βασάνους· εἰπέ, ὅτι οὐκ εἰμὶ χριστιανός, ἵνα ἀπαλλαγῇς τοῦ θανάτου· ὁ δὲ τοῦ Χριστοῦ μάρτυς ἐκραύγαζε μεγάλῃ τῇ φωνῇ, χριστιανός εἰμι, ἔστεργε τὰς πολυποικίλους καὶ δεινὰς τιμωρίας, καὶ προέκρινε τῆς ἰδίας αὐτοῦ ζωῆς τοῦ χριστιανοῦ τὸ ὄνομα. Πλήρεις εἰσὶν αἱ ἐκκλησιαστικαὶ ἱστορίαι τοιούτων ἁγίων παραδειγμάτων.

Ἀλλ' ἆρά γε ἀρκεῖ μόνον τοῦτο τὸ ἅγιον ὄνομα πρὸς σωτηρίαν; Ἐὰν ἔχῃς φρόνησιν εἰς τὸν νοῦν, ἀνδρείαν εἰς τὴν ψυχήν, σωφροσύνην εἰς τὰ ἤθη, ἀγάπην εἰς τὸν πλησίον, δικαιοσύνην εἰς πάσας τὰς πράξεις σου· ἐὰν ἔχῃς ἔργα βασιλικὰ καὶ ἄξια τοῦ ὀνόματός σου, ἀρκεῖ τὸ ὄνομα πρὸς δόξαν καὶ σωτηρίαν σου. Ἐὰν δὲ ὀνομάζεσαι μὲν χριστιανός, ἤγουν βασιλεύς, γίνεσαι δὲ μωρός, καὶ πολιτεύεσαι ὡς ἀσθενὴς καὶ ἄνανδρος· ὀνομάζεσαι βασιλεύς, ἔπειτα κάθησαι εἰς τὰ καπηλεῖα, καὶ φθείρεις ἑαυτὸν εἰς τὰ πορνοστάσια καὶ εἰς τὰς ἀσωτείας· λέγεσαι βασιλεύς, ἔπειτα ἐπιβουλεύεις τὸν πλησίον σου, καὶ κλέπτεις καὶ ἁρπάζεις ἀδικεῖς, καὶ ποιεῖς πᾶν ἄλλο αἰσχρὸν καὶ ἄτιμον ἔργον, οὐαί σοι· διότι τότε αὐτὸ τὸ ὄνομά σου κατακρίνει σε· ἐπειδὴ ὁ Θεὸς καὶ κατέστησε, καὶ ὠνόμασέ σε βασιλέα, διὰ τί οὐ στοχάζεσαι τὴν ἀξίαν σου, ἀλλὰ περιφρονεῖς αὐτήν; σὺ εἶ εἰκὼν καὶ ὁμοίωμα τοῦ παντοκράτορος Θεοῦ· διὰ τί οὐ συλλογίζεσαι τὴν ἐξουσίαν σου; ὁ παντοδύναμος

(1) Ἰάκ. 2, 13. (2) Μάρκ. 16, 17, 18. (3) Ἰωάν. 20, 22, 23. (4) Ματθ. 21, 21, 22. (5) Λουκ. 10, 19. (6) Ἰωάν. 11, 25. (7) Α'. Κορ. 15, 52. (8) Ἀπ. 1, 6. (9) Λουκ. 22, 29, 30. (10) Ματθ. 25, 34.

(1) Φιλιπ. 2, 9.

ἔδωκέ σοι τὴν ἐξουσίαν τῶν ἐπὶ γῆς κτισμάτων, τὴν κυριότητα ἐπάνω εἰς τὰ πάθη σου, τὴν δεσποτείαν τοῦ ἐχθροῦ σου· διὰ τί οὖν ἐξουσιάζεσαι ὑπὸ τῶν προσκαίρων πραγμάτων, καὶ ὑπηρετεῖς τὰ πάθη σου, καὶ γίνεσαι δοῦλος τοῦ ἐχθροῦ σου; διὰ τί οὐ μνημονεύεις τὸ ὕψος καὶ τὴν δόξαν τῆς βασιλείας σου; βασιλείαν διὰ σὲ ἔχει ἕτοιμον ὁ Θεὸς ἀθάνατον καὶ ἀτελεύτητον. Ὢ, οὐαὶ ἡμῖν τοῖς παναθλίοις· διὰ τί οὐκ ἀνυψοῦμεν τὰ ὄμματα εἰς τὸν οὐρανόν, οὐδὲ βλέπομεν τὰ μεγάλα καὶ ὑπερφυῆ καὶ ἐξαίσια χαρίσματα, ὅσα ἔδωκεν ἡμῖν ὁ Θεός, ἀλλ' ὡς οἱ χοῖροι κάτω πάντοτε νεύομεν, καὶ ὡς ἐκεῖνοι εἰς τὸν βόρβορον, οὕτως ἡμεῖς εἰς τῆς ἁμαρτίας τὴν ἀκαθαρσίαν διαπαντὸς κατακυλιόμεθα. Οὐαὶ ἡμῖν, τὸ ἅγιον ὄνομα, τὸ ἐπιτεθὲν ἡμῖν οὐ δοξάζεται, ἀλλὰ « Βλασφημεῖται ὑπὸ τῶν ἀπί- » στων, διὰ τὰς πονηρὰς ἡμῶν πράξεις » (1).

Χριστιανοί, ἡ ἀπόφασις τοῦ Θεοῦ ἐστιν ἐκπεφωνημένη καὶ γεγραμμένη ἐν τῷ Εὐαγγελίῳ, κατ' ἐκείνου τοῦ πονηροῦ ἀνθρώπου, εἰς ὃν ὁ Θεὸς καὶ τὴν ἐξουσίαν ἔδωκε, καὶ οἰκονόμον αὐτὸν ὠνόμασεν. Αὐτὸς δὲ οὐδὲ κατὰ τὴν ἐξουσίαν, οὐδὲ κατὰ τὸ ὄνομα αὐτοῦ ἐπολιτεύθη· ἀλλ' « ἤρξατο τύπτειν » τοὺς παῖδας καὶ τὰς παιδίσκας, ἐσθίειν » τε καὶ πίνειν καὶ μεθύσκεσθαι » (2). Ἀδελφοί μου ἀγαπητοί, ὅστις ὄνομα μόνον ἔχει χριστιανοῦ, ἔργα δὲ διαβόλου, ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ἐν ᾗ καθίσει ὁ κύριος κρῖναι ζῶντας καὶ νεκρούς, ἀφαιρεῖ ἀπ' αὐτοῦ τὰ θεῖα αὐτοῦ χαρίσματα, ἅμα δὲ καὶ τὸ κεχαριτωμένον αὐτοῦ ὄνομα, αὐτὸν δὲ γυμνὸν καὶ τετραχηλισμένον καταδικάζει ἐκεῖ, ὅπου καὶ οἱ ἄπιστοι, οἱ μὴ καταξιωθέντες τοῦ χριστιανικοῦ ὀνόματος, καταδικασθήσονται· « Καὶ διχοτομήσει αὐτόν, λέγει, » καὶ τὸ μέρος αὐτοῦ μετὰ τῶν ἀπίστων » θήσει. Ἐκεῖ ἔςαι ὁ κλαυθμὸς καὶ ὁ βρυγ- » μὸς τῶν ὀδόντων » (3). Κύριε τοῦ ἐλέους, ῥῦσαι ἡμᾶς ἀπὸ ταύτης τῆς φοβερωτάτης καὶ ἀνερμηνεύτου κατακρίσεως διὰ τῶν οἰκτιρμῶν τοῦ μονογενοῦς σου υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ σου πνεύματι. εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

(1) Ῥωμ. 2, 24. (2) Λουκ. 12, 45. (3) Αὐτ. 46.

---



# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΑΣ

## ΠΡΑΞΕΙΣ ΤΩΝ ΑΠΟΣΤΟΛΩΝ

### ΤΑΣ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΑΣ ΤΗ͂Ι ΚΥΡΙΑΚΗ͂Ι ΤΟΥ ΤΥΦΛΟΥ.

ΔΥΩ θαύματα καὶ μίαν ἀνήκουστον ἀδικοκρισίαν καθιστορεῖ ἡ σήμερον ἀναγνωσθεῖσα πρᾶξις τῶν θεοφόρων Ἀποστόλων. Πρῶτον θαῦμα ὁ διωγμὸς τοῦ δαίμονος, ὅστις ἐπλάνα τοὺς δυστυχεῖς καὶ τρισαθλίους ἀνθρώπους, τοὺς κατοικοῦντας τὴν τῶν Φιλίππων χώραν· δεύτερον, ὁ σεισμὸς τῆς γῆς, ὅστις ἤνοιξε τὰς θύρας τῆς φυλακῆς, ἵνα ἐξέλθωσιν οἱ ἀθῷοι καὶ δέσμιοι Ἀπόστολοι, οἱ ἐν αὐτῇ κατακλεισθέντες· ἀλλὰ καὶ ἡ κατὰ τῶν Ἀποστόλων ἄλογος καὶ θηριώδης ἀπόφασις τῶν ἀρχόντων, θαῦμά ἐστιν, οὐχὶ τῆς δυνάμεως τοῦ Θεοῦ ἀλλὰ τῆς ἀμέτρου κακίας τῶν ἀνθρώπων. Ὅστις μετὰ προσοχῆς ἀκούσει τὴν ἑρμηνείαν τῆς ἀναγνωσθείσης ἱστορίας, ἐκεῖνος, ἐκ μὲν τοῦ πρώτου θαύματος μανθάνων πόση καὶ ποία ἐστὶν ἡ πεπονηρευμένη τῶν δαιμόνων τέχνη, προσέχει, ἵνα μὴ ὑπ' αὐτῶν πλανᾶται. ἐκ δὲ τοῦ δευτέρου, βλέπων τὴν ἀνύςακτον τοῦ Θεοῦ πρόνοιαν, τὴν ὑπερασπίζουσαν τοὺς τὴν ἀρετὴν ἐργαζομένους Ἀποςόλους, ἐλπίζει τὴν θείαν ὑπεράσπισιν, ὅταν πράττῃ τῆς ἀρετῆς τὰ θεάρεςα ἔργα· ἐκ δὲ τοῦ τρίτου, ἀκούων πόσον ἐμπαθῶς καὶ ἀδίκως κατεκρίθησαν οἱ θεῖοι Ἀπόστολοι ὑπὸ τῶν ἐν Φιλίπποις ἀρχόντων καὶ στρατηγῶν, ἀπέχει ἀπὸ πάσης παραλόγου καὶ ἐμπαθοῦς ἀδικοκρισίας.

*Ἐν ταῖς ἡμέραις ἐκείναις ἐγένετο, πορευομένων ἡμῶν τῶν Ἀποστόλων εἰς προσευχήν, παιδίσκην τινὰ ἔχουσαν πνεῦμα Πύθωνος, ἀπαντῆσαι ἡμῖν, ἥτις ἐργασίαν πολλὴν παρεῖχε τοῖς κυρίοις αὐτῆς μαντευομένη* (1).

Ὁ Παῦλος καὶ ὁ Σίλας καὶ ὁ Τιμόθεος ἐλθόντες εἰς τὴν Μακεδονίαν κατὰ τὸ ὅραμα, ὃ εἶδεν ὁ Παῦλος, διέτριβόν τινας ἡμέρας εἰς τὴν Φιλίππων πόλιν (2)· μετ' αὐτῶν δὲ ἦν καὶ ὁ ταῦτα καθιςορῶν θεῖος Λουκᾶς. Τοῦτο δὲ φανερὸν ἐξ αὐτῶν τῶν λόγων αὐτοῦ· « Πορευομένων, λέγει, ἡμῶν τῶν Ἀ- » ποστόλων » (3), καὶ κατωτέρω, « τῷ » Παύλῳ καὶ ἡμῖν ». Ποῖος δὲ ἦν ὁ τόπος, ἐν ᾧ ἐπορεύοντο οὗτοι οἱ Ἀπόστολοι ἵνα προσευχηθῶσι; Τόπος ἦν ἔξω τῆς πόλεως, πλησίον τοῦ ἐκεῖ ποταμοῦ. « Τῇ τε ἡμέρᾳ » τῶν σαββάτων λέγει ὁ ἱστορικός, ἐξήλθο- » θομεν ἔξω τῆς πόλεως παρὰ ποταμόν, οὗ » ἐνομίζετο προσευχὴ εἶναι » (4). Συνήρ-

(1) Πράξ. 16, 16. (2) Αὐτ. 15, 40 καὶ 16, 3, 9. (3) Αὐτ. 16, 17. (4) Αὐτ. 13.

χοντο δὲ οἱ Ἰουδαῖοι ἔξω τῆς πόλεως, ἴσως ἐπειδὴ οἱ ἐν Φιλίπποις κατοικοῦντες Ἕλληνες οὐ συνεχώρουν αὐτοῖς, ἵνα ἔχωσι τόπον συναγωγῆς ἔνδον τῆς πόλεως. Τί δέ ἐστι τὸ πνεῦμα τοῦ Πύθωνος, τὸ ἐν τῇ παιδίσκῃ; Πύθιος ἢ Πύθων ἐλέγετο ὁ Ἀπόλλων, ὁ ὑπὸ τῶν εἰδωλολατρῶν Θεὸς νομιζόμενος· τοῦτο τὸ εἴδωλον, τὸ εἰς τὸν ἐν Δελφοῖς βωμόν, ὑπὸ γυναικῶν ὑπηρετεῖτο, αἵτινες ὠνομάζοντο Πυθίαι· ἐν τούτῳ δὲ τῷ βωμῷ λάκκος ἦν, καὶ πλησίον τοῦ λάκκου, τραπέζιον, Τρίπους λεγόμενον, ὡς ἔχον τρεῖς πόδας· καὶ ἐν μὲν τῷ τραπεζίῳ ἐκάθητο ἡ Πυθία, ἐκ δὲ τοῦ λάκκου πνεῦμα πονηρὸν ἐξερχόμενον, καὶ εἰς αὐτὴν εἰσερχόμενον, ἐδαιμόνιζεν αὐτήν· ὅθεν αὐτὴ μὲν ἔλυε τὰς τρίχας τῆς κεφαλῆς αὐτῆς, τὸ δὲ χρῶμα τοῦ προσώπου αὐτῆς ἠλλοιοῦτο, ἄφριζε δὲ τὸ στόμα, καὶ ὡς καταμεμεθυσμένη ἐλάλει τῆς μαντείας τὰ λόγια· ἐκ τούτου οὖν πᾶν δαιμόνιον μαντευτικὸν ἐλέγετο πνεῦμα Πύθωνος (1)· ὅταν οὖν οἱ ῥηθέντες Ἀπόστολοι ἐπορεύοντο εἰς τὸν διωρισμένον τόπον τῆς προσευχῆς, ἵνα οὐ μόνον προσευχηθῶσιν, ἀλλὰ καὶ ἵνα διδάξωσι καὶ ἐπιστρέψωσι τοὺς ἐκεῖ συναθροιζομένους (2), τότε ἀπήντησεν αὐτοῖς μία δούλη, ἥτις εἶχε τὸ πνεῦμα τοῦ Πύθωνος, καὶ ἐμάντευε, διὰ δὲ τῆς μαντείας πολὺ κέρδος ἔφερεν εἰς τοὺς δεσπότας αὐτῆς.

*Αὕτη κατακολουθήσασα τῷ Παύλῳ καὶ ἡμῖν, ἔκραζε λέγουσα· Οὗτοι οἱ ἄνθρωποι δοῦλοι τοῦ Θεοῦ τοῦ Ὑψίστου εἰσίν, οἵτινες καταγγέλλουσιν ἡμῖν ὁδὸν σωτηρίας* (3).

Αὐτὴ ἡ δεδαιμονισμένη δούλη ἀκολουθοῦσα ὀπίσω τοῦ Παύλου καὶ τῶν μετ' αὐτοῦ Ἀποστόλων, ἐκραύγαζε μεγαλοφώνως, λέγουσα περὶ αὐτῶν· οὗτοι οἱ ἄνθρωποί εἰσι δοῦλοι τοῦ Θεοῦ τοῦ Ὑψίστου, κηρύττουσι δὲ καὶ δηλοποιοῦσιν ἡμῖν τὸν δρόμον τῆς σωτηρίας. Ἀλλὰ τίνι τρόπῳ ὁ διάβολος, ὁ πατὴρ τοῦ ψεύδους, ἐκήρυττε ταύτην τὴν ἀλήθειαν; πῶς δὲ οὐκ ἐφοβεῖτο, μήπως οἱ ταῦτα ἀκούοντες πιστεύσωσιν εἰς τὸ ἀποστολικὸν κήρυγμα; Ἀληθῶς ὡμολόγησεν αὐτὸς φωνῇ μεγάλῃ, ὅτι ὁ Ἰησοῦς Χριστός ἐστιν Υἱὸς Θεοῦ καὶ Θεός. «Τί ἐμοὶ καὶ σοί, » Ἰησοῦ Υἱὲ τοῦ Θεοῦ τοῦ Ὑψίστου; ὁρκίζω » σε τὸν Θεὸν μή με βασανίσῃς » (4). Ἀλλ' ἠναγκάσθη τοῦτο ποιῆσαι ὑπὸ τοῦ προστάγματος τοῦ Ἰησοῦ· « ἔλεγε γὰρ αὐτῷ· » Ἔξελθε τὸ πνεῦμα τὸ ἀκάθαρτον ἐκ τοῦ « ἀνθρώπου ». Ποία δὲ ἀνάγκη ἐβίασεν αὐτόν, ἵνα μαρτυρήσῃ ὅτι οἱ Ἀπόστολοι ἦσαν δοῦλοι τοῦ Θεοῦ τοῦ Ὑψίστου, καὶ ἐδίδασκον τῆς σωτηρίας τὰ μαθήματα; Οὐδεμίαν εἶχεν ἀνάγκην, ἀλλὰ τέχνην μετῆλθε πανοῦργον καὶ δολερωτάτην· αὐτὸς ἔστησε διπλῆν παγίδα, ἐλπίσας, ὅτι διὰ τῶν τοιούτων ἐπαίνων, ἤτοι ὑποσκελισθήσονται οἱ Ἀπόστολοι ὑπὸ τῆς φιλοδοξίας καὶ ὑπερηφανείας, ἢ ἀναγκασθήσονται διῶξαι αὐτὸν ἐκ τῆς δούλης· καὶ οὕτως ὀργισθέντες οἱ κύριοι αὐτῆς διὰ τὴν τοῦ κέρδους αὐτῶν ἀπώλειαν, ἐπιβουλεύσουσι τὴν ζωὴν αὐτῶν· ἡ τοιαύτη δὲ ἐλπὶς ἐδίωξεν ἐξ αὐτοῦ τὸν φόβον τῆς ἐπιστροφῆς τῶν ἀκουόντων τὴν ὑπ' αὐτοῦ κηρυττομένην ἀλήθειαν. Βλέπομεν δὲ εἰς τὰ ἐφεξῆς ἱστορούμενα, ὅτι ἠκολούθησε τὸ δεύτερον. Σὺ δὲ σημείωσον πῶς αὐτὸς ὁ Σατανᾶς, ὡς εἶπεν ὁ Παῦλος,

(1) Ὅρα τὸν Οἰκουμ. Αὐτ. (2) Αὐτ. 14, 15. (3) Πράξ. 16, 17. (4) Μάρκ. 5, 7, 8·



«Μετασχηματίζεται εἰς ἄγγελον φωτός» (1), καὶ κηρύττει τὴν ἀλήθειαν, οὐχ ἵνα ὠφελήσῃ, ἀλλ' ἵνα βλάψῃ τοὺς ἀκούοντας.

*Τοῦτο δὲ ἐποίει ἐπὶ πολλὰς ἡμέρας· διαπονηθεὶς δὲ ὁ Παῦλος, καὶ ἐπιστρέψας τῷ πνεύματι, εἶπε· παραγγέλλω σοι ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ, ἐξελθεῖν ἀπ' αὐτῆς, καὶ ἐξῆλθεν αὐτῇ τῇ ὥρᾳ* (2).

Οὐ μίαν μόνην, ἀλλὰ πολλὰς ἡμέρας ἡ δούλη ἐκείνη ἐποίει τοῦτο, ἤγουν ἔκραζεν ὄπισθεν τῶν Ἀποστόλων, λέγουσα· »Οὗτοι » οἱ ἄνθρωποι δοῦλοι τοῦ Θεοῦ τοῦ Ὑψίςου » εἰσίν, οἵτινες καταγγέλλουσιν ἡμῖν ὁδὸν » σωτηρίας » (3). Ἀλλ' ὁ Παῦλος εἴτ' ἐπειδὴ προέβλεπεν ὅσας ἐπιβουλὰς ἔμελλε πρᾶξαι κατ' αὐτοῦ, καὶ τῶν σὺν αὐτῷ Ἀποςόλων ὁ δαίμων διωχθεὶς ἐξ ἐκείνης τῆς παιδίσκης, εἴτε ἵνα μὴ φανῇ, ὅτι ζητεῖ ἀφορμὰς τοῦ δοξάζεσθαι ὑπὸ τῶν ἀνθρώπων διὰ τὰ θαύματα, οὐκ ἐδίωξε κατ' ἀρχὰς εὐθὺς τὸ δαιμόνιον. Ἐπειδὴ δὲ αὐτὸ ἐπέμενε πειράζον, διαπονηθεὶς ὁ Παῦλος, ἤγουν ἐνοχληθείς, καὶ βαρέως φέρων τὸν τοιοῦτον πειρασμόν, ἐπιστρέψας τὸ πρόσωπον αὐτοῦ ἐπὶ τὴν παιδίσκην, εἶπε πρὸς τὸ πονηρὸν πνεῦμα· « Παραγγέλλω σοι ἐν τῷ ὀνόμα» τι Ἰησοῦ Χριστοῦ, ἵνα ἐξέλθῃς ἀπ' αὐ» τῆς ». Καὶ ταῦτα μὲν εἶπεν ὁ Παῦλος, ὁ δὲ δαίμων φρίξας τὴν δύναμιν τοῦ ὀνόματος τοῦ Ἰησοῦ Χριστοῦ, καὶ ὑπακούσας εἰς τὸ παράγγελμα, εὐθὺς ἐξῆλθεν, ὢ τοῦ θαύματος, ἀπὸ τῆς παιδίσκης, καὶ ἠλευθέρωσεν αὐτὴν ἀπὸ τῆς δαιμονικῆς αὐτοῦ πλάνης καὶ τυραννίας· ἐπληρώθη δὲ τοῦ κυρίου Ἰησοῦ ἡ προφητεία ἡ περὶ τῶν εἰς αὐτὸν πιστευσάντων· « Σημεῖα δέ, εἶπε, τοῖς πι» στεύσασι ταῦτα παρακολουθήσει, ἐν τῷ » ὀνόματί μου δαιμόνια ἐκβαλοῦσιν » (4).

*Ἰδόντες δὲ οἱ κύριοι αὐτῆς, ὅτι ἐξῆλθεν ἡ ἐλπὶς τῆς ἐργασίας αὐτῶν, ἐπιλαβόμενοι τὸν Παῦλον καὶ τὸν Σίλαν, εἵλκυσαν εἰς τὴν ἀγορὰν ἐπὶ τοὺς ἄρχοντας* (5).

Ἀφ' οὗ ἐξῆλθε τὸ δαιμόνιον ἀπὸ τῆς δούλης, ἔπαυσαν αἱ μαντεῖαι· διότι οὐκ αὐτή, ἀλλ' ὁ δαίμων δι' αὐτῆς ἐμάντευεν. Ἰδόντες οὖν οἱ δεσπόται αὐτῆς, ὅτι ἔπαυσεν ἡ ἐλπὶς τοῦ κέρδους, τοῦ διὰ τῆς μαντείας τῆς δούλης αὐτῶν προξενουμένου, ὀργισθέντες καὶ ἐκδίκησιν ὠδινήσαντες, ἴσως δὲ καὶ ἐλπίσαντες, ὅτι, ἐὰν ἀποκτείνωσι τοὺς Ἀποστόλους, πάλιν ἡ δούλη αὐτῶν μαντεύει, πιάσαντες τὸν Παῦλον καὶ τὸν Σίλαν ὡς ἀρχηγοὺς τοῦ ἔργου, ἔσειρον αὐτοὺς εἰς τὴν ἀγοράν, ὅπου κατὰ τὴν τότε συνήθειαν ἐκάθοντο οἱ ἄρχοντες κρίνοντες τὸν λαόν.

*Καὶ προσαγαγόντες αὐτοὺς τοῖς στρατηγοῖς, εἶπον· Οὗτοι οἱ ἄνθρωποι ἐκταράσσουσιν ἡμῶν τὴν πόλιν, Ἰουδαῖοι ὑπάρχοντες· καὶ καταγγέλλουσιν ἔθη, ἃ οὐκ ἔξεστιν ἡμῖν παραδέχεσθαι, οὐδὲ ποιεῖν, Ῥωμαίοις οὖσι* (6).

Κατὰ τίνα λόγον οἱ τὴν Φιλίππων πόλιν κατοικοῦντες ἔλεγον, ὅτι εἰσὶ Ῥωμαῖοι; Ἡ πόλις τῶν Φιλίππων ὑπὸ Φιλίππου μὲν τοῦ τῶν Μακεδόνων βασιλέως ἐκτίσθη, καὶ ἐξ αὐτοῦ ἔλαβε τὴν ὀνομασίαν· ὅτε δὲ οἱ Ῥωμαῖοι κύριοι ἐγένοντο τῆς Ἑλλάδος (7), ἀ-

(1) Β'. Κορ. 11, 14. (2) Πράξ. 16, 18. (3) Αὐτ. 16, 17. (4) Μάρκ. 16, 17. (5) Πράξ. 16, 19.
(6) Αὐτ. 16, 20, 21. (7) Ὅρα τὸν Καλμ. αὐτ.

πέστειλαν ἐκεῖ ἐκ Ῥώμης ἀποικίαν· δύω δε ἦσαν τὰ τῶν ἀποικιῶν εἴδη παρὰ Ῥωμαίοις· ἡ μὲν συνίστατο εἰς τόπον ἢ ἀπ' ἀρχῆς ἔρημον, ἢ μετὰ ταῦτα ἐρημωθέντα· ἡ δὲ ἐστέλλετο ἐν αὐταῖς ταῖς πόλεσιν, ὅπου στρατιῶται καί τινες ὑπήκοοι αὐτῶν κατῴκουν· ἡ πόλις δὲ τῶν Φιλίππων ἀποικία ἦν Ῥωμαίων τοῦ δευτέρου εἴδους· ηὔξησε δὲ αὐτὴν πρῶτον μὲν Ἰούλιος ὁ Καῖσαρ, ἔπειτα δὲ καὶ ὁ Αὔγουστος· ἐκ τούτου ἐπὶ Κλαυδίου Καίσαρος τὰ νομίσματα ταύτης τῆς πόλεως ἐπεγράφοντο οὕτω· Κολωνίας Ἰουλίας Αὐγούστης Φιλιππησίας. Διὰ τοῦτο δὲ καὶ ὁ ἱερὸς Λουκᾶς ταύτην τὴν πόλιν ὠνόμασε διὰ τοῦ ῥωμαϊκοῦ ὀνόματος Κολωνίαν, ἤγουν ἀποικίαν· « Ἐκεῖθέν τε, » εἶπεν, εἰς Φιλίππους, ἥτις ἐστὶ πρώτη » τῆς μερίδος τῆς Μακεδονίας πόλις, Κο» λώνια » (1). Διὰ τοῦτον οὖν τὸν λόγον οἱ ἐκεῖ κατοικοῦντες ἔλεγον, ὅτι εἰσὶ Ῥωμαῖοι· διὰ τὸν αὐτὸν δὲ λόγον καὶ ὁ Παῦλος ἔλεγεν ἑαυτὸν Ῥωμαῖον, κἂν Ἰουδαῖος ἦν τὸ γένος, καὶ ἐν Ταρσῷ τῆς Κιλικίας γεγεννημένος (2). Στρατηγοὺς δὲ λέγει ὁ ἱερὸς ἱστορικὸς ἐκείνους, οὓς ἀνωτέρω ὠνόμασεν ἄρχοντας, καθότι οἱ αὐτοὶ εἶχον καὶ τὴν πολιτικὴν καὶ τὴν στρατιωτικὴν ἐξουσίαν καὶ διοίκησιν· παραστήσαντες δὲ οἱ κύριοι τῆς παιδίσκης τὸν Παῦλον καὶ τὸν Σίλαν ἐνώπιον αὐτῶν, εἶπον πρὸς αὐτούς· Οὗτοι οἱ ἄνθρωποί εἰσιν Ἰουδαῖοι, ταράττουσι δὲ τὴν πόλιν ἡμῶν κηρύττοντες συνηθείας, ἃς ἡμεῖς οὐδὲ δεχθῆναι οὐδὲ ἐκπληρῶσαι ἔχομεν ἐξουσίαν, ἐπειδή ἐσμεν Ῥωμαῖοι.

**Καὶ** *συνεπέστη ὁ ὄχλος κατ' αὐτῶν, καὶ οἱ στρατηγοὶ περιῤῥήξαντες αὐτῶν τὰ ἱμάτια, ἐκέλευον ῥαβδίζειν· πολλάς τε ἐπιθέντες αὐτοῖς πληγάς, ἔβαλον εἰς φυλακήν, παραγγείλαντες τῷ δεσμοφύλακι ἀσφαλῶς τηρεῖν αὐτούς.* **Ὃς** *παραγγελίαν τοιαύτην εἰληφώς, ἔβαλεν αὐτοὺς εἰς τὴν ἐσωτέραν φυλακήν, καὶ τοὺς πόδας αὐτῶν ἠσφαλίσατο εἰς τὸ ξύλον* (3).

Βλέπε κρίσιν ἄδικον καὶ βάρβαρον τιμωρίαν. οἱ μὲν κύριοι τῆς παιδίσκης ἐγκαλοῦσιν ἐνώπιον τῶν στρατηγῶν τὸν Παῦλον καὶ τὸν Σίλαν, ὡς ταραξίας καὶ στασιαστάς· οἱ δὲ στρατηγοὶ οὐδὲ ἀπολογίαν ζητοῦσι παρὰ τῶν ἐγκαλεσθέντων, οὐδὲ ἐξετάζουσιν ὅλως, ἐὰν ἀληθὴς ὑπάρχῃ ἡ κατηγορία· πρὸς τούτοις βλέπουσιν, ὅτι ὁ ὄχλος συνεπέστη κατ' αὐτῶν, ἤγουν ὅλον ἐκεῖνο τῆς ἀγορᾶς τὸ πλῆθος ὡς ῥαγδαία χάλαζα, ἔπεσον ἅμα ἐπὶ τοὺς δικαζομένους Ἀποστόλους· οὐ μόνον δὲ οὐκ ἐμποδίζουσι τὴν τοιαύτην δημεγερσίαν καὶ χειροδίκην τὴν ἐνώπιον αὐτῶν γινομένην, ἀλλ' αὐτοὶ ἰδίαις χερσὶ διὰ περισσοτέραν τῶν κρινομένων αἰσχύνην καὶ καταδίκην, περιῤῥήξαντες, τουτέστι σχίσαντες τὰ ἱμάτια αὐτῶν, προστάττουσιν, ἵνα ῥαβδίσωσιν αὐτούς, κἂν δὲ ἐπὶ πολλοῦ σφοδρῶς αὐτοὺς ἐῤῥάβδισαν, ὅμως οὐκ ἐχόρτασαν, ἀλλ' ἔβαλον αὐτοὺς εἰς τὴν φυλακήν, παραγγείλαντες εἰς τὸν δεσμοφύλακα, ἤγουν εἰς τὸν φυλάττοντα τοὺς δεσμίους, ἵνα μετὰ πάσης ἀσφαλείας φυλάττῃ αὐτούς· ἐπειδὴ δὲ τοιαύτην παραγγελίαν ἔλαβεν ὁ δεσμοφύλαξ, φοβούμενος, μήπως τὴν νύκτα φύγωσιν οἱ ἐγχειρισθέντες αὐτῷ Ἀπόστολοι, προσέθετο

(1) Πράξ. 16, 12. (2) Αὐτ. 16, 37, καὶ 22, 3, 25, (3) Αὐτ. 16, 22, 23, 24.



τιμωρίαν ἐπὶ τιμωρίᾳ, ἔβαλε δηλονότι αὐτοὺς εἰς τὴν ἐσωτέραν καὶ ἑπομένως σκοτεινοτέραν φυλακήν, τοὺς δὲ πόδας αὐτῶν ἔκλεισε καὶ ἠσφάλισεν εἰς τὸ τιμωρητικὸν ξύλον, τὸ λεγόμενον ποδοκάκη καὶ ξυλοπέδη.

**Κατὰ** *δὲ τὸ μεσονύκτιον* **Παῦλος** *καὶ Σίλας προσευχόμενοι ὕμνουν τὸν Θεόν, ἐπηκροῶντο δὲ αὐτῶν οἱ δέσμιοι* (1).

Ἐν τῇ ἐσωτέρᾳ φυλακῇ κατακείμενοι οἱ παμμακάριστοι Ἀπόστολοι, τετραυματισμένοι, δεδεμένοι τοὺς πόδας εἰς τὸ ξύλον, καὶ ὅμως οὐκ ἀμελοῦσι τῆς προσευχῆς τὸ ἔργον· παράδειγμα τοῦτο ὠφελιμώτατον, διδάσκον ἡμᾶς, ἵνα καὶ εἰς αὐτὰς τὰς θλιβερωτάτας περιστάσεις καὶ ἀνάγκας ἡμῶν προσευχώμεθα, εὐχαριστίαν προσφέροντες εἰς τὸν Θεόν· προσεύχονται δὲ οἱ Ἀπόστολοι ἐν τῇ ὥρᾳ τοῦ μεσονυκτίου διὰ τῆς ὥρας τὸ ἥσυχον· ἐκ δὲ τῆς πολλῆς πρὸς Θεὸν ἀγάπης, οὐχὶ μυστικῶς, ἀλλ' ἐκφώνως, ὥστε ἤκουον τὴν προσευχὴν αὐτῶν οἱ δέσμιοι οἱ ἐν τῇ αὐτῇ φυλακῇ εὑρισκόμενοι. Προσεύχονται οὐχὶ ἐκδίκησιν ζητοῦντες παρὰ Θεοῦ κατὰ τῶν ἀδίκως τιμωρησάντων αὐτούς, οὐδὲ λύτρωσιν ἀπὸ τῶν δεσμῶν καὶ τῆς φυλακῆς, οὐδὲ ἰατρείαν τῶν πληγῶν αὐτῶν, ἀλλ' ὕμνους καὶ δοξολογίας προσφέροντες εἰς τὸν Θεόν· « Προσευχόμενοι, » λέγει, ὕμνουν τὸν Θεὸν », τὸν καταξιώσαντα αὐτοὺς ταῦτα παθεῖν ὑπὲρ τοῦ ὀνόματος τοῦ μονογενοῦς υἱοῦ αὐτοῦ, καθὼς καὶ ὁ Πέτρος καὶ οἱ σὺν αὐτῷ Ἀπόστολοι, ὅτε ἔδειραν αὐτοὺς ἐν τῷ τῶν Ἰουδαίων συνεδρίῳ· « Ἐπορεύοντο, λέγει, χαίροντες » ἀπὸ προσώπου τοῦ συνεδρίου, ὅτι ὑπὲρ » τοῦ ὀνόματος αὐτοῦ κατηξιώθησαν ἀτι» μασθῆναι » (2). Κἂν δὲ ὑμνολογία καὶ οὐχὶ δέησις ἦν τῶν ἐν τῇ φυλακῇ Ἀποστόλων ἡ προσευχή, ἔδειξεν ὅμως θαῦμα εἰς ἀπολύτρωσιν αὐτῶν ὁ Θεός, ὅστις οἶδεν ὧν χρείαν ἔχομεν πρὸ τοῦ ἡμᾶς αἰτῆσαι (3).

**Ἄφνω** *δὲ σεισμὸς ἐγένετο μέγας, ὥστε σαλευθῆναι τὰ θεμέλια τοῦ δεσμωτηρίου· ἀνεῴχθησάν τε παραχρῆμα αἱ θύραι πᾶσαι, καὶ πάντων τὰ δεσμὰ ἀνέθη.* **Ἔξυπνος** *δὲ γενόμενος ὁ δεσμοφύλαξ, καὶ ἰδὼν ἀνεῳγμένας τὰς θύρας τῆς φυλακῆς, σπασάμενος μάχαιραν, ἔμελλεν ἑαυτὸν ἀναιρεῖν, νομίζων ἐκπεφευγέναι τοὺς δεσμίους* (4).

Ἰδοὺ τὸ θαῦμα τοῦ Θεοῦ, σεισμὸς αἰφνίδιος, καὶ τοσοῦτον μέγας καὶ ἰσχυρός, ὥςε ἐσαλεύθησαν τῆς φυλακῆς τὰ θεμέλια, ἤνοιξαν δὲ εὐθὺς καὶ πᾶσαι τῆς φυλακῆς αἱ θύραι, καὶ ἐλύθησαν τὰ δεσμὰ πάντων, ὅσοι ἦσαν ἐκεῖ δεδεμένοι· ἐξυπνήσας δὲ ὁ δεσμοφύλαξ, καὶ ἰδὼν τὰς θύρας τῆς φυλακῆς ἀνεῳγμένας, ἐνόμισεν ὅτι ἔφυγον οἱ δέσμιοι. Ἵνα οὖν φύγῃ τὴν τιμωρίαν, τὴν περιμένουσαν αὐτὸν διὰ τὴν φυγὴν τῶν δεσμίων, ἐκβαλὼν τὴν μάχαιραν αὐτοῦ ἐκ τῆς μαχαιροθήκης, ἔμελλε θανατῶσαι ἑαυτόν. Ὁ σεισμὸς ἐσάλευσε τῆς φυλακῆς τὰ θεμέλια, καὶ ἤνοιξε τὰς θύρας αὐτῆς· τίς δὲ ἔλυσε τὰ δεσμὰ τῶν δεσμίων; ἡ τῶν δεσμῶν λύσις οὐκ ἔστι τοῦ σεισμοῦ ἀποτέλεσμα, ἀλλὰ τῆς θείας δυνάμεως ἔργον· φανερὸν οὖν ἐστιν, ὅτι οὐχὶ ἕν, ἀλλὰ δύω θαύματα ἐγένοντο, ὁ σεισμός, καὶ τῶν δεσμῶν ἡ λύσις.

(1) Πράξ. 16, 25. (2) Αὐτ. 5, 41. (3) Ματθ. 6, 8. (4) Πράξ. 16, 26, 27.

*Ἐφώνησε δὲ φωνῇ μεγάλῃ ὁ Παῦλος, λέγων· μηδὲν πράξῃς σεαυτῷ κακόν· ἅπαντες γάρ ἐσμεν ἐνθάδε* (1).

Ἀκούεις ἀνεξικακίας καὶ ἀληθινῆς ἀγάπης καὶ εὐεργεσίας τῶν ἐχθρῶν παράδειγμα κατὰ τὴν ἐντολὴν τοῦ Κυρίου; Ἀγωνίζεται ὁ Παῦλος ἵνα φυλάξῃ τὴν ζωὴν τοῦ δεσμοφύλακος, ὅστις πρὸ ὀλίγου ἔβαλεν αὐτὸν εἰς τὴν σκοτεινοτέραν φυλακήν, καὶ ἔδεσε τοὺς πόδας αὐτοῦ εἰς τὸ ξύλον· διὰ τοῦτο μετὰ μεγάλης φωνῆς ἐφώνησε, λέγων πρὸς αὐτόν· μηδὲν κακὸν πράξῃς κατὰ σεαυτοῦ, διότι οὐδεὶς τῶν δεσμίων ἔφυγεν, ἀλλὰ πάντες ὧδέ ἐσμεν· ὁ Παῦλος ἔνδον τῆς φυλακῆς, ὁ δεσμοφύλαξ ἔξω· σκότος ἔσω τὸ τῆς ἐσωτέρας φυλακῆς, σκότος ἔξω τὸ μεσονυκτικόν, πῶς οὖν ὁ Παῦλος εἶδε τὸν δεσμοφύλακα ἐκβάλλοντα τὴν μάχαιραν ἵνα θανατωθῇ; καὶ πόθεν κατενόησε τὴν ὑποψίαν τοῦ δεσμοφύλακος περὶ τῆς τῶν δεσμίων φυγῆς; Διὰ τοῦ φωτὸς τῆς χάριτος τοῦ παναγίου πνεύματος καὶ εἶδε τί ἔπραττε, καὶ ἐγνώρισε τί ἐμελέτα, καὶ τί ἐσυλλογίζετο ὁ δεσμοφύλαξ· « Φῶς δικαίοις διαπαντός (2)· φῶς ἀνέτειλε τῷ δικαίῳ » (3).

*Αἰτήσας δὲ φῶτα εἰσεπήδησε, καὶ ἔντρομος γενόμενος, προσέπεσε τῷ Παύλῳ καὶ τῷ Σίλᾳ. Καὶ προαγαγὼν αὐτοὺς ἔξω, ἔφη· κύριοι, τί με δεῖ ποιῆσαι, ἵνα σωθῶ* (4).

Ἀκούσας ὁ δεσμοφύλαξ τοῦ Παύλου τὰ λόγια, ἔλαβε θάῤῥος· ἵνα δὲ πληροφορηθῇ, ὅτι οὐκ ἔφυγον οἱ δέσμιοι, ἐζήτησε λαμπάδας, καὶ λαβὼν αὐτάς, ἐπήδησεν ἔνδον τῆς φυλακῆς· « Καὶ ἔντρομος, λέγει, γενόμενος ». Ὁ σεισμὸς προεξένησεν αὐτῷ τὸν φόβον καὶ τὸν τρόμον· ἀλλὰ πόθεν εὐθὺς τόσην εὐλάβειαν ἔδειξε πρὸς τὸν Παῦλον καὶ τὸν Σίλαν, ὥςε ἔπεσεν ἐνώπιον αὐτῶν; « Προσέπεσε τῷ Παύλῳ καὶ τῷ Σίλᾳ ». Πῶς δὲ νῦν οὐ φοβεῖται τοὺς ςρατηγούς, ἀλλ' ἐξάγει ἐκ τῆς φυλακῆς ἐκείνους, οὓς πρὸ ὀλίγου ἔβαλεν εἰς τὴν ἐσωτέραν φυλακήν, καὶ ἠσφαλίσατο τοὺς πόδας αὐτῶν εἰς τὸ ξύλον; διὰ ποῖον λόγον ἀφιεροῖ εἰς τὴν συμβουλὴν αὐτῶν πᾶσαν τῆς σωτηρίας αὐτοῦ τὴν ἐλπίδα, ἐρωτῶν αὐτούς, τί πρέπον ἐστίν, ἵνα πράξῃ, ὅπως ἂν σωθῇ; « Καὶ προαγαγὼν αὐτοὺς ἔξω, ἔφη· Κύριοι, τί με δεῖ ποιῆσαι, ἵνα σωθῶ; Αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ ὑψίστου » (5). Ἐξυπνίσθη ὑπὸ τοῦ μεγάλου σεισμοῦ, εἶδεν ἀνεῳγμένας τῆς φυλακῆς τὰς θύρας, καὶ λελυμένα τῶν δεσμίων τὰ δεσμά, ἤκουσε τὴν ἀνεξίκακον καὶ εὐεργετικωτάτην φωνὴν τοῦ Παύλου, ἥτις ἥρπασεν αὐτὸν ἀπὸ τῶν πυλῶν τοῦ θανάτου, ὅτε σπασάμενος τὴν ἑαυτοῦ μάχαιραν ἔμελλεν ἑαυτὸν θανατῶσαι, εἶδε, λέγω, Θεοῦ θαύματα, καὶ ᾐσθάνθη ἀρετὴν ἐπουράνιον, ὅθεν συνετρίβη ἡ καρδία αὐτοῦ, καὶ ἔκλινεν ἡ ψυχὴ αὐτοῦ εἰς μετάνοιαν· ἡ δὲ τοῦ Θεοῦ χάρις ἔφερεν εἰς αὐτὸν καὶ τὸν θεῖον φόβον, καὶ τὴν εὐσεβῆ εὐλάβειαν, καὶ τὴν σωτήριον ὑπακοὴν εἰς τὰς συμβουλὰς τοῦ Παύλου καὶ τοῦ Σίλα.

*Οἱ δὲ εἶπον· πίστευσον ἐπὶ τὸν Κύριον Ἰησοῦν Χριστόν, καὶ σωθήσῃ σὺ καὶ ὁ οἶκός σου. Καὶ ἐλάλησαν αὐτῷ τὸν λόγον τοῦ Κυρίου, καὶ πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ αὐτοῦ* (6).

(1) Πράξ. 16, 28. (2) Παροιμ. 13, 9. (3) Ψαλμ. 96, 11. (4) Πράξ. 16, 29, 30. (5) Ψαλμ. 76, 10, (6) Πράξ. 16, 31, 32.



Πρῶτον μὲν ἀπεκρίθησαν πρὸς αὐτὸν σύντομα· « Πίστευσον, εἶπον, ἐπὶ τὸν Κύριον Ἰησοῦν Χριστόν, καὶ σωθήσῃ σὺ καὶ ὁ οἶκός σου ». Ταῦτα δὲ τὰ ὀλίγα λόγια περιέχουσι πάντα τὰ ὑπὸ τῶν εὐσεβῶν πιστευόμενα· διότι οὐδὲν ἄλλο θεμέλιον ἔχει ἡ εἰς Χριστὸν πίστις, εἰ μὴ αὐτὸν τὸν Ἰησοῦν Χριστόν· « Θεμέλιον γὰρ ἄλλον οὐδεὶς δύναται θεῖναι παρὰ τὸν κείμενον, ὅς ἐςιν Ἰησοῦς ὁ Χριστός » (1). Εἰς ὅσα πιςεύομεν, ἐκεῖνα εἰς τὸν Ἰησοῦν Χριστὸν ἀναφέρονται, καὶ εἰς αὐτὸν θεωροῦνται, καὶ αὐτὸν ἔχουσι βάσιν καὶ στήριγμα· ὅστις δὲ εἰς αὐτὸν πιστεύει, ἐκεῖνος κληρονομεῖ τὴν ζωὴν τὴν αἰώνιον· « Ὁ πιστεύων εἰς τὸν Υἱὸν ἔχει ζωὴν αἰώνιον, ὁ δὲ ἀπειθῶν, οὐκ ὄψεται ζωήν » (2). Μετὰ δὲ ταύτην τὴν σύντομον καὶ περιεκτικωτάτην διδασκαλίαν, ἐλάλησαν, λέγει, τὸν λόγον τοῦ Κυρίου εἰς αὐτὸν καὶ εἰς πάντας τοὺς οἰκιακοὺς αὐτοῦ, ἤγουν κατήχησαν αὐτούς, καὶ ἐδίδαξαν τῆς παναγίας Τριάδος τὰ δόγματα, τῆς θείας σαρκώσεως τοῦ Υἱοῦ τοῦ Θεοῦ τὴν οἰκονομίαν, τῶν ἁγίων μυστηρίων τὴν ὠφέλειαν, τὴν εἰς τοὺς θείους νόμους ὑπακοήν. Βλέπε δὲ τὴν ἀποςολικὴν προθυμίαν καὶ τὸν ἔνθερμον ζῆλον τοῦ Παύλου καὶ τοῦ Σίλα· κἂν τετραυματισμένοι ἦσαν, κἂν μεγάλην εἶχον χρείαν ὑπηρεσίας καὶ ἀναπαύσεως, ὅτε ἐξῆλθον ἐκ τῆς φυλακῆς, ὅμως οὐδόλως φροντίζουσι περὶ τῆς θεραπείας τοῦ σώματος αὐτῶν, ἀλλὰ μετὰ πάσης σπουδῆς διδάσκουσι τοῦ Κυρίου τὸν λόγον·

*Καὶ παραλαβὼν αὐτοὺς ἐν ἐκείνῃ τῇ ὥρᾳ τῆς νυκτός, ἔλουσεν ἀπὸ τῶν πληγῶν· καὶ ἐβαπτίσθη αὐτός, καὶ οἱ αὐτοῦ πάντες παραχρῆμα. Ἀναγαγών τε αὐτοὺς εἰς τὸν οἶκον αὐτοῦ παρέθηκε τράπεζαν, καὶ ἠγαλλιάσατο πανοικεὶ πεπιστευκὼς τῷ Θεῷ* (3).

Κατ' ἐκείνην τὴν ὥραν τῆς νυκτός, ἐν ᾗ ἐξῆλθον οἱ Ἀπόστολοι ἐκ τῆς φυλακῆς, παρέλαβεν αὐτοὺς μεθ' ἑαυτοῦ ὁ δεσμοφύλαξ· καὶ πρῶτον μὲν ἔπλυνε τὰ αἵματα τῶν πληγῶν αὐτῶν, ἔπειτα αὐτός τε καὶ πάντες οἱ οἰκεῖοι αὐτοῦ ἐβαπτίσθησαν ὑπ' αὐτῶν, μετὰ δὲ ταῦτα ἡτοίμασε τράπεζαν, καὶ ἠγαλλιάσατο σὺν παντὶ τῷ οἴκῳ αὐτοῦ· ἠγαλλιάσατο δὲ οὐχὶ διὰ τὰς τροφὰς τῆς τραπέζης, ἀλλὰ διὰ τὴν ὑποδοχὴν τῆς πίστεως· ἠγαλλιάσατο, ἐπειδὴ κατηξιώθη πιστεῦσαι εἰς τὸν Θεὸν τὸν ἀληθινόν· « Ἠγαλλιάσατο, λέγει, πανοικεί, πεπιστευκὼς τῷ Θεῷ ». Φαίνεται δὲ ἐκ τῆς ἀκολουθίας τῆς διηγήσεως, ὅτι οὐχὶ ἐν τῇ οἰκίᾳ, ἀλλ' εἰς ἄλλον τινὰ τόπον, ἴσως εἰς τὴν αὐλὴν τῆς οἰκίας ἐγένετο καὶ ἡ κατήχησις τῆς πίστεως, καὶ ἡ πλύσις τῶν πληγῶν, καὶ τοῦ βαπτίσματος ἡ τελετή, εἰς δὲ τὴν οἰκίαν ἡτοιμάσθη ἡ τράπεζα· διότι μετὰ τὴν περιγραφὴν πάντων τῶν ἄλλων συμβάντων διηγεῖται ὁ ἱςορικὸς καὶ τὰ περὶ τῆς τραπέζης, λέγων· « Ἀναγαγών τε αὐτοὺς εἰς τὸν οἶκον αὐτοῦ, παρέθηκε τράπεζαν ». Ὁ δεσμοφύλαξ λούει δι' ὕδατος τὰς πληγὰς τοῦ σώματος τῶν Ἀποστόλων· οἱ Ἀπόστολοι καθαρίζουσι διὰ τοῦ βαπτίσματος τὴν ψυχὴν τοῦ δεσμοφύλακος ἀπὸ τῶν ἁμαρτιῶν. Ὁ δεσμοφύλαξ διὰ τῆς τραπέζης τρέφει σωματικῶς τοὺς Ἀποστόλους. Οἱ Ἀπόστολοι διὰ τῆς διδασκαλίας τῆς πίστεως χορτάζουσι πνευματικῶς τὸν δεσμο-

(1) Α'. Κορ. 3, 11. (2) Ἰωάν. 3, 36. (3) Πράξ. 16. 33, 34.

φίλακα. Βλέπε δέ, ὅτι προηγοῦνται τὰ πνευματικὰ τῶν σωματικῶν· πρῶτον γίνεται ἡ κατήχησις καὶ τὸ βάπτισμα, ἔπειτα ἡ τράπεζα· μάθημά ἐστι τοῦτο διδάσκον, ὅτι πρέπον ἐστὶν ἵνα προτιμῶμεν πάντοτε τῶν σωματικῶν ἔργων τὰ πνευματικά.

# ΟΜΙΛΙΑ

ΜΕΤΑ ΤΑΣ

# ΠΡΑΞΕΙΣ ΤΩΝ ΑΠΟΣΤΟΛΩΝ

## ΤΑΣ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΑΣ ΤΗι ΚΥΡΙΑΚΗι ΤΟΥ ΤΥΦΛΟΥ.

ΠΑΝΣΕΒΑΣΤΑ καὶ ἅγιά εἰσι πάντα τὰ τοῦ Κυρίου Ἰησοῦ προστάγματα· πλήν τινα ἐξ αὐτῶν φαίνονται πολλὰ δυσκολοπαράδεκτα· συμβαίνει δὲ τοῦτο, ἐπειδὴ οὐδόλως κατανοοῦμεν, ποῖον ἔχουσι σκοπὸν καὶ τέλος· ὅστις δὲ καταλάβῃ ἐντελῶς τὸν σκοπὸν αὐτῶν, ἐκεῖνος μετὰ πάσης προθυμίας καὶ ὑποδέχεται καὶ φυλάττει αὐτὰ μετὰ πάσης ἀκριβείας. Τῷ θέλοντί σοι, λέγει ὁ » Κύριος, κριθῆναι, καὶ τὸν χιτῶνά σου » λαβεῖν, ἄφες αὐτῷ καὶ τὸ ἱμάτιον » (1). Τοῦτό ἐστι δυσπαράδεκτον· τίς τοῦτο στέργει; ἐκεῖνος ζητεῖ παρ' ἐμοῦ τὸν χιτῶνά μου, καὶ θέλει, ἵνα περὶ τούτου φέρῃ με εἰς τὸ κριτήριον, ἐγὼ δὲ χρέος ἔχω, ἵνα δώσω αὐτῷ καὶ τὸ ἱμάτιόν μου, ὅπως ἂν φύγω τὴν κρίσιν; Ὁ Ἀπόστολος Παῦλος περὶ τῆς αὐτῆς ὑποθέσεως λαλῶν, καὶ ὑπομνηματίζων τοῦ Ἰησοῦ Χριστοῦ τὰ λόγια, εἶπε φανερά, ὅτι τὸ κρισολόγημά ἐστιν ἥττημα, ἤγουν ἁμάρτημα· « Ἤδη μὲν οὖν ὅλως ἥτ» τημα ἐν ὑμῖν ἐστιν, ὅτι κρίματα ἔχετε » μεθ' ἑαυτῶν » (2). Ἔπειτα ἐλέγχει τοὺς ἔχοντας κρίματα, τουτέστι κρισολογίας· διὰ τί, λέγει, οὐ προκρίνετε, ἵνα ἀδικηθῆτε καὶ στερηθῆτε τῶν ὑπαρχόντων ὑμῶν ἀλλ' ὑμεῖς ἀδικεῖτε καὶ ἀποστερεῖτε τοὺς ἄλλους, καὶ μάλιστα τοὺς ἀδελφοὺς ὑμῶν; « Διὰ τί » οὐχὶ μᾶλλον ἀδικεῖσθε; διὰ τί οὐχὶ μᾶλ» λον ἀποστερεῖσθε; ἀλλ' ὑμεῖς ἀδικεῖτε » καὶ ἀποςερεῖτε, καὶ ταῦτα ἀδελφούς;» (3) Δύσκολον, ναί, ἀληθῶς, δύσκολον φαίνεται, ἕως ἂν καταλάβῃς διὰ ποῖον σκοπὸν καὶ τέλος ἐμποδίζει ὁ Θεὸς τὰς κρισολογίας.

Ὁ σκοπός, ἀδελφοί, τούτου τοῦ προστάγματός ἐςι Θεοῦ ἔλεος· γνωρίζει ὁ Θεός, ὅτι καὶ εἰς τοὺς ἐνάγοντας εἰς τὰ κριτήρια καὶ εἰς αὐτοὺς τοὺς κριτὰς συμβαίνει βλάβη, πᾶσαν πρόσκαιρον ζημίαν ὑπερβαίνουσα· διὸ ἐλεῶν τὸ πλάσμα αὐτοῦ ὡς φιλάνθρωπος, παραγγέλλει εἰς τοὺς ἐναγομένους, ἵνα πᾶσαν κοσμικὴν ζημίαν ὑποφέρωσιν, ὅπως μὴ γένωνται τῶν ἁμαρτιῶν συναίτιοι, ἀπαλλάξωσι δὲ καὶ τοὺς ἐνάγοντας καὶ τοὺς κριτὰς ἀπὸ τοῦ πλήθους τῶν ἁμαρτιῶν καὶ ἀπὸ τῆς αἰωνίου κατακρίσεως·

(1) Ματθ. 5. 40. (2) Α. Κορ. 6, 7. (3) Αὐτ. 8.



διότι καὶ οἱ ἐνάγοντες εἰς τὰ κριτήρια, καὶ αὐτοὶ οἱ κριταὶ εὐκόλως περιπίπτουσιν εἰς μεγάλα καὶ φρικτὰ ἁμαρτήματα, Ἀπέδειξε τοῦτο ἐμφανέστατα ἡ σήμερον ἀναγνωσθεῖσα ἱστορία τῶν ἐναγαγόντων τὸν Παῦλον καὶ τὸν Σίλαν εἰς τὸ κριτήριον τῶν ἀρχόντων τῶν Φιλιππησίων.

Πόσον μεγάλα καὶ θεομίσητα ἁμαρτήματά εἰσι τὸ ψεῦδος, ἡ συκοφαντία καὶ ἡ ὑπόκρισις, τόσον φανερόν ἐστιν, ὥστε οὐδεμιᾶς ἀποδείξεως ἔχει χρείαν· ἄκουσον δὲ πῶς οἱ ἐνάγοντες εἰς τὴν κρίσιν τὸν Παῦλον καὶ τὸν Σίλαν καὶ ψεύδονται καὶ συκοφαντοῦσι καὶ ὑποκρίνονται. Ἡ δούλη, ἡ ἔχουσα τὸ πνεῦμα τοῦ Πύθωνος ἐμάντευεν, ἐκ δὲ τῆς μαντείας οἱ κύριοι αὐτῆς ἐκέρδαινον πολλὰ ἀργύρια· ὁ Παῦλος καὶ ὁ Σίλας ἐδίωξαν τὸ δαιμόνιον ἐκ τῆς δούλης· ὅθεν ἡ μαντεία ἔπαυσεν, οἱ δὲ κύριοι τῆς δούλης ἐστερήθησαν τοῦ κέρδους. Τοῦτό ἐστιν ὅλης τῆς ὑποθέσεως ἡ ἀλήθεια· ἀντὶ δὲ τῆς ἀληθείας ταύτης, ἰδοὺ τι λέγουσιν οἱ κύριοι τῆς δούλης, ὅταν ἔφερον ἐνώπιον τῶν κριτῶν τὸν Παῦλον καὶ τὸν Σίλαν· « Καὶ προσα» γαγόντες αὐτοὺς τοῖς στρατηγοῖς εἶπον· » Οὗτοι οἱ ἄνθρωποι ἐκταράσσουσιν ἡμῶν » τὴν πόλιν, Ἰουδαῖοι ὑπάρχοντες· καὶ » καταγγέλλουσιν ἔθη, ἃ οὐκ ἔξεστιν ἡμῖν » παραδέχεσθαι, οὐδὲ ποιεῖν, Ῥωμαίοις » οὖσιν » (1). Ὡς ἀκούεις, ἄλλα ἀντ' ἄλλων λέγουσι, καὶ σιωπῶσι μὲν τὴν ἀλήθειαν, λαλοῦσι δὲ αὐθαδέστατα ἄκρατον ψεῦδος· σημείωσαι δέ, ὅτι τοῦτο οὐκ ἔστι ψεῦδος ἁπλοῦν, ἀλλὰ συκοφαντία φρικτή· « Οὗτοι » οἱ ἄνθρωποι ταράττουσιν ἡμῶν τὴν πό» λιν ». Πῶς; ὁ Παῦλος καὶ ὁ Σίλας, οἱ διδάσκαλοι τῆς εἰρήνης, ταράττουσι τὴν πόλιν; Πῶς; ὁ Παῦλος καὶ ὁ Σίλας καταγγέλλουσι νόμους ἀπαραδέκτους εἰς τοὺς Ῥωμαίους; ἀλλ' αὐτοὶ ἐδίδασκον τὴν μεταξὺ ἀλλήλων ἀγάπην, τὴν δικαιοσύνην, τὴν πρᾳότητα, τὴν ἀνεξικακίαν· ταῦτα δὲ οὐκ ἐδέχοντο οἱ Ῥωμαῖοι; τί ἐδίδασκεν ὁ Παῦλος καὶ ὁ Σίλας; τὴν ὑπακοὴν πρὸς τοὺς βασιλεῖς, τὴν εὐλάβειαν πρὸς τοὺς πρεσβυτέρους, τὴν πρὸς πάντας τιμήν· ταῦτα δὲ ἦσαν τὰ ἔθη τὰ ἀπαράδεκτα καὶ μὴ ἐνεργούμενα ὑπὸ τῶν Ῥωμαίων; ποῖον ἄλλο ψεῦδος τούτου φανερώτερον; ἢ ποία ἄλλη συκοφαντία ταύτης ὑπερτέρα; Βλέπε δὲ καὶ τὴν δολερὰν αὐτῶν ὑπόκρισιν· αὐτοὶ φλογίζονται ὑπὸ τοῦ θυμοῦ, καὶ κατακαίονται ὑπὸ τοῦ πάθους τῆς ἐκδικήσεως, ἐπειδὴ ἐστερήθησαν τοῦ κέρδους, μετασχηματίζουσι δὲ τὸν θυμὸν εἰς ζῆλον, καὶ τῆς ἐκδικήσεως τὸ πάθος εἰς ὑπεράσπισιν τῶν νόμων· αὐτοί εἰσιν ἐκδικηταὶ τῆς ἰδίας ζημίας, καὶ ἐμφανίζονται ὡς ὑπερασπισταὶ τῆς τοῦ γένους νομοθεσίας· αὐτοί εἰσι φιλάργυροι, καὶ ὑποκρίνονται, ὅτι εἰσὶ φιλοπάτριδες· πράγματι καὶ ἀληθείᾳ εἰσὶ παμπόνηροι, σχήματι δὲ καὶ λόγῳ φαίνονται πανάγαθοι.

Ἀλλ' ἆρά γε οὐχ εὑρίσκονται ἄχρι τῆς σήμερον ἄνθρωποι, οἵτινες, ἐνάγοντες τοὺς ἀδελφοὺς εἰς τὰ κριτήρια, ψεύδονται ἐνώπιον τῶν κριτῶν, καὶ συκοφαντοῦσι τοὺς ἐναγομένους, καὶ ὑποκρίνονται ἀρετὴν καὶ ζῆλον, ἵνα βλάψωσι περισσότερον τοὺς ἐναγομένους; Γένοιτο Κύριε, ἵνα μηδείς ποτε πράξῃ ὅσα ἐποίησαν κατὰ τοῦ Παύλου καὶ τοῦ Σίλα, οἱ κύριοι τῆς δούλης τῆς ἐχούσης τὸ πνεῦμα τοῦ Πύθωνος.

Καὶ μὴ στοχασθῆτε, ὅτι καὶ αὐτοὶ οἱ

(1) Πράξ. 16, 20, 21.

κριταὶ οὐ περιπίπτουσιν εὔκολα εἰς πολλὰ καὶ μεγάλα ἁμαρτήματα· ἡ προσωποληψία περικυκλοῖ διαπαντὸς τῶν κριτῶν τὸν θρόνον, ὁμοίως δὲ καὶ ἡ δωροληψία, ἐφέλκουσαι καὶ ὑποσκελίζουσαι τοὺς κριτὰς εἰς τῆς ἀδικίας τὰ ἔργα. Βλέπει ὁ κριτὴς τὸν πλούσιον καὶ τὸν πτωχὸν ἐνώπιον αὐτοῦ κρινομένους· ἡ ἐλπὶς τῆς ὑπὸ τοῦ πλουσίου ἀνταποδόσεως εἰσέρχεται εἰς τὴν καρδίαν αὐτοῦ, ἥτις εὔκολα πείθει αὐτόν, ἵνα δικαιώσῃ τὸν πλούσιον, κἂν διακρίνῃ, ὅτι ἐστὶ πταίστης, καὶ ἀδικήσῃ τὸν πτωχόν, κἂν γνωρίζῃ, ὅτι ἐστὶν ἀθῶος. Βλέπει ὁ κριτὴς τὸν ἀξιωματικὸν καὶ τὸν ἰδιώτην ἐνώπιον αὐτοῦ κρινομένους, φοβεῖται τοῦ ἀξιωματικοῦ τὸ πρόσωπον· ὁ δὲ φόβος βιάζει αὐτόν, ἵνα δικαιώσῃ τὸν ἀξιωματικὸν τὸν πταίστην, καὶ καταδικάσῃ τὸν ἰδιώτην τὸν ἀθῶον. Παρίστανται ἐνώπιον τοῦ κριτοῦ ὁ συγγενὴς καὶ ὁ ξένος, ἢ ὁ φίλος καὶ ὁ ἀγνώριστος· ἡ συγγενικὴ ἀγάπη καὶ ἡ φιλία κυριεύουσι τὴν καρδίαν τοῦ κριτοῦ, καὶ ἀναγκάζουσιν αὐτόν, ἵνα δικαιώσῃ τὸν συγγενῆ ἢ τὸν φίλον, κἂν οὐδὲν ἔχῃ δίκαιον, κατακρίνῃ δὲ τὸν ξένον ἢ τὸν ἀγνώριστον, κἂν αὐτὸς ἔχῃ πάντα τὰ δίκαια. Ἐὰν δὲ ἡ δωροληψία προχωρήσῃ εἰς τὴν ψυχὴν τοῦ κριτοῦ, τίς δύναται παραστῆσαι ὅσας αὐτὸς ποιεῖ ἀνομίας καὶ ἀδικίας; τότε γίνεται εἰς τὰς ἀποφάσεις αὐτοῦ καὶ τὸ μέλαν λευκόν· καὶ τὸ πικρὸν γλυκύ· καὶ τὸ σκότος φῶς· ὅπερ ἐστὶ καὶ αὐτὸ τὸ ἀδικώτατον γίνεται δικαιότατον.

Τοῦτο δὲ πρὸς τούτοις περὶ τῶν κριτῶν ἐστι σημειώσεως ἄξιον, τουτέστιν, ὅτι τὸ αὐτὸ ἁμάρτημα μεγαλύνεται εἰς τοῦ κριτοῦ τὸ πρόσωπον, καὶ γίνεται πρόξενον πολλῶν ἁμαρτημάτων. Ἡ ἀμέλεια αὐτὴ καθ' ἑαυτήν ἐστιν ἁμαρτία· « Τί ὧδε ἑστήκατε ὅλην τὴν ἡμέραν ἀργοί;» (1) Οὕτως ἤλεγξεν ὁ Κύριος τοὺς ἀμελεῖς. Ἀλλ' ὅταν μὲν ἀμελῇ ὁ ἰδιώτης ἄνθρωπος, τότε ἑαυτὸν μόνον βλάπτει. Ὅταν δὲ ἀμελῇ ὁ κριτής, βλάπτει καὶ τοὺς ἄλλους, ἐπειδὴ ἐκ τῆς ἀμελείας αὐτοῦ οὐδὲ οἱ κακοὶ παιδεύονται ἐν τῷ πρέποντι καιρῷ, οὐδὲ οἱ ἀδικούμενοι λυτροῦνται ταχέως τῆς δυναστείας καὶ ἀδικίας· ἐκ τούτου δὲ προάγεται τῶν κακῶν ὁ πολυπλασιασμός. Ἡ τρυφή ἐστιν ἁμάρτημα δακρύων ἄξιον· « Ἄγε νῦν οἱ πλούσιοι, λέγει ὁ ἀδελφόθεος Ἰάκωβος, κλαύσατε. Ἐτρυφήσατε ἐπὶ τῆς γῆς, καὶ ἐσπαταλήσατε » (2). Πόσον δὲ μεγαλύνεται τῆς τρυφῆς ἡ ἁμαρτία, ὅταν ὁ μὲν κριτὴς σπαταλᾷ εἰς τὰς ἁβροδιαίτους τραπέζας, οἱ δὲ πταῖσται, μὴ παιδευόμενοι εὐθύς, καὶ χείρονες γίνονται, καὶ τοὺς ἄλλους βλάπτουσι; πόσον μεγαλύνεται ἡ ἁμαρτία τῆς τρυφῆς, ὅταν ὁ κριτὴς τρυφᾷ εἰς τὰ θέατρα, καὶ διανυκτερεύῃ εἰς τοὺς χοροὺς καὶ εἰς τὰ παίγνια, οἱ δὲ κρινόμενοι, μάλιστα, ὅταν τύχωσι πτωχοὶ καὶ ἄποροι, κατατρύχονται καὶ ἐξαφανίζονται, ἐγκαταλιμπάνοντες τὰς ἀναγκαίας αὐτῶν ὑπηρεσίας, καὶ ἐρχόμενοι καὶ ἐπανερχόμενοι καὶ παραμένοντες εἰς τὴν αὐλὴν τοῦ κριτοῦ, καὶ περιμένοντες, ἵνα αὐτὸς παύσῃ τὴν τρυφὴν καὶ τὴν σπατάλην, ὅπως ἡ ὑπόθεσις αὐτῶν τέλος λάβῃ; Πόσας δὲ ἀδίκους τιμωρίας προξενεῖ ὁ θυμὸς τοῦ Κριτοῦ, πόσας ἀδικοκρισίας ὁ φθόνος αὐτοῦ καὶ τὸ μῖσος, πόσας παραλογίας καὶ δυναστείας καὶ ἀδικίας πᾶν ἄλλο τοῦ κριτοῦ πάθος;

Ἡ σήμερον ἀναγνωσθεῖσα ἱστορία σιω-

(1) Ματθ. 20, 6. (2) Ἰάκ. 5, 1, 5.



πᾷ πάντα τὰ ἄλλα ἁμαρτήματα τῶν κριτῶν τοῦ Παύλου καὶ τοῦ Σίλα, περιγράφει δὲ τὴν τούτων ἀδικοκρισίαν καὶ τὴν δυναστείαν· « Μὴ ὁ νόμος ἡμῶν, εἶπεν ὁ Νικόδημος πρὸς τοὺς Ἰουδαίους, κρίνῃ τὸν ἄνθρωπον, ἐὰν μὴ ἀκούσῃ παρ' αὐτοῦ πρότερον, καὶ γνῷ, τί ποιεῖ;» (1) Τοῦτον δὲ τὸν νόμον εἶχον οὐ μόνον οἱ Ἑβραῖοι, ἀλλὰ καὶ οἱ Ῥωμαῖοι καὶ οἱ Ἕλληνες, καὶ πάντα τὰ ἔθνη, ὅσα εἶχον κριτὰς καὶ κριτήρια· μαρτυροῦσι τοῦτο τοῦ Κικέρωνος, τοῦ Δημοσθένους, τοῦ Αἰσχίνου αἱ δημηγορίαι, δι' ὧν καὶ ὑπὲρ ἑαυτῶν ἀπελογήθησαν κατὰ τῶν κατηγόρων, ὁμοίως καὶ ὑπὲρ τῶν κατηγορηθέντων φίλων αὐτῶν. Οὐ μικρὰ δὲ μαρτυρία ἐστὶ καὶ τὸ κοινῶς φερόμενον ἀπόφθεγμα· « Μηδὲ δίκην δικάσῃς, πρὶν ἀμφοῖν μῦθον ἀκούσῃς ». Εἰς πᾶσαν κρίσιν ἀναγκαῖοί εἰσι πρὸς βεβαίωσιν τῆς κρινομένης ὑποθέσεως οἱ μάρτυρες· « Ἵνα ἐπὶ στόματος, εἶπεν ὁ Κύριος, δύω μαρτύρων ἢ τριῶν σταθῇ πᾶν ῥῆμα » (2). Ὅτι δὲ κοινός ἐστι καὶ οὗτος ὁ νόμος, φανερόν ἐστιν ἐκ τῶν δημηγοριῶν τῶν εἰρημένων ῥητόρων, οἵτινες ἐν αὐταῖς προσκαλοῦσι τοὺς μάρτυρας, ἵνα μαρτυρήσωσι περὶ τῆς ἀληθείας τῶν ὑπ' αὐτῶν λεγομένων. Ποῖος δὲ κριτὴς δίκαιος πιστεύει εἰς ὅ, τι εἴπῃ ὁ κατήγορος, καὶ οὐ ζητεῖ τὰς πρεπούσας μαρτυρίας; πρὸς τούτοις σημειώσατε, ὅτι ὅστις ἔχει ἐξουσίαν, ἵνα ἐμποδίσῃ τὴν ἀνομίαν, οὐκ ἐμποδίζει δὲ αὐτήν, ἐκεῖνός ἐςιν ἔνοχος τῆς ἀνομίας ἐκείνης ἐπίσης, καθὼς καὶ αὐτὸς ὁ πράττων αὐτήν.

Οἱ κατήγοροι τοῦ Παύλου καὶ τοῦ Σίλα λέγουσιν ἐνώπιον τῶν κριτῶν, ὅτι αὐτοὶ ταράττουσι τὴν πόλιν, καὶ ὅτι διδάσκουσι νόμους ἀπαραδέκτους εἰς τοὺς Ῥωμαίους. Οἱ δὲ ἄνομοι κριταὶ οὐδὲ ἀπολογίαν ζητοῦσι παρὰ τοῦ Παύλου καὶ τοῦ Σίλα, οὐδὲ μάρτυρας, ἵνα μαρτυρήσωσι περὶ τῆς κατ' αὐτῶν κατηγορίας, ἀλλ' οὐδὲ κἂν μικρὰν ἐξέτασιν ποιοῦσι περὶ ταύτης τῆς ὑποθέσεως. Πρὸς τούτοις βλέπουσι μὲν τὸ ἄτακτον τῆς ἀγορᾶς πλῆθος ὁρμῶντας ἐπὶ τοὺς Ἀποστόλους, κἂν δὲ ἐξουσίαν ἔχωσιν ἐμποδίσαι τὴν τούτων καταδυναστείαν, οὐ μόνον οὐκ ἐμποδίζουσιν αὐτήν, ἀλλ' ἰδίαις αὐτῶν χερσὶ σχίζουσι τῶν Ἀποςόλων τὰ ἱμάτια, καὶ προστάττουσιν, ἵνα ῥαβδίσωσιν αὐτούς· « Καὶ συνεπέστη ὁ ὄχλος κατ' αὐτῶν, καὶ οἱ στρατηγοὶ περιῤῥήξαντες αὐτῶν τὰ ἱμάτια, ἐκέλευον ῥαβδίζειν » (3). Ἀφ' οὗ δὲ ἐπὶ πολὺ ῥαβδίσαντες κατεπλήγωσαν αὐτούς; τότε ὥρισαν, ἵνα κατακλείσωσιν αὐτοὺς ἐν τῇ φυλακῇ· « Πολλάς τε ἐπιθέντες αὐτοῖς πληγάς, ἔβαλον εἰς φυλακήν » (4). Ποία κρίσις ἢ παραλογωτέρα ἢ ἀδικωτέρα, ἢ δυναστικωτέρα ταύτης τῆς κρίσεως, Κριταὶ ἄνομοι, ἠκούσατε τοὺς κατηγόρους, διὰ τί οὐ ζητεῖτε ἀπολογίαν ὑπὸ τῶν κατηγορουμένων, ἀλλ' εὐθὺς καταδικάζετε αὐτοὺς χωρίς τινος ἀπολογίας; κριταὶ ἄδικοι, διὰ τί πιστεύετε εὐθὺς χωρίς τινος ἐξετάσεως τῶν κατηγόρων τὰ λόγια, καὶ οὐδόλως ζητεῖτε μάρτυρας τῆς κατηγορίας; κριταὶ δυνάσται, διὰ τί οὐκ ἐμποδίζετε τὴν καταδυνατείαν τοῦ ὄχλου, ἀλλ' αὐξάνετε αὐτήν, σχίζοντες τὰ ἱμάτια τῶν μὴ κριθέντων, καὶ ῥαβδίζοντες τοὺς μηδὲν πταίσαντας, καὶ φυλακίζοντες τοὺς ἀθώους;

Ἔπαυσαν τὴν σήμερον καὶ οὐ φαίνονται εἰς τὰ κριτήρια τῶν εὐνομουμένων ἐθνῶν αἶτοι αὗται βάρβαροι δημεγερσίαι, καὶ

(1) Ἰωάν. 7, 51. (2) Ματθ. 18, 16. (3) Πράξ. 16, 22. (4) Αὐτ. 23.

αἱ ἀπάνθρωποι καταδυναστεῖαι, πλὴν ἔμειναν τὰ ἄλλα κακά, ὅσα φθείρουσι τὴν δικαιοκρισίαν. Ἔμειναν τὰ πάθη τὰ θολοῦντα τὸν νοῦν, καὶ σχεδὸν ἀνεπαισθήτως ἁρπάζοντα τὴν διάκρισιν· ἔμεινεν ἡ ἀμέλεια, εἰσέρχεται ἡ μεσιτεία, ἰσχύει τῶν συγγενῶν ἡ ἀγάπη, ἐμβαίνει ἡ φιλία τῶν φίλων, ἀναγκάζει τῶν μεγιστάνων ὁ φόβος, ἑνὶ λόγῳ, ἐνεργεῖ δραστικῶς ἡ προσωποληψία· προχωροῦσι δὲ μετὰ διαφόρων προφάσεων καὶ ὀνομάτων τὰ ἐκτυφλοῦντα τοὺς ὀφθαλμοὺς τῶν κριτῶν, ἤγουν τὰ δῶρα. Ἐνίοτε δέ, φεῦ τῆς ἀτιμίας καὶ τῆς συμφορᾶς! πωλοῦνται οἱ κριταί, καὶ προαγοράζεται ἡ κρίσις· ἐκ τούτου ὁ μὲν πλούσιος σχεδὸν πάντοτε ἐξέρχεται ἐκ τῶν κριτηρίων δεδικαιωμένος καὶ ἀθῶος, ὁ δὲ πτωχὸς κατακεκριμένος καὶ πταίστης.

Ἀλλὰ τί βούλεται, λέγεις, οὗτος ὁ λόγος; ἆρά γε χρέος ἔχω, ἵνα, ὅταν ἀδικῶμαι, σιωπῶ, καὶ μὴ ζητῶ τὸ δίκαιόν μου διὰ τῶν κριτηρίων; τί σκοπὸν ἔχει οὗτος ὁ λόγος; ἵνα κλείσωμεν τὰ κριτήρια καὶ μηδόλως κρίνωμεν, μηδὲ δικαιοῦμεν τοὺς ἀθώους, μηδὲ παιδεύωμεν τοὺς πταίστας; οὐχὶ τοῦτο· οὐκ ἔχει τοιοῦτον σκοπὸν ὁ λόγος, διότι ὁ Θεὸς διώρισε καὶ τοὺς κριτὰς καὶ τὰ κριτήρια· « Κριτάς, εἶπεν εἰς τὸν Μωϋσῆν, » καὶ γραμματοεισαγωγεῖς ποιήσεις σεαυ- » τῷ ἐν ταῖς πόλεσί σου, αἷς Κύριος ὁ Θεός » σου δίδωσί σοι κατὰ φυλάς, καὶ κρινοῦσι » τὸν λαὸν κρίσιν δικαίαν » (1). Περιεγράφησαν δὲ τὰ ἀνομήματα τῶν ἐναγόντων εἰς τὴν κρίσιν, καὶ τὰ ἁμαρτήματα τῶν κριτῶν, ἵνα σὺ μέν, ὁ καὶ διὰ μικρὰν ἀφορμὴν σύρων τοὺς ἀδελφοὺς εἰς τὰ κριτήρια, μάθης εἰς ποῖον κίνδυνον βάλλεις σεαυτόν, καὶ ἐπομένως προσέχῃς· ἵνα δηλονότι, πρὶν ἢ ἔλθῃς εἰς τὸ κριτήριον, ἐξετάσῃς ἀκριβῶς τὴν συνείδησίν σου, καὶ καταλάβῃς τί σε κινεῖ εἰς τοῦτο, τὸ πάθος σου, ἢ τὸ δίκαιόν σου· συμβουλευθῇς δὲ περὶ τούτου μετὰ εὐσεβῶν καὶ φρονίμων καὶ πρακτικῶν φίλων σου· μετὰ δὲ τὴν τοιαύτην ἐξέτασιν καὶ συμβουλήν, ἐὰν μὲν γνωρίσῃς, ὅτι θυμός, ἢ φθόνος, ἢ πλεονεξία, ἢ ἄλλο πάθος κινεῖ τὴν καρδίαν σου, ἄπεχε, ἵνα μὴ ἀδίκως κατατρέχων τὸν ἀδελφόν σου, καταπατῇς τὴν ἐντολὴν τῆς ἀγάπης, ἤγουν ὅλον τὸν νόμον καὶ τοὺς προφήτας, καὶ ἑπομένως γίνεσαι ἔνοχος τῆς αἰωνίου κολάσεως. Ἐὰν δὲ πληροφορηθῇς, ὅτι οὐχὶ τὸ πάθος σου, ἀλλὰ τὸ δίκαιόν σου ἀναγκάζει σε, πρῶτον μεσίτας ἐπιτηδείους παρακάλεσον, ἵνα παραστήσωσι τὸ δικαίωμά σου εἰς τὸν ἀντίδικόν σου· ἐὰν δὲ ἐκεῖνος μὴ πεισθῇ, σὺ δὲ μικρόψυχος ὤν, οὐ φέρῃς τὴν ζημίαν, τότε ἐὰν θέλῃς, παράστησον αὐτὸν εἰς τὸ κριτήριον· ἐκεῖ δὲ εἰπὲ ἐνώπιον τῶν κριτῶν πάντα τὰ δικαιώματά σου, καὶ μετὰ παῤῥησίας λάλησον πᾶσαν τὴν ἀλήθειαν, πλὴν μὴ ψευσθῇς, μὴ συκοφαντήσῃς, μὴ κατασταθῇς ὑποκριτής, μὴ θελήσῃς φθεῖραι τοὺς κριτὰς διὰ δώρων ἢ ἄλλου τινὸς τρόπου· ἀφιέρωσον δὲ τὴν ὑπόθεσίν σου εἰς τὸν Θεόν· αὐτὸς δὲ ὡς προστάτης τῶν ἀδικουμένων, βλέπων τὴν δικαιοσύνην σου καὶ τὴν ἐπιείκειάν σου, φωτίζει τοὺς κριτάς, ἵνα δικαιώσωσί σε καὶ ἐκδικήσωσι τὴν ἀδικίαν σου· « Ἐμοὶ ἐκδίκη- » σις, ἐγὼ ἀνταποδώσω, λέγει Κύριος » (2). Ὅπου δὲ οὐκ εἰσὶ χριστιανικὰ κριτήρια, ἄπεχε ἐκεῖθεν. Τί ἄλλο ἐλπίζεις ἐξ αὐτῶν, εἰ μὴ ἵνα ζημιωθῇς καὶ ζημιώσῃς; πρόκρινον, ἵνα ἀδικηθῇς μᾶλλον ἢ νὰ ἀδι-

(1) Δευτ. 16, 18. (2) Ῥωμ. 12, 19.



κήσῃς. Οὕτω συμβουλεύει σε ὁ θεόφρων Παῦλος· « Διὰ τί, λέγει, οὐχὶ μᾶλλον ἀδι- » κεῖσθε; διὰ τί οὐχὶ μᾶλλον ἀποστερεῖσθε; » ἀλλ' ὑμεῖς ἀδικεῖτε, καὶ ἀποστερεῖτε καὶ » ταῦτα ἀδελφούς; » (1)

Ὑμᾶς δέ, ὦ κριταί, τὸ ἱστορηθὲν παράδειγμα διδάσκει τοὺς κανόνας, οὓς ὁ Θεὸς ἔδωκεν εἰς τοὺς κριτάς· « Οὐκ ἐκκλινοῦσιν, » εἶπε κρίσιν, οὐδὲ ἐπιγνώσονται πρόσω- » πον, οὐδὲ λήψονται δώρων, τὰ γὰρ δῶρα » ἀποτυφλοῖ ὀφθαλμοὺς σοφῶν, καὶ ἐξαίρει » λόγους δικαίων » (2). Ὅταν οὖν εἰσέρχησθε εἰς τὸ κριτήριον, μνημονεύετε, ὅτι τότε ἀναβαίνετε εἰς τὸν θρόνον τῆς δικαιοσύνης, καὶ ἀναλαμβάνετε τοῦ Θεοῦ τὸ πρόσωπον· « Ὅτι ἡ κρίσις τοῦ Θεοῦ ἐστιν » (3). Ὁ Θεὸς κρίνει δικαίως, ἐπειδὴ ἀπαθὴς ὤν, κρίνει ἀπαθῶς· ἐπειδὴ οὖν ὑμεῖς, ὅταν κάθησθε εἰς τοῦ κριτηρίου τὸν θρόνον, ἐμφαίνετε τοῦ Θεοῦ τὸ πρόσωπον, διώκετε ἀφ' ὑμῶν τότε τὰ πάθη· μακρὰν ἀφ' ὑμῶν ὁ θυμὸς καὶ τὸ μῖσος, μακρὰν ὁ φθόνος καὶ ὁ φόβος, μακρὰν ἡ προσωποληψία, μακρὰν κατ' ἐκείνην τὴν ὥραν, ἐν ᾗ κρίνετε, καὶ αὐτὴ ἡ ἐλεημοσύνη, ἵνα μὴ διώξῃ τὴν δικαιοσύνην· « Καὶ πένητα, λέγει ὁ Θεός, » οὐκ ἐλεήσεις ἐν κρίσει » (4). Μεσιτείας, δωροληψίας, ἀδικίας, μηδὲ ἴχνος, μηδὲ σκιά, μηδὲ ὑποψία ἔστω. Δικαιοσύνη πανταχοῦ, εἰς τὴν καρδίαν, εἰς τὸν νοῦν, εἰς τὸ στόμα εἰς τὸ γράμμα· « Ζυγὰ δίκαια, » καὶ σταθμία δίκαια, καὶ χοῦς δίκαιος » ἔσται ἐν ὑμῖν· Ἐκζητήσατε κρίσιν, λέγει » ὁ Θεός, ῥύσασθε ἀδικούμενον, κρίνατε » ὀρφανῷ, δικαιώσατε χήραν » (5). Ὅταν ταῦτα ποιῆτε, ὢ πόσην μεγάλην ἀνταμοιβὴν λαμβάνετε παρὰ Θεοῦ διὰ τοὺς κόπους ὑμῶν. Ἡ τελεία ἐξάλειψις τῶν ἁμαρτιῶν ἐστιν ἡ αἰώνιος ὑμῶν ἀνταπόδοσις· « Καὶ » δεῦτε διαλεχθῶμεν, λέγει Κύριος· Καὶ ἐὰν » ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡς » χιόνα λευκανῶ· ἐὰν δὲ ὦσιν ὡς κόκκινον, » ὡς ἔριον λευκανῶ » (6).

# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΑΣ

# ΠΡΑΞΕΙΣ ΤΩΝ ΑΠΟΣΤΟΛΩΝ

## ΤΑΣ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΑΣ ΤΗι ΚΥΡΙΑΚΗι ΤΩΝ ΠΑΤ. ΤΗΣ Α'. ΣΥΝΟΔΟΥ.

ΤΗΝ ποιμαντικὴν φροντίδα καὶ τῆς ἀρετῆς τὴν τελειότητα τοῦ πανενδόξου ἀποστόλου Παύλου καθιστορεῖ ἡ σήμερον ἀναγνωσθεῖσα πρᾶξις τῶν Ἀποςόλων, διέταξε δὲ ἡ ἐκκλησία, ἵνα τὴν σήμερον ἀναγινώσκηται αὐτὴ ἡ ἱστορία, ἐπειδὴ σήμερον πανηγυρίζομεν τὴν ἑορτὴν τῆς ἐν Νικαίᾳ πρώτης συνόδου τῶν θεοφόρων πατέρων, οἵτι-

(1) Α', Κορ. 6, 8. (2) Δευτ. 16, 19. (3) Αὐτ. 1, 17. (4) Ἐξ. 23, 3. (5) Λευϊτ. 19, 36. Ἠσ. 1, 17. (6) Αὐτ. 18.

νες ἀκριβῶς φυλάξαντες τὰ ἀποστολικὰ τοῦ Παύλου παραγγέλματα, γνήσιοι μιμιταὶ αὐτοῦ γεγόνασιν. Ὁ Παῦλος προσκαλέσας εἰς τὴν Μίλητον τοὺς πρεσβυτέρους τῆς ἐκκλησίας, παρήγγειλεν αὐτοῖς, ἵνα ἐγρηγόρως προσέχωσι κατὰ τῶν λύκων, ἤγουν κατὰ τῶν αἱρετικῶν τῶν μελλόντων ἐπαναστῆναι κατὰ τῆς Χριστοῦ ἐκκλησίας, καὶ ἀποςῆσαι τοὺς πιστοὺς ἀπὸ τῆς ὀρθοδόξου πίστεως. Οὗτοι δὲ οἱ πανσέβαστοι πατέρες, ὅταν εἶδον τὸν ἰσχυρὸν τοῦ αἱρεσιάρχου Ἀρείου πόλεμον κατὰ τῶν θεμελιωδῶν τῆς πίστεως δογμάτων, καὶ τὴν τῶν λογικῶν τοῦ Χριστοῦ προβάτων διαφθοράν, γρηγορήσαντες κατὰ τὴν ἀποστολικὴν ἐντολήν, συνέδραμον εἰς τὴν Νικαέων πόλιν, ἵνα ὁμοῦ συμπαραταξάμενοι, συμφώνως καταργήσωσι τὴν τούτου δυσεβεστάτην αἵρεσιν. Ὁ Παῦλος ἐδίδαξεν εἰς τὴν Μίλητον τοὺς τῆς ἐκκλησίας προεστῶτας, ἵνα ποιμαίνωσι τὴν τοῦ Χριςοῦ ἐκκλησίαν, τουτέστιν, ἵνα κηρύττωσι τῆς εὐσεβείας τὰ δόγματα, καὶ τῶν καλῶν ἔργων τὰς νομοθεσίας. Οὗτοι δὲ οἱ τρισμακάριοι πατέρες τῇ διδασκαλίᾳ τοῦ Παύλου ἀκολουθοῦντες, ἐξέθεντο εἰς τὴν Νίκαιαν τῆς ὀρθοδόξου πίστεως τὸν ὅρον, καὶ κανόνας ἐξέδωκαν, δι' ὧν διευθύνονται τῶν εὐσεβῶν τὰ ἤθη. Βλέπε δέ, ὅτι πᾶσα ἡ σήμερον ἀναγνωσθεῖσα ἱστορία διδάγματα περιέχει, πρέποντα εἰς τοὺς τῆς ἐκκλησίας ποιμένας, ἐμπράκτως δὲ ὑπὸ τοῦ Παύλου βεβαιωθέντα, καὶ πολλῆς κατανύξεως πεπληρωμένα. Ὅστις δὲ προσεκτικῶς ἀκούσῃ τὴν τούτων ἑρμηνείαν, παραβάλῃ δὲ αὐτὰ μετὰ τοῦ πολιτεύματος τούτων τῶν θείων ποιμένων, ἐκεῖνος πληροφορεῖται, ὅτι αὐτοὶ ἀληθῶς ταῦτα πάντα ἐφύλαξαν μετὰ πάσης τελειότητος καὶ ἀκριβείας.

*Ἐν ταῖς ἡμέραις ἐκείναις, ἔκρινεν ὁ Παῦλος παραπλεῦσαι τὴν Ἔφεσον, ὅπως μὴ γένηται αὐτῷ χρονοτριβῆσαι ἐν τῇ Ἀσίᾳ, ἔσπευδε γάρ, εἰ δυνατὸν ἦν αὐτῷ, τὴν ἡμέραν τῆς πεντηκοστῆς γενέσθαι εἰς Ἱεροσόλυμα* (1).

Πολλοὺς καὶ διαφόρους τόπους διερχόμενος ὁ πανεύφημος Ἀπόστολος Παῦλος, καὶ τὸν λόγον τοῦ Θεοῦ διδάσκων, κατήντησεν εἰς τὴν Μίλητον, ἥτις ἦν πόλις βασιλεύουσα τότε τῆς Ἀσίας, οὐ πολλὰ μακρὰν τῆς Ἐφέσου κειμένη. Ἐπειδὴ δὲ ἐσπούδαζεν, ἵνα, ἐὰν ἦν δυνατόν, φθάσῃ εἰς τὰ Ἱεροσόλυμα τὴν ἡμέραν τῆς πεντηκοστῆς, διὰ τοῦτο παρέπλευσε τὴν Ἔφεσον, ἤγουν ἔπλευσε μὲν πλησίον τῆς Ἐφέσου, παρέδραμε δὲ αὐτὴν καὶ οὐκ ἔκρινεν εὔλογον εἰσελθεῖν ἐν αὐτῇ. Διότι, ἐὰν ἤρχετο ἐκεῖ, ἐπειδὴ καὶ προλαβὸν κηρύξας ἐν αὐτῇ τοῦ Θεοῦ τὸν λόγον, πολλὰ θαύματα ἐποίησε, καὶ πολλοὶ ἦσαν οἱ πιστεύσαντες, ἔμελλε διατρίψαι εἰς τὴν Ἀσίαν πολὺν καιρόν, ὑπὸ τῶν πιστῶν παρακαλούμενος, καὶ ἐπομένως οὐκ ἠδύνατο φθάσαι εἰς τὰ Ἱεροσόλυμα τὴν ἡμέραν τῆς πεντηκοστῆς, καθὼς ἐπεθύμει. Ἀλλὰ διὰ τί τόση ἐπιθυμία καὶ σπουδή, ἵνα κατ' αὐτὴν τὴν ἡμέραν εὑρεθῇ εἰς τὴν Ἱερουσαλήμ; Διότι ἐν αὐτῇ τῇ ἡμέρᾳ εὑρίσκοντο ἐκεῖ πολὺ πλῆθος Ἰουδαίων διὰ τὴν ἑορτὴν τοῦ πάσχα καὶ τῆς πεντηκοστῆς. Ἐπεθύμει δὲ ὁ τρισμακάριος, ἵνα, εἰς τὸν αὐτὸν τόπον, ὅπου πρότερον ἐδίωξε τὴν ἐκκλησίαν, κηρύξῃ ἐνώ-

(1) Πράξ. 20, 16.



πιον παντὸς τοῦ πλήθους τοῦ Ἰησοῦ Χριστοῦ τὸ ὄνομα. Καὶ ἦλθε μὲν εἰς τὴν Ἱερουσαλήμ, ἀναχωρήσας ἀπὸ τῆς Ἀσίας, ἐκήρυξε δὲ παῤῥησίᾳ τοῦ Κυρίου Ἰησοῦ τὸ ὄνομα, καὶ πολλὰ ἔπαθεν ὑπὸ τῶν Ἰουδαίων παθήματα, ὅμως ἄδηλόν ἐστιν, ἐὰν ἔφθασεν ἐκεῖ ἐν αὐτῇ τῇ ἡμέρᾳ τῆς πεντηκοστῆς. Διότι ἔσπευδε μέν, λέγει ὁ θεῖος ἱστορικός, ἀλλὰ προστίθησι καὶ τό, εἰ δυνατὸν ἦν αὐτῷ, ἤγουν ἐὰν δυνηθῇ, ἐὰν αἱ περιστάσεις μὴ ἐμποδίσωσιν·

*Ἀπὸ δὲ τῆς Μιλήτου πέμψας εἰς Ἔφεσον μετεκαλέσατο τοὺς πρεσβυτέρους τῆς Ἐκκλησίας. Ὡς δὲ παρεγένοντο πρὸς αὐτόν, εἶπεν αὐτοῖς. Προσέχετε ἑαυτοῖς, καὶ παντὶ τῷ ποιμνίῳ, ἐν ᾧ ὑμᾶς τὸ Πνεῦμα τὸ ἅγιον ἔθετο ἐπισκόπους, ποιμαίνειν τὴν ἐκκλησίαν τοῦ Θεοῦ, ἣν περιεποιήσατο διὰ τοῦ ἰδίου αἵματος* (1).

Βλέπε ἀποστολικὴν ἀρετήν· ἡ σπουδὴ τοῦ Παύλου, ἵνα κηρύξῃ εἰς τὴν Ἱερουσαλὴμ τοῦ Χριστοῦ τὸ ὄνομα· οὐκ ἀφῆκεν αὐτὸν ἐλθεῖν εἰς τὴν Ἔφεσον· ἡ ποιμαντικὴ ὅμως φροντὶς ἠνάγκασεν αὐτόν, ἵνα προσκαλέσας τὸ ἱερατεῖον τῆς Ἐφέσου, διδάξῃ αὐτοὺς τὰ περὶ τῆς σωτηρίας αὐτῶν τε καὶ τοῦ ποιμνίου αὐτῶν. Ὅταν δὲ ἦλθον πρὸς αὐτόν, τότε ἐδίδαξεν αὐτοὺς μεταξὺ τῶν ἄλλων διδαγμάτων καὶ ταῦτα· «Προσέχετε ἑαυτοῖς, καὶ παντὶ τῷ ποιμνίῳ». Διὰ τούτων τῶν λόγων ἐφανέρωσε συντόμως καὶ περιληπτικῶς παντὸς εὐσεβοῦς προεστῶτος τὸ χρέος· διπλῆν προσοχὴν παρήγγειλεν εἰς αὐτούς· πρώτην ὑπὲρ ἑαυτῶν, ἤγουν καθαρότητα βίου καὶ κατορθώματα ἀρετῆς· δευτέραν ὑπὲρ τοῦ ποιμνίου, τουτέστι διδασκαλίαν πίστεως καὶ νόμων, καὶ ἀνύστακτον ἐπιμέλειαν ὑπὲρ τῆς τῶν ποιμαινομένων σωτηρίας· ἐπιφέρει δὲ καὶ τὸν λόγον, δι' ὃν ἀναγκαία ἐστὶν ἡ δευτέρα προσοχή. Τὸ πνεῦμα τὸ ἅγιον, λέγει, κατέστησεν ὑμᾶς τῇ ἱερατικῇ χάριτι, τῇ δοθείσῃ ὑμῖν, ἐπισκόπους, ἤγουν ἐπιστάτας καὶ ἐπιτηρητάς, ἵνα ποιμαίνητε, τουτέστιν ὁδηγῆτε πρὸς τὴν εὐσέβειαν, καὶ εὐθύνητε πρὸς τὴν ἀρετὴν τὰ τέκνα τῆς ἐκκλησίας τοῦ Θεοῦ, ἣν αὐτὸς ἐκτήσατο, καὶ εὐηργέτησεν, ἐξαγοράσας διὰ τοῦ αἵματος τοῦ μονογενοῦς υἱοῦ αὐτοῦ (2). Σημείωσαι δέ, ὅτι πρεσβυτέρους τῆς ἐκκλησίας λέγει τοὺς ἱερεῖς, τοὺς αὐτοὺς δὲ ὀνομάζει καὶ ἐπισκόπους, οὐ καθὸ ἦσαν ἀρχιερεῖς, ἀλλὰ καθὸ ἦσαν ἐπιστάται καὶ ἐπιτηρηταὶ τῆς ἐκκλησίας, τοὺς ὑπὸ τὴν ἐνορίαν αὐτῶν ποιμαίνοντες.

*Ἐγὼ γὰρ οἶδα τοῦτο, ὅτι εἰσελεύσονται μετὰ τὴν ἄφιξίν μου λύκοι βαρεῖς εἰς ὑμᾶς, μὴ φειδόμενοι τοῦ ποιμνίου. Καὶ ἐξ ὑμῶν αὐτῶν ἀναστήσονται ἄνδρες λαλοῦντες διεστραμμένα, τοῦ ἀποσπᾷν τοὺς μαθητὰς ὀπίσω αὐτῶν* (3).

Λύκους ὠνόμασε τοὺς αἱρεσιάρχας καὶ τοὺς τούτων ἀκολούθους αἱρετικούς, ἐπειδὴ καθὼς ὁ λύκος ἁρπάζει τὰ πρόβατα ἀπὸ τῆς ποίμνης καὶ τρώγει αὐτά, οὕτως ὁ αἱρετικὸς ἄνθρωπος ἁρπάζει τοὺς ὀρθοδόξους χριστιανοὺς ἀπὸ τῆς μάνδρας τοῦ Χριςοῦ,

(1) Πράξ. 20, 17. 28. (2) ὅρα τὴν ἑρμην. τὴν ἐν τῇ Κυρ. τῆς Σαμαρ. ἐν τῷ τέλ. (3) Πράξ. 20, 29, 30.

ἤγουν τῆς ἐκκλησίας καὶ ἀπολεῖ τὴν ψυχὴν αὐτῶν· καὶ βαρεῖς μὲν εἶπεν αὐτούς, διὰ τὸ βάρος τῆς ὑπ' αὐτῶν προξενουμένης ψυχικῆς βλάβης· λαλοῦντας δὲ διεστραμμένα, καθότι αὐτοὶ διαςρέφοντες τῶν θείων Γραφῶν τὰ νοήματα, λαλοῦσι δόγματα καὶ ἐντάλματα ςρεβλὰ καὶ διεφθαρμένα· προφητικῶς δὲ περὶ τούτων λαλῶν ὁ Παῦλος, λέγει· « Γινώσκω ἐγώ, ὅτι μετὰ τὴν ἀπὸ τῆς » Ἀσίας ἀναχώρησίν μου εἰσελεύσονται » εἰς ὑμᾶς αἱρετικοί, μὴ φειδόμενοι τοῦ » ποιμνίου », τουτέστι μὴ εὐσπλαγχνιζόμενοι τὰ λογικὰ πρόβατα τοῦ Χριστοῦ, ἀλλὰ καὶ μεταξὺ ὑμῶν ἀναστήσονται αἱρετικοί, διδάσκοντες αἱρέσεις, ἵνα ἀποχωρίσωσιν ἀπὸ τῆς ἐκκλησίας τοὺς μαθητὰς τοῦ Χριστοῦ, καὶ σύρωσιν αὐτοὺς ὀπίσω αὐτῶν, φατρίας ἰδίας καὶ κόμματα συνιςῶντες· ἐπληρώθη δὲ ἡ τοιαύτη προφητεία, διότι οὐ μόνον μετὰ ταῦτα, ἀλλὰ καὶ κατ' αὐτοὺς τοὺς τῶν Ἀποστόλων καιροὺς τοιοῦτοι αἱρετικοὶ ἐνεφανίσθησαν, πολλοὺς διαφθείραντες καὶ ὀπίσω αὐτῶν ἑλκύσαντες. Τοιοῦτοι ἦσαν οἱ ψευδαπόστολοι, οἱ ὑπὸ τῆς ἐκκλησίας τῶν Ἐφεσίων ἐξελεγχθέντες (1)· καὶ οἱ Νικολαΐται οἱ κρατοῦντες τὴν διδαχὴν τοῦ Βαλαάμ, προχωρήσαντες δὲ καὶ εἰς τὴν ἐν Περγάμῳ ἐκκλησίαν (2)· καὶ ἡ προφῆτις Ἰεζαβήλ, ἡ πλανῶσα τοὺς ἐν τῇ Θυατείρων ἐκκλησίᾳ (3)· πρὸς τούτοις δὲ ὁ Ὑμέναιος καὶ ὁ Ἀλέξανδρος, οἱ περὶ τὴν πίστιν ναυαγήσαντες καὶ βλασφημήσαντες (4)· ἔτι δὲ καὶ ὁ Ὑμέναιος καὶ ὁ Φιλητός, οἵτινες ἐξέπεσον ἐκ τῆς ἀληθινῆς πίστεως (5)· τούτοις πρόσθες καὶ τὸ πλῆθος τῶν αἱρετικῶν, τῶν μετὰ τούτους φανέντων, καὶ πολλοὺς τῶν εὐσεβῶν πλανησάντων.

*Διὸ γρηγορεῖτε μνημονεύοντες, ὅτι τριετίαν νύκτα καὶ ἡμέραν οὐκ ἐπαυσάμην μετὰ δακρύων νουθετῶν ἕνα ἕκαστον* (6).

Προειπὼν τὴν τῶν αἱρετικῶν κακίαν, ἐφανέρωσε καὶ τὸ κατ' αὐτῆς δυνατὸν ὅπλον· « Διὸ γρηγορεῖτε ». Ἡ ἐγρήγορσις καὶ ἡ προσοχὴ καὶ ἡ ἐπιμέλεια τῶν προεστώτων ἐμποδίζει τῶν αἱρετικῶν τὰς ἐφόδους· καθὼς δέ, ὅταν ὁ ποιμὴν τῶν προβάτων προσέχῃ καὶ ἀγρυπνῇ, τότε ὁ λύκος οὐ δύναται ἁρπάξαι τὰ πρόβατα· οὕτω καὶ ὅταν ὁ προεστὼς τῆς ἐκκλησίας ἐγρηγορῇ καὶ ἐπιμελῆται, τότε ὁ αἱρετικὸς οὐ δύναται διαφθεῖραι τὰς ψυχὰς τῶν ὑπὸ τὴν διοίκησιν αὐτοῦ ὀρθοδόξων. Προβάλλει δὲ ὁ Παῦλος πρὸς ἀπόδειξιν τῆς δυνάμεως, ἣν ἔχει ἡ ἐγρήγορσις, τὸ ἑαυτοῦ παράδειγμα, λέγων· Γρηγορεῖτε, ἐνθυμούμενοι, ὅτι ὅσον καιρὸν ἤμην μεθ' ὑμῶν, τοσοῦτον ἐγρηγόρουν, ὥστε τρία ὁλόκληρα ἔτη, νύκτα τε καὶ ἡμέραν οὐκ ἔπαυσα τὴν διδασκαλίαν, ἀλλ' ἐνουθέτουν τὸν καθένα μετὰ δακρύων· ὅθεν οἱ βαρεῖς λύκοι, οἱ τὰ διεστραμμένα λαλοῦντες, οὐκ ἠδυνήθησαν βλάψαι τὰς ψυχὰς ὑμῶν· διὸ ἐὰν καὶ ὑμεῖς γρηγορῆτε, οὐδόλως βλάψει τὸ ποίμνιον ὑμῶν τῶν αἱρετικῶν ἡ κακία. Σημείωσαι δὲ τὸν ζῆλον, τὴν ζέσιν, τὴν προθυμίαν τοῦ Παύλου· αὐτὸς ἐδίδασκε, πρῶτον μὲν τρία ἔτη ὁλόκληρα, δεύτερον δὲ νύκτα τε καὶ ἡμέραν, τρίτον μετὰ δακρύων, τέταρτον οὐ μόνον κοινῶς, ἀλλὰ καὶ κατ' ἰδίαν ἕνα ἕκαστον· ταῦτα δὲ αὐτοὺς συμβουλεύσας, εὔχεται λέγων·

(1) Ἀποκ. 2, 1. (2) Αὐτ. 14, 15, (3) Αὐτ. 20. (4) Α'. Τιμ. 1, 19, 20. (5) Β'. Τιμ. 2, 17, 18. (6) Πράξ. 20, 31.



*Καὶ τὰ νῦν παρατίθημι ὑμᾶς ἀδελφοὶ τῷ Θεῷ καὶ τῷ λόγῳ τῆς χάριτος αὐτοῦ, τῷ δυναμένῳ ἐποικοδομῆσαι, καὶ δοῦναι ὑμῖν κληρονομίαν ἐν τοῖς ἡγιασμένοις πᾶσι* (1).

Λόγον τῆς χάριτος ὠνόμασεν ἀλλαχοῦ ὁ ἱερὸς Λουκᾶς τὸ εὐαγγελικὸν κήρυγμα· « Παῤῥησιαζόμενοι, εἶπεν, ἐπὶ τῷ κυρίῳ » τῷ μαρτυροῦντι τῷ λόγῳ τῆς χάριτος » αὐτοῦ, καὶ διδόντι σημεῖα καὶ τέρατα γί» νεσθαι διὰ τῶν χειρῶν αὐτῶν » (2). Λόγον τῆς χάριτος ἐννόησάν τινες αὐτὴν τοῦ Θεοῦ τὴν χάριν (3). Μήπως δὲ λόγον τῆς χάριτος εἶπεν ὁ Παῦλος αὐτὸν τὸν Ἰησοῦν Χριστόν, ὅστις λόγος ὤν, ἐκ πατρὸς πρὸ αἰώνων γεννηθείς, ἐπ' ἐσχάτων τῶν χρόνων οὐ κατὰ χρέος, ἀλλὰ κατὰ χάριν καὶ ἔλεος, ἄνθρωπος γενόμενος, ἔσωσεν ἡμᾶς· « Οὐκ ἐξ » ἔργων τῶν ἐν δικαιοσύνῃ ὧν ἐποιήσαμεν » ἡμεῖς, ἀλλὰ κατὰ τὸν αὐτοῦ ἔλεον ἔσω» σεν ἡμᾶς » (4). Ἐπειδὴ δὲ μόνη τῶν ποιμένων ἡ προσοχὴ χωρὶς τῆς τοῦ Θεοῦ βοηθείας οὐδὲν δύναται κατορθῶσαι (5), διὰ τοῦτο παραγγείλας αὐτοῖς, ἵνα προσέχωσιν ὑπὲρ ἑαυτῶν καὶ τοῦ ποιμνίου αὐτῶν, ἀφιεροῖ αὐτοὺς εἰς τὸν Θεόν, λέγων· Ἀδελφοί, καὶ τὰ νῦν· οὐκ εἶπε τὰ νῦν, ἐπειδὴ καὶ πρότερον τοῦτο ἐποίει, ἀλλά, καὶ τὰ νῦν, ἤγουν καὶ κατὰ τὸ παρόν, καθὼς καὶ πρότερον παραδίδωμι ὑμᾶς εἰς τὸν Θεὸν καὶ πατέρα, καὶ εἰς τὸν μονογενῆ υἱὸν αὐτοῦ καὶ λόγον, ὅςις δύναται οἰκοδομῆσαι καὶ ὑμᾶς καὶ τὴν προσοχὴν ὑμῶν, καὶ δοῦναι ὑμῖν διὰ τὸν κόπον τῆς προσοχῆς καὶ ἐγρηγόρσεως ὑμῶν τὴν κληρονομίαν τῆς αἰωνίου βασιλείας μετὰ πάντων τῶν τελεσάντων τῆς ἁγιωσύνης τὸν δρόμον. Μετὰ δὲ ταύτην τὴν εὐχὴν πάλιν νουθετεῖ αὐτοὺς διὰ τοῦ ἰδίου παραδείγματος.

*Ἀργυρίου ἢ χρυσίου ἢ ἱματισμοῦ οὐδενὸς ἐπεθύμησα* (6).

Βλέπε τὴν διαφορὰν τῆς ἀρετῆς, τὴν μεταξὺ τῶν ἁγίων τῶν ἐν τῷ νόμῳ, καὶ τῶν ἁγίων τῶν μετὰ τὴν εὐαγγελικὴν χάριν. Ὁ μὲν προφήτης Σαμουὴλ παραιτούμενος ἀπὸ τῆς προεδρικῆς αὐτοῦ ἐπιστασίας, ἔλεγε πρὸς τὸν λαὸν τοῦ Ἰσραήλ. « Μόσχον τίνος εἴληφα, ἢ ὄνον τίνος εἴλη» φα, ἢ τίνα κατεδυνάστευσα ὑμῶν, ἢ » τίνα ἐξεπίεσα, ἢ ἐκ χειρὸς τίνος εἴλη» φα ἐξίλασμα καὶ ὑπόδημα; » (7) Ὁ δὲ Ἀπόστολος Παῦλος ἀναχωρῶν ἀπὸ τῆς Ἀσίας, ἔλεγε πρὸς τοὺς μαθητὰς αὐτοῦ· « Ἀργυρίου ἢ χρυσίου ἢ ἱματισμοῦ οὐδενὸς » ἐπεθύμησα ». Ὁ Σαμουὴλ ἔφυγε τὴν πρᾶξιν τῆς δωροληψίας, ὁ Παῦλος κατήργησε καὶ αὐτὴν τὴν ἐπιθυμίαν τῆς φιλοχρηματίας. Τοῦτο δέ ἐστι τό, καὶ ἰδοὺ πλεῖον Ἰωνᾶ ὧδε (8). Ἀλλὰ διὰ τί ταῦτα ἔλεγεν ὁ Παῦλος; Τινὲς διεφθαρμένοι καὶ αἱρετικοὶ νομίζοντες, ὅτι τὸ εὐαγγελικὸν κήρυγμα καρποφορεῖ σωματικὸν κέρδος, ἐκήρυττον τὸ Εὐαγγέλιον, ἵνα προσπορίζωνται χρήματα. Περὶ τούτων ἔγραφεν ὁ αὐτὸς Παῦλος πρὸς τὸν Τιμόθεον οὕτω· « Παραδιατριβαὶ διεφθαρμένων ἀνθρώπων τὸν » νοῦν, καὶ ἀπεστερημένων τῆς ἀληθείας, » νομιζόντων πορισμὸν εἶναι τὴν εὐσέβειαν, « ἀφίστασο ἀπὸ τῶν τοιούτων » (9). Προασφαλίζων οὖν τοὺς τῶν Ἐφεσίων πρεσβυτέρους, καὶ δι' αὐτῶν πάντας τοὺς τῆς ἐκ-

(1) Πράξ. 20, 32. (2) Αὐτ. 14, 3. (3) Χρυσ. αὐτ. (4) Τίτ. 3, 5. (5) Ἰωάν. 15, 5. (6) Πράξ. 20, 33. (7) Α'. Βασ. 12, 3. (8) Ματθ. 12, 41. (9) Α'. Τιμ. 6, 5.

κλησίας προεστῶτας, ἀπὸ τούτου τοῦ ἀνομήματος προβάλλει τὸ ἴδιον παράδειγμα, λέγων· ὅτι οὐδενὸς ἀνθρώπου οὐδὲ τὸ ἀργύριον, οὐδὲ τὸ χρυσίον, οὐδὲ τὸ ἱμάτιον ἐπεθύμησεν· Ἵνα δὲ μηδεὶς ὑποπτευθῇ, ὅτι αὐτὸς μὲν οὐκ ἐπεθύμησεν, οἱ δὲ ὑπ' αὐτοῦ διδασκόμενοι καὶ ἐπιστρέφοντες ἐδίδοσαν αὐτῷ, ἐπάγει εὐθὺς τὰ ἑξῆς· λέγων·

*Αὐτοὶ δὲ γινώσκετε, ὅτι ταῖς χρείαις μου καὶ τοῖς οὖσι μετ' ἐμοῦ ὑπηρέτησαν αἱ χεῖρες αὗται* (1).

Σκηνοποιὸς ἦν, ἤγουν σκηνὰς ἔῤῥαπτεν ὁ τρισμακάριος Παῦλος (2). Τοῦτο δὲ ἦν τὸ ἐργόχειρον αὐτοῦ· περὶ οὗ ἔγραφε πρὸς τοὺς Κορινθίους· « Καὶ κοπιῶμεν ἐργαζόμενοι ταῖς ἰδίαις χερσί » (3). Διὰ τούτου δὲ τοῦ ἐργοχείρου ἔτρεφεν οὐ μόνον ἑαυτόν, ἀλλὰ καὶ τοὺς μετ' αὐτοῦ ὄντας. Οὐδὲν δὲ ἤθελε λαβεῖν ἀπό τινος, ὅταν ἐκήρυττε, κἂν μέγα εἶχε δικαίωμα, ἵνα μηδεὶς ὑποπτεύσῃ, ὅτι διὰ φιλοκέρδειαν κηρύττει τὸ Εὐαγγέλιον, καὶ ἐπομένως ἐμποδισθῇ ὁ τοῦ Εὐαγγελίου καρπός· « Ἀλλ' οὐκ ἐχρησάμεθα, λέγει, τῇ ἐξουσίᾳ ταύτῃ, ἵνα μὴ « ἐγκοπήν τινα δῶμεν τῷ Εὐαγγελίῳ τοῦ Χριστοῦ » (4). Ἐπειδὴ δὲ ταῦτα ἦσαν γνωστὰ εἰς τοὺς ἀκούοντας, διὰ τοῦτο οὐδεμίαν ἀπόδειξιν ἐπιφέρων, λέγει, αὐτοὶ γινώσκετε, ὅτι αἱ χεῖρες αὗται, ἤγουν τὰ ἔργα τῶν χειρῶν μου, ἐξήρκεσαν εἰς τὰς χρείας μου, καὶ εἰς τοὺς μετ' ἐμοῦ ὄντας. Θαυμαστὸν πρᾶγμα ἀληθῶς· ὁ διδάσκαλος πάσης τῆς οἰκουμένης ἐτρέφετο διὰ τοῦ ἐργοχείρου αὐτοῦ· ἐκεῖνος, ὅστις οὐ μόνον τὴν ἡμέραν, ἀλλὰ καὶ τὴν νύκτα εὐηργέτει τοὺς ἀνθρώπους διὰ τῆς διδασκαλίας αὐτοῦ, ἀπαλλάττων αὐτοὺς ἀπὸ τοῦ σκότους τῆς ἀπιστίας, καὶ ὁδηγῶν πρὸς τὴν φωτεινοτάτην ὁδὸν τῆς ἐπουρανίου βασιλείας, οὐδεμίαν ἀνταπόδοσιν ἀπ' αὐτῶν ἤθελεν, ἀλλὰ προσεπορίζετο τὰ πρὸς τὴν χρείαν αὐτοῦ τε καὶ τῶν σὺν αὐτῷ διὰ τοῦ ἰδίου ἐργοχείρου. Ἄκουσον δὲ αὐτὸν παραγγέλλοντα, ἵνα καὶ οἱ τῆς ἐκκλησίας προεστῶτες τοῦτο αὐτὸ ποιῶσι.

*Πάντα ὑπέδειξα ὑμῖν, ὅτι οὕτω κοπιῶντας δεῖ ἀντιλαμβάνεσθαι τῶν ἀσθενούντων, μνημονεύειν τε τῶν λόγων τοῦ Κυρίου Ἰησοῦ, ὅτι αὐτὸς εἶπε· μακάριόν ἐστι διδόναι μᾶλλον, ἢ λαμβάνειν* (5).

Τινὲς ἀσθενεῖς κατὰ τὴν συνείδησιν βλέποντες τοὺς Ἀποστόλους δεχομένους τὰ πρὸς τὴν χρείαν ὑπὸ τῶν πιςευόντων προσφερόμενα, ἐσκανδαλίζοντο, καὶ ἐψυχραίνοντο πρὸς τὴν ὑποδοχὴν τῆς εὐαγγελικῆς πίστεως, ὑποπτευόμενοι, ὅτι οἱ Ἀπόστολοι κηρύττουσι τὸ Εὐαγγέλιον εἰς τὸ ἴδιον κέρδος ἐπιβλέποντες· περὶ τούτων οὖν τῶν ἀσθενῶν λαλῶν ὁ Παῦλος, νουθετεῖ τοὺς κήρυκας τοῦ Εὐαγγελίου, λέγων· Κατὰ πάντα, ἤγουν παντὶ τρόπῳ ἔδειξα εἰς ὑμᾶς, ὅτι πρέπον ἐστίν, ἵνα, καθὼς ἐγώ, οὕτω καὶ ὑμεῖς μηδὲν ἀπὸ μηδενὸς λαμβάνοντες, ἀλλὰ κοπιάζοντες, καὶ διὰ τοῦ ἰδίου κόπου τρεφόμενοι, ἐκτείνητε χεῖρα βοηθείας εἰς τοὺς τοιούτους ἀσθενεῖς, ἀφαιροῦντες παντελῶς ἀπὸ τῆς συνειδήσεως αὐτῶν τῆς φιλοκερδείας τὸ σκάνδαλον· ἐπειδὴ δὲ τὸ

(1) Πράξ. 20. 34. (2) Αὐτ. 18, 3. (3) Α'. Κορ. 4, 12. (4) Αὐτ. 9, 12. (5) Πράξ. 20, 35.



τοιοῦτον δίδαγμα δυσπαράδεκτόν ἐστι καὶ δυσκατόρθωτον, διὰ τοῦτο ἐπισυνάπτει τὰ λόγια τοῦ Κυρίου Ἰησοῦ, λέγων· πρέπον ἐστίν, ἵνα μνημονεύητε τῶν λόγων τοῦ Κυρίου Ἰησοῦ, ὅστις εἶπε, μακαριώτερον ἔργον ποιεῖ ὅστις δίδωσιν, ἢ ὅστις λαμβάνει· « Μακάριόν ἐστι διδόναι μᾶλλον ἢ λαμβάνειν ». Καὶ ταῦτα μὲν τὰ λόγια οὕτω κατὰ λέξιν οὐ περιέχονται ἐν τοῖς ἁγίοις Εὐαγγελίοις· εὑρίσκεις δὲ τὸ νόημα αὐτῶν ἐν πολλοῖς, καθὼς ἐν τῷ « Μακάριοι οἱ ἐλεήμονες » (1)· Καὶ ἐν τῷ, « Μακάριος ἔσῃ· ὅτι οὐκ ἔχουσιν ἀνταποδοῦναί σοι » (2). Μήπως δὲ οὕτω κατὰ λέξιν ἤκουσεν αὐτὰ ὁ Παῦλος, ἢ ὑπὸ τῶν ἄλλων Ἀποστόλων, τῶν ταῦτα ἀκουσάντων ἀπ' αὐτοῦ τοῦ ςόματος τοῦ Κυρίου Ἰησοῦ, ἢ ὑπ' αὐτοῦ τοῦ Κυρίου κατ' ἀποκάλυψιν· τούτων δὲ τῶν λόγων ἡ ἀλήθεια διπλῆν ἔχει λαμπρότητα, ἐπίγειον δηλονότι καὶ οὐράνιον. Ἐπειδὴ καὶ εἰς τὴν γῆν ὅστις δίδωσιν, ἐκεῖνος εὐτυχέστερός ἐστι καὶ ἐνδοξότερος τοῦ λαμβάνοντος· διότι τίς δίδωσιν, εἰ μὴ ὁ πλούσιος καὶ ὁ δυνατός; τίς δὲ λαμβάνει, εἰ μὴ ὁ πτωχὸς καὶ ὁ ἀδύνατος; καὶ εἰς τὸν οὐρανὸν δὲ μακάριος γίνεται ὁ ἐλεῶν μᾶλλον, ἢ ὁ ἐλεούμενος· διότι ὑπὲρ τῶν ἐλεούντων ἐῤῥέθη τό, « Δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν « βασιλείαν ἀπὸ καταβολῆς κόσμου » (3).

*Καὶ ταῦτα εἰπών, θεὶς τὰ γόνατα αὐτοῦ σὺν πᾶσιν αὐτοῖς, προσηύξατο* (4).

Τί σημαίνει τῶν γονάτων ἡ κλίσις; Ταπείνωσιν, εὐλάβειαν, ψυχῆς κατάνυξιν, καὶ θερμότητα. Ὅταν οἱ Ἀπόστολοι μετὰ πολλῆς ζέσεως παρεκάλουν τὸν Θεόν, ἵνα ἐκπληρώσῃ τὸ αἴτημα αὐτῶν, τότε κλίνοντες εἰς τὴν γῆν τὰ γόνατα, προσηύχοντο. Τοιουτοτρόπως ὁ πρωτομάρτυς Στέφανος θεὶς τὰ γόνατα, « Παρεκάλεσε τὸν Θεόν, ἵνα συγχωρήσῃ τῶν λιθαζόντων αὐτὸν τὴν ἁμαρτίαν » (5). Ὁμοίως δὲ καὶ ὁ Πέτρος θεὶς τὰ γόνατα, « Προσηύξατο, ἵνα ἀναςήσῃ ὁ Θεὸς τὴν Ταβιθά » (6). Ἐπειδὴ δὲ ὁ Παῦλος πρῶτος ἐκήρυξε τὸν Χριστὸν εἰς τὴν Ἔφεσον (7). καὶ τρία ἔτη ἐκοπίασεν ἐκεῖ διδάσκων νύκτα τε καὶ ἡμέραν, καὶ μετὰ δακρύων νουθετῶν ἕνα ἕκαστον, καὶ ἐπειδὴ διὰ τοῦ προορατικοῦ χαρίσματος ἔβλεπεν, ὅτι εἰς τὸ ἑξῆς οὐδέποτε ὄψεται τοὺς ἠγαπημένους αὐτοῦ μαθητὰς τοὺς Ἐφεσίους, καὶ ὅτι μετὰ τὴν ἀποδημίαν αὐτοῦ, « Εἰσελεύσονται ἐν αὐτοῖς λύκοι βαρεῖς, καὶ ἄνδρες λαλοῦντες διεστραμμένα τοῦ ἀποσπᾷν τοὺς μαθητὰς ὀπίσω αὐτῶν » (8)· διὰ τοῦτο ἐθερμάνθη καὶ κατενύγη ἡ ἀποστολικὴ αὐτοῦ καρδία· ὅθεν κλίνας τὰ γόνατα μετὰ πάντων τῶν περιεστώτων, ἐξέχεε τὴν δέησιν αὐτοῦ πρὸς τὸν ὑπεράγαθον Θεὸν ὑπὲρ τῆς στερεώσεως αὐτῶν καὶ σωτηρίας.

(1) Ματθ. 5, 7. (2) Λουκ. 14. 14. (3) Ματθ. 25, 34. (4) Πράξ. 20, 36. (5) Αὐτ. 7, 60.
(6) Αὐτ. 9, 40. (7) Αὐτ. 18, 19. (8) Αὐτ. 20, 29, 30.

# ΟΜΙΛΙΑ

ΜΕΤΑ ΤΑΣ

# ΠΡΑΞΕΙΣ ΤΩΝ ΑΠΟΣΤΟΛΩΝ

## ΤΑΣ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΑΣ Τῌ ΚΥΡΙΑΚῌ ΤΩΝ ΠΑΤ. ΤΗΣ Α'. ΣΥΝΟΔΟΥ.

Ὁ ἐπίγειος ἄγγελος καὶ ἐπουράνιος ἄνθρωπος, ὁ θεῖος Ἀπόστολος Παῦλος, ὅστις ἐδίδαξε τοὺς πρεσβυτέρους τῆς Ἐφεσίων ἐκκλησίας τὸ χρέος τῶν ποιμένων, αὐτὸς περισσότερον πάντων τῶν Ἀποστόλων κοπιάσας, ἔδειξε διὰ τῶν ἔργων τὸν τύπον καὶ κανόνα τοῦ ἀληθινοῦ καὶ τελείου ποιμένος τῶν λογικῶν τοῦ Ἰησοῦ Χριστοῦ προβάτων· οἱ τούτου κόποι, αἱ ἀγρυπνίαι, οἱ φόβοι, οἱ ἐν λιμῷ καὶ δίψει καὶ ψύχει καὶ γυμνότητι κακοπάθειαι, οἱ ἔξωθεν καὶ ἔσωθεν ἐπίβουλοι, οἱ διωγμοί, τὰ συνέδρια, αἱ φυλακαί, τὰ δεσμά, τὰ δικαστήρια, οἱ κατήγοροι· οἱ καθ' ἡμέραν καὶ ὥραν θάνατοι, ἡ σαργάνη, οἱ λιθασμοί, οἱ ῥαβδισμοί, ἡ περίοδος, οἱ κατὰ γῆν καὶ θάλασσαν καὶ βυθὸν καὶ ποταμούς, καὶ οἱ ἐκ λῃστῶν καὶ ὁμογενῶν καὶ ψευδαδέλφων κίνδυνοι καὶ τὰ ναυάγια· ἡ καθ' ἡμέραν ἐπιστασία, ἡ μέριμνα πασῶν τῶν ἐκκλησιῶν, τὸ ἀδάπανον τοῦ εὐαγγελικοῦ κηρύγματος· ταῦτα πάντα εἰσὶν ὑψηλαὶ καὶ λαμπρόταται στῆλαι τῆς ἀνδρείας, τῆς ὑπομονῆς, τῆς μεγαλοψυχίας, τοῦ ζήλου, τῆς ἀγάπης καὶ πασῶν τῶν λοιπῶν μεγάλων ἀρετῶν, ὅσαι τοῦ ἀληθινοῦ ποιμένος τὴν ψυχὴν χαρακτηρίζουσι.

Τίς ἠσθένει τῆς ἁμαρτίας τὴν ἀσθένειαν, καὶ ὁ Παῦλος οὐκ ᾐσθάνετο τῆς ἀῤῥωστίας τὴν δριμύτητα; τίς ἐσκανδαλίζετο, καὶ ὁ Παῦλος οὐκ ἐφλέγετο; τίς ἄλλος μετὰ τοσαύτης φρονήσεως καὶ σοφίας ἐνομοθέτησε δεσπότας καὶ δούλους, ἄρχοντας καὶ ὑπηκόους, ἄνδρας καὶ γυναῖκας, γονεῖς καὶ τέκνα, γάμῳ συνεζευγμένους καὶ ἐν παρθενίᾳ ζῶντας, σοφούς, ἀμαθεῖς, πλουσίους, πτωχούς, Ἰουδαίους, Ἕλληνας, τὰ περὶ Χριστοῦ καὶ κόσμου, τὰ περὶ σαρκὸς καὶ πνεύματος; τίς μετὰ τοσαύτης ποιμαντικῆς ἐπιστήμης ἐπότισε τὸ γάλα τῆς ἁπλῆς διδασκαλίας τοὺς νηπίους καὶ ἀτελεῖς, καὶ ἔθρεψε διὰ τῆς στερεᾶς τροφῆς τῶν ὑψηλῶν μυστηρίων τοὺς ἄνδρας καὶ τελείους; τίς ἢ τοσοῦτον ἐπιτηδείως ἤλεγξε τοὺς ἁμαρτάνοντας, ἢ τοσοῦτον καταλλήλως ἐπήνεσε τοὺς ἐναρέτους, ἢ τοσοῦτον δικαίως παρέδωκε τῷ σατανᾷ τοὺς σκανδαλοποιοὺς καὶ τοὺς ἀποςάτας τῆς πίςεως, ἢ τοσοῦτον ἐπωφελῶς ἐκανόνισε τὰ περὶ τῶν αἱρετικῶν, ἢ τοσοῦτον γενναίως ἀπεσκοράκισε τὰς ἔρεις, τὰς μάχας, τὰς δεισιδαιμονίας, τὰς καινοτομίας, ἢ τοσοῦτον λαμπρῶς ἐστεφάνωσε τοὺς εἰς τὰ μέτρα τῆς ἁγιωσύνης φθάσαντας; ταῦτά εἰσι τὰ ποιμαντικὰ ἔργα· ἔργα πατρικά, ἔργα διδασκαλικά, ἔργα εὐεργετικά.



« Αὐτὸς ἐλεύθερος ὢν ἐκ πάντων, ἐδού» λωσεν ἑαυτὸν τοῖς πᾶσιν, ἵνα τοὺς πλείο» νας κερδήσῃ· καὶ γέγονε τοῖς πᾶσι τὰ » πάντα, ἵνα πάντως τινὰς σώσῃ » (1). Αὐτὸς οὐκ ἐζήτησε τὸ ἴδιον συμφέρον, ἀλλὰ τὴν ὠφέλειαν τῶν ἑαυτοῦ τέκνων· ἐπεθύμησε μὲν «Ἀναλύσαι καὶ σὺν Χριςῷ εἶναι» (2), προέκρινεν ὅμως τὴν ἐν σώματι ζωὴν διὰ τὴν τῶν μαθητῶν αὐτοῦ σωτηρίαν· μόνος αὐτὸς ἔστερξε τὸν ἀπὸ Χριστοῦ χωρισμόν, ἵνα οἱ ὁμογενεῖς αὐτοῦ σωθῶσι, μιμούμενος καὶ κατὰ τοῦτο τὸν Ἰησοῦν Χριστόν, ὅςις ἐγένετο ὑπὲρ ἡμῶν Κατάρα (3)· ταῦτά εἰσιν οἱ ζῶντες καὶ ἔμψυχοι χαρακτῆρες τῶν προεστώτων τῆς τοῦ Χριστοῦ ποίμνης· ταῦτα πρακτικῶς ἐδίδαξεν ὁ Παῦλος, ἵνα εἰς αὐτὸν ἐπιβλέποντες οἱ ἐπιστάται τῶν ἐκκλησιῶν, ὑπ' αὐτῶν λαμβάνοντες παράδειγμα, μιμηταὶ αὐτοῦ γίνωνται, καθὼς αὐτὸς ἐμιμήθη τὸν πρῶτον ἀρχιερέα καὶ διδάσκαλον, τὸν ἀρχηγὸν τῆς σωτηρίας ἡμῶν, τὸν Ἰησοῦν Χριστόν, τὸν λυτρωτὴν τοῦ κόσμου· οὐ μόνον δὲ αἱ πράξεις αὐτοῦ ἔδειξαν ποῖαί εἰσιν αἱ ἀρεταὶ τῶν ποιμένων, ἀλλὰ καὶ τὰ λόγια αὐτοῦ ζῶσαν εἰκόνα ἐζωγράφησαν τοῦ ἀληθινοῦ ἀρχιερέως· ὅστις μελετήσῃ τὰ ὑπ' αὐτοῦ γραφέντα πρὸς τὸν Τιμόθεον καὶ Τῖτον, ἐκεῖνος γνωρίζει, ποῖόν ἐστι τοῦ ποιμένος τῆς ἐκκλησίας τὸ ἐπάγγελμα καὶ τὸ χρέος.

Ἀλλὰ καὶ ἡ πρὸς τοὺς πρεσβυτέρους τῆς Ἐφεσίων ἐκκλησίας διδασκαλία αὐτοῦ κανών ἐστιν ἄριστος εἰς πάντας, καὶ εἰς τοὺς τότε καὶ εἰς τοὺς μετέπειτα, καὶ εἰς τοὺς ἄχρι τῆς σήμερον, καὶ εἰς τοὺς ἕως συντελείας τοῦ αἰῶνος ἀρχιερεῖς καὶ ἱερεῖς καὶ ποιμένας τῶν λογικῶν τοῦ Χριστοῦ προβάτων· « Προσέχετε οὖν, εἶπε μεταξὺ » τῶν ἄλλων, ἑαυτοῖς, καὶ παντὶ τῷ ποι» μνίῳ, ἐν ᾧ ὑμᾶς τὸ Πνεῦμα τὸ ἅγιον ἔ» θετο ἐπισκόπους, ποιμαίνειν τὴν ἐκκλη» σίαν τοῦ Θεοῦ, ἣν περιεποιήσατο διὰ τοῦ » ἰδίου αἵματος » (4). Λόγια σύντομα, πλὴν πεπληρωμένα ἐπουρανίων νοημάτων· λόγια σύντομα, πλὴν ἐμφαντικὰ ὅλου τοῦ ποιμαντικοῦ χρέους· λόγια σύντομα, πλὴν περιεκτικὰ καὶ τῶν ἔργων, καὶ τῶν λόγων, καὶ ὅλου τοῦ ἐπαγγέλματος τῶν ἀληθινῶν καὶ ἁγίων ποιμένων.

« Προσέχετε οὖν ἑαυτοῖς ». Διὰ τούτου τοῦ λόγου ἐδίδαξε, πόση ἁγιωσύνη πρέπει εἰς πάντα τοῦ ποιμένος τὰ ἔργα. « Καὶ » παντὶ τῷ ποιμνίῳ ». Διὰ τούτου δὲ ἐφανέρωσε πόσην ἐπιμέλειαν χρεωστεῖ ὁ ποιμὴν ὑπὲρ τῆς ἰδίας ποίμνης. Ὁ ἰδιώτης ὁ ἄνθρωπος, ἐὰν διὰ τῆς προσοχῆς αὐτοῦ φεύγῃ τὴν ἁμαρτίαν, καὶ ἐργάζηται τὴν ἀρετήν, τοῦτο ἀρκεῖ πρὸς τὴν ἑαυτοῦ σωτηρίαν· ὁ δὲ ποιμήν, κἂν προσέχων ὑπὲρ ἑαυτοῦ, καθαρὸς φανῇ ἀπὸ πάσης ἁμαρτίας, κἂν ἀναβῇ εἰς τὰ ὑψηλὰ ὄρη τῆς ἀρετῆς, οὐ δύναται σωθῆναι, ἐὰν μὴ δείξῃ ὑπὲρ τῆς ποίμνης αὐτοῦ τόσην προσοχήν, ὅσην ἔχει καὶ ὑπὲρ τῆς ἰδίας αὐτοῦ σωτηρίας· διὰ τοῦτο δὲ ὁ τοῦ Θεοῦ Ἀπόστολος οὐκ εἶπε μόνον τό, « Προσέχετε οὖν ἑαυ» τοῖς », ἀλλ' ἐπεσύναψε καὶ συνέδεσε καὶ τὸ ἕτερον, ἤγουν τό, « Καὶ παντὶ τῷ ποιμνίῳ. » Προσέχετε οὖν ἑαυτοῖς, καὶ παντὶ τῷ » ποιμνίῳ ».

Σημείωσαι δέ, ὅτι ζητεῖ τὴν προσοχὴν

(1) Α'. Κορ, 9, 19, 22. (2) Αὐτ. 10, 24. Φιλιπ. 1, 23. (3) Ῥωμ. 9, 3. Γαλ. 3, 13. (4) Πράξ. 20, 28.

ἀπὸ τῶν ποιμένων πρῶτον ὑπὲρ τῆς ἰδίας αὐτῶν πολιτείας. Προσέχετε οὖν ἑαυτοῖς· ἔπειτα ὑπὲρ τῆς τοῦ ποιμνίου αὐτῶν σωτηρίας. Καὶ παντὶ τῷ ποιμνίῳ. Ἀληθῶς δὲ ἀνάγκη ἐστίν, ἵνα ὁ ποιμὴν διὰ τῆς προσοχῆς αὐτοῦ πρῶτον καταςήσῃ ἑαυτὸν ἅγιον, ἔπειτα ἐπιχειρήσῃ ἁγιάσαι τοὺς ἄλλους. Ἐὰν μὴ πρῶτον καθαρισθῇ ἀπὸ τῆς τῶν ἁμαρτιῶν ἀκαθαρσίας, πῶς δύναται καθαρίσαι τοὺς ἄλλους; ὁ ψωριῶν καὶ ὁ λελεπρωμένος οὐ καθαρίζει, ἀλλὰ μολύνῃ, ὁποῖον ἂν ψηλαφήσῃ. Διὰ τοῦτο ὁ μὲν Ἡσαΐας, πρὶν ἢ ἀναλάβῃ τὸ ποιμαντικὸν ἐπάγγελμα, καθαίρεται διὰ τοῦ ἄνθρακος τοῦ ἐν τῇ λαβίδι, ἣν ἐβάσταζεν ἓν τῶν Σεραφείμ (1)· ὁ δὲ Ἱερεμίας ἁγιάζεται ἐκ κοιλίας μητρὸς αὐτοῦ, ἵνα ἀξιοπρεπῶς ποιμάνῃ τὸν λαὸν τοῦ Κυρίου (2). Ὁ δὲ Ἰεζεκιήλ, πρὶν ἢ ἀποσταλῇ εἰς τὸν οἶκον τοῦ Ἰσραήλ, ἀνοίγει τὸ στόμα αὐτοῦ, καὶ καταπίνει τὴν κεφαλίδα τοῦ βιβλίου τῆς γνώσεως καὶ ἀληθείας (3). Ἐὰν μὴ ὁ ποιμὴν ἀρτύσῃ πρῶτον διὰ τοῦ ἅλατος τῆς διακρίσεως καὶ τὰ ἤθη καὶ τὸν λόγον αὐτοῦ, πῶς δύναται ἀρτύσαι τοὺς ἄλλους, ἤγουν καταστῆσαι αὐτοὺς διακριτικοὺς τῶν θείων νόμων; ὅστις οὐκ ἔχει ἅλας, ἐκεῖνος οὐδὲν δύναται ἀρτύσαι. Ἐὰν μὴ πρῶτον ὁ ποιμὴν διὰ τοῦ φωτὸς τῶν θείων ἀρετῶν κατασταθῇ ὅλος φῶς, πῶς δύναται λάμψαι πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ; τῆς ἁμαρτίας τὸ σκότος οὐ φωτίζει, ἀλλὰ σκοτίζει τὸν νοῦν τῶν εἰς αὐτὸ ἐνατενιζόντων· μάτην δὲ σπουδάζει φωτίσαι τοὺς ἐν σκότει καθημένους ὅστις οὐ κρατεῖ λαμπάδα εἰς τὰς ἑαυτοῦ χεῖρας. Διὰ τοῦτο δὲ αὐτὸς ὁ Κύριος καὶ ἅλας τῆς γῆς ὠνόμασε τοὺς ποιμένας τοῦ λαοῦ αὐτοῦ, καὶ φῶς τοῦ κόσμου· « Ὑμεῖς ἐστε τὸ ἅλας τῆς γῆς· » Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου » (4).

Ἀλλὰ τί ἐστι προσοχή; προσοχή ἐστιν ἀκριβὴς καὶ ἄοκνος τῶν πραγμάτων παρατήρησις· ἐκεῖνος δὲ προσέχει ἑαυτῷ, ὅστις μετὰ ἀνυστάκτου ἐγρηγόρσεως παρατηρεῖ πάντα τὰ περὶ αὐτὸν καὶ τὰ ἐν αὐτῷ· ὅςις οὖν προσέχει ἑαυτῷ, ἐκεῖνος γνωρίζει τὸν φθόνον καὶ τὰς ἐπιβουλὰς τοῦ ἀρχεκάκου πολεμήτορος, διακρίνει, πόσον ἀπατηλὴ καὶ ἐπιβλαβής ἐστι τοῦ κόσμου τούτου ἡ ματαιότης, βλέπει, πόσην ζημίαν καὶ ὄλεθρον προξενεῖ τῆς σαρκικῆς ἐπιθυμίας ἡ ἀπόλαυσις· διὸ καὶ κατὰ τοῦ διαβόλου ἀντιστρατεύεται, καὶ ἀπὸ τῆς κοσμικῆς ματαιότητος τοὺς ὀφθαλμοὺς αὐτοῦ ἀποστρέφει, καὶ ἀνώτερος γίνεται τῶν τῆς σαρκὸς ἐπιβουλευμάτων. Ὅστις προσέχει ἑαυτῷ, ἐκεῖνος βλέπει, ὅτι « οὐκ ἔχομεν ὧδε μένου» σαν πόλιν, ἀλλὰ τὴν μέλλουσαν ἐπιζητοῦμεν » (5)· ὅτι τὰ παρόντα εἰσὶ φθαρτὰ καὶ πρόσκαιρα, τὰ δὲ μέλλοντα ἄφθαρτα καὶ αἰώνια· ὅτι εἰς τὴν ἐπουράνιον πατρίδα ἐστὶ τὸ φῶς τὸ ἀνέσπερον, καὶ ἡ δόξα ἡ ἀμετάβλητος, καὶ ἡ χαρὰ ἡ ἀνεκλάλητος, καὶ τὰ ἀγαθά, « ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ » οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώ» που οὐκ ἀνέβη » (6). Ἐκ τούτου ἀποσπᾶται ὁ νοῦς αὐτοῦ ἀπὸ τῶν γηΐνων, καὶ ἀναβιβάζεται εἰς τὸν οὐρανόν· διὸ τὰ ἐπουράνια συλλογιζόμενος, εἰς αὐτὰ ἀφιεροῖ καὶ τὸν πόθον τῆς ψυχῆς, καὶ τὴν ἐπιθυμίαν τῆς καρδίας, καὶ τοὺς κόπους τοῦ σώματος· ἐκ τούτου τὰ ἔργα αὐτοῦ θεάρεστα, ὁ λόγος αὐτοῦ θεῖος, τὰ φρονήματα αὐτοῦ ἅγια· ὅλος γίνεται φῶς, ὅλος ἀρετή, ὅλος ἁγιωσύνη· τοιοῦτος γίνεται ὁ εὐσεβής, τοι-

(1) Ἡσ. 6, 6. (2) Ἱερ. 1, 5. (3) Ἰεζ. 3, 3. (4) Ματθ. 5, 13, 14, (5) Ἑβρ. 13, 14.
(6) Α. Κορ. 2, 9.



οῦτος γίνεται ὁ ποιμήν, ὅταν προσέχῃ ἑαυτῷ.

Ἡ προσοχὴ ἀνοίγει τῆς ψυχῆς τοῦ ποιμένος τὰ ὄμματα· ὅθεν διακρίνει, τί ἔλαβε καὶ ὑπὸ τίνος αὐτὸ ἔλαβε, καὶ διὰ ποῖον τέλος ἔλαβεν αὐτό· βλέπει, ὅτι ἔλαβεν εἰς τὰς χεῖρας αὐτοῦ πρᾶγμα πάσης τῆς κτίσεως τιμιώτερον· πρᾶγμα οὐ διὰ λόγου Θεοῦ δημιουργηθέν, καθὼς τὰ ἄλλα κτίσματα, ἀλλὰ διὰ τοῦ τιμίου αἵματος τοῦ μονογενοῦς Υἱοῦ αὐτοῦ συστηθὲν καὶ περιποιηθέν· ἔλαβε τοῦτο οὐχ ὑπὸ ἀνθρώπου, οὐδὲ ὑπὸ ἀγγέλου, ἀλλ' ὑπ' αὐτοῦ τοῦ παντοκράτορος Θεοῦ. Ὁ Θεὸς καταστήσας αὐτὸν ποιμένα, ἐνεχείρισεν αὐτῷ τοῦτο τὸ ἐπουράνιον καὶ πανυπερένδοξον κειμήλιον, ἤγουν τὴν ἐκκλησίαν αὐτοῦ, ἵνα εἰσάγῃ εἰς αὐτὴν τοὺς ἔξω, καὶ διευθύνῃ τοὺς ἔνδον, καὶ ὁδηγῇ ἀμφοτέρους πρὸς σωτηρίαν. Γνωρίζει ὁ ποιμήν, ὅταν προσέχῃ, ὅτι, ὅστις ἀγωνισθῇ τὸν ἀγῶνα τῆς ποιμαντικῆς ἐπιστασίας, καὶ τελέσῃ εὐσεβῶς τῆς προεδρικῆς ἐξουσίας τὸν δρόμον, καὶ φανῇ πιστὸς οἰκονόμος εἰς τὸ ἐμπιστευθὲν αὐτῷ ποίμνιον, ἐκεῖνος ὡς ἐκπληρώσας τῆς ἀγάπης τὴν ἐντολήν, λαμβάνει τῆς δικαιοσύνης τὸν ἀμαράντινον στέφανον. Ταῦτα δὲ βλέπων καὶ διακρίνων ἀφιεροῖ τὴν προσοχὴν αὐτοῦ καὶ ἐπὶ παντὶ τῷ ποιμνίῳ, εἰς ὃ τὸ πνεῦμα τὸ ἅγιον κατέστησεν αὐτὸν ἐπίσκοπον. Ἐκ τούτου αὐτὸς ὡς ἄλλος Μωϋσῆς ἐξάγει τὸ ποίμνιον αὐτοῦ οὐχὶ ἀπὸ τῆς Αἰγύπτου καὶ ἀπὸ τῆς δυναστείας τοῦ Φαραώ, ἀλλ' ἀπὸ τῆς ἁμαρτίας, καὶ ἀπὸ τῆς δουλείας τοῦ διαβόλου· ὡς ἄλλος Σαμουὴλ ἀμέμπτως καὶ ἁγίως διευθύνων τὸν λαὸν τοῦ Κυρίου, προσφέρει εἰς τὸν Θεὸν ὑπὲρ τῆς σωτηρίας αὐτῶν οὐχὶ ζώων θυσίας, ἀλλὰ τὰς ἀναιμάκτους ἱερουργίας· καὶ ὡς ἄλλος δὲ Παῦλος καὶ τοὺς ἀπίστους ἐπιστρέφει, καὶ τοὺς κλονουμένους εἰς τὰ περὶ τῆς πίστεως ἐπιστηρίζει, καὶ τοὺς πεπτωκότας εἰς τὴν ἁμαρτίαν ἐγείρει, καὶ τοὺς ἑστῶτας εἰς τὴν ἀρετὴν ἐπιστερεοῖ, καὶ γίνεται τοῖς πᾶσι τὰ πάντα, ἵνα τοὺς πλείονας, τοὺς ἀξίους δηλονότι σωτηρίας, κερδήσῃ, καὶ τῷ Χριστῷ προσαγάγῃ.

Προσοχὴ δῶρον οὐράνιον, θησαυρὲ ἀτίμητε, φυγαδευτήριον τῆς ματαιότητος, μάστιξ τῆς ἐπανισταμένης σαρκός, ὅπλον κατὰ τοῦ ἐχθροῦ τῆς ἀνθρωπίνης φύσεως, φύλαξ τῆς ψυχῆς καὶ τοῦ σώματος, κλίμαξ ἀναβιβάζουσα ἀπὸ τῆς γῆς εἰς τὸν οὐρανὸν τὸν ἄνθρωπον, πηγὴ ἁγιασμοῦ καὶ φωτὸς καὶ χάριτος καὶ σωτηρίας· σὺ καὶ τὸν ποιμένα τοῦ λαοῦ τελειοῖς, καὶ τὸν λαὸν τὸν ποιμαινόμενον ἁγιάζεις, καὶ σώζεις πάντα ἄνθρωπον. Πάνσοφον ἀληθῶς τοῦ θεηγόρου Παύλου τὸ παράγγελμα· « Προσέχετε ἑ» αυτοῖς, καὶ παντὶ τῷ ποιμνίῳ » (1). Ταύτην δὲ τῆς προσοχῆς τὴν διδασκαλίαν οὐδὲ ἀφ' ἑαυτοῦ ἐνόησεν ὁ μακάριος, οὐδὲ ἐξ ἀνθρώπου παρέλαβεν, ἤκουσε δὲ αὐτὴν ἀπ' αὐτῆς τῆς τοῦ Θεοῦ νομοθεσίας, ὅστις εἶπε· « Πρόσεχε σεαυτῷ καὶ φύλαξον τὴν ψυχήν » σου σφόδρα » (2).

Οὐαὶ λοιπὸν εἰς ἐκείνους τοὺς τρισαθλίους ποιμένας, ὅσοι οὐδεμίαν προσοχὴν ἔχοντες οὐδὲ περὶ τῆς ἰδίας ψυχῆς, οὐδὲ περὶ τῆς σωτηρίας τοῦ ἐμπιστευθέντος αὐτοῖς ποιμνίου, πράττουσιν ἔργα ἀνάξια καὶ τοῦ χαρακτῆρος καὶ τοῦ ἐπαγγέλματος αὐτῶν, σκότος ἀντὶ φωτὸς γινόμενοι· ἀμελοῦντες δὲ παντελῶς καὶ τὰ πρόβατα, μη-

(1) Πράξ. 20, 28. (2) Δευτ. 4, 9.

δὲ τὸ ἀπολωλὸς ζητοῦντες, μηδὲ τὸ ἐσκορπισμένον συνάγοντες, μηδὲ τὸ ἀσθενὲς ἐπισκεπτόμενοι, μηδὲ τὸ ὑγιὲς ἐπιστηρίζοντες· τοῦτο δὲ καὶ μόνον προσέχοντες, ἵνα πίνωσι τὸ γάλα, καὶ ἐνδύωνται τὰ ἔρια, καὶ τρώγωσι τὸ πάχος τῆς ποίμνης. Οὐαὶ αὐτοῖς· διότι οὐ μόνον περὶ ἑαυτῶν λόγον ἀποδώσουσι τῷ Θεῷ, ἀλλὰ καὶ τὸ αἷμα τῶν προβάτων ἔκ τῆς χειρὸς αὐτῶν ἐκζητηθήσεται. « Καὶ τὸ αἷμα αὐτοῦ, εἶπεν ὁ Θεὸς » πρὸς τὸν ἀμελῆ ποιμένα, ἐκ τῆς χειρός » σου ἐκζητήσω » (1).

Ὑμεῖς δέ, ὦ οἰκονόμοι πιστοὶ καὶ ποιμένες ἀληθινοὶ καὶ φρόνιμοι, ὅσοι κατὰ τὴν παραγγελίαν τοῦ θεόφρονος Παύλου ἀφιερώσατε τὴν προσοχὴν ὑμῶν ἑαυτοῖς καὶ παντὶ τῷ ποιμνίῳ, πανσέβαστοί ἐστε, μακάριοί ἐστε, ἅγιοί ἐστε· ὑμεῖς ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ὅταν ὁ παντοκράτωρ καθήσῃ ἐπὶ θρόνου δόξης αὐτοῦ, ἵνα κρίνῃ ζῶντας καὶ νεκρούς, τότε μεταξὺ τῶν ἁγίων ἱεραρχῶν ἐκλάμψετε ὡς φωστῆρες· τότε καθεὶς ἐξ ὑμῶν μετὰ τοῦ ποιμνίου αὐτοῦ ἔμπροσθεν τοῦ θρόνου τῆς μεγαλωσύνης παριστάμενος « Ἰδού, λέγει πρὸς τὸν Θεόν, ἐγὼ καὶ τὰ » παιδία, ἃ ἔδωκάς μοι » (2). Τότε δὲ ἀκούει ἀπὸ στόματος τοῦ Θεοῦ « Εὖ δοῦλε » ἀγαθὲ καὶ πιστέ » (3). Ἐκεῖνα τὰ παιδία μου πεινῶντα, σὺ ἔθρεψας διὰ τοῦ λόγου τῆς εὐσεβείας, ταῦτα δὲ διψῶντα ἐπότισας διὰ τῆς διδασκαλίας τῶν νόμων μου. Ἐκεῖνα ξένα ἦσαν τῆς ἐκκλησίας, σὺ δὲ αὐτὰ συνήγαγες ἔνδον αὐτῆς· ταῦτα γυμνὰ ἦσαν τῶν καλῶν ἔργων, σὺ δὲ ἐνέδυσας αὐτὰ τῶν ἀρετῶν τὸ ἔνδυμα. Ἐκεῖνα ἦσαν ἀσθενῆ ὑπὸ τοῦ πλήθους τῶν ἁμαρτιῶν αὐτῶν, σὺ δὲ ἐπεσκέφθης καὶ ἰάτρευσας αὐτά· ταῦτα δεδεμένα ἦσαν ὑπὸ τοῦ σατανᾶ, σὺ δὲ ἦλθες εἰς τὸ δεσμωτήριον, καὶ ἠλευθέρωσας αὐτά, λύσας τῆς δουλείας τὰ δεσμά· ἀφ' οὗ δὲ ὁ Θεὸς ἐνώπιον πάντων τῶν ἀπ' αἰῶνος ἀνθρώπων τοιουτοτρόπως ἐπαινέσῃ ἕκαστον τῶν πιστῶν καὶ φρονίμων οἰκονόμων τῆς χάριτος, καὶ ἀληθινῶν ποιμένων τοῦ λαοῦ αὐτοῦ, τότε ἐκφωνεῖ πρὸς αὐτοὺς τὴν εὐλογημένην καὶ μακαρίαν φωνήν, τὴν ὑπὲρ τῶν ἐλεημόνων διωρισμένην. « Δεῦτε, λέγει, οἱ εὐλογημένοι τοῦ πατρός » μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑ» μῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου » (4).

(1) Ἰεζ. 3, 18, 20. (2) Ἡσ. 8, 18. (3) Ματθ. 25, 23. (4) Αὐτ. 34.



# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΑΣ

# ΠΡΑΞΕΙΣ ΤΩΝ ΑΠΟΣΤΟΛΩΝ

## ΤΑΣ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΑΣ ΤΗι ΚΥΡΙΑΚΗι ΤΗΣ ΠΕΝΤΗΚΟΣΤΗΣ.

ΠΑΣΑΙ αἱ τοῦ Χριστοῦ ἐκκλησίαι διὰ πολλῶν ἐπαίνων ἔστεφον τὸν ἀξιεπαινετώτατον Εὐαγγελιστὴν Λουκᾶν, ἐπειδὴ συνέγραψε τὸ ἅγιον τοῦ Κυρίου Ἰησοῦ Εὐαγγέλιον. Μαρτυρεῖ τοῦτο λαμπρᾷ τῇ φωνῇ ὁ ἔνδοξος Ἀπόστολος Παῦλος ἐν τῇ πρὸς Κορινθίους δευτέρᾳ ἐπιστολῇ αὐτοῦ, λέγων περὶ τοῦ Λουκᾶ· « Οὗ ὁ ἔπαινος ἐν τῷ Εὐ» αγγελίῳ διὰ πασῶν τῶν ἐκκλησιῶν » (1). Ἐξότου δὲ καὶ τὰς πράξεις τῶν Ἀποςόλων συγγράψας ἐκοινολόγησεν ὁ πανσέβαστος, πᾶσαι αἱ τοῦ Θεοῦ ἐκκλησίαι ὑμνολογοῦσιν αὐτὸν οὐ μόνον διὰ τὴν συγγραφὴν τοῦ Εὐαγγελίου, ἀλλὰ καὶ διὰ τὴν σύνθεσιν τῶν Πράξεων· δόξαν καὶ εὐχαριστίαν προσφέρομεν αὐτῷ πάντες οἱ εὐσεβεῖς ἄχρι τῆς σήμερον διὰ τοῦτο τὸ ἅγιον βιβλίον, δι' οὗ ἡμᾶς ἐδίδαξε δόγματα πίστεως ἅγια καὶ σωτήρια· ὑπεσχέθη μὲν ὁ Θεάνθρωπος εἰς τοὺς ἁγίους αὐτοῦ μαθητὰς τὴν ἀποστολὴν τοῦ παναγίου Πνεύματος, εἰπών· « Ὅταν » δὲ ἔλθῃ ὁ Παράκλητος, ὃν ἐγὼ πέμψω » ὑμῖν παρὰ τοῦ Πατρός· τὸ Πνεῦμα τῆς » ἀληθείας, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύε» ται· ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ » (2). ἀλλὰ ταύτης τῆς ὑποσχέσεως τὴν ἐκπλήρωσιν οὐδεὶς ἄλλος ἱστόρησεν, εἰ μὴ ὁ Λουκᾶς ὁ πανυπερένδοξος. Αὐτὸς καὶ τὸ πότε καὶ τὸ ποῦ, καὶ τὸ πῶς, καὶ τὸ πρὸς τίνας κατῆλθε τὸ Πνεῦμα τὸ ἅγιον, ἔτι δὲ καὶ τὰ ἀποτελέσματα τῆς θείας αὐτοῦ χάριτος συντόμως, καθαρῶς, περιεστατωμένως κατὰ τὸ σύνηθες αὐτῷ θαυμασίως περιέγραψεν. Ἐγένετο τοῦτο, εἶπεν· « Ἐν τῷ συμπληροῦ» σθαι τὴν ἡμέραν τῆς Πεντηκοστῆς » (3). Ἡμέραν δὲ Πεντηκοστῆς λέγει τὴν πεντηκοστὴν ἡμέραν μετὰ τὴν Χριστοῦ ἀνάστασιν. Ἐκ τούτου δὲ πάντες οἱ εὐσεβεῖς τὴν σήμερον, ἥτις ἐστὶν ἡ πεντηκοστὴ ἡμέρα μετὰ τὴν ἡμέραν καθ' ἣν ἑωρτάσαμεν τὴν τοῦ Χριστοῦ ἀνάστασιν, πανηγυρίζοντες ἑορτάζομεν τῆς Πεντηκοστῆς τὴν ἑορτήν, ἤγουν τὸ μέγα μυστήριον τῆς ἐν κόσμῳ ἐπιδημίας τοῦ παναγίου Πνεύματος, καὶ τῶν θείων αὐτοῦ χαρισμάτων, ὅσων κατηξιώθη τὸ ἀνθρώπινον γένος· τότε δὲ θεαρέστως ἑορτάζομεν, ὅταν ἀναβιβάζωμεν τὸν νοῦν ἡμῶν εἰς τὴν θεωρίαν τῶν ἑορταζομένων ὑποθέσεων· εὔκολα δὲ ἀναβαίνει ὁ νοῦς εἰς τὴν θεωρίαν τῶν μὴ βλεπομένων, ὅταν πίπτῃ εἰς τὰ ὦτα ἡμῶν ὁ περὶ τούτων λόγος. Μετὰ προσοχῆς οὖν καὶ εὐλαβείας ἀ-

(1) Β'. Κορ. 8, 18. (2) Ἰωάν. 15, 26. (3) Πράξ. 2. 1.

κούσατε ὅσα περὶ τῆς σήμερον ἑορτῆς ὁ ἱερὸς Λουκᾶς ἱστόρησεν, ἵνα θεοπρεπῶς ἑορτάσαντες, ἀπολαύσητε τῆς τοῦ Θεοῦ εὐλογίας καὶ χάριτος.

*Ἐν τῷ συμπληροῦσθαι τὴν ἡμέραν τῆς Πεντηκοστῆς, ἦσαν ἅπαντες οἱ Ἀπόστολοι ὁμοθυμαδὸν ἐπὶ τὸ αὐτό* (1).

Μετὰ τὴν εἰς οὐρανοὺς ἀνάληψιν τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ οἱ ἕνδεκα Ἀπόστολοι (2), καί τινες εὐλαβεῖς γυναῖκες, καὶ ἡ ὑπεραγία Θεοτόκος Μαρία, ἡ μήτηρ τοῦ Κυρίου Ἰησοῦ, καὶ οἱ ἀδελφοὶ αὐτοῦ ὑπέστρεψαν ἀπὸ τοῦ ὄρους τοῦ Ἐλαιῶνος εἰς τὴν Ἱερουσαλήμ, καὶ εἰσελθόντες εἰς τὸν οἶκον, ἐν ᾧ ἔμενον, ἀνέβησαν εἰς τὸ ἀνώγαιον τοῦ οἴκου, ὅστις μετέπειτα ἐγένετο ἐκκλησία, ἀνωτέρα τῶν Ἀποστόλων ἐκκλησία ὀνομαζομένη (3). Ἐκεῖ οὖν ἅπαντες οὗτοι ὁμοθυμαδόν, τουτέστι μιᾷ ἐπιθυμίᾳ καὶ ἑνὶ σκοπῷ μετὰ προσευχῶν καὶ δεήσεων περιέμενον τὴν τοῦ ἁγίου Πνεύματος κατάβασιν. Ἐκεῖ δὲ κατ' ἐκείνας τὰς ἡμέρας ὁ Ματθίας « Συγκατεψηφίσθη μετὰ τῶν ἕν» δεκα Ἀποστόλων » (4). Κατ' αὐτὴν δὲ τὴν πεντηκοστὴν ἡμέραν, ἀπὸ τῆς ἡμέρας, ἐν ᾗ ὁ Χριςὸς ἀνέστη ἐκ νεκρῶν, ἦσαν πάντες οἱ Ἀπόςολοι ὁμοῦ συνηγμένοι εἰς τὸ αὐτὸ ἀνώγαιον, καὶ τὸν αὐτὸν ἔχοντες πόθον τῆς ἐπιδημίας τοῦ παναγίου Πνεύματος.

*Καὶ ἐγένετο ἄφνω ἐκ τοῦ οὐρανοῦ ἦχος, ὥσπερ φερομένης πνοῆς βιαίας, καὶ ἐπλήρωσεν ὅλον τὸν οἶκον, οὗ ἦσαν καθήμενοι. Καὶ ὤφθησαν αὐτοῖς διαμεριζόμεναι γλῶσσαι ὡσεὶ πυρός, ἐκάθισέ τε ἐφ' ἕνα ἕκαστον αὐτῶν* (5).

Ὥρα τρίτη τῆς ἡμέρας (6), ἤγουν τρεῖς ὥρας πρὸ τῆς μεσημβρίας, ἐξαίφνης ἐγένετο τοιοῦτος κτύπος ἐκ τοῦ οὐρανοῦ κατερχόμενος, ὁποῖος γίνεται, ὅταν φυσᾷ σφοδρὸς ἄνεμος. Ἐγέμισε δὲ ὁ ἦχος ὅλον τὸν οἶκον, ἐν ᾧ ἐκάθηντο οἱ Ἀπόστολοι καὶ οἱ σὺν αὐτοῖς ὄντες· ἐφάνησαν δὲ εὐθὺς γλῶσσαι πυροειδεῖς, αἵτινες διαμερισθεῖσαι, ἐκάθισαν ἐφ' ἕνα ἕκαστον αὐτῶν. Καὶ ἐν μὲν τῇ τρίτῃ ὥρᾳ κατέβη τὸ Πνεῦμα τὸ ἅγιον, ἵνα φανερώσῃ τὰς τρεῖς ὑποστάσεις τῆς θεότητος· ἐξαίφνης δέ, ἵνα δείξῃ, ὅτι οἱ περιμένοντες τὴν τούτου κατάβασιν οὐκ εἶχον χρείαν ἑτοιμασίας, ἀλλ' ἦσαν καθαροὶ καὶ ἕτοιμοι πρὸς τὴν τούτου ὑποδοχήν. Ἐσήμαινε δὲ ὁ ἦχος τὴν τοῦ παναγίου Πνεύματος ἔλευσιν, καθὼς καὶ ἡ φωνὴ ἐφανέρωσεν εἰς τοὺς προπάτορας τὴν παρουσίαν τοῦ Θεοῦ, τοῦ ἐν τῷ παραδείσῳ περιπατοῦντος. Ἐκ τοῦ οὐρανοῦ δὲ ὁ ἦχος, ἵνα πληροφορηθῶσιν, ὅτι αὐτὸς ὁ εἰς τὸν οὐρανὸν ἀναληφθεὶς Ἰησοῦς, οὐρανόθεν κατέπεμψε τὸ Πνεῦμα τὸ ἅγιον, καθὼς εἰς αὐτοὺς ὑπέσχετο· καὶ ἦχος δὲ ὥσπερ πναῆς, ἐπειδὴ « Τὸ Πνεῦμα ὅπου θέλει πνεῖ » (7). Ἀλλὰ καὶ βιαίας πνοῆς, διὰ τὸ μεγαλεῖον τοῦ χαρίσματος, τὸ ἰσχυρότερον τῆς προφητικῆς χάριτος. Πληροῖ δὲ ὁ ἦχος ὅλον τὸν οἶκον, ὡς πεπληρωμένην κολυμβήθραν αὐτὸν ποιῶν, ἵνα ἐκπληρωθῇ ἡ πρόῤῥησις τοῦ Σωτῆρος, ὅστις εἶπεν· « Ὑμεῖς δὲ βαπτισθήσεσθε ἐν » Πνεύματι ἁγίῳ οὐ μετὰ πολλὰς ταύτας » ἡμέρας » (8). Ἅμα δὲ καὶ ἵνα προκαταγγείλῃ, ὅτι καθὼς τότε ἐπληρώθη θείας χάριτος ὅλος ὁ οἶκος, ἐν ᾧ ἦσαν καθήμενοι οἱ μαθηταί, οὕτω μετὰ ταῦτα ἔμελλε πληρωθῆναι τῶν χαρισμάτων τοῦ ἁγίου Πνεύματος ἡ οἰκουμένη, ὅπου αἱ τῶν εὐσεβῶν ἐκκλησίαι. Γλῶσσαι δὲ διαμεριζόμεναι ἐφάνησαν, τὸ πολύγλωσσον σημαίνουσαι χάρισμα, ὅπερ ἔλαβεν ἕκαστος τῶν μαθητῶν τοῦ Χριστοῦ, ἵνα κηρύττῃ τοῦ Θεοῦ τὰ μεγαλεῖα. Βλέπε δέ, ὅτι ἡ πολυγλωττία καὶ ποινὴ ἐγένετο καὶ δῶρον· καὶ ὅτε μὲν ἐγένετο ποινή, ἐμέρισε τοὺς ἀνθρώπους εἰς πολλὰ ἔθνη, καὶ πολλοὺς τόπους· ὅτε δὲ ἐδόθη ὡς δῶρον, συνήγαγε πάντα τὰ ἔθνη εἰς ἓν ἔθνος, τὸ χριστιανικόν, καὶ εἰς μίαν ἐκκλησίαν τὴν τοῦ Χριστοῦ. Καὶ διὰ μὲν τοῦ, « Ὡσεὶ πυρός », ἐφανέρωσε τὴν δραστικὴν ἐνέργειαν, καὶ τὴν λαμπρότητα τοῦ εὐαγγελικοῦ κηρύγματος· διὰ δὲ τοῦ, « Ἐκάθισεν ἐφ' ἕνα ἕκαστον αὐτῶν », τὸ μόνιμον καὶ στερεὸν τοῦ χαρίσματος. Σημείωσαι δὲ τὴν ἀκριβολογίαν τοῦ συγγραφέως, μᾶλλον δὲ τοῦ παναγίου Πνεύματος τοῦ δι' αὐτοῦ λαλοῦντος· οὐκ εἶπεν, ἦχος φερομένης πνοῆς βιαίας, ἀλλ' ἦχος ὥσπερ φερομένης πνοῆς βιαίας· ὁμοίως οὐκ εἶπε, γλῶσσαι πυρός, ἀλλὰ γλῶσσαι ὡσεὶ πυρός· ἵνα μὴ νομίσῃς, ὅτι τὸ Πνεῦμα τὸ ἅγιόν ἐστι πνοή, ἢ πῦρ, ἢ ἄλλο τι ὑλικόν, ἀλλὰ διὰ τῆς ὁμοιώσεως καταλάβῃς τὰ δι' αὐτῆς δηλούμενα μυστήρια. Παράβαλε δέ, ἐὰν θέλῃς, ταῦτα μετὰ τῶν ἐν τῷ Σινᾷ ὄρει γενομένων, ὅτε ὁ Θεὸς κατέβη ἐν αὐτῷ, ἵνα καταλάβῃς, ὅτι ὁ αὐτὸς Θεός ἐστι καὶ ὁ ἐν τῷ ὄρει τῷ Σινᾷ λαλήσας, καὶ ὁ ἐν τῷ ὑπερῴῳ, ἐν ᾧ ἦσαν οἱ μαθηταί, κατελθών. Ἐν τῷ Σινᾷ προκαταγγέλλεται ἡ ἡμέρα τῆς τοῦ Θεοῦ καταβάσεως, ἵνα ἑτοιμασθῶσιν οἱ ἀνέτοιμοι Ἰουδαῖοι· « Καὶ εἶπε τῷ » λαῷ, γίνεσθε ἕτοιμοι » (1)· ἐν τῷ ὑπερῴῳ ἐξαίφνης ἡ ἔλευσις τοῦ ἁγίου Πνεύματος, ἐπειδὴ οἱ τοῦ Χριστοῦ μαθηταὶ ἦσαν ἕτοιμοι πρὸς τὴν ὑποδοχὴν τῶν θείων αὐτοῦ χαρισμάτων. Ἐκεῖ τῇ ἡμέρᾳ τῇ τρίτῃ, ᾧδε τῇ ὥρᾳ τῇ τρίτῃ, διὰ τὸ τῆς θεότητος τρισυπόστατον· ἀλλ' ἐκεῖ, γεννηθέντος πρὸς » ὄρθρον » (2), ἤγουν εἰς τὴν ἀρχὴν τῆς ἡμέρας, ἐπειδὴ τότε ἐγένετο ἡ ἀρχὴ τῆς ἐγγράφου νομοθεσίας· ᾧδε δὲ ἐγγὺς τῆς μεσημβρινῆς ὥρας, ἐπειδὴ φωταυγῶς ἐξέλαμψε τοῦ Εὐαγγελίου τὸ κήρυγμα· ἐκεῖ φωναὶ καὶ σάλπιγξ ἠχεῖ μέγα διὰ τὸ σκληροκάρδιον τῶν ἀκουόντων Ἰουδαίων· ᾧδε ἦχος οὐχὶ πνοῆς βιαίας, ἀλλ' ὥσπερ φερομένης πνοῆς βιαίας, ἐπειδὴ κατὰ τὸν τοῦ προφήτου λόγον, σάρκιναι καρδίαι ἀντὶ τῶν λιθίνων ἐδόθησαν εἰς τοὺς εἰς Χριστὸν πιστεύσαντας (3). Εἰς τὸ Σινᾶ νεφέλη γνοφώδης καὶ καπνός, « Σκιὰν γὰρ εἶχεν ὁ νόμος τῶν » μελλόντων ἀγαθῶν » (4)· εἰς τὸ ὑπερῷον γλῶσσαι λάμπουσαι ὡς πῦρ, ἐπειδὴ ἡ εὐαγγελικὴ διδασκαλία, περιάρασα τὸ κάλυμμα τοῦ νόμου, ἐφανέρωσε τὴν ἔννοιαν τῶν νομικῶν συμβόλων (5). Εἰς τὸ Σινᾶ ἀστραπαί, ἐπειδὴ αἱ ἀστραπαὶ φαίνονται μέν, πλὴν παρέρχονται, καθὼς ἐφάνησαν, πλὴν παρῆλθον τὰ τοῦ νόμου ἔθιμα· εἰς τὸ ὑπερῷον γλῶσσαι ὡσεὶ πυρὸς καθήμεναι, ἐπειδὴ ἡ εὐαγγελικὴ χάρις οὐ παρέρχεται, ἀλλ' εἰς αἰῶνας ἀπεράντους διαμένει. Ταῦτα οὕτως ᾠκονόμησεν ἡ ὑπερτάτη καὶ πάνσοφος τοῦ Θεοῦ πρόνοια, ἵνα βλέποντες τὴν ὁμοιότητα καὶ τὴν ἀναλογίαν τῶν συμβόλων τῆς ἐν τῷ Σινᾷ παρουσίας αὐτοῦ, καὶ τῆς ἐν τῷ ὑπερῴῳ ἐπιδημίας τοῦ παναγίου αὐτοῦ Πνεύματος, πιστεύωμεν, ὅτι εἷς καὶ ὁ αὐτὸς Θεός ἐστιν, ὁ καὶ εἰς τὸ Σινᾶ νομοθετήσας, καὶ εἰς τὸ ὑπερῷον δοὺς τοῦ

(1) Πράξ. 2, 1. (2) Αὐτ. 1. 13, 15. (3) Κύριλ. Ἱερ. ἐν Κατηχ. 16. (4) Πράξ 1, 2. (5) Αὐτ. 2, 2, 3.
(6) Αὐτ. 2, 15. (7) Ἰωάν. 3, 8. (8) Πράξ. 1, 5.



(1) Ἐξ. 19, 15. (2) Αὐτ. 16. (3) Ἰεζ. 11, 19. (4) Ἑβρ. 10, 1. (5) Γ'. Κορ. 3, 16.

θείου Πνεύματος τὰ χαρίσματα. Τούτων τῶν θείων χαρισμάτων τὴν ἔνδειξιν καὶ ἐνέργειαν περιγράφουσι τὰ ἑξῆς.

*Καὶ ἐπλήσθησαν ἅπαντες Πνεύματος ἁγίου, καὶ ἤρξαντο λαλεῖν ἑτέραις γλώσσαις, καθὼς τὸ Πνεῦμα ἐδίδου αὐτοῖς ἀποφθέγγεσθαι* (1).

Τό, ἐπλήσθησαν ἅπαντες Πνεύματος ἁγίου, σημαίνει, ὅτι οἱ θεῖοι Ἀπόστολοι, καὶ πάντες οἱ σὺν αὐτοῖς τότε εὑρεθέντες ἐν τῷ ὑπερῴῳ, οὐκ ἔλαβον μόνον τὸ χάρισμα τῶν γλωσσῶν, ἀλλὰ τὸ πλήρωμα πάντων τῶν χαρισμάτων τοῦ Παναγίου Πνεύματος· ἓν δὲ τούτων ἦν τῶν γλωσσῶν τὸ χάρισμα· τούτου δὲ ἐμνημόνευσεν ὁ μακάριος Λουκᾶς, ἐπειδὴ τοῦτο τότε εὐθὺς ἐφανερώθη, τὰ δὲ ἄλλα μετὰ ταῦτα. Ἤρξαντο, λέγει, εὐθὺς μετὰ τὴν κάθοδον τοῦ ἁγίου Πνεύματος λαλεῖν οὐ διὰ τῆς πατρικῆς αὐτῶν γλώσσης, ἀλλὰ δι' ἑτέρων διαλέκτων· «Ἐλάλουν δὲ καθὼς τὸ Πνεῦμα ἐδίδου αὐτοῖς», ἤγουν ἐκεῖνα τὰ λόγια ἐλάλουν, ὅσα ἔβαλλεν εἰς τὸ στόμα αὐτῶν τὸ Πνεῦμα τὸ ἅγιον. Ἰδοὺ οὖν ἐπληρώθη καὶ αὕτη ἡ προφητεία τοῦ Ἰησοῦ Χριστοῦ, ὅςις εἶπε περὶ τῶν πιστευσάντων εἰς αὐτόν· «Γλώσσαις λαλήσουσι καιναῖς» (2). Ἀλλ' ἆρά γε πάσας τὰς ἐν τῷ κόσμῳ διαλέκτους ἐλάλουν οἱ Ἀπόστολοι, ἤ τινας μόνον, ὅσαι δηλονότι ἀναγκαῖαι ἦσαν διὰ τοὺς ἐκεῖ εὑρεθέντας ἀκροατάς; Περὶ τούτου ἐσιώπησεν ὁ ἱστορικός. Ἐπειδὴ ὅμως πάντες οἱ ἐκεῖ τότε εὑρεθέντες, ἀκούοντες τοὺς Ἀποστόλους λαλοῦντας διὰ τῆς πατρικῆς γλώσσης ἑνὸς ἑκάστου αὐτῶν, ἐθαύμαζον, λέγοντες· «Καὶ πῶς ἡμεῖς ἀκούομεν ἕκαςος τῇ ἰδίᾳ διαλέκτῳ ἡμῶν, ἐν ᾗ ἐγεννήθημεν;» (3) φανερόν ἐστιν, ὅτι ἐλάλουν καὶ τὴν τῶν Πάρθων καὶ Μήδων καὶ Ἐλαμιτῶν, καὶ τὴν ἑλληνικήν, καὶ τὴν αἰγύπτιον, καὶ τὴν ῥωμαϊκήν, καὶ τὴν ἀραβικήν, καὶ πᾶσαν ἄλλην διάλεκτον, λαλουμένην καὶ ἐννοουμένην ὑπὸ τῶν τότε ἐκεῖ συναθροισθέντων. Οὐ μόνον δὲ τότε, ἀλλὰ καὶ μετὰ ταῦτα ἐλάλουν διαφόροις γλώσσαις, ὡς φαίνεται ἐν τῇ πρὸς Κορινθίους πρώτῃ ἐπιστολῇ τοῦ Παύλου (4). Οὐ μόνον δὲ οἱ Ἀπόςολοι ἔλαβον τοῦτο τὸ χάρισμα, ἀλλὰ μετ' αὐτοὺς καὶ ἄλλοι θεοφιλεῖς ἄνδρες ἔλαβον τοῦτο, ὡς μαρτυρεῖ ὁ ἐν ἁγίοις Εἰρηναῖος, λέγων, ὅτι ἤκουσε πολλοὺς ἀδελφοὺς ἐν τῇ ἐκκλησίᾳ ἔχοντας προφητικὰ χαρίσματα, καὶ διὰ τοῦ Πεύματος λαλοῦντας παντοδαπαῖς γλώσσαις (5).

*Ἦσαν δὲ ἐν Ἱερουσαλὴμ κατοικοῦντες Ἰουδαῖοι, ἄνδρες εὐλαβεῖς ἀπὸ παντὸς ἔθνους τῶν ὑπὸ τὸν οὐρανόν* (6).

Ὅσοι κατήγοντο ἐκ τοῦ γένους τῶν Ἰουδαίων, ἐκ προγόνων δὲ κατῴκουν εἰς ξενικοὺς τόπους, ἐκεῖνοι, κἂν Ἰουδαῖοι ἦσαν κατὰ τὸ γένος καὶ τὴν θρησκείαν, ἐλάμβανον ὅμως τὴν ὀνομασίαν ἐκ τοῦ τόπου τῆς κατοικίας αὐτῶν· ὅθεν ἐλέγοντο Πάρθοι, Μῆδοι, Ῥωμαῖοι, Ἀλεξανδρεῖς, Ἀντιοχεῖς (7). Τοὺς τοιούτους οὖν ὁ θεηγόρος Λουκᾶς πρῶτον μὲν ὠνόμασεν Ἰουδαίους ἐκ τοῦ γένους καὶ τῆς θρησκείας, ἔπειτα κατωτέρω Πάρθους, καὶ Μήδας, καὶ Ἐλαμίτας ἐκ τοῦ τόπου, ἐν ᾧ αὐτοὶ ἐκ προγόνων κατῴκησαν· ἐκ τούτων δέ τινες, ὅσους δηλαδὴ κατωτέρω ὀνομαςὶ ἐπαριθμεῖ, εὐλαβείᾳ τοῦ Μωσαϊκοῦ νόμου κινούμενοι, ἐλθόντες κατῴκησαν εἰς τὴν Ἱερουσαλὴμ (1), ἵνα ἐκεῖ ἑορτάζωσι κατὰ τοὺς τρεῖς καιροὺς τοῦ ἔτους τὰς τρεῖς ἑορτὰς τὰς ὑπὸ τοῦ νόμου διορισθείσας (2). Τοιοῦτοι οὖν εὐλαβεῖς Ἰουδαῖοι εὑρέθησαν κατοικοῦντες ἐν Ἱερουσαλὴμ κατ' ἐκείνην τὴν ἡμέραν τῆς Πεντηκοστῆς, ἐν ᾗ κατῆλθε τὸ Πνεῦμα τὸ ἅγιον ἐπὶ τοὺς Ἀποστόλους. Δυσπαράδεκτον δέ ἐστι τό, ὅτι αὐτοὶ ἦσαν «Ἀπὸ παντὸς ἔθνους τῶν ὑπὸ τὸν οὐρανόν»· διότι ἀσυγκρίτως περισσότερα ἦσαν τότε τὰ ἔθνη ἐκείνων τῶν ἐθνῶν, ὅσα ὁ Λουκᾶς ὀνομαστὶ ἀναφέρει· μήπως οὖν αὐτὸς ἀνεβίβασε τὸν νοῦν αὐτοῦ ἐπὶ τοὺς ἀρχηγοὺς πάντων τῶν ἐθνῶν, ἤγουν ἐπὶ τοὺς δέκα καὶ ὀκτὼ ἐγγόνους τοῦ Νῶε, ἰδὼν δὲ τότε ἐν Ἱερουσαλὴμ δέκα καὶ ὀκτὼ ἔθνη, ὧν τὰ ὀνόματα κατωτέρω ἠρίθμησε, διὰ τοῦτο εἶπε τό, «Ἀπὸ παντὸς ἔθνους τῶν ὑπὸ τὸν οὐρανόν;» Ἢ μήπως ἐλάλησε κατὰ τὸν κοινὸν τρόπον τοῦ λέγειν, ἡμεῖς πολλάκις ἀντὶ τοῦ, πολλὰ πράγματα, λέγομεν πάντα τὰ πράγματα· καὶ ἀντὶ τοῦ, πολλοὶ ἄνθρωποι, λέγομεν πάντες οἱ ἄνθρωποι. Βλέπομεν δέ, ὅτι καὶ ἡ Θεία Γραφὴ μετέρχεται τοὺς τοιούτους τρόπους· «Πάντες ἐξέκλιναν» (3), λέγει ὁ προφήτης Δαβίδ, ἀντὶ τοῦ πολλοὶ ἐξέκλιναν· Καί, «Ἀναβαίνουσιν ἕως τῶν οὐρανῶν καὶ καταβαίνουσιν ἕως τῶν ἀβύσσων» (4). Ὁ δὲ Εὐαγγελιστὴς Ἰωάννης εἶπεν· «Οὐδὲ αὐτὸν οἶμαι τὸν κόσμον χωρῆσαι τὰ γραφόμενα βιβλία» (5). Κατὰ τὸν αὐτὸν οὖν τρόπον καὶ ὁ θεῖος Λουκᾶς ἀντὶ τοῦ, πολλῶν ἐθνῶν, εἶπεν ἀπὸ παντὸς ἔθνους. Τί δὲ ἐποίησαν οἱ τοιοῦτοι Ἰουδαῖοι ἀκούσαντες τὸ τότε γενόμενον θαῦμα τῶν γλωσσῶν;

*Γενομένης δὲ τῆς φωνῆς ταύτης, συνῆλθε τὸ πλῆθος, καὶ συνεχύθη· ὅτι ἤκουον εἷς ἕκαστος τῇ ἰδίᾳ διαλέκτῳ λαλούντων αὐτῶν. Ἐξίσταντο δὲ πάντες καὶ ἐθαύμαζον, λέγοντες· πρὸς ἀλλήλους· οὐκ ἰδοὺ πάντες οὗτοί εἰσιν οἱ λαλοῦντες Γαλιλαῖοι; Καὶ πῶς ἡμεῖς ἀκούομεν ἕκαστος τῇ ἰδίᾳ διαλέκτῳ ἡμῶν, ἐν ᾗ ἐγεννήθημεν;* (6).

Ὅτε τὸ πολύγλωσσον πλῆθος τῶν ἐν Ἱερουσαλὴμ ἤκουσε ταύτην τὴν φωνήν, ἤγουν τὸν ἦχον τὸν ἐκ τοῦ οὐρανοῦ κατερχόμενον εἰς τὸν οἶκον, ἐν ᾧ ἦσαν οἱ μαθηταὶ τοῦ Χριστοῦ, τότε συνέδραμον πάντες ἐκεῖ, ἵνα μάθωσι, τί ἆρά γε ἠκολούθησεν. Ἐκεῖ δὲ ἐλθὸν τὸ πλῆθος, Συνεχύθη, λέγει, ἤγουν ἐταράχθη ὑπὸ τοῦ θάμβους, καθότι καθεὶς αὐτῶν ἤκουε τοὺς Ἀποστόλους λαλοῦντας τὴν πατρικὴν αὐτοῦ διάλεκτον· καὶ πρῶτον μὲν ἐταράχθη ὁ νοῦς αὐτῶν ἐπὶ τῷ παραδόξῳ ἀκούσματι, ἔπειτα δὲ θάμβος καὶ ἔκστασις περιέλαβεν αὐτούς· ἠρώτα δὲ ὁ εἷς τὸν ἕτερον, λέγων· οὗτοι οἱ ἄνθρωποι, οἵτινες λαλοῦσι διὰ τοσούτων διαφόρων διαλέκτων, οὐκ εἰσὶ πάντες Γαλιλαῖοι, ἤγουν ἀμαθεῖς τῶν γλωσσῶν ἡμῶν; πῶς οὖν ἕκαστος ἡμῶν ἀκούει ἀπὸ τοῦ στόματος αὐτῶν τὴν ἰδίαν αὐτοῦ διάλεκτον;

*Πάρθοι καὶ Μῆδοι καὶ Ἐλαμῖται, καὶ οἱ κατοικοῦντες τὴν Μεσοποταμίαν, Ἰουδαίαν τε καὶ Καππαδοκίαν, Πόντον καὶ τὴν Ἀσίαν, Φρυγίαν τε*

(1) Πράξ. 2, 4. (2) Μάρκ. 16. (3) Πράξ. 2, 8. (4) Α'. Κορ. 12, (5) Εἰρην. 6, 5. κ. 6. σ. 299.
(6) Πράξ. 2, 5. (7) Ὅρ. Ἰώσηπ. 6, 2. σ. 1063.

(1) Ἐξ. 23, 14, 17. (2) Δευτ. 16, 16. (3) Ψαλμ. 13, 3. (4) Αὐτ. 106, 26. (5) Ἰωάν. 21, 25,
(6) Πράξ. 2, 6, 7, 8.

*καὶ Παμφυλίαν, Αἴγυπτον καὶ τὰ μέρη τῆς Λιβύης τῆς κατὰ Κυρήνην, καὶ οἱ ἐπιδημοῦντες Ῥωμαῖοι, Ἰουδαῖοί τε καὶ προσήλυτοι, Κρῆτες καὶ Ἄραβες ἀκούομεν λαλούντων αὐτῶν ταῖς ἡμετέραις γλώσσαις τὰ μεγαλεῖα τοῦ Θεοῦ* (1).

Εἰς τοῦτο τὸ πλῆθος, ἔλεγον αὐτοὶ μεταξὺ ἀλλήλων, εὑρίσκονται Πάρθοι, καὶ Μῆδαι, καὶ Ἐλαμῖται; καὶ οἱ οἰκήτορες τῆς Μετοποταμίας, τῆς Ἰουδαίας τε καὶ Καππαδοκίας, τοῦ Πόντου καὶ τῆς Ἀσίας, τῆς Φρυγίας καὶ Παμφυλίας, τῆς Αἰγύπτου καὶ τῶν μερῶν τῆς Λιβύης τῆς ἐν τῇ Κυρήνῃ· οὐ μόνον δὲ οἱ κατοικοῦντες εἰς τὴν Ἱερουσαλήμ, ἀλλὰ καὶ οἱ ἐλθόντες ξένοι Ῥωμαῖοι, καὶ Ἰουδαῖοι, καὶ προσήλυτοι, ἤγουν ἐξ ἐθνῶν πρὸς τὴν ἰουδαϊκὴν προσελθόντες πίστιν, καὶ οἱ Κρῆτες καὶ οἱ Ἄραβες· καὶ ὅμως πάντες ἀκούομεν αὐτοὺς τοὺς Γαλιλαίους λαλοῦντας διὰ τῶν ἡμετέρων γλωσσῶν τοῦ Θεοῦ τὰ μεγαλεῖα. Σὺ δὲ μὴ θαυμάσῃς ἀκούων, ὅτι εἰς τόσα μέρη τῆς γῆς διεσπαρμένοι ἦσαν οἱ Ἰουδαῖοι, συζῶντες μετὰ τοσούτων ἐθνικῶν, ἐξ ὧν καὶ τὰς ὀνομασίας ἐλάμβανον· διότι πολλοὺς μετεκόμισαν εἰς μὲν τὰ ἀνατολικὰ μέρη οἱ βασιλεῖς τῶν Ἀσσυρίων (2), τουτέστιν ὁ Θαγλαφαλλασάρ, καὶ ὁ Σαλμανασσάρ (3), καὶ ὁ βασιλεὺς τῆς Βαβυλῶνος Ναβουχοδονόσορ (4)· εἰς δὲ τὴν Αἴγυπτον ὁ Νεχαώ, ὁ βασιλεὺς τῆς Αἰγύπτου· « Καὶ πᾶς ὁ λαὸς » δὲ ἀπὸ μικροῦ ἕως μεγάλου, καὶ οἱ ἄρ» χοντες τῶν δυνάμεων κατέφυγον εἰς τὴν » Αἴγυπτον, διὰ τὸν φόβον τῶν Χαλδαί» ων » (5). Πολλοὶ δὲ καὶ εἰς τὰ δυτικὰ μέρη ἐλθόντες κατῴκησαν εἰς τὴν Ῥώμην, ἐξότου οἱ Ῥωμαῖοι ὑπέταξαν αὐτούς. Θαύμασον δὲ μᾶλλον τὴν εὐσπλαγχνικὴν τοῦ Θεοῦ πρόνοιαν, ἥτις ᾠκονόμησεν, ἵνα τοσοῦτον πλῆθος ἀνθρώπων ἑτερογλώσσων εὑρεθῇ τότε εἰς τὴν Ἱερουσαλήμ, καὶ συντρέξῃ εὐθὺς εἰς τὸν οἶκον; ὅπου ἦσαν καθήμενοι οἱ μαθηταὶ τοῦ Χριστοῦ, καὶ ἀκούσῃ τὸ παράδοξον θαῦμα, ἤγουν ἀνθρώπους ἀγραμμάτους, λαλοῦντας διὰ τοσούτων διαφόρων γλωσσῶν. « Ἐκ τούτου δὲ καὶ ἐπί» στευσαν ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, καὶ ἐβαπτί» σθησαν ψυχαὶ ὡσεὶ τρισχίλιαι » (6).

(1) Πράξ. 2, 9, 10, 11. (2) Α΄. Παραλ. 5, 26. (3) Δ΄. Βασ. 18, 11. (4) Αὐτ. 24, 14. (5) Αὐτ. 23, 34 καὶ 25, 26. (6) Πράξ. 2, 41.



# ΟΜΙΛΙΑ

ΜΕΤΑ ΤΑΣ

# ΠΡΑΞΕΙΣ ΤΩΝ ΑΠΟΣΤΟΛΩΝ

## ΤΑΣ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΑΣ ΤΗι ΚΥΡΙΑΚΗι ΤΗΣ ΠΕΝΤΗΚΟΣΤΗΣ.

ΗΧΟΣ ἐκ τοῦ οὐρανοῦ κατέρχεται, καὶ γλῶσσαι ὡσεὶ πυρὸς διαμερίζονται· αἱ γλῶσσαι κάθηνται ἐφ᾽ ἕνα ἕκαστον τῶν μαθητῶν, οἱ δὲ μαθηταὶ πληροῦνται Πνεύματος ἁγίου· ἐμφανίζει δὲ τὸ Πνεῦμα τὸ ἅγιον τὴν ἐνέργειαν αὐτοῦ διὰ τῆς πολυγλώσσου λαλιᾶς τῶν μαθητῶν, ἥτις θάμβος καὶ ἔκστασιν προεξένησεν εἰς τοὺς ἀκούοντας, καὶ εἵλκυσεν ἐξ αὐτῶν πολλοὺς πρὸς τὴν εἰς Χριστὸν πίστιν. Ταῦτα ἐκήρυξε σήμερον ἡ ἀναγνωσθεῖσα τῶν Ἀποστόλων πρᾶξις· ταῦτα δέ, ὡς παραστατικὰ τῆς καταβάσεως τοῦ Παναγίου Πνεύματος, ἀναβιβάζουσι τὸν νοῦν ἡμῶν ἐκεῖ, ὅθεν αὐτὸ κατῆλθε, καὶ ὑπερυψοῦσιν « Ἕως τοῦ θρόνου τῆς μεγα» λωσύνης ἐν τοῖς ὑψηλοῖς » (1). Ἐκεῖ οὖν ἀναβιβάζω τὸν νοῦν μου, καὶ κλίνω μὲν εὐλαβείας γόνατα, ἀνοίγω δὲ τῆς πίστεώς μου τὰ ὄμματα. Διὸ βλέπω ἐκεῖ μίαν τρισυπόστατον ἀρχὴν ὑπεράρχιον, ἄναρχον, ἀτελεύτητον, ἀπαθεστάτην, πανυπεράγαθον, παντοδύναμον, δημιουργὸν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων· τὸν πατέρα, ἀρχὴν καὶ πηγὴν καὶ γεννήτορα τοῦ υἱοῦ, ἀρχὴν καὶ πηγὴν καὶ προβολέα τοῦ Πνεύματος· ἐκ μιᾶς ῥίζης τοῦ πατρὸς δύω βλαστούς, τὸν υἱὸν καὶ τὸ Πνεῦμα, ἔχοντας πάντα, ὅσα ἔχει ὁ Πατήρ, πλὴν τοῦ ἀγεννήτου καὶ ἀνεκπορεύτου. Διότι μόνος ὁ πατὴρ ἀγέννητος καὶ ἀνεκπόρευτος, ὁ δὲ υἱὸς καὶ τὸ Πνεῦμα ἐκ μόνου τοῦ πατρός, ὁ μὲν γεννητός, τὸ δὲ ἐκπορευτόν· βλαστοὶ συνάναρχοι, συναΐδιοι, ὁμοούσιοι, ὁμοδύναμοι, συνδημιουργοί, συμπαντοκράτορες, συμπροσκυνούμενοι τῷ πατρὶ καὶ συλλατρευόμενοι· διότι εἷς Θεός, μία οὐσία τῶν τριῶν, μία φύσις, μία δύναμις, μία ἐνέργεια, μία θεότης· Θεὸς ὁ Πατήρ, Θεὸς ὁ Υἱός, Θεὸς τὸ Πνεῦμα τὸ ἅγιον, εἷς δὲ μόνον Θεὸς τρισυπόστατος.

Ἀλλὰ πῶς, λέγεις, ἓν καὶ τρία; πῶς δὲ ἓν ὁ Πατὴρ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα, σαρκοῦται δὲ ὁ Υἱός, καὶ μένει ἄσαρκος ὁ Πατὴρ καὶ τὸ Πνεῦμα; πῶς ἓν τὰ τρία, μόνον δὲ τὸ Πνεῦμα πέμπεται, καὶ κάθηται ἐφ᾽ ἕνα ἕκαστον τῶν μαθητῶν, καὶ πληροῖ αὐτοὺς τῆς θείας αὐτοῦ χάριτος; Ἐγὼ εἶπα, ὅτι ἀνοίξας τὰ ὄμματα τῆς πίστεώς μου, εἶδον ταῦτα, σὺ δὲ ζητεῖς μοι τὸ πῶς; ἐγὼ ἐπίστευσα εἰς τῶν ἁγίων προφητῶν τὰ λόγια, καὶ εἰς τῶν θεηγόρων Ἀποστόλων τὸ κήρυγμα· « Ἐπίστευσα, διὸ ἐλάλησα » (2),

(1) Ἑβρ. 1, 3. (2) Ψαλμ. 115, 1.

σὺ δὲ ζητεῖς παρ' ἐμοῦ ἀπόδειξιν; Ὡς φαίνεται, οὐ διακρίνεις, ὅτι ἄλλο ἐστὶν ἡ πίστις, καὶ ἄλλο ἡ ἀπόδειξις, ἡ πίστις οὐδὲ τὸν νοῦν ἀναγκάζει, οὐδὲ τὴν θέλησιν βιάζει. Ὅθεν, ἀφ' οὗ ἀκούσῃς τὸν λόγον τῆς πίςεως, ποιεῖς ὅ,τι θέλεις, ἢ πιστεύεις καὶ σώζεσαι, ἢ ἀπιστεῖς καὶ καταδικάζεσαι· ἡ ἀπόδειξις ἀναγκάζει τὸν νοῦν, ἵνα πεισθῇ, καὶ ἑπομένως ἁρπάζει τὴν ἐξουσίαν τῆς θελήσεως· διὰ τοῦτο μετὰ τὴν ἀπόδειξιν κἂν θέλῃς, κἂν μὴ θέλῃς πείθεσαι· διὰ τοῦτον δὲ τὸν λόγον οἱ πειθόμενοι ὑπὸ τῆς ἀποδείξεως, οὐδένα μισθὸν παρὰ Θεοῦ λαμβάνουσι. Ποῖον μισθὸν λαμβάνει ὅστις ἢ μετὰ τὴν γεωμετρικὴν ἀπόδειξιν καταπεισθῇ, ὅτι αἱ τρεῖς γωνίαι παντὸς τριγώνου ἴσαι εἰσὶ δυσὶν ὀρθαῖς· ἢ μετὰ τὴν ἀστρονομικήν, ὅτι ἡ τοῦ ἡλίου ἔκλειψίς ἐστι παρέμπτωσις τῆς σελήνης μεταξὺ ἡλίου καὶ γῆς· ἢ μετὰ τὴν φυσικήν, ὅτι πάντα τὰ σώματα φέρονται πρὸς τὸ κέντρον τῆς γῆς· ἢ μετὰ τὴν ἱστορικήν, ὅτι ὁ Αὔγουστος ἐμονάρχησεν εἰς τὴν Ῥώμην· ἢ μετὰ τὴν ἠθικήν, ὅτι πάντες οἱ ἄνθρωποί εἰσιν ἐπιῤῥεπεῖς ἐπὶ τὰ πονηρά; Οὐδένα μισθὸν λαμβάνεις περὶ τῶν τοιούτων πληροφοριῶν· ἐπειδὴ δὲ τὰ πιστευόμενα ὡς ὑπερφυῆ καὶ ὑπερούσια οὐκ ἐπιδέχονται ὑλικὰς ἀποδείξεις, διὰ τοῦτο ὅστις πιστεύσει, ἐκεῖνος γίνεται μακάριος· « Μακάριοι οἱ μὴ ἰδόντες καὶ πιστεύσαντες » (1). Μακάριοι, ἐπειδὴ οὐκ ἀναγκαστικῶς, ἀλλ' ἐθελουσίως ἐπίστευσαν. Ἐὰν ἡ ἀπόδειξις ἔπειθέ με πιστεῦσαι, ἐπίστευον ἀναγκαστικῶς, καὶ οὐχὶ προαιρετικῶς. Ὅθεν οὐδένα μισθὸν ἐλάμβανον διὰ τὴν πίστιν μου.

Ἀλλὰ πῶς δύναμαι, λέγεις, πιστεῦσαι ὅσα φαίνονται ἀντικείμενα εἰς τὴν διάκρισιν τοῦ νοός μου; τρία καὶ ἕν, τοῦτο εἰς τὸν νοῦν μου οὐ χωρεῖ· πιστεύω, ὅτι οὐ χωρεῖ· διότι οὐδὲ μικρὸν σκεῦος χωρεῖ τὴν θάλασσαν. Ὁ νοῦς σου πολλὰ μικρός, ἡ θεότης ἄπειρος, ἑπομένως οὐ χωρεῖ εἰς τὸν νοῦν σου· ἀλλὰ τί συμπεραίνεις ἐκ τούτου; συμπεραίνεις, ὅτι οὐκ ἔστι Θεὸς τρισυπόστατος, ἐπειδὴ οὐ χωρεῖ εἰς τὸν νοῦν σου; λοιπὸν οὐκ ἔστιν οὐδὲ θάλασσα, ἐπειδὴ οὐ χωρεῖ εἰς μικρὸν σκεῦος· ἀκούεις παραλόγημα; εἰπέ μοι δὲ σύ, ὅστις θέλεις κατανοῆσαι τὰ ἄπειρα καὶ ἀόρατα, καταλαμβάνεις ἆρά γε τὰ μικρὰ καὶ ὑποπίπτοντα εἰς τὰς αἰσθήσεις σου; ἀναρίθμητα αἰσθητὰ πράγματα οὐ χωροῦσιν εἰς τὸν νοῦν ἡμῶν, ἀλλὰ τί ἐκ τούτου; ἆρά γε οὐχ ὑπάρχουσιν, ἐπειδὴ ἡμεῖς οὐ καταλαμβάνομεν αὐτά, ἡμεῖς οὐ κατανοοῦμεν πρὸς τοῖς ἄλλοις, οὐδὲ τό, πῶς βλέπομεν, οὐδὲ τό, πῶς ἀκούομεν, οὐδὲ τό, πῶς ὀσφραινόμεθα, οὐδὲ τό, πῶς γευόμεθα, οὐδὲ τό, πῶς ψηλαφῶμεν, κἂν πολλὰ περὶ τούτου λέγωσι καὶ οἱ παλαιοὶ καὶ οἱ νέοι φυσιολόγοι· καταλαμβάνεις ἆρά γε πῶς τοῦτο φαίνεταί σοι μέλαν, ἐκεῖνο λευκόν, τοῦτο ἐρυθρόν, τὸ ἄλλο ποικιλόχρωον; καταλαμβάνεις τό, πῶς οὗτος μὲν ὁ ἦχος τέρπει σε, ἐκεῖνος δὲ ἀηδιάζει σε; ἢ πῶς διακρίνεις τὰς φωνὰς καὶ τοὺς τόνους καὶ τῆς φωνῆς τὰ σχήματα; καταλαμβάνεις τό, πῶς τοῦτο φέρει σοι αἴσθησιν εὐωδίας, ἐκεῖνο δὲ δυσωδίας, ἢ πῶς διακρίνεις πᾶσαν ὀσμὴν εἰδικῶς; κατανοεῖς τό, πῶς διακρίνεις τὸ γλυκύ, τὸ πικρόν, τὸ ἁλμυρόν, τὸ ὀξύ, τὸ στυφνόν; ἢ πῶς αἰσθάνεσαι τὸ σκληρόν, τὸ τραχύ, τὸ ἁπαλόν, τὸ λεῖον, τὸ στερεόν, τὸ ῥευστόν; καὶ ὅμως θέλεις κατανοῆσαι τὰ ὑπὲρ τὴν φύσιν καὶ τὴν αἴ-

(1) Ἰωάν. 20, 29.



σθησιν, καὶ προσκλαίεσαι, ὅτι ὁ νοῦς σου οὐ χωρεῖ τό, πῶς ὁ Θεός ἐςιν εἷς τρισυπόςατος.

Ἀλλὰ διὰ τί τοῦτο ἀντίκειται εἰς τὸ διακριτικὸν τοῦ νοός σου; ἆρά γε διότι αὐτὸς ἐσυνείθισε κρίνειν, ὅτι τὰ τρία εἰσὶ τρία, καὶ τὸ ἓν ἐστιν ἕν; ἐὰν ἡμεῖς ἐπιστεύομεν, ὅτι αἱ τρεῖς ὑποστάσεις εἰσὶ μία ὑπόστασις, καὶ ἡ μία οὐσία εἰσὶ τρεῖς οὐσίαι, τότε τοῦτο ἦν ἐναντίον εἰς τὴν συνήθειαν τοῦ νοός σου· ἀλλ' ἡμεῖς πιστεύομεν, ὅτι αἱ τρεῖς ὑποστάσεις εἰσὶ τρεῖς ὑποστάσεις, καὶ ἡ μία οὐσία, μία οὐσία· οὗτος δέ ἐστιν ὁ ἐν μιᾷ τῇ οὐσίᾳ τρισυπόστατος Θεός, εἰς ὃν πιστεύομεν, καὶ ᾧ λατρεύομεν. Ἰδοὺ καὶ ἀμυδρὰ τούτου εἰκὼν καὶ παράδειγμα· νοῦς, λόγος, θέλησις, εἰσὶ τρία, αὐτὰ δὲ τὰ τρία ἔχουσι μίαν οὐσίαν τὴν τοῦ ἀνθρώπου. Λόγος ἐνδιάθετος, προφορικός, γραπτός, εἰσὶ τρία, μίαν ὅμως ἔχουσι φύσιν, τὸν λόγον.

Ὁμοίως οὐδὲ ἡ σάρκωσις τοῦ Υἱοῦ, καὶ τὸ ἄσαρκον τοῦ Πατρὸς καὶ τοῦ Πνεύματος. οὐδὲ ἡ πέμψις μόνου τοῦ ἁγίου Πνεύματος πρὸς τὴν διανομὴν τῶν χαρισμάτων αὐτοῦ, εἰσὶν ἀλλήλοις ἐναντία. Ἐὰν ἐλέγομεν, ὅτι ὁ Υἱὸς ἐσαρκώθη, καὶ οὐκ ἐσαρκώθη, ὅτι τὸ Πνεῦμα ἐπέμφθη τοῖς μαθηταῖς καὶ οὐκ ἐπέμφθη, τότε ἦσαν ἐναντία, καὶ εἰς τὸν νοῦν ἀχώρητα· ἀλλ' ἡμεῖς κηρύττομεν ὅτι εὐδοκίᾳ τοῦ Πατρός, καὶ συνεργείᾳ τοῦ ἁγίου Πνεύματος ἐσαρκώθη ὁ Υἱός, ἔμεινε δὲ ἄσαρκος ὁ Πατὴρ καὶ τὸ Πνεῦμα· καί, ὅτι μόνον τὸ πανάγιον Πνεῦμα, τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον (1), εὐδοκίᾳ τοῦ Πατρὸς ἔπεμψεν ὁ Υἱὸς πρὸς τοὺς ἰδίους μαθητάς. Ταῦτα δὲ οὐδεμίαν ἔχουσι μετ' ἀλλήλων ἐναντιότητα· ἔχεις εἰκόνα καὶ περὶ τούτου, ἐὰν θέλῃς. Εἷς ἐστιν ὁ λόγος τοῦ ἀνθρώπου, καθὼς μία τῆς θεότητος ἡ οὐσία· τρία εἰσὶ τοῦ λόγου τὰ εἴδη, ἐνδιάθετος, προφορικός, γραπτός, καθὼς τρεῖς αἱ θεαρχικαὶ ὑποστάσεις, Πατήρ, Υἱός, Πνεῦμα. Ὅτε ὁ λόγος οὐ προφέρεται διὰ του στόματος, ἀλλὰ γράφεται εἰς τὸν χάρτην, τότε ὁ μὲν γραπτὸς εἰκονίζει τὸν σαρκωθέντα Υἱὸν καὶ Λόγον, ὁ δὲ ἐνδιάθετος καὶ ὁ ἀνεκφώνητος, τὸν ἄσαρκον Πατέρα καὶ τὸ ἄσαρκον Πνεῦμα. Ὅτε δὲ ὁ λόγος οὐ γράφεται, ἀλλ' ἐκπέμπεται ἐκ τοῦ στόματος, ἤγουν ἐκφωνεῖται, τότε ὁ μὲν ἐνδιάθετος εἰκονίζει τὸν μὴ πεμφθέντα Πατέρα, ὁ δὲ ἄγραπτος τὸν μὴ πεμφθέντα Υἱόν, ὁ δὲ ἐκφωνηθεὶς τὸ πρὸς τοὺς μαθητὰς πεμφθὲν πανάγιον Πνεῦμα.

Μὴ ζητῇς δὲ πληρεστάτην ἀκρίβειαν ἁρμοδιότητος εἰς τὰ παραδείγματα, ἐπειδὴ τοῦτό ἐστιν ἀδύνατον, καθότι οὐδὲν κτίσμα οὐδὲ ὑλικόν, οὐδὲ ἄϋλον, οὐδὲ ὁρατόν, οὐδὲ ἀόρατον, οὐδὲ ἐπίγειον, οὐδὲ οὐράνιόν ἐστι κατὰ πάντα ὅμοιον τῇ ὑπεραρχίῳ οὐσίᾳ τῆς θεότητος. Ὁ ἄνθρωπος, ὅστις ἐπλάσθη κατ' εἰκόνα Θεοῦ, γίνεται παράδειγμα πρὸς σκιώδη τινὰ ἑρμηνείαν τῶν περὶ τὸν Θεόν, ἀλλὰ τοσοῦτον ἀτελές, ὅσον ἀτελὴς ἀποδείκνυται ὁ ἄνθρωπος τῷ Θεῷ παραβαλλόμενος καὶ συγκρινόμενος. Ἀλλ' ὁ νοῦς ταῦτα οὐ χωρεῖ. ἀληθῶς οὐ χωρεῖ ταῦτα, ἐπειδή ἐστι στενός, ἐπειδὴ ζητεῖ ἀπόδειξιν φυσικὴν διὰ τὰ ὑπὲρ φύσιν, καὶ βεβαιότητα αἰσθητὴν διὰ τὰ ὑπὲρ τὴν αἴσθησιν. Οὐ χωρεῖ ταῦτα, ἐπειδὴ γλῶσσα ἀνθρώπου οὐ δύναται λαλῆσαι περὶ τούτων ἀξιοπρεπῶς· « Ἃ οὐκ ἐξὸν ἀνθρώπῳ λαλῆσαι » (2), οὐδὲ εὑρίσκομεν παράδειγμα ὅμοιον, ἀλλ' οὐδὲ λέξεις ἔχομεν σημαντικὰς τῶν τοιούτων πραγμάτων· « Βλέπο-

(1) Ἰωάν. 15, 26. (2) Β'. Κορ. 12, 4.

» μεν γὰρ ἄρτι δι' ἐσόπτρου ἐν αἰνίγμα-
» τι » (1), τότε δέ, ἤγουν ὅταν ἡ ψυχὴ ἀ-
πολυθῇ τῶν δεσμῶν τοῦ σώματος, « τότε
» ὀψόμεθα πρόσωπον πρὸς πρόσωπον· Ἄρ-
» τι γινώσκω ἐκ μέρους, τότε δὲ ἐπιγνώ-
» σομαι, καθὼς καὶ ἐπεγνώσθην ».

Ὁ νοῦς ταῦτα οὐ χωρεῖ ὡς δυσνόητα
καὶ ἀκατάληπτα, χωρεῖ ὅμως ἄλλα εὐκο-
λονόητα καὶ εὐκατάληπτα· ἀφ' οὗ δὲ ὁ νοῦς
κατανοήσῃ ταῦτα, τότε πιστεύει καὶ ὅσα
ἀχώρητα διδάσκει ἡ πίστις, πειθόμενος, ὅτι
οὐ καταλαμβάνει τὰ ὑψηλὰ τῆς πίστεως
μυστήρια διὰ τὴν ἰδίαν ἀδυναμίαν. Τίνος
ὁ νοῦς οὐ κατανοεῖ, ὅτι οἱ προφῆται καὶ οἱ
Ἀπόστολοι ἦσαν ἄνθρωποι ἅγιοι; μαρτυρεῖ
τοῦτο ὁ βίος καὶ ἡ πολιτεία αὐτῶν, μαρτυ-
ροῦσι τὰ θαύματα, τὰ ὑπ' αὐτῶν τελεσθέν-
τα, μαρτυρεῖ ἡ ἐκπλήρωσις τῶν ὑπ' αὐτῶν
προφητευθέντων καὶ προκαταγγελθέντων
ἔργων, μαρτυρεῖ τὸ πλῆθος τῶν ἱστορικῶν,
τῶν ταῦτα βεβαιωσάντων. Τίς δὲ οὐ κα-
ταλαμβάνει, ὅτι ἐὰν ἦσαν ἅγιοι, βέβαιον
καὶ ἀναμφίβολόν ἐστιν, ὅτι οὐδὲ ἀπαταιῶ-
νες ἦσαν, οὐδὲ πλάνοι, οὐδὲ ψεῦσται, οὐδὲ
ὑποκριταί; αὐτοὶ οὖν οἱ ἀπέχοντες ἀπὸ τῆς
ἀπάτης καὶ τοῦ ψεύδους, καὶ τῆς ὑποκρί-
σεως, ὅσον ἀπέχει ὁ οὐρανός ἀπὸ τῆς γῆς,
ἐμαρτύρησαν καὶ εἶπον, καὶ ἔγραψαν, ὅτι
εἶδον ὅσα ἡμεῖς πιστεύομεν.

Ἄκουσον οὖν τὸν μὲν προφήτην Ἡσαΐαν
μαρτυροῦντα καὶ λέγοντα, ὅτι εἶδε τὰ σύμ-
βολα τοῦ ἑνιαίου καὶ τρισυποστάτου κρά-
τους τῆς ὑπερουσίου θεότητος· « Καὶ ἐγέ-
» νετο, λέγει, τοῦ ἐνιαυτοῦ, οὗ ἀπέθανεν
» Ὀζίας ὁ βασιλεύς, εἶδον τὸν Κύριον κα-
» θήμενον ἐπὶ θρόνου ὑψηλοῦ, καὶ ἐπηρμέ-
» νου· καὶ πλήρης ὁ οἶκος τῆς δόξης αὐ-
« τοῦ » (2). Ἀκούεις; εἶδε, λέγει, τὸν Θεόν,
καθήμενον, τουτέστιν ἀμετάτρεπτον καὶ
ἀναλλοίωτον καὶ ἀμετάβλητον· ἐπὶ θρόνου
ὑψηλοῦ καὶ ἐπηρμένου. Τοῦτο δηλοῖ τὸ
πανυπέρτατον ὕψος, καὶ τὸ ὑπὲρ πᾶσαν
ἀρχὴν καὶ ἐξουσίαν ἄπειρον αὐτοῦ κράτος.
« Καὶ πλήρης ὁ οἶκος τῆς δόξης αὐτοῦ ».
Εἶπε, πλήρης, διὰ τὸ ὑπερβάλλον τῆς δό-
ξης· εἶπε, τῆς δόξης αὐτοῦ, ἐπειδὴ παρ' οὐ-
δενὸς δοξάζεται, ἀλλ' αὐτοδόξαστος ὤν,
οἰκείαν ἔχει τὴν ἄπειρον δόξαν· « Καὶ Σε-
» ραφίμ, λέγει, εἱστήκεισαν κύκλῳ αὐτοῦ,
» ἓξ πτέρυγες τῷ ἑνί, καὶ ἓξ πτέρυγες τῷ
» ἑνί· καὶ ταῖς μὲν δυσὶ κατεκάλυπτον τὸ
» πρόσωπον· ταῖς δὲ δυσὶ κατεκάλυπτον
» τοὺς πόδας· καὶ ταῖς δυσὶν ἐπέταντο » (3).
Καθ' ἓν τῶν Σεραφὶμ τριμερές ἐστιν· ἔχει
πρόσωπον, δηλοποιοῦν τὸν πατέρα· ἔχει
μέσον, ἐν ᾧ εἰσιν αἱ ἓξ πτέρυγες, εἰκονίζον
τὸν Υἱόν· ἔχει πόδας, σημαίνοντας τὸ Πνεῦ-
μα· ἔχει δὲ καὶ τρία ζεύγη πτερύγων· ὥστε
τὰ Σεραφὶμ δὶς δηλοποιοῦσι τὰς τρεῖς ὑ-
ποστάσεις τῆς θεότητος, ἧς περικυκλοῦσι
τὸν θρόνον· καλύπτουσι δὲ διὰ μὲν τῶν
δύω πτερύγων τῶν ἄνω τὸ πρόσωπον, διδά-
σκοντα, ὅτι ἀκατάληπτόν ἐστι τὸ ἄναρχον
τοῦ πατρός· διὰ δὲ τῶν δύω, τῶν κάτω
τοὺς πόδας, σημαίνοντα, ὅτι καὶ τὸ συνά-
ναρχον τοῦ πνεύματος ἐστιν ἀκατανόητον·
πετόμενα δὲ ἐφαπλοῦσι τὰς δύω, τὰς ἐν τῷ
μέσῳ, τυποῦντα, ὅτι ἐφανερώθη τὸ ὁμοού-
σιον τῆς θεότητος τοῦ Υἱοῦ διὰ τῆς αὐτοῦ
ἐνανθρωπήσεως. Βλέπε δέ, ὅτι τὸ μέσον
μέρος τῶν Σεραφὶμ ἐσήμαινε τὸν Υἱόν, ἐν
τῷ μέσῳ δὲ τῶν ὀνομάτων τῆς παναγίας
Τριάδος ἔθηκεν ὁ σωτὴρ τὸ ὄνομα τοῦ Υἱοῦ,
εἰπών· « Βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα

(1) Α'. Κορ. 13, 12. (2) Ἡσ. 6, 1. (3) Αὐτ. 2.



» τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου
» Πνεύματος (1). Καὶ ἐκέκραγε, λέγει ὁ Ἡ-
» σαΐας περὶ τῶν Σεραφίμ, ἕτερος πρὸς τὸν
» ἕτερον, καὶ ἔλεγον· ἅγιος, ἅγιος, ἅγιος
» Κύριος Σαβαώθ » (2). Τὸ τριμερὲς μόρ-
φωμα τῶν Σεραφίμ, καὶ τὰ τρία ζεύγη τῶν
πτερύγων αὐτῶν εἰσι δύο ἀποδείξεις τῶν
τριῶν τῆς θεότητος ὑποστάσεων, ἰδοὺ δὲ
καὶ τρίτη ὁ μυστηριώδης ὕμνος αὐτῶν.
Τρὶς ἐξεβόησαν τὸ ἐπίθετον, ἅγιος, ἅγιος,
ἅγιος, διὰ τὰς τρεῖς ὑποστάσεις· ἅπαξ δὲ
τὸ οὐσιαστικόν, Κύριος Σαβαώθ, διὰ τὸ
ἑνιαῖον τῆς οὐσίας τῆς θεότητος. Ἅγιος ὁ
Πατὴρ ὁ ἄναρχος, ἅγιος ὁ Υἱὸς ὁ συνάναρ-
χος, ἅγιος ὁ Παράκλητος ὁ ἀθάνατος, τὸ
Πνεῦμα τῆς ἀληθείας, τὸ ἐκ τοῦ Πατρὸς
ἐκπορευόμενον. Οὗτοι δὲ οἱ τρεῖς εἰσιν εἷς
Κύριος Σαβαώθ, ἤγουν ὁ εἷς Θεός· καὶ ταῦ-
τα μὲν εἶδε καὶ ἐμαρτύρησεν ὁ Ἡσαΐας.

Ὁ δὲ Εὐαγγελιστὴς Ἰωάννης λαμπρᾷ
τῇ φωνῇ μαρτυρῶν κηρύττει, ὅτι εἶδε τὸν
ἕνα τῶν τριῶν ἁγίων ὑποστάσεων, ἤγουν
τὸν μονογενῆ Υἱὸν καὶ Λόγον τοῦ Θεοῦ
σαρκωθέντα καὶ κατοικήσαντα ἐν ἡμῖν.
« Καὶ ὁ λόγος σὰρξ ἐγένετο, λέγει, καὶ ἐ-
» σκήνωσεν ἐν ἡμῖν· καὶ ἐθεασάμεθα τὴν δό-
» ξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρὰ Πα-
» τρός· πλήρης χάριτος καὶ ἀληθείας » (3).
Ἠκούσατε δὲ σήμερον καὶ τὸν Θεηγόρον
Λουκᾶν, ὅστις ὡς αὐτόπτης ἱστόρησε καὶ
τὴν ὀφθεῖσαν κατάβασιν, καὶ τὴν ἐνέργειαν
τῆς δωρεᾶς τοῦ παναγίου Πνεύματος. Ἐ-
πειδὴ οὖν οἱ μαρτυρήσαντες ταῦτά εἰσιν
ἄνθρωποι ἀληθινοί, αὐτόπται τῶν τοιούτων
πραγμάτων, ἀνυπόκριτοι, ἅγιοι· τὴν δὲ
ἀληθινὴν μαρτυρίαν αὐτῶν ἐβεβαίωσαν
διὰ πολλῶν θαυμάτων, διὰ τῆς ἐκχύσεως
τοῦ ἰδίου αἵματος· διὰ τῆς ἰδίας αὐτῶν
ζωῆς, ἀναμφίβολόν ἐστιν, ὅτι τὰ ὑπ' αὐτῶν
διδαχθέντα εἰσὶν ἀληθινά, βέβαια καὶ ἀναν-
τίῤῥητα. Πίστευε οὖν εἰς ὅσα αὐτοὶ ἐδίδα-
ξαν, καὶ τοῦτο ἀρκεῖ πρὸς σωτηρίαν σου.

Ὅστις βλέπει τοῦ ἡλίου τὰς ἀκτῖνας,
ἐκεῖνος φωτίζεται, ὅστις δὲ ἀτενίζει τὰ ὄμ-
ματα εἰς αὐτὸν τὸν ἥλιον, ἐκεῖνος σκοτίζε-
ται· ἀκτῖνες τῆς τρισηλίου θεότητός εἰσιν
αἱ θεόσδοτοι γραφαί· ὅσον μελετᾷς τὰ ἐν
αὐταῖς θεῖα λόγια, τόσον καὶ ὁ νοῦς σου
φωτίζεται εἰς τὴν χωρητὴν κατανόησιν τῶν
θείων πραγμάτων, καὶ ἡ καρδία σου θερ-
μαίνεται ὑπὸ τοῦ ἔρωτος τῆς εὐσεβοῦς πί-
στεως. Ἐὰν δὲ προσηλώσῃς τὸν νοῦν ἵνα
καταλάβῃς τοῦ Θεοῦ τὰ ἀπόκρυφα, τότε
καὶ ὁ νοῦς σου σκοτίζεται, καὶ ἡ καρδία
σου ψυχραίνεται, καὶ ἡ διάνοιά σου πίπτει
εἰς τὴν ἀπιστίαν. Ὅστις στοχασθῇ τί πα-
ρήγγειλεν ὁ Θεὸς εἰς τὸν Μωϋσῆν ἐπάνω
εἰς τὸ ὄρος τὸ Σινᾶ, ἐκεῖνος βλέπει τὴν βε-
βαίωσιν τούτου τοῦ λόγου· « Καὶ εἶπεν ὁ
» Θεὸς πρὸς τὸν Μωϋσῆν, λέγων· καταβὰς
» διαμάρτυραι τῷ λαῷ μήποτε ἐγγίσωσι
» πρὸς τὸν Θεὸν κατανοῆσαι, καὶ πέσωσιν
» ἐξ αὐτῶν πλῆθος » (4).

Οὐ ζητεῖ παρ' ἡμῶν ὁ Θεός, ἵνα μάθω-
μεν πῶς αὐτός ἐστιν ἓν καὶ τρία, ἢ πῶς
ἐσαρκώθη ὁ Υἱός, ἢ πῶς κατῆλθε τὸ Πνεῦ-
μα τὸ ἅγιον, ἢ πῶς ἐτελειώθησαν τὰ λοι-
πὰ μυστήρια τῆς πίστεως, ἀλλὰ θέλει, ἵνα
πιστεύσωμεν, ὅτι ταῦτά εἰσιν ἀληθῆ, πι-
στεύσαντες δὲ σωθῶμεν· πίστεώς ἐστι χρεία,
καὶ οὐχὶ ἐπιστήμης εἰς τὰ θεῖα πράγματα·
τὸ φῶς δὲ τὸ ὁδηγοῦν εἰς ταύτην τὴν πί-
στιν, εἰσὶν αἱ θεῖαι γραφαί. Αὗταί εἰσιν αἱ
ἀκτῖνες τοῦ θείου φωτός· ἡ τούτων μελέτη

(1) Ματθ. 28, 19. (2) Ἡσ. 6, 3. (3) Ἰωάν. 1, 14. (4) Ἔξοδ. 19, 21.

φωτίζει τὸν νοῦν, ἵνα κατανοήσῃ τὰ πιστευόμενα, ὅσον δυνατόν ἐστιν εἰς τὴν ἀνθρώπινον φύσιν· ἡ τούτων μελέτη οὐ μόνον ὁδηγεῖ πρὸς τὴν πίστιν, ἀλλὰ καὶ διδάσκει, ποία ἐστιν ἡ σωτηριώδης πίστις· αὐτὴ διερμηνεύει, ποία ἐστὶν ἐκείνη ἡ πίστις, περὶ ἧς ὁ Κύριος εἶπεν· « Ὁ πιστεύσας καὶ βαπτισθεὶς σωθήσεται » (1). Αὐτὴ ἡ μελέτη διδάσκει σε, ὅτι ἡ σωτηριώδης πίςις, ἐστὶν ἡ πίστις, ἡ δι' ἀγάπης ἐνεργουμένη. Ὅταν μελετᾷς τὰς θείας γραφάς, τότε βλέπεις, ὅτι ἡ τοιαύτη πίστις ἐστὶν ἀναγκαία διὰ τὴν σωτηρίαν σου, οὐχὶ δὲ ἡ κατανόησις τῶν ἀποκρύφων· εἰς τὰς θείας γραφὰς βλέπεις, ὅτι οὐκ εἶπεν ὁ Θεός, ὁ μὴ κατανοήσας κατακριθήσεται· ἀλλ' « Ὁ μὴ πιστεύσας, εἶπε, κατακριθήσεται » (2). Διὰ τοῦτο ἀνάγκην ἔχεις, οὐχὶ τῆς κατανοήσεως τῶν μυστηρίων, ἀλλὰ τῆς πίστεως τῶν ὑπὸ τοῦ Θεοῦ διδασκομένων· κατανόησιν τῶν μυστηρίων οὐ ζητεῖ παρὰ σοῦ ὁ Θεός, ἐπειδὴ γνωρίζει, ὅτι ἐστὶν ὑψηλοτέρα τῆς δυνάμεως τοῦ νοός σου· διὸ εἷς τῶν ἁγίων ἀνδρῶν συμβουλεύει σοι, ἵνα ἀπέχῃς ἀπ' αὐτῆς· « Χαλεπώτερά σου, λέγει, μὴ ζήτει, καὶ ἰσχυρώτερά σου μὴ ἐξέταζε. Ἃ προσετάγη σοι, ταῦτα διανοοῦ » (3). Τό, πίστευσον, προσετάγη σοι, ὡς ἀναγκαῖον πρὸς τὴν σωτηρίαν σου· τό, ἐξέτασον τὰ μυστήρια, οὐκ ἐδιωρίσθη σοι, ἐπειδὴ οὐκ ἔχεις τούτου χρείαν. Οὐ γάρ ἐστί σοι χρεία τῶν κρυπτῶν.

# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΗΝ ΠΡΟΣ

## ΕΒΡΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

### ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗι Α'. ΚΥΡΙΑΚΗι ΕΝ Ηι ΚΑΙ Η ΕΟΡΤΗ ΤΩΝ ΑΓΙΩΝ ΠΑΝΤΩΝ.

ΛΑΜΠΡΑ καὶ ἔνδοξος πανήγυρις σήμερον, ἀδελφοί, καὶ εὐλογίας καὶ χάριτος Θεοῦ πεπληρωμένη. οὐχὶ ἑνός, ἀλλὰ πάντων τῶν πρὸ νόμου δικαίων, καὶ τῶν ἐν νόμῳ προφητῶν, καὶ τῶν μετὰ τὴν εὐαγγελικὴν χάριν Ἀποστόλων, μαρτύρων, ὁμολογητῶν, ἱεραρχῶν, ὁσίων, καὶ πάντων τῶν ἀπ' ἀρχῆς κόσμου ἄχρι τῆς σήμερον τῷ Θεῷ εὐαρεστησάντων ἀνδρῶν τε καὶ γυναικῶν, γνωστῶν καὶ ἀγνώστων, πάντων ὁμοῦ τὴν μνήμην σήμερον εὐσεβῶς πανηγυρίζοντες, λαμβάνομεν διὰ τῆς πρεσβείας αὐτῶν τὴν τοῦ Θεοῦ χάριν καὶ εὐλογίαν· σήμερον δὲ ἀνεγνώσθη καὶ ἡ περικοπὴ τῆς πρὸς Ἑβραίους ἐπιστολῆς τοῦ Παύλου, ἡ καθιστοροῦσα τῶν ἁγίων τὰ κατορθώματα, εἰς δόξαν μὲν καὶ ἔπαινον αὐτῶν, προτροπὴν δὲ ἡμῶν πρὸς μίμησιν τῶν θεαρέστων αὐτῶν ἔργων.

(1) Μάρκ. 18, 16. Γαλ. 5, 6, (2) Μάρκ. 16, 16. (3) Σειρ. 3, 21, 22.



Τὴν ἐπιστολὴν ταύτην ἐν τῇ Ἰταλίᾳ εὑρισκόμενος ὁ πανένδοξος Παῦλος ἔγραψε πρὸς πάντας τοὺς εἰς Χριστὸν πιστεύσαντας Ἑβραίους (1), ἐξόχως δὲ πρὸς τοὺς κατοικοῦντας εἰς τὴν Ἱερουσαλὴμ καὶ εἰς ὅλην τὴν Παλαιστίνην, παρηγορῶν αὐτοὺς ὑπὲρ τῶν μεγάλων διωγμῶν καὶ τῆς καταδυναςείας, ὅσην ἔπασχον ἐκεῖ ὑπὸ τῶν μὴ πιστευσάντων Ἑβραίων, ἅμα δὲ καὶ δι' ἰσχυρῶν ἐπιχειρημάτων ἀποδεικνύων, ὅτι κατηργήθησαν πάντα τὰ τοῦ νόμου σκιώδη, ἀντ' αὐτῶν δὲ εἰσήχθη ἡ χάρις τοῦ Ἰησοῦ Χριστοῦ, καὶ ἡ ὑπ' αὐτῶν προτυπωθεῖσα εὐαγγελικὴ ἀλήθεια. Τὸ ὕψος τῶν νοημάτων, τὸ κάλλος τῆς φράσεως, ἡ συνθήκη τῶν ὀνομάτων, ἡ ἰσχυρότης τῶν ἐν αὐτῇ ἀποδείξεων, δισταγμὸν προεξένησαν εἰς διαφόρους, καὶ μάλιστα εἰς τοὺς δυτικοὺς περὶ τοῦ συγγραφέως αὐτῆς· ἄλλοι μὲν ἐνόμιζον, ὅτι ἐστὶ ποίημα τοῦ Λουκᾶ, ἄλλοι δὲ τοῦ Βαρνάβα, ἄλλοι δὲ τοῦ λογίου Ἀπολλώ, καὶ ἄλλοι τοῦ Ῥώμης Κλήμεντος. Κατὰ τὸν τέταρτον ὅμως ἀπὸ Χριστοῦ αἰῶνα πάντες, καὶ αὐτοὶ οἱ τῆς δυτικῆς ἐκκλησίας πατέρες, ἐπείσθησαν ὑπὸ τῶν ἰσχυρῶν νικηθέντες ἀποδείξεων, ὅτι ἐστὶ γνήσιον σύγγραμμα τοῦ Παύλου. Ἔκτοτε δὲ πᾶσαι αἱ ἐκκλησίαι συμφώνως πιστεύουσιν, ὅτι ὁ Παῦλος ἑλληνιστὶ αὐτὴν συνέγραψε, καθὼς καὶ τὰς λοιπὰς αὐτοῦ ἐπιστολάς (2). Πᾶς εὐσεβὴς ἀκούων τὰς ἀρετὰς τῶν ἁγίων, καὶ τὰ τούτων θαύματα, τὰ ἱστορούμενα ὑπὸ τοῦ σήμερον ἀναγνωσθέντος μέρους ταύτης τῆς ἐπιστολῆς, κατανύγεται, καὶ πολλὴν κερδαίνει τὴν πνευματικὴν ὠφέλειαν. Προσηλώσατε οὖν τὸν νοῦν ὑμῶν, πρὸς ἀκρόασιν τῆς τούτων ἑρμηνείας, ἵνα ἀκριβῶς αὐτὰ κατανοήσαντες μιμηθῆτε τὰς τῶν ἁγίων ἀρετάς, καὶ τὰ τούτων σεβάσμια κατορθώματα.

*Ἀδελφοί, οἱ ἅγιοι πάντες διὰ τῆς πίστεως κατηγωνίσατο βασιλείας, εἰργάσαντο δικαιοσύνην, ἐπέτυχον ἐπαγγελιῶν, ἔφραξαν στόματα λεόντων (3).*

Ὅσοι ἐκ τοῦ γένους τῶν Ἑβραίων ἐπίστευσαν εἰς τὸν Ἰησοῦν Χριστόν, ἐκεῖνοι πολλὰ ἔπασχον ὑπὸ τῶν μὴ πιστευσάντων ὁμογενῶν αὐτῶν, ὀνειδισμοὺς δηλονότι, θλίψεις, θεατρισμούς, δεσμά, ἁρπαγὴν καὶ στέρησιν τῶν ἰδίων ὑπαρχόντων (4). Ἵνα οὖν παρηγορήσῃ αὐτοὺς ὁ θεηγόρος Παῦλος, καὶ στερεώσῃ πρὸς τὴν εἰς Χριστὸν πίστιν, περιγράφει τὰ κατορθώματα καὶ τὰ θαύματα, ὅσα ἐποίησαν, καὶ τὰς ἀνταμοιβάς, ὅσας ἔλαβον οἱ πιστοὶ καὶ δίκαιοι ἄνθρωποι· καὶ ἄρχεται μὲν ἀπὸ τοῦ δικαίου Ἄβελ, ἀναφέρων αὐτοὺς κατ' ὄνομα, καταντήσας δὲ εἰς τὴν Ῥαάβ, ἥτις διὰ τὴν πίςιν αὐτῆς δεξαμένη τοὺς κατασκόπους ἐσώθη, ἵσταται ἐκεῖ, λέγων· « Ἐγκαταλείπει με καὶ οὐκ ἐξαρκεῖ μοι ὁ καιρός, ἐὰν διηγηθῶ τὰ περὶ τοῦ Γεδεών, Βαράκ τε καὶ Σαμψών, Δαβίδ τε καὶ Σαμουὴλ καὶ τῶν προφητῶν » (5). Ἔπειτα σιωπήσας τῶν ἄλλων ἁγίων τὰ ὀνόματα, λέγει· « Οἳ διὰ πίστεως κατηγωνίσαντο βασιλείας ». Αὐτοί, λέγει, οἱ ἅγιοι πάντες, οἵ τε ὀνομασθέντες ὑπ' ἐμοῦ, καὶ οἱ σιωπηθέντες τῇ δυνάμει τῆς πίστεως ἐνίκησαν, καὶ κατετρόπωσαν βασιλείας· τίνες δέ εἰσιν οὗτοι οἱ τὰς βασιλείας κατατροπώσαντες; ὁ μὲν Ἀβραὰμ ἐνίκησε τοὺς πέντε βασιλεῖς, τοὺς

(1) Ἑβρ. 13, 24. (2) Ὅρα τὸν Προλ. τῶν ὑπομν. τοῦ Καλμ. εἰς τὴν πρὸς Ἑβρ. ἐπιστ. (3) Ἑβρ. 11, 33.
(4) Αὐτ. 10, 33, 34. (5) Αὐτ. 11, 32.

τόν ἀνεψιόν αὐτοῦ Λὼτ αἰχμαλωτεύσαντας (1)· ὁ δὲ Μωϋσῆς, τὸν Φαραώ, τὸν Ἀμαλήκ, τὸν Χαναναῖον, τὸν Σιών, βασιλέα τῶν Ἀμοῤῥαίων, καὶ τὸν Ὤγ, βασιλέα τῆς Βασάν (2)· ὁ δὲ Ἰησοῦς τοῦ Ναυῆ, τὸν βασιλέα τῆς Ἱεριχώ, καὶ τὸν βασιλέα τῆς Γαί, καὶ ὅσους ἄλλους ἡ τούτου βίβλος διαλαμβάνει (3). Καὶ ἄλλοι δὲ ἄνδρες εὐσεβεῖς τῇ δυνάμει τῆς πίστεως κατετρόπωσαν βασιλείας, ὡς ἱστοροῦσι τὰ τῶν Κριτῶν καὶ τὰ τῶν Βασιλειῶν βιβλία. «Εἰργάσαντο δι» καιοσύνην »· οὗτοί εἰσιν ἡ Δεβῶρα, ὁ Βαράκ, ὁ Γεδεών, ὁ Ἰεφθάε, ὁ Σαμουήλ, οἵτινες ὑπὸ τοῦ φωτὸς τῆς εἰς Θεὸν πίστεως ὁδηγούμενοι ἔκρινον μετὰ πάσης δικαιοσύνης τὸν λαὸν τοῦ Ἰσραήλ, δικαιοῦντες τοὺς ἀδικουμένους, καὶ κατακρίνοντες τοὺς ἀδικοῦντας. « Ἐπέτυχον ἐπαγγελιῶν ». Νίκην ὑπεσχέθη ὁ Θεὸς εἰς τὸν Βαρὰκ διὰ στόματος τῆς προφήτιδος Δεβώρας (4), ὁμοίως καὶ εἰς τὸν Γεδεών, διὰ στόματος τοῦ εἰς αὐτὸν ἀποςαλέντος ἀγγέλου(5)· ἀνάπαυσιν ἀπὸ τῆς καταδρομῆς τῶν ἐχθρῶν εἰς τὸν Δαβίδ, διὰ τοῦ προφήτου Νάθαν· ἀπέλαβον δὲ οὗτοι ὅσα εἰς αὐτοὺς ὑπεσχέθη ὁ Θεός (6)· ὁ μὲν Βαρὰκ κατετρόπωσε τὴν τοῦ Ἰαβὶν δύναμιν, ὁ δὲ Γεδεὼν ἐπάταξε τοὺς Μαδιανίτας, ὁ δὲ Δαβὶδ βασιλεύσας ἐπὶ πάσας τὰς φυλὰς τοῦ Ἰσραήλ, καὶ τελευταῖον ἀπαλλαγεὶς τῶν ἐχθρῶν αὐτοῦ, καὶ ἁπλώσας τῆς βασιλείας αὐτοῦ τὰ ὅρια, ἀνεπαύθη ἐν εἰρήνῃ. « Ἔφραξαν στόματα » λεόντων »· Οὗτοί εἰσιν ὁ Σαμψών, ὅστις συνέτριψε τὸν σκύμνον τοῦ λέοντος, ὡς ἐρίφιον ἁπαλόν (7)· καὶ ὁ Δαβίδ, ὅστις ἐθανάτωσε τὰς ἄρκτους καὶ τοὺς λέοντας, τοὺς ἐπιβουλεύοντας τὰ πρόβατα τῆς ποίμνης αὐτοῦ (8)· καὶ ὁ προφήτης Δανιήλ, ὅστις ἔφραξε τῶν λεόντων τὰ στόματα (9).

*Ἔσβεσαν δύναμιν πυρός, ἔφυγον στόματα μαχαίρας, ἐνεδυναμώθησαν ἀπὸ ἀσθενείας, ἐγενήθησαν ἰσχυροὶ ἐν πολέμῳ, παρεμβολὰς ἔκλιναν ἀλλοτρίων* (10).

Οἱ τρεῖς παῖδες ἔσβεσαν τὴν δύναμιν τοῦ πυρὸς τῆς ἑπταπλασίως καυθείσης καμίνου, εἰς δρόσον αὐτὸ μεταβαλόντες. Ὁ Δαβὶδ ἔφυγε τὴν μάχαιραν τοῦ Σαούλ, ὁ Ἠλίας τὴν τῆς Ἰεζάβελ, ὁ Μιχαίας τὴν τοῦ Ἀχαάβ, ὁ Ἐλισσαῖος τὴν τοῦ Ἰωράμ. Ὁ Ἰὼβ ἐνεδυναμώθη ἀπὸ τῆς ἀσθενείας αὐτοῦ, καὶ ἰατρεύθη ἀπὸ τῶν ὀδυνηρῶν αὐτοῦ πληγῶν· ὁμοίως καὶ ὁ Ἐζεκίας, ἀπὸ τῆς θανατηφόρου ἀσθενείας αὐτοῦ. Ὁ Μωϋσῆς, ὁ Ἰησοῦς τοῦ Ναυῆ, ὁ Δαβίδ, οἱ Μακκαβαῖοι, πολλὴν ἀνδρείαν ἔδειξαν εἰς τοὺς πολέμους, καὶ ἔστρεψαν εἰς τὰ ὀπίσω τὰς τῶν ἐχθρῶν αὐτῶν παρατάξεις.

*Ἔλαβον γυναῖκες ἐξ ἀναστάσεως τοὺς νεκροὺς αὐτῶν, ἄλλοι δὲ ἐτυμπανίσθησαν οὐ προσδεξάμενοι τὴν ἀπολύτρωσιν, ἵνα κρείττονος ἀναστάσεως τύχωσιν* (11).

Ἡ Σαραφθία διὰ τῆς προσευχῆς τοῦ προφήτου Ἠλιοὺ ἔλαβε παρ' αὐτοῦ τὸν νεκρὸν αὐτῆς υἱόν, ἐγερθέντα ἐκ τῶν νεκρῶν· ὁμοίως καὶ ἡ Σωμανίτις, διὰ τῆς προευχῆς τοῦ προφήτου Ἐλισσαίου. Σημείωσαι δέ, ὅτι ὁ θεῖος Παῦλος διὰ μὲν τῶν προειρημένων λόγων ἱστόρησε συντόμως τὰ διὰ τῆς πίστεως κατορθώματα τῶν θεοφιλῶν ἀνθρώπων, διὰ δὲ τῶν ἑξῆς περιγράφει τὰς ἀρετὰς καὶ τὰ παθήματα τῶν ἁγίων ἀνδρῶν· « Ἄλλοι δέ, λέγει, ἐκ τῶν ἁγίων ἐ» τυμπανίσθησαν ». Καί τινες μὲν λέγουσιν, ὅτι τό, Ἐτυμπανίσθησαν, σημαίνει τό, ἀπεκεφαλίσθησαν· τινὲς δὲ τό, ἐξεδάρησαν τὸ δέρμα αὐτῶν· τινὲς δὲ τό, ἀπέθανον ῥοπάλοις τυπτόμενοι (1). Τοῦτο δὲ τὸ ἔσχατον σημαινόμενόν ἐστι τὸ ἀληθές· πρῶτον μέν, ἐπειδὴ τύμπανα λέγονται τὰ ξύλα, δι' ὧν δέρουσι τοὺς καταδίκους εἰς τὰ δικαστήρια (2)· δεύτερον δέ, ἐπειδὴ ὁ Ἐλεάζαρος, ὁ τῶν ἑπτὰ Μακκαβαίων διδάσκαλος, περὶ οὗ ἐγράφη, ὅτι « Τοσαῦτα εἰπών, ἐπὶ τὸ » τύμπανον εὐθέως ἦλθεν » (3), οὐδὲ ἀπεκεφαλίσθη, οὐδὲ ἐξεδάρη τὸ δέρμα, ἀλλὰ μαστιγούμενος ἐτελεύτησεν· ἠδύνατο δὲ αὐτὸς ποιήσας τῶν τυράννων τὸ θέλημα, λυτρωθῆναι τοῦ θανατηφόρου τυμπανισμοῦ, ὡς συνεβούλευον αὐτῷ οἱ μέλλοντες αὐτὸν τυμπανίσαι, καὶ ὡς αὐτὸς ἐμαρτύρησε, λέγων· « Τῷ Κυρίῳ τῷ τὴν ἁγίαν γνῶσιν ἔχοντι » φανερόν ἐστιν, ὅτι δυνάμενος ἀπολυθῆναι » τοῦ θανάτου, σκληρὰς ὑποφέρω κατὰ τὸ » σῶμα ἀλγηδόνας μαστιγούμενος, κατὰ » ψυχὴν δὲ ἡδέως διὰ τὸν αὐτοῦ φόβον » ταῦτα πάσχω» (4). Τοῦτο δὲ σημαίνουσι ταῦτα τοῦ Παύλου τὰ λόγια· « Οὐ προσ» δεξάμενοι τὴν ἀπολύτρωσιν». Ἁρμόζουσι δὲ καὶ πρὸς πάντας τοὺς ἁγίους μάρτυρας, οἵτινες οὐκ ἔστερξαν ἀρνηθῆναι τὴν εὐσέβειαν, ἵνα λυτρωθῶσιν ἀπὸ τῶν χειρῶν τῶν τυράννων. Ἀλλὰ διὰ τί οἱ μάρτυρες δυνάμενοι λυτρωθῆναι τῶν βασάνων καὶ τοῦ θανάτου, οὐκ ἠθέλησαν; « Ἵνα, λέγει, κρείτ» τονος ἀναστάσεως τύχωσι ». Ποία δέ ἐστιν ἡ κρείττων ἀνάστασις; Δύω εἰσὶν αἱ τῶν νεκρῶν ἀναστάσεις· ἀνάστασις ζωῆς, καὶ ἀνάστασις κρίσεως· καὶ πάντες μὲν οἱ νεκροὶ ἀνίστανται, ὅταν σαλπίσῃ τοῦ ἀγγέλου ἡ σάλπιγξ, πλὴν « Ἐκπορεύσονται » οἱ τὰ ἀγαθὰ ποιήσαντες εἰς ἀνάστασιν » ζωῆς » (5), ἤγουν ἀνίστανται, ἵνα πορευθῶσιν εἰς τὴν αἰώνιον ζωὴν καὶ βασιλείαν. « Οἱ δὲ τὰ φαῦλα πράξαντες, εἰς ἀνάςα» σιν κρίσεως», τουτέστιν ἀνίστανται, ἵνα ἀπέλθωσιν εἰς τὴν αἰώνιον κόλασιν. Ἀνάστασιν οὖν κρείττονα ὠνόμασεν ὁ Παῦλος τὴν ἀνάστασιν τῆς ζωῆς· οὐκ ἔστερξαν οὖν οἱ ἅγιοι μάρτυρες, ἀρνησάμενοι τὴν ἀλήθειαν, λυτρωθῆναι τοῦ θανάτου, ἵνα μὴ ἀναστηθῶσιν εἰς ἀνάστασιν κρίσεως, ἀλλ' ἵνα τύχωσι κρείττονος ἀναστάσεως, ἤγουν ἀπολαύσωσι τῆς οὐρανῶν βασιλείας· διὸ ὁ θεόφρων Ἐλεάζαρος ἔλεγεν· « Εἰ γὰρ καὶ » ἐπὶ τοῦ παρόντος ἐξελοῦμαι τὴν ἐξ ἀν» θρώπων τιμωρίαν, ἀλλὰ τὰς τοῦ παντο» κράτορος χεῖρας οὔτε ζῶν, οὔτε ἀποθα» νὼν ἐκφεύξομαι » (6).

*Ἕτεροι δὲ ἐμπαιγμῶν καὶ μαστίγων πεῖραν ἔλαβον, ἔτι δὲ δεσμῶν καὶ φυλακῆς* (7).

Τὸν μὲν Ἐλισσαῖον ἀναβαίνοντα εἰς Βαιθὴλ περιέπαιξαν καὶ ἐχλεύασαν τὰ παιδάρια, τὰ ἐκ τῆς πόλεως ἐξελθόντα, καὶ κραυγάσαντα· « Ἀνάβαινε φαλακρέ, ἀνά» βαινε » (8)· τὸν δὲ Ἱερεμίαν ἔδειρε καὶ ἔθηκεν εἰς τὴν φυλακὴν ὁ Πασχώρ, ὁ υἱὸς Ἐμμὴρ ὁ ἱερεύς· τὸν δὲ Μιχαίαν ἐῤῥάπισε μὲν ὁ ψευδοπροφήτης Σεδεκίας (9), ἔβαλε δὲ αὐτὸν εἰς τὴν φυλακὴν ὁ Ἀχαάβ » (10).

(1) Γεν. 14, 20. (2) Ἔξοδ. 14, 28. καὶ 17, 13. (3) Ἀριθ. 21, 3, 24, 36. Ἰησ. 6, 7. (4) Κριτ. 4, 7. (5) Αὐτ. 6, 14. (6) Β'. Βασ. 7, 11. (7) Κρίτ. 14, 6. (8) Α'. Βασ. 17, 34, 35. (9) Δαν. 6, 22. (10) Ἑβρ. 11, 34. (11) Αὐτ. 11, 35.

(4) ὅρα Οἰκουμ. αὐτ. (2) Σουΐδ. (3) Μακκβ. 6, 28, 30. (4) Αὐτ. 22, 30. (5) Ἰωάν. 5, 29. (6) Μακκβ. 6, 26. (7) Ἑβρ. 11, 36. (8) Δ'. Βασ. 2, 23. (9) Ἱερ. 20, 1, 2. (10) Γ'. Βασ. 22, 24, 27.

*Ἐλιθάσθησαν, ἐπρίσθησαν, ἐπειράσθησαν, ἐν φόνῳ μαχαίρας ἀπέθανον, περιῆλθον ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν, ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι· (ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος) ἐν ἐρημίαις πλανώμενοι, καὶ ὄρεσι καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς* (1).

Ἐλιθάσθη ὁ μὲν Ναβουθαὶ διὰ προστάγματος τοῦ Ἀχαάβ (2), ὁ δὲ Ἀζαρίας ὁ υἱὸς Ἰωδαὲ ὁ ἱερεύς, ὁ ἐλέγχων τὰς τοῦ λαοῦ ἀνομίας, δι' ἐντολῆς τοῦ βασιλέως Ἰωάς (3), ὁ δὲ πρωτομάρτυς Στέφανος, θυμῷ καὶ κακίᾳ τῶν Ἰουδαίων (4)· ἐπρίσθη ἐν ξυλίνῳ πρίονι ὁ προφήτης Ἡσαΐας (5)· ἐπειράσθη ὁ Ἰὼβ διὰ τῆς στερήσεως τῶν ὑπαρχόντων καὶ τῶν τέκνων αὐτοῦ, καὶ διὰ τῆς περικατασχούσης αὐτὸν δριμυτάτης ἀῤῥωστίας. « Ἐν φόνῳ δὲ μαχαίρας » ἀπέθανεν ὁ Πρόδρομος Ἰωάννης, καὶ ὁ Ἰάκωβος ὁ ἀδελφὸς Ἰωάννου (6). Ἐν μηλωταῖς, ἤγουν δέρμασι προβάτων, καὶ ἐν δέρμασιν αἰγῶν ἐνδεδυμένοι, περιήρχοντο ὁ προφήτης Ἠλίας καὶ ὁ προφήτης Ἐλισαῖος, στερούμενοι πάσης σωματικῆς ἀπολαύσεως, θλιβόμενοι ὑπὸ τῶν παρανόμων, κακουχούμενοι ὑπὸ τῆς ἑκουσίου πτωχείας· (τοιούτων ἁγίων ἀνδρῶν οὐκ ἦν ἄξιος ὁ κόσμος, ἤγουν οὐκ ἦσαν ἄξιοι οἱ τῇ πονηρίᾳ καὶ ἀνομίᾳ τοῦ κόσμου δουλεύοντες ἄνθρωποι, οὐδὲ τῆς συναστροφῆς, οὐδὲ τῆς θεωρίας αὐτῶν) περιπλανώμενοι εἰς τὰς ἐρημίας, καὶ εἰς τὰ ὄρη, καὶ εἰς τὰ σπήλαια, καὶ εἰς τὰς τρύπας τῆς γῆς. Τοιοῦτοι ἦσαν οἱ ἑκατὸν προφῆται, οὓς ἔκρυψεν ἐν σπηλαίοις ὁ εὐσεβὴς Ἀβδιού, ὁ τοῦ Ἀχαὰβ οἰκονόμος (7). Τοιοῦτοι ἦσαν ἐκεῖνοι οἱ ζηλωταὶ τοῦ νόμου, οἵτινες μετὰ τῶν Μακκαβαίων ἐξελθόντες ἐκ τῆς Ἱερουσαλήμ, ἦλθον σὺν γυναιξὶ καὶ τέκνοις εἰς τὴν ἔρημον, κρυπτόμενοι εἰς ἀποκρύφους τόπους, καὶ πᾶσαν κάκωσιν ὑπομένοντες (8).

*Καὶ οὗτοι πάντες μαρτυρηθέντες διὰ τῆς πίστεως, οὐκ ἐκομίσαντο τὴν ἐπαγγελίαν· τοῦ Θεοῦ περὶ ἡμῶν κρεῖττόν τι προβλεψαμένου, ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσι* (9).

Πάντες, λέγει, οὗτοι οἱ προειρημένοι ἅγιοι, κἂν μεμαρτυρημένον καὶ βέβαιον ὑπάρχῃ, ὅτι διὰ τῆς πίστεως αὐτῶν εὐηρέστησαν τῷ Θεῷ, ὅμως οὐκ ἔλαβον τὴν ἐπαγγελίαν, ἤγουν ἐκεῖνο, ὅπερ ὑπεσχέθη ὁ Θεὸς εἰς τοὺς δικαίους· ἀλλὰ διὰ τί τοῦτο; Διότι ὁ Θεὸς ᾠκονόμησε, λέγει, πρᾶγμα κρεῖττον, τουτέστιν ὑπέρτερον καὶ ἀγαθώτερον δι' ἡμᾶς τοὺς μετὰ ταῦτα. Ποῖον δέ ἐστι τοῦτο τὸ κρεῖττον; Τοῦτό ἐστιν αὐτὸ τό, ἵνα μὴ λάβωσιν ἐκεῖνοι τὴν τελείαν μισθαποδοσίαν, πρὶν ἢ καὶ ἡμεῖς λάβωμεν αὐτήν. Ἀλλὰ πῶς ἀνωτέρω μὲν εἶπεν· « Ἐ» πέτυχον ἐπαγγελιῶν » (10), ἤγουν ἔλαβον τὰς ἐπαγγελίας· ἐνταῦθα δὲ λέγει, ὅτι οὐκ ἔλαβον τὴν ἐπαγγελίαν· « Οὐκ ἐκομίσαντο » τὴν ἐπαγγελίαν; » καὶ τὰ δύο εἰσὶν ἀληθινά· ἔλαβον μέν τινες τῶν ἁγίων ἐπὶ γῆς ὅσα αὐτοῖς κατὰ μέρος εἰς διαφόρους καιροὺς ὑπεσχέθη ὁ Θεός· τὴν δὲ μίαν καὶ κοινὴν καὶ οὐράνιον ἐπαγγελίαν, ἥτις ἐστὶν ἡ ἀπόλαυσις τῆς θείας δόξης, οὐκ ἔλαβον οἱ ἅγιοι· τί οὖν; Οὐκ ἀπολαμβάνουσιν αὐτοὶ νῦν τῆς θείας δόξης καὶ μακαριότητος; ἀ-

(1) Ἑβρ. 11, 37, 38. (2) Γ'. Βασ. 21. 13. (3) Β'. Παραλ. 24, 20, 21. (4) Πράξ. 7, 58. (5) Ὠριγ. ἐπισ. πρὸς Ἀφρικ. (6) Ματθ. 14, 10. Πράξ. 12, 2. (7) Γ'. Βασ. 17, 4. (8) Α'. Μακ. 2, 29. (9) Ἑβρ. 11, 39, 40. (10) Αὐτ. 11, 33.



πολαμβάνουσιν ἀναμφιβόλως, πλὴν οὐχὶ ὅλου τοῦ πληρώματος αὐτῆς. Διὰ τοῦτο δὲ οὐκ εἶπεν, ἵνα μὴ χωρὶς ἡμῶν δοξασθῶσιν· ἀλλ' εἶπεν, ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσι, τουτέστιν, ἵνα μὴ χωρὶς ἡμῶν λάβωσι τὸ τέλειον τῆς θείας δόξης. Ἀλλὰ διὰ τί τοῦτο; Πρῶτον μέν, ἐπειδὴ οἱ ἅγιοι οὐκ εἰσὶ συνημμένοι μετὰ τῶν σωμάτων αὐτῶν, δι' ὧν κοπιάσαντες, τὰς ἀρετὰς κατώρθωσαν· δεύτερον δέ, ἐπειδὴ ὁ Θεὸς « Ἔστησεν ἡ» μέραν, ἐν ᾗ μέλλει κρίνειν τὴν οἰκουμένην » ἐν δικαιοσύνῃ » (1). Ἐν αὐτῇ δὲ τῇ ἡμέρᾳ « Ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα » αὐτοῦ » (2). Ἐὰν δὲ οἱ ἀπ' αἰῶνος ἅγιοι ἔλαβον πρὸ τῆς ἡμέρας ἐκείνης τὸ τέλειον τῆς θείας δόξης, ἑπομένως δὲ καὶ οἱ ἁμαρτωλοὶ τὸ τέλειον τῆς κολάσεως, ἡ παγκόσμιος κρίσις, ἣν ὁ Θεὸς ὥρισεν, ἐστὶ περιττή· τρίτον, ἐπειδὴ ἡ πρόνοια τοῦ Θεοῦ ᾠκονόμησε κρεῖττόν τι περὶ ἡμῶν, ἵνα μὴ ἐκεῖνοι ἔχωσί τι περισσότερον ἢ ἡμεῖς, ἀπολαβόντες πρότερον καὶ χωρὶς ἡμῶν τῆς τελείας δόξης, ἀλλὰ πάντες ὁμοῦ ὡς ἓν σῶμα Χριστοῦ συνδοξασθῶμεν αὐτῷ, λαβόντες τὸν ἀποκείμενον « Τῆς δικαιοσύνης στέφα» νον, ὃν ἀποδώσει ἐν ἐκείνῃ τῇ ἡμέρᾳ » (3). Βλέπε δέ, ὅτι σύμφωνα τούτοις εἰσὶ καὶ ταῦτα τοῦ προφήτου Δαβὶδ τὰ λόγια· « Ἐ» μὲ ὑπομενοῦσι δίκαιοι, ἕως οὗ ἀνταποδῷς » μοι » (4). Ἀλλ' ἆρά γε οὐκ ἀδικοῦνται οἱ δίκαιοι, περιμένοντες τοσούτους αἰῶνας τὴν τελειότητα τῆς ἀνταποδόσεως; Λύει τὴν ἀπορίαν ταύτην ὁ θεῖος Χρυσόστομος, λέγων· « Οὐκ ἐκείνους ἠδίκησεν, ἀλλ' ἡμᾶς » ἐτίμησε· καὶ γὰρ καὶ αὐτοὶ τοὺς ἀδελφοὺς » ἀναμένουσιν. Εἰ γὰρ σῶμα ἓν οἱ πάντες » ἐσμέν, μείζων γίνεται τῷ σώματι τούτῳ » ἡ ἡδονή, ὅταν κοινῇ στεφανῶνται, καὶ μὴ » κατὰ μέρος· καὶ γὰρ οἱ δίκαιοι καὶ ἐν » τούτῳ εἰσὶ θαυμαστοί, ὥστε χαίρουσιν » ὡς ἐπὶ ἰδίοις ἀγαθοῖς, τοῖς τῶν ἀδελφῶν, » ὥστε κἀκείνοις τοῦτο κατὰ γνώμην ἐστὶ » τὸ μετὰ τῶν μελῶν τῶν ἰδίων στεφανω» θῆναι. Τὸ γὰρ ὁμοῦ δοξασθῆναι μεγάλη » ἡδονή (5). Τὰ αὐτὰ δὲ καὶ ἄλλοι περὶ τῆς αὐτῆς ὑποθέσεως ἐπιβεβαιοῦσιν. Ὁ δὲ ἐν ἁγίοις Γρηγόριος ὁ θεολόγος καὶ τό, πῶς οἱ δίκαιοι εὐθὺς μετὰ θάνατον ἀπολαμβάνουσιν, ἔτι δὲ καὶ μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν ἀπολαύσουσι τῆς θείας δόξης, διδάσκει, λέγων· « Ψυχὴ πᾶσα καλή τε καὶ » θεοφιλής, ἐπειδὰν τοῦ συνδεδεμένου λυθεῖσα » σώματος ἐνθένδε ἀπαλλαγῇ, εὐθὺς μὲν » ἐν συναισθήσει καὶ θεωρίᾳ τοῦ μένοντος » αὐτὴν καλοῦ γενομένη . . . θαυμασίαν » τινὰ ἡδονὴν ἥδεται, καὶ ἀγάλλεται, καὶ » ἵλεως χωρεῖ πρὸς τὸν ἑαυτῆς δεσπό» την . . . καὶ οἷον ἤδη τῇ φαντασίᾳ « καρποῦται τὴν ἀποκειμένην μακαριότη» τα· μικρὸν δ' ὕστερον καὶ τὸ συγγενὲς » σαρκίον ἀπολαβοῦσα . . . τούτῳ συγ» κληρονομεῖ τῆς ἐκεῖθεν δόξης » (6). Ὁ δὲ θεοφόρος Παῦλος ἔγραψε τὰ προκείμενα αὐτοῦ λόγια πρὸς τοὺς Ἑβραίους, ἵνα παρηγορήσῃ καὶ ἐνδυναμώσῃ αὐτοὺς διωκομένους καὶ πάσχοντας. Ἐὰν οὗτοι, λέγει, οἱ ἅγιοι ἄνθρωποι, κἂν πρὸ πολλῶν αἰώνων ἐτελείωσαν τὸν ἀγῶνα, ὅμως ἔτι περιμένουσι τὸ τέλειον τῆς ἀνταποδόσεως, πολλῷ μᾶλλον ἡμεῖς, οἱ μήπω τελειώσαντες τῆς ἀρετῆς τὸν δρόμον, ἀλλ' ἔτι ἀγωνιζόμενοι, ἀνάγκην ἔχομεν ὑπομονῆς. Τοῦτο δὲ καὶ ἐκ τῶν ἑξῆς λόγων φανερόν ἐστι.

(1) Πράξ. 17· 31. (2) Ῥωμ. 2, 6. (3) Β'. Τιμ. 4, 8. (4) Ψαλμ. 141, 8. (5) Χρυσ. εἰς τὴν πρὸς Ἑβρ. ἐπισ. Θεοδωρητ. Καὶ Οἰκουμ. Αὐτ. (6) Γρηγ. λόγ. εἰς τὸν Καισ.

*Τοιγαροῦν καὶ ἡμεῖς τοσοῦτον ἔχοντες περικείμενον ἡμῖν νέφος μαρτύρων, ὄγκον ἀποθέμενοι πάντα, καὶ τὴν εὐπερίστατον ἁμαρτίαν, δι' ὑπομονῆς τρέχομεν τὸν προκείμενον ἡμῖν ἀγῶνα· ἀφορῶντες εἰς τὸν τῆς πίστεως ἀρχηγὸν καὶ τελειωτὴν Ἰησοῦν* (1).

Τὸ μὲν νέφος, ὡς συγκείμενον ἐκ πολλῶν ἀτμῶν καὶ ἀναθυμιάσεων, σημαίνει πλῆθος πολύ· ὁ δὲ ὄγκος, ὡς μέγεθος, οἴδημα, ἔπαρσις, σημαίνει πᾶν ὑπερηφανείας εἶδος. Μάρτυρας δὲ ὀνομάζει οὐ μόνον τοὺς τῆς Νέας Διαθήκης, τοὺς ὑπὲρ Χριστοῦ μαρτυρήσαντας, ἀλλὰ καὶ τοὺς τῆς Παλαιᾶς, οἵτινες ἐμαρτύρησαν τὴν ἀλήθειαν τῆς πίστεως καὶ τὴν τοῦ Θεοῦ μεγαλειότητα, οἱ μέν, διὰ θαυμάτων, οἱ δέ, διὰ προφητείας, οἱ δέ, δι' ἀρετῆς, οἱ δέ, διὰ τῆς μέχρι θανάτου ὑπομονῆς καὶ γενναιότητος. Εὐπερίστατον δὲ ἐκάλεσε τὴν ἁμαρτίαν, ἢ καθότι μετὰ εὐκολίας περικυκλοῖ ἡμᾶς, ἢ καθότι εὔκολα πάσχει τῆς νίκης τὴν περίστασιν (2), ἐπειδὴ ἐὰν θέλωμεν, εὔκολα νικῶμεν αὐτήν. ἢ καθότι εὐκόλως καὶ συνίσταται καὶ γίνεται· διότι καὶ ὁ ὀφθαλμὸς δελεάζεται, καὶ ἡ ἀκοὴ καταθέλγεται, καὶ ἡ ὄσφρησις ἐκθηλύνεται, καὶ ἡ ἁφὴ γαργαλίζεται, καὶ ἡ γλῶσσα παραφέρεται, καὶ ὁ λογισμὸς ἡμῶν ταχὺς ἐστιν εἰς τὴν πονηρίαν (3). Καὶ ἀρχηγὸν μὲν τῆς πίστεως λέγει τὸν Ἰησοῦν Χριστόν, καθότι αὐτὸς πρῶτος ἐδίδαξεν ἐντελῶς πάντα τὰ περὶ τῆς εἰς αὐτὸν πίστεως, καὶ καθότι διὰ τοῦ φωτισμοῦ τῆς θείας αὐτοῦ χάριτος σπείρει εἰς τὰς ψυχὰς ἡμῶν τῆς εὐσεβείας τὰ σπέρματα· τελειωτὴν δέ, καθότι αὐτὸς καὶ αὔξει, καὶ θερμαίνει, καὶ ἀναβιβάζει αὐτὴν εἰς τὴν τελειότητα. Βλέπε δέ, πῶς ὁ τοῦ Θεοῦ Ἀπόστολος πρῶτον ἱστόρησε τῆς πίστεως τὰ κατορθώματα, καὶ τῶν ἁγίων ἀνδρῶν τὰ ἐνάρετα καὶ θαυμάσια ἔργα, ἔπειτα ὡς συμπέρασμα ἐπέφερε τὴν νουθεσίαν, λέγων· λοιπὸν ἐπειδὴ ἔχομεν τοσοῦτον πλῆθος μαρτύρων κύκλω ἡμῶν, παριστώντων τῆς πίστεως καὶ τῆς ἀρετῆς τὰ παραδείγματα, ἀπορρίψαντες τὴν οἴησιν, τὴν ὑψηλοφροσύνην, τὴν ἔπαρσιν, καὶ πᾶν ἄλλο τῆς ὑπερηφανείας εἶδος, ἀπορρίψαντες τὴν εὐκόλως συνισταμένην καὶ τελουμένην ἁμαρτίαν, τρέχωμεν προθύμως τὸν ὑπὸ Θεοῦ προτεθέντα ἡμῶν ἀγῶνα, προσηλοῦντες τὰ ὄμματα τοῦ νοὸς ἡμῶν εἰς τὰ παθήματα τοῦ ἀρχηγοῦ καὶ τελειωτοῦ τῆς πίστεως, τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

(1) Ἑβρ. 12, 1. 2. (2) Χρυσ. αὐτ. (3) Θεοδώρητ. αὐτ.



# ΟΜΙΛΙΑ

ΜΕΤΑ ΤΗΝ ΠΡΟΣ

# ΕΒΡΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

## ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗ͂ Α'. ΚΥΡΙΑΚΗ͂ ΕΝ Η͂ ΚΑΙ Η ΕΟΡΤΗ ΤΩΝ ΑΓΙΩΝ ΠΑΝΤΩΝ.

ΚΑΘΩΣ ἀναρίθμητόν ἐστι τῶν ἁμαρτημάτων τὸ πλῆθος, οὕτως ἀμέτρητός ἐστι καὶ τῶν ἀρετῶν ὁ ἀριθμός· ὅστις φύγῃ πᾶσαν ἁμαρτίαν, κατορθώσῃ δὲ πᾶσαν ἀρετήν, ἐκεῖνός ἐστιν ὁ ἀληθινὸς ἀγωνιστής, καὶ ὁ ἄξιος κληρονόμος τῆς ἐπουρανίου βασιλείας. Πάσης δὲ ἁμαρτίας ἡ φυγή, καθὼς καὶ πάσης ἀρετῆς ἡ κατόρθωσις, ἴδιον ἔχει κόπον καὶ δυσκολίαν καὶ ἀγῶνα· ἄλλον κόπον δοκιμάζεις, ἵνα φύγῃς τὴν κοιλιοδουλείαν, καὶ ἄλλον, ἵνα ἀποστραφῇς τὴν ἀσέλγειαν· ἄλλην δυσκολίαν, ἵνα καταργήσῃς τοῦ νοός σου τὴν ὑπερηφάνειαν, καὶ ἄλλην, ἵνα ἐκριζώσῃς τὸ μῖσος ἐκ τῆς καρδίας σου. Ὁμοίως ἄλλος ἀγὼν πρόκειταί σοι, ἵνα κατασταθῇς πρᾷος καὶ ἀνεξίκακος καὶ ἄλλος, ἵνα ἀναδειχθῇς νήστης, καὶ σώφρων· ἄλλος ἀγών, ἵνα στερεωθῇς εἰς τὴν ἀρετὴν τῆς ἀγάπης, καὶ ἄλλος, ἵνα καταφρονήσῃς πᾶσαν τοῦ κόσμου τὴν ματαιότητα· ἐκ τούτου φανερόν ἐστιν, ὅτι πολλοί, μᾶλλον δὲ ἄμετροί εἰσιν οἱ ὑπὲρ τῆς σωτηρίας ἡμῶν ἀγῶνες. Διὰ τί οὖν ὁ Ἀπόστολος Παῦλος οὐκ εἶπε πληθυντικῶς, τοὺς προκειμένους ἡμῖν ἀγῶνας, ἀλλ' εἶπεν ἑνικῶς· «Τὸν » προκείμενον ἡμῖν ἀγῶνα; » (1) Τοιουτοτρόπως ἐλάλησε, πρῶτον μέν, ἵνα διδάξῃ, ὅτι πάντες οἱ κατὰ τῆς ἁμαρτίας, καὶ οἱ ὑπὲρ τῆς ἀρετῆς ἀγῶνες εἰς ἕνα περιέχονται ἀγῶνα, τὸν ὑπὲρ τῆς ψυχικῆς ἡμῶν σωτηρίας· δεύτερον δέ, ἵνα φανερώσῃ, ὅτι εἰς τὸν καθένα πρόκειται κατ' ἐξοχὴν ἴδιος ἀγών, ἵνα δι' αὐτοῦ, ἐὰν θέλῃ, ἀγωνισθῇ, καὶ νικήσας, λάβῃ τὸν στέφανον τῆς θείας μακαριότητος. Βλέπομεν δὲ περὶ τούτου πολλὰ παραδείγματα.

Εἰς τὸν Ἰωσὴφ πρόκειται τὸ περὶ σωφροσύνης ἀγωνιστήριον· ἡ μὲν Αἰγυπτία ἐστὶ κυρία καὶ δέσποινα ἐν τῷ οἴκῳ τοῦ Πετεφρῆ· ὁ δὲ Ἰωσὴφ δοῦλος αὐτῆς ἀργυρώνητος· αὐτὴ ἀναίσχυντος καὶ ἀκρατής· ἐκεῖνος ἀκμαῖος, καὶ ἐν αὐτῷ τῷ ἄνθει τῆς νεότητος αὐτοῦ· ἐκείνη προσκαλεῖ αὐτόν· « Κοιμήθητι μετ' ἐμοῦ » (2), λέγει· ἡ κυρία παρακαλεῖ τὸν δοῦλον· ὢ πόσον ἰσχυρὸν ὅπλον τῆς κυρίας ἡ ἱκεσία· ὁ δὲ δοῦλος νέος καὶ εὔρωστος· ὢ πόσον ἐξάπτει ἡ νεότης τῆς ἐπιθυμίας τὸ πῦρ. Ἀλλ' ὁ Ἰωσὴφ ἄτρωτος καὶ ἄφλεκτος τῇ δυνάμει τοῦ φόβου τοῦ Θεοῦ· « Καὶ πῶς ποιήσω » (3), ἀποκρίνεται πρὸς τὴν κυρίαν αὐτοῦ, τὴν προσκαλοῦσαν αὐτὸν πρὸς τὴν ἁμαρτίαν,

(1) Ἑβρ. 12, 24. (2) Γεν. 39. 7. (3) Αὐτ. 9.

« Καὶ πῶς ποιήσω τὸ ῥῆμα τὸ πονηρὸν » τοῦτο καὶ ἁμαρτήσομαι ἐναντίον τοῦ Θεοῦ; » Ὦ τόλμη ἁγία, ὦ ἀνυποταξία θεάρεστος· εἰς πάντα τὰ ἄλλα ὑπήκοος εἰς τὴν κυρίαν αὐτοῦ, εἰς τὸ ἔργον τῆς ἁμαρτίας παντελῶς ἀνυπότακτος· ἐκείνη ἐν μιᾷ τῶν ἡμερῶν ἰδοῦσα, ὅτι ουδείς ἐστιν ἐν τῷ οἴκῳ αὐτῆς ἐπιλαμβάνεται τοῦ ἱματίου αὐτοῦ, καὶ σύρει καὶ βιάζει αὐτὸν πρὸς τὴν ἁμαρτίαν· ὦ πάλη, ὦ κίνδυνος· αὐτός φεύγει εὐθὺς καὶ ἀφίησιν εἰς τὰς χεῖρας αὐτῆς τὸ ἱμάτιον αὐτοῦ. Καὶ παύει μὲν ὁ περὶ τῆς σωφροσύνης πόλεμος, ἐπειδὴ ὁ ἔρως τῆς ἀσελγοῦς, προσκρούσας ἐπὶ τὴν πέτραν τῆς σωφροσύνης, μετεβλήθη εἰς θυμὸν καὶ μῖσος, πλὴν ἄρχεται ἄλλο ἆθλον ὀδυνηρόν· συκοφαντεῖ ἡ ἀσυνείδητος καὶ κατακλείει εἰς τὴν φυλακὴν τὸν ἀθλητὴν τὸν καρτερόψυχον· ὁ δὲ ἀθλητὴς ὑποφέρει γενναίως καὶ τῆς συκοφαντίας τὸ ὄνειδος, καὶ τὴν κακουχίαν τῆς φυλακῆς.

Στέρησις πάντων τῶν ὑπαρχόντων, θάνατος τῶν τέκνων, πληγαὶ εἰς ὅλον τὸ σῶμα τοῦ πολυάθλου Ἰώβ, ἐν μιᾷ καιροῦ στιγμῇ ὁ ὑπέρπλουτος Ἰὼβ γίνεται πάμπτωχος· ὁ πολύτεκνος, ἄτεκνος· ὁ ὑγιής, κατατετραυματισμένος· αὕτη ἡ σειρὰ τῶν συμφορῶν ἐστιν ὁ προκείμενος ἀγὼν τοῦ Ἰώβ· ηὔξανον δὲ τοῦτο οἱ φίλοι ἐλέγχοντες, καὶ ἡ ἰδία γυνὴ αὐτοῦ συμβουλεύουσα αὐτῷ, ἵνα βλασφημήσῃ κατὰ τοῦ Θεοῦ· ἀλλὰ νικᾷ ἀνδρειότατα, καὶ θριαμβευτὴς ἐξέρχεται τοῦ ἀγῶνος ὁ ἀδαμάντινος· « Ἐν τού» τοις πᾶσι τῆς συμβεβηκόσιν αὐτῷ οὐδὲν » ἥμαρτεν Ἰὼβ ἐναντίον τοῦ Κυρίου καὶ » οὐκ ἔδωκεν ἀφροσύνην τῷ Θεῷ » (1).

Ὁ φθόνος τοῦ Σαοὺλ ἐστιν ὁ προκείμενος ἀγὼν εἰς τὸν Δαβίδ· ἐπιβουλάς, διωγμούς, καταδρομὰς κινεῖ κατ᾽ αὐτοῦ ὁ Σαούλ, ζητῶν παντοιοτρόπως θανατῶσαι αὐτόν· ὅταν οὖν εἶδεν ὁ Δαβὶδ τὸν ἐχθρὸν αὐτοῦ τὸν Σαοὺλ εἰσελθόντα μόνον δι᾽ἀνάγκην σωματικὴν εἰς τὸ σπήλαιον, τὸ ἐν τῇ ἐρήμῳ Ἐνγαδδί, ὅπου αὐτὸς ἐκρύπτετο, πόσον ἠγωνίσθη τότε, ἵνα μὴ ὑπακούσῃ εἰς τὰς συμβουλὰς τῶν μετ᾽ αὐτοῦ, οἵτινες ἔλεγον πρὸς αὐτόν· « Ἰδοὺ ἡ ἡμέρα αὕτη, ἣν εἶπε Κύ» ριος πρὸς σὲ παραδοῦναι τὸν ἐχθρόν σου » εἰς χεῖράς σου »· πόσον ἠγωνίσθη τότε, ἵνα ἡσυχάσῃ τὰς ὁρμὰς τῆς φύσεως, τὰς ἐξεγερθείσας ἐναντίον ἐκείνου, ὅστις ἐζήτει ἀδίκως καὶ παραλόγως θανατῶσαι αὐτόν; πόσην δὲ στενοχωρίαν ἐδοκίμασε τὸ πνεῦμα αὐτοῦ, ὅταν εὗρε τὸν Σαοὺλ καὶ τοὺς φύλακας αὐτοῦ κοιμωμένους ἐν τῷ βουνῷ τῷ Ἐχελᾶ, καὶ ὅταν ὁ Ἀβεσσὰ εἶπε πρὸς αὐτόν· « Ἀπέκλεισε Κύριος σήμερον τὸν ἐχ» θρόν σου εἰς χεῖράς σου, καὶ νῦν πατάξω » αὐτὸν τῷ δόρατι εἰς τὴν γῆν ἅπαξ, καὶ » οὐ δευτερώσω αὐτῷ; » (2) ἀλλ᾽ ἐνίκησεν ὁ γενναιότατος, καὶ ταῖς συμβουλαῖς τῶν φίλων παρακούσας, καὶ τὰ κύματα τῆς φύσεως κατευνάσας, « Μηδαμῶς μοι, εἶπε, » παρὰ Κυρίου ἐπενεγκεῖν χεῖρά μου ἐπὶ » χριστὸν Κυρίου ».

Ὁ μὲν προφήτης Ἠλίας ἔχει προκείμενον ἀγῶνα τὴν ἐξάλειψιν τῆς εἰδωλολατρείας· κατ᾽ αὐτῆς ἀγωνίζεται μεγαλοψύχως ἐναντίον τοῦ Ἀχαάβ, καὶ παλαίει ἐμφρόνως κατὰ τῶν διωγμῶν καὶ τῶν φοβερισμῶν τῆς προστάτιδος τῶν εἰδώλων, τῆς πονηρᾶς, λέγω, Ἰεζάβελ· νικήσας δὲ θεοπρεπῶς, ἐξουδένωσε τὴν εἰδωλολατρείαν, καὶ ἀνεστήλωσε τῆς ὀρθῆς πίστεως τὸ σέ-

(1) Ἰώβ. 1, 22. (2) Α'. Βασ. 26, 8, 11.



βας· οἱ δὲ ἑπτὰ Μακκαβαῖοι, καὶ ἡ μήτηρ αὐτῶν ἡ Σολομονή, καὶ ὁ διδάσκαλος αὐτῶν ὁ Ἐλεάζαρος, ἔχουσι προκείμενον ἀγῶνα τὴν διατήρησιν τοῦ θείου νόμου· κολακεῖαι, φοβερισμοί, τήγανα, λέβητες, γλωσσοτομίαι, ἀκρωτηριασμοί, ἐκδάρσεις σώματος, πῦρ καιόμενον, θάνατος ἄδικος πρόκεινται αὐτοῖς, ἵνα καταφρονήσωσι τοῦ Θεοῦ τὸν νόμον· κατὰ τούτων δὲ πάντων ἀγωνίζονται θαρσαλέως, καὶ νικῶσι θαυμασίως, καὶ στέφονται ἐνδόξως διὰ τῶν τοῦ μαρτυρίου στεφάνων. Ἐὰν δὲ παρατηρήσητε τὰς ἱερὰς ἱστορίας, βλέπετε, ὅτι πᾶς δίκαιος ἠγωνίσθη μὲν κατὰ διαφόρους τρόπους, εἶχεν ὅμως προκείμενον αὐτῷ ἴδιον ἰδιαίτατον ἀγῶνα.

Τοῦτον τὸν ἰδιαίτατον ἑνὸς ἑκάστου ἀγῶνα, σταυρὸν ὠνόμασεν ὁ θεάνθρωπος Ἰησοῦς, εἰπών· « Ὅστις θέλει ὀπίσω μου ἐλ» θεῖν, ἀπαρνησάσθω ἑαυτόν, καὶ ἀράτω » τὸν ϛαυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι » (1). Εἰς ταύτην τὴν κοιλάδα τοῦ κλαυθμῶνος, ἐν ᾗ ζῶμεν καὶ πολιτευόμεθα, οὐδεὶς εὑρίσκεται ἔξω παντὸς ἀγῶνος, οὐδείς ἐστιν, ὅστις οὐκ ἔχει σταυρὸν ἤγουν συμφοράν, ἀσθένειαν, πάθος, θλῖψιν. Οὐδὲ αὐτοὶ οἱ βασιλεῖς τῆς γῆς, οἱ νομιζόμενοι πανενδοξότατοι καὶ πανευτυχέστατοί εἰσιν ἀμέτοχοι ἀγῶνος, καὶ ἐλεύθεροι σταυροῦ. Εἰς ταύτην τὴν πρόσκαιρον ἡμῶν παροικίαν τοῦτον μὲν φλογίζει ἀκαταπαύστως ἡ φλογερὰ ἐπιθυμία τῆς σαρκός· αὐτὴ δέ ἐστιν ὁ προκείμενος αὐτῷ ἀγών, αὐτή ἐστιν ὁ σταυρὸς αὐτοῦ. Ἐὰν οὖν ἄρῃ αὐτόν, ἤγουν ἐὰν σβέσας τὴν φλόγα νικήσῃ, δοξάζεται ὡς ὁ Ἰωσήφ, ὁ τῆς Αἰγυπτίας νικητής. Ἐκεῖνος πάσχει ὑπὸ διαφόρων συμφορῶν, καὶ ἀσθένεια δὲ ὀδυνηρὰ βασανίζει αὐτόν, οὐδὲ ἰατρὸν ἔχει, οὐδὲ βοτάνην, οὐδὲ ἄνθρωπον, ἵνα ἐπισκεφθῇ τὰς ἀνάγκας αὐτοῦ· ταῦτά εἰσιν ὁ προκείμενος αὐτῷ ἀγών, οὗτός ἐστιν ὁ σταυρὸς αὐτοῦ· ἐὰν οὖν ἄρῃ αὐτόν, ἤγουν ἐὰν ὑπομείνῃ ἀνδρειοφρόνως, μακαρίζεται ὡς ὁ Ἰώβ, καὶ καταντᾷ εἰς τὸν κόλπον τοῦ Ἀβραάμ, ὡς ὁ Λάζαρος. Εἰς τοῦτον ἄμετρον θλῖψιν προξενοῦσιν οἱ φθονεροί. Ὁ φθόνος οὖν πρόκειται αὐτῷ ὡς ἀγών, ὁ φθόνος τῶν φθονούντων αὐτόν ἐστιν ὁ σταυρὸς αὐτοῦ. Ἐὰν οὖν ἄρῃ τὸν σταυρὸν αὐτοῦ, ἤγουν ἐὰν ὑπομείνῃ μεγαλοψύχως τὴν τῶν φθονερῶν βλάβην, μεγαλύνεται καὶ ὑπερυψοῦται, ὡς ὁ Δαβίδ, ὁ μετὰ τοσαύτης καρτερότητος ὑπομείνας τὸν φθόνον τοῦ Σαούλ. Τὸν ἄλλον δυναστεύει ὁ κατὰ τῆς εὐσεβείας διωγμός. Οὗτος οὖν ἐστιν ὁ προκείμενος αὐτῷ ἀγών. Ἐὰν δὲ εἰς τοῦτον τὸν ἀγῶνα παλαίσῃ μεγαλοψύχως, ὑψοῦται ἕως εἰς τὸν οὐρανόν, ὡς ὁ ἁρματηλάτης Ἠλίας. Πολλοὶ βιάζονται οὐχὶ ὑπὸ τοῦ Ἀντιόχου, ἀλλ᾽ ὑπὸ τοῦ πάθους τῆς κοιλιοδουλείας, ἵνα καταφρονήσωσι τῆς νηστείας τοῦ νόμους. Ἐὰν εἰς τοῦτον τὸν ἀγῶνα πολεμήσωσιν ἀνδρείως, καὶ ἀναφανῶσι νικηφόροι κατὰ τοῦ δαίμονος τῆς γαστριμαργίας, στεφανοῦνται ὡς οἱ ἅγιοι Μακκαβαῖοι.

Ἀλλὰ ποῖός ἐστι, λέγεις ὁ τρόπος δι᾽ οὗ δυνάμεθα ἀγωνισθῆναι τὸν κατὰ τῆς ἁμαρτίας καὶ τὸν ὑπὲρ τῆς ἀρετῆς προκείμεον ἡμῖν ἀγῶνα; Ἐδίδαξε τὸν τρόπον αὐτὸς ὁ θεόπνευστος Παῦλος. Αὐτὸς γράφων πρὸς τοὺς εἰς Χριστὸν πιστεύσαντας Ἑβραίους, οἵτινες τότε εὑρίσκοντο εἰς τὸ ἀγωνιστήριον τῶν φοβερῶν διωγμῶν, καὶ συμβουλεύων

(1) Μάρκ. 8, 34,

αὐτούς, ἵνα διαπερῶσι προθύμως τὸ προκείμενον αὐτοῖς ἀγωνιστικὸν στάδιον. ἐφανέρωσε καὶ τὸν τρόπον, δι' οὗ ὁ ἀγωνιστὴς προθυμοποιούμενος, τελειοῖ εὐτυχῶς τοῦ προκειμένου αὐτοῦ ἀγῶνος τὸν δρόμον. Δι' ὑπομονῆς, εἶπε, τρέχωμεν τὸν προκείμενον ἡμῖν ἀγῶνα· ἀφορῶντες εἰς τὸν τῆς πίστεως ἀρχηγὸν καὶ τελειωτὴν Ἰησοῦν (1). Ἰδοὺ ὁ τρόπος. Ἔχε διὰ παντὸς ἀνεῳγμένα τῆς ψυχῆς σου τὰ ὄμματα, καὶ βλέπε διαπαντὸς τὸν Ἰησοῦν Χριστόν· τοῦτό σε ἐνδυναμοῖ πρὸς φυγὴν πάσης ἁμαρτίας, καὶ πρὸς κατόρθωσιν πάσης ἀρετῆς.

Ἀληθῶς εὐπεριστατός ἐστιν ἡ ἁμαρτία, εἰσέρχεται εἰς πᾶσαν ὑπόθεσιν, προχωρεῖ εἰς πᾶσαν πρᾶξιν, παρίσαται εἰς πᾶσαν περίστασιν· ὅπου ἂν στραφῇς καὶ ὅπου ἐνατενίσῃς, ἐκεῖ βλέπεις τῆς ἁμαρτίας τὰ σκάνδαλα καὶ τῶν ἀνομιῶν τὰς παγίδας· καὶ εἰς αὐτὴν τὴν καρδίαν ἡμῶν ἐμφωλεύει ἡ ἁμαρτία, καί εἰς τὸν νοῦν ἡμῶν ἐμβαίνει. Ἡ σάρξ, ὁ κόσμος, ὁ σατανᾶς, εἰσὶ τρεῖς ἐχθροί, οἵτινες εἰς πάντα λογισμὸν ἡμῶν σπείρουσι τῆς ἁμαρτίας τὰ σπέρματα, καὶ μολύνουσι καὶ αὐτὰ τὰ θεάρεστα ἡμῶν ἔργα. Ἀληθῶς εὐπερίσατός ἐστιν ἡ ἁμαρτία, ἀλλ' ὅταν εἰς πᾶσάν σου περίστασιν ἀφορᾷς εἰς τὸν Ἰησοῦν Χριστόν, τότε ἡ εὐπερίστατος ἁμαρτία γίνεται ἀπερίστατος, ἢ παντελῶς ἀδύνατος καὶ ἀτελεσφόρητος. Ὅταν ἐγείρωνται κατὰ σοῦ τῆς σαρκὸς τὰ θανατηφόρα κύματα, τότε βλέπε αὐτὸν πανάμωμον ἐξ ἁγίας παρθένου ἀφθόρως σαρκωθέντα, καὶ μετὰ κατανύξεως κράζε· «Κύριε σῶσόν με (2). Αὐτὸς δὲ ἀοράτως ἐκτείνει τὴν κραταιὰν αὐτοῦ χεῖρα, καὶ σώζει σε ἐκ τοῦ πειρασμοῦ τῆς σαρκός σου, καθὼς τὸν Πέτρον ἐκ τοῦ καταποντισμοῦ τῆς θαλάσσης. Ὅταν προσβάλλῃ εἰς τὸν νοῦν σου τῆς κοσμικῆς ματαιότητος ὁ καπνός, τότε βλέπε, πῶς ὁ Ἰησοῦς κατεφρόνησε πᾶσαν τοῦ κόσμου τὴν ματαιότητα, ἀναχωρήσας μόνος εἰς τὸ ὄρος, ὅταν ἐζήτησαν ἁρπάσαι αὐτὸν καὶ ποιῆσαι βασιλέα (3). Ὅταν ὁ σατανᾶς ῥίπτῃ κατὰ σοῦ τῆς κοιλιοδουλείας, ἢ τῆς φιλοδοξίας, ἢ τῆς πλεονεξίας τὸ βέλος, τότε βλέπε, πῶς ὁ Ἰησοῦς εἰς τὴν ἔρημον καὶ εἰς τὸ πτερύγιον τοῦ ναοῦ, καὶ εἰς τὸ ὑψηλὸν ὄρος συνέτριψε τοῦτο τὸ σατανικὸν τρίστομον βέλος, ἔπειτα ὑπηρετήθη ὑπὸ τῶν ἁγίων ἀγγέλων (4). Ἐάν σε ταράττῃ τῆς ἀνυποταξίας τὸ πνεῦμα, καὶ φεύγῃς τὴν ὑπακοήν, νομίζων σεαυτὸν τελειότερον τῶν προεστώτων σου, βλέπε τὸν Ἰησοῦν. Αὐτὸς Θεὸς πανυπερτέλειος, καὶ ὅμως ὑπετάσσετο εἰς τοὺς ἀνθρώπους, εἰς τὸν Ἰωσὴφ δηλαδή, καὶ εἰς τὴν ἑαυτοῦ μητέρα (5). Ἐάν σε φυσᾷ τῆς ὑπερηφανείας ὁ ἄνεμος, βλέπε εὐθὺς εἰς αὐτόν. Αὐτός ἐστιν ὁ ποιητὴς τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὁ δημιουργὸς πάντων τῶν ὁρατῶν καὶ ἀοράτων, ὁ δεσπότης καὶ κύριος καὶ πλάστης σου, ὁ ὑπὸ πασῶν τῶν ἐπουρανίων δυνάμεων λατρευόμενος, καὶ ὑπὸ πάσης τῆς κτίσεως δοξολογούμενος, ὁ παντοδύναμός ἐστι καὶ παντεξούσιος, ὁ Θεὸς ὁ ἀληθινός ἐστιν. Αὐτὸς δὲ ἐταπείνωσεν ἑαυτὸν « μορφὴν δούλου λαβὼν », καὶ ἄνθρωπος γενόμενος, οὐκ ἐπησχύνθη καλεῖν τοὺς ἀνθρώπους ἀδελφοὺς αὐτοῦ, καὶ ὁμοιωθῆναι αὐτοῖς κατὰ πάντα (6). Βλέπε αὐτὸν βρέφος ἐν τῇ φάτνῃ τῶν ἀλόγων κατακείμενον, μὴ ἔχοντα, ποῦ τὴν κεφαλὴν κλῖναι, πεινῶντα μετὰ τὴν νηστείαν, κεκοπιακότα μετὰ τὴν ὁδοιπορίαν, λέντιον ἐζωσμένον

(1) Ἑβρ. 12, 1, 2. (2) Ματθ. 14, 30. (3) Ἰωάν. 6, 15. (4) Ματθ. 4, 11. (5) Λουκ. 2, 51.
(6) Φιλιπ. 2, 7. Ἑβρ. 2, 11, 17.



μετὰ τὸ δεῖπνον, ὡς δοῦλον νίπτοντα τῶν μαθητῶν τοὺς πόδας. Ὅταν συκοφαντῶσιν, ἢ ὑβρίζωσιν, ἢ κατ' ἄλλον τρόπον βλάπτωσί σε οἱ ἄνθρωποι, βλέπε αὐτὸν συκοφαντούμενον ὑπὸ τῶν φθονούντων, προδιδόμενον ὑπὸ τοῦ Ἰούδα, συρόμενον εἰς τὰ κριτήρια ὑπὸ τῶν παρανόμων, ῥαπιζόμενον ὑπὸ τοῦ δούλου, κατακρινόμενον ὑπὸ τῶν ἀδίκων κριτῶν, περιπαιζόμενον καὶ ἐμπτυόμενον ὑπὸ τῶν στρατιωτῶν, σταυρούμενον ἐν μέσῳ δύο λῃστῶν, βλασφημούμενον, καὶ χολὴν καὶ ὄξος ποτιζόμενον, νεκρούμενον καὶ τὴν πλευρὰν λογχευόμενον. Παρατήρησον δέ, ὅτι ταῦτα πάσχων· «Ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος ἄφωνος, οὕτως οὐκ ἀνοίγει τὸ στόμα » (1), καθὼς περὶ αὐτοῦ προεφήτευσεν ὁ μέγας προφήτης Ἡσαΐας. Ἐὰν δὲ τὸ μῖσος τῶν ἐχθρῶν σου ζητῇ κατοικῆσαι εἰς τὴν καρδίαν σου, ἐνατένισον εὐθὺς εἰς τοῦ Γολγοθᾶ τὸ ὄρος, καὶ βλέπε τὸν Ἰησοῦν ἐκεῖ ἐν σταυρῷ κρεμάμενον, καὶ ἄκουσον αὐτὸν προσευχόμενον ὑπὲρ τῶν σαυρωσάντων αὐτόν, καὶ λέγοντα· « Πάτερ ἄφες αὐτοῖς· οὐ γὰρ οἴδασι, τί ποιοῦσιν » (2). Εἰς πᾶν εἶδος τῆς εὐπεριστάτου ἁμαρτίας, ἐὰν ἀνοίγῃς τῆς διανοίας σου τὰ ὄμματα, καὶ ἀφορᾷς εἰς τὸν Ἰησοῦν Χριστόν, οὐ μόνον μακρὰν φεύγεις ἀπὸ τοῦ σκότους τῆς ἁμαρτίας, ἀλλὰ καὶ τὸ φῶς τῶν θείων ἀρετῶν περιλάμπει τὴν ψυχήν σου.

Πόσον φωτίζεται ἡ ψυχὴ ἡμῶν, καὶ πόσον στηρίζεται ἐπὶ τὴν ἀρετὴν τῆς ἀγάπης, ὅταν ἐνατενίζοντες εἰς τὸν Ἰησοῦν, βλέπωμεν, ὅτι δι' ἀγάπην ἡμῶν τῶν ἁμαρτωλῶν ἐγένετο ἄνθρωπος, καὶ διὰ τὴν σωτηρίαν ἡμῶν ἀπέθανεν ἐπάνω εἰς τὸν σαυρόν; πόσον ἀπαρτίζεται ὁ νοῦς ἡμῶν πρὸς τὴν τελειότητα τῆς ἐλεημοσύνης, ὅταν ἐνατενίζοντες εἰς αὐτόν, βλέπωμεν τῆς ἐλεημοσύνης αὐτοῦ τὰ θαύματα, καὶ ἀκούωμεν αὐτὸν παραγγέλλοντα εἰς τοὺς ἐλεηθέντας, ἵνα σιωπήσωσι τῆς εὐεργεσίας τὴν χάριν; πόσον θερμαίνεται ἡ ψυχὴ ἡμῶν εἰς τῆς προσευχῆς τὸ ἔργον, ὅταν βλέπωμεν αὐτὸν καὶ εἰς τοὺς ἐρήμους τόπους, καὶ εἰς τὸ ὄρος κατ' ἰδίαν, καὶ εἰς τὴν Γεθσημανὴν προσευχόμενον; πόσον δὲ προθυμοποιούμεθα εἰς τὴν πρᾶξιν τῆς νηστείας, ὅταν βλέπωμεν αὐτὸν νηστεύοντα ἡμέρας τεσσαράκοντα καὶ νύκτας τεσσαράκοντα; πόσον ὠφελούμεθα ὅταν ἐνατενίζοντες εἰς αὐτόν, βλέπωμεν τὴν πρᾳότητα, τὴν ἀνεξικακίαν, τὴν ὑπομονήν, τὴν μακροθυμίαν; πάσας τὰς λοιπὰς ἀρετὰς αὐτοῦ, ὅσας ἔδειξεν εἰς πᾶσαν τὴν περίοδον τῆς παναγίας αὐτοῦ ζωῆς, ἐξόχως δὲ εἰς τὸν καιρὸν τοῦ κοσμοσωτηρίου πάθους;

Σημείωσαι δὲ τῆς ἀπείρου σοφίας τοῦ Θεοῦ τὴν πανεύσπλαγχνον οἰκονομίαν· ἡ θεωρία τῆς θείας δόξης ἐστὶν ἡ μακαριότης καὶ ἡ βασιλεία καὶ ἡ ἀπόλαυσις τῶν θείων ἀγαθῶν· ὅταν βλέπωσιν οἱ ἅγιοι τὴν δόξαν τοῦ Θεοῦ, τότε καὶ μακαρίζονται, καὶ βασιλεύουσι, καὶ χορτάζονται τῶν ἐπουρανίων ἀγαθῶν· « Χορτασθήσομαι ἐν τῷ ὀφθῆναί μοι τὴν δόξαν σου » (3). Ὠκονόμησε δὲ ὁ Θεός, ἵνα ἡ ἐπὶ τῆς γῆς θεωρία τοῦ Ἰησοῦ Χριστοῦ προξενῇ τὴν ἐπουράνιον αὐτοῦ θεωρίαν· διότι ἐὰν κατὰ τὴν διδασκαλίαν τοῦ Παύλου τότε τρέχωμεν τὸν προκείμενον ἡμῖν ἀγῶνα, ἤγουν τῆς σωτηρίας τὸν δρόμον, ὅταν ἀφορῶμεν εἰς τὸν Ἰησοῦν Χριστόν, φανερόν ἐστιν, ὅτι ἡ ἐπὶ γῆς θεωρία αὐτοῦ πρόξενος γίνεται τῆς ἐπουρανίου.

(1) Ἡσ. 53, 7. (2) Λουκ. 23, 34. (3) Ψαλ. 16, 15.

Ἐὰν ἐπιβλέπῃς ὧδε εἰς τὰς ἀρετὰς αὐτοῦ, βλέπεις ἐκεῖ τὴν δόξαν τῆς θείας οὐσίας αὐτοῦ. Ἐὰν ἐπιβλέπῃς ὧδε ἐπὶ τὰ παθήματα αὐτοῦ, βλέπεις ἐκεῖ τὴν δόξαν τῆς ἐκ δεξιῶν καθέδρας τῆς θείας μεγαλωσύνης αὐτοῦ. Ἀδελφοί μου ἀγαπητοί, ἐνατενίζετε ἐν ὅλῃ τῇ προσκαίρῳ ζωῇ ὑμῶν εἰς τὸν Ἰησοῦν Χριστόν, ἵνα καταξιωθῆτε ἰδεῖν τὴν δόξαν τῆς θεότητος αὐτοῦ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος Ἀμήν.

# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΗΝ ΠΡΟΣ

## ΡΩΜΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

### ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗι Β'. ΚΥΡΙΑΚΗι.

ΤΑΣ δεκατέσσαρας ἐπιστολὰς τοῦ θεηγόρου Παύλου ὡς θείαν γραφὴν καὶ λόγον Θεοῦ, ἰσότιμον τοῖς λόγοις τῶν ἁγίων Εὐαγγελίων τιμᾷ καὶ σέβεται ἡ τῶν ὀρθοδόξων χριστιανῶν ἐκκλησία· ἡ δὲ τούτων τάξις, ἡ ἐν τοῖς βιβλίοις ὁρωμένη, οὐκ ἔστι κατὰ τὴν ἀκολουθίαν τοῦ καιροῦ, καθ' ὃν ὁ θεῖος Ἀπόστολος αὐτὰς συνέγραψε· διότι πρώτη μὲν ἐγράφη ὑπ' αὐτοῦ ἡ πρὸς Θεσσαλονικεῖς πρώτη (1)· δευτέρα δέ, ἡ πρὸς αὐτοὺς δευτέρα· τρίτη, ἡ πρὸς Κορινθίους πρώτη· τετάρτη, ἡ πρὸς τοὺς αὐτοὺς δευτέρα· πέμπτη, ἡ πρὸς Τιμόθεον πρώτη· ἕκτη, ἡ πρὸς Τίτον· ἑβδόμη ἡ πρὸς Ῥωμαίους· ὀγδόη, ἡ πρὸς Γαλάτας· ἐννάτη, ἡ πρὸς Φιλιππησίους· δεκάτη, ἡ πρὸς Ἐφεσίους· ἑνδεκάτη, ἡ πρὸς Φιλήμονα· δωδεκάτη, ἡ πρὸς Κολοσαεῖς· δεκάτη τρίτη, ἡ πρὸς Ἑβραίους· δεκάτη τετάρτη καὶ τελευταία, ἡ δευτέρα πρὸς Τιμόθεον. Οὐκ ἔστι δὲ γνωστόν, οὐδὲ τίνες εἰσὶν οἱ ἔκπαλαι ταύτας οὕτω διατάξαντες, οὐδὲ διὰ ποῖον λόγον ταύτας οὕτω διέταξαν, ὡς βλέπομεν ἐν τοῖς ἐκκλησιαςικοῖς βιβλίοις. Ἡ μὲν πρὸς Ῥωμαίους ἐπιστολή, ἡ ὑπὸ τοῦ Παύλου πεμφθεῖσα πρὸς αὐτοὺς ἀπὸ τῆς Κορίνθου, πρὶν ἢ ἔλθῃ εἰς τὴν Ῥώμην, ἐτέθη πρώτη, ἢ διὰ τὴν ἀξίαν τῆς πόλεως ἥτις ἦν τότε ἡ βασιλεύουσα, ἢ διὰ τὰ ἐν αὐτῇ περιεχόμενα. Τοῦτο δὲ πιθανώτερόν ἐστι· διότι αὐτὴ περιέχει τὴν τῆς χριστιανικῆς πίστεως διδασκαλίαν, καὶ διὰ τοῦ φυσικοῦ καὶ διὰ τοῦ γραπτοῦ νόμου ἀποδεδειγμενην. Διὸ ἡ μὲν διὰ τοῦ φυσικοῦ νόμου ἀπόδειξις ὁδηγεῖ πρὸς τὴν πίστιν τοὺς ἐθνικούς· ἡ δὲ διὰ τοῦ γραπτοῦ, τοὺς Ἑβραίους· ἐκ τούτου δὲ δύναται ἐπιστρέψαι παντὸς γένους ἄνθρωπον· ἡ αὐτὴ δὲ δηλοποιεῖ καὶ τὸν λόγον, δι' ὃν ὁ Θεὸς ἀπώσατο μὲν τὸ ἑβραϊκὸν γένος, ἀντεισήγαγε δὲ ἀντ' αὐτοῦ τὰ ἔθνη· καὶ ἄλλα δὲ πολλὰ καὶ μυστηριώδη διδάσκει ἡ ἐπιστολή, διεξοδικῆς καὶ βαθείας

(1) Ὅρ. Θεοδωρητ. προοίμ· ἐν τῇ πρὸς Ῥωμ, ἐπις.



δεόμενα ἑρμηνείας· ἡμεῖς δὲ τὴν ἐξ αὐτῆς ἀναγνωσθεῖσαν σήμερον περικοπὴν σπουδάσωμεν διερμηνεῦσαι, τῷ τοῦ παναγάθου Θεοῦ φωτιστικῷ ἐλέει θαῤῥήσαντες.

*Ἀδελφοί, δόξα καὶ τιμὴ καὶ εἰρήνη παντὶ τῷ ἐργαζομένῳ τὸ ἀγαθόν, Ἰουδαίῳ τε πρῶτον καὶ Ἕλληνι. Οὐ γάρ ἐςι προσωποληψία παρὰ τῷ Θεῷ (1).*

Ἕλληνας ὀνομάζει πάντας τοὺς ἐθνικούς, τοὺς μὴ ὄντας ἐκ τοῦ γένους τῶν Ἰουδαίων. Λαλεῖ δὲ περὶ Ἰουδαίων καὶ Ἑλλήνων, τῶν πρὸ τῆς ἐνανθρωπήσεως τοῦ Ἰησοῦ Χριστοῦ, διδάσκων, ὅτι πρὸ τοῦ εὐαγγελικοῦ κηρύγματος οὐ μόνον οἱ Ἰουδαῖοι, οἱ τὸν δοθέντα αὐτοῖς νόμον φυλάττοντες, ἀλλὰ καὶ οἱ ἐθνικοί, ὅσοι δηλαδὴ διὰ τῆς ὁδηγίας τοῦ φυσικοῦ νόμου ἐποίουν τὰ καλὰ ἔργα, ἦσαν ἄξιοι δόξης καὶ τιμῆς καὶ εἰρήνης. Διότι « Οὐκ ἔστι, λέγει, προ» σωποληψία παρὰ τῷ Θεῷ », τουτέστιν ὁ Θεὸς οὐδὲ εἰς γένος, οὐδὲ εἰς ἀξίαν, οὐδὲ εἰς ἄλλο τι κοσμικὸν πρᾶγμα ἐπιβλέπει, ἀλλὰ μόνην τὴν προαίρεσιν καὶ τὰ ἔργα τοῦ ἀνθρώπου παρατηρεῖ· καθότι εἷς καὶ ὁ αὐτός ἐστι πλάστης καὶ δημιουργὸς καὶ Θεὸς ἐπίσης πάντων τῶν ἀνθρώπων. « Ἦ » Ἰουδαίων, λέγει ὁ αὐτὸς Ἀπόςολος, ὁ Θεὸς » μόνον; οὐχὶ δὲ καὶ ἐθνῶν; ναὶ καὶ ἐθνῶν. » Ἐπείπερ εἷς ὁ Θεός, ὃς δικαιώσει περι» τομὴν ἐκ πίστεως, καὶ ἀκροβυστίαν διὰ » τῆς πίστεως. » (2). Διὰ τί οὖν ταῦτα εἰπών, δίδωσι τὰ πρωτεῖα εἰς τὸν Ἰουδαῖον, λέγων· «Ἰουδαίῳ τε πρῶτον καὶ Ἕλληνι; » Προλαβὸν εἶπε· « Θλίψις καὶ στενοχωρία » ἐπὶ πᾶσαν ψυχὴν ἀνθρώπου, τοῦ κατερ» γαζομένου τὸ κακόν, Ἰουδαίου τε πρῶ« τον καὶ Ἕλληνος ». Προέταξε τὸν Ἰουδαῖον τοῦ Ἕλληνος εἰς τὴν ἀνταπόδοσιν τῆς τιμωρίας, ἐπειδὴ ὁ μὲν Ἰουδαῖος ὁ πταίστης καταφρονεῖ δύο νόμους, τὸν φυσικὸν καὶ τὸν γραπτόν· ὁ δὲ Ἕλλην μόνον τὸν φυσικὸν νόμον καταφρονεῖ, ὅταν ἁμαρτάνῃ. Διὰ τὸν αὐτὸν οὖν λόγον πρῶτον ὁ Ἰουδαῖος, ἔπειτα ὁ ἐθνικός ἐστιν ἄξιος δόξης καὶ τιμῆς καὶ εἰρήνης, ἐπειδὴ ὁ Ἰουδαῖος ὁ ἐνάρετος οὐ μόνον ὑπήκουσεν εἰς τὴν ὁδηγίαν τῆς φύσεως, ἀλλὰ καὶ εἰς τοῦ νόμου τὰ προστάγματα, πιστεύσας, ὅτι τὰ λόγια τοῦ νόμου εἰσὶ λόγια Θεοῦ· « Τί » οὖν τὸ περισσὸν τοῦ Ἰουδαίου; λέγει ὁ » αὐτὸς Παῦλος, ἢ τίς ὠφέλεια τῆς περιτο» μῆς; Πολὺ κατὰ πάντα τρόπον » (3). Πρῶτον μὲν γὰρ ὅτι ἐπιςεύθησαν τὰ λόγια τοῦ Θεοῦ. Ἐπιβεβαιοῦσι δὲ τοῦτο τὸ νόημα τὰ ἀκόλουθα.

*Ὅσοι γὰρ ἀνόμως ἥμαρτον, ἀνόμως καὶ ἀπολοῦνται· καὶ ὅσοι ἐν νόμῳ ἥμαρτον, διὰ νόμου κριθήσονται (4).*

Ποῖοι ἁμαρτάνουσιν ἀνόμως; οἱ ἐθνικοί, οἵτινες οὐκ ἔλαβον τὸν διὰ Μωϋσέως δοθέντα νόμον, παραβαίνουσι δὲ τὰς ἐντολὰς αὐτοῦ. Ποῖοι δὲ ἁμαρτάνουσιν ἐν νόμῳ; Οἱ Ἰουδαῖοι, οἵτινες, κἂν ἔλαβον τὸν ῥηθέντα νόμον, παραβαίνουσιν ὅμως αὐτόν. Κατακρίνονται δὲ καὶ οἱ Ἰουδαῖοι καὶ οἱ ἐθνικοί, οἱ τὸν νόμον παραβαίνοντες, πλὴν οἱ μὲν Ἰουδαῖοι αὐςηρότερα, ἐπειδὴ ὁ νόμος ἐλέγχει καὶ κατακρίνει τὰς τούτων παραβάσεις (5). « Ἔστιν ὁ κατηγορῶν ὑμῶν, εἶπεν » ὁ Κύριος, Μωσῆς, εἰς ὃν ὑμεῖς ἠλπίκα-

(1) Ῥωμ. 2. 10, 11. (2) Αὐτ. 3, 29, 30. (3) Αὐτ. 3, 1, 2. (4) Αὐτ. 2, 12. (5) Χρυσ. εἰς τὴν πρὸς Ἑβρ.

» τε » (1)· οἱ δὲ ἐθνικοὶ ἡμερώτερα, ἐπειδὴ οὐκ ἔχουσι τὸν νόμον κατηγοροῦντα καὶ κατακρίνοντα αὐτούς. Σημείωσαι δέ, ὅτι κἂν τό, Ἀπολοῦνται, τὸ περὶ τῶν ἐθνικῶν εἰρημένον, βαρύτερον φαίνεται τοῦ, Κριθήσονται, τοῦ περὶ τῶν Ἰουδαίων ῥηθέντος, οὐκ ἔστιν ὅμως βαρύτερον· διότι τό, Κριθήσονται, σημαίνει τό, καταδικασθήσονται. Ἐπειδὴ δὲ ἀπορία προκύπτει περὶ τοῦ, πῶς οἱ Ἰουδαῖοι, οἱ τὸν νόμον λαβόντες, παραβάται τούτου γινόμενοι, οὐ μόνον οὐδὲν ὠφελοῦνται, ἀλλὰ καὶ περισσότερον καταδικάζονται· ἔτι δὲ καὶ περὶ τοῦ, πῶς οἱ ἐθνικοί, οἱ τὸν νόμον μὴ ἀκούσαντες ἀπολοῦνται διὰ τὴν παράβασιν τοῦ νόμου· λύει ταύτας τὰς δύο ἀπορίας ὁ θεόπνευστος τοῦ Χριστοῦ Ἀπόστολος, λέγων·

*Οὐ γὰρ οἱ ἀκροαταὶ τοῦ νόμου δίκαιοι παρὰ τῷ Θεῷ, ἀλλ' οἱ ποιηταὶ τοῦ νόμου δικαιωθήσονται* (2).

Ἰδοὺ πῶς λύει τὴν πρώτην ἀπορίαν· οἱ Ἰουδαῖοι ἐκαυχῶντο, ὡς λαβόντες τὸν θεῖον νόμον, ἔπειτα παραβαίνοντες αὐτὸν κατεφρόνουν τὸν νομοδότην· « Ὃς ἐν νόμῳ καυ» χᾶσαι, διὰ τῆς παραβάσεως τοῦ νόμου » τὸν Θεὸν ἀτιμάζεις; » (3) Οὕτως ἐξήλεγχεν αὐτοὺς ὁ Παῦλος. Εἰπὼν οὖν· « Ὅσοι ἐν » νόμῳ ἥμαρτον, διὰ νόμου κριθήσονται » (4), δηλοποιεῖ διὰ ποῖον λόγον μέλλουσι κατακριθῆναι οἱ λαβόντες τὸν νόμον καὶ μὴ φυλάττοντες αὐτόν· διότι οὐχὶ οἱ ἀκούοντες, λέγει, τὸν νόμον, καὶ παραβαίνοντες αὐτόν, ἀλλ' οἱ ἀκούοντες καὶ φυλάττοντες ὅσα ὁ νόμος παραγγέλλει, ἐκεῖνοί εἰσι δίκαιοι καὶ ἅγιοι ἐνώπιον τοῦ Θεοῦ· ἀληθῶς δέ, ὅταν ὁ Θεὸς ἔδωκε τὸν νόμον παρήγγειλε φανερά, ἵνα φυλάττωμεν αὐτόν· « Πάντα, εἶπεν, » ὅσα εἴρηκα πρὸς ὑμᾶς φυλάξασθε· Καὶ » φυλάξασθε τὰ προστάγματά μου, καὶ » ποιήσετε αὐτά (5). Ἐγὼ Κύριος ὁ ἁγιά» ζων ὑμᾶς (6). Φυλάσσεσθε τὰς ἐντολὰς » Κυρίου τοῦ Θεοῦ ὑμῶν » (7). Καὶ τιμωρίας δὲ καὶ κατάρας ὥρισεν ὁ Θεὸς κατὰ τῶν παραβαινόντων τὸν νόμον αὐτοῦ φρικτάς τε καὶ φοβεράς. Διὰ τοῦτο οὖν ὅσοι ἀκούοντες τὸν νόμον, παραβαίνουσιν αὐτόν, ὑπ' αὐτοῦ τοῦ νόμου κατακρίνονται καὶ καταδικάζονται. Ἄκουσον δὲ καὶ τῆς δευτέρας ἀπορίας τὴν λύσιν.

*Ὅταν γὰρ ἔθνη, τὰ μὴ νόμον ἔχοντα, φύσει τὰ τοῦ νόμου ποιῇ, οὗτοι νόμον μὴ ἔχοντες, ἑαυτοῖς εἰσι νόμος* (8).

Ὅταν οἱ ἐθνικοί, λέγει, οἱ μὴ ἔχοντες τὸν νόμον τοῦ Θεοῦ τὸν γραπτόν, ὑπὸ τῆς φύσεως ὁδηγούμενοι, ποιῶσι τὰ ὑπὸ τοῦ νόμου παραγγελλόμενα· φανερόν ἐστιν, ὅτι οὗτοι, ἤγουν αὐτοὶ οἱ ἐθνικοί, μὴ ἔχοντες τὸν θεῖον νόμον, νομοθετοῦσιν εἰς ἑαυτούς· ταῦτα δὲ διδάσκουσιν ἡμᾶς, ὅτι εἰς τὴν ἀνθρώπινον φύσιν ἐστὶν ἐμπεφυτευμένος νόμος, ὅστις ὁδηγεῖ τὸν ἄνθρωπον πρὸς τὴν φυλακὴν τοῦ νόμου τοῦ Θεοῦ· οὗτος δέ ἐςιν ὁ λεγόμενος φυσικὸς νόμος· διὰ τῆς ὁδηγίας δὲ τούτου τοῦ φυσικοῦ νόμου ὁ Ἄβελ, ὁ Ἐνώχ, ὁ Νῶε, ὁ Μελχισεδέκ, ὁ Ἀβραάμ, καὶ πάντες οἱ πρὸ τοῦ νόμου δίκαιοι, ἐφύλαξαν τὰ διδασκόμενα ὑπὸ τοῦ γραπτοῦ νόμου· αὐτοὶ μὴ ἔχοντες νόμον γραπτόν, ἐγένοντο νόμος ἑαυτοῖς· αὐτοὶ ἐνομοθέτουν εἰς ἑαυτούς, ὑπὸ τοῦ φωτὸς τῆς φύσεως ὁδη-

(1) Ἰωάν. 5, 45. (2) Ῥωμ. 2, 13, (3) Αὐτ. 2, 23. (4) Αὐτ. 2, 12. (5) Ἐξ. 23, 13. (6) Δευτ. 4, 2. (7) Αὐτ. 27 καὶ 28. (8) Ῥωμ. 2, 14.



γούμενοι· βλέπε δέ, πῶς ὑπ' αὐτῆς τῆς ἀποστολικῆς διδασκαλίας λύεται οὐ μόνον ἡ δευτέρα ἀλλὰ καὶ ἡ πρώτη ἀπορία. Ὁ ἐθνικὸς ἔχει μίαν μόνην λαμπάδα φωτίζουσαν αὐτόν, μόνον δηλαδὴ τὸν νόμον τὸν φυσικόν, ὁ Ἰουδαῖος ἔχει δύω, τὸν νόμον τὸν φυσικόν, καὶ τὸν νόμον τὸν γραπτόν· διὰ τοῦτο, ὅταν μὲν ἁμαρτάνῃ ὁ ἐθνικός, ἀπολεῖται· ἐπειδὴ ἀθετεῖ τὸν νόμον τὸν φυσικόν, τὸν ὁδηγοῦντα αὐτὸν πρὸς τὴν φυλακὴν τῶν ἐντολῶν τοῦ Θεοῦ· ὅταν δὲ ἁμαρτάνῃ ὁ Ἰουδαῖος, καταδικάζεται βαρύτερα τοῦ ἐθνικοῦ· ἐπειδὴ καταφρονεῖ δύω νόμους, τὸν φυσικὸν καὶ τὸν γραπτόν· διὰ τῶν ἑξῆς δὲ λόγων ἐπιβεβαιῶν ὁ θεῖος Ἀπόστολος τὰ αὐτά, διδάσκει καὶ τό, πῶς ἐνεργεῖ ἐν ἡμῖν ὁ φυσικὸς νόμος.

*Οἵτινες ἐνδείκνυνται τὸ ἔργον τοῦ νόμου γραπτὸν ἐν ταῖς καρδίαις αὐτῶν, συμμαρτυρούσης αὐτῶν τῆς συνειδήσεως, καὶ μεταξὺ ἀλλήλων τῶν λογισμῶν κατηγορούντων, ἢ καὶ ἀπολογουμένων*) (1).

Αὐτοί, λέγει, οἱ μὴ λαβόντες τὸν νόμον, δεικνύουσιν, ὅτι τὸ ἔργον τοῦ νόμου ἐστὶ γεγραμμένον ἐν ταῖς καρδίαις αὐτῶν. Ποῖον δέ ἐστι τοῦ νόμου τὸ ἔργον; Ἡ φυγὴ τῆς ἁμαρτίας, καὶ ἡ κατόρθωσις τῆς ἀρετῆς. Πῶς δὲ δεικνύουσιν, ὅτι τοῦτο τὸ ἔργον ἐςὶ γεγραμμένον ἐν ταῖς καρδίαις αὐτῶν; διὰ τῶν πραγμάτων· διότι νόμον μὴ λαβόντες, μηδὲ ἀκούσαντες τὰς ἐντολὰς αὐτοῦ, φυλάττωσιν αὐτάς. Ἀλλὰ πόθεν ὁδηγοῦνται πρὸς τὴν τούτων φυλακήν; Ἐκ τῆς συνειδήσεως καὶ τῆς λογικῆς δυνάμεως· ἡ συνείδησις μετὰ τῆς λογικῆς δυνάμεως μαρτυρεῖ, ποῖόν ἐστι τὸ καλὸν καὶ ποῖον τὸ κακόν· « Συμμαρτυρούσης τῆς συνειδήσεως ». Ἡ λογικὴ δύναμις, ἤγουν οἱ λογισμοὶ τοῦ νοὸς κατηγοροῦσιν ἀλλήλους, ἢ καὶ ἀπολογοῦνται μεταξὺ ἀλλήλων ὑπὲρ τῆς ἀρετῆς καὶ τῆς ἁμαρτίας· οἱ λογισμοὶ τῆς ἀρετῆς κατηγοροῦσι τοὺς λογισμοὺς τῆς ἁμαρτίας, ἢ καὶ ἀπολογοῦνται πρὸς αὐτούς, ὑπερμαχοῦντες ὑπὲρ τῆς ἀρετῆς· οἱ δὲ λογισμοὶ τῆς ἁμαρτίας κατηγοροῦσι τοὺς λογισμοὺς τῆς ἀρετῆς, ἢ καὶ ἀπολογοῦνται, δικαιολογοῦντες τὴν ἁμαρτίαν· « Καὶ μεταξὺ ἀλλήλων τῶν » λογισμῶν κατηγορούντων, ἢ καὶ ἀπολογουμένων ». Δι' αὐτῶν δὲ τῶν δύω δυνάμεων, τῆς συνειδήσεως καὶ τοῦ λογικοῦ, ἐνεργεῖ ἐν ἡμῖν ὁ φυσικὸς νόμος, ὁ ὑπὸ Θεοῦ φυτευθεὶς εἰς τὴν φύσιν τῶν ἀνθρώπων. Σημείωσαι δέ, ὅτι τὰ ἀπὸ τοῦ, « Οὐ γὰρ οἱ » ἀκροαταὶ τοῦ νόμου » (2), ἕως τοῦ, « Ἢ καὶ ἀπολογουμένων », παρενθετικῶς ἐκλαμβάνονται, ὡς ἐν πολλαῖς τῆς νέας διαθήκης ἐκδόσεσιν ἐσημειώθη. Τὰ δὲ ἑξῆς ἀναφέρονται ἀμέσως εἰς τὸ « Διὰ νόμου » κριθήσονται (3).

*Ἐν ἡμέρᾳ, ὅτε κρινεῖ ὁ Θεὸς τὰ κρυπτὰ τῶν ἀνθρώπων κατὰ τὸ Εὐαγγέλιόν μου, διὰ Ἰησοῦ Χριστοῦ* (4).

« Ὅσοι γάρ, εἶπεν, ἀνωτέρω, ἀνόμως » ἥμαρτον, ἀνόμως καὶ ἀπολοῦνται· καὶ » ὅσοι ἐν νόμῳ ἥμαρτον, διὰ νόμου κριθή» σονται ». Πότε δὲ ταῦτα ἔσται, ἐφανέρωσεν, εἰπών· « Ἐν ἡμέρᾳ, ὅτε κρινεῖ ὁ » Θεὸς τὰ κρυπτὰ τῶν ἀνθρώπων ». Διὰ τί δὲ εἶπε τὰ κρυπτὰ τῶν ἀνθρώπων; ἆρά

(1) Ῥωμ. 2, 15. (2) Αὐτ. 2, 13. (3) Αὐτ. 2, 10. (4) Αὐτ. 2, 16.

γε μόνα τὰ κρυπτὰ ἔργα κρίνει ὁ Θεὸς ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως; Οὐχί· ἐλάλησε δὲ οὕτως ὁ Ἀπόστολος, ἵνα μὴ νομίσωμεν, ὅτι μόνα τὰ φανερὰ κρίνει ὁ Θεός, ἀλλὰ πιστεύσαντες, ὅτι αὐτός ἐστιν ὁ « δοκιμάζων νεφροὺς καὶ καρδίας » (1), καὶ κρίνων οὐ μόνον τὰ φανερά, ἀλλὰ καὶ αὐτὰ τὰ ἀπόκρυφα ἔργα, καὶ αὐτοὺς τοὺς λογισμοὺς καὶ τὰς ἐννοίας τῶν ἀνθρώπων, ἀπέχωμεν οὐ μόνον ἀπὸ τῶν φανερῶν ἁμαρτημάτων, ἀλλὰ καὶ ἀπ' αὐτῶν τῶν ἐν ἀποκρύφῳ δι' ἔργων, ἢ διὰ λόγων, ἢ διὰ λογισμῶν γινομένων. Ποῖον δὲ λέγει, Εὐαγγέλιόν μου; αὐτὸς Εὐαγγέλιον οὐ συνέγραψε, καθὼς οἱ τέσσαρες Εὐαγγελισταί. Εὐαγγέλιόν μου ὠνόμασε τοῦ Εὐαγγελίου τὸν λόγον, τὸν ὑπ' αὐτοῦ κηρυττόμενον οὐ μόνον ἐν ταύτῃ τῇ πρὸς τοὺς Ῥωμαίους ἐπιστολῇ, ἀλλὰ καὶ ἐν τῇ πρὸς Τιμόθεον, γράψας πρὸς αὐτόν· « Μνημόνευε Ἰησοῦν Χριστὸν ἐγηγερμένον ἐκ νεκρῶν, ἐκ σπέρματος Δαβίδ, κατὰ τὸ Εὐαγγέλιόν μου (2). Τὸ αὐτὸ δὲ εὐαγγελικὸν κήρυγμα ὠνόμασε καὶ « Εὐαγγέλιον τοῦ Χριστοῦ, καὶ Εὐαγγέλιον τῆς δόξης τοῦ Χριστοῦ, καὶ Εὐαγγέλιον τῆς σωτηρίας, καὶ Εὐαγγέλιον τοῦ Θεοῦ » (3). Εἶπε δέ, ὅτι « διὰ Ἰησοῦ Χριστοῦ κρίνει ὁ Θεὸς τὰ κρυπτὰ τῶν ἀνθρώπων, ἐπειδὴ ὁ πατὴρ κρίνει οὐδένα, ἀλλὰ τὴν κρίσιν πᾶσαν δέδωκε τῷ υἱῷ » (4).

# ΟΜΙΛΙΑ

## ΜΕΤΑ ΤΗΝ ΠΡΟΣ

# ΡΩΜΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

## ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗι Β'. ΚΥΡΙΑΚΗι

Ὁπόσον στηρίζουσι μὲν τοὺς ἐναρέτους εἰς τὴν ἀρετὴν ποιοῦσι δὲ ἀναπολογήτους τοὺς ἁμαρτωλοὺς διὰ τὴν ἁμαρτίαν τὰ σήμερον ἀναγνωσθέντα λόγια τῆς ἐπιστολῆς τοῦ θεοπνεύστου Ἀποστόλου Παύλου. Ἄνθρωποι, ὅσοι ἀγαπᾶτε τὸν Θεὸν καὶ τὸν πλησίον, ὅσοι ἔχετε φρόνησιν εἰς τὸν νοῦν, ταπείνωσιν καὶ πρᾳότητα εἰς τὴν καρδίαν, σωφροσύνην καὶ ἐγκράτειαν εἰς πάντα τοῦ σώματος τὰ μέλη· εὐθύτητα καὶ δικαιοσύνην εἰς πάντα τὰ ὑμέτερα ἔργα· ὅσοι ἐλεεῖτε τοὺς πτωχούς, φιλοξενεῖτε τούς ξένους, ἐπισκέπτεσθε τοὺς ἀσθενεῖς· ὅσοι νηστεύετε καὶ προσεύχεσθε καὶ ἀγρυπνεῖτε· ἄνθρωποι, ὅσοι ὡς κόρην ὀφθαλμοῦ φυλάττετε τὰς ἐντολὰς τοῦ Κυρίου, καὶ ὡς αἱ μέλισσαι μετὰ πάσης ἐπιμελείας συνάγετε τὸ γλυκύτατον τῶν ἀρετῶν μέλι· ἀκούσατε ποῖά εἰσι τῶν κόπων ὑμῶν τὰ ἀνταποδόματα, δόξα εἰσὶ καὶ τιμὴ καὶ εἰρήνη· περὶ τούτου μηδεὶς ἀμφιβαλλέτω. Σκύθης ὑπάρχεις τὸ γένος Ἄραψ, Αἰγύπτιος, Ἰνδός, Ἰουδαῖος,

(1) Ἱερ. 11, 20. (2) Β'. Τιμ. 2, 8. (3) Ά. Κορ. 9, 12. Β'. Κορ. 4, 4. Ἐφεσ. 1. 13. (4) Α. Θεσ, 2, 2. Ἰωάν. 5, 22.



Ἕλλην, εἴτε εὐτυχεῖ τὸ γένος σου, εἴτε δυστυχεῖ· εἴτε βασιλεύει ἐπὶ γῆς, εἴτε εὑρίσκεται ὑπὸ τὸν ζυγόν τῆς αἰχμαλωσίας, μὴ διστάζῃς ὅλως. Πλούσιος ὑπάρχεις ἢ πένης, δεσπότης ἢ δοῦλος, ἐλεύθερος ἢ αἰχμάλωτος, βασιλεὺς ἢ ὑπήκοος, ὁποίου ἂν ὑπάρχῃς γένους, κατασάσεως, τάξεως, ὅταν ἐργάζησαι τὰ ἀγαθὰ ἔργα, δόξαν ἔχεις καὶ τιμὴν καὶ εἰρήνην· « Δόξα καὶ τιμὴ καὶ εἰρήνη παντὶ τῷ ἐργαζομένῳ τὸ ἀγαθόν, Ἰουδαίῳ τε πρῶτον καὶ Ἕλληνι » (1). Ἐπειδὴ ὁ Θεὸς οὐκ ἔστι προσωπολήπτης, εἰς τὰ τοιαῦτα οὐκ ἐπιβλέπει, παρατηρεῖ δὲ μόνα τὰ ἔργα σου. « Οὐ γάρ ἐστι προσωποληψία παρὰ τῷ Θεῷ » (2).

Δόξα, λέγει, ἄλλη δὲ ἡ δόξα τῆς ἀρετῆς, καὶ ἄλλη ἡ δόξα τοῦ κόσμου· ἡ δόξα τῆς ἀρετῆς ἐστιν ἀμάραντος καὶ ἀμετάβλητος, ἡ δόξα τοῦ κόσμου εὐκόλως μαραίνεται καὶ μεταβάλλεται. Ὁ ἔχων τῆς ἀρετῆς τὸν θησαυρόν ἐστι πάντοτε ἔνδοξος· ὁ ἔχων τοῦ κόσμου τὰ ἀγαθά, σήμερον ἔνδοξος, αὔριον ἄδοξος· ἡ δόξα τῆς ἀρετῆς ἐστιν ἀθάνατος καὶ αἰώνιος, ἡ δόξα τοῦ κόσμου ἐστὶ θνητὴ καὶ πρόσκαιρος. Ἀποθνήσκουσι μὲν ὡς ἄνθρωποι καὶ οἱ φοροῦντες τῆς ἀρετῆς τὸν ςέφανον, ἀλλ' ἡ δόξα αὐτῶν οὐκ ἀποθνήσκει, ἀλλὰ ζῇ, καὶ διαμένει εἰς αἰῶνα αἰῶνος· « Καὶ ἡ δόξα αὐτῶν οὐκ ἐξαλειφθήσεται » (3). Ἀποθνήσκουσι καὶ οἱ πλουτοῦντες τὰ ἀγαθὰ τοῦ κόσμου, ἀποθνήσκει δὲ καὶ ἡ δόξα αὐτῶν· « Πᾶσα δόξα ἀνθρώπου, ὡς ἄνθος χόρτου. Ἐξηράνθη ὁ χόρτος καὶ τὸ ἄνθος ἐξέπεσεν » (4). Ἡ δόξα τῆς ἀρετῆς ἐστι φῶς, ὃ φωτίζει τὸν νοῦν καὶ ὠφελεῖ τὴν ψυχήν· « Οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς » (5). Ἡ δόξα τῆς κοσμικῆς εὐτυχίας ἐστὶ σκότος, σκοτίζον τὸν νοῦν καὶ βλάπτον τὴν ψυχήν. « Ὁ κόσμος ὅλος ἐν τῷ πονηρῷ κεῖται » (6). Ὅσον οὖν διαφέρει τὸ φῶς τοῦ σκότος, καὶ ἡ ὠφέλεια τῆς βλάβης, καὶ τὸ αἰώνιον τοῦ προσκαίρου, τόσον διαφέρει τῆς ἀρετῆς ἡ δόξα τῆς του κόσμου ματαίας δόξης.

« Δόξα καὶ τιμή » (7). Ἡ τιμὴ τῆς ἀρετῆς ἐστιν ἡ ἀληθινὴ τιμή· τὸν πλούσιον τὸν φιλάργυρον καὶ ἀμετάδοτον οὐ τιμᾷς, ἀλλὰ περιφρονεῖς. Ἐὰν δὲ ἐλπίσῃς τι παρ' αὐτοῦ, κολακεύεις, ἀλλ' οὐ τιμᾷς αὐτόν· τὰ χείλη σου πλέκουσιν αὐτῷ ἐπαίνους, ἀλλ' ἡ καρδία σου ἐξερεύγεται κατ' αὐτοῦ ὕβρεις· τὸν ἄρχοντα, ἢ τὸν ἀξιωματικόν, τὸν ὑπερήφανον καὶ ἀκατάδεκτον, τὸν ἀδικητὴν καὶ δυνάστην, οὐ τιμᾷς, ἀλλὰ φρίττεις καὶ τρέμεις ἀπὸ προσώπου αὐτοῦ· κλίνεις τὴν κεφαλὴν καὶ προσκυνεῖς αὐτὸν ἕως ἐδάφους τῆς γῆς, πλὴν οὐκ ἐξ εὐλαβείας προτρεπόμενος, ἀλλ' ἐκ τοῦ φόβου καὶ τῆς δειλίας ἀναγκαζόμενος· τὸ σῶμά σου προσκυνεῖ καὶ δεικνύει πρὸς αὐτὸν σέβας, ἀλλὰ τὸ πνεῦμά σου παροργίζεται, καὶ λέγει μετὰ τοῦ προφήτου· « Πρόσθες αὐτοῖς κακὰ Κύριε, πρόσθες κακὰ τοῖς ἐνδόξοις τῆς γῆς » (8). Τοιουτοτρόπως τιμῶμεν τοὺς ἐνδόξους τῆς γῆς, τοὺς ἐστερημένους τῆς ἀρετῆς· τὸν δὲ ἄνθρωπον, ὁποίας ἂν εἴη τάξεως καὶ καταστάσεως, ἐν ᾧ βλέπεις τῆς ἀρετῆς τὴν λαμπρότητα, ἐπαινεῖ τὸ στόμα σου καὶ τιμᾷ ἡ καρδία σου, προσκυνεῖ τὸ σῶμά σου καὶ σέβεται τὸ πνεῦμά σου, μόνη τῆς ψυχῆς σου ἡ εὐλάβεια κλίνει ἐνώπιον αὐτοῦ τὴν κεφαλήν σου· τόσον οὖν ὑπερτέρα ἐστὶν ἡ

(1) Ῥωμ. 2, 10. (2) Αὐτ. 11. (3) Σειρ. 44, 33. (4) Ἡσ. 40, 6, 8. (5) Ματθ. 5, 16. (6) Α'. Ἰωάν. 5, 19, (7) Ῥωμ. 2, 10. (8) Ἡσ. 26, 15.

τιμὴ ἡ προσφερομένη πρὸς τοὺς ἐναρέτους, τῆς τιμῆς τῆς προσφερομένης πρὸς τοὺς ἐνδόξους τῆς γῆς, ὅσον ἡ τιμὴ ἡ ὑποκριτική, τῆς τιμῆς τῆς ἀληθινῆς, καὶ ὅσον ὑπερτέρα ἐςὶν ἡ ψυχὴ τοῦ σώματος.

« Δόξα καὶ τιμὴ καὶ εἰρήνη »(1). Δύω εἰσὶ τῆς εἰρήνης τὰ εἴδη· εἰρήνη ἐσωτερική, καὶ εἰρήνη ἐξωτερική· ὅταν νεκρωθῶσιν αἱ ἐπιθυμίαι τῶν κοσμικῶν πραγμάτων, καὶ παύσῃ τῆς συνειδήσεως ὁ ἔλεγχος, τότε εἰρηνεύομεν « Ἐν ἑαυτοῖς » (2), κατὰ τὴν παραγγελίαν τοῦ Παύλου, τουτέστι τότε ἔρχεται ἐν ἡμῖν ἡ εἰρήνη ἡ ἐσωτερική. Ὅταν δὲ ἀγαπῶμεν τὸν πλησίον καθὼς καὶ ἑαυτούς, κατὰ τὴν ἐντολὴν τοῦ Κυρίου(3), τότε ὅσον τὸ ἐξ ἡμῶν, εἰρηνεύομεν μετὰ πάντων τῶν ἀνθρώπων, ὡς διδάσκει ὁ Παῦλος (4), ἤγουν ἔχομεν τὴν εἰρήνην τὴν ἐξωτερικήν. Ταῦτα τὰ δύω εἴδη τῆς εἰρήνης μετέδωκεν ὁ Θεάνθρωπος τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς δισσεύσας τῆς εἰρήνης τὴν δόσιν, καὶ εἰπών· « Εἰρήνην ἀφίημι ὑμῖν, εἰρήνην τὴν » ἐμὴν δίδωμι ὑμῖν » (5). Διὰ τοῦτο ὅταν εἰρηνεύωμεν καὶ ἐσωτερικῶς καὶ ἐξωτερικῶς, τότε ἔχομεν τὴν ἀληθινὴν καὶ τελείαν εἰρήνην.

Ὁ κόσμος ἁρπάζει καὶ τὴν ἐσωτερικήν, καὶ τὴν ἐξωτερικὴν εἰρήνην· αὐτὸς ἐξάπτει τὰς σωματικὰς ἐπιθυμίας, τὴν ἔφεσιν τῆς πλεονεξίας, τοὺς ἔρωτας τῆς ἀσελγείας, τὸν πόθον τῆς ματαιοδοξίας· ποίαν δὲ ἡσυχίαν ἔχει ὁ πλεονέκτης; αὐτὸς ἄνω καὶ κάτω φέρεται ἀκαταπαύστως ἵνα πλουτήσῃ· κἂν δὲ ὑπερπλουτήσῃ, οὐδέποτε χορτάζεται, οὐδὲ ἡσυχάζει· ἀλλ' ὡς ὁ ὑδρωπικός, ὅςις, ὅσον περισσότερον πίνει, τόσον περισσότερον διψᾷ, οὕτως αὐτός, ὅσον περισσότερον θησαυρίζει, τόσον περισσότερον ἐπιθυμεῖ τοῦ πλούτου; Ποίαν εἰρήνην ἔχει ὁ ἀσελγὴς καὶ ἄσωτος, αἰσθανόμενος, ὅτι διαφθείρει οὐ μόνον τὰ ὑπάρχοντα αὐτοῦ, ἀλλὰ καὶ τὰς σωματικὰς αὐτοῦ δυνάμεις, καὶ τὴν ὑγείαν, καὶ αὐτὸ τὸ ἴδιον αὐτοῦ σῶμα; Ποίαν εἰρήνην ἔχει ὁ ματαιόδοξος ζητῶν ἐπαίνους καὶ κολακείας, καὶ φιλονεικῶν ὑπὲρ τῶν πρωτείων καὶ τῆς πρωτοκαθεδρίας, καὶ σπουδάζων ὑπὲρ τῶν ἀξιωμάτων καὶ τῶν τίτλων; αἱ τοιαῦται δὲ ἐπιθυμίαι οὐ μόνον κυματίζουσι καὶ καταταράττουσι τὸν ἄνθρωπον, ἀλλὰ καὶ καταποντίζουσιν αὐτὸν εἰς ἀδικίας, εἰς φθόνους, εἰς δόλους, εἰς ψεῦδος, εἰς ἐπιβουλάς, εἰς μῖσος, εἰς τὸ πέλαγος τῶν φοβερῶν ἁμαρτημάτων· ἐκ τούτου ἡ συνείδησις γίνεται μάστιξ ὀδυνηρῶς μαστίζουσα, καὶ σκώληξ ἀκοίμητος καὶ αὐτὰ τὰ ὀστᾶ κατεσθίων, καὶ ἑπομένως ἀφαιρῶν καὶ αὐτὰ τὰ ἴχνη τῆς εἰρήνης· « Οὐκ ἔςιν εἰρήνη, ἔλεγεν ὁ προφητάναξ, ἐν » τοῖς ὀςέοις μου ἀπὸ προσώπου τῶν ἁμαρ» τιῶν μου » (6). Οὐδεμίαν οὖν ἐσωτερικὴν εἰρήνην ἔχει ὁ φιλόκοσμος, ἐπειδὴ ταράττουσιν αὐτὸν διαπαντὸς αἱ κοσμικαὶ αὐτοῦ ἐπιθυμίαι, βασανίζουσιν αὐτὸν διαπαντὸς τῆς συνειδήσεως αὐτοῦ οἱ σφοδρότατοι ἔλεγχοι. Ἀλλ' ἆρά γε ἔχει κἂν τὴν ἐξωτερικὴν εἰρήνην; εἰρηνεύει ἆρά γε μετὰ τῶν ἀνθρώπων; ὢ πόσον μακρὰν ἀπέχει ἀπ' αὐτοῦ καὶ ἡ τοιαύτη εἰρήνη· ἔνθεν μὲν οἱ δυνάςαι καὶ οἱ κλέπται ἐπιβουλεύοντες τὸν πλοῦτον αὐτοῦ, φόβους προξενοῦσιν αὐτῷ καὶ δειλίαν· ἐκεῖθεν δὲ οἱ ἀντίζηλοι καὶ ἀντερας αὶ ἐμποδίζοντες τὴν ἐκπλήρωσιν τῶν ἀσελγειῶν αὐτοῦ, ῥίπτουσιν αὐτὸν εἰς ἀνυπερβάτους κινδύνους· ἀλλὰ καὶ οἱ φθονεροὶ καὶ

(1) Ῥωμ. 2, 16. (2) Α'. Θεσ. 5, 13. (3) Ματθ. 19, 19. (4) Ῥωμ. 12, 18. (5) Ἰωάν. 14, 27.
(6) Ψαλ. 37, 3.



οἱ ματαιόδοξοι, ἐπιβουλεύοντες ὅσα ἔχει, καὶ ἐμποδίζοντες ὅσα ἐλπίζει εἴτε πρωτεῖα, εἴτε ἀξιώματα, εἴτε προβιβασμούς, ταραχὴν καὶ ζάλην προξενοῦσιν αὐτῷ μεγάλην καὶ ἀνείκαστον· αὐτὸς οὖν ἐστιν ὥσπερ τὸ πλοῖον τὸ ἐν τῷ μέσῳ τῆς θαλάσσης, ἐν ᾧ ἔσωθεν μὲν μάχονται οἱ ἀσύμφωνοι ναῦται, ἔξωθεν δὲ βιάζουσιν αὐτὸ οἱ ἐναντίοι ἄνεμοι καὶ τὰ ἀλλεπάλληλα σφοδρὰ κύματα· ἢ ὡς πόλις ἔσωθεν μὲν ὑπὸ τῆς ἀκαταστασίας τῶν πολιτῶν θορυβουμένη, ἔξωθεν δὲ ὑπὸ τῶν ἐχθρῶν καταπολεμουμένη.

Ἀδελφοί μου ἀγαπητοί, μὴ πλανώμεθα· μόνος ὁ ἐνάρετος ἄνθρωπος ἀπολαμβάνει τῆς ἀληθινῆς εἰρήνης· διότι ὅπου ἀρετή, ἐκεῖ νεκροῦνται τῆς σαρκὸς αἱ ἐπιθυμίαι, ἐκεῖ παύει τῆς συνειδήσεως ὁ ἔλεγχος. Ὅπου ἀρετή, ἐκεῖ ἡ ἀγάπη. Ὅπου δὲ ἡ ἀγάπη, ἐκεῖθεν φεύγει ὁ φθόνος, ἡ συκοφαντία, ἡ ἀδικία καὶ πάντα τὰ ἄλλα ἁμαρτήματα, ὅσα καθ' ἡμῶν ἐξεγείρουσι τὸν πόλεμον τῶν ἀνθρώπων. Διὰ τοῦτο οἱ τὴν ἀρετὴν ἐργαζόμενοι εἰρηνεύουσιν ἐσωτερικῶς, εἰρηνεύουσι καὶ ἐξωτερικῶς. Ὅθεν αὐτοὶ αἰσθάνονται τῆς μακαρίας εἰρήνης τὴν μελίῤῥυτον γλυκύτητα, καὶ τὴν τερπνότητα αὐτῆς τὴν ἐπουράνιον. Τὰ δὲ τῶν κακοτρόπων σκάνδαλα, καὶ αἱ ἐπιβουλαί, καὶ οἱ διωγμοί, οὐκ ἀφαιροῦσιν ἀπ' αὐτῶν τὴν ἐσωτερικὴν εἰρήνην. Διότι αὐτὴ κατοικεῖ ἐν τῇ καρδίᾳ αὐτῶν, καὶ οὐδέποτε ἀπ' αὐτῶν χωρίζεται. Ἀπόδειξις τούτου ἡ χαρὰ τοῦ Παύλου ἐν αὐτῷ τῷ καιρῷ, καθ' ὃν ἔξωθεν ἔπασχε. Διότι, « Νῦν χαίρω, ἔλεγεν, ἐν τοῖς παθή» μασί μου ὑπὲρ ὑμῶν » (1).

Δόξα οὖν καὶ τιμὴ καὶ εἰρήνη οὐχὶ τοῖς πλουσίοις, οὐχὶ τοῖς ἡδυπαθέσιν, οὐχὶ τοῖς ἐνδόξοις τῆς γῆς, ἀλλὰ παντὶ τῷ ἐργαζομένῳ τὸ ἀγαθόν (2)· κἂν πλούσιος κἂν πένης, κἂν ἔνδοξος καὶ περίβλεπτος, κἂν ἄδοξος καὶ ἀφανής, κἂν ὁποίου γένους καὶ τάξεως καὶ καταστάσεως ὑπάρχῃ ὁ ἄνθρωπος, δόξα καὶ τιμὴ καὶ εἰρήνη εἰς αὐτόν, ὅταν ἐργάζηται τῆς ἀρετῆς τὰ ἔργα· ταῦτα τὰ ἀνταποδόματα ὑπόσχεται ὁ Παῦλος, μᾶλλον δὲ τὸ πανάγιον Πνεῦμα διὰ στόματος τοῦ Παύλου εἰς τοὺς ποιοῦντας τὰ καλὰ ἔργα, ἀνταποδόματα μεγάλα, ἀνταποδόματα συστατικὰ τῆς ἀληθινῆς τῶν ἀνθρώπων εὐτυχίας, ἀνταποδόματα αἰώνια. Δόξα καὶ τιμὴ καὶ εἰρήνη εἰς τοὺς ἐναρέτους ὧδε εἰς τὴν γῆν, δόξα καὶ τιμὴ καὶ εἰρήνη εἰς τὸν οὐρανόν· ἔνδοξος ὁ ἐνάρετος παρὰ τοῖς ἀνθρώποις, ἔνδοξος καὶ παρὰ τῷ Θεῷ· τίμιος ἐπὶ γῆς, τίμιος καὶ ἐν οὐρανῷ· εἰρηνικὸς ἐν ὅσῳ ζῇ, εἰρηνικὸς καὶ μετὰ θάνατον, ὡς ἀπολαμβάνων τῆς εἰρήνης τοῦ Θεοῦ, ἥτις οὐκ ἔχει ὅριον (3).

Διὰ τοιούτων οὖν θείων καὶ σωτηριωδῶν λόγων ἐςήριξεν ὁ θεόφρων Παῦλος τὰς καρδίας τῶν ἐργαζομένων τὰ ἀγαθὰ ἔργα· ἀκούσατε δέ, τί ἀπεφάσισε περὶ τῶν ποιούντων τὰ ἔργα τὰ πονηρὰ καὶ ἄνομα· « Θλίψις, » εἶπε, καὶ στενοχωρία ἐπὶ πᾶσαν ψυχὴν » ἀνθρώπου τοῦ κατεργαζομένου τὸ κακόν, » Ἰουδαίου τε πρῶτον καὶ Ἕλληνος » (4). Ἐπειδὴ δὲ ἐγίνωσκεν ὅτι πολλοὶ πλανῶσιν ἑαυτοὺς προβάλλοντες τὴν δυσκολίαν τῆς ἐκπληρώσεως τοῦ θείου νόμου, καὶ λέγοντες ὅτι ὁ νόμος τοῦ Θεοῦ ἐστιν ἐναντίος εἰς τὸν νόμον τῆς φύσεως, ἀντιπροβάλλει εἰς αὐτοὺς τῶν ἐθνῶν τὸ παράδειγμα, ἵνα καταστήσῃ αὐτοὺς ἀναπολογήτους. Ὅταν βλέπῃς, λέγει, ὅτι οἱ ἐθνικοί, οἱ μηδὲ λαβόν-

(1) Κολ. 1, 24. (2) Ῥωμ. 2, 10. (3) Ἡσ. 9, 7. (4) Ῥωμ. 2, 9.

τες, μηδὲ ἔχοντες τὸν νόμον τοῦ Θεοῦ, φυλάττουσι τὰς ἐντολὰς τοῦ θείου νόμου (1), οὐδὲν ἄλλο συμπεραίνεις, εἰμὴ ὅτι ἡ ἀνθρώπινος φύσις ἔχει ἐν ἑαυτῇ νόμον φυσικόν, ὅστις ποιεῖ τὸν ἄνθρωπον νομοθέτην ἑαυτοῦ, ὁδηγῶν αὐτὸν πρὸς τὴν ἐκπλήρωσιν τῆς τοῦ Θεοῦ νομοθεσίας· « Ὅταν, γὰρ ἔθνη τὰ μὴ νόμον ἔχοντα, φύσει τὰ τοῦ νόμου ποιῇ, οὗτοι νόμον μὴ ἔχοντες, ἑαυτοῖς εἰσι νομος » (2).

Βλέπε δὲ ταύτης τῆς ἀληθείας τὴν ἀπόδειξιν· πόθεν ἔμαθεν ὁ Ἄβελ, ὅτι πρέπον καὶ δίκαιόν ἐστιν ἵνα προσφέρωμεν τῷ Θεῷ τὰ ἐκλεκτότερα τῶν πραγμάτων ἡμῶν, διὸ καὶ ἐθυσίασεν « Ἀπὸ τῶν πρωτοτόκων τῶν προβάτων αὐτοῦ, καὶ ἀπὸ τῶν στεάτων αὐτῶν ; » (3) Πόθεν ὑπώπτευσεν ὁ Καΐν, ὅτι ὁ φόνος ἐστὶν ἁμαρτία παροργίζουσα τὸν Θεόν, ὅθεν ἔκρυπτε τὸν φόνον, ἀποκρινόμενος πρὸς τὸν Θεὸν καὶ λέγων· « Μὴ φύλαξ τοῦ ἀδελφοῦ μου εἰμὶ ἐγώ ;» (4) Πόθεν ἐγνώρισεν ὁ Ἐνὼχ τὰ ἀρεστὰ εἰς τὸν Θεόν, καὶ ἐγένετο εὐάρεστος αὐτῷ ; (5) πόθεν ἐδιδάχθη ὁ Νῶε τὴν δικαιοσύνην καὶ τὴν τελειότητα, τῆς τότε γενεᾶς τῶν ἀνθρώπων· « Ὅθεν ἐγένετο ἄνθρωπος δίκαιος, τέλειος ἐν τῇ γενεᾷ αὐτοῦ, καὶ εὐηρέστησε τῷ Θεῷ ; » (6) Πόθεν ἐνόησεν ὁ Ἀβραάμ, ὅτι χρεωστοῦμεν εἰς τὸν Θεὸν τελείαν ὑπακοήν, καὶ ἀγάπην περισσοτέραν καὶ αὐτῆς τῆς πρὸς τὰ τέκνα ἡμῶν ἀγάπης, ὅθεν, ἵνα ὑπακούσῃ εἰς τὸν Θεόν, « Ἐξέτεινε τὴν χεῖρα αὐτοῦ λαβεῖν τὴν μάχαιραν, σφάξαι τὸν υἱὸν αὐτοῦ ; » (7) Ποῖος νόμος ὡδήγησε τὸν ἐθνικὸν Κορνήλιον τὸν ἑκατοντάρχην τὴν εὐσέβειαν, καὶ τὸν φόβον τοῦ Θεοῦ, καὶ τὴν νηστείαν, καὶ τὴν προσευχήν, καὶ τὴν ἐλεημοσύνην ; (8) Ποῖος νόμος ἐδίδαξε τὰ βάρβαρα ἔθνη, ἵνα παιδεύωσι τοὺς φονεῖς, τοὺς λῃστάς, τοὺς κλέπτας, τοὺς μοιχούς, τοὺς ἀδικητάς; ποῖος ἄλλος νόμος, εἰμὴ ὁ νόμος ὁ φυσικός; « Ἔθνη τὰ μὴ νόμον ἔχοντα, φύσει τὰ τοῦ νόμου ποιεῖ.

Ἀλλ' ἀκούομεν, λέγεις, τὸν αὐτὸν Παῦλον λέγοντα· « Βλέπω δὲ ἕτερον νόμον ἐν τοῖς μέλεσί μου ἀντιστρατευόμενον τῷ νόμῳ τοῦ νοός μου, καὶ αἰχμαλωτίζοντά με τῷ νόμῳ τῆς ἁμαρτίας τῷ ὄντι ἐν τοῖς μέλεσί μου » (9). Ἰδοὺ οὖν κατὰ τὴν διδασκαλίαν τοῦ Παύλου δύω νόμοι ἐν τῷ ἀνθρώπῳ ἀντιπολεμούμενοι, ὁ νόμος τῆς σαρκός, καὶ ὁ νόμος τοῦ νοός· τίς οὖν τούτων τῶν δύω νόμων ἐστὶν ὁ νόμος ὁ φυσικός, ὁ νόμος τοῦ νοός, ἢ ὁ νόμος τῆς σαρκός; ὁ νόμος τῆς σαρκός ἐστιν ὁ νόμος τῆς ἁμαρτίας· αὐτὸς δὲ οὐκ ἐφυτεύθη ὑπὸ Θεοῦ εἰς τὴν ἀνθρώπινον φύσιν, ἀλλὰ φθόνῳ τοῦ διαβόλου εἰσῆλθεν εἰς τὰ μέλη τῆς σαρκὸς μετὰ τὴν ἁμαρτίαν τοῦ προπάτορος· διὸ ὁ νόμος ὁ σαρκικὸς οὐκ ἔστιν ὁ νόμος ὁ φυσικὸς τοῦ ἀνθρώπου, ἀλλ' ἔστι νόμος ἐπείσακτος καὶ παρὰ φύσιν, καθὼς καὶ ἡ ἀσθένεια ἐν τῷ σώματι οὐκ ἔστι κατὰ φύσιν, ἀλλ' ἐπεισέρχεται εἰς τὴν φύσιν διά τινος ἀταξίας· νόμος δὲ φυσικὸς τοῦ ἀνθρώπου ἐστὶν ὁ νόμος τοῦ νοός· αὐτὸν ἀπ' ἀρχῆς ἐνέθηκεν ὁ Θεὸς εἰς τὸν ἄνθρωπον, ἐμφυσήσας « Εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς, καὶ καταστήσας αὐτὸν λογικὸν καὶ συλλογιστικὸν καὶ διακριτικόν (10). Διὰ τοῦτο δὲ ὁ πρωτόπλαστος πρὶν τῆς παραβάσεως μηδένα ἄλλον νόμον ἔχων, εἰμὴ τὸν φυσικόν, μακρὰν ἀπεῖχεν ἀπὸ τῆς ἁμαρτίας, καὶ εἰργάζετο

(1) Ρωμ. 14. (2) Αὐτ. 14. (3) Γεν. 4, 4. (4) Αὐτ. 9. (5) Αὐτ. 5. 24. (6) Αὐτ. 6, 9. (7) Αὐτ. 22, 10. (8) Πράξ. 10, 2, 30. (9) Ρωμ. 7, 23. (10) Γεν. 2, 7.



τὴν ἀρετήν· μετὰ δὲ τὴν παράβασιν εἰσῆλθεν οὐ μόνον εἰς αὐτόν, ἀλλὰ καὶ εἰς πάντας τοὺς ἀπογόνους αὐτοῦ ὁ ἐπείσακτος καὶ παρὰ φύσιν νόμος τῆς ἁμαρτίας· ἐπειδὴ δὲ οὗτοι οἱ δύω νόμοι διδάσκουσι τὰ ἐναντία. ὁ μὲν φυσικὸς τὴν ἀρετήν, ὁ δὲ παρὰ φύσιν, τὴν ἁμαρτίαν, διὰ τοῦτο ἀντιστρατεύεται ὁ ἕτερος κατὰ τοῦ ἑτέρου, καθὼς ἡ ἀσθένεια κατὰ τῆς ὑγείας· εἰς ταύτην δὲ τὴν φοβερὰν μάχην, ἄλλοτε μὲν νικᾷ ὁ φυσικὸς νόμος τὸν παρὰ φύσιν, ἐκ δὲ τῆς νίκης ταύτης γεννᾶται ἡ ἀρετή, καθὼς νικᾷ πολλάκις τὴν ἀσθένειαν ἡ ὑγεία, ἐκ δὲ τῆς νίκης ἀκολουθεῖ ἡ ζωή· ἄλλοτε δὲ νικᾷ ὁ παρὰ φύσιν νόμος τὸν κατὰ φύσιν, ἐξ οὗ αἰχμαλωτίζεται ὑπὸ τῆς ἁμαρτίας ὁ ἄνθρωπος, καθώς, ὅταν νικᾷ ἡ ἀσθένεια τὴν ὑγείαν, παραδίδοται εἰς τὸν θάνατον· ἀληθῶς δὲ αἰσθητή ἐστιν ἡ τοιαύτη ἀλληλομαχία· αἰσθάνομαι, ὅτι ἡ σάρξ μου ὀρέγεται τὴν ἁμαρτίαν, αἰσθάνομαι, ὅτι ἡ ψυχή μου θέλει τὴν ἀρετήν· ὁρμᾷ εἰς τὴν ἁμαρτίαν ἡ σάρξ, μή, λέγει μοι ὁ νοῦς μου, μὴ πράξῃς τῆς ἁμαρτίας τὸ ἔργον· συγχωρεῖ δὲ ὁ Θεὸς τοῦτον τὸν πόλεμον, ἵνα στεφανώσῃ δικαίως τὸν νικητὴν τῆς ἁμαρτίας· νόμος οὖν φυσικὸς τοῦ ἀνθρώπου ἐστὶν ὁ νόμος τοῦ νοός· αὐτός ἐστιν ὁ διδάσκαλος τοῦ νόμου τοῦ Θεοῦ, αὐτός ἐστι τὸ κατὰ τῆς ἁμαρτίας ἰσχυρὸν ὅπλον, αὐτὸς ὁ ἄγρυπνος φύλαξ τῶν θείων ἐντολῶν, αὐτός ἐστιν ὁ σωτήρ, ὅταν κατασταθῇ νικητὴς καὶ τροπαιοῦχος.

Παρατηρῶ δὲ ἐγώ, ὅτι ἡμεῖς οἱ χριστιανοὶ οὐδεμίαν ἔχομεν προφασιολογίαν, οὐδὲν δικαιολόγημα, οὐδεμίαν ἀπολογίαν· ὁ νόμος τῆς φύσεως ὁδηγεῖ ἡμᾶς πρὸς τὸ ἀγαθόν· βλέπομεν δέ, ὅτι πολλοὶ διὰ μόνης τῆς τούτου ὁδηγίας νικήσαντες τὸν νόμον τῆς σαρκός, ἔπραξαν τὰ καλὰ ἔργα, καὶ εὐηρέστησαν τῷ Θεῷ. Ὁ γραπτὸς νόμος τοῦ Θεοῦ, ὁ ἐν Σινᾷ διὰ τοῦ Μωϋσέως δοθείς, διδάσκει ἡμᾶς λεπτομερῶς τῆς ἁμαρτίας τὴν φυγὴν καὶ τῆς ἀρετῆς τὴν ἐργασίαν· βλέπομεν δέ, ὅτι διὰ τῆς βοηθείας τούτων τῶν δύω νόμων, ἤγουν τοῦ φυσικοῦ καὶ τοῦ γραπτοῦ, πάντες οἱ προφῆται καὶ οἱ ἐν νόμῳ δίκαιοι ἀπεστράφησαν τῆς ἁμαρτίας τὰ ἔργα, καὶ κατώρθωσαν τῆς ἀρετῆς τὰ ἀνδραγαθήματα. Ἔχομεν δὲ ἡμεῖς καὶ τρίτον νόμον, τὸν ἐν τῇ ἁγίᾳ Σιὼν δοθέντα, τὸν νόμον, λέγω, τὸν εὐαγγελικόν, ὅστις νομοθετεῖ τὴν τοῦ σαρκικοῦ νόμου ἀποστροφήν, καὶ τὴν μίμησιν τῶν ἀρετῶν τοῦ Ἰησοῦ Χριστοῦ. Ἰδού τι διδάσκει αὐτὸς διὰ τοῦ Εὐαγγελίου αὐτοῦ· « Εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτόν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι » (1). Βλέπομεν δὲ μυριάδας μυριάδων ἀνθρώπων πάσης καταστάσεως καὶ τάξεως, οἵτινες ὑπακούσαντες εἰς τοῦτον τὸν νόμον, ἐνέκρωσαν τῆς σαρκὸς τὰ πάθη, καὶ ἔφθασαν εἰς τῆς ἀρετῆς τὴν τελειότητα, τὴν ἐνδεχομένην τοῖς ἀνθρώποις· πρὸς τούτοις δὲ πιστεύομεν, ὅτι ἡ χάρις τοῦ Θεοῦ ἡ συνεργήσασα καὶ εἰς τοὺς πρὸ νόμου, καὶ εἰς τοὺς ἐν νόμῳ, καὶ εἰς τοὺς μετὰ τὸ εὐαγγελικὸν κήρυγμα προαιρεθέντας τὸ ἀγαθόν, ἕτοιμός ἐστι συμβοηθῆσαι ἡμᾶς, ἐὰν σπουδάζωμεν διὰ τὴν τῶν καλῶν ἔργων ἐπίκτησιν.

Ταλαίπωρος οὖν ἐγὼ ὁ ἄνθρωπος· τρεῖς ἔχω διδασκάλους, τρεῖς ὁδηγούς, τρεῖς ὑπερμάχους, τρεῖς συμβοηθούς, τὴν φύσιν, τὸν νόμον, τὸ Εὐαγγέλιον, ὁδηγοῦντάς με

(1) Ματθ. 16, 24.

καὶ προτρέποντας πρὸς τὴν ἀρετήν· ἕτοιμος δέ ἐστι καὶ τοῦ Θεοῦ ἡ χάρις πρὸς τὴν βοήθειάν μου· ἐγὼ δὲ παρακούω τὸν νόμον τῆς φύσεως, παραβαίνω τὸν ἐν Σινᾷ νόμον, ἀθετῶ τὸ Εὐαγγέλιον, κλείω καὶ τὴν θύραν τῆς θείας χάριτος. Οὐαί μοι· ποίαν ἀπολογίαν ἔχω ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ὅταν ὁ Θεὸς κρίνῃ οὐ μόνον τὰ φανερά, ἀλλὰ καὶ αὐτὰ τὰ ἀπόκρυφα τῆς καρδίας μου; ἀδελφοί μου ἁμαρτωλοί, ὧν πρῶτός εἰμι ἐγώ, ἐν ἐκείνῃ τῇ ἡμέρᾳ οὐδεμίαν ἔχετε ἀπολογίαν. Ἐὰν δὲ μὴ μετανοήσητε, ἕως οὗ ἔχετε τὸν καιρόν, ἀπολεῖτε τῆς σωτηρίας ὑμῶν τὴν ἐλπίδα. « Ἐὰν μὴ ἐπιστραφῆτε, τὴν ῥομ» φαίαν αὐτοῦ στιλβώσει, τὸ τόξον αὐτοῦ » ἐνέτεινε καὶ ἡτοίμασεν αὐτό. Καὶ ἐν αὐ» τῷ ἡτοίμασε σκεύη θανάτου » (1).

# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΗΝ ΠΡΟΣ

# ΡΩΜΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

## ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗι Γ'. ΚΥΡΙΑΚΗι.

Ἡ πίστις, ἡ ἐλπὶς καὶ ἡ ἀγάπη εἰσὶ τρεῖς μεγάλαι καὶ θεμελιώδεις ἀρεταί, θεολογικαὶ ὀνομαζόμεναι, καθότι πρὸς τὸν Θεὸν ἔχουσι τὴν ἀναφοράν, καὶ εἰς τὸν Θεὸν ἀναβιβάζουσι τὸν νοῦν ἡμῶν καὶ τὴν καρδίαν καὶ τὴν διάνοιαν· διὰ τῆς πίστεως πιστεύομεν, διὰ τῆς ἐλπίδος ἐλπίζομεν, διὰ τῆς ἀγάπης ἀγαπῶμεν τὸν Θεόν· καὶ αἱ τρεῖς δέ εἰσιν ἐπίσης ἀναγκαῖαι πρὸς τὴν σωτηρίαν, ἐπειδὴ χωρὶς τούτων οὐδεὶς ἀξιοῦται ἰδεῖν τοῦ Θεοῦ τὸ πρόσωπον· οὐδὲ ὁ ἄπιστος, οὐδὲ ὁ ἀπηλπισμένος, οὐδὲ ὁ ἐστερημένος τῆς ἀγάπης δύναται σωθῆναι· περὶ τούτων τῶν τριῶν μεγάλων ἀρετῶν διὰ τῆς σήμερον ἀναγνωσθείσης ἐπιστολῆς λαλεῖ πρὸς ἡμᾶς ὁ θεηγόρος Παῦλος, διδάσκων ὡς θεόπνευςος πίστεως δόγματα, καὶ δεικνύων τὸν τρόπον, δι' οὗ ἔρχεται εἰς τὴν καρδίαν ἡμῶν ἡ ἐλπίς, καὶ περιγράφων τὴν ὑπερβάλλουσαν ἀγάπην τοῦ Θεοῦ πρὸς τὸν ἄνθρωπον, ἐξ ἧς ὁ ἄνθρωπος κατηλλάγη μετ' αὐτοῦ διὰ τοῦ θανάτου τοῦ μονογενοῦς Υἱοῦ αὐτοῦ, τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· συμπεραίνει δὲ εὐλόγως, ὅτι μετὰ τὴν τοιαύτην καταλλαγὴν εὐκολωτέρα ἐγένετο τῆς σωτηρίας ἡμῶν ἡ ἀπόλαυσις· ἐκφράζει δὲ ταῦτα ὁ θεῖος διδάσκαλος διὰ συμπλοκῆς λόγων ἀσυνήθους, περιεχόντων νοήματα δογματικά, ὑψηλά, ἐπουράνια, θεοπρεπῆ. Ὅθεν δύσκολα γίνονται εἰς τὴν τοῦ νοὸς κατάληψιν. Ἀφιερώσατε ὑμεῖς τὴν προσοχὴν τῆς διανοίας ὑμῶν εἰς τὴν τούτων ἑρμηνείαν· ὁ δὲ πανυπεράγαθος Θεὸς βλέπων τὴν εὐλαβητικὴν

(1) Ψαλ. 7, 12, 13.



ὑμῶν προθυμίαν, διὰ τῆς θείας αὐτοῦ χάριτος καὶ τὸν νοῦν ὑμῶν φωτίσει πρὸς τὴν τούτων κατανόησιν, καὶ τὴν καρδίαν ὑμῶν ἑτοιμάσει πρὸς τὴν ἐξ αὐτῶν ὠφέλειαν.

*Ἀδελφοί, δικαιωθέντες ἐκ πίστεως, εἰρήνην ἔχομεν πρὸς τὸν Θεὸν διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ* (1).

Ἄλλοι μὲν ἑρμηνευταὶ ἐξέλαβον τό, Ἔχομεν (2), ὡς ῥῆμα προστακτικόν· διὸ οὕτω πως ἡρμήνευσαν τὰ προκείμενα λόγια. Ἐπειδὴ ἐδικαιώθης ἐκ τῆς εἰς Χριστὸν πίστεως, καὶ ἐχθρὸς ὢν πρότερον διὰ τὴν ἁμαρτίαν, εἰρήνευσας μετ' αὐτοῦ, διὰ τοῦτο ἔχε εἰρήνην, φύλαττε ταύτην τὴν εἰρήνην, ἤγουν μὴ ἁμάρτανε εἰς τὸ ἑξῆς. Ἄλλοι δὲ ὡς ῥῆμα ὁριστικὸν ἐνόησαν τό, Ἔχομεν (3). Κἂν δὲ προστακτικὸν ἐκλάβῃς αὐτό, κἂν ὁριστικόν, ἐπίσης εὐοδοῦται ἡ ἔννοια· γίνεται ὅμως καταληπτοτέρα, ἐὰν στοχασθῶμεν ὅσα ἐν τῷ προλαβόντι τετάρτῳ κεφαλαίῳ ἐδίδαξεν ὁ θεῖος Ἀπόστολος· ἐν αὐτῷ εἶπεν, ὅτι ἡ πίστις ἐδικαίωσε τὸν Ἀβραάμ. Ποία δὲ τοῦ Ἀβραὰμ ἡ πίστις; Αὐτὸς ἐπίστευσε, κἂν ὁ φυσικὸς λόγος αὐτὸν οὐκ ἔπειθεν, ὅτι μέλλει γενέσθαι πατὴρ πολλῶν ἐθνῶν, εὐλογηθησομένων διὰ τοῦ σπέρματος αὐτοῦ, τουτέστι διὰ τοῦ ἐκ τοῦ σπέρματος αὐτοῦ σαρκωθῆναι μέλλοντος Ἰησοῦ Χριστοῦ, τοῦ εὐλογήσαντος τὰ εἰς αὐτὸν πιςεύσαντα ἔθνη. Ἔπειτα λέγει, ὅτι τὸ γεγραμμένον, ἤγουν τὸ ὅτι ἡ πίστις αὐτοῦ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην· ἐγράφη οὐ μόνον περὶ τοῦ Ἀβραάμ (4), ἀλλὰ καὶ περὶ ἡμῶν, οἵτινες ἐμέλλομεν πιστεῦσαι εἰς τὸν Θεὸν τὸν ὑποσχεθέντα τὴν τοῦ μονογενοῦς Υἱοῦ αὐτοῦ σάρκωσιν. Μετὰ δὲ ταῦτα ἀναφέρει τὴν ἐκπλήρωσιν τῆς ἐπαγγελίας τοῦ Θεοῦ, λέγων· « Ὅς, ἤγουν ὅςις Ἰησοῦς » Χριστός, παρεδόθη διὰ τὰ παραπτώμα» τα ἡμῶν, καὶ ἠγέρθη διὰ τὴν δικαίωσιν » ἡμῶν » (5). Παρεδόθη εἰς θάνατον, ἵνα ἐξαλείψῃ τὰς ἁμαρτίας ἡμῶν, ἀνέστη δὲ ἐκ τῶν νεκρῶν, ἵνα συνεγείρας ἡμᾶς τοὺς πεπτωκότας τῇ ἁμαρτίᾳ, παραστήσῃ τῷ Θεῷ καὶ Πατρὶ ἀθώους καὶ δεδικαιωμένους καὶ ἀπὸ τῆς προπατορικῆς ἁμαρτίας, ἥτις κατέστησε πάντας ἁμαρτωλούς, καὶ ἀπὸ πασῶν τῶν ἄλλων ἁμαρτιῶν ἡμῶν. Ταῦτα δὲ εἰπών, ἐπάγει εὐθὺς καὶ τὸ συμπέρασμα, λέγων· « Δικαιωθέντες οὖν ἐκ πίστεως, εἰ» ρήνην ἔχομεν πρὸς τὸν Θεὸν διὰ τοῦ Κυ» ρίου ἡμῶν Ἰησοῦ Χριςοῦ ». Ἐπειδὴ οὖν, λέγει, ἡ πίστις ἡμῶν, δι' ἧς ἐπιστεύσαμεν, ὅτι ὁ Υἱὸς τοῦ Θεοῦ ἐσαρκώθη, καὶ ἔπαθε, καὶ ἀπέθανε, καὶ ἀνέστη κατὰ τὰς Θείας Γραφάς, καὶ διὰ τοῦ πάθους καὶ τοῦ θανάτου αὐτοῦ ἐξήλειψε τὴν ἁμαρτίαν, καὶ ἠθώωσεν ἡμᾶς, καὶ διὰ τῆς ἀναστάσεως αὐτοῦ συνήγειρε καὶ ἐδικαίωσεν ἡμᾶς, διὰ τοῦτο οὐκέτι ἐσμὲν ἐχθροὶ τοῦ Θεοῦ, ἀλλ' ἔχομεν εἰρήνην μετ' αὐτοῦ, καὶ ἀπολαμβάνομεν τῆς θείας αὐτοῦ ἀγάπης καὶ χάριτος.

*Δι' οὗ καὶ τὴν προσαγωγὴν ἐσχήκαμεν τῇ πίστει εἰς τὴν χάριν ταύτην, ἐν ᾗ ἑστήκαμεν, καὶ καυχώμεθα ἐπ' ἐλπίδι τῆς δόξης τοῦ Θεοῦ* (6).

Βλέπε, ὅτι διὰ τοῦ Ἰησοῦ Χριστοῦ οὐ μόνον ἐδικαιώθημεν καὶ εἰρηνεύσαμεν μετὰ τοῦ Θεοῦ, ἀλλὰ δι' αὐτοῦ· « Καὶ τὴν προ» σαγωγὴν ἐσχήκαμεν εἰς τὴν χάριν ταύ» την », τουτέστιν ἐλάβομεν ταύτην τὴν

(1) Ρωμ. 5, 1. (2) Χρ. Θεοδώρ. Οἰκουμ. (3) Ὠριγ. Ἀμβρ. (4) Ρωμ. 4, 22, 23, 24. (5) Αὐτ. 25. (6) Αὐτ. 5, 2.

χάριν. Τίνι δὲ λόγῳ ἐλάβομεν αὐτήν; Τῇ πίστει, λέγει, ἤγουν διὰ τῆς πίστεως, ὅπερ ἐστίν, ἐπειδὴ ἐπιστεύσαμεν εἰς αὐτόν, διὰ τοῦτο ἐλάβομεν τὴν χάριν. Ποίαν δὲ χάριν; Τὴν χάριν, λέγει, ἐν ᾗ ἑστήκαμεν. Ποία δέ ἐστιν ἡ χάρις, « Ἐν ᾗ ἑςήκαμεν; » Ἡ χάρις ἐστὶ τῆς υἱοθεσίας, ἣν λαμβάνομεν διὰ τοῦ ἁγίου βαπτίσματος. Ἐν αὐτῇ δέ, εἶπεν ἑστήκαμεν, ἐπειδὴ ἀμετάβλητός ἐστιν ἡ τοιαύτη χάρις καὶ αἰώνιος. Χωρὶς τοῦ χαρίσματος τῆς υἱοθεσίας οὐδεὶς δύναται ἐλπίσαι σωτηρίαν· ἡμεῖς δὲ τούτου τοῦ χαρίσματος καταξιωθέντες, καὶ τέκνα Θεοῦ γενόμενοι, καυχώμεθα ἐλπίζοντες τὴν ἀπόλαυσιν καὶ κληρονομίαν τῆς θείας δόξης· διότι ἐάν ἐσμεν τέκνα Θεοῦ, ἑπομένως ἐσόμεθα καὶ κληρονόμοι τῆς αἰωνίου αὐτοῦ βασιλείας· « Εἰ δὲ τέκνα, καὶ κληρονόμοι· » κληρονόμοι μὲν Θεοῦ, συγκληρονόμοι δὲ » Χριστοῦ » (1).

*Οὐ μόνον δέ, ἀλλὰ καὶ καυχώμεθα ἐν ταῖς θλίψεσιν· εἰδότες ὅτι ἡ θλίψις ὑπομονὴν κατεργάζεται* (2).

Οὐ μόνον δὲ καυχώμεθα διὰ τὴν ἐλπίδα τῆς ἀπολαύσεως τῆς μελλούσης αἰωνίου δόξης, ἀλλὰ καυχώμεθα, λέγει, καὶ ἐν αὐταῖς ταῖς θλίψεσιν, ἤγουν ἐν ταῖς λύπαις, ἐν τοῖς διωγμοῖς, ἐν ταῖς στενοχωρίαις, καὶ ἐν πάσαις ταῖς λοιπαῖς θλιβεραῖς περιστάσεσι. Διὰ τί δὲ καυχώμεθα ἐν ταῖς θλίψεσι; Διότι γνωρίζομεν, ὅτι αἱ θλίψεις προξενοῦσι τὴν ὑπομονήν, ἐκ δὲ τῆς ὑπομονῆς ἀκολουθεῖ ἡ δοκιμή, ἥτις ἀναβιβάζει ἡμᾶς εἰς τὴν ἀκαταίσχυντον ἐλπίδα. Ἀλλ' ἆρά γε πάντες καυχῶνται ἐν ταῖς θλίψεσιν; ἡμεῖς ἀκούομεν πολλοὺς προσκλαιομένους καὶ ἀγανακτοῦντας διὰ τὰς θλίψεις· ἆρά γε εἰς πάντας προξενοῦσιν αἱ θλίψεις ὑπομονήν; ἡμεῖς βλέπομεν, ὅτι εἰς πολλοὺς φέρουσι θυμὸν καὶ ἀγανάκτησιν, εἴς τινας δέ, καὶ ἀπελπισμόν. Ὁ Ἀπόστολος οὐκ εἶπεν, οὐδὲ ὅτι πάντες καυχῶνται ἐν ταῖς θλίψεσιν, οὐδὲ ὅτι αἱ θλίψεις προξενοῦσιν ὑπομονὴν εἰς πάντας· ἀλλὰ σχηματίσας τὸν λόγον εἰς πρῶτον πρόσωπον, καὶ εἰπών· « Καυχώμεθα ἐν ταῖς θλίψεσιν », ἐδίδαξεν ὅτι ταῦτα γίνονται εἰς αὐτόν, καὶ εἰς πάντας τοὺς ὁμοίους αὐτῷ κατὰ τὴν ἀρετήν· ἀληθῶς δὲ βλέπομεν τοὺς πανσέπτους Ἀποςόλους καυχωμένους, ὅτε ἔδειραν αὐτοὺς οἱ ἐκ τοῦ συνεδρίου, καὶ χαίροντας, καθότι ἠξιώθησαν ἀτιμασθῆναι ὑπὲρ τοῦ ὀνόματος τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ (3). Ἀκούομεν δὲ καὶ αὐτὸν τὸν Παῦλον μὴ αἰσχυνόμενον, ἀλλὰ κηρύττοντα τὰ δεσμὰ καὶ τὰς θλίψεις, καὶ χαίροντα ἐν τοῖς παθήμασιν αὐτοῦ (4)· οἱ τοιοῦτοι ἄνθρωποι καυχῶνται ἐν ταῖς θλίψεσιν, ἐπειδὴ πεπεισμένοι εἰσίν, ὅτι αὐταὶ προξενοῦσιν εἰς αὐτοὺς τὴν ὑπομονήν, δι' ἧς ἐμακαρίσθη ὁ Ἰώβ, καὶ ἐδοξάσθη ὁ Θεάνθρωπος Ἰησοῦς (5). Τί δὲ κατεργάζεται ἡ ὑπομονή;

*Ἡ δὲ ὑπομονὴ δοκιμήν· ἡ δὲ δοκιμή, ἐλπίδα* (6).

Πῶς ἡ ὑπομονὴ κατεργάζεται τὴν δοκιμήν; καθὼς ὁ χρυσοχόος διὰ τοῦ ἐν τῷ χωνευτηρίῳ πυρὸς δοκιμάζει τὸ χρυσίον, οὕτω καὶ ὁ Θεὸς διὰ τῶν ἐν τῷ κόσμῳ θλίψεων δοκιμάζει τὸν ἄνθρωπον· ἐκεῖνό ἐστι τὸ δόκιμον χρυσίον, ὅπερ ἐβάστασε τὸν

(1) Ρωμ. 8, 17. (2) Αὐτ. 5, 3. Πράξ. 5. (3) Αὐτ. 5, 41. (4) Β'. Τιμ. 1, 12. Κολ. 1, 24.
(5) Ἰακ. 5, 11. Ἰωάν. 13, 31. (6) Ρωμ. 5, 4.



φλογμον τοῦ πυρός, καὶ ἐξῆλθεν ἐκ τοῦ χωνευτηρίου ἀμίαντον καὶ καθαρώτατον· ἐκεῖνός ἐστιν ὁ δόκιμος ἄνθρωπος, ὅστις ὑπέμεινε τὴν κάκωσιν τῶν θλίψεων, καὶ ἀνεχώρησεν ἐκ τοῦ κόσμου τούτου, ἄμωμον καὶ καθαρὰν ἔχων τὴν ἑαυτοῦ πίστιν καὶ τὴν ἀρετήν· « Ὡς χρυσὸν ἐν χωνευτηρίῳ » ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα » θυσίας προσεδέξατο αὐτούς » (1). Ἐκεῖνος δέ ἐστι καὶ μακάριος καὶ στεφάνων ἄξιος. « Μακάριος ἀνήρ, ὃς ὑπομένει πειρασμόν· » ὅτι δόκιμος γενόμενος, λήψεται τὸν στέ» φανον τῆς ζωῆς, ὃν ἐπηγγείλατο ὁ Κύ» ριος τοῖς ἀγαπῶσιν αὐτόν » (2). Οὗτος γίνεται δόκιμος παρὰ τῷ Θεῷ, καθότι ὑπὸ Θεοῦ διὰ τῶν θλίψεων δοκιμάζεται ἡ προαίρεσις αὐτοῦ· δόκιμος δὲ γίνεται παρ' ἑαυτῷ, καθότι γυμνάζει ἐν ταῖς θλίψεσι τὴν ἀρετὴν τῆς ὑπομονῆς. Τίνι δὲ τρόπῳ ἡ τοιαύτη δοκιμὴ φέρει τὴν ἐλπίδα; ὅταν ἡ δοκιμὴ ἔδειξέ σοι ἐμπράκτως, ὅτι ἐδυνήθης τῇ τοῦ Θεοῦ χάριτι ὑπομεῖναι τὴν παρελθοῦσαν θλίψιν καὶ νικῆσαι τὸν παρελθόντα πειρασμόν, τότε σὲ μὲν πείθει ὁ φυσικὸς λόγος, ἵνα ἐλπίζῃς, ὅτι καὶ τὴν ἐνεστῶσαν συμφορὰν καὶ τὸν προκείμενόν σοι πειρασμὸν νικήσεις Θεοῦ βοηθείᾳ· ὁ δὲ Θεός, ὁ τὴν ὑπομονήν σου δοκιμάσας, αὐξάνει ἐν τῇ καρδίᾳ σου τὴν μακαρίαν καὶ σωτήριον ἐλπίδα σου.

*Ἡ δὲ ἐλπὶς οὐ καταισχύνει, ὅτι ἡ ἀγάπη τοῦ Θεοῦ ἐκκέχυται ἐν ταῖς καρδίαις ἡμῶν διὰ Πνεύματος ἁγίου, τοῦ δοθέντος ἡμῖν* (3).

Βλέπε κλίμακα θαυμασίαν, ἐκ τῶν θλίψεων ἀναβαίνεις εἰς τὴν ὑπομονήν· ἐκ τῆς ὑπομονῆς ἀναβαίνεις εἰς τὸν βαθμὸν τῆς δοκιμῆς, καὶ ἵστασαι μετὰ τῶν ὑπὸ τοῦ Θεοῦ δεδοκιμασμένων ἀνθρώπων· ἐκ τοῦ βαθμοῦ τῆς δοκιμῆς ἀναβαίνεις εἰς τὸν τῆς σταθερᾶς ἐλπίδος βαθμόν· θαυμαστὴ δὲ ἀληθῶς ἐστιν ἡ μετὰ τὴν δοκιμὴν ἐλπίς, καθότι οὐδέποτε καταισχύνει τὸν ἔχοντα αὐτήν· ὅστις ἐλπίζει ἐπὶ τὰ ἐγκόσμια πράγματα, ἐκεῖνος πολλάκις καταισχύνεται, ἐπειδὴ αὐτὰ μὲν μεταβάλλονται, αὐτὸς δὲ οὐδενὸς τῶν ἐλπιζομένων ἀπολαμβάνει· ὅςις ἐλπίζει ἐπὶ τὸν Θεόν, ἐκεῖνος οὐ καταισχύνεται, ἀλλὰ κληρονομεῖ τὰ ἐλπιζόμενα· ἡ ἐλπίς, εἶπε, τῆς ἀπολαύσεως τῶν μελλόντων ἀγαθῶν ἐςὶν ἀκαταίσχυντος, ὅπερ ἐςίν, ἀσφαλὴς καὶ βεβαία· ἀλλὰ διατί; « Ὅτι » ἡ ἀγάπη τοῦ Θεοῦ, λέγει, ἐκκέχυται ἐν » ταῖς καρδίαις ἡμῶν διὰ Πνεύματος ἁ» γίου τοῦ δοθέντος ἡμῖν ». Διότι ὁ Θεὸς ἐξέχεε, λέγει, ἐν ταῖς καρδίαις ἡμῶν, τουτέστιν ἐφ' ἡμᾶς διὰ τοῦ παναγίου Πνεύματος, τοῦ δοθέντος ἡμῖν ἐν τῇ τοῦ θείου βαπτίσματος κολυμβήθρᾳ τὰ χαρίσματα τῆς ἀγάπης αὐτοῦ, ἤγουν τὸ χάρισμα τῆς ἀφέσεως τῶν ἁμαρτιῶν, τῆς δικαιώσεως καὶ τῆς υἱοθεσίας· αὐτὰ δέ εἰσιν ἀῤῥαβὼν καὶ σφραγίς, ἐπιβεβαιοῦντα τὴν ἐκπλήρωσιν τῆς ἐλπίδος ἡμῶν, τὴν περὶ τῆς κληρονομίας τῆς αἰωνίου δόξης· « Ὁ καὶ σφραγι» σάμενος ἡμᾶς, λέγει ὁ αὐτὸς Ἀπόστολος, » καὶ δοὺς τὸν ἀῤῥαβῶνα τοῦ Πνεύματος » ἐν ταῖς καρδίαις ἡμῶν » (4). Καὶ ἀλλαχοῦ πάλιν λέγει· « Ἐν ᾧ καὶ πιστεύσαν» τες ἐσφραγίσθητε τῷ Πνεύματι τῆς ἐ» παγγελίας τῷ ἁγίῳ, ὅς ἐςιν ἀῤῥαβὼν τῆς » κληρονομίας ἡμῶν » (5). Αὐτὸς οὖν ὁ ἀῤ-

(1) Σοφ. 3, 6. (2) Ἰακ. 1, 12. (3) Ρωμ. 5, 5. (4) Β'. Κορ. 1, 22. (5) Ἐφεσ. 1, 13.

βων καὶ ἡ σφραγὶς ποιοῦσι τὴν ἐλπίδα ἡμῶν ἀκαταίσχυντον· ἐπειδὴ δὲ εἶπεν, ὅτι ἡ ἀγάπη τοῦ Θεοῦ ἐκκέχυται ἐν ταῖς καρδίαις ἡμῶν, προβάλλει τὴν ἀπόδειξιν τῆς πρὸς ἡμᾶς ἀγάπης τοῦ Θεοῦ, λέγων.

*"Ετι γὰρ **Χ**ριστὸς ὄντων ἡμῶν ἀσθενῶν, κατὰ καιρὸν ὑπὲρ ἀσεβῶν ἀπέθανε. **Μ**όλις γὰρ ὑπὲρ δικαίου τις ἀποθανεῖται· ὑπὲρ γὰρ τοῦ ἀγαθοῦ τάχα τις καὶ τολμᾷ ἀποθανεῖν. Συνίστησι δὲ τὴν ἑαυτοῦ ἀγάπην εἰς ἡμᾶς ὁ Θεός, ὅτι ἔτι ἁμαρτωλῶν ὄντων ἡμῶν, **Χ**ριστὸς ὑπὲρ ἡμῶν ἀπέθανε* (1).

Θαυμασίῳ τρόπῳ ἐσημείωσε πρῶτον τὰ περιστατικά, τὰ ἀποδεικτικὰ τῆς πρὸς ἡμᾶς ὑπερβαλλούσης ἀγάπης τοῦ Θεοῦ, ἵνα συμπεράνῃ ἔπειτα, ὅτι μετὰ τὴν ἔνδειξιν ταύτην τῆς ἀγάπης ἡ ἐλπὶς τῆς σωτηρίας ἡμῶν ἐστι βεβαία, καὶ οὕτω πληροφορήσῃ ἡμᾶς, ὅτι ἡ τοιαύτη ἐλπὶς οὐ καταισχύνει, ὡς εἶπε πρότερον. Ἡμεῖς ἦμεν ἀσθενεῖς οὐκ ἐκ φύσεως, ἀλλ' ἐκ τῆς προπατορικῆς παραβάσεως, ἥτις εἰσήγαγεν εἰς τὴν φύσιν ἡμῶν τῆς ἁμαρτίας τὸν νόμον, καὶ ἐποίησεν αὐτὴν ἐπιῤῥεπῆ εἰς τὴν ἁμαρτίαν, ἀσθενῆ πρὸς τὴν κατόρθωσιν τῆς ἀρετῆς, καὶ ἀδύνατον πρὸς τὸ βοηθῆσαι ἑαυτῇ· ἡμεῖς ἦμεν ἀσεβεῖς, λατρεύοντες τῇ κτίσει παρὰ τὸν κτίσαντα, θυσιάζοντες τοῖς γλυπτοῖς τοὺς υἱοὺς ἡμῶν καὶ τὰς θυγατέρας ἡμῶν, καὶ ἀθετοῦντες τὸν ἀληθινὸν Θεόν, τὸν μόνον δυνάμενον ἰατρεῦσαι τὰς ἀσθενείας ἡμῶν· ἡμεῖς ἦμεν ἁμαρτωλοί, ἀθετοῦντες τῆς φύσεως τὸν νόμον, καὶ δουλεύοντες τοῖς πάθεσι καὶ πράττοντες τῆς αἰσχύνης τὰ ἔργα· ἐπειδὴ δὲ καὶ τὰ τρία ταῦτα μεμισημένα καὶ ἀποτρόπαιά εἰσι παρὰ τῷ Θεῷ, διὰ τοῦτο αὐτὰ ἦσαν ὡς τρία μεσότοιχα, ἢ τρεῖς φραγμοὶ ἀποχωρίζοντες ἡμᾶς ἀπὸ τοῦ Θεοῦ, καὶ ποιοῦντες ἡμᾶς ἐχθροὺς αὐτοῦ. Μόλις, λέγει, εὑρίσκεται ἄνθρωπος ὅστις στέργει, ἵνα ἀποθάνῃ ὑπὲρ ἀνθρώπου τινὸς δικαίου. Ἴσως ὑπὲρ ἑνὸς ἀνθρώπου ἀγαθοῦ εὑρίσκεται ἄνθρωπος, ὅστις τολμᾷ καὶ στέργει τὸν θάνατον· ὅμως διὰ τοὺς ἀνθρώπους τοὺς ἀσθενεῖς κατὰ τὴν προαίρεσιν, τοὺς ἀσεβεῖς κατὰ τὴν θρησκείαν, τοὺς ἁμαρτωλοὺς κατὰ τὰ ἔργα, ὁ Χριστὸς ὁ τοῦ Θεοῦ Υἱὸς « Κατὰ καιρόν » ἤγουν, κατὰ τὸν πρέποντα καὶ προωρισμένον καιρόν, ἀπέθανεν ἐπάνω εἰς τὸ ξύλον τοῦ σταυροῦ· τοῦτο « δὲ συνίστησιν » εἴτουν ἀποδείκνυσι καὶ ἐπιβεβαιοῖ τὴν πρὸς ἡμᾶς ὑπερβολικὴν ἀγάπην τοῦ Θεοῦ· οὐδὲ ἡ παράβασις τοῦ πρωτοπλάσου, οὐδὲ τὸ παράπτωμα τῆς εἰδωλολατρείας, οὐδὲ ἡ ἀκαθαρσία τῆς ἁμαρτίας ἐδυνήθησαν σβέσαι τὴν πρὸς τοὺς ἀνθρώπους ἀγάπην τοῦ Θεοῦ καὶ τὴν ἑαυτοῦ φιλανθρωπίαν, Ἄκουσον δέ, πῶς ἐκ τούτων ἐπιφέρει τὸ νόμιμον συμπέρασμα ὁ πάνσοφος διδάσκαλος.

*Πολλῷ οὖν μᾶλλον δικαιωθέντες νῦν ἐν τῷ αἵματι αὐτοῦ, σωθησόμεθα δι' αὐτοῦ ἀπὸ τῆς ὀργῆς. **Ε**ἰ γὰρ ἐχθροὶ ὄντες κατηλλάγημεν τῷ Θεῷ διὰ τοῦ θανάτου τοῦ Υἱοῦ αὐτοῦ πολλῷ μᾶλλον καταλλαγέντες, σωθησόμεθα ἐν τῇ ζωῇ αὐτοῦ* (2).

(1) Ρωμ. 5, 6, 7, 8. (2) Αὐτ. 5, 9, 10.



Ἐὰν ὁ Θεός, ὅτε ἦμεν πταῖσται, ἁμαρτωλοὶ καὶ ὑπόδικοι τῇ θείᾳ αὐτοῦ ὀργῇ, παρέδωκε τὸν Υἱὸν αὐτοῦ εἰς θάνατον διὰ τὴν σωτηρίαν ἡμῶν· πολλῷ μᾶλλον νῦν, ὅτε διὰ τοῦ ἐν σταυρῷ ἐκχυθέντος αἵματος αὐτοῦ ἠθώωσεν ἡμᾶς, σώσει διὰ τῆς μεσιτείας τοῦ Υἱοῦ αὐτοῦ ἀπὸ τῆς ὀργῆς. ἤγουν ἀπὸ τῆς αἰωνίου κολάσεως· ἐάν, ὅτε ἦμεν ἐχθροὶ τοῦ Θεοῦ, ὁ θάνατος τοῦ Υἱοῦ αὐτοῦ διέῤῥηξε τὸ μεσότοιχον τοῦ φραγμοῦ, καὶ ἐξαφανίσας τὴν ἔχθραν, ἐφιλίωσεν ἡμᾶς μετὰ τοῦ Θεοῦ· πολλῷ μᾶλλον νῦν, ὅτε κατηλλάγημεν καὶ ἐφιλιώθημεν μετὰ τοῦ Θεοῦ, ἐλπίζομεν σωθῆναι ἐν τῇ ζωῇ αὐτοῦ, τουτέστι, διὰ τῆς ζωῆς αὐτοῦ τῆς μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν, ἥτις ἐστὶν ἡ αἰώνιος καὶ δεδοξασμένη ζωή. Διότι ὁ μὲν θάνατος αὐτοῦ ἐξαλείψας τὰ παραπτώματα ἡμῶν, κατήλλαξε καὶ ἐφιλίωσεν ἡμᾶς μετὰ τοῦ Θεοῦ, διὰ δὲ τῆς μετὰ τὴν ἀνάστασιν αὐτοῦ ζωῆς δικαιωθέντες, ἄξιοι γεγόναμεν τῆς αἰωνίου ζωῆς καὶ σωτηρίας· « Ὃς παρεδόθη, λέγει ὁ αὐτὸς Ἀπόστολος, διὰ τὰ παραπτώματα ἡμῶν, » καὶ ἠγέρθη διὰ τὴν δικαίωσιν ἡμῶν » (1). Ταῦτα δέ εἰσι τὰ ἀσάλευτα θεμέλια τῆς ἐλπίδος ἡμῶν. Ταῦτά εἰσιν αἱ ἀποδείξεις, αἱ ἐπιβεβαιοῦσαι, ὅτι ἡ ἐλπὶς ἡμῶν οὐ καταισχύνει.

# ΟΜΙΛΙΑ

ΜΕΤΑ ΤΗΝ ΠΡΟΣ

## ΡΩΜΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

### ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗι Γ'. ΚΥΡΙΑΚΗι.

Ἡ εἰς Χριστὸν πίστις ἐδικαίωσεν ἡμᾶς, ὁ Θεὸς κατηλλάγη καὶ εἰρήνευσε μεθ' ἡμῶν, τὸ αἷμα τοῦ Ἰησοῦ Χριστοῦ, τὸ ἐν τῷ σταυρῷ ἐκχυθέν, ἠλευθέρωσεν ἡμᾶς ἀπὸ τῆς ὀργῆς τῆς κολάσεως, ὁ θάνατος τοῦ Ἰησοῦ Χριστοῦ κατέστησεν ἡμᾶς ἀντὶ ἐχθρῶν φίλους τοῦ Θεοῦ, ἡ ἐκ νεκρῶν ἀνάστασις αὐτοῦ ἐτύπωσεν εἰς τὰς καρδίας ἡμῶν ἐλπίδα αἰωνίου σωτηρίας ἀκαταίσχυντον, τουτέστι βεβαίαν καὶ ἀναμφίβολον. Ταῦτα διὰ τῆς σήμερον ἀναγνωσθείσης ἐπιστολῆς αὐτοῦ ἐδίδαξεν ἡμᾶς ὁ θεοῤῥήμων Ἀπόστολος Παῦλος· ἐπειδὴ δὲ ταῦτά εἰσιν ἀληθινά, τίς ἡ χρεία τῶν καλῶν ἔργων, ὑπὲρ ὧν τόσοι ἀγῶνες, καὶ κόποι, καὶ ταλαιπωρίαι ὑποφέρονται; Ἡ εἰς Χριστὸν πίστις σώζει· λοιπὸν τὰ καλὰ ἔργα εἰσὶ περιττά· ἆρα γε ἀληθές ἐστι τοῦτο τὸ συμπέρασμα; ὅστις ἐκ τῶν μερικῶν πραγμάτων ποιεῖ συμπεράσματα γενικά, ἐκεῖνος σφάλλει καὶ παραλογεῖ προφανέστατα· τῆς πίστεως τὸ θεμέλιον οὐκ ἔστιν εἷς, οὐδὲ

(1) Ρωμ. 4, 25.

δύω, ἀλλὰ πάντες ὁμοῦ οἱ λόγοι τῶν ἁγίων γραφῶν. Πάντα τῶν θείων γραφῶν τὰ λόγιά εἰσιν ὥς τινα μέλη, ἐξ ὧν συγκροτεῖται καὶ γίνεται ἓν σῶμα ὁλόκληρον· αὐτὸ δὲ τὸ ὅλον σῶμά ἐστι τὸ θεμέλιον τῆς πίστεως· ὅσον οὖν σφάλλει, ὅστις βλέπων τὸν δάκτυλον, ἢ τὴν χεῖρα, ἢ τὸν πόδα, ἢ ἄλλο τι μέλος τοῦ σώματος, συμπεραίνει ἐκ τούτου τὴν συμμετρίαν, ἢ τὸ κάλλος, ἢ τὴν δύναμιν ὅλου τοῦ σώματος· οὕτω σφάλλει καὶ παραλογεῖ, ὅστις ἀναγινώσκων ἓν μόνον μέρος τῆς γραφῆς, ἐκ τούτου συμπεραίνει τὰ δόγματα, ἢ τοὺς νόμους, ἢ τὸν σκοπὸν ὅλης τῆς θείας γραφῆς.

Ἐξέτασον, ἄνθρωπε, καὶ τὰ ἄλλα τῶν θεοσδότων γραφῶν λόγια, ἵνα πληροφορηθῇς, ὅτι τόσον ἀναγκαῖά εἰσι τὰ καλὰ ἔργα, ὥστε χωρὶς αὐτῶν οὐδὲν ὠφελεῖ ἡ εἰς Χριστὸν πίστις. Ἐὰν ἐρευνήσῃς τὰς γραφάς, ἀκούεις αὐτὸν μὲν τὸν Παῦλον, τὸν τὰ προειρημένα διδάξαντα, κραυγάζοντα καὶ λέγοντα· « Κατὰ δὲ τὴν σκληρότητά σου καὶ ἀμετανόητον καρδίαν θησαυρίζεις σεαυτῷ ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς καὶ ἀποκαλύψεως δικαιοκρισίας τοῦ Θεοῦ· ὃς ἀποδώσει ἑκάςῳ ααατὰ τὰ ἔργα αὐτοῦ »(1). Τὸν δὲ Ἰάκωβον διδάσκοντα· « Τί τὸ ὄφελος, ἀδελφοί μου, ἐὰν πίστιν λέγῃ τις ἔχειν, ἔργα δὲ μὴ ἔχῃ, μὴ δύναται ἡ πίστις σῶσαι αὐτόν ; » (2) Βλέπεις δὲ ἐν ταῖς παραβολαῖς τοῦ Εὐαγγελίου τοὺς μὲν ἔχοντας τοῦ γάμου τὸ ἔνδυμα, ἤγουν τῆς ἀρετῆς τὸν στολισμόν, καθημένους ἐν τῇ ἐπουρανίῳ τραπέζῃ καὶ τρυφῶντας μετὰ τοῦ βασιλέως· τὸν δὲ μὴ ἔχοντα τοῦ γάμου τὸ ἔνδυμα, τουτέστι τὸν γυμνὸν τῶν καλῶν ἔργων, δεδεμένον χεῖρας καὶ πόδας, καὶ ἐκβεβλημένον « Εἰς τὸ σκότος τὸ ἐξώτερον, ὅπου ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων » (3). Βλέπεις πέντε μὲν φρονίμους παρθένους, αἵτινες ἐπειδὴ ἔλαβον, ἔλαιον ἐν τοῖς ἀγγείοις αὐτῶν μετὰ τῶν λαμπάδων αὐτῶν, εἰσῆλθον εἰς τοὺς γάμους· πέντε δὲ μωράς, αἵτινες, ἐπειδὴ οὐκ ἔλαβον μεθ' ἑαυτῶν ἔλαιον, οὐ μόνον εὗρον κεκλεισμένην τοῦ γάμου τὴν θύραν, ἀλλὰ καὶ ἤκουσαν τὸν νυμφίον λέγοντα, ὅτι οὐδόλως γνωρίζει αὐτάς(4). Βλέπεις τὸν μὲν λαβόντα τὰ πέντε τάλαντα, καὶ πολλαπλασιάσαντα αὐτά, ὁμοίως καὶ τὸν λαβόντα τὰ δύω, ἐπαινεθέντας καὶ εἰσελθόντας εἰς τὴν χαρὰν τοῦ Κυρίου· τὸν δὲ λαβόντα τὸ ἕν, καὶ μὴ πολλαπλασιάσαντα, ἀλλὰ κατακρύψαντα, κατακριθέντα, καὶ ἐκβληθέντα « Εἰς τὸ σκότος τὸ ἐξώτερον, ὅπου ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων »(5). Βλέπεις τὸν μὲν ὑπομονητικὸν Λάζαρον « Εἰς τὸν κόλπον τοῦ Ἀβραάμ » (6)· τὸν δὲ ἄσπλαγχνον πλούσιον, ἐν τῷ ᾅδῃ καὶ ἐν τῇ φλογὶ τῆς βασάνου. Ἀκούεις τέλος πάντων καὶ αὐτὴν τὴν φωνὴν τοῦ δημιουργοῦ τῆς κτίσεως, καὶ τοῦ κριτοῦ ζώντων τε καὶ νεκρῶν, κηρύττουσαν οὐχὶ παραβολικῶς, ἀλλ' ἐκπεφασμένως, καὶ λέγουσαν· « Μέλλει γὰρ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἔρχεσθαι ἐν τῇ δόξῃ τοῦ πατρὸς αὐτοῦ, μετὰ τῶν ἀγγέλων αὐτοῦ· καὶ τότε ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ » (7).

Ποῖος οὖν ὀρθὸς λόγος πείθει, ὅτι τὰ καλὰ ἔργα εἰσὶ περιττὰ πρὸς τὴν ἀπόλαυσιν τῆς σωτηρίας ; μᾶλλον δὲ τίς ὀρθὸς λόγος οὐ πληροφορεῖ, ὅτι ἡ ἀρετή ἐστιν ἀναγκαία πρὸς τὴν σωτηρίαν ; ἐὰν καὶ χωρὶς τῶν ἀγαθῶν ἔργων σωζώμεθα, ποῦ ἵσταται ἡ δι-

(1) Ῥωμ. 2. 5, 6. (2) Ἰάκ. 2, 14. (3) Ματθ. 22, 13. (4) Αὐτ. 25, 4. (5) Αὐτ. 30. (6) Λουκ. 16, 22.
(7) Ματθ. 16, 27.



καιοσύνη τοῦ Θεοῦ ; ἐὰν ὁ Θεὸς σώζῃ ἐπίσης τὸν σώφρονα καὶ τὸν πόρνον, τὸν ἐλεήμονα καὶ τὸν ἄσπλαγχνον, τὸν ταπεινὸν καὶ τὸν ὑπερήφανον, τὸν νηστευτὴν καὶ τὸν κοιλιόδουλον· ἐὰν ὁ Θεὸς σώζῃ ἐπίσης καὶ τὸν ἐστολισμένον τῆς ἀρετῆς τὸ ἔνδυμα, καὶ τὸν γυμνὸν πάσης ἀγαθοεργίας, πῶς ἐστι δίκαιος ; Πῶς « Δικαιοσύνας ἠγάπησεν, εὐθύτητας εἶδε τὸ πρόσωπον αὐτοῦ ; Πῶς ἠγάπησε δικαιοσύνην, καὶ ἐμίσησεν ἀνομίαν » (1); Ἐὰν τὰ καλὰ ἔργα οὐδὲν συνεισφέρωσι πρὸς τὴν τῶν ἀνθρώπων σωτηρίαν, μάταιοί εἰσιν οἱ μετὰ τοσαύτης ἀκριβολογίας δοθέντες νόμοι ἐν τῷ Σινᾷ ὄρει, μάταιαι αἱ δέκα ἐντολαί, περιττὰ τὰ ἠθολογικὰ τῶν προφητῶν κηρύγματα, περιττὰ τὰ τοῦ Εὐαγγελίου ἠθικὰ νομοθετήματα, μάταιοι καὶ αὐτοὶ οἱ τρομεροὶ φοβερισμοί, ὅσους κατὰ τῶν ἁμαρτανόντων ἐξεβόησεν αὐτὸς ὁ τοῦ Θεοῦ μονογενὴς Υἱός, ὁ Θεάνθρωπος Ἰησοῦς. Βλέπεις εἰς πόσα ἄτοπα, μᾶλλον δὲ βλάσφημα νοήματα καταντᾷ ὅστις πιστεύει, ὅτι ἡ πίστις μόνη σώζει, τὰ δὲ καλὰ ἔργα εἰσὶ περιττά ;

Τὰ καλὰ ἔργα εἰσὶν ἡ ἀπόδειξις τῆς πίστεως· « Ἐὰν πιστεύῃς, δεῖξόν μοι τὴν πίστιν σου ἐκ τῶν ἔργων σου, κἀγὼ δείξω σοι ἐκ τῶν ἔργων μου τὴν πίστιν μου » (2). Ἡ πίστις ἡ γυμνὴ τῶν καλῶν ἔργων ἐστὶ πίστις δαιμονικὴ καὶ ἀνωφελής· « Διότι καὶ τὰ δαιμόνια πιστεύουσι καὶ φρίττουσι » (3), φανερὸν ὅμως ἐστίν, ὅτι οὐδὲν ὠφελοῦνται. Ταῦτα διδάσκει ἡμᾶς ὁ ἀδελφόθεος Ἰάκωβος, ὅστις ἀποδείξας πρῶτον ὅτι καὶ ὁ Ἀβραὰμ « Ἐξ ἔργων ἐδικαιώθη, ἀνενέγκας Ἰσαὰκ τὸν υἱὸν αὐτοῦ ἐπὶ τὸ θυσιαστήριον » (4), καὶ ὅτι ἐκ τῶν ἔργων καὶ αὐτὴ ἡ πίστις αὐτοῦ ἔλαβε τὴν τελειότητα· ὁμοίως δὲ καὶ ἡ Ῥαὰβ ἐκ τῶν ἔργων ἐδικαιώθη, « Ὑποδεξαμένη τοὺς ἀγγέλους » (5), ἤγουν τοὺς ἀποσταλέντας κατασκόπους, ἐπιφέρει δύω συμπεράσματα, πρῶτον· « Ὁρᾶτε τοίνυν, λέγει, ὅτι ἐξ ἔργων δικαιοῦται ἄνθρωπος, καὶ οὐκ ἐκ πίστεως μόνον ; » (6) Δεύτερον δέ, λέγων· ὅτι ἡ πίστις χωρὶς τῆς ἀρετῆς ἐστι νεκρά, καθὼς νεκρόν ἐστι τὸ σῶμα χωρὶς τῆς ψυχῆς· « Ὥσπερ γὰρ τὸ σῶμα χωρὶς πνεύματος νεκρόν ἐστιν, οὕτω καὶ ἡ πίστις χωρὶς τῶν ἔργων νεκρά ἐστι » (7). Πρὸς τούτοις ἀκούομεν, ὅτι καὶ αὐτὸς ὁ σωτὴρ τοῦ κόσμου, ὁ μέλλων πάλιν ἔρχεσθαι κρῖναι ζῶντας καὶ νεκρούς, οὐκ εἶπε· Καὶ ἐκπορεύσονται οἱ πιστεύσαντες εἰς ἀνάστασιν ζωῆς, οἱ δὲ ἀπιστήσαντες εἰς ἀνάστασιν κρίσεως, ἀλλ' ἐδίδαξε, λέγων· « Καὶ ἐκπορεύσονται οἱ τὰ ἀγαθὰ ποιήσαντες εἰς ἀνάστασιν ζωῆς, οἱ δὲ τὰ φαῦλα πράξαντες, εἰς ἀνάστασιν κρίσεως » (8). Πολλὴν δὲ καὶ μεγάλην ἔμφασιν ἔχουσι ταῦτα τὰ λόγια, ἐπειδὴ ταῦτα ἐξεφώνησεν ὁ Κύριος περὶ τῶν κρινομένων πιστῶν, οὐχὶ δὲ περὶ τῶν ἀπίστων, οἵτινες οὐκ ἀνίστανται εἰς κρίσιν, ἀλλ' εἰς κατάκρισιν, καθότι « Ὁ μὴ πιστεύων ἤδη κέκριται, ὅτι μὴ πεπίστευκεν εἰς τὸ ὄνομα τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ » (9). Μετὰ ταῦτα τίς δύναται ἀμφιβάλλειν, ὅτι ἡ πίστις μόνη οὐ σώζει τὸν ἄνθρωπον ;

Ἀλλὰ ποίαν, λέγεις, ἀξιότητα ἔχουσι τὰ καλὰ ἡμῶν ἔργα, ποῖον βάρος, ποίαν τιμήν ; αὐτὰ ἐκ μὲν τοῦ μέρους ἡμῶν διὰ τὸ ἀτελὲς αὐτῶν εἰσιν « Ὡς τὸ ῥάκος τῆς

(1) Ψαλμ. 10, 7. καὶ 44, 7. (2) Ἰάκ. 2. 18. (3) Αὐτ. 19. (4) Αὐτ. 21, 22. (5) Αὐτ. 25. (6) Αὐτ. 24.
(7) Αὐτ. 26. (8) Ἰωάν. 15, 25. (9) Ψαλμ. 1, 5. Ἰωάν. 3, 18.

» ἀποκαθημένης » (1), ὡς εἶπεν ὁ προφήτης Ἡσαΐας· ὡς δὲ ἐκ μέρους τοῦ Θεοῦ εἰσιν ὡς τὸ οὐδέν. Διότι ποίαν χρείαν ἔχει ὁ Θεὸς τῶν ἀγαθῶν ἡμῶν; Οὐδεμίαν· « Ὅτι τῶν » ἀγαθῶν μου οὐ χρείαν ἔχεις » (2), βοᾷ ὁ ἱεροψάλτης· ἢ ποίαν σύγκρισιν ἔχει ἡ μισθαποδοσία τοῦ Θεοῦ πρὸς τὰ κατορθώματα ἡμῶν; ἐκείνη ἐστὶ βασιλεία αἰώνιος, ὁ δὲ κόπος τῶν κατορθωμάτων πρόσκαιρος. Διὰ τοῦτο ἔλεγεν ὁ Παῦλος· « Λογίζομαι » γὰρ ὅτι οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν » καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀπο» καλυφθῆναι » (3). Ἀληθῶς μικρὰ καὶ εὐτελῆ εἰσι τὰ καλὰ ἡμῶν ἔργα ὡς πρὸς τὴν τοῦ Θεοῦ μεγαλειότητα· ἀληθῶς οὐκ εἰσὶν ἄξια τῆς αἰωνίου ἀντιμισθίας· πλὴν δι' αὐτῶν ὁ ἄνθρωπος ἀποῤῥίπτει τὴν παρὰ φύσιν κατάστασιν τῆς ἁμαρτίας. καὶ ἀναβαίνει εἰς τὴν φυσικὴν τῆς ἀθωότητος αὐτοῦ κατάστασιν, τοιοῦτος γενόμενος, ὁποῖον ἔπλασεν αὐτὸν ὁ Θεός. Ὅθεν ἐμφανίζων ἐν ἑαυτῷ τὸ κάλλος καὶ τὴν μεγαλοπρέπειαν καὶ τὴν ἁγιωσύνην τῆς εἰκόνος τοῦ Θεοῦ, διεγείρει τοὺς ἀνθρώπους πρὸς θαυμασμὸν τῆς θείας αὐτοῦ παντοδυναμίας τε καὶ σοφίας, ὡς ψάλλει ὁ ἅγιος προφήτης, λέγων· « Ἐθαυμαστώθη ἡ γνῶσίς σου ἐξ ἐμοῦ» (4)· καὶ πρὸς δοξολογίαν καὶ αἴνεσιν τῆς παντοκρατορικῆς αὐτοῦ ἀγαθότητος, ὡς αὐτὸς ἀπεφάσισεν, εἰπών· « Ὅπως ἴδωσιν ὑμῶν » τὰ καλὰ ἔργα, καὶ δοξάσωσι τὸν πατέρα » ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς » (5). Ἀληθῶς τὰ καλὰ ἔργα ἡμῶν οὐκ εἰσὶν ἀνάλογα πρὸς τὴν ἀνταπόδοσιν τῆς θείας δόξης· πλὴν ἐπειδὴ δι' αὐτῶν δεικνύει ὁ ἄνθρωπος τὴν πρὸς τὸν Θεὸν ὑπακοήν, τὴν ἀγάπην, τὴν εὐλάβειαν, τὴν λατρείαν, ἐπειδὴ δι' αὐτῶν θυσιάζει εἰς τὸν Θεὸν πάσας τὰς δυνάμεις, ὅσας παρ' αὐτοῦ ἔλαβε πρὸς τὸ ἀγαθοποιεῖν· διὰ τοῦτο ὁ Θεός, μὴ παρατηρῶν τὸ ἀτελὲς τῶν ἔργων, ἀλλ' ἐπιβλέπων ἐπὶ τὴν προθυμίαν τῆς ψυχῆς, ἀνταμείβει τῷ ἀπείρῳ αὐτοῦ ἐλέει τοὺς προσφέροντας αὐτῷ τὴν ἁγίαν καὶ εὐάρεστον αὐτῷ θυσίαν τῶν θείων ἀρετῶν, δι' ἀνταποδόσεων αἰωνίων.

Ἄκουσον δὲ καὶ ἄλλον λόγον ἀποδεικτικὸν τῆς ἀναλογίας, τῆς μεταξὺ τῶν καλῶν ἡμῶν ἔργων καὶ τῆς μελλούσης ἀνταποδόσεως. Ἡ μέλλουσα ἀνταπόδοσίς ἐςιν ἡ μετὰ Ἰησοῦ Χριστοῦ αἰώνιος ἕνωσις. Οὕτω διδάσκει ἡμᾶς ὁ θεόπνευστος Παῦλος· « Ἁρπα» γησόμεθα, λέγει, ἐν νεφέλαις, εἰς ἀπάν» τησιν τοῦ Κυρίου εἰς ἀέρα· καὶ οὕτω πάν» τοτε σὺν Κυρίῳ ἐσόμεθα » (6). Μετ' αὐτοῦ δὲ ἑνούμενοι, συνδοξαζόμεθα καὶ συμβασιλεύομεν αὐτῷ ἐν τῇ βασιλείᾳ αὐτοῦ εἰς αἰῶνα αἰῶνος. Αὐτός ἐστιν ἡ αὐτοκαθαρότης καὶ ἡ ὄντως ἁγιωσύνη· καθαροὶ δὲ καὶ ἅγιοί εἰσιν καὶ οἱ τῶν ἀρετῶν ἐργάται· ὅσον δυνατόν ἐστιν εἰς τὴν ἀνθρωπίνην φύσιν τὴν ὑπ' αὐτοῦ δημιουργηθεῖσαν. Ἀληθῶς αὐτὸς μὲν καθαρός ἐστι καὶ ἅγιος κατὰ φύσιν· αὐτοὶ δὲ καθαροὶ καὶ ἅγιοι κατὰ χάριν. Ἀληθῶς ἡ μὲν καθαρότης αὐτοῦ καὶ ἡ ἁγιωσύνη ἄμετρος καὶ ἄπειρος· ἡ δὲ τῶν ἐναρέτων ἀνθρώπων μετρία, καὶ πεπερασμένη, πλὴν καθαρότης ἐστι καὶ ἁγιωσύνη. Ἰδοὺ οὖν ἡ ἀναλογία, ἰδοὺ ὁ σύνδεσμος, ὁ συνδέων καὶ συνάπτων αἰωνίως τὸν καθαρώτατον καὶ ὑπεράγιον Θεὸν μετὰ τῶν καθαρῶν καὶ ἁγίων ἀνθρώπων.

Ἐὰν δὲ ἡ πίστις μόνη οὐκ ἔχῃ δύναμιν ἀρκετήν, ἵνα σώσῃ ἡμᾶς, ἀλλὰ χρείαν ἔχῃ τῆς συμβοηθείας τῶν καλῶν ἔργων, τί σημαίνουσι, λέγεις, ἡ ἐκ τῆς πίστεως δικαίωσις καὶ ἡ εἰρήνη μετὰ τοῦ Θεοῦ, καὶ ἡ διὰ τοῦ αἵματος τοῦ Ἰησοῦ Χριστοῦ ἐλευθερία ἀπὸ τῆς ὀργῆς, καὶ τὰ λοιπά, ὅσα σήμερον ἠκούσαμεν ὑπὸ τοῦ θεηγόρου Παύλου διδασκόμενα; Αὐτὰ σημαίνουσιν, ὅτι τὸ πάθος καὶ ὁ θάνατος τοῦ Ἰησοῦ Χριστοῦ εἰρήνευσε τὸ γένος τῶν ἀνθρώπων μετὰ τοῦ Θεοῦ, καὶ ἠλευθέρωσεν αὐτὸ ἀπὸ τῆς ὀργῆς καὶ τιμωρίας τῆς ἡτοιμασμένης αὐτῷ διὰ τὴν προπατορικὴν παράβασιν, καὶ ἐποίησεν ἀθώους πάντας τοὺς εἰς αὐτὸν πιςεύοντας· ταύτην δὲ τὴν κοινὴν εἰρήνην μετὰ τοῦ Θεοῦ, καὶ τὴν ἐλευθερίαν ἀπὸ τῆς ὀργῆς, καὶ τὴν δικαίωσιν καὶ τὴν υἱοθεσίαν λαμβάνει πᾶς ἄνθρωπος διὰ τοῦ ἁγίου βαπτίσματος, συνθαπτόμενος τῷ Χριστῷ καὶ συνεγειρόμενος· « Πάντες γάρ, λέγει ὁ » Παῦλος, υἱοὶ Θεοῦ ἐστε διὰ τῆς πίστεως » ἐν Χριστῷ Ἰησοῦ. Ὅσοι γὰρ εἰς Χρι» ςὸν ἐβαπτίσθητε, Χριςὸν ἐνεδύσασθε » (1). Ἐὰν οὖν φυλάξωμεν καθαρὸν τῆς υἱοθεσίας τὸ χάρισμα, στολίζοντες τὴν ψυχὴν ἡμῶν διὰ τῆς ἁγιότητος τῶν ἀρετῶν, ἔχομεν καὶ τὴν εἰρήνην μετὰ τοῦ Θεοῦ, καὶ τὴν ἐλευθερίαν ἀπὸ τῆς ὀργῆς, καὶ τὴν δικαίωσιν καὶ τὴν κληρονομίαν τῆς θείας βασιλείας, ὡς τέκνα Θεοῦ· « Καὶ κληρονόμοι μὲν Θεοῦ, » συγκληρονόμοι δὲ Χριστοῦ » (2). Ἐὰν δὲ μετὰ τὰ τόσα χαρίσματα πράττοντες τὴν ἁμαρτίαν, περιφρονήσωμεν τὸ μέγα ἔλεος τοῦ Θεοῦ, οὐαὶ ἡμῖν. « Ἀθετήσας τις, ὁ » Παῦλος λαλεῖ, νόμον Μωϋσέως, χωρὶς » οἰκτιρμῶν ἐπὶ δυσὶν ἢ τρισὶ μάρτυσιν, » ἀποθνήσκει. Πόσῳ (δοκεῖτε) χείρονος ἀ» ξιωθήσεται τιμωρίας ὁ τὸν Υἱὸν τοῦ Θεοῦ » καταπατήσας, καὶ τὸ αἷμα τῆς διαθή» κης κοινὸν ἡγησάμενος; ἐν ᾧ ἡγιάσθη, » καὶ τὸ πνεῦμα τῆς χάριτος ἐνυβρίσας; » (3)

Ἀλλὰ τίς ἐστι, λέγεις, ἐκεῖνος ὁ ἄνθρωπος, ὅστις μετὰ τὸ βάπτισμα φυλάττει τὴν ψυχὴν αὐτοῦ καθαρὰν καὶ ἀμόλυντον ἀπὸ τοῦ ῥύπου τῆς ἁμαρτίας; « Τίς γὰρ » καθαρὸς ἔσται ἀπὸ ῥύπου; ἀλλ' οὐδείς, » ἐὰν καὶ μία ἡμέρα ὁ βίος αὐτοῦ ἐπὶ τῆς » γῆς » (4). Ὥστε ἡ ἐκ πίστεως δικαίωσις, καὶ ἡ εἰρήνη, καὶ ἡ ἐλευθερία, καὶ τὸ βάπτισμα, καὶ ἡ υἱοθεσία οὐδένα ὠφελοῦσιν, εἰ μὴ τὰ βρέφη τὰ ἀποθανόντα μετὰ τὸ βάπτισμα, καὶ ἑπομένως μὴ περιφρονήσαντα διὰ τῆς ἁμαρτίας τὸ μέγα τῆς υἱοθεσίας χάρισμα. Μὴ λέγε ταῦτα· διότι ἀμεταμέλητά εἰσι τοῦ Θεοῦ τὰ χαρίσματα, ὠφέλιμα δὲ καὶ μετὰ τὴν ἁμαρτίαν, ἐὰν μετανοήσωμεν· « Οὐ γὰρ ἔχομεν ἀρχιερέα μὴ » δυνάμενον συμπαθῆσαι ταῖς ἀσθενείαις » ἡμῶν, πεπειρασμένον δὲ κατὰ πάντα » καθ' ὁμοιότητα, χωρὶς ἁμαρτίας. Ἔχο» μεν δὲ ἀρχιερέα μέγαν διεληλυθότα τοὺς » οὐρανούς, Ἰησοῦν τὸν Υἱὸν τοῦ Θεοῦ. Διὸ » προσερχώμεθα μετὰ παῤῥησίας τῷ θρό» νῳ τῆς χάριτος, ἵνα λάβωμεν ἔλεον, καὶ » καὶ χάριν εὕρωμεν εἰς εὔκαιρον βοή» θειαν » (5). Ἐὰν οὖν μετανοήσωμεν, καὶ ἐπιστρέψαντες πρὸς τὸν Θεόν· « Ἐν τῷ » φωτὶ περιπατῶμεν, ὡς αὐτός ἐστιν ἐν » τῷ φωτί, κοινωνίαν ἔχομεν μετ' ἀλλήλων, καὶ τὸ αἷμα Ἰησοῦ Χριστοῦ, τοῦ Υἱοῦ » αὐτοῦ, καθαρίζει ἡμᾶς ἀπὸ πάσης ἁμαρ» τίας » (6). Μὴ οὖν νομίζῃς ἀνωφελῆ τοῦ Θεοῦ τὰ χαρίσματα, διότι αὐτὰ ὠφελοῦσι καὶ αὐτοὺς τοὺς ἁμαρτάνοντας. Ἐάν, ὅταν ἦμεν ἀσεβεῖς καὶ ἁμαρτωλοί, ὁ Χριστὸς ὑπὲρ ἡμῶν ἀπέθανεν, ἵνα ἡμεῖς δικαιωθῶ-

(1) Ἡσ. 64, 6. (2) Ψαλμ. 15, 2. (3) Ρωμ. 8, 18. (4) Ψαλμ. 138, 6. (5) Ματθ. 5, 16. (6) Α'. Θεσ. 4, 17.

(1) Κιλ. 2, 12. Γαλ. 3, 26, 27. (2) Ρωμ. 8, 17. (3) Ἑβρ. 10, 28, 29. (4) Ἰώβ. 14, 4, 5. (5) Ἑβρ. 4, 15, 14, 16. (6) Α'. Ἰωάν. 1, 7.

μεν, πολλῷ μᾶλλον νῦν, ὅτε διὰ τῆς ἐκχύσεως τοῦ παναγίου αὐτοῦ αἵματος ἐδικαίωσεν ἡμᾶς, μέλλομεν σωθῆναι δι' αὐτοῦ ἀπὸ τῆς διὰ τὴν ἁμαρτίαν ὀργῆς. Ἐάν, ὅταν ἦμεν ἐχθροὶ τοῦ Θεοῦ; ὁ θάνατος τοῦ Ἰησοῦ Χριστοῦ εἰρηνοποίησεν ἡμᾶς μετὰ τοῦ Θεοῦ, πολλῷ μᾶλλον μετὰ τὴν καταλλαγήν, μετανοήσαντες καὶ ἐπιστρέψαντες πρὸς τὸν Θεόν, ἀπολαμβάνομεν τῆς αἰωνίου ζωῆς καὶ σωτηρίας· « Εἰ γὰρ ἐχθροὶ » ὄντες, κατηλλάγημεν τῷ Θεῷ διὰ τοῦ » θανάτου τοῦ Υἱοῦ αὐτοῦ, πολλῷ μᾶλ» λον καταλλαγέντες σωθησόμεθα ἐν τῇ » ζωῇ αὐτοῦ » (1). Πρὸ τῆς θείας ἐνανθρωπήσεως, πρὸ τοῦ σωτηρίου πάθους, πρὸ τῆς ζωηφόρου ἀναστάσεως τοῦ Ἰησοῦ Χριστοῦ οὐκ εἶχον οἱ ἄνθρωποι μεσίτην πρὸς τὸν Θεόν, ἵνα παρακαλέσῃ ὑπὲρ τῆς ἀφέσεως τῶν ἁμαρτιῶν αὐτῶν. Ἀλλ' ἀφ' οὗ ταῦτα ἐτελειώθησαν, ἔχουσι δραστικώτατον πρὸς τὸν Θεὸν μεσίτην, τὸν Θεάνθρωπον Ἰησοῦν· « Εἷς γὰρ Θεός, εἷς καὶ μεσίτης » Θεοῦ καὶ ἀνθρώπων, ἄνθρωπος Χριςὸς Ἰη» σοῦς » (2). Διότι αὐτὸς ἀποθανὼν ὑπὲρ ἡμῶν, καὶ ἐκ νεκρῶν ἐγερθείς, κάθηται ἐν δεξιᾷ τοῦ Θεοῦ, καὶ ἀδιαλείπτως ὡς ἄνθρωπος ὑπὲρ ἡμῶν πρεσβεύει. « Χριςὸς ὁ ἀποθανών, μᾶλ» λον δὲ ἐγερθείς, ὃς καί ἐστιν ἐν δεξιᾷ τοῦ » Θεοῦ, ὃς καὶ ἐντυγχάνει ὑπὲρ ἡμῶν » (3). Ἐπειδὴ δὲ Υἱὸς Θεοῦ ἐστι, δύναται παρέχειν τὴν παντελῆ σωτηρίαν εἰς πάντας τοὺς δι' αὐτοῦ προσερχομένους πρὸς τὸν Θεόν, καθότι διαπαντὸς ζῇ μεσιτεύων ὑπὲρ τῆς τῶν ἀνθρώπων σωτηρίας. « Ὅθεν καὶ σώζειν εἰς » τὸ παντελὲς δύναται τοὺς προσερχομένους » δι' αὐτοῦ τῷ Θεῷ, πάντοτε ζῶν εἰς τὸ » ἐντυγχάνειν ὑπὲρ ἡμῶν » (4).

Μὴ πλανᾶσθε οὖν, ἀγαπητοί μου ἀδελφοί, πειθόμενοι εἰς τὰς κοινολογίας καὶ τὴν ἀπάτην ἐκείνων, οἵτινες, εἴτ' ἐξ ἀμαθείας, εἴτ' ἐξ ἐθελοκακίας μὴ συμβιβάζοντες τὰ νοήματα τῶν Θείων Γραφῶν, πλανῶνται καὶ πλανῶσι· μὴ θαῤῥῆτε, μηδ' ἐλπίζητε, ὅτι διὰ μόνης τῆς πίστεως, χωρὶς τῶν καλῶν ἔργων δυνάμεθα σωθῆναι. « Διότι « Ἡ » πίστις χωρὶς τῶν ἔργων νεκρά ἐστι » (5). τὰ δὲ νεκρὰ ἀνενέργητά εἰσι καὶ ἀνωφελῆ καὶ ἄπρακτα. Ἄλλο δὲ πρὸς τούτοις θαυμασιώτερον διδάσκει ἡμᾶς ὁ θεῖος Ἰάκωβος· αὐτὸς κηρύττει, ὅτι ἡ πίστις συνεργεῖ εἰς τὴν κατόρθωσιν τῶν καλῶν ἔργων, καὶ ὅτι τὰ καλὰ ἔργα ἀναβιβάζουσι τὴν πίςιν εἰς τὴν τελειότητα· « Βλέπεις λέγει λαλῶν » περὶ τοῦ Ἀβραάμ, ὅτι ἡ πίσστις συνήρ» γει τοῖς ἔργοις αὐτοῦ, καὶ ἐκ τῶν ἔργων » ἡ πίστις ἐτελειώθη » (6). Ἐὰν οὖν ἡ ἀρετὴ αὐξάνῃ καὶ θερμαίνῃ τὴν πίστιν, φανερόν ἐστιν, ὅτι ἡ κακία σμικρύνει καὶ ψυχραίνει αὐτήν. Τοῦτο δὲ ἀληθές ἐστι καὶ ὁρατόν· διότι πρῶτον ὁ ἄνθρωπος γίνεται πονηρὸς καὶ διεστραμμένος, ἔπειτα γίνεται ἀσεβὴς καὶ ἄθεος· ἐβεβαίωσε δὲ τοῦτο ὁ προφητάναξ Δαβίδ, πρῶτον τάξας τὰ πονηρὰ ἔργα, ἔπειτα ὡς ἀκόλουθον αὐτῶν τὴν ἀσέβειαν. « Καὶ ἐμίγησαν, εἶπεν, ἐν τοῖς ἔθνεσι, καὶ » ἔμαθον τὰ ἔργα αὐτῶν, καὶ ἐδούλευσαν » τοῖς γλυπτοῖς αὐτῶν, καὶ ἐγενήθη αὐτοῖς » εἰς σκάνδαλον » (7). Ὁμοίως δὲ καὶ ὁ μέγας προφήτης Μωϋσῆς, γράψας ἐν τῇ ᾠδῇ αὐτοῦ· « Καὶ ἔφαγεν Ἰακὼβ καὶ ἐνεπλήσθη, » καὶ ἀπελάκτισεν ὁ ἠγαπημένος· ἐλιπάν» θη, ἐπαχύνθη, ἐπλατύνθη, καὶ ἐγκατέλι» πε Θεὸν τὸν ποιήσαντα αὐτόν, καὶ ἀπέ» στη ἀπὸ Θεοῦ σωτῆρος αὐτοῦ » (8).

(1) Ρωμ. 5, 10. (2) Α'. Τιμ. 2, 5. (3) Ρωμ. 8, 34. (4) Ἑβρ. 7, 25. (5) Ἰάκ. 2, 26. (6) Αὐτ. 22.
(7) Ψαλμ. 105, 35, 36. (8) Δευτ. 32, 15.



# ΕΡΜΗΝΕΙΑ

### ΕΙΣ ΤΗΝ ΠΡΟΣ

## ΡΩΜΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

### ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗι Δ'. ΚΥΡΙΑΚΗι.

ΔΙΑ τῆς συγκρίσεως τῶν ἐναντίων διακρίνομεν ἀκριβῶς πάντων τῶν πραγμάτων τὰ ἰδιώματα. Εἰς τὰ φυσικά, ἵνα διακρίνῃς ἐντελῶς πόσον ὠφελεῖ ὁ καθαρὸς ἀήρ, παράβαλε αὐτὸν μετὰ τοῦ μεμολυσμένου· ἵνα γνωρίσῃς, πόσον φαιδρά ἐστιν ἡ θεωρία τοῦ εὐμόρφου ἀνθρώπου, σύγκρινον αὐτὸν μετὰ τοῦ δυσμόρφου· ἵνα κατανοήσῃς, πόσον καλόν ἐστιν ἡ ὑγεία, παράθες αὐτὴν μετὰ τῆς ἀῤῥωστίας· εἰς τὰ πολιτικά, τότε βλέπεις καθαρῶς, πόσον μὲν εὐτυχής ἐστιν ἡ εὐνομουμένη πόλις, ὅταν παρατηρήσῃς τὴν δυστυχίαν τῆς κακῶς διοικουμένης· πόσον δὲ ἀναγκαῖά εἰσι τῶν ἐπιστημόνων καὶ τεχνητῶν τὰ ἔργα, ὅταν ἐπιβλέψῃς ἐπὶ τὰ τῶν ἀμαθῶν καὶ ἀτέχνων· πόσον χρήσιμος εἰς τὰς πόλεις ἡ πραγματεία, ὅταν θεωρήσῃς τὰς ὁμηγύρεις τῶν ἀνθρώπων, τὰς ἐστερημένας τῆς ἐμπορίας· εἰς δὲ τὰ ἠθικά, ἵνα πληροφορηθῇς ἐντελῶς, ὁποῖον καὶ πόσον καλόν ἐστιν ἡ ἀρετή, παράβαλε τὸν ἅρπαγα μετὰ τοῦ ἐλεήμονος, τὸν νηφάλιον μετὰ τοῦ μεθύσου, τὸν σώφρονα μετὰ τοῦ ἀσελγοῦς. Ταῦτα γινώσκων διὰ τῆς οὐρανόθεν αὐτῷ δοθείσης σοφίας καὶ χάριτος ὁ θεόληπτος Παῦλος, παραβάλλει οὐχὶ μίαν ἀρετὴν μετὰ μιᾶς ἁμαρτίας, ἀλλ' ἀναβαίνων εἰς τὸ γένος, συγκρίνει γενικῶς τὴν ἀρετὴν μετὰ τῆς ἁμαρτίας· περιγράφων δὲ τὰ τούτων ἀποτελέσματα, βάλλει ἔμπροσθεν τῶν ὀφθαλμῶν πάντων τῆς ἀρετῆς τὴν ὠφέλειαν, καὶ τῆς ἁμαρτίας τὴν βλάβην· τοιοτοτρόπως δὲ πείθει τοὺς ἀκούοντας, ἵνα ἀποστραφῶσι τὴν ἁμαρτίαν, καὶ ἐνστερνισθῶσι τὴν ἀρετήν. Ἡ σήμερον ἀναγνωσθεῖσα περικοπὴ τῆς ἐπιστολῆς αὐτοῦ ταύτην τὴν σύγκρισιν περιέχει· ταύτης δὲ τὴν ἑρμηνείαν προβάλλομεν, ἵνα πάντες μετὰ ἀκριβείας κατανοήσαντες τὰ ἐν αὐτῇ θεῖα νοήματα, καρποφορήσητε τὰ σωτηριώδη τῶν ἀρετῶν καρποφορήματα.

*Ἀδελφοί, ἐλευθερωθέντες ἀπὸ τῆς ἁμαρτίας, ἐδουλώθητε τῇ δικαιοσύνῃ* (1).

Τὸ ὄνομα τῆς δικαιοσύνης σημαίνει παρὰ τῇ Θείᾳ Γραφῇ οὐ μόνον τὴν δικαιοσύνην, ἀλλὰ καὶ πάσας ὁμοῦ τὰς ἀρετάς. « Καὶ » ἐπίστευσεν Ἀβραὰμ τῷ Θεῷ, καὶ ἐλο» γίσθη αὐτῷ εἰς δικαιοσύνην » (2), λέγει περὶ τοῦ Ἀβραὰμ ἡ βίβλος τῆς Γενέσεως.

(1) Ρωμ. 6, 18. (2) Γεν. 15, 6.

« Ἀνατελεῖ ἐν ταῖς ἡμέραις αὐτοῦ δικαιο» σύνη. Ὅτι πᾶσαι αἱ ἐντολαί σου δικαιο» σύνη » (1), ἔψαλλεν ὁ προφητάναξ Δαβίδ. « Ἔσται δικαιοσύνη ἐζωσμένος τὴν ὀ» σφὺν » (2) ἔλεγε περὶ τοῦ Ἰησοῦ Χριστοῦ ὁ Ἡσαΐας. « Οὐ μὴ μνησθῶσιν αἱ δικαιο» σύναι αὐτοῦ » (3), ἐκήρυττεν ὁ Ἰεζεκιὴλ περὶ τοῦ ἁμαρτήσαντος ἐναρέτου. « Μα» κάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δι» καιοσύνην. Μακάριοι οἱ δεδιωγμένοι ἕνε» κεν δικαιοσύνης. Οὕτω γὰρ πρέπον ἐστὶν » ἡμῖν πληρῶσαι πᾶσαν δικαιοσύνην » (4), εἶπεν ὁ Κύριος. Πρεπόντως δὲ τοιαύτη σημασία ἐδόθη εἰς τῆς δικαιοσύνης τὸ ὄνομα. Διότι ὅστις ἐργάζεται ὁποιανδήποτε ἀρετήν, ἐκεῖνος δι' αὐτῆς φυλάττει τὸ δίκαιον καὶ τὸ πρέπον εἰς τὸν Θεόν, εἰς τὸν πλησίον, καὶ εἰς ἑαυτόν » (5). Ἐπειδὴ δὲ ἐν τῇ κολυμβήθρᾳ τοῦ ἁγίου βαπτίσματος συνταφιαζόμενοι τῷ Χριστῷ, θάπτομεν τὸν παλαιὸν ἄνθρωπον τῆς ἁμαρτίας, καὶ ἐνδυθέντες τὸν Ἰησοῦν Χριστόν, τὸν ἄνθρωπον τῆς δικαιοσύνης, συνανιστάμεθα αὐτῷ καθαροὶ ἀπὸ τῶν ἁμαρτιῶν, καὶ ἀφιερωμένοι εἰς τῆς ἀρετῆς τὴν ἐργασίαν· διὰ τοῦτο ὁ θεσπέσιος Παῦλος γράφων πρὸς τοὺς Ῥωμαίους, τοὺς εἰς Χριςὸν πιςεύσαντας καὶ βαπτισθέντας, λέγει πρὸς αὐτούς· «Ἠλευθερώθητε ἀπὸ τῆς ἁμαρτίας», ἤγουν ἐκαθαρίσθητε καὶ ἀπὸ τοῦ προπατορικοῦ καὶ ἀπὸ παντὸς προαιρετικοῦ ἁμαρτήματος. Ἐπειδὴ οὖν ἐλυτρώθητε ἀπὸ τῆς ἁμαρτίας, « Ἐδουλώθητε τῇ δικαιοσύνῃ », ἤγουν ἀφιερώσατε τὴν φροντίδα καὶ τοὺς κόπους ὑμῶν πρὸς τὴν ὑπηρεσίαν, τὴν πρέπουσαν καὶ ζητουμένην διὰ τὴν κατόρθωσιν τῆς ἀρετῆς.

*Ἀνθρώπινον, λέγω, διὰ τὴν ἀσθένειαν τῆς σαρκὸς ὑμῶν· ὥσπερ γὰρ παρεστήσατε τὰ μέλη ὑμῶν δοῦλα τῇ ἀκαθαρσίᾳ καὶ τῇ ἀνομίᾳ εἰς τὴν ἀνομίαν· οὕτω νῦν παραστήσατε τὰ μέλη ὑμῶν δοῦλα τῇ δικαιοσύνῃ εἰς ἁγιασμόν· Ὅτε γὰρ δοῦλοι ἦτε τῆς ἁμαρτίας, ἐλεύθεροι ἦτε τῇ δικαιοσύνῃ* (6).

« Ἀνθρώπινον λέγω, διὰ τὴν ἀσθένειαν » τῆς σαρκὸς ὑμῶν ». Τὰ λόγια ταῦτα ἀναφέρονται πρὸς τὰ προλαβόντα, ἤγουν πρὸς ταῦτα· Ἐδουλώθητε τῇ δικαιοσύνῃ· ἀναφέρονται ὅμως καὶ εἰς τὰ ἀκόλουθα αὐτῶν. Καὶ εἰς μὲν τὰ προλαβόντα ἀναφέρονται οὕτω· λέγω τό, ἐδουλώθητε τῇ δικαιοσύνῃ, οὐ κατὰ τοῦτο, καθὸ δηλονότι οἱ ἐργαζόμενοι τὴν ἀρετὴν γίνονται δοῦλοι, ἀλλὰ κατὰ τὸ ἀνθρώπινον, ἤγουν κατὰ τὴν ὑπόληψιν τῶν ἀνθρώπων, οἵτινες, ἐπειδὴ περίκεινται τὴν ἀσθένειαν τῆς σαρκός, λογίζονται καὶ ὀνομάζουσι δουλείαν τὸν ὑπὲρ τῆς ἀρετῆς κόπον, ὅστις οὐκ ἔστι δουλεία, ἀλλ' ἐλευθερία καὶ σωτηρία καὶ δόξα· διότι ὅστις δουλεύει τῇ δικαιοσύνῃ, ἐκεῖνος δουλεύει τῷ Θεῷ. Τί δὲ τούτου ἢ ἐλευθερώτερον, ἢ σωτηριωδέστερον, ἢ ἐνδοξότερον; Ἐὰν δὲ ἀναφέρῃς αὐτὰ εἰς τὰ ἀκόλουθα λόγια, συμπεραίνεις τὸ ἑξῆς νόημα. Οὐδὲν ἐγὼ διδάσκω ὑπερφυὲς καὶ ἀνώτερον τῆς ἀνθρωπίνης δυνάμεως καὶ κρίσεως· λέγω δὲ πρᾶγμα ἀνθρώπινον διὰ τὴν ἀσθένειαν τῆς σαρκὸς ὑμῶν· ποῖον δέ ἐστι τοῦτο; Αὐτό ἐστι τό, καθώς, ὅταν ἐδουλεύετε τῇ ἁμαρτίᾳ, ἐλεύθεροι ἦτε τῇ δικαιοσύνῃ, ἤγουν οὐδόλως ὑπετάσσεσθε εἰς τοὺς νόμους τῆς δι-

(1) Ψαλμ. 71, 7 καὶ 118, 172. (2) Ἡσ. 11, 5. (3) Ἰεζ. 3, 20. (4) Ματθ. 5, 6, 10 καὶ 3, 4.
(5) Ῥωμ. 6, 4, 6. (6) Αὐτ. 6, 19, 20.



καιοσύνης· ὅθεν καὶ ἐποιήσατε τὰ μέλη ὑμῶν δούλους τῆς ἀκαθαρσίας τῶν ἁμαρτημάτων, καὶ ἐπεσωρεύσατε ἀνομίαν ἐπὶ τῇ ἀνομίᾳ, οὕτως ἐπειδὴ ἠλευθερώθητε ἀπὸ τῆς ἁμαρτίας, καὶ ὑπετάγητε τῇ δικαιοσύνῃ, πρέπον καὶ δίκαιόν ἐστιν, ἵνα ποιήσαντες τὰ μέλη ὑμῶν δούλους τῆς ἀρετῆς, κατασταθῆτε ἅγιοι. Ἀληθῶς δὲ ὡς θέλομεν, οὕτω καὶ ποιοῦμεν τὰ μέλη ἡμῶν, ἢ δούλους τῆς ἀρετῆς, ἢ δούλους τῆς ἁμαρτίας. Ὅταν προσηλώσῃς τὰ ὄμματά σου εἰς τοῦ Θεοῦ τὰ κτίσματα, ἵνα παρατηρήσῃς τὴν θείαν αὐτοῦ ἀγαθότητα καὶ παντοδυναμίαν, καὶ τὴν ἄπειρον αὐτοῦ σοφίαν καὶ πρόνοιαν, τότε ποιεῖς τὰ ὄμματά σου ὑπηρέτας τῆς ἀρετῆς· ὅταν δὲ ἀφιερώσῃς αὐτὰ εἰς τὰ κτίσματα, ἵνα περιεργαζόμενος τὸ κάλλος αὐτῶν, ἐξεγείρῃς εἰς τὴν καρδίαν σου τὴν ἐπιθυμίαν τῆς ματαιότητος, καὶ τῆς σαρκὸς τὸν ἔρωτα, τότε ποιεῖς αὐτὰ δοῦλα τῆς ἁμαρτίας. Ἐὰν ἀνοίγῃς τὰ ὦτά σου, ἵνα ἀκούῃς τὸν λόγον τῆς φωνῆς Κυρίου τοῦ Θεοῦ σου, καὶ τοὺς ὕμνους καὶ τὰς δοξολογίας αὐτοῦ, τότε τὰ ὦτά σου δουλεύουσι τῷ ἔργῳ τῆς σωτηρίας σου· ἐὰν δὲ ἀνοίγῃς αὐτά, ἵνα ἀκούῃς τὰς καταλαλιὰς καὶ αἰσχρολογίας καὶ τὰ ἄσεμνα καὶ ἐρωτικὰ ᾄσματα, τότε αὐτὰ γίνονται ὑπηρέται τῶν ἔργων τῆς κολάσεώς σου· ὅταν ἡ γλῶσσά σου ὑμνολογῇ τὸν Θεόν, ἢ διδάσκῃ τοῦ Θεοῦ τὸν λόγον, ἢ παρηγορῇ, ἢ συμβουλεύῃ τὸν πλησίον σου, τότε ἡ γλῶσσά σου ἐστὶν ὄργανον τῆς ἀρετῆς· ὅταν δὲ λαλῇ βλασφημίας, ἢ ψεῦδος, ἢ δόλους, ἢ κατακρίσεις, ἢ ἐπιβουλὰς κατὰ τοῦ πλησίον σου, τότε γίνεται ὄργανον τῆς ἁμαρτίας· τὰς αὐτὰς χεῖράς σου ἐκτείνεις, ὡς θέλεις, ἢ εἰς τὸν οὐρανὸν πρὸς Θεοῦ δοξολογίαν, ἢ εἰς τὴν γῆν πρὸς ἁρπαγὴν ξένων πραγμάτων· διὰ τῶν αὐτῶν ποδῶν σου τρέχεις· ἢ πρὸς βοήθειαν, ἢ πρὸς βλάβην τοῦ πλησίον σου· καὶ ὅταν μὲν ἀφιερώσῃς τὰ μέλη σου εἰς τὴν ὑπηρεσίαν τῆς ἀρετῆς, ἁγιάζεσαι· ὅταν δὲ προσηλώσῃς αὐτὰ εἰς τὴν ἐργασίαν τῆς ἁμαρτίας, τότε μολύνεσαι· ἄκουσον δὲ καὶ διὰ ποίων ἐπιχειρημάτων σπουδάζει ὁ τοῦ Θεοῦ Ἀπόστολος, ἵνα πείσῃ τοὺς εἰς Χριστὸν πιστεύσαντας ὑποταγῆναι εἰς τὸν ἐλαφρότατον τῆς ἀρετῆς ζυγόν.

*Τίνα οὖν καρπὸν εἴχετε τότε, ἐφ' οἷς νῦν ἐπαισχύνεσθε; τὸ γὰρ τέλος ἐκείνων θάνατος. Νυνὶ δὲ ἐλευθερωθέντες ἀπὸ τῆς ἁμαρτίας, δουλωθέντες δὲ τῷ Θεῷ, ἔχετε τὸν καρπὸν ὑμῶν εἰς ἁγιασμόν· τὸ δὲ τέλος ζωὴν αἰώνιον* (1).

Συγκρίνων τῆς ἁμαρτίας καὶ τῆς ἀρετῆς τὰ ἀποτελέσματα, ἐξάγει τὸ ἐπιχείρημα τὸ παραστατικὸν τῆς βλάβης τῆς προερχομένης ἐκ τῶν ἁμαρτημάτων, καὶ τῆς ὠφελείας, τῆς προξενουμένης ὑπὸ τῶν ἀρετῶν· ποῖον, λέγει, καρπὸν ἐθησαυρίσατε τότε, ἤγουν, ὅτε ἐδουλεύετε τῇ ἁμαρτίᾳ, πράττοντες τοιαῦτα αἰσχρὰ ἔργα, ὥςε νῦν ἀναλογιζόμενοι αὐτά, ἐντρέπεσθε; ἀληθῶς δὲ ὅταν παύσῃ τῆς ἁμαρτίας ἡ πρᾶξις, καὶ ἐκλείψῃ ἡ ἡδονὴ αὐτῆς, τότε ἐντρέπεται καὶ αἰσχύνεται ὁ πράξας αὐτήν, κἂν ἀναιδέστατος ὑπάρχῃ· προστίθησι δὲ καὶ ἕτερον κακόν, τῆς ἁμαρτίας ἔκγονον, τουτέςι τὸν θάνατον, ὅςις ἐστὶν ἡ αἰώνιος κόλασις· « Τὸ γὰρ τέλος ἐκείνων, λέγει, θάνατος »· ἀλλὰ νῦν ἐπειδὴ ἠλευθερώθητε ἀπὸ τῆς ἁ-

(1) Ῥωμ. 6, 21, 22.

μαρτίας, καὶ ἐδουλώθητε τῷ Θεῷ, ὁ καρπὸς ὑμῶν ἐστιν ἁγιωσύνη, τὸ δὲ τέλος τῶν ἀγαθῶν ὑμῶν ἔργων, ἐστὶν ἡ ἀπόλαυσις τῆς αἰωνίου ζωῆς καὶ μακαριότητος. Βλέπε δὲ πῶς ἀντιπαραβάλλει κατὰ τῆς αἰσχύνης τῆς ἁμαρτίας τὸν ἁγιασμὸν τῆς ἀρετῆς, κατὰ δὲ τοῦ θανάτου, ὃν προξενεῖ ἡ ἁμαρτία, τὴν ἀτελεύτητον ζωήν, τὴν ὑπὸ τῆς ἀρετῆς προξενουμένην. Οἱ ἐργάται, λέγει, τῆς ἁμαρτίας ἔχουσιν εἰς μὲν τὴν παροῦσαν ζωήν, αἰσχύνην· εἰς δὲ τὴν μέλλουσαν, τὴν αἰώνιον κόλασιν. Οἱ δὲ κατορθοῦντες τὰς ἀρετάς, εἰς μὲν τὴν γῆν ἔχουσι τὸν ἁγιασμόν· εἰς δὲ τὸν οὐρανόν, τὴν μακαρίαν ζωήν. Σημείωσαι δέ, ὅτι πρότερον μὲν εἶπεν· «Ἐ» δουλώθητε τῇ δικαιοσύνῃ »· ἔπειτα λέγει· « Δουλωθέντες τῷ Θεῷ », διδάσκων διὰ τούτου, ὅτι ἡ ἐργασία τῆς ἀρετῆς, καὶ ἡ ὑπακοὴ εἰς τὸν Θεόν εἰσιν ἓν καὶ τὸ αὐτό· τὰ αὐτὰ δὲ ἐπιβεβαιοῖ καὶ διὰ τῶν ἑξῆς.

*Τὰ γὰρ ὀψώνια τῆς ἁμαρτίας θάνατος· τὸ δὲ χάρισμα τοῦ Θεοῦ, ζωὴ αἰώνιος ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν* (1)

Τὰ ὀψώνια κατὰ τὴν σημασίαν τῆς λέξεως σημαίνουσι τὰς ἀγοραζομένας ἑψητὰς τροφάς. Ἐπειδὴ δὲ ἐν τοῖς παλαιοῖς χρόνοις οἱ τῶν Ῥωμαίων στρατιῶται ἐλάμβανον τὸν μισθὸν αὐτῶν οὐχὶ διὰ χρημάτων, ἀλλὰ διὰ τροφῶν, ἡ λέξις ὀψώνιον, ἐλήφθη ἀντὶ μισθοῦ. Διὸ ὁ μὲν Πρόδρομος Ἰωάννης ἔλεγε πρὸς τοὺς στρατευομένους· « Ἀρκεῖ» σθε τοῖς ὀψωνίοις ὑμῶν » (2). Ὁ δὲ Παῦλος ἔγραφε πρὸς τοὺς Κορινθίους· «Τίς στρα» τεύετε ἰδίοις ὀψωνίοις ποτέ; (3) Ὀψώνια οὖν ἐνταῦθα λέγει ὁ Ἀπόστολος τὰς ἀνταποδόσεις καὶ ἀντιμισθίας· τῆς ἁμαρτίας, λέγει, ὁ μισθός ἐστιν ὁ θάνατος, ἤγουν ἡ κόλασις· τῆς δὲ ἀρετῆς τὸ χάρισμα, ἤγουν ἡ ὑπὸ Θεοῦ διδομένη τῇ χάριτι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἀνταπόδοσίς ἐστι ζωὴ αἰώνιος. Ἐπειδὴ δὲ ὁ ὑπὸ τῶν ἀνθρώπων διδόμενος μισθός ἐστιν ἀνάλογος πάντοτε τῇ ἀξιότητι τοῦ ἔργου· ἡ δὲ ζωὴ ἡ αἰώνιος καὶ ἡ βασιλεία καὶ ἡ δόξα, ἣν ὁ Θεὸς ἀνταποδίδωσιν εἰς τοὺς ἐργάτας τῶν καλῶν ἔργων, οὐδεμίαν σύγκρισιν, οὐδὲ ἀναλογίαν ἔχει, ἀλλὰ καθ' ὑπερβολὴν ὑπερβαίνει τοὺς ὑπὲρ τῆς ἀρετῆς ἀγῶνας· δίδοται δὲ τῇ τοῦ Ἰησοῦ χάριτι· διὰ τοῦτο οὐκ εἶπεν, ὁ μισθός, οὐδὲ ἡ ἀνταπόδοσις, ἀλλὰ τὸ χάρισμα τοῦ Θεοῦ, ζωὴ αἰώνιος, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

(1) Ρωμ. 6, 23. (2) Λουκ. 3, 14. (3) Α'. Κορ. 9, 7.



# ΟΜΙΛΙΑ

### ΜΕΤΑ ΤΗΝ ΠΡΟΣ

## ΡΩΜΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

### ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗι Δ'. ΚΥΡΙΑΚΗι

ΑΞΙΟΘΑΥΜΑΣΤΟΣ ἀληθῶς ἡ ἄπειρος φιλανθρωπία τοῦ Θεοῦ, καὶ ἡ πάνσοφος αὐτοῦ πρόνοια, ἡ ὑπὲρ τῆς σωτηρίας τῶν ἀνθρώπων· δι' ἀνταποδόσεως ὁρατῶν καὶ αἰσθητῶν πραγμάτων ἐπιβεβαιοῖ τὴν ἀντάμειψιν τῶν ἀοράτων καὶ πιστευομένων· διὰ τῶν ὁρατῶν δὲ ἀνταποδομάτων ἐνστάζει εἰς τὰς καρδίας ἡμῶν μεγάλην τὴν περὶ τῶν ἀοράτων ἐλπίδα, καὶ πολὺν τὸν φόβον· ἐλπίδα διὰ τὴν ἀπόλαυσιν τῆς αἰωνίου μακαριότητος, φόβον διὰ τὴν καταδίκην τῆς ἀτελευτήτου κολάσεως· δύο εἰσὶν αἱ ἀντιμισθίαι τῶν δικαίων, ὁ ἁγιασμός, καὶ ἡ ζωὴ ἡ αἰώνιος· δύο εἰσὶ καὶ τῶν ἁμαρτωλῶν αἱ ἀνταποδόσεις, ἡ αἰσχύνη καὶ ὁ θάνατος, ἤγουν ἡ κόλασις. Ταῦτα ἐδίδαξεν ἡμᾶς ὁ θεόπνευστος Παῦλος, εἰπών· « Τίνα οὖν » καρπὸν εἴχετε τότε, ἐφ' οἷς νῦν ἐπαισχύ» νεσθε; τὸ γὰρ τέλος ἐκείνων θάνατος. » Νυνὶ δὲ ἐλευθερωθέντες ἀπὸ τῆς ἁμαρ« τίας, δουλωθέντες δὲ τῷ Θεῷ, ἔχετε τὸν » καρπὸν ὑμῶν εἰς ἁγιασμόν· τὸ δὲ τέλος, » ζωὴν αἰώνιον » (1). Εἰς τὴν παροῦσαν ζωὴν οἱ μὲν δίκαιοι λαμβάνουσι τὸν ἁγιασμόν, οἱ δὲ ἁμαρτωλοί, τὴν αἰσχύνην· εἰς τὴν μέλλουσαν, οἱ μὲν δίκαιοι κληρονομοῦσι τὴν θείαν βασιλείαν, οἱ δὲ ἁμαρτωλοὶ πέμπονται εἰς τὴν ἡτοιμασμένην τοῖς δαίμοσι κόλασιν. Ὁ ἁγιασμὸς στηρίζει τὴν ἐλπίδα τῆς βασιλείας εἰς τὴν ψυχὴν τῶν δικαίων, ἡ αἰσχύνη φέρει τὸν φόβον τῆς κολάσεως εἰς τὴν καρδίαν τῶν ἁμαρτωλῶν. Ἀλλ' ἆρά γε γίνεται αἰσθητὸς ὁ τοιοῦτος ἁγιασμός; γίνεται ἆρά γε αἰσθητὴ ἡ τοιαύτη αἰσχύνη; ὁ μὲν ἁγιασμὸς γίνεται αἰσθητὸς διὰ τῆς συνειδήσεως, διὰ τῶν ἀρετῶν, διὰ τῶν θαυμάτων· ἡ δὲ αἰσχύνη διὰ τῆς συνειδήσεως, διὰ τῶν ἁμαρτιῶν, διὰ τῆς κοινῆς κατηγορίας.

Ὅταν μετ' εὐλαβείας προσεύχησαι, ἢ μετὰ προθυμίας νηστεύῃς, ἢ μετὰ ἱλαρότητος ἐλεῇς τοὺς πτωχούς, ἢ ἐκ καρδίας συγχωρῇς τὸν ἐχθρόν σου, ἢ ἄλλο θεῖον ἔργον πράττῃς, τί αἰσθάνεσαι τότε; Τότε ἡ συνείδησίς σου φέρει εἰς τὴν καρδίαν σου τὴν γλυκυτάτην αἴσθησιν τῆς μακαρίας εἰρήνης; καὶ πληροῖ τὴν ψυχήν σου τῆς ἐπουρανίου χαρᾶς καὶ ἀγαλλιάσεως. Τῆς τοιαύτης εἰρήνης καὶ ἀγαλλιάσεως κατ' ἐξοχὴν ᾐσθάνοντο οἱ ἅγιοι ἄνθρωποι· ὅθεν ὁ μὲν προφητάναξ Δαβὶδ ἐκραύγαζεν· « Εἰρήνη » πολλὴ τοῖς ἀγαπῶσι τὸν νόμον σου. Οἱ » ὅσιοί σου ἀγαλλιάσει ἀγαλλιάσονται » (2).

(1) Ῥωμ. 6. 21. 22. (2) Ψαλμ, 118, 165 καὶ 131, 9.

Ὅταν δὲ πεσὼν εἰς τὴν ἁμαρτίαν ἐστερήθη τούτων, ἐβόα πρὸς τὸν Θεόν, δεόμενος ὑπὲρ τούτων, καὶ λέγων· « Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου » (1). Ὁ δὲ μεγαλοφωνότατος Ἠσαΐας ἐδίδασκε· « Καὶ » ἔσται τὰ ἔργα τῆς δικαιοσύνης εἰρήνη » (2). Καὶ αὐτὸς δὲ ὁ Θεὸς διὰ στόματος αὐτοῦ λαλῶν ὑπέσχετο, λέγων· « Ἰδοὺ οἱ δουλεύοντές μοι ἀγαλλιάσονται ἐν εὐφροσύνῃ » (3). Ἐκκαλεῖται δὲ ὁ ἅγιος προφήτης καὶ ὅσην ἀγαλλίασιν ᾐσθάνετο ἡ ψυχὴ αὐτοῦ· « Ἀγαλλιάσθω, ἔλεγεν, ἡ ψυχή μου ἐπὶ τῷ » Κυρίῳ » (4). Διατί; « Διότι ἐνέδυσέ με, » λέγει, ἱμάτιον σωτηρίου, καὶ χιτῶνα εὐ» φροσύνης »· φανερὸν δέ, ὅτι τὸ ἱμάτιον τοῦ σωτηρίου ἐστὶν ἡ ἀρετή, ἡ πρόξενος τῆς σωτηρίας, ὁ δὲ χιτὼν τῆς εὐφροσύνης, ἐστὶν ἡ ἀκόλουθος τῆς ἀρετῆς χαρὰ καὶ ἀγαλλίασις, καὶ ὁ θεομακάριστος δὲ Πέτρος ἐμαρτύρησεν, ὅτι οἱ ἔχοντες τὴν πίστιν καὶ τὴν ἀγάπην, αἰσθάνονται τῶν τοιούτων ἐπουρανίων χαρισμάτων· « Ὃν οὐκ εἰδό» τες ἔλεγεν, ἀγαπᾶτε, εἰς ὃν ἄρτι μὴ » ὁρῶντες, πιςεύοντες δέ, ἀγάλλεσθε χαρᾷ » ἀνεκλαλήτῳ καὶ δεδοξασμένῃ » (5). Ὁ δὲ οὐρανόφρων Παῦλος, καὶ ὅταν περικυκλωμένος ἦν ὑπὸ τῶν ταλαιπωριῶν καὶ τῶν θλίψεων, καὶ τότε ᾐσθάνετο τῆς χαρᾶς· « Νῦν » χαίρω, οὕτως ἔγραφεν, ἐν τοῖς παθήμασί » μου » (6). Ἀλλὰ πόθεν προέρχεται ἡ τοιαύτη εἰρήνη καὶ ἡ ἀγαλλίασις; πόθεν ταῦτα τὰ ἀγαθά; Αὐτὰ οὐκ εἰσὶν οὐδὲ γεννήματα τῆς πολυπαθοῦς φύσεως, οὐδὲ δῶρα τοῦ πολυκυμάντου καὶ θλιβοφόρου κόσμου, ἀλλ' εἰσὶ καρπὸς τῆς ἀρετῆς· καρπὸς ὃν καρποφορεῖ τὸ Πνεῦμα τὸ ἅγιον, ἁγιάζον τὰς καρδίας τῶν ἐναρέτων· διότι « Ὁ καρπὸς τοῦ Πνεύ» ματός ἐστιν ἀγάπη, χαρά, εἰρήνη » (7). Αὐτά εἰσι τὰ αἰσθητὰ σημεῖα τοῦ ἁγιασμοῦ, περὶ οὗ ὁ Παῦλος εἶπεν· « Ἔχετε τὸν » καρπὸν ὑμῶν εἰς ἁγιασμόν » (8).

Γίνεται δὲ αἰσθητὸς ὁ ἁγιασμὸς οὐ μόνον ἔνδον εἰς τὰς καρδίας τῶν ἐναρέτων, ἀλλὰ καὶ ἔξω πρὸς τοὺς βλέποντας καὶ ἀκούοντας τὰ τούτων θεάρεστα ἔργα. Ὅταν βλέπῃς εἰς τὰς Θείας Γραφὰς τὴν πίστιν τοῦ Ἀβραάμ, ἐξ ἧς ἐνδυναμωθείς, κατέλιπε προθύμως καὶ πατρίδα καὶ γένος καὶ τὸν οἶκον τοῦ πατρὸς αὐτοῦ (9)· τὴν ἀτάραχον εἰρήνην τῆς καρδίας αὐτοῦ, δι' ἧς καὶ τὸν Λώτ, καὶ τοὺς τῶν προβάτων αὐτῶν ποιμένας μαχομένους εἰρηνοποίησε (10)· τὴν δικαιοσύνην τῆς ψυχῆς αὐτοῦ, ἐξ ἧς οὐδὲν ἠθέλησε λαβεῖν ἀπὸ τῶν πραγμάτων τοῦ βασιλέως Σοδόμων, « Ἀπὸ σπαρτίου ἕως σφυ» ρωτῆρος ὑποδήματος » (11)· τὴν φιλοξενίαν αὐτοῦ, δι' ἧς καὶ τοὺς ἀγγέλους ἐφιλοξένησε, τὴν εὐσπλαγχνίαν τῆς καρδίας αὐτοῦ ὅταν καὶ ὑπὲρ τῆς τῶν Σοδομιτῶν σωτηρίας τὸν Θεὸν παρεκάλεσε (12)· τὴν ταπεινοφροσύνην τοῦ νοὸς αὐτοῦ, ὅταν ἔλεγεν· « Ἐγὼ δέ εἰμι γῆ καὶ σποδός » (13)· τὴν πρὸς τὸν Θεὸν ἀγάπην αὐτοῦ καὶ τὴν ὑπακοήν, ὅταν ἐξέτεινε τὴν χεῖρα αὐτοῦ λαβεῖν τὴν μάχαιραν, σφάξαι τὸν υἱὸν αὐτοῦ (14). Ὅταν ταῦτα βλέπῃς εἰς τὰς Θείας Γραφάς, τί ἄλλο αἰσθάνεται ἡ ψυχή σου, εἰμὴ ἁγιωσύνην; Ἐὰν παρατηρήσῃς τοῦ Ἰὼβ τὴν ὑπομονήν, τοῦ Ἰωσὴφ τὴν σωφροσύνην, τοῦ Μωϋσέως τὴν ἀνεξικακίαν. τοῦ Δαβὶδ τὴν πρᾳότητα, τοῦ Ἠλιοὺ τὸν ζῆλον, τί ἄλλο βλέπεις, εἰ μὴ τῆς ψυχῆς αὐτῶν τὴν ἁγιότητα; ὅταν ἀκούῃς τὴν πίστιν, τὴν ἐλπίδα, τὴν ἀγάπην, τὴν ταπείνωσιν, τὸν ζῆλον,

(1) Ψαλμ. 50, 12. (2) Ἠσ, 32, 17. (3) Αὐτ. 65, 14. (4) Αὐτ. 61, 10. (5) Α. Πέτρ. 1, 8. (6) Κολ. 1, 24. (7) Γαλ. 5, 22. (8) Ρωμ. 6, 22. (9) Γεν. 12. 5. (10) Αὐτ. 13, 8. (11) Αὐτ. 14, 23· (12) Αὐτ. 18, 2. (13) Αὐτ. 23. Αὐτ. 27. (14) Αὐτ. 22, 16.



τοὺς διωγμούς, τοὺς κινδύνους, τὰ δεσμά, τὰς μάστιγας, τὰ λοιπὰ τῶν θεοφόρων Ἀποστόλων κατορθώματα, τὰ ἆθλα καὶ τὰς βασάνους τῶν καλλινίκων μαρτύρων, τὴν παῤῥησίαν καὶ τὸ θάῤῥος τῶν ὁμολογητῶν τῆς ὀρθοδόξου πίστεως, τοὺς ἀγῶνας, καὶ κόπους τῶν πανενδόξων τῆς ἐκκλησίας ποιμένων, τὰ ἀσκητικὰ παλαίσματα τῶν ἐν ἀσκήσει λαμψάντων ὁσίων πατέρων, τί ἄλλο συλλογίζεσαι, εἰ μὴ τὸν ἁγιασμόν, περὶ οὗ εἶπεν ὁ Παῦλος· « Ἔχετε τὸν καρ» πὸν ὑμῶν εἰς ἁγιασμόν; » (1)

Τί δέ; ἆρά γε οὐ βάλλουσιν ἔμπροσθεν τῶν ὀφθαλμῶν ἡμῶν τὴν ἁγιωσύνην τῶν ἁγίων, καὶ αὐτὰ τὰ ὑπ' αὐτῶν γινόμενα θαύματα; ἄνθρωποι αὐτοί, ὡς καὶ ἡμεῖς, ἥμερα ποιοῦσι τὰ ἄγρια θηρία, διώκουσι τὰς ἀνιάτους ἀῤῥωστίας, καὶ ἀνακαλοῦσι τὴν ὑγείαν, προστάττουσι τὰ στοιχεῖα, καὶ τὰ στοιχεῖα ὑπακούουσι, φωνοῦσι τοὺς νεκρούς, καὶ οἱ νεκροὶ ἀνίστανται· πόθεν εἰς αὐτοὺς ἡ τοιαύτη ὑπερφυσικὴ δύναμις; ἐκ Θεοῦ ἀληθῶς· ἀλλὰ διὰ τί ὁ Θεὸς δίδωσιν εἰς αὐτοὺς ταύτην τὴν δύναμιν; Διότι ἀγαπᾷ αὐτούς· ἀλλὰ διὰ τί ἄλλο ἀγαπᾷ αὐτούς, εἰ μὴ διότι ποιοῦσι τὸ θέλημα αὐτοῦ; ὅπερ ἐστίν, ὅτι δίδωσιν αὐτοῖς τὴν τῶν θαυμάτων δύναμιν, διὰ τὴν τῆς ψυχῆς αὐτῶν ἁγιότητα.

Ἀλλὰ τὰ θαύματα, λέγεις, οὐκ εἰσὶν ἔνδειξις τῆς ἁγιωσύνης· διότι καὶ οἱ ἐργάται τῆς ἀνομίας ἐνίοτε ποιοῦσι θαύματα (2)· καὶ αὐτὸς ὁ μὴ ἀκολουθῶν τῷ Χριστῷ ἐξέβαλε τὰ δαιμόνια (3)· καὶ πλάνοι δέ τινες ἐχρημάτισαν προφητεύοντες, καὶ διηγούμενοι ἐνύπνια, καθ' ὧν ὁ Μωϋσῆς ἀπεφάσισε θάνατον (4). Ταῦτά εἰσιν ἀληθῆ, πλὴν ἡμεῖς οὐ λαλοῦμεν περὶ τῶν θαυμάτων τῶν τελουμένων ὑπὸ τῶν ἀπίστων, ἢ ὑπὸ τῶν ἀνόμων, ἢ ὑπὸ τῶν πλάνων καὶ ὑποκριτῶν· διότι κἂν ὁ Θεός, εἴτε διὰ δοκιμὴν τῆς πίστεως τῶν ἀνθρώπων, ὡς ἐδίδαξεν εἰς τὸ Δευτερονόμιον (5)· εἴτε διὰ τὴν ἐπίκλησιν τοῦ ὀνόματος τοῦ Υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ, ᾧ « Πᾶν γόνυ κάμπτει καὶ ἐπουρα» νίων καὶ ἐπιγείων καὶ καταχθονίων » (6)· εἴτε δι' ἄλλην τινὰ ἀπόκρυφον οἰκονομίαν, συνεχώρησεν ἐνίοτε εἰς τοὺς τοιούτους τὴν ἐνέργειαν τῶν θαυμάτων· ἡμεῖς οὐδὲ πειθόμεθα, οὐδὲ πιστεύομεν, ὅτι τὰ τούτων θαύματά εἰσιν ἀποδεικτικὰ τῆς αὐτῶν ἁγιότητος, ἐπειδὴ γινώσκομεν τὴν τούτων ἀπιςίαν, καὶ καταλαμβάνομεν τὴν τούτων ὑπόκρισιν, καὶ βλέπομεν τὰ ἔργα αὐτῶν ἐναντία τῆς ἁγιωσύνης· ἐδιδάχθημεν δὲ καὶ ὑπὸ τοῦ Μωϋσέως καὶ ὑπ' αὐτοῦ τοῦ Ἰησοῦ Χριςοῦ, ὅτι οἱ τοιοῦτοι οὐ μόνον οὐκ εἰσὶν ἅγιοι, ἀλλ' εἰσὶν ἄξιοι θανάτου, καὶ ςερήσεως τοῦ προσώπου τοῦ Θεοῦ· « Καὶ ὁ προφήτης ἐκεῖνος, » εἶπεν ὁ Μωϋσῆς, ἢ ὁ τὸ ἐνύπνιον ἐνυπνια» ζόμενος, ἐκεῖνος ἀποθανεῖται· ἐλάλησε γὰρ » πλανῆσαί σε ἀπὸ Κυρίου τοῦ Θεοῦ σου (7). » Ἀποχωρεῖτε ἀπ' ἐμοῦ, εἶπεν ὁ Κύριος πε» ρὶ αὐτῶν, οἱ ἐργαζόμενοι τὴν ἀνομίαν » (8). Λαλοῦμεν δὲ ἡμεῖς περὶ τῶν θαυμάτων, ὅσα ἐποίησαν οἱ πιστοὶ καὶ ἐνάρετοι ἄνθρωποι· περὶ τῶν θαυμάτων λαλοῦμεν, ὧν ἐποίησεν ὁ Μωϋσῆς, ὁ Ἰησοῦς τοῦ Ναυῆ, ὁ Ἠλίας, ὁ Ἐλισσαῖος, ὁ Δανιήλ, οἱ ἐν Βαβυλῶνι τρεῖς παῖδες, ὁ Πέτρος καὶ ἡ σκιὰ αὐτοῦ, ὁ Παῦλος καὶ τὰ σουδάρια καὶ σιμικίνθια, τὰ ἀπὸ τοῦ χρωτὸς αὐτοῦ· περὶ τῶν θαυμάτων λαλοῦμεν ἐκείνων τῶν πιςῶν καὶ ἐναρέτων ἀνθρώπων, ὧν καὶ τὰ ὀστᾶ

(1) Ρωμ. 6, 22. (2) Ματθ. 7, 23. (3) Λουκ. 9, 49. (4) Λευϊτ. 13, 5. (5) Αὐτ. 13, 3. (6) Φιλ. 2, 10.
(7) Δευτ. 13, 5. (8) Ματθ. 7, 23.

θαυματουργοῦσι· τινῶν δὲ καὶ τὰ σώματα μένουσιν ἄφθαρτα καὶ εὐώδη καὶ θαυματουργά, καθὼς θαυματουργὸν ἐδείχθη τὸ νεκρὸν σῶμα τοῦ προφήτου Ἐλισσαίου, καὶ ἀνέστησεν ἐκ νεκρῶν τὸν μονόζωνον(1)· τῶν τοιούτων ἀνδρῶν τὰ θαύματα ποιοῦσιν αἰσθητὴν καὶ ὁρατὴν τὴν μεταξὺ αὐτῶν, καὶ τοῦ Θεοῦ φιλίαν, καὶ τὴν χάριν τῆς ψυχῆς αὐτῶν, καὶ τὸν θεῖον ἁγιασμόν.

Ἠκούσατε, ἀγαπητοί μου χριστιανοί, πόσον αἰσθητὸς γίνεται ὁ ἁγιασμὸς τῶν ἁγίων ἀνθρώπων· ἀκούσατε νῦν, πόσον αἰσθητὴ γίνεται καὶ τῶν ἁμαρτωλῶν ἡ αἰσχύνη. ὁ ἄνθρωπος οὐκ εἶχεν ἀπ' ἀρχῆς τῆς αἰσχύνης τὸ πάθος, ἡ ἁμαρτία δὲ εἰσήγαγεν αὐτὸ εἰς τὴν ἀνθρώπινον φύσιν. Ὁ Ἀδὰμ καὶ ἡ Εὔα γυμνοὶ ἦσαν πρὸ τῆς ἁμαρτίας, καὶ ὅμως οὐκ ᾐσχύνοντο· μετὰ δὲ τὴν ἁμαρτίαν εὐθὺς περιεκύκλωσεν αὐτοὺς ἡ ἐντροπή, ὅθεν ἔῤῥαψαν φύλλα συκῆς, καὶ περιεζώσθησαν, ἵνα τὴν γύμνωσιν αὐτῶν σκεπάσωσιν (2)· ἀλλὰ πῶς ἡ ἁμαρτία εἰσήγαγεν εἰς αὐτοὺς τὴν αἰσχύνην; οὐδεὶς οὐδὲ ἔβλεπεν, οὐδὲ ἤκουσε τὴν ἁμαρτίαν αὐτῶν, οὐδὲ εἶπε πρὸς αὐτούς, ὅτι ἡ γύμνωσίς ἐςιν ἐντροπή· διότι πλὴν αὐτῶν τῶν δύο οὐκ ἦσαν τότε ἄλλοι ἄνθρωποι εἰς τὸν κόσμον. Ἡ συνείδησις ἤλεγξεν αὐτοὺς διὰ τὴν ἁμαρτίαν, ὁ δὲ ἔλεγχος τῆς συνειδήσεως ἔφερεν εἰς αὐτοὺς τὴν ἐντροπήν· τοῦτο αὐτὸ συμβαίνει εἰς πάντα ἄνθρωπον, εὐθὺς μετὰ τὴν πρᾶξιν τῆς ἁμαρτίας, ἐντρέπεται δηλαδὴ καὶ καταισχύνεται, ὑπὸ τῆς συνειδήσεως ἐλεγχόμενος, κἂν κρυφίως ἁμαρτάνῃ, κἂν οὐδεὶς αὐτὸν οὐδὲ βλέπῃ, οὐδὲ ἀκούῃ· καὶ ἐμποδίζῃ μὲν ἡ συνείδησις τὴν πρᾶξιν τῆς ἁμαρτίας, καὶ κατ' αὐτὸν τὸν καιρόν, καθ' ὃν ὁ ἄνθρωπος μελετᾷ τὴν πρᾶξιν αὐτῆς, πλὴν τότε ὁ νοῦς ἐσκοτισμένος ὑπὸ τοῦ πάθους, οὐδόλως αἰσθάνεται τῆς συνειδήσεως τὴν νουθεσίαν· ἀφ' οὗ δὲ ἐκπληρώσῃ τὴν κακὴν αὐτοῦ ἐπιθυμίαν, καὶ μαρανθῇ ὁπωσδήποτε ἡ ζέσις τοῦ πάθους, τότε αἰσθάνεται τῆς συνειδήσεως τὴν φωνήν· ἡ δὲ συνείδησις τότε ὡς ἐπιτήδειος ζωγράφος, ζωγραφοῦσα ἐνώπιον αὐτοῦ τὴν αἰσχρότητα, τὴν ἀτιμίαν, τὸ ὄνειδος τῆς ἁμαρτίας, διεγείρει εἰς αὐτὸν τὰ ἄγρια τῆς αἰσχύνης κύματα. Βλέπε, λέγει, ἐνικήθης ὑπὸ τῆς ἁμαρτίας, ἐμόλυνας σεαυτόν, καὶ γέγονας ἄτιμος· βλέπε, σὺ ἐν τιμῇ ὤν, οὐ συνῆκας, ἀλλὰ παρασυνεβλήθης τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καὶ ὡμοιώθης αὐτοῖς. Ἐκ τούτου ὁ ἁμαρτήσας τόσην αἰσχύνην καὶ ἐντροπὴν αἰσθάνεται, ὥστε καὶ τὸ χρῶμα τοῦ προσώπου αὐτοῦ μεταβάλλεται, καὶ οἱ ἔλεγχοι ὡς βέλη ὀξύτατα, εἰς τὴν καρδίαν αὐτοῦ εἰσέρχονται, καὶ οὐ μόνον τὸ σῶμα, ἀλλὰ καὶ αὐτὰ τοῦ σώματος τὰ ὀστᾶ ἐκταράττουσιν· « Ὅτι τὰ βέλη σου, ἔλεγεν » ὁ Δαβὶδ μετὰ τὴν ἁμαρτίαν, ἐνεπάγη» σάν μοι. Οὐκ ἔστιν εἰρήνη ἐν τοῖς ὀςέοις » μου ἀπὸ προσώπου τῶν ἁμαρτιῶν μου »(3). Τόσον δὲ αἰσθητικὴ καὶ ὀξεῖα ἐγίνετο εἰς αὐτὸν τῆς συνειδήσεως ἡ βάσανος, ὥστε ἔλεγεν· « Ἐν ἐλεγμοῖς ὑπὲρ ἀνομίας ἐπαί» δευσας ἄνθρωπον· καὶ ἐξέτηξας ὡς ἀρά» χνην τὴν ψυχὴν αὐτοῦ » (4). Ἐδέετο δὲ πρὸς τὸν Θεόν, ἵνα, πρὶν ἢ ἀποθάνῃ, ἐξαποστείλῃ αὐτῷ ἄνεσιν καὶ ἀναψυχὴν ἀπὸ τῶν τοιούτων ἐλεγμῶν· « Ἄνες μοι ἵνα ἀ» ναψύξω πρὸ τοῦ με ἀπελθεῖν » (5). Τοιουτοτρόπως οὖν καταισχύνει καὶ βασανίζει ἡμᾶς ἡ συνείδησις ἡμῶν μετὰ τὴν ἁμαρ-

(1) Δ'. Βασ. 13, 21. (2) Γεν. 3, 7. (3) Ψαλμ. 37, 2, 3. (4) Αὐτ. 38, 12. (5) Αὐτ. 38, 14.



τίαν, κἂν κρυφίως ἡμάρτομεν, κἂν οὐδεὶς οὐδὲ εἶδεν, οὐδε ἤκουσε τὴν ἁμαρτίαν ἡμῶν οὐδὲ ὑπώπτευσε περὶ αὐτῆς.

Πόσον δὲ αἰσθητὴ γίνεται εἰς ἡμᾶς ἡ ἐντροπὴ τῆς ἁμαρτίας, ὅταν τὰ ἔργα αὐτῆς οὐ διαμένωσι κρυπτά, ἀλλὰ γίνονται φανερὰ καὶ γνωστά, καὶ κοινολογοῦνται εἰς τοὺς ἀνθρώπους; πόση ἐντροπὴ καλύπτει τὸ πρόσωπόν μου, ὅταν βλέπω, ὅτι διὰ τὰς πονηράς μου πράξεις κατεστάθην ὄνειδος τῶν ἀνθρώπων, καὶ ἐξουδένημα τοῦ λαοῦ; ποία ἡ καταισχύνη μου, ὅταν βλέπω, ὅτι φεύγουσι τὴν συναναστροφήν μου οἱ ἄνθρωποι, καὶ ἀποστρέφονταί με ὡς ἄτιμον καὶ ἐξουδενημένον; ποία πληγὴ εἰς τὴν καρδίαν μου, ὅταν ἀκούω λεγόμενα κατ' ἐμοῦ τῆς αἰσχύνης τὰ ὀνόματα· ὁ δεῖνα ὁ κλέπτης, ὁ ἀδικητής, ὁ ψεύστης, ὁ συκοφάντης, ὁ μέθυσος, ὁ πορνοκόπος, ὁ προδότης, καὶ τὰ λοιπὰ ὅμοια τῆς ἐντροπῆς ὀνόματα; κἂν δὲ ἡ μετάνοια ἐξαλείφῃ τὴν ἁμαρτίαν, ὅμως καὶ ἡ αἰσχύνη τῆς ἁμαρτίας διαμένει, καὶ τὸ ὄνειδος τῶν ἀνθρώπων οὐκ ἐκλείπει. Τοῦτο δέ ἐςιν ὅπερ ἔλεγεν ὁ προφητάναξ· « Ὅτι » τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ » ἁμαρτία μου ἐνώπιόν μου ἐστὶ διαπαν» τός » (1). Καὶ ἡμεῖς δὲ μετὰ τὴν μετάνοιαν, ὁσάκις ἐνθυμούμεθα τῶν ἁμαρτιῶν ἡμῶν τὰς ἀκαθαρσίας, αἰσχυνόμεθα· ὁσάκις δὲ καὶ οἱ ἄνθρωποι ἀναφέρουσι τὰς πονηρὰς ἡμῶν πράξεις, ἐπαινοῦσι μὲν ἡμᾶς διὰ τὴν μετάνοιαν, ἐξονειδίζουσι δὲ διὰ τὰ πεπραγμένα ἁμαρτήματα. Αὐτὴ δὲ ἡ διπλῆ ἐντροπή, ἡ ἐσωτερικὴ δηλαδή, ἡ προξενουμένη ὑπὸ τῆς συνειδήσεως, καὶ ἡ ἐξωτερική, ἡ προερχομένη ἐκ τοῦ ὀνειδισμοῦ τῶν ἀνθρώπων, ἐστὶν ἡ αἰσχύνη τῆς ἁμαρτίας, περὶ ἧς ὁ Παῦλος γράφων πρὸς τοὺς ἁμαρτήσαντας καὶ μετανοήσαντας Ῥωμαίους, ἔλεγε· « Τίνα οὖν καρπὸν εἴχετε » τότε ἐφ' οἷς νῦν ἐπαισχύνεσθε; » (2)

Θεὲ τοῦ παντός, καὶ Κύριε τοῦ ἐλέους, ἄπειρός ἐστιν ἡ πρὸς τοὺς ἀνθρώπους εὐσπλαγχνία σου· ἡ ἄφατος οἰκονομία τῆς θείας σου προνοίας ποιεῖ αἰσθητὴν τὴν αἰσχύνην τῆς ἁμαρτίας, καὶ τὸν ἁγιασμὸν τῆς ἀρετῆς, ἵνα φεύγοντες τὴν ἁμαρτίαν, λυτρώμεθα τῆς κολάσεως, κατορθοῦντες δὲ τὴν ἀρετήν, κληρονομῶμεν τὴν βασιλείαν σου· ἡ αἴσθησις τῆς παρούσης αἰσχύνης προκαταγγέλλει εἰς τοὺς ἁμαρτωλοὺς τὴν αἰσχύνην ἐκείνης τῆς ἡμέρας, ἐν ᾗ γυμνὰ καὶ τετραχηλισμένα παραςαθήσονται πάντα τὰ ἔργα αὐτῶν ἐνώπιον πάσης τῆς οἰκουμένης. Ἐὰν ἐντρέπωμαι, ὅταν καταλάβω, ὅτι δύο, ἢ τρεῖς ἄνθρωποι εἶδον τὰς αἰσχρουργίας μου, πόση αἰσχύνη περικαλύψει με, ὅταν πάντες οἱ ἄνθρωποι, οἱ ἀπὸ Ἀδὰμ ἕως τῆς ἡμέρας ἐκείνης, βλέπωσι γυμνὰ πάντα τὰ ῥυπαρὰ ἔργα μου μετὰ πασῶν τῶν περιστάσεων αὐτῶν; πόση ἡ αἰσχύνη μου, ὅταν ἀκούσω τὸν εὐεργέτην μου Θεόν, ὀνειδίζοντα ἐνώπιον ἀγγέλων καὶ ἀνθρώπων τὴν ἀσπλαγχνίαν μου, καὶ λέγοντα· « Ἐπείνασα, καὶ οὐκ ἔδωκάς μοι » φαγεῖν· ἐδίψησα, καὶ οὐκ ἐπότισάς με, » ξένος ἤμην, καὶ οὐ συνήγαγές με· γυμνός, » καὶ οὐ περιέβαλές με· ἀσθενὴς καὶ ἐν φυ» λακῇ, καὶ οὐκ ἐπεσκέφθης με » (3). Τοῦτο προκαταγγέλλει μοι ἡ μετὰ τὴν ἁμαρτίαν παροῦσα ἐντροπή μου· αὐτὴ διδάσκει με τὴν μέλλουσαν αἰσχύνην μου, καὶ τὴν περιμένουσάν με κόλασιν· ὅταν ἡ αἰσχύνη τοῦ πλήθους τῶν ἁμαρτιῶν μου ταράττῃ με,

(1) Ψαλμ. 50, 3. (2) Ῥωμ. 6, 21. (3) Ματθ. 25, 42, 43.

τότε ἡ αἴσθησις τῆς κολάσεως περικυκλοῖ με· « Χείμαῤῥοι ἀνομίας ἐξετάραξάν με. » Ὠδῖνες ᾅδου περιεκύκλωσάν με » (1).

Ὁ δὲ ἁγιασμός, ὁ ὑπὸ Θεοῦ διδόμενος εἰς τοὺς ἐναρέτους ἐν τῇ γῇ, ἐστὶν ὁ ἀῤῥαβὼν τῶν μελλόντων ἀγαθῶν, τῶν ἡτοιμασμένων αὐτοῖς εἰς τὸν οὐρανόν· αὐτὸς δὲ θαῤῥοποιεῖ τὴν καρδίαν αὐτῶν, καὶ ἐπιστηρίζει αὐτοὺς εἰς τὴν τῶν θείων θελημάτων ἐκπλήρωσιν. Αὐτὸς φέρει εἰς αὐτοὺς τὴν αἴσθησιν τῆς ἐπουρανίου εἰρήνης, καὶ τὴν γλυκύτητα τῆς θείας μακαριότητος· αὐτὸς ἐξάπτει εἰς τὴν καρδίαν αὐτῶν τὸ πῦρ τῆς θείας ἀγαπήσεως, καὶ πληροφορεῖ τὴν ψυχὴν αὐτῶν, ὅτι εἰσὶ μέτοχοι τοῦ Ἰησοῦ Χριστοῦ, καὶ κληρονόμοι τῆς αἰωνίου αὐτοῦ βασιλείας. Ἐκ τούτου ὁ μὲν ἅγιος ἱεροψάλτης μετὰ πολλῆς ἀγαλλιάσεως ἔψαλλε· « Πότε ἥξω, καὶ ὀφθήσομαι τῷ προσώπῳ » τοῦ Θεοῦ; Διελεύσομαι ἐν τόπῳ σκηνῆς » θαυμαστῆς, ἕως τοῦ οἴκου τοῦ Θεοῦ, ἐν » φωνῇ ἀγαλλιάσεως καὶ ἐξομολογήσεως » ἤχου ἑορταζόντων » (2). Ὁ δὲ θεσπέσιος Παῦλος μετὰ πολλῆς πληροφορίας ἔγραφε· « Τὸν ἀγῶνα τὸν καλὸν ἠγώνισμαι, τὸν » δρόμον τετέλεκα, τὴν πίστιν τετήρηκα· » Λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης » στέφανος, ὃν ἀποδώσει μοι ὁ Κύριος ἐν » ἐκείνῃ τῇ ἡμέρᾳ, ὁ δίκαιος κριτής » (3). Οὗτος οὖν ἐστιν ὁ καρπὸς τῆς ἁμαρτίας, ἡ αἰσχύνη εἰς τὴν παροῦσαν ζωήν, προκαταγγέλλουσα τὴν μέλλουσαν αἰσχύνην καὶ κόλασιν. Οὗτός ἐστιν ὁ καρπὸς τῆς ἀρετῆς, ὁ ἁγιασμός, ὅστις ἐστὶν ἡ πληροφορία τῆς μελλούσης ἀμεταβλήτου ἁγιωσύνης καὶ ἀτελευτήτου δόξης· ἄνθρωποι οὖν, ὅσοι πιστεύετε εἰς τὸν Ἰησοῦν Χριστόν, φεύγετε τὴν αἰσχύνην τῆς ἁμαρτίας, ἵνα φύγητε τὰς ὠδῖνας τῆς κολάσεως· θησαυρίσατε τὸν ἁγιασμὸν τῆς ἀρετῆς, ἵνα κληρονομήσητε τὰ ἀγαθὰ τῆς αἰωνίου βασιλείας ἐν αὐτῷ τῷ Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΗΝ ΠΡΟΣ

## ΡΩΜΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

### ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗ͂Ι Ε'. ΚΥΡΙΑΚΗ͂Ι.

ΠΟΛΛΟΙ λέγουσιν, ὅτι οὐδεὶς εὑρίσκεται εἰς τὸν κόσμον, ὅστις εἰς πᾶν ἔργον αὐτοῦ, εἴτε μέγα, εἴτε μικρόν, οὐκ ἐπιβλέπει ἐπὶ τὸ ἴδιον αὐτοῦ ὄφελος· καὶ αὐτοί, λέγουσιν, οἱ τὴν ἀρετὴν ἐργαζόμενοι, σκοπὸν ἔχουσι τὸ ἴδιον κέρδος· διότι καὶ αὐτοὶ πράττουσι τῆς ἀρετῆς τὰ ἔργα, ἵνα φύγωσι τὴν κόλασιν, ἢ ἵνα ἀπολαύσωσι τὸν παράδεισον·

(1) Ψαλμ. 17, 5, 6. (2) Αὐτ. 41, 2, 4. (3) Β'. Τιμ. 4, 7, 8.



καὶ αὐτοὶ δὲ οἱ μετὰ πάσης τελειότητος ἀγαπῶντες τὸν Θεόν, καὶ ὑπὲρ τῆς ἀγάπης αὐτοῦ καὶ τὴν ἰδίαν ζωὴν θυσιάζοντες, τοῦτο πράττουσιν, ἵνα ἀξιωθῶσι τῆς θείας αὐτοῦ βασιλείας καὶ μακαριότητος. Ψευδὲς ἀπέδειξε τὸ τοιοῦτον φρόνημα ἐξόχως πάντων τῶν ἄλλων ἁγίων ἀνδρῶν ὁ πανσέβαστος καὶ οὐρανόφρων Παῦλος· διότι αὐτὸς οὐ μόνον ἐλυπεῖτο διὰ τὴν ἀπώλειαν τῶν Ἰσραηλιτῶν, καὶ παντὶ τρόπῳ ἠγωνίζετο, καὶ τὸν Θεὸν παρεκάλει ὑπὲρ τῆς σωτηρίας αὐτῶν, ἀλλὰ καὶ ἤθελε καὶ ηὔχετο, ἵνα ἐκεῖνοι μὲν σωθῶσιν, αὐτὸς δὲ χωρισθῇ ἀπὸ τοῦ Ἰησοῦ Χριστοῦ· « Ηὐχόμην γὰρ » αὐτὸς ἐγώ, ἔλεγεν, ἀνάθεμα εἶναι ἀπὸ » τοῦ Χριστοῦ ὑπὲρ τῶν ἀδελφῶν μου, τῶν » συγγενῶν μου κατὰ σάρκα· οἵτινές εἰσιν » Ἰσραηλῖται » (1). Βλέπεις ἆρά γε εἰς ταύτην τὴν διάθεσιν καὶ ἀπόφασιν τοῦ Παύλου κἂν ἴχνος σκοποῦ ἰδίου κέρδους; αὐτὴ ἀπέδειξεν ἐντελῶς, ὅτι αὐτὸς οὐ μόνον οὐκ ἐπέβλεπεν ἐπὶ τὸ ἴδιον ὄφελος, ἀλλ' ὅτι ἤθελε καὶ ἔστεργε τὴν ἰδίαν αὐτοῦ ζημίαν, καὶ ζημίαν αἰώνιον, ἵνα ὁ πλησίον αὐτοῦ ἀπολαύσῃ τῆς αἰωνίου σωτηρίας. Τοῦτο δέ ἐστι τὸ ὑπὲρ τὴν ἐντολήν, ἤγουν τό, ὅτι ἠγάπησε τὸν πλησίον οὐχ ὡς ἑαυτόν, ἀλλὰ περισσότερον ἢ ἑαυτόν. Ἵνα δὲ μηδεὶς νομίσῃ, ὅτι ὡς ἔτυχεν ἀπερισκέπτως ταῦτα ἐσυλλογίζετο, καὶ ηὔχετο καὶ ἔγραφε διὰ τῶν σήμερον ἀναγνωσθέντων λόγων τῆς ἐπιστολῆς αὐτοῦ, ἐφανέρωσε τὸν λόγον τῆς τοιαύτης αὐτοῦ ἐπιθυμίας, καὶ εὐχῆς. Ἐὰν οὖν μετὰ προσοχῆς ἀκούσητε τὴν τῶν ἀναγνωσθέντων ἑρμηνείαν, οὐ μόνον τὸν λόγον τῆς τοσαύτης προθυμίας αὐτοῦ βλέπετε, ἀλλὰ καὶ μανθάνετε πόσον ὑπερβαίνει ἡ ἐκ τῆς εἰς Χριστὸν πίστεως δικαιοσύνη τὴν τοῦ μωσαϊκοῦ νόμου, ἔτι δὲ καὶ πόσον εὔκολος ἡ εἰς Χριστὸν πίστις, καὶ πόσων χαρισμάτων δι' αὐτῆς ἀξιούμεθα.

*Ἀδελφοί, ἡ μὲν εὐδοκία τῆς ἐμῆς καρδίας, καὶ ἡ δέησις ἡ πρὸς τὸν Θεόν, ὑπὲρ τοῦ Ἰσραήλ, ἐστιν εἰς σωτηρίαν* (2).

Εἰς τὸ προλαβὸν κεφάλαιον ὁ θεῖος Ἀπόστολος μετὰ ἀληθείας καὶ βεβαιότητος ἐμαρτύρησεν, ὅτι ἔχει ἐν τῇ καρδίᾳ αὐτοῦ μεγάλην λύπην καὶ ἀκατάπαυστον ὀδύνην, βλέπων, ὅτι οἱ Ἰσραηλῖται, οἱ ἀδελφοὶ καὶ κατὰ σάρκα συγγενεῖς αὐτοῦ οὐκ ἐπέστρεφον πρὸς τὸν Χριστόν, καὶ ὅτι ἔστεργε καὶ ηὔχετο, ἵνα αὐτοὶ μὲν εἰς Χριστὸν πιστεύσαντες, τύχωσι σωτηρίας, αὐτὸς δὲ χωρισθῇ ἀπὸ Χριστοῦ, ὅπερ ἐστί, στερηθῇ τῆς θείας βασιλείας (3). Ἔπειτα ὡς παρεκβατικῶς πολλὰ καὶ ἐπαινέσας, καὶ ἐλέγξας τοῦ Ἰσραὴλ τὸ γένος, ἐπαναλαμβάνει πάλιν τὴν αὐτὴν ὑπόθεσιν, δηλοποιῶν σαφέστερα, ὅτι οἱ Ἰσραηλῖταί εἰσιν οἱ κατὰ σάρκα ἀδελφοὶ καὶ συγγενεῖς αὐτοῦ, καὶ ὅτι τὴν σωτηρίαν αὐτῶν ἐπιθυμεῖ, καὶ ὑπὲρ αὐτῆς δέεται τοῦ Θεοῦ. Ἀδελφοί, λέγει, τοῦτο θέλει καὶ ἐπιθυμεῖ ἡ καρδία μου, καὶ ὑπὲρ τούτου ἐγὼ δέομαι καὶ παρακαλῶ τὸν Θεόν, ὑπὲρ τῆς σωτηρίας δηλονότι τῶν Ἰσραηλιτῶν. Ἵνα δὲ μὴ ὑπονοήσωμεν, ὅτι τοῦτο ποιεῖ διὰ τὸ ὁμογενὲς καὶ διὰ τὴν συγγένειαν, ἐπιφέρει ἀμέσως καὶ τὸν λόγον τῆς ὑπὲρ αὐτῶν ἐπιθυμίας αὐτοῦ καὶ δεήσεως, λέγων·

*Μαρτυρῶ γὰρ αὐτοῖς, ὅτι ζῆλον*

(1) Ῥωμ. 9, 3, 4. (2) Αὐτ. 10, 1. (3) Αὐτ. 9, 1, 2, 3.

*Θεοῦ ἔχουσιν, ἀλλ' οὐ κατ' ἐπίγνωσιν* (1).

Τί ἐστι ζῆλος Θεοῦ; ζῆλος Θεοῦ ἐστι προθυμία θερμὴ καὶ σπουδὴ ζέουσα ὑπὲρ τῆς διατηρήσεως καὶ προστασίας τῶν θείων προσταγμάτων. Ποῖος δὲ ἔχει ζῆλον οὐ κατ' ἐπίγνωσιν; Ἐκεῖνος, ὅστις ἐξ ἀμαθείας μὴ κατανοῶν, μηδὲ διακρίνων τὸν σκοπὸν τῶν θείων νόμων, θερμαίνεται καὶ ἐκκαίεται οὐχὶ διὰ τὴν φυλακὴν καὶ ὑπεράσπισιν τῶν διοριζομένων ὑπὸ τῶν νόμων, ἀλλὰ δι' ἐκεῖνα, ὅσα ὁ ἀμαθὴς καὶ ἀδιάκριτος νοῦς αὐτοῦ συλλογίζεται, καὶ νομιζει, ὅτι εἰσὶν ὁ σκοπὸς τῶν τοῦ Θεοῦ νόμων· ζῆλος οὖν οὐ κατ' ἐπίγνωσίν ἐστιν ὁ ζῆλος ὁ ἐστερημένος τῆς ἀναγκαίας γνώσεως καὶ διακρίσεως, ὁ ζῆλος ὁ ἀδιάκριτος καὶ ἀσύνετος· τοιοῦτον δὲ ἀδιάκριτον ζῆλον εἶχον οἱ τότε Ἰσραηλῖται, ὡς μαρτυρεῖ ὁ Παῦλος, λέγων· « Μαρτυρῶ γὰρ αὐτοῖς ὅτι ζῆλον » Θεοῦ ἔχουσιν, ἀλλ' οὐ κατ' ἐπίγνωσιν ». Διὰ τοῦτον οὖν τὸν λόγον ἐπεθύμει τὴν σωτηρίαν αὐτῶν, καὶ παρεκάλει τὸν Θεόν, ἵνα μεταβάλλῃ τὸν ἀδιάκριτον αὐτῶν ζῆλον εἰς ζῆλον διακριτικόν· δηλοποιεῖ δὲ διὰ τῶν ἑξῆς λόγων, ποῖα ἦσαν ἐκεῖνα τὰ πράγματα, ὅσα αὐτοὶ μὴ γινώσκοντες, ἐγίνοντο ζηλωταὶ ἀμαθεῖς καὶ ἀδιάκριτοι.

*Ἀγνοοῦντες γὰρ τὴν τοῦ Θεοῦ δικαιοσύνην, καὶ τὴν ἰδίαν δικαιοσύνην ζητοῦντες στῆσαι, τῇ δικαιοσύνῃ τοῦ Θεοῦ οὐχ ὑπετάγησαν. Τέλος γὰρ νόμου Χριστὸς εἰς δικαιοσύνην παντὶ τῷ πιστεύοντι* (2).

Δικαιοσύνην Θεοῦ ὠνόμασε τὴν ἀιδ πίστεως δικαίωσιν, ἔτι δὲ καὶ αὐτὴν τὴν εἰς Χριστὸν πίστιν· ἰδίαν δὲ δικαιοσύνην, τὴν ὑπὸ τῶν Ἰσραηλιτῶν νομιζομένην δικαίωσιν, τὴν ἐπακολουθοῦσαν τὴν διατήρησιν τοῦ μωσαϊκοῦ νόμου· ἡ τοιαύτη δὲ δικαίωσις ἀνωφελὴς ἦν τότε καὶ ἄπρακτος, ἐπειδὴ μετὰ Χριστὸν ὁ νόμος ἤργησε· λέγει οὖν, ὅτι διὰ τοῦτο οἱ Ἰσραηλῖται οὐχ ὑπετάγησαν τῇ δικαιοσύνῃ τοῦ Θεοῦ, ἤγουν οὐκ ἐδέχθησαν τὴν εἰς Χριστὸν πίστιν, ἐπειδὴ ἀγνοοῦντες τὴν τοῦ Θεοῦ δικαιοσύνην, μὴ γνωρίζοντες δηλαδή, ὅτι ἡ εἰς Χριστὸν πίστις δικαιοῖ τὸ ἄνθρωπον, ἐζήτησαν στῆσαι τὴν ἰδίαν δικαιοσύνην, τουτέστιν, ἠθέλησαν ἐπιβεβαιῶσαι, ὅτι διὰ τῆς τοῦ νόμου φυλακῆς δικαιοῦται ὁ ἄνθρωπος· ἐπλανήθησαν δέ, μὴ κατανοήσαντες, ὅτι ὁ νόμος ἔχει σκοπὸν καὶ τέλος, ἵνα ὁδηγήσῃ πρὸς τὸν Ἰησοῦν Χριστόν, καὶ φανερώσῃ, ὅτι πᾶς ὁ πιστεύων εἰς αὐτὸν λαμβάνει τὴν δικαίωσιν, τὴν ἄφεσιν δηλονότι τῶν ἁμαρτιῶν αὐτοῦ καὶ τὴν αἰώνιον σωτηρίαν. « Τέ» λος γὰρ νόμου Χριστός, εἰς δικαιοσύνην » παντὶ τῷ πιστεύοντι ».

*Μωσῆς γὰρ γράφει τὴν δικαιοσύνην τὴν ἐκ τοῦ νόμου· ὅτι ὁ ποιήσας αὐτὰ ἄνθρωπος ζήσεται ἐν αὐτοῖς* (3).

Ἀκολουθεῖ ὁ θεῖος Ἀπόστολος τὴν σύγκρισιν τῆς διὰ τοῦ μωσαϊκοῦ νόμου δικαιώσεως, καὶ τῆς δικαιώσεως, ἣν λαμβάνομεν διὰ τῆς εἰς Χριστὸν πίστεως, ἵνα φανερώσῃ πόσον ὑπερέχει ἡ ἀμοιβὴ τῆς εἰς Χριστὸν πίστεως τὴν ἀνταπόδοσιν, τὴν ἐπακολουθοῦσαν ἐκ τῆς φυλακῆς τῶν τοῦ νόμου

(1) Ῥωμ. 10, 2. (2) Αὐτ. 10, 3, 4. (3) Αὐτ. 10, 5.



προσαγμάτων, καὶ ἐκ τῆς ἐξ αὐτοῦ δικαιώσεως. Ὁ Μωϋσῆς ἐφανέρωσε, λέγει, ἐγγράφως, ποία ἐστὶν ἡ ἐκ τοῦ νόμου δικαίωσις· τί δὲ εἶπεν ὁ Μωϋσῆς περὶ τῆς ἐκ τοῦ νόμου δικαιώσεως; Αὐτὸς ὡς ἐκ προσώπου τοῦ Θεοῦ ἔγραψεν εἰς τὸ Δευτερονόμιον ταῦτα· « Καὶ φυλάξεσθε πάντα τὰ προσ» τάγματά μου, καὶ πάντα τὰ κρίματά » μου, καὶ ποιήσετε αὐτά· ὁ ποιήσας αὐτὰ » ἄνθρωπος, ζήσεται ἐν αὐτοῖς » (1). Οὐκ εἶπεν, ὁ ποιήσας αὐτὰ σωθήσεται, οὐδὲ ζήσεται εἰς τὸν αἰῶνα, οὐδὲ κἂν ζήσεται ἁπλῶς, ἀλλὰ ζήσεται ἐν αυτοῖς. Τοῦτο δὲ τί ἄλλο σημαίνει, εἰ μὴ ὅτι ὁ Θεὸς ὑπέσχετο πρόσκαιρον ἀνταπόδοσιν εἰς τοὺς φυλάττοντας τὸν μωσαϊκὸν νόμον; ὁ ἄνθρωπος, λέγει, ὅστις ποιήσει τὰ ἐν τῷ νόμῳ γεγραμμένα, ζήσεται ἐν αυτοῖς, τουτέστι φεύγει τὸν πρόσκαιρον θάνατον τὸν δι' αὐτῶν τῶν ἐν τῷ νόμῳ γεγραμμένων προσταγμάτων, διορισθέντα εἰς τοὺς παραβάτας, καὶ ζῇ ζωὴν μακροχρόνιον ἐπὶ τῆς γῆς κατὰ τὴν ἐν τῷ νόμῳ ὑπόσχεσιν (2). Ἄκουσον δέ, πῶς διὰ τῶν ἑξῆς λόγων δηλοποιεῖ, ὅτι ἡ ἐκ τῆς εἰς Χριστὸν πίστεως δικαίωσις προξενεῖ ἀνταπόδοσιν ἀθάνατον, ἥτις ἐστὶν ἡ αἰώνιος σωτηρία.

*Ἡ δὲ ἐκ πίστεως δικαιοσύνη οὕτω λέγει· μὴ εἴπῃς ἐν τῇ καρδίᾳ σου· τίς ἀναβήσεται εἰς τὸν οὐρανόν; τουτέστι Χριστὸν καταγαγεῖν. Ἢ τίς καταβήσεται εἰς τὴν ἄβυσσον; τουτέστι Χριστὸν ἐκ νεκρῶν ἀναγαγεῖν. Ἀλλὰ τί λέγει, ἐγγύς σου τὸ ῥῆμά ἐστιν ἐν τῷ στόματί σου καὶ ἐν τῇ καρδίᾳ σου, τουτέστι, τὸ ῥῆμα τῆς πίστεως, ὃ κηρύσσομεν* (3).

Ὁ Μωϋσῆς λαλῶν περὶ τῆς ἐντολῆς τοῦ Θεοῦ, καὶ περιγράφων, ὅτι αὐτὴ οὐδὲ βαρεῖά ἐστιν, οὐδὲ μακρὰν ἀφ' ἡμῶν ἀπέχει, εἶπε ταῦτα· « Ὅτι ἡ ἐντολὴ αὕτη, ἣν ἐγὼ » ἐντέλλομαί σοι σήμερον, οὐχ ὑπέρογκός » ἐστιν, οὐδὲ μακρὰν ἀπὸ σοῦ ἐστιν. Οὐκ » ἐν τῷ οὐρανῷ ἄνω ἐστί, λέγων, τίς ἀνα» βήσεται ἡμῖν εἰς τὸν οὐρανὸν καὶ λήψε» ται ἡμῖν αὐτήν, καὶ ἀκούσαντες αὐτὴν » ποιήσομεν; Οὐδὲ πέραν τῆς θαλάσσης » ἐστί, λέγων, τίς διαπεράσει ἡμῖν εἰς τὸ » πέρας τῆς θαλάσσης, καὶ λάβῃ ἡμῖν αὐ» τήν, καὶ ἀκουστὴν ἡμῖν ποιήσῃ αὐτήν, » καὶ ποιήσομεν; Ἐγγύς σου ἐστὶ τὸ ῥῆμα » σφόδρα ἐν τῷ στόματί σου, καὶ ἐν τῇ » καρδίᾳ σου, καὶ ἐν ταῖς χερσί σου ποιεῖν » αὐτό » (4). Ταῦτα ἐκλαμβάνων ὁ Παῦλος ἀλληγορικῶς, καὶ ἐφαρμόζων αὐτὰ εἰς τὸν Χριστόν, τὸν δοτῆρα τῶν ἐντολῶν, τὸν ἐξ οὐρανοῦ καταβάντα, καὶ μέχρις ᾅδου κατελθόντα, καὶ ἐκεῖθεν ἀναβάντα, καὶ ἀναστάντα ἐκ νεκρῶν, καὶ εἰς οὐρανοὺς ἀναληφθέντα. ἔτι δὲ καὶ εἰς τὴν εὐκολίαν τῆς εἰς αὐτὸν πίστεως, διδάσκει, λέγων· « Ἡ » δὲ ἐκ πίστεως δικαιοσύνη οὕτω λέγει », ἤγουν περὶ δὲ τῆς δικαιώσεως τῆς εἰς Χριστὸν πίστεως οὕτω λαλεῖ ὁ Θεός· « Μὴ εἴ» πῃς ἐν τῇ καρδίᾳ σου », τουτέστι μὴ συλλογισθῇς, ὅτι ἐστὶν ἀνάγκη, ἵνα ἀναβῇς εἰς τὸν οὐρανόν, ὅπως ἂν καταβιβάσῃς ἐκεῖθεν πρὸς τὴν ψυχήν σου τὸν Χριστὸν καὶ τὴν εἰς αὐτὸν πίστιν· μηδὲ ὅτι ἀνάγκη ἐστίν, ἵνα καταβῇς εἰς τὴν ἄβυσσον, ἤγουν εἰς τὸν ᾅδην, ἵνα ἐκεῖθεν ἀναβιβάσῃς αὐτὰ

(1) Δευτ. 18, 5. (2) Ἐξ. 20, 12. (3) Ῥωμ. 10, 6, 7, 8. (4) Δευτ. 30, 11—14.

πρὸς σεαυτόν· οὐδεμίαν ἀνάγκην ἔχεις, ἵνα ποιήσῃς ταῦτα· διότι ὁ Θεὸς διὰ τοῦ Δευτερονομίου λέγει σοι, ὅτι ὁ λόγος τῆς πίστεως, ὃν ἡμεῖς κηρύττομεν, οὐκ ἔστι μακρὰν ἀπὸ σοῦ, πλησίον σου ἐστὶν, εἰς τὸ στόμα σου ἐστί, καὶ εἰς τὴν καρδίαν σου· « Ἐγγύς σου τὸ ῥῆμά ἐστιν ἐν τῷ στόματί » σου καὶ ἐν τῇ καρδίᾳ σου »· κατὰ τίνα δὲ τρόπον ὁ λόγος τῆς πίστεώς ἐστιν ἐγγὺς ἐν τῷ στόματί σου καὶ ἐν τῇ καρδίᾳ σου, διδάσκει ὁ θεῖος Ἀπόστολος, λέγων·

*Ὅτι ἐὰν ὁμολογήσῃς ἐν τῷ στόματί σου **Κύριον** Ἰησοῦν, καὶ πιστεύσῃς ἐν τῇ καρδίᾳ σου, ὅτι ὁ Θεὸς ἤγειρεν αὐτὸν ἐκ νεκρῶν, σωθήσῃ. **Καρδίᾳ** γὰρ πιστεύεται εἰς δικαιοσύνην· στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν* (1).

Ἡ καρδία καὶ τὸ στόμα εἰσὶ δύω ὄργανα, δι' ὧν ἡ πίστις οἰκοδομεῖται καὶ ἀπαρτίζεται· ἡ καρδία, ἤγουν ἡ ψυχὴ καὶ ὁ νοῦς δέχεται τὴν πίστιν, ὅπερ ἐστί, πιςεύει καὶ πείθεται, ὅτι ἀληθῆ εἰσιν, ὅσα διδάσκει ἡ πίστις· τὸ στόμα ὁμολογεῖ, ὅσα ὁ νοῦς ἐδέχθη καὶ ἐπίστευσεν. Ἀλλὰ διατί ἐκ πάντων τῶν πιστευομένων μόνην τὴν ἀνάστασιν τοῦ Κυρίου Ἰησοῦ ἀναφέρει ὁ θεῖος Ἀπόστολος; διότι αὐτὴ περιεκτική ἐστιν ὅλου τοῦ μυστηρίου τῆς θείας ἐνανθρωπήσεως· ὅστις δὲ πιστεύει ὅτι ὁ Ἰησοῦς Χριστὸς τῇ δυνάμει τῆς θεότητος αὐτοῦ ἀνέστη ἐκ νεκρῶν, ἐκεῖνος πιστεύει, ὅτι καὶ ἐσαρκώθη, καὶ πάθος ὑπέμεινε, καὶ ἐσταυρώθη, καὶ ἀπέθανε, καὶ ἐτάφη, καὶ ἐστὶν Υἱὸς Θεοῦ, καὶ Θεὸς ἀληθινός. Βλέπε δέ, πῶς ἐξηγεῖ τό, κατὰ τίνα τρόπον ὁ λόγος τῆς πίστεως καὶ ἡ ἐξ αὐτῆς δικαίωσίς ἐστιν ἐν τῷ στόματί σου καὶ ἐν τῇ καρδίᾳ σου. Ἐὰν ὁμολογήσῃς, λέγει, διὰ τοῦ στόματός σου, ὅτι ὁ Κύριος Ἰησοῦς ἐστι Θεός, καὶ πιςεύσῃς ἔνδον ἐν τῇ καρδίᾳ σου, ὅτι ὁ Θεὸς ἤγειρεν αὐτὸν ἐκ νεκρῶν, ἀπολαμβάνεις τῆς αἰωνίου σωτηρίας. Ἀλλὰ διατί τοῦτο; διότι ἡ καρδία καὶ τὸ στόμα εἰσὶ τὰ δύω ὄργανα καὶ τὰ δύω δοχεῖα τῆς πίστεως· ἡ καρδία, ἤγουν ἡ ψυχὴ πιστεύει, πιστεύουσα δὲ δικαιοῦται καὶ ἁγιάζεται· τὸ στόμα ὁμολογεῖ καὶ κηρύττει τὰ πιστευθέντα, ἡ δὲ ὁμολογία καὶ τὸ κήρυγμα προξενεῖ τὴν σωτηρίαν εἰς τὸν ὁμολογητὴν καὶ κήρυκα. Ἰδοὺ δέ, πῶς ὁ τοῦ Θεοῦ Ἀπόστολος, παραστήσας τὸ ἀτελὲς καὶ ἀνίσχυρον τοῦ μωσαϊκοῦ νόμου, καὶ τὸ τέλειον καὶ σωτηριῶδες, ἔτι δὲ καὶ τὸ εὔκολον τῆς εὐαγγελικῆς πίστεως, ἐπεστόμισε μὲν ἐκείνους τοὺς Ἰουδαίους, οἵτινες πεπειθότες καὶ καυχώμενοι ἐπὶ τῇ δικαιοσύνῃ τοῦ νόμου, ἀπεστρέφοντο τὴν δικαιοσύνην τὴν ἐκ τῆς εἰς Χριστὸν πίστεως· ἐπεστήριξε δὲ πάντας τοὺς εἰς Χριστὸν πιστεύοντας ἐπὶ τὴν πέτραν τῆς πίστεως.

(1) Ῥωμ. 10, 9, 10.



# ΟΜΙΛΙΑ

ΜΕΤΑ ΤΗΝ ΠΡΟΣ

# ΡΩΜΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

## ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ Τῌ Ε'. ΚΥΡΙΑΚῌ.

Ἡ σήμερον ἀναγνωσθεῖσα τοῦ θεηγόρου Παύλου ἐπιστολή, κηρύττουσα τὴν δύναμιν τῆς εὐαγγελικῆς πίστεως, θαρσύνει, καὶ χαρᾶς πληροῖ τὴν καρδίαν πάντων τῶν εἰς Χριστὸν πιστευόντων· δεικνύουσα δέ, πόσον εὔκολόν ἐστιν αὐτῆς τῆς εἰς Χριστὸν πίστεως τὸ ἔργον, ἀναπολόγητον ποιεῖ τὸν παραβαίνοντα τοῦ Εὐαγγελίου τοὺς θείους νόμους. Μεγάλη ἀληθῶς καὶ ἀσύγκριτός ἐστιν ἡ δύναμις τῆς εἰς Χριστὸν πίστεως. Ἀρεσταὶ μὲν ἦσαν εἰς τὸν Θεὸν ἡ πίστις καὶ ἡ ἀρετὴ τοῦ Ἄβελ, τοῦ Ἐνώχ, τοῦ Νῶε, τοῦ Ἁβραάμ, τοῦ Ἰσαάκ, τοῦ Ἰακώβ, τοῦ Ἰωσήφ, καὶ πάντων τῶν πρὸ τοῦ νόμου δικαίων· ἀρεστὴ εἰς τὸν Θεὸν ἡ πίστις καὶ ἡ ἀρετὴ τοῦ Μωϋσέως, τοῦ Ἀαρών, τοῦ Ἰησοῦ τοῦ Ναυῆ, τοῦ Σαμουήλ, τοῦ Δαβίδ, τῶν προφητῶν, καὶ πάντων τῶν ἐν νόμῳ ἁγίων. Τόσον δὲ ἀρεστὴ καὶ εὐπρόσδεκτος ἦν εἰς τὸν Θεὸν καὶ ἡ πίστις καὶ ἡ ἀρετὴ αὐτῶν, ὥστε δι' αὐτὰς ἔδωκεν εἰς αὐτοὺς ὁ Θεὸς τοὺς φωτισμοὺς τοῦ παναγίου Πνεύματος, τῆς προφητείας τὸ χάρισμα, καὶ τῶν θαυμάτων τὴν δύναμιν· διὰ τὴν πίστιν καὶ τὴν ἀρετὴν αὐτῶν κατηξίωσεν αὐτοὺς ὁ Θεὸς προγνωρίσαι τὸ μυστήριον τῆς ἐνανθρωπήσεως τοῦ μονογενοῦς Υἱοῦ αὐτοῦ· εἶδον αὐτοὶ κατὰ θείαν ἀποκάλυψιν καὶ τὴν ἐκ παρθένου γέννησιν, καὶ τὰ ὑπερφυῆ θαύματα, καὶ τὰ σωτήρια πάθη, καὶ τὸν ζωηφόρον σταυρόν, καὶ τὴν τριήμερον ταφήν, καὶ τὴν ἐκ νεκρῶν ἀνάστασιν, καὶ τὴν εἰς οὐρανοὺς ἀνάληψιν, καὶ τὴν ἀπ' οὐρανοῦ κατάβασιν τοῦ παναγίου Πνεύματος· εἶδον αὐτὰ « Πόῤῥωθεν » διὰ τῶν νοερῶν ὀφθαλμῶν τῆς ψυχῆς αὐ» τῶν » (1), καὶ ἐπείσθησαν, καὶ ἐδέχθησαν, καὶ προεκήρυξαν αὐτά· ἐπεθύμησαν δὲ ἰδεῖν αὐτὰ καὶ διὰ τῶν σωματικῶν ὀφθαλμῶν, καὶ ἀκοῦσαι διὰ τῶν τοῦ σώματος ἀκοῶν, ὅμως οὐδὲ εἶδον αὐτὰ σωματικῶς, οὐδὲ ἤκουσαν· « Ἀμὴν γὰρ λέγω ὑμῖν, εἶ» πεν ὁ Κύριος, ὅτι πολλοὶ προφῆται καὶ « δίκαιοι ἐπεθύμησαν ἰδεῖν ἃ βλέπετε, καὶ » οὐκ εἶδον· καὶ ἀκοῦσαι ἃ ἀκούετε, καὶ » οὐκ ἤκουσαν » (2).

Ἀλλὰ κᾂν τοσοῦτον εὐπρόσδεκτοι ἦσαν ἐνώπιον τοῦ Θεοῦ ἡ πίστις καὶ ἡ ἀρετὴ τῶν πρὸ τοῦ νόμου καὶ τῶν ἐν νόμῳ ἁγίων ἀνδρῶν, ὅμως οὐκ ἠδυνήθησαν ἐξιλεῶσαι τοῦ Θεοῦ τὴν ἀγανάκτησιν, οὐδὲ ἐξαλεῖψαι τὴν προπατορικὴν ἁμαρτίαν, οὐδὲ δικαιῶσαι

(1) Ἑβρ. 11, 13. (2) Ματθ. 13, 17.

τὸν ἄνθρωπον, οὐδὲ ἀνοῖξαι τὴν κεκλεισμένην θύραν τῆς ἐπουρανίου βασιλείας. Τοιοῦτον κατόρθωμα οὐδὲ πίστις, οὐδὲ ἀρετή, οὐδὲ ἄνθρωπος, οὐδὲ ἄγγελος ἠδύνατο κατορθῶσαι, εἰμὴ εἷς καὶ μόνος « Ὁ ζῶν καὶ » γενόμενος νεκρός, καὶ ζῶν εἰς τοὺς αἰῶ» νας τῶν αἰώνων, ὁ ἔχων τὰς κλεῖς τοῦ » ᾅδου καὶ τοῦ θανάτου » (1)· ὁ Κύριος Ἰησοῦς Χριστός, θυσιάσας ἑαυτὸν ἐπάνω εἰς τὸ ξύλον τοῦ σταυροῦ, αὐτὸς ὁ ἐνανθρωπήσας Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ ἀπ' ἐκείνης τῆς ὥρας, ἐν ᾗ ἥπλωσε τὰς παναχράντους αὐτοῦ χεῖρας ἐν τῷ σταυρῷ καὶ εἰπών, « Τετέλεσται » (2) παρέδωκε τὸ πνεῦμα τῷ Θεῷ καὶ Πατρὶ αὐτοῦ, ἐξήλειψε τὴν προπατορικὴν ἁμαρτίαν, ἐδικαίωσε τὸν ἄνθρωπον, ἔλυσε τοῦ φραγμοῦ τὸ μεσότοιχον, ἔστρεψε τὴν φλογίνην ῥομφαίαν, καὶ ἤνοιξε τὴν πύλην τῆς μακαρίας Ἐδέμ. Ἔκτοτε δὲ πᾶς ὁ εἰς αὐτὸν πιστεύσας καὶ βαπτισθείς, εἰσέρχεται ἀνεμποδίστως εἰς τὴν αἰώνιον δόξαν τοῦ Θεοῦ· « Ὁ πιστεύσας καὶ » βαπτισθεὶς σωθήσεται » (3).

Πάντες μὲν οἱ πρὸ Χριστοῦ δίκαιοι οὐ μόνον ἐπεθύμουν, ἀλλὰ καὶ ἐκτενῶς ἐδέοντο, ἵνα ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ καταβὰς ἀπ' οὐρανοῦ, καὶ τὴν ἀνθρώπινον φύσιν ἀναλαβών, καὶ θάνατον καταδεξάμενος σταυρικόν, καὶ ἐκ νεκρῶν ἀναστὰς ἐν δόξῃ, συναναστήσῃ ὅλον τῶν ἀνθρώπων τὸ γένος, καὶ ἀνελθὼν σαρκοφόρος εἰς τὸν οὐρανόν, συναναβιβάσῃ πάντας εἰς τὴν ἀπὸ καταβολῆς κόσμου ἡτοιμασμένην βασιλείαν (4). Τοῦτο δὲ ἐσήμαινεν ὁ ἱεροψάλτης, ὅταν κρούων τὴν προφητικὴν αὐτοῦ κινύραν, ἔψαλλε· « Καὶ προσεύξον» ται περὶ αὐτοῦ διὰ παντός » (5). Καὶ αὐτὸς δὲ ὡς Θεοῦ προφήτης προβλέπων, ὅτι ἡ ἀνάστασις τοῦ Χριστοῦ ἐστιν ἀνάστασις πάντων τῶν ἀνθρώπων, προσηύχετο δεόμενος, καὶ λέγων· « Ἐξεγέρθητι ἡ δόξα » μου, ἐξεγέρθητι ψαλτήριον καὶ κιθάρα » (6). Ἠξίωσε δὲ αὐτὸν ὁ Υἱὸς τοῦ Θεοῦ ἀποκρίσεως, φανερώσας αὐτῷ τὴν ὥραν τῆς ἐκ νεκρῶν ἀναστάσεως αὐτοῦ, καὶ εἰπὼν πρὸς αὐτόν· « Ἐξεγερθήσομαι ὄρθρου » (7). Οἱ δὲ μετὰ Χριστὸν ἅγιοι οὐδὲν τούτων ἐπιθυμοῦσιν, οὐδὲ προσεύχονται, οὐδὲ δέονται περὶ αὐτῶν, ἐπειδὴ ταῦτα ἔλαβον τέλος κατὰ τὴν ὡρισμένην τοῦ Θεοῦ βουλὴν καὶ πρόγνωσιν. Ἀλλὰ πεπειθότες ἐπὶ τῇ δυνάμει τῆς εἰς Χριστὸν πίστεως, μετὰ παρρησίας καὶ σταθερᾶς ἐλπίδος περιμένουσι τὴν ἀπόλαυσιν τῆς θείας μακαριότητος. Μαρτυρεῖ τοῦτο ὁ τρισμακάριος Παῦλος, μετὰ πολλοῦ θάῤῥους καὶ βεβαιότητος κηρύττων· « Τὸν ἀγῶνα τὸν καλὸν ἠγώνισ» μαι, τὸν δρόμον τετέλεκα, τὴν πίστιν » τετήρηκα· λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δι» καιοσύνης στέφανος, ὃν ἀποδώσει μοι ὁ » Κύριος ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ὁ δίκαιος κρι» τής· οὐ μόνον δὲ ἐμοί, ἀλλὰ καὶ πᾶσι » τοῖς ἠγαπηκόσι τὴν ἐπιφάνειαν αὐτοῦ » (8). » Μετὰ τὴν ἔνσαρκον οἰκονομίαν τοῦ Υἱοῦ τοῦ Θεοῦ, πᾶς ἄνθρωπος, ὅστις πιστεύει ἐν τῇ καρδίᾳ αὐτοῦ εἰς τὸν Σωτῆρα Χριστόν, καὶ ὁμολογεῖ διὰ τοῦ στόματος αὐτοῦ, ὅτι αὐτός ἐστι Θεὸς ἀληθινὸς καὶ λυτρωτὴς τοῦ κόσμου, ἐκεῖνος δικαιοῦται καὶ σώζεται. « Καρδίᾳ γὰρ πιστεύεται εἰς δι» καιοσύνην· στόματι δὲ ὁμολογεῖται εἰς » σωτηρίαν » (9).

Μεγάλη ἀληθῶς ἡ δύναμις τῆς εἰς Χριστὸν πίστεως. Ἐὰν πιστεύσω εἰς αὐτόν,

(1) Ἀποκαλ. 1, 18. (2) Ἰωάν. 19, 30. (3) Μάρκ. 16, 16. (4) Ματθ. 25, 34. (5) Ψαλ. 71, 15.
(6) Αὐτ. 56, 9. (7) Αὐτ. καὶ Πράξ. 2, 23. (8) Β'. Τιμ. 4, 7, 8. (9) Ῥωμ. 10, 10.



γίνομαι ἀθῶος ἀπὸ τῶν ἁμαρτιῶν μου. Ἐὰν ὁμολογήσω, ὅτι αὐτός ἐστι Θεὸς ἀληθινός, κληρονομῶ βασιλείαν αἰώνιον. Ἀλλὰ πόθεν τόση δύναμις εἰς τὴν εἰς Χριστὸν πίστιν; Ἐὰν περιεργασθῇς τὴν δύναμιν τῆς ἁμαρτίας τοῦ προπάτορος, εὔκολα καταλαμβάνεις τὴν δύναμιν τῆς εἰς Χριστὸν πίστεως· ἐκ τοῦ πρώτου ἀνθρώπου ἐγεννήθησαν πάντες οἱ ἄνθρωποι σαρκικῶς· ἐκ τοῦ δευτέρου, ἐγεννήθησαν πάντες ἄνωθεν πνευματικῶς. » Ὁ πρῶτος ἄνθρωπος ὁ Ἀδὰμ ἦν ἐκ γῆς » χοϊκός· ὁ δεύτερος ἄνθρωπος ὁ Ἰησοῦς » Χριστός ἐστιν ὁ Κύριος ἐξ οὐρανοῦ (1). » Οἷος ὁ χοϊκός, τοιοῦτοι καὶ οἱ χοϊκοί· καὶ » οἷος ὁ ἐπουράνιος, τοιοῦτοι καὶ οἱ ἐπουρά» νιοι » (2). Ὁ πρῶτος ὁ χοϊκὸς παρακούσας τοῦ Θεοῦ τὸ πρόσταγμα, κατέστησεν ἁμαρτωλοὺς πάντας τοὺς ἐξ αὐτοῦ γεννηθέντας· ὁ δεύτερος ὁ ἐπουράνιος « Γενόμε» νος ὑπήκοος τῷ Θεῷ μέχρι θανάτου, θα» νάτου δὲ σταυροῦ » (3), ἐδικαίωσε πάντας τοὺς διὰ τῆς εἰς αὐτὸν πίστεως υἱοὺς αὐτοῦ γενομένους. Ὥσπερ γὰρ « διὰ τῆς « παρακοῆς τοῦ ἑνὸς ἀνθρώπου ἁμαρτωλοὶ » κατεστάθημεν οἱ πολλοί, οὕτω καὶ διὰ » τῆς ὑπακοῆς τοῦ ἑνὸς δίκαιοι κατασταθήσονται οἱ πολλοί ». Ἡμεῖς ὅταν πιστεύσωμεν εἰς τὸν Ἰησοῦν Χριστόν, τότε γινόμεθα υἱοὶ Θεοῦ. « Πάντες γάρ, λέγει ὁ » θεοῤῥήμων Παῦλος, υἱοὶ Θεοῦ ἐστε διὰ » τῆς πίστεως ἐν Χριστῷ Ἰησοῦ » (4). Ὅταν δὲ βαπτιζώμεθα, τότε συνενούμεθα μετ' αὐτοῦ τοῦ Ἰησοῦ Χριστοῦ· « Ὅσοι » γὰρ εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν » ἐνεδύσασθε » (5). Ἡμεῖς πάντες, οἱ εἰς τὸν Χριστὸν πιστεύσαντες καὶ βαπτισθέντες, ἐσμὲν μέλη τοῦ σώματος τοῦ Ἰησοῦ Χριστοῦ· « Ὑμεῖς δέ ἐστε σῶμα Χριστοῦ, » καὶ μέλη ἐκ μέρους » (6). Ἐκ τούτου οὖν βλέπεις, ὅτι ἡ εἰς Χριστὸν πίστις ἔχει ταύτην τὴν μεγάλην καὶ θείαν δύναμιν διὰ τὴν μέχρι θανάτου ὑπακοὴν αὐτοῦ, καὶ διὰ τὴν πνευματικὴν ἕνωσιν ἡμῶν μετὰ τοῦ παναχράντου αὐτοῦ σώματος. Διὰ τὴν παρακοὴν τοῦ πρώτου ἀνθρώπου κατεκρίθημεν, διὰ τὴν μέχρι θανάτου ὑπακοὴν τοῦ δευτέρου ἐδικαιώθημεν (7)· διὰ τὸν ἀπὸ τοῦ Θεοῦ χωρισμὸν τοῦ πρωτοπλάστου ἐστερήθημεν τῆς θείας δόξης, διὰ τὴν μετὰ τοῦ Χριστοῦ ἕνωσιν ἀναβαίνομεν εἰς τὴν θείαν δόξαν· « οἷος ὁ χοϊκός, τοιοῦτοι καὶ οἱ χοϊκοί· καὶ » οἷος ὁ ἐπουράνιος, τοιοῦτοι καὶ οἱ ἐπουρά» νιοι » (8).

Λαμβάνομεν δὲ ταῦτα τὰ πανυπερένδοξα καὶ ὑπερφυέστατα χαρίσματα χωρίς τινος ἀγῶνος, ἢ κόπου, ἢ δυσκολίας. Ποῖον ἀγῶνα ἠγωνίσθης, ὅτε ἐπίστευσας εἰς τὸν Ἰησοῦν Χριστόν, καὶ πιστεύσας ἐδικαιώθης; οὐδένα. Ποῖον κόπον ἀνέλαβες, ἢ ποίαν δυσκολίαν ἐδοκίμασας, ὅτε ἐβαπτίσθης, καὶ βαπτισθεὶς ἡνώθης μετὰ τοῦ Ἰησοῦ Χριστοῦ, καὶ γέγονας μέλος τοῦ σώματος αὐτοῦ; οὐδεμίαν. Ταῦτα τὰ ἐπουράνια καὶ σωτηριώδη χαρίσματά εἰσιν ἔλεος Θεοῦ· δωρεὰν αὐτὰ ἔλαβες, χάριτι Θεοῦ σοι ἐδόθησαν. Ἐκ τούτου δὲ ὁ Παῦλος θεολογῶν, ἔλεγε· « Τῇ γὰρ χάριτί ἐστε σεσωσμένοι » διὰ τῆς πίστεως· καὶ τοῦτο οὐκ ἐξ ὑμῶν· » Θεοῦ τὸ δῶρον » (9). Ποίαν οὖν ἀπολογίαν ἔχομεν οἱ τρισάθλιοι, ὅταν ὁ μὲν Θεὸς τόσας εὐεργεσίας ἐποίησεν ἡμῖν χωρίς τινος ἀγαθοεργίας ἡμῶν, ἡμεῖς δὲ ἀνεμποδίστως καὶ ἀνυποστόλως καθ' ἑκάστην ἡμέραν παραβαίνομεν καὶ περιφρο-

(1) Ἰωάν. 3, 3. (2) Α'. Κορ. 15, 47, 48. (3) Φιλ. 2, 8. (4) Ῥωμ. 5, 19. (5) Γαλ. 3, 26.
(6) Αὐτ. 27. (7) Α'. Κορ. 12, 27. (8) Αὐτ. 15, 48. (9) Ἐφεσ. 2, 8.

νοῦμεν τὰ πατρικὰ καὶ θεῖα αὐτοῦ προστάγματα;

Ταῦτα πάντα ἀληθῆ εἰσι, λέγεις, καὶ βέβαια, πλήν, ἀφ' οὗ πιστεύσω καὶ βαπτισθῶ, ἐὰν μὴ φυλάξω τοῦ Θεοῦ τὰς ἐντολάς, φοβερὰ καταδίκη περιμένει με, ὡς μαρτυρεῖ ὁ Ἀπόστολος Παῦλος, λέγων· « Ἑκουσίως γὰρ ἁμαρτανόντων ἡμῶν » μετὰ τὸ λαβεῖν τὴν ἐπίγνωσιν τῆς ἀλη» θείας, οὐκ ἔτι περὶ ἁμαρτιῶν ἀπολείπε» ται θυσία· φοβερὰ δέ τις ἐκδοχὴ κρίσεως, » καὶ πυρὸς ζῆλος, ἐσθίειν μέλλοντος τοὺς » ὑπεναντίους » (1). Ἡ δὲ φυλακὴ τῶν ἐντολῶν ἔχει δυσκολίαν καὶ ζητεῖ κόπους· ὥστε ἀνάγκη ἐστίν, ἵνα καὶ προσέχω καὶ κοπιάζω, καὶ ἀγωνίζωμαι. Ταῦτα λέγεις, ὦ ἄνθρωπε ἀχάριστε· ἀλλ' ἐάν τις βασιλεὺς ἐχαρίζετό σοι θησαυρὸν πολύτιμον, ἆρά γε ἔλεγες τότε προσκλαιόμενος, ὅτι ὁ θησαυρὸς προεξένησέ σοι ἀνάγκην καὶ προσοχὴν καὶ κόπους, ὅπως μηδὲ κλέπτης αὐτὸν κλέψῃ, μηδὲ ἐπίβουλος ἐπιβουλεύσῃ; τοιοῦτοι ἀχάριστοι λογισμοὶ οὐδέ ποτε ἀνέβαινον εἰς τὸν νοῦν σου, οὐδὲ ἤνοιγες ποτὲ τὸ στόμα σου, ἵνα προφέρῃς τοιαῦτα ἀχάριστα λόγια· μετὰ πάσης δὲ προθυμίας ἐφρόντιζες καὶ μετὰ πάσης χαρᾶς ἐκοπίαζες, ἵνα φυλάξῃς σῶον τὸν χαρισθέντα σοι θησαυρόν, μηδὲν λογιζόμενος τοὺς ὑπὲρ αὐτοῦ ἀγῶνας καὶ κόπους, καὶ εὐχαριστῶν διαπαντὸς τὸν μεγαλόδωρον βασιλέα· λοιπὸν διὰ τὸν θησαυρὸν τὸν ἐπίγειον, ὃν σήμερον ἔχεις, αὔριον δὲ ἀποθνήσκων ἐγκαταλείπεις εἰς τὴν γῆν, οὐδὲ δυσκολίαν στοχάζεσαι, οὐδὲ κόπον προβάλλεις, διὰ δὲ τὸν ἐπουράνιον θησαυρὸν τῶν θείων χαρισμάτων, δι' ὧν κληρονομεῖς βασιλείαν αἰώνιον καὶ δόξαν ἀτελεύτητον, συλλογίζεσαι δυσκολίας, καὶ ἀναφέρεις κόπους, καὶ λαλεῖς περὶ ἀγώνων; ἀλλὰ πῶς οὐκ ἀκούεις, ὅτι « Οὐκ ἄξια τὰ παθήματα » τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δό» ξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς; » (2) πῶς δὲ οὐ διακρίνεις τὴν μεγάλην ἀχαριστίαν σου πρὸς τὸν εὐεργέτην σου, καὶ τὴν μεγάλην τοῦ νοός σου παραλογίαν;

Τὰ λόγια τῆς ἀπολογίας σου οὐκ εἰσὶν ἀπολογία, ἀλλ' ὀλιγοπιστία· ὡς φαίνεται, οὐκ ἐπίστευσας ὡς πρέπει εἰς τὸν Ἰησοῦν Χριστόν, καὶ διὰ τοῦτο νομίζεις, ὅτι ἡ ἐκπλήρωσις τῶν ἐντολῶν αὐτοῦ ἐστι κοπιαστικὴ καὶ δύσκολος. Ἐὰν ἐπίστευες εἰς αὐτὸν ἐξ ὅλης ψυχῆς καὶ καρδίας, ἐπίστευες ἐπίσης καὶ εἰς τὰ θεῖα αὐτοῦ λόγια· ἐπίστευες, ὅτι « Αἱ ἐντολαὶ αὐτοῦ βαρεῖαι » οὐκ εἰσίν » (3)· ἐπίστευες ὅτι « Ὁ ζυγὸς » αὐτοῦ χρηστὸς καὶ τὸ φορτίον αὐτοῦ ἐ» λαφρόν » (4)· ἀληθῶς ζυγός ἐςιν ἡ ἐντολή, ἀλλὰ ζυγὸς καλός τε καὶ ἁπαλός· ἀληθῶς φορτίον ἐστιν ἡ νομοθεσία, ἀλλὰ φορτίον ἐλαφρὸν καὶ εὐκολοβάστακτον· ὁ Ἰησοῦς Χριστὸς διὰ τῆς χάριτος αὐτοῦ ἁπαλύνει τοῦ ζυγοῦ τὴν τραχύτητα, καὶ ἐλαφρύνει τοῦ φορτίου τὸ βάρος· αὐτὸς θερμαίνει τὴν καρδίαν τοῦ πιστεύοντος δι' ἐκείνου τοῦ πυρός, ὃ ἦλθε βαλεῖν εἰς τὴν γῆν (5)· ὅθεν ὅσα ὁ κόσμος ὁ ἄπιστος νομίζει σκληρὰ καὶ δύσκολα, ἐκεῖνα εἰς τοὺς πιστεύοντας γίνονται ὁμαλὰ καὶ εὔκολα, καὶ αὐτὰ δὲ « Τὰ » ἀδύνατα παρὰ ἀνθρώποις », δυνατὰ ποιεῖ αὐτός (6). Ἐὰν ἀληθῶς πιστεύωμεν εἰς αὐτόν, νικηταὶ γινόμεθα πάσης κοσμικῆς ἐπιθυμίας καὶ ματαιότητος· διότι « Αὕ» τη ἐστὶν ἡ νίκη ἡ νικήσασα τὸν κόσμον, » ἡ πίστις ἡμῶν » (7). Ὅταν στοχασθῶμεν τὰς μεγάλας καὶ ἀναριθμήτους τοῦ Θεοῦ εὐεργεσίας, τὴν εὐκολίαν, δι' ἧς ἀπολαμβάνομεν τὰ σωτηριώδη αὐτοῦ χαρίσματα, τὴν πίστιν δηλονότι καὶ τὴν διὰ τοῦ θείου βαπτίσματος υἱοθεσίαν, ὅταν συλλογισθῶμεν τὴν ἑτοίμην καὶ δραστικὴν βοήθειαν τῆς θείας χάριτος πρὸς τὴν ἐκπλήρωσιν τῶν ἐλαφρῶν ἐντολῶν τοῦ Κυρίου, τότε βλέπομεν φανερά, ὅτι οὐδεμίαν ἀπολογίαν ἔχομεν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν, ἀλλ' ἐσμὲν παντελῶς ἀναπολόγητοι, τότε αἰσθανόμεθα ὅτι ἡ ὀλιγοπιστία ἐστὶν ἡ μήτηρ τῆς ἁμαρτίας καὶ τῆς προφασιολογίας.

(1) Ἑβρ. 10, 26, 27. (2) Ρωμ. 8, 18. (3) Α'. Ἰωάν. 5, 3. (4) Ματθ. 11, 30. (5) Λουκ. 12, 49. (6) Αὐτ. 18, 29. (7) Α'. Ἰωάν. 5, 4.



Ἰησοῦ γλυκύτατε, νυμφίε ἀόρατε τῆς ψυχῆς μου, σὺ ἔπλασάς με, καὶ ἔθηκάς μοι σάρκα, καὶ ὀστᾶ, καὶ ψυχήν, καὶ πνοήν, καὶ ζωήν· σὺ κατέστησάς με βασιλέα πάσης τῆς ὁρωμένης κτίσεως, καὶ ἔδωκάς μοι τὴν τρυφὴν καὶ ἀπόλαυσιν τῆς ὡραιότητος τοῦ παραδείσου· καὶ ἐγὼ μὲν παρήκουσα τὴν ἐντολήν σου, σὺ δὲ οὐκ ἐγκατέλειπές με εἰς τὸν βυθὸν τῆς ἀπωλείας μου, ἀλλὰ κατελθὼν ἀπὸ τοῦ ὑψίστου θρόνου τῆς θείας δόξης σου, ἐσαρκώθης δι' ἐμέ, καὶ ὑπήκοος γενόμενος τῷ πατρί σου μέχρι θανάτου, σταυρὸν ὑπέμεινας καὶ θάνατον διὰ τὴν σωτηρίαν μου· σὺ ἀναλαβὼν δι' ἐμὲ τὸ κατ' ἐμέ, ἐποίησάς με μέλος τοῦ παναχράντου σου σώματος· σὺ ὑπεσχέθης καὶ εἶπας· « Ὁ » πιστεύων εἰς ἐμέ, ἔχει ζωὴν αἰώνιον » (1)· Ἐγώ, Κύριέ μου, πιστεύω ἐν τῇ καρδίᾳ μου, καὶ ὁμολογῶ ἐν τῷ στόματί μου, ὅτι σὺ εἶ ὁ Υἱὸς τοῦ Θεοῦ, ὁ λυτρωτὴς τοῦ κόσμου· αὐτὴ ἡ πίστις σώζει, καθὼς ἐδίδαξεν ὁ Ἀπόστολός σου, λέγων· « Ἐὰν ὁμο» λογήσῃς ἐν τῷ στόματί σου Κύριον Ἰη» σοῦν, καὶ πιστεύσῃς ἐν τῇ καρδίᾳ σου, » ὅτι ὁ Θεὸς ἤγειρεν αὐτὸν ἐκ νεκρῶν, σω» θήσῃ » (2). Φοβοῦμαι ὅμως, ὅτι ἡ πίστις μου ἐστὶν ὀλίγη· ἐκ τούτου δὲ βαρέα φαίνονταί μοι τὰ θεῖά σου προστάγματα, ἐκ τούτου καθ' ἡμέραν παραβάτης γίνομαι τῶν ἁγίων ἐντολῶν σου, ἐκ τούτου κατὰ πάντα ἀναπολόγητος ὤν, νομίζω, ὅτι ἔχω ἀπολογίαν ἐνώπιόν σου· πιστεύω, ἀλλὰ φοβοῦμαι, ὅτι ἡ πίστις μου ἐστὶ τόσον ὀλίγη, ὥστε πλησιάζει εἰς τὴν ἀπιστίαν· διὰ τοῦτο κλίνω ἔμπροσθεν τοῦ πανευσπλάγχνου κράτους σου τὰ γόνατα τῆς ψυχῆς καὶ τοῦ σώματός μου, καὶ μετὰ συντριβῆς καρδίας καὶ θερμῶν δακρύων κραυγάζω ὡς ὁ πατὴρ τοῦ δαιμονιζομένου παιδίου· « Πιστεύω Κύ» ριε, βοήθει μου τῇ ἀπιστίᾳ » (3). Θέρμανον τὴν πίστιν μου, καὶ ποίησον αὐτὴν ὡς τὸν κόκκον τοῦ σινάπεως, ἵνα δι' αὐτῆς εὐαρεστήσας σοι, τύχω το ἐλέους σου ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως. Ἀμήν.

(1) Ἰωάν. 6, 47. (2) Ρωμ. 10, 9. (3) Ματθ. 9, 24.

# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΗΝ ΠΡΟΣ

# ΡΩΜΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗι ΣΤ'. ΚΥΡΙΑΚΗι.

ΕΙΣ πᾶσαν ἐπιστολὴν αὐτοῦ ὁ θεόπνευςος Παῦλος προοιμιάζει μὲν ἀπὸ εὐχῆς, εὐχόμενος συντόμως καὶ εὐλογῶν ἐκείνους, πρὸς οὓς ἔστελλε τὴν ἐπιστολήν, μετὰ δὲ τὴν εὐχὴν ἐκφράζει δόγματα πίστεως, μετὰ δὲ τὸν περὶ πίστεως λόγον γράφει ἠθικὴν διδασκαλίαν, ἔπειτα ἐπιλογεῖ, ἀσπαζόμενός τινας κατ' ὄνομα, καὶ εὐχόμενος τὰ πρὸς σωτηρίαν. Ὅσα ἐκ τῆς πρὸς Ῥωμαίους ἐπιστολῆς αὐτοῦ ἀνεγνώσθησαν κατὰ τὰς προλαβούσας τέσσαρας κυριακὰς ἡμέρας, περιεῖχον τὰς περὶ πίστεως ὑποθέσεις, τὰ δὲ σήμερον ἀναγνωσθέντα ἐκ τῆς αὐτῆς ἐπιστολῆς διδάσκουσι τῆς χρηστοηθείας καὶ ἀρετῆς τοὺς νόμους. Ἵνα δὲ μηδεὶς ὑποπτευθῇ, ὅτι ὅσα λαλεῖ περὶ τῆς ἠθικῆς νομοθεσίας εἰσὶ τοῦ νοὸς αὐτοῦ ἐφευρέματα, καὶ ἑπομένως νομίζων, ὅτι οὐκ ἔχει χρέος φυλάττειν αὐτά, ἀμελεῖ τὴν τούτων ἐκπλήρωσιν, ἐφανέρωσεν εὐθὺς ἐν τῇ ἀρχῇ τῶν ἠθικῶν αὐτοῦ ἐντολῶν, ὅτι οὐκ αὐτὸς ἀφ' ἑαυτοῦ, ἀλλὰ διὰ τοῦ φωτισμοῦ τῆς δοθείσης αὐτῷ θείας χάριτος ἐδίδασκε τῆς ἠθικῆς τοὺς κανόνας· « Λέγω γάρ, εἶπε, διὰ » τῆς χάριτος τῆς δοθείσης μοι παντὶ τῷ » ὄντι ἐν ὑμῖν » (1). Ὁμοίως δέ, ἵνα μηδεὶς βλέπων ἐν αὐτοῖς μόνον τὸν ἀποστολικὸν καὶ ἁπλοῦν καὶ ἀπερίεργον τῆς συντάξεως χαρακτῆρα, περιφρονῇ τὰ ἀναγινωσκόμενα ὡς ἀμαθοῦς νοὸς γεννήματα, μετῆλθε τὰ γραμματικὰ τῆς ἑλληνικῆς συντάξεως σχήματα, καὶ οὕτω κατέστησεν εἰς σοφοὺς καὶ ἀμαθεῖς ὠφέλιμον τὴν διδασκαλίαν αὐτοῦ κατὰ τὸ ἑαυτοῦ ἐπάγγελμα (2), περὶ οὗ ἔλεγεν· « Ἕλλησί τε καὶ βαρβάροις, σο» φοῖς τε καὶ ἀνοήτοις ὀφειλέτης εἰμί » (3). Ἐπειδὴ οὖν διπλᾶ χαρίσματα ἔχει ἡ σήμερον ἀναγνωσθεῖσα διδασκαλία, τὸν ὡραϊσμὸν δηλονότι τῆς θείας χάριτος, καὶ τὰ κάλλη τῆς σχολαστικῆς σοφίας, διὰ τοῦτο διπλῆν ἀφιερώσατε προσοχὴν πρὸς κατανόησιν τῶν ἐν αὐτῇ ἐπουρανίων νοημάτων.

*Ἀδελφοί, ἔχοντες χαρίσματα κατὰ τὴν χάριν τὴν δοθεῖσαν ἡμῖν διάφορα, εἴτε προφητείαν, κατὰ τὴν ἀναλογίαν τῆς πίστεως* (4).

Ὅταν ἀρχὴν ἔλαβεν ἡ σύστασις τῆς τοῦ Χριστοῦ ἐκκλησίας, τότε πολλὰ καὶ διάφορα χαρίσματα ἔδωκεν αὐτὸς εἰς τοὺς πιστούς, ἐπειδὴ καὶ αὐτοὶ ἦσαν ἄξιοι τῶν μεγάλων αὐτοῦ χαρισμάτων, καὶ τὰ τοιαῦτα δὲ χαρίσματα ἀναγκαῖα ἦσαν διὰ τὴν αὔξησιν τῆς πίστεως· ὅσον δὲ θερμοτέραν πίστιν εἶχεν ὁ πιστός, τόσον μεῖζον καὶ ἐνδοξότερον ἐλάμβανε τὸ χάρισμα· τοῦτο δὲ σημαίνει ὁ λόγος κατὰ τὴν ἀναλογίαν τῆς πίστεως· ὅσοι δὲ ἐλάμβανον τῆς προφητείας τὸ χάρισμα, οὐ μόνον προέλεγον τὰ μέλλοντα γενέσθαι· ὡς προεῖπεν ὁ Ἄγαβος τὸν μέγαν λιμὸν τὸν ἐπὶ Κλαυδίου Καίσαρος (1)· ἀλλ' ἐγνώριζον καὶ τὰ μυστικὰ καὶ ἀπόκρυφα, καθὼς ὁ Πέτρος τὴν μυστικὴν ἱεροσυλίαν τοῦ Ἀνανίου καὶ τῆς Σαπφείρας (2). Ἀλλὰ διὰ ποῖον τέλος ὁ Ἀπόστολος ἀνέφερε κατ' ὄνομα τὰ διάφορα χαρίσματα τῶν τότε πιστῶν; ἵνα βεβαιώσῃ, ὅτι οἱ πιστοί εἰσιν ἓν σῶμα, συγκείμενον ἐκ διαφόρων μελῶν βοηθούντων ἀλλήλοις· αὐτὸς προλαβὸν συγκρίνας τὸ σῶμα ἡμῶν μετὰ τῆς ἐκκλησίας, εἶπε· καθὼς εἰς ἓν καὶ τὸ αὐτὸ σῶμα ἡμῶν ἔχομεν πολλὰ μέλη, οὐ ποιοῦσι δὲ πάντα ἓν καὶ τὸ αὐτὸ ἔργον, ἀλλὰ καθὲν μέλος ἔχει ἔργον ἴδιον, οὕτω καὶ τὸ πνευματικὸν σῶμα, ἤγουν ἡ τοῦ Χριστοῦ ἐκκλησία ἔχει πολλὰ μέλη, καθὲν δὲ τούτων ἔχει ἴδιον ἔργον πρὸς βοήθειαν τῶν ἄλλων μελῶν καὶ στερέωσιν ὅλου τοῦ σώματος· « Καθάπερ γάρ, εἶπεν, ἐν ἑνὶ σώματι » μέλη πολλὰ ἔχομεν, τὰ δὲ μέλη πάντα » οὐ τὴν αὐτὴν ἔχει πρᾶξιν· οὕτως οἱ πολ» λοὶ ἓν σῶμά ἐσμεν ἐν Χριστῷ, ὁ δὲ καθ' » εἷς ἀλλήλων μέλη » (3). Ταῦτα δὲ εἰπών, ἐπαριθμεῖ πρὸς βεβαίωσιν τοῦ λόγου αὐτοῦ τὰ ἔργα, τουτέστι τὰ διάφορα χαρίσματα, τὰ ὑπὸ Θεοῦ διανεμηθέντα εἰς τοὺς πιςοὺς πρὸς ἀμοιβαίαν ὠφέλειαν καὶ πρὸς καταρτισμὸν τοῦ ὅλου σώματος τῆς ἐκκλησίας.

(1) Ρωμ. 12, 3. (2) Ὅρα Οἰκουμ. ἐν κεφ. 12, τῆς πρὸς Ῥωμ. ἐπιϛ. (3) Ῥωμ. 1, 14. (4) Αὐτ. 12, 6.



Σημείωσαι δέ, ὅτι μετέρχεται τὸ σχῆμα τοῦ ζεύγματος καὶ τῆς ἐλλείψεως· διότι τὸ μὲν « Ἔχοντες », λαμβάνει ἀπὸ κοινοῦ, σιωπᾷ δὲ τὸ ἀνταποδοτικὸν ῥῆμα, ἤγουν τὸ «Μὴ ὑπερφρονεῖν παρ' ὃ δεῖ φρονεῖν»(4). Ἔχοντες, λέγει, χαρίσματα διάφορα κατὰ τὴν χάριν τὴν δοθεῖσαν ὑμῖν, μὴ ὑπερηφανεύεσθε· εἴτε ἔχοντες τῆς προφητείας τὸ χάρισμα, μὴ ὑψηλοφρονεῖτε· τὰ αὐτὰ δὲ σχήματα βλέπεις καὶ εἰς τὰ ἑξῆς.

*Εἴτε διακονίαν, ἐν τῇ διακονίᾳ· εἴτε ὁ διδάσκων, ἐν τῇ διδασκαλίᾳ· εἴτε ὁ παρακαλῶν ἐν τῇ παρακλήσει* (5).

Τὸ ὄνομα, διακονία, σημαίνει μὲν καὶ τὸ κήρυγμα τῆς πίστεως κατὰ τό, « Ἡμεῖς » δὲ τῇ προσευχῇ καὶ τῇ διακονίᾳ τοῦ λόγου προσκαρτερήσομεν » (6)· ἐπειδὴ ὅμως ὁ Ἀπόστολος μετὰ τὴν διακονίαν προβάλλει εὐθὺς τὴν διδασκαλίαν, τῆς δὲ διδασκαλίας πρῶτον ἔργον ἐστὶ τῆς πίστεως τὸ κήρυγμα, φανερόν ἐστιν, ὅτι διακονίαν ὀνομάζει πᾶσαν ὑπηρεσίαν, γενομένην πρὸς κοινὴν τῶν ἀδελφῶν ὠφέλειαν. Τοιαύτη ἦν ἡ ὑπηρεσία τῶν ἑπτὰ διακόνων, τῶν διακονούντων ἐν τῇ καθημερινῇ τραπέζῃ, καὶ τοῦ Παύλου, ὅστις συνήγαγε καὶ μετεκόμιζεν εἰς τὴν Ἱερουσαλὴμ τὸ ὑπὲρ τῶν πτωχῶν ἔλεος, καὶ οἱ ἐν Ἱεροσολύμοις πρεσβύτεροι, οἱ ὑπηρετοῦντες εἰς τὰς τῶν πτωχῶν χρείας, πρὸς οὓς οἱ Ἀντιοχεῖς ἔστειλαν τὴν συναχθεῖσαν ἐλεημοσύνην «Διὰ χειρὸς Βαρ» νάβα καὶ Σαύλου » (7). Παράκλησιν δὲ λέγει τὴν προτροπὴν εἰς τῆς ἀρετῆς τὰ ἔργα, ἔτι δὲ καὶ τὴν παρηγορίαν τῶν λυπουμένων. Καὶ πάντες μὲν οἱ Ἀπόστολοι διὰ

(1) Πράξ. 11, 28. (2) Αὐτ, 5, 3, 9. (3) Ρωμ. 12, 4. 5, (4) Αὐτ. 12, 3. (5) Αὐτ. 12, 7, 8. (6) Πράξ. 6, 4. (7) Αὐτ. 11, 30.

λόγου, τινὲς δὲ καὶ διὰ γραμμάτων, προέτρεπον τοὺς πιστοὺς πρὸς τὴν ἀρετήν, καὶ παρηγόρουν αὐτοὺς διὰ τὰς θλίψεις, ὅσας τότε ἔπασχον ὑπὸ τῶν ἀπίστων. Βλέπε δέ, πῶς ἀνάγκη ἐστίν, ἵνα καὶ διὰ τὴν κατανόησιν τῶν προκειμένων λόγων ἀναβάλης τό, ἔχοντες, καὶ ἀναπληρώσης τό, μὴ ὑψηλοφρονῆτε· εἴτε λέγει, ἔχετε τῆς διακονίας τὸ χάρισμα, μὴ ὑπερηφανεύεσθε ἐν τοῖς ἔργοις τῆς ὑπηρεσίας ὑμῶν· εἴτε ἔχει τις τὸ δῶρον τῆς διδασκαλίας, μὴ ὑπερηφανευέσθω διὰ τὸ κάλλος καὶ τὴν δύναμιν τῶν διδακτικῶν αὐτοῦ λόγων· εἴτε ἔχει τις τὴν χάριν τοῦ προτρέπειν εἰς τὴν ἀρετήν, καὶ παρηγορεῖν τοὺς τεθλιμμένους, μὴ ὑψηλοφρονείτω, βλέπων τὸν καρπὸν τῶν προτρεπτικῶν καὶ παρηγορητικῶν διδασκαλιῶν αὐτοῦ. Τοιουτοτρόπως δὲ ἑρμηνευόμενα ταῦτα τὰ ἀποστολικὰ λόγια, συμφωνοῦσι μετὰ τῶν λόγων τῆς προφήτιδος Ἄννης, ἥτις προσευχομένη, ἔλεγε· « Μὴ καυχάσθω ὁ φρόνιμος ἐν τῇ φρονήσει αὐτοῦ, καὶ μὴ καυχάσθω ὁ δυνατὸς ἐν τῇ δυνάμει αὐτοῦ, καὶ μὴ καυχάσθω ὁ πλούσιος ἐν τῷ πλούτῳ αὐτοῦ » (1). Ἡ ὑπερηφάνεια οὐκ ἔχει τόπον, ἐπειδὴ ταῦτά εἰσι Θεοῦ χαρίσματα, διδόμενα κατὰ τὸ μέτρον οὐχὶ τοῦ κόπου τῶν ἔργων, ἀλλὰ τῆς θερμότητος τῆς πίστεως.

Ὁ *μεταδιδούς, ἐν ἁπλότητι· ὁ προϊστάμενος, ἐν σπουδῇ· ὁ ἐλεῶν, ἐν ἱλαρότητι* (2).

Ὁ μεταδιδοὺς φαίνεται, ὅτι οὐδὲν διαφέρει τοῦ ἐλεοῦντος· διὰ τί οὖν ὁ Ἀπόστολος χωρίζει τὸν ἕτερον τοῦ ἑτέρου καὶ εἰς μὲν τὸν μεταδοτικὸν παραγγέλλει τὴν ἁπλότητα, εἰς δὲ τὸν ἐλεήμονα, τὴν ἱλαρότητα; ἀληθῶς κατὰ μὲν τὸ βλεπόμενον ἔργον οὐδὲν διαφέρουσι· διότι ἓν καὶ τὸ αὐτὸ φαίνεται τὸ ἔργον αὐτῶν, ἤγουν ἡ μετάδοσις· κατὰ δὲ τὴν ἐσωτερικὴν τῆς ψυχῆς διάθεσιν ἔχουσιν οὐ μικρὰν τὴν διαφοράν. Ὁ μεταδοτικὸς οὐκ ἔχει πάντοτε ἐν τῇ καρδίᾳ αὐτοῦ τῆς ἐλεημοσύνης, ἤγουν τῆς συμπαθείας καὶ εὐσπλαγχνίας τὴν διάθεσιν· διότι ἄλλοτε μὲν εὐεργετεῖ, ἵνα κερδήσῃ τὴν ἀγάπην καὶ φιλίαν τῶν εὐεργετουμένων, ἄλλοτε δέ, ἵνα εὐεργετηθῇ καὶ αὐτὸς ἐν καιρῷ χρείας, ἄλλοτε δέ, ἵνα τιμᾶται ὑπὸ τῶν ἀνθρώπων ὡς μεταδοτικὸς καὶ φιλόδωρος· ὅθεν ὁ σκοπὸς αὐτοῦ οὐκ ἔστιν ἁπλοῦς, ἀλλὰ πολύμορφος καὶ πολυποίκιλος· ὁ δὲ ἀληθινὸς ἐλεήμων πάντοτε συμπαθείᾳ καὶ εὐσπλαγχνίᾳ κινούμενος, ἀγαθοποιεῖ τοὺς χρείαν ἔχοντας, μηδεμίαν ἀντάμειψιν ἐπίγειον περιμένων, καὶ ἕνα σκοπὸν μόνον ἔχων, τῆς ἐντολῆς τὴν ἐκπλήρωσιν· διὰ τοῦτο οὖν ὁ πάνσοφος τοῦ Κυρίου Ἀπόστολος εἰς μὲν τὸν μεταδοτικὸν παραγγέλλει τὴν ἁπλότητα, διδάσκων αὐτόν, ἵνα ὅταν εὐεργετῇ, ἕνα μόνον καὶ ἁπλοῦν σκοπὸν ἔχῃ, τὴν παρηγορίαν καὶ κυβέρνησιν τῶν δεομένων· εἰς δὲ τὸν ἐλεήμονα παραγγέλλει τὴν ἱλαρότητα, διδάσκων αὐτόν, ἵνα ἐλεῇ οὐχ ὡς ὑπὸ τῆς ἐντολῆς ἀναγκαζόμενος καὶ λυπούμενος, ἀλλ' ὡς ἐξ ἰδίας προαιρέσεως, μετὰ γαληνότητος καὶ χαρᾶς ποιῶν τῆς ἐλεημοσύνης τὸ ἔργον· διὸ καὶ πρὸς τοὺς Κορινθίους περὶ τῶν ἐλεούντων ἔγραφεν· « Ἕκαστος καθὼς προαιρεῖται τῇ καρδίᾳ· μὴ ἐκ λύπης ἢ ἐξ ἀνάγκης· ἱλαρὸν γὰρ δότην ἀγαπᾷ ὁ Θεός » (3). Εἰς δὲ

(1) Α. Βασ. 2, 10. (2) Ρωμ. 12, 8. (3) Κορ. 9, 7. Ματθ. 18, 25,



τὸν προεστῶτα διορίζει ἐξόχως τὴν σπουδήν, ἤγουν τὴν προθυμίαν καὶ ἐγρήγορσιν· διότι, ὅταν αὐτὸς ἀμελῇ καὶ νυστάζῃ, τότε ὁ ἐχθρὸς σπείρει ζιζάνια εἰς τὰς ψυχὰς τῶν ὑπ' αὐτοῦ ποιμαινομένων λογικῶν προβάτων· « Καὶ ὁ λύκος ἁρπάζει αὐτὰ καὶ σκορπίζει τὰ πρόβατα » (1). Ὅστις μεταδίδωσι, λέγει, ποιείτω τὴν μετάδοσιν ἐν ἁπλότητι καρδίας, ἕνα μόνον ἁπλοῦν σκοπὸν ἔχων, τὸν τοῦ ἐλέους. Ὅστις ἐςὶ προεστώς, ἐκεῖνος ἐκπληρούτω μετὰ σπουδῆς καὶ προθυμίας τῆς προεδρίας τὸ ἔργον· ὅστις ἐλεεῖ, ἐλεείτω μετὰ ἱλαρᾶς καρδίας.

Ἡ *ἀγάπη ἀνυπόκριτος· ἀποστυγοῦντες τὸ πονηρόν, κολλώμενοι τῷ ἀγαθῷ* (2).

Τότε κατανοεῖς πληρέστατα, ποία ἐςὶν ἡ ἀνυπόκριτος ἀγάπη, ὅταν καταλάβῃς, ποία ἐστὶν ἡ ὑποκριτική· ὅταν λέγω μὲν διὰ λόγου, ὅτι ἀγαπῶ τὸν Θεόν, διὰ δὲ τῶν ἔργων παραβαίνω τὰς ἐντολὰς αὐτοῦ, τότε ἡ ἀγάπη μου ἐστὶν ὑποκριτική· διὰ τί; διότι ἐκεῖνος ἀληθῶς ἀγαπᾷ τὸν Θεόν, ὅστις φυλάττει τὰς ἐντολὰς αὐτοῦ· « Ὁ ἔχων τὰς ἐντολάς μου, καὶ τηρῶν αὐτάς, ἐκεῖνός ἐστιν ὁ ἀγαπῶν με » (3). Ὅταν λέγω, ὅτι ἀγαπῶ τὸν Θεόν, μισῶ δὲ τὸν πλησίον μου, τότε ἡ ἀγάπη μου ἐστὶ ψευδὴς καὶ ὑποκριτική· « Ἐάν τις εἴπῃ· ὅτι ἀγαπῶ τὸν Θεόν, καὶ τὸν ἀδελφὸν αὐτοῦ μισῇ, ψεύστης ἐστίν » (4). Ὅταν λέγω, διὰ λόγου, δεικνύω δὲ καὶ διὰ παντὸς ἐξωτερικοῦ σχήματος, ὅτι ἀγαπῶ τὸν πλησίον μου, ἔπειτα οὐδὲ βοηθῶ, οὐδὲ ἐλεῶ αὐτόν, τότε ἡ ἀγάπη μου ἐστὶ ψευδὴς καὶ ὑποκριτική· « Ὃς δ' ἂν ἔχῃ τὸν βίον τοῦ κόσμου, καὶ θεωρῇ τὸν ἀδελφὸν αὐτοῦ χρείαν ἔχοντα, καὶ κλείσῃ τὰ σπλάγχνα αὐτοῦ ἐπ' αὐτοῦ, πῶς ἡ ἀγάπη τοῦ Θεοῦ μένει ἐν αὐτῷ; » (5) Ἐκ τούτου βλέπεις, ποία ἐστὶν ἡ ἀγάπη ἡ ἀνυπόκριτος· ὅταν φυλάττῃς τὰς ἐντολὰς τοῦ Θεοῦ, καὶ ὅταν διὰ παντὸς τρόπου βοηθῇς, ὅσον δύνασαι, τὸν πλησίον σου, τότε ἡ ἀγάπη σου ἐστὶν ἡ ἀνυπόκριτος, ἡ ὑπὸ τοῦ Παύλου διδασκομένη. Βλέπε δέ, ὅτι καὶ τὸ μῖσος παραγγέλλει ὁ τοῦ Θεοῦ Ἀπόστολος, ὡς ἔργον ἀρετῆς· « Ἀποστυγοῦντες, λέγει, τὸ πονηρόν ». Ἀληθῶς δὲ ἀρετῆς ἔργον ποιοῦμεν, μισοῦντες καὶ ἀποστρεφόμενοι τὴν ἁμαρτίαν ἐξ ὅλης ψυχῆς καὶ καρδίας. Παρατήρησον δὲ καὶ τό, « Κολλώμενοι τῷ ἀγαθῷ », διότι τοῦτο διδάσκει, ἵνα μὴ μόνον πρὸς καιρὸν ἐργαζώμεθα τὰ καλὰ ἔργα, ἀλλ' ἵνα διαπαντὸς αὐτὰ ἐργαζόμενοι, διαμένωμεν ἀχώριστοι ἀπ' αὐτῶν. Ἐὰν δὲ παραβάλλῃς τὰ λόγια τοῦ Δαβὶδ μετὰ τῶν λόγων τοῦ Παύλου, βλέπεις τὴν τελειότητα τῆς εὐαγγελικῆς νομοθεσίας· « Ἔκκλινον ἀπὸ κακοῦ, εἶπεν ὁ Δαβίδ, καὶ ποίησον ἀγαθόν (6). Ἀποστυγοῦντες τὸ πονηρόν, εἶπεν ὁ Παῦλος, κολλώμενοι τῷ ἀγαθῷ ». Ὁ μὲν νόμος τὴν φυγὴν τῆς πράξεως τοῦ κακοῦ ἐδίδασκε· τὸ δὲ εὐαγγελικὸν κήρυγμα καὶ τὸ ἐσωτερικὸν μῖσος τῆς ψυχῆς πρὸς τὸ κακὸν νομοθετεῖ· ὁ μὲν μωσαϊκὸς νόμος τὴν ἐργασίαν τῆς ἀρετῆς ἐζήτει, ὁ δὲ εὐαγγελικός, τὴν μετὰ τῆς ἀρετῆς ἀχώριστον καὶ ἀδιάσπαστον ἕνωσιν καὶ συνάφειαν.

Τῇ *φιλαδελφίᾳ εἰς ἀλλήλους φιλόστοργοι· τῇ τιμῇ ἀλλήλους προηγούμενοι* (7).

(1) Ἰωάν. 10, 12. (2) Ρωμ. 12, 9. (3) Ἰωάν. 14, 21. (4) Α'. Ἰωάν. 4, 20. (5) Αὐτ. 3, 17.
(6) Ψαλμ. 33, 14. (6) Ρωμ. 12 10.

Ἀγαπᾶτε, λέγει, ἀλλήλους, καθὼς ὁ ἀδελφὸς ἀγαπᾷ τὸν ἀδελφόν· παραχωρεῖτε τὴν τιμὴν ὁ εἷς πρὸς τὸν ἄλλον, τουτέστι, σπουδάζετε προτιμᾷν ἀλλήλους· τότε δὲ καθεὶς ἀποδίδωσι τὴν τιμὴν εἰς τὸν ἄλλον ὅταν ταπεινοφρονῶν, νομίζῃ τὸν ἄλλον ἀνώτερον ἑαυτοῦ· « Τῇ ταπεινοφροσύνῃ, λέγει ὁ αὐτὸς Ἀπόστολος, ἀλλήλους ἡγούμενοι ὑπερέχοντας ἑαυτῶν » (1). Βλέπε δέ, ὅτι τὸ μὲν πρῶτον τούτων τῶν δύω παραγγελμάτων ἔχει θεμέλιον τὴν ἐντολὴν τὴν δευτέραν· « Ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν » (2). Τὸ δὲ δεύτερον, τὴν παραγγελίαν τοῦ Κυρίου· τὴν λέγουσαν, « Ὃς ἐὰν θέλῃ ἐν ὑμῖν εἶναι πρῶτος, ἔστω ὑμῶν δοῦλος » (3). Καρποφορεῖ δὲ τὸ ἓν τὸ ἕτερον ἀμοιβαίως· ἐκ τῆς ἀγάπης ἡ τιμή· διότι ὃν ἀγαπᾷς, ἐκεῖνον καὶ τιμᾷς· ἐκ δὲ τῆς τιμῆς ἡ ἀγάπη· διότι ὁ τιμώμενος ἀγαπᾷ τὸν τιμῶντα αὐτόν.

*Τῇ σπουδῇ μὴ ὀκνηροί· τῷ πνεύματι ζέοντες· τῷ Κυρίῳ δουλεύοντες* (4).

Παρήγγειλε τὴν σπουδὴν πρῶτον μὲν εἰς τοὺς προεστῶτας, εἰπών· « Ὁ προϊστάμενος ἐν σπουδῇ » (5). Ἔπειτα κοινῶς εἰς πάντας, λέγων· « Τῇ σπουδῇ μὴ ὀκνηροί, Μηδείς », λέγει, ἔστω ἀμελὴς καὶ ὀκνηρὸς εἰς τὰ ἔργα τῆς σωτηρίας, τὰ ἄξια πάσης ἐπιμελείας καὶ σπουδῆς. Βλέπε δέ, ὅτι ὁ μὲν προφήτης Ἱερεμίας κατηράσατο τὸν μετὰ ἀμελείας ποιοῦντα τῆς ἀρετῆς τὰ ἔργα· « Ἐπικατάρατος, εἶπεν ὁ ποιῶν τὰ ἔργα τοῦ Κυρίου ἀμελῶς » (6). Ὁ δὲ Κύριος ἡμῶν ἤλεγξε τὸν κρύψαντα τὸ τάλαντον οὐ μόνον ὡς δοῦλον πονηρόν, ἀλλὰ καὶ ὡς ὀκνηρὸν καὶ ῥᾴθυμον· « Πονηρὲ δοῦλε, εἶπε, καὶ ὀκνηρέ » (7). Ἐδίδαξε δὲ ὁ θεόφρων Παῦλος καὶ τὸν τρόπον δι' οὗ διώκομεν τὴν ὀκνηρίαν. « Τῷ πνεύματι, λέγει, ζέοντες τῷ Κυρίῳ δουλεύοντες ». Ὅπου θερμότης, καὶ μάλιστα ζέσις, ἐκεῖ κίνησις· ὅπου δὲ κίνησις, ἐκεῖθεν φεύγει ἡ ὀκνηρία, ἥτις ἐστὶν ἀκινησία, καὶ ἔρχεται ἡ σπουδή, ἥτις ἐστὶ κίνησις· ὁμοίως ὅπου ὑπηρεσία τοῦ Κυρίου καὶ ἐργασία τῶν ἐντολῶν αὐτοῦ, ἐκεῖ τοῦ Θεοῦ ἡ χάρις· ὅπου δὲ χάρις Θεοῦ, ἐκεῖθεν φυγαδεύεται τῆς ὀκνηρίας ἡ ἁμαρτία. Ἐὰν οὖν μὴ σβέσωμεν τὸ πῦρ τῆς θείας ἀγαπήσεως, ὃ ἔβαλεν εἰς τὰς καρδίας ἡμῶν ὁ Θεάνθρωπος, δουλεύωμεν δὲ τῷ Κυρίῳ, μακρύνεται ἀφ' ἡμῶν ἡ σατανικὴ ὀκνηρία, καὶ διαμένει μεθ' ἡμῶν ἡ σπουδὴ ἡ ψυχωφελὴς καὶ σωτήριος.

*Τῇ ἐλπίδι χαίροντες· τῇ θλίψει ὑπομένοντες, τῇ προσευχῇ προσκαρτεροῦντες. Ταῖς χρείαις τῶν ἁγίων κοινωνοῦντες· τὴν φιλοξενίαν διώκοντες. Εὐλογεῖτε τοὺς διώκοντας ὑμᾶς· εὐλογεῖτε καὶ μὴ καταρᾶσθε* (8).

Εἶπε προλαβόν, ὅτι ἡ ζέσις τοῦ πνεύματος διώκει τὴν ὀκνηρίαν, καὶ ποιεῖ ἡμᾶς προθύμους εἰς τὴν ἐργασίαν τῶν ἀρετῶν· νῦν δὲ διδάσκει, ποῖά εἰσι τὰ ἔργα, τὰ διαφυλάττοντα τῆς ψυχῆς ἡμῶν τὴν ζέσιν (9)· ἡ χαρά, λέγει, ἡ προξενουμένη ὑπὸ τῆς ἐλπίδος τῶν μελλόντων ἀγαθῶν, ἡ ὑπομονὴ εἰς τὰς θλίψεις, ἡ ἐπιμονὴ εἰς τὴν προσευχήν, ἡ μετάδοσις εἰς τοὺς χρείαν ἔχοντας εὐσεβεῖς, ἡ φιλοξενία, ἡ ἀνεξικακία, καὶ ἡ εὐεργεσία τῶν ἐχθρῶν· σημείωσαι δέ, ὅτι παραγγέλλει οὐ μόνην τὴν ἁπλῶς καὶ ὡς ἔτυχε κατόρθωσιν τούτων τῶν ἀρετῶν, ἀλλὰ τὴν ἀνάβασιν εἰς τὴν τούτων κορυφὴν καὶ τελειότητα· οὐκ εἶπεν ἁπλῶς, ἐλπίζοντες τῶν ἐπηγγελμένων ἀγαθῶν τὴν ἀπόλαυσιν, ἀλλά· « Τῇ ἐλπίδι χαίροντες ». Τοῦτο δὲ σημαίνει τὴν βεβαίαν καὶ τελείαν ἐλπίδα· διότι ὅςις ὀλίγον ἐλπίζει, φοβεῖται μᾶλλον ἢ χαίρει· ὅςις δὲ πολλὰ ἐλπίζει καὶ οὐδόλως ἀμφιβάλλει, ἐκεῖνος χαίρει διὰ τὴν τῶν ἐλπιζομένων ἀπόλαυσιν. Ὁμοίως οὐ λέγει ἁπλῶς, ὑπομένοντες, ἀλλὰ « Τῇ θλίψει ὑπομένοντες ». Διότι εἰς τὸν καιρόν, ἐν ᾧ ἡ θλίψις περικυκλοῖ πανταχόθεν τὴν ψυχὴν ἡμῶν, τότε φεύγει ἡ ὑπομονή· διὸ ὅστις ἐν αὐτῷ τῷ καιρῷ τῆς θλίψεως ὑπομένει γενναιοφρόνως, ἐκεῖνος ἔχει τὴν ἀληθινὴν καὶ τελείαν ὑπομονήν· οὐ λέγει ἁπλῶς προσεύχεσθε, ἀλλὰ « Τῇ προσευχῇ προσκαρτεροῦντες » (1). Διότι οὐχ ὅστις σήμερον προσεύχεται, καὶ αὔριον ἀμελεῖ τὴν προσευχήν, ἀλλ' ὅστις ἐπιμένει εἰς τῆς προσευχῆς τὸ ἔργον, καὶ ἀδιαλείπτως προσεύχεται, ὡς ἀλλαχοῦ εἶπεν ὁ αὐτὸς Ἀπόστολος, ἐκεῖνός ἐστιν ὁ τέλειος εἰς τὴν ἀρετὴν τῆς προσευχῆς· καὶ αὐτὴ δὲ ἡ συγκοινωνία εἰς τὰς χρείας τῶν ἁγίων, ἤγουν τῶν ἀδελφῶν τῶν χριστιανῶν, τὴν ὑπεροχὴν σημαίνει τοῦ ἔργου τῆς ἐλεημοσύνης· διότι τότε συγκοινωνῶ εἰς τὰς χρείας τῶν ἁγίων, ὅταν συμπάσχω καὶ στενοχωρῶμαι, ὡς καὶ αὐτοὶ οἱ πάσχοντες καὶ ὑπὸ τῆς χρείας στενοχωρούμενοι· ὅταν δὲ τοιουτοτρόπως συμπάσχων, πλουσιοπαρόχως αὐτοὺς ἐλεῶ, τότε ἀληθῶς ἀγαπῶ τὸν πλησίον μου ὡς ἐμαυτόν, τότε ἀληθῶς ἐκπληρῶ τὴν ἐντολὴν τῆς ἀγάπης, ἥτις ἐςὶ τὸ πλήρωμα τοῦ νόμου, καὶ ἑπομένως τῆς ἀρετῆς ἡ τελειότης· ἀλλὰ καὶ οὗτος ὁ λόγος « Τὴν φιλοξενίαν διώκοντες », τῆς φιλοξενίας τὸ τέλειον δηλοποιεῖ. Μὴ περιμένῃς, λέγει, ἵνα ὁ ξένος ἐλθὼν εἰς τὴν οἰκίαν σου παρακαλέσῃ σε, ὅπως φιλοξενήσῃς αὐτόν· ἀλλὰ σὺ ἰδὼν αὐτόν, δράμε ὡς ὁ Λώτ, καὶ παρακάλεσον, καὶ βίασον αὐτόν, ἵνα ἐλθὼν εἰς τὴν οἰκίαν σου, δείξῃς ἐπ' αὐτῷ πᾶσαν φιλοξενίαν· ὅταν ταῦτα ποιῇς, τότε τρέχεις ὀπίσω τῆς φιλοξενίας, καὶ γίνεσαι τέλειος φιλόξενος. Ἐὰν οὐδὲ καταρώμεθα, οὐδὲ κακολογῶμεν τοὺς διώκοντας ἡμᾶς, ἀρετὴν ἐργαζώμεθα μεγάλην· ἀλλ' ὅταν ἀντὶ κατάρας εὐχήν, καὶ ἀντὶ κακολογίας εὐλογίαν παρέχωμεν εἰς τοὺς διώκτας ἡμῶν, τότε ἡ ἀρετὴ ἡμῶν ἀναβαίνει εἰς τὸν βαθμὸν τῆς τελειότητος. Τοῦτο δέ ἐστι τὸ παράγγελμα τοῦ Παύλου· « Εὐλογεῖτε τοὺς διώκοντας ἡμᾶς· εὐλογεῖτε καὶ μὴ καταρᾶσθε ». Βλέπομεν οὖν φανερά, ὅτι ταῦτα τὰ ἀποστολικὰ παραγγέλματα ὑπερυψοῦσι τοὺς φυλάσσοντας αὐτὰ εἰς ἐκείνην τὴν θαυμασίαν τελειότητα, εἰς ἣν ἀνέβη αὐτὸς ὁ τρισμακάριος Παῦλος, ὁ ταῦτα διδάξας.

(1) Φιλιπ. 2, 3. (2) Ματθ. 22, 39. (3) Αὐτ. 20, 27. (4) Ρωμ. 12, 11. (5) Αὐτ. 12, 3. (6) Ἱερ. 48. 10. (7) Ματθ. 25, 26. (8) Ρωμ, 12, 12, 13, 14. (9) Οἰκουμ. αὐτ.

(1) Α΄. Θεσσ. 5, 17.

# ΟΜΙΛΙΑ

ΜΕΤΑ ΤΗΝ ΠΡΟΣ

## ΡΩΜΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

### ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗι ΣΤ΄. ΚΥΡΙΑΚΗι

ΑΠΟΡΙΑΝ μεγάλην προξενοῦσιν εἰς τὸν νοῦν παντὸς εὐσεβοῦς ἀνθρώπου τὰ σήμερον ἀναγνωσθέντα τοῦ θεοφόρου Παύλου ἱερὰ καὶ θεοδίδακτα λόγια· αὐτὸς πρῶτον μὲν ἱστόρησεν, ὅτι εἰς τὸν καιρὸν αὐτοῦ διάφορα χαρίσματα εἶχον οἱ χριστιανοί, δοθέντα αὐτοῖς διὰ τῆς θείας χάριτος· ἔπειτα δὲ ἠρίθμησεν αὐτά, διορίσας εἰς τὸ καθὲν αὐτῶν ὅρον καὶ κανόνα· τὰ δὲ ὑπ' αὐτοῦ ἀριθμηθέντα χαρίσματά εἰσι ταῦτα· ἡ προφητεία, ἡ ἐκκλησιαςικὴ διακονία, τὸ διδασκαλικὸν ἐπάγγελμα, ὁ παρηγορητικὸς λόγος, ἡ μετάδοσις, ἡ προεδρικὴ ἐπιστασία, ἡ ἐλεημοσύνη, ἡ ἀγάπη, ἡ φιλαδελφία, ἡ ταπείνωσις, ἡ σπουδή, ὁ ζῆλος, ἡ ὑποταγή, ἡ ἐλπίς, ἡ ὑπομονή, ἡ προσευχή, ἡ συμπάθεια, ἡ φιλοξενία, ἡ ἀμνησικακία. Τίς δὲ οὐ γνωρίζει, ὅτι ταῦτα πάντα, ἐκτὸς τῆς προφητείας, εἰσὶν ἀρεταί; φανερὸν οὖν ἐςιν, ὅτι κατὰ ταύτην τὴν ἀποστολικὴν διδασκαλίαν, αἱ ἀρεταί εἰσι Θεοῦ χαρίσματα· ἀλλ' ἐὰν ἡ ἀρετὴ ὑπάρχῃ Θεοῦ χάρισμα, λοιπὸν αὐτὴ οὐκ ἔστιν ἔργον μου· « Εἰ δὲ » χάριτι, λέγει ὁ αὐτὸς Ἀπόστολος, οὐκέ» τι ἐξ ἔργων· ἐπεὶ ἡ χάρις οὐκέτι γίνεται » χάρις » (1). Ἐὰν δὲ ἡ ἀρετὴ ὑπάρχῃ ἔργον μου, οὐκ ἔστι χάρισμα· ἐπειδὴ ἐὰν χάρισμα, τὸ ἔργον μου οὐκ ἔστιν ἔργον· « Εἰ » δὲ ἐξ ἔργων μου οὐκέτι ἐστὶ χάρις· ἐπεὶ » τὸ ἔργον μου οὐκέτι ἐστὶν ἔργον ». Ἐὰν αἱ ἀρεταὶ λογίζωνται Θεοῦ χαρίσματα, διὰ τί ὁ Θεὸς νομοθετεῖ περὶ αὐτῶν, καὶ ζητεῖ αὐτὰς παρ' ἡμῶν, καὶ σώζει μὲν τὸν κατορθοῦντα αὐτάς, κολάζει δὲ τὸν ἀμελήσαντα τὴν τούτων κατόρθωσιν; ὁ Θεὸς οὐκ ἔδωκέ μοι, παραδείγματος χάριν, τῆς ἀγάπης τὸ χάρισμα, διὰ τί οὖν ζητεῖ παρ' ἐμοῦ τὴν ἀγάπην, καὶ νομοθετεῖ, ἵνα ἀγαπῶ αὐτὸν ἐξ ὅλης μου ψυχῆς καὶ καρδίας, καὶ ἰσχύος, καὶ διανοίας, τὸν δὲ πλησίον μου ὡς ἐμαυτόν (2); διὰ τί ἐὰν φυλάξω τούτους τοὺς δύο ὅρους τῆς ἀγάπης, κληρονομῶ τὴν αἰώνιον αὐτοῦ βασιλείαν, ἐὰν δὲ ἀθετήσω αὐτούς, καταδικάζομαι εἰς τὰς ἀτελευτήτους βασάνους;

Τῆς ἀπορίας ταύτης εὐκόλως εὑρίσκομεν τὴν λύσιν, ἐὰν μετ' ἀκριβείας στοχασθῶμεν τῶν πραγμάτων τὴν κατάστασιν. Ἡ ἀρετή, ἀγαπητοί μου ἀδελφοί, ἐστι καὶ ἔργον τοῦ ἀνθρώπου, καὶ χάρισμα τοῦ Θεοῦ· τοῦτο φαίνεται παράδοξον καὶ ἐναντίον εἰς τὰ λόγια τοῦ Παύλου, ὅμως ἐστὶν ἀληθὲς

(1) Ῥωμ. 11, 6. (2) Λουκ. 10, 27.



καὶ σύμφωνον τῇ ἀποστολικῇ αὐτοῦ διδασκαλίᾳ· δύω εἰσὶ τῆς ἀρετῆς τὰ εἴδη, ἀρετὴ κατὰ φύσιν, καὶ ἀρετὴ κατὰ χάριν· ἡ κατὰ φύσιν ἐστὶν ἔργον τοῦ ἀνθρώπου, ἡ κατὰ χάριν ἐστὶ δώρημα τοῦ Θεοῦ. Ἐπειδὴ ὁ ἄνθρωπος ἐπλάσθη «Κατ' εἰκόνα καὶ καθ' ὁ» μοίωσιν Θεοῦ» (1) κἂν μετὰ τὴν ἁμαρτίαν τοῦ προπάτορος « Ἔγκειται ἡ διάνοια τοῦ » ἀνθρώπου ἐπιμελῶς ἐπὶ τὰ πονηρὰ ἐκ νεό» τητος αὐτοῦ » (2), ἔμεινεν ὅμως εἰς αὐτὸν καὶ ἡ γνῶσις τῆς ἀρετῆς, καὶ ἡ κατορθωτικὴ αὐτῆς δύναμις, αἱ ἀπ' ἀρχῆς ἐν τῇ τούτου φύσει ἐμφυτευθεῖσαι· ὑπὸ τοῦ φωτὸς οὖν τῆς φυσικῆς γνώσεως ὁδηγούμενος ὁ ἄνθρωπος, καὶ ὑπὸ τῆς ἐν τῇ φύσει δυνάμεως δυναμούμενος, κατορθοῖ ἀρετῆς ἔργα. Βλέπομεν τοῦτο εἰς τοὺς ἐθνικοὺς φιλοσόφους· ὁ Κλείνιος, ὁ τοῦ Πυθαγόρου μαθητὴς διὰ τῆς τοῦ νοὸς αὐτοῦ διακρίσεως γνωρίζει, πόσον σέβας χρεωστοῦμεν εἰς τὸν Θεόν, καὶ ὑπὸ τῆς ἐν αὐτῷ δυνάμεως ἐνισχυθείς, ςέργει τριῶν ταλάντων ζημίαν, ἵνα μὴ ὀμόσῃ τοῦ Θεοῦ αὐτοῦ τὸ ὄνομα· ὁ μὲν Διογένης καταφρονεῖ πᾶσαν σωματικὴν εὐπάθειαν, καὶ κατοικεῖ εἰς ἓν στενόχωρον πιθάριον· ὁ δὲ Κράτης ῥίπτει πάντα τὸν πλοῦτον αὐτοῦ εἰς τὴν θάλασσαν· ὁ μὲν Σωκράτης μετὰ μεγάλης πρᾳότητος καὶ καρτερίας ὑπέμεινεν ἐκεῖνον, ὅστις τοσοῦτον σφοδρῶς ἐρράπισε τὸ πρόσωπον αὐτοῦ, ὥστε ἐξώγκωσεν αὐτό· ὁ δὲ Περικλῆς τόσην ἀνεξικακίαν ἔδειξεν εἰς ἐκεῖνον τὸν ἀγοραῖον ἄνθρωπον, ὅστις ὕβριζεν αὐτὸν ὅλην τὴν ἡμέραν, ὥςε τὴν νύκτα, ὅτε τέλος πάντων παύσας τὰς ὕβρεις, ἔμελλεν ἀναχωρῆσαι ἀπὸ τῆς οἰκίας αὐτοῦ, παρέπεμψεν αὐτὸν μετὰ λαμπάδος· βλέπομεν δὲ ἕως τῆς σήμερον εἴς τινα γένη, νόμον Θεοῦ μὴ ἔχοντα, ἐξόχως δὲ εἰς τὸ τῶν Ἰνδῶν ἔθνος, τινὰς ἀνθρώπους καὶ σώφρονας, καὶ πρᾴους, καὶ φιλοδικαίους, καὶ ἐγκρατεῖς, καὶ διαφόροις τρόποις σκληραγωγουμένους, καὶ τὰ ἴδια πάθη χαλιναγωγοῦντας. Πόθεν δὲ ἡ τοιαύτη ἀρετὴ εἴς τε τοὺς παλαιοὺς ἐκείνους, καὶ εἰς τοὺς ἄχρι τῆς σήμερον βλεπομένους; ποῖος νόμος ὠδήγησε τότε ἐκείνους, ὁδηγεῖ δὲ τὴν σήμερον τούτους πρὸς τὴν κατόρθωσιν τῶν τοιούτων ἀρετῶν; καὶ ποῖος ἄλλος, εἰ μὴ ὁ νόμος τῆς φύσεως; « Ἔθνη τὰ μὴ νόμον ἔχοντα, φύσει τὰ τοῦ » νόμου ποιεῖ, οὗτοι νόμον μὴ ἔχοντες, ἑαυ» τοῖς εἰσι νόμος » (3).

Ὅτι δὲ καὶ πᾶσα ἀρετή ἐστι χάρισμα Θεοῦ, δωρούμενον τοῖς ἀνθρώποις, βεβαιοῦσιν ἡμᾶς οὐ μόνον τὰ σήμερον ἀναγνωσθέντα θεόπνευστα λόγια τοῦ Παύλου, ὅστις χαρίσματα Θεοῦ ὠνόμασε τὰς ἀρετάς, ἀλλὰ καὶ ὁ ἀποδεικτικὸς λόγος (4)· διότι τί ἄλλο ἐστὶν ἡ ἀρετή, εἰμὴ ἔργον ἀγαθόν; τίς δὲ ἄλλος ἔχει φυσικῶς ἄπειρον καὶ ἀμετάβλητον τὴν ἀγαθότητα, εἰμὴ εἷς καὶ μόνος ὁ Θεός; ποῖον δὲ ἄλλο τὸ κύριον τῆς ἀγαθότητος ἰδίωμα, εἰμὴ ἡ μετάδοσις; ἐξ αὐτοῦ οὖν τοῦ ὄντως ἀγαθοῦ Θεοῦ, ὡς ἐκ πηγῆς ἀενάου πᾶσαι αἱ ἀρεταὶ ἐκχεόμεναι, μεταδίδονται εἰς τοὺς ἀξίους ἀνθρώπους. Ἐκ τούτου ὁ μὲν Ἰάκωβος ἔλεγε· « Πᾶσα δό» σις ἀγαθή, καὶ πᾶν δώρημα τέλειον ἄ» νωθέν ἐστι καταβαῖνον ἀπὸ τοῦ πατρὸς » τῶν φώτων » (5). Ὁ δὲ Παῦλος ἐκήρυτ» τεν· « Ἡ ἀγάπη τοῦ Θεοῦ ἐκκέχυται ἐν » ταῖς καρδίαις ἡμῶν διὰ Πνεύματος ἁγίου, » τοῦ δοθέντος ἡμῖν » (6).

Πολλὰ μεγάλη ὅμως ἡ διαφορά, ἡ μεταξὺ τῆς κατὰ φύσιν ἀρετῆς, καὶ τῆς κατὰ

(1) Γεν. 1, 26. (2) Αὐτ. 8, 21. (3) Ρωμ. 2, 14. (4) Αὐτ. 12, 6. (5) Ἰάκ. 1, 17. (6) Ρωμ. 5, 5.

χάριν· ἡ κατὰ φύσιν ἐστὶν ἀτελής, καὶ ὑπὸ τῶν παθῶν ἡμῶν μεμολυσμένη· ἡ κατὰ χάριν ἐςὶ τελεία, καὶ ἀπὸ παντὸς πάθους καθαρὰ καὶ ἀμίαντος· ὅσοι διὰ μόνης τῆς φυσικῆς δυνάμεως ποιοῦσι τὴν ἀρετήν, ἐκεῖνοι ἢ μολύνουσιν αὐτὴν διὰ τῶν παθῶν τῆς σαρκός, ἢ ἀμαυροῦσι τὴν λαμπρότητα αὐτῆς διὰ τοῦ καπνοῦ τῆς φιλοδοξίας· καλὴ τοῦ Σωκράτους ἡ πρᾳότης καὶ ἡ ὑπομονή, πλὴν ἐμίανεν αὐτὴν τῆς ἐκδικήσεως τὸ πάθος. Διότι αὐτὸς ἐστηλίτευσε τὸν ῥαπίσαντα τὸ πρόσωπον αὐτοῦ, γράψας τὸ ἐκείνου ὄνομα, καὶ τὴν πρᾶξιν ἐν τῷ ἰδίῳ μετώπῳ· ἐπαινετὴ ἡ μεγαλοψυχία τοῦ Κράτητος, ἀλλ' ἔσβεσε πᾶσαν τὴν ἑαυτῆς λαμπρότητα τῆς φιλοδοξίας τὸ σκότος· διότι αὐτός, ἀφ' οὗ ἔῤῥιψε τὸν πλοῦτον αὐτοῦ εἰς τὴν θάλασσαν, περιήρχετο κραυγάζων, ὁ Κράτης ἠλευθέρωσε τὸν Κράτητα. Ὅσοι δὲ τῇ δυνάμει τοῦ δοθέντος αὐτοῖς θείου χαρίσματος ἐργάζονται τῆς ἀρετῆς τὰ ἔργα, ἐκείνων ἡ ἀρετὴ ἐστὶ καθαρὰ παντὸς ἐμπαθοῦς μολυσμοῦ, λαμπρὰ ὡς τὸ ἡλιακὸν φῶς, καὶ ἀπαστράπτουσα ὡς τοῦ οὐρανοῦ οἱ ἀςέρες· οἱ θεῖοι Ἀπόστολοι, οἱ παρὰ Θεοῦ λαβόντες τῶν ἀρετῶν τὴν χάριν, οὐ μόνον οὐδεμίαν ἐκδίκησιν ἐποίουν κατὰ τῶν διωκόντων αὐτούς, ἀλλὰ καὶ ὑβριζόμενοι, εὐλόγουν τοὺς ὑβρίζοντας· διωκόμενοι, ὑπέφερον τοὺς διώκτας· βλασφημούμενοι, παρεκάλουν τοὺς βλασφήμους, ἵνα διορθωθῶσιν (1). Ὁ Παῦλος κατεφρόνησε πάντα τὰ ἐγκόσμια πράγματα, καὶ ἐλογίσατο αὐτὰ σκύβαλα (2)· τόσον δὲ μακρὰν ἀπεῖχεν ἀπὸ τῆς φιλοδοξίας, ἤγουν ἀπὸ τῆς ἐπιθυμίας τῆς τιμῆς, τῆς προσφερομένης ὑπὸ τῶν ἀνθρώπων πρὸς τοὺς ἐργάτας τῶν μεγάλων ἀρετῶν, ὥστε περιερχόμενος, ἐκήρυττε καὶ ἔγραφεν, ὅτι ἐστὶ πρῶτος πάντων τῶν ἁμαρτωλῶν, καὶ ἀνάξιος τοῦ ἀποστολικοῦ ὀνόματος (3).

Τόση ἐστὶν ἡ διαφορά, ἡ μεταξὺ τῆς ἀρετῆς, τῆς ὑπὸ τοῦ Θεοῦ δωρουμένης, καὶ τῆς ὑπὸ τῆς δυνάμεως τῆς φύσεως κατορθουμένης, ὥστε ἡ δευτέρα χωρὶς τῆς πρώτης ὡς οὐδὲν λογίζεται· « Κἂν γάρ τις ᾖ » τέλειος ἐν υἱοῖς ἀνθρώπων, τῆς ἀπὸ σοῦ σο- » φίας ἀπούσης, εἰς οὐδὲν λογισθήσεται » (4). Ταῦτα ἔλεγεν ὁ σοφὸς Σολομὼν περὶ τῆς ἀρετῆς, ἥτις ἐστὶν ἡ ἀληθινὴ σοφία, ὅτε ἐνώπιον τοῦ Θεοῦ τὴν προσευχὴν αὐτοῦ ἐξέχεε· κἂν ἔχῃς ὅλην τὴν πίστιν, ὅσην ἡ δύναμις τοῦ νοός σου γεννᾷ, ἐὰν μὴ λάβῃς τὸ χάρισμα τῆς πίστεως, τὸ ὑπὸ Θεοῦ δωρούμενον, ἡ πίστις σου εἰς οὐδὲν λογισθήσεται· κἂν ἔχῃς ὅλην τὴν ἀρετὴν τῆς ἀγάπης, ὅσην ἡ φύσις γεννᾷ, ἐὰν μὴ χυθῇ εἰς τὴν καρδίαν σου ἡ ἀγάπη τοῦ Θεοῦ, εἰς οὐδὲν λογισθήσεται ἡ ἀγάπη σου. Ἀκούοντες οἱ Ἀπόστολοι τὴν ἐπουράνιον διδασκαλίαν τοῦ Ἰησοῦ Χριστοῦ, καὶ βλέποντες τὸ πλῆθος τῶν ἐξαισίων αὐτοῦ θαυμάτων, ἐπίστευσαν, ὅτι αὐτός ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος· πλὴν γνωρίζοντες, ὅτι ἡ τοιαύτη πίστις αὐτῶν ἦν ἐλλειπὴς καὶ ἀτελής, ἐζήτουν παρ' αὐτοῦ προσθήκην εἰς τὴν πίστιν αὐτῶν, τὴν προσθήκην δηλαδὴ τοῦ θείου τῆς πίστεως χαρίσματος. « Πρόσθες, ἔλε- » γον πρὸς αὐτόν, ἡμῖν, πίστιν » (5). Ἔλαβον δὲ καὶ τοῦτο τὸ χάρισμα, ὅτε κατῆλθεν ἐπ' αὐτοὺς τὸ Πνεῦμα τὸ ἅγιον (6). Ζηλωτὴς ἦν ἐκ φύσεως ὁ Παῦλος, πλὴν τόσον ἐμπαθὴς ἦν ὁ ζῆλος αὐτοῦ, ὥστε ἐδίωκε τὴν ἐκκλησίαν τοῦ Χριστοῦ, καὶ ἐσπούδαζεν ἀφανίσαι τοὺς εἰς αὐτὸν πιστεύοντας (7)·

(1) Α'. Κορ. 4, 12. (2) Φιλιπ. 3, 8. (3) Α'. Τιμ. 1, 15. Α'. Κορ. 15, 9. (4) Σοφ. 9, 6.
(5) Λουκ. 17, 5. (6) Γαλ. 1, 4. (7) Αὐτ. 1, 13.



ὅτε δὲ ὁ Θεὸς ἐξαπέστειλεν εἰς τὴν καρδίαν αὐτοῦ τοῦ ζήλου τὸ χάρισμα, τότε ἤστραψε τὸ φῶς τοῦ ἀπαθοῦς καὶ ἁγίου ζήλου, τότε εἶδεν ὁ κόσμος ποῖός ἐστιν ὁ ζῆλος ὁ ἀληθινὸς καὶ τέλειος.

Ἀλλ' ἐὰν ἡ ἀρετή, λέγεις, τῆς φύσεως εἰς οὐδὲν λογίζηται, ὅταν λείπῃ ἡ ἐκ τῆς χάριτος, περιττὴ λοιπόν ἐστιν ἡ ἐκ τῆς φύσεως, ἑπομένως περιττὴ καὶ ἡ ὑπὲρ αὐτῆς σπουδὴ καὶ ἡ ἐπιμέλεια. Ἀλλ' οὐκ ἀκούεις, ὅτι οὐκ εἶπεν ἁπλῶς, οὐδέν ἐστιν, ἀλλ' εἰς οὐδὲν λογισθήσεται; διὰ τούτου δὲ ἐφανέρωσεν, ὅτι κἂν αὐτὴ καθ' ἑαυτὴν διὰ τὸ ἀτελὲς αὐτῆς λογίζεται μὲν εἰς οὐδέν, οὐκ ἔστιν ὅμως οὐδέν. Ἀλλὰ διὰ τί; διότι προετοιμάζει ἡμᾶς, καὶ κατασκευάζει τὰς καρδίας ἡμῶν σκεύη ἐπιτήδεια πρὸς τὴν ὑποδοχὴν τῶν θείων χαρισμάτων· κατὰ τοῦτο δὲ ἀνάγκη ἐστίν, ἵνα παντὶ τρόπῳ ἐπιμελώμεθα τὴν αὔξησιν αὐτῆς καὶ τὴν στερέωσιν· αὐτὴ καθ' ἑαυτὴν εἰς οὐδὲν λογισθήσεται, διὰ τὸ ἀτελὲς αὐτῆς, ἐὰν ὅμως ἔχωμεν αὐτήν, δίδοται ἡμῖν ὑπὸ Θεοῦ ἡ προσθήκη, ἤγουν τὸ θεῖον αὐτοῦ χάρισμα, δι' οὗ φθάνομεν εἰς τῆς καθαρᾶς καὶ τελείας ἀρετῆς τὸ ὕψος· « Ὅστις γὰρ ἔχει, εἶπεν ὁ » Κύριος, δοθήσεται αὐτῷ καὶ περισσευθή- » ται » (1). Ὅστις, καλλιεργήσας τὰ ἐν τῇ φύσει αὐτοῦ σπέρματα τῆς ἀρετῆς, ἔχει τῆς φυσικῆς ἀρετῆς τοὺς βλαστούς, εἰς ἐκεῖνον ὁ Θεὸς δίδωσι καὶ τὰ χαρίσματα τῆς ἀρετῆς. Ὅστις δὲ οὐκ ἔχει, καὶ ὃ ἔχει ἀρθήσεται ἀπ' αὐτοῦ. Ὅστις δέ, ἐγκαταλείψας ἀκαλλιέργητα τὰ ἐν αὐτῷ σπέρματα τῆς ἀρετῆς, οὐκ ἔχει τὰ βλαστήματα αὐτῆς, ξηραίνονται ἐν αὐτῷ καὶ αὗται αἱ κατὰ φύσιν δυνάμεις, δι' ὧν ἡ ἀρετὴ κατορθοῦται. Ἐὰν μόνον προβάλλῃ ἐν σοὶ τὸ φυτὸν τῆς πίστεως, ὁ Θεὸς δίδωσί σοι εὐθὺς τὸ ἐπουράνιον τῆς πίστεως δῶρον. Ἐκ τούτου ἡ πίστις σου γίνεται τότε θερμὴ ὡς ὁ κόκκος τοῦ σινάπεως, καὶ θαυματουργός, ὡς ἐκείνη τῶν θαυματουργῶν ἁγίων. Ἐὰν μόνον φανῶσιν ἐν σοὶ τῆς ἐλπίδος τὰ ἴχνη, ὁ Θεὸς δίδωσί σοι εὐθὺς τὸ θεῖον τῆς ἐλπίδος χάρισμα· ὅθεν τόσον στερεὰ γίνεταί σοι ἡ πρὸς τὸν Θεὸν ἐλπίς, ὥςε εἰς οὐδὲν πρᾶγμα ἀνθρώπινον ἐλπίζεις, εἰς μόνον δὲ τὸν Θεὸν ἀφιεροῖς πᾶσάν σου τὴν ἐλπίδα, καθὼς πάντες οἱ τὸν κόσμον καταλείψαντες πανσεβάσμιοι ὅσιοι πατέρες. Ἐὰν μόνον προκύψωσιν ἐν σοὶ οἱ τρυφεροὶ τῆς ἀγάπης βλαςοί, ὁ Θεὸς ἐκχέει εὐθὺς εἰς τὴν καρδίαν σου τὸ πῦρ τῆς θείας ἀγαπήσεως· ὅθεν τόσον ἰσχυρὰ γίνεται ἡ ἀγάπη σου, ὥστε δι' ἀγάπην Θεοῦ, καὶ τὴν ζωήν σου προδίδως εἰς θάνατον, καθὼς τὰ πλήθη τῶν πανενδόξων καὶ καλλινίκων μαρτύρων· ὅταν ἡ προαίρεσίς σου κλίνῃ εἰς τὰ ἀγαθὰ ἔργα, τότε ὁ Θεὸς δίδωσί σοι τῆς ἀρετῆς τὰ χαρίσματα· « Τῷ » γὰρ ἔχοντι παντὶ δοθήσεται καὶ περισ- » σευθήσεται » (2).

Ἐκ τούτων συμπεραίνομεν τῆς προειρημένης ἀπορίας τὴν λύσιν. Ζητεῖ μὲν παρ' ἡμῶν ὁ Θεὸς τὴν ἀρετὴν τῆς φύσεως, ἵνα δώσῃ ἡμῖν τῆς ἀρετῆς τὸ χάρισμα, ὅπως δι' αὐτοῦ ὑψωθῶμεν εἰς τῆς ἀρετῆς τὴν τελειότητα· νομοθετεῖ δὲ τὰ περὶ τῆς ἀρετῆς, ἵνα καὶ τὰς φυσικὰς δυνάμεις διεγείρῃ πρὸς τὴν κατόρθωσιν τῆς κατὰ φύσιν ἀρετῆς, καὶ τὴν προθυμίαν τῆς θελήσεως αὐξήσῃ πρὸς τὴν ἐργασίαν καὶ ἐκπλήρωσιν τῆς κατὰ χάριν διδομένης· καὶ δοξάζει μὲν τὸν λαβόντα τὰ θεῖα τῆς ἀρετῆς χαρίσματα,

(1) Ματθ. 13, 12. (2) Αὐτ. 25, 29.

ἐπειδὴ αὐτός, καλλιεργήσας τῆς φυσικῆς ἀρετῆς τὰ σπέρματα, ἐγένετο ἄξιος τῆς ὑποδοχῆς αὐτῶν· καταδικάζει δὲ τὸν λαβόντα αὐτά, ἐπειδή, ἀμελήσας τῆς κατὰ φύσιν ἀρετῆς, ἐστερήθη καὶ τῆς κατὰ χάριν.

Ἡμεῖς λοιπόν, ἀδελφοί, ἐσμὲν ἀναπολόγητοι, ὅταν, ἀμελοῦντες τῆς ἀρετῆς τὰ ἔργα, πίπτωμεν εἰς τῆς ἁμαρτίας τὰ βάραθρα· ὁ Θεὸς ἔδωκεν ἡμῖν νοῦν, αὐτὸς ὡς σοφὸς κριτὴς διακρίνει, πόση καὶ ποία ἡ ὠφέλεια τῆς ἀρετῆς, πόση καὶ ποία ἡ βλάβη τῆς ἁμαρτίας· ἔπλασεν ἐν ἡμῖν συνείδησιν· αὕτη, ὡς καλὸς σύμβουλος συμβουλεύει τὴν πρᾶξιν τῆς ἀρετῆς, καὶ τὴν φυγὴν τῆς ἁμαρτίας, ἐπαινεῖ καὶ ἀναπαύει ἡμᾶς, ὅταν πράττωμεν τὴν ἀρετήν, ἐλέγχει καὶ βασανίζει, ὅταν ποιῶμεν τὴν ἁμαρτίαν· ἐφύτευσε δυνάμεις εἰς τὴν φύσιν ἡμῶν, αἵτινές εἰσιν ὑπηρέται καὶ ὄργανα τῆς ἀρετῆς· παρέδωκε νόμους, οἵτινές εἰσι λύχνοι καὶ φῶς πρὸς τὸν δρόμον τῆς ἀρετῆς· ἐφανέρωσε προφήτας, οἵτινές εἰσι διδάσκαλοι τῶν ἀρετῶν· ἐξαπέστειλε τὸν υἱὸν αὐτοῦ εἰς τὸν κόσμον· αὐτὸς δέ ἐστι τὸ φῶς, τὸ φωτίζον πάντα ἄνθρωπον πρὸς τὴν ὁδὸν τῆς σωτηρίας, τὸ πρωτότυπον παράδειγμα τῆς τελειότητος τῶν ἀρετῶν, ὁ παντοδύναμος συνεργὸς πρὸς τὴν ἐργασίαν πάντων τῶν καλῶν ἔργων· ἀνέδειξεν Ἀποστόλους· αὐτοὶ δέ εἰσι φωστῆρες φεγγοβολοῦντες, καὶ ὁδηγοῦντες πρὸς τῆς ἀρετῆς τὰ κατορθώματα· ἐκήρυξεν εὐαγγέλιον· αὐτὸ δέ ἐστιν ἡ σάλπιγξ ἡ μεγάλη, ἡ σαλπίζουσα τὴν τιμὴν καὶ τὴν ἀνταπόδοσιν τῆς ἀρετῆς, καὶ τὴν αἰσχύνην καὶ κόλασιν τῆς ἁμαρτίας.

Θεέ μου πανοικτίρμων, ἀληθῶς ἄπειρός ἐστιν ἡ πρὸς τὸν ἄνθρωπον ἀγάπη σου, ἄμετρος καὶ ἀπέραντος ἡ φιλανθρωπία σου· ἔδωκας εἰς ἡμᾶς βοηθήματα, πρὸς κατόρθωσιν τῆς ἀρετῆς, καὶ ἐσωτερικὰ καὶ ἐξωτερικά, καὶ σωματικὰ καὶ πνευματικά, καὶ ἐπίγεια καὶ ἐπουράνια· ἔχεις δὲ πάντοτε καὶ τὴν χάριν σου ἕτοιμον πρὸς βοήθειαν ἡμῶν, ἐὰν μόνον κλίνῃ ἡ προαίρεσις ἡμῶν πρὸς τὴν ἐργασίαν τῶν ἁγίων σου ἐντολῶν· ποία οὖν ἡ ἀπολογία ἡμῶν, ὅταν, περιφρονοῦντες πάντα, ὅσα ἐποίησεν ὁ Θεός, ἵνα πράττωμεν τὴν ἀρετήν, ἡμεῖς δὲ ἀντ' αὐτῆς ποιῶμεν τῆς ἁμαρτίας τὰ ἔργα; ποία ἡ ἐλπὶς τῆς σωτηρίας ἡμῶν; ποῖον καταφύγιον ἔχομεν οἱ ἀπηλπισμένοι ἁμαρτωλοί; μία μόνη ἐστὶν ἡ ἐλπίς, ἓν καὶ μόνον τὸ καταφύγιον· ἡ ἐλπὶς δηλονότι τῆς ἐπιστροφῆς, καὶ τὸ καταφύγιον τῆς μετανοίας. Ἐὰν ἡ καρδία ἡμῶν κλίνῃ ἐν ἀληθείᾳ πρὸς τὴν ἐπιστροφήν, καὶ ἡ ψυχὴ ἡμῶν πρὸς τὴν μετάνοιαν, ὁ Θεὸς ἐξαποστέλλει ἡμῖν τῆς ἐπιστροφῆς καὶ τῆς μετανοίας τὸ χάρισμα· δι' αὐτῆς δὲ λαβόντες τῶν προημαρτημένων τὴν συγχώρησιν, τρέχοντες δὲ εἰς τὸ ἑξῆς ἀόκνως τῆς ἀρετῆς τὸν δρόμον, καταντῶμεν εἰς τὴν αἰώνιον τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ βασιλείαν. Ἀμήν.



# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΗΝ ΠΡΟΣ

## ΡΩΜΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗ Ζ'. ΚΥΡΙΑΚΗ.

Ἡ ἀγάπη καλύπτει πλῆθος ἁμαρτιῶν (1). Χωρὶς τῆς ἀγάπης πᾶσαι αἱ ἀρεταὶ εἰσιν οὐδέν (2). Ἐκ τῆς ἀγάπης κρέμανται ὅλος ὁ νόμος καὶ οἱ προφῆται (3). Ἡ ἀγάπη ἐστὶ τὸ πλήρωμα τοῦ νόμου (4). Ἡ ἀγάπη ἐστὶν ὁ χαρακτὴρ τῶν μαθητῶν τοῦ Χριστοῦ, ἤγουν ὁ χαρακτὴρ καὶ τὸ γνώρισμα τῶν σωζομένων (5). Ἡ ἀγάπη ἐστὶν ἀρετὴ μείζων καὶ αὐτῆς τῆς πίστεως, καὶ τῆς πρὸς Θεὸν ἐλπίδος (6). Ὅστις οὐ χωρίζεται ἀπὸ τῆς ἀγάπης, ἐκεῖνος ἡνωμένος ἐστὶ μετὰ τοῦ Θεοῦ, καὶ ὁ Θεὸς οὐ χωρίζεται ἀπ' αὐτοῦ· « Ὁ Θεὸς ἀγάπη ἐστί· καὶ ὁ μένων ἐν τῇ » ἀγάπῃ. ἐν τῷ Θεῷ μένει, καὶ ὁ Θεὸς ἐν » αὐτῷ » (7). Ἀλλὰ πῶς ἆρά γε δυνάμεθα ἡμεῖς θησαυρίσαι τοιοῦτον ἀτίμητον θησαυρόν; ποία ἡ ὁδός; ποῖος ὁ τρόπος; ποῖον τὸ μέσον; Τοῦτο περιέχει ἡ διδασκαλία τοῦ θεηγόρου Παύλου, ἣν σήμερον ἠκούσαμεν· δεικνύει τὴν ὁδόν, δι' ἧς φθάνομεν· διδάσκει τὸν τρόπον, δι' οὗ θησαυρίζομεν· δηλοποιεῖ τὸ μέσον, δι' οὗ ἐπιστηριζόμεθα εἰς τὴν μακαρίαν ἀρετὴν τῆς ἀγάπης· ὅθεν μάθημά ἐστι πλῆρες πάσης σοφίας καὶ γνώσεως, μάθημα φωτίζον πάντα ἄνθρωπον πρὸς τὴν αἰώνιον σωτηρίαν· πληροφορεῖσθε περὶ τούτου, ἐὰν μετὰ προσοχῆς ἀκούσητε τῶν ἀναγνωσθέντων λόγων τὴν ἑρμηνείαν.

*Ἀδελφοί, ὀφείλομεν ἡμεῖς οἱ δυνατοὶ τὰ ἀσθενήματα τῶν ἀδυνάτων βαστάζειν, καὶ μὴ ἑαυτοῖς ἀρέσκειν* (8).

Πῶς ἔστερξεν ὁ Παῦλος ἐπαινέσαι αὐτὸς ἑαυτόν, λέγων· « Ἡμεῖς οἱ δυνατοί; » ἆρά γε ἀμνημόνησε τοῦ παραγγέλματος, τοῦ λέγοντος· » Ἐγκωμιαζέτω σε ὁ πέλας, καὶ » μὴ τὸ σὸν στόμα· ἀλλότριος καὶ μὴ τὰ » σὰ χείλη » (9). Ἠναγκάσθη ὁ τοῦ Θεοῦ ἄνθρωπος ὁμολογῆσαι, ὅτι ἐστὶ δυνατός, ἵνα πείσῃ τοὺς ἀκούοντας, ὅτι τὰ ὑπ' αὐτοῦ διδασκόμενα οὐκ εἰσὶν ἀδύνατα. Ἐὰν ἔλεγεν, οἱ δυνατοὶ χρέος ἔχετε βαστάζειν τὰ ἀσθενήματα τῶν ἀδυνάτων, καθεὶς ἀπεκρίνατο πρὸς αὐτόν· καὶ τίς ἐστιν ὁ δυνατός; καὶ οὕτω παρῃτοῦντο πάντες τὴν ἐκπλήρωσιν τῆς ἀποστολικῆς ἐντολῆς· βλέπε ὅμως, πόσον ἐμετρίασε τὸν ἔπαινον, συγκαταμίξας ἑαυτὸν τοῖς ἄλλοις, καὶ εἰπὼν πληθυντικῶς· « Ὀφείλομεν ἡμεῖς οἱ δυνατοί ». Κατὰ τί δὲ ἦν αὐτὸς δυνατός; καὶ τίνες εἰσὶν οἱ δυνατοί, καὶ τίνες οἱ ἀδύνατοι; καὶ

(1) Α'. Πέτρ. 4, 8. (2) Α'. Κορ. 13, 1, 3. (3) Ματθ. 22, 40. (4) Ρωμ. 13, 10. (5) Ἰωάν. 13, 35.
(6) Α'. Κορ. 13, 13. (7) Α. Ἰωάν. 4, 16. (8) Ρωμ. 15, 1. (9) Παροιμ. 27, 2.

ποῖα εἰσι τὰ ἀσθενήματα τῶν ἀδυνάτων; καὶ πῶς βαστάζουσιν αὐτὰ οἱ δυνατοί, ἐὰν μὴ ἀρέσκωσιν ἑαυτοῖς; Δυνατὸς ἦν ὁ Παῦλος κατὰ τὴν ὑπὸ Θεοῦ δοθεῖσαν αὐτῷ σοφίαν καὶ χάριν, καὶ κατὰ τὴν ἐν αὐτῷ περιουσίαν τῆς ἀρετῆς. Δυνατοὶ δέ εἰσι καὶ πάντες οἱ τούτου μιμηταί, οἱ εἰς ὕψος ἀρετῆς ἀρθέντες καὶ ἐστηριγμένοι ἐν αὐτῇ. Ἀδύνατοι δὲ εἰσιν ὅσοι οὐδὲ ἔφθασαν εἰς μέτρα ἀρετῆς, οὐδὲ ἐστηρίχθησαν ἐπὶ τὴν πέτραν τῶν θείων ἐντολῶν. Ἀσθενήματα δὲ εἰσι τὰ τούτων σφάλματα καὶ τὰ ἐλαττώματα. Βαστάζουσι δὲ αὐτὰ οἱ δυνατοί, ὅταν μὴ μισοῦντες, μηδὲ ἀποστρεφόμενοι αὐτούς, ὑποφέρωσι σπουδάζοντες παντοιοτρόπως ὑπὲρ τῆς τούτων διορθώσεως, καθὼς ἐποίει ὁ Παῦλος, διὸ καὶ ἔλεγεν· « Ἐ» γενόμην τοῖς ἀσθενέσιν ὡς ἀσθενής, ἵνα » τοὺς ἀσθενεῖς κερδήσω, τοῖς πᾶσι γέγονα » τὰ πάντα, ἵνα πάντως τινὰς σώσω » (1). Ἐκεῖνοι δὲ βαστάζουσι τῶν ἀδυνάτων τὰ ἀσθενήματα, ὅσοι οὐκ ἀρέσκουσιν ἑαυτοῖς, τουτέστιν ὅσοι οὐκ εἰσὶ φίλαυτοι, διότι ὁ φίλαυτος, μόνον ἑαυτὸν ἀγαπῶν, οὐδὲν ὑποφέρει ἐναντίον τῆς ἰδίας αὐτοῦ ἀρεσκείας, οὐδὲ φροντίζει ὅλως περὶ ἄλλου τινός, εἰ μὴ περὶ ἑαυτοῦ μόνου. Ἐὰν οὖν βαστάζωμεν τὰ ἀσθενήματα τῶν ἀδυνάτων, φεύγει ἀφ' ἡμῶν ἡ φιλαυτία, καὶ ἔρχεται πρὸς ἡμᾶς ἡ μακαρία ἀγάπη, ἥτις ἐστὶ τοῦ νόμου τὸ πλήρωμα· διὸ ἔλεγεν ἀλλαχοῦ ὁ πανεύφημος Παῦλος· « Ἀλλήλων τὰ βάρη βαστά» ζετε, καὶ οὕτως ἀναπληρώσατε τὸν νό» μον τοῦ Χριστοῦ » (2). Ἰδοὺ οὖν ἡ ὁδός, ἡ φέρουσα ἡμᾶς πρὸς τὴν ἀγάπην, καὶ ὁ τρόπος καὶ τὸ μέσον, δι' οὗ στηριζόμεθα ἐν αὐτῇ. Βλέπε δέ, πῶς παραγγείλας, ἵνα μὴ ἑαυτοῖς ἀρέσκωμεν, ἐφανέρωσεν εἰς ποῖον πρέπον, ἐστὶν ἵνα ἀρέσωμεν, καὶ κατὰ τί, εἰπών·

*Ἕκαστος γὰρ ἡμῶν τῷ πλησίον ἀρεσκέτω εἰς τὸ ἀγαθὸν πρὸς οἰκοδομήν* (3).

Κατὰ δύο τρόπους γινόμεθα ἀρεστοὶ εἰς τοὺς ἀνθρώπους, ἢ συμβοηθοῦντες αὐτούς, ἵνα ἐκπληρώσωσι τὰς πονηρὰς αὐτῶν ἐπιθυμίας, ἢ συνεργοῦντες, ἵνα τελειώσωσι τὰ ἀγαθὰ αὐτῶν θελήματα· διὰ τοῦτο δὲ ὁ Ἀπόστολος οὐκ εἶπεν ἁπλῶς· ἕκαστος ἡμῶν ἀρεσκέτω τῷ πλησίον, ἀλλὰ προσέθηκε τό, « Εἰς τὸ ἀγαθὸν πρὸς οἰκοδομήν ». Περὶ τούτου δὲ πρὸς τοὺς Κορινθίους γράφων, προβάλλει τὸ ἑαυτοῦ παράδειγμα, λέγων· « Καθὼς κἀγὼ πάντα πᾶσιν ἀρέσκω, μὴ » ζητῶν τὸ ἐμαυτοῦ συμφέρον, ἀλλὰ τὸ » τῶν πολλῶν, ἵνα σωθῶσιν » (4). Ἐὰν οὖν σπουδάζῃς γενέσθαι ἀρεστὸς εἰς τὸν πλησίον σου, σκοπὸν ἔχων, ἵνα πείσῃς αὐτὸν κατορθῶσαι τὰ ἀγαθὰ ἔργα, πρὸς οἰκοδομὴν καὶ ὠφέλειαν αὐτοῦ, τότε ἐκπληροῖς τὴν ἀποστολικὴν ἐντολήν. Ἐὰν δὲ γίνεσαι ἀρεστὸς εἰς τὸν πλησίον σου, συμβοηθῶν καὶ συνεργῶν αὐτῷ πρὸς τὴν ἐργασίαν τῶν πονηρῶν αὐτοῦ βουλευμάτων, παραβαίνεις τὴν ἀποστολικὴν ἐντολήν, οὐχ ὑπηρετεῖς τὸν Ἰησοῦν Χριστόν, ἀλλὰ γίνεσαι συγκοινωνὸς τῶν τοῦ πλησίον σου ἁμαρτημάτων· περὶ ταύτης τῆς ἐπιβλαβοῦς ἀρεσκείας ἔλεγεν ὁ αὐτὸς θεῖος Ἀπόστολος· « Ἦ ζητῶ » ἀνθρώποις ἀρέσκειν; εἰ γὰρ ἔτι ἀνθρώποις » ἤρεσκον, Χριστοῦ δοῦλος οὐκ ἂν ἤμην » (5). Καὶ παρήγγελλε δέ, ἵνα μὴ μόνον ἀπέχωμεν

(1) Α'. Κορ. 96, 22. (2) Γαλ. 6, 2. (3) Ῥωμ. 15, 2. (4) Α'. Κορ. 10, 33. (5) Γαλ. 1, 10.



ἀπὸ τῆς τοιαύτης ἀρεσκείας, ἀλλὰ καὶ ἐλέγχωμεν τῆς ἁμαρτίας τὰ ἔργα· « Μὴ » συγκοινωνεῖτε τοῖς ἔργοις τοῖς ἀκάρποις » τοῦ σκότους, μᾶλλον δὲ καὶ ἐλέγχετε » (1). Ἐπιβεβαιοῖ δὲ τὴν τοιαύτην διδασκαλίαν αὐτοῦ διὰ τοῦ παραδείγματος τοῦ Ἰησοῦ Χριστοῦ, λέγων·

*Καὶ γὰρ ὁ Χριστὸς οὐχ ἑαυτῷ ἤρεσεν, ἀλλά, καθὼς γέγραπται· οἱ ὀνειδισμοὶ τῶν ὀνειδιζόντων σε ἐπέπεσον ἐπ' ἐμέ* (2).

Καὶ ἐν τούτοις μετέρχεται ὁ θεῖος Παῦλος, κατὰ τὴν ἑαυτοῦ συνήθειαν, τὸ σχῆμα τῆς ἐλλείψεως, ἵνα δὲ κατανοήσῃς τὸ νόημα, ἀναπλήρωσον τὰ προκείμενα λόγια οὕτω· Καὶ γὰρ ὁ Χριστὸς οὐχ ἑαυτῷ ἤρεσεν, ἀλλ' ὠνειδίσθη καθὼς γέγραπται. Ἀλλὰ πῶς ὁ Χριστὸς οὐχ ἑαυτῷ ἤρεσεν; εἰς αὐτὸν ὡς ἄνθρωπον οὐδὲ οἱ ὀνειδισμοὶ ἤρεσκον, οὐδὲ ὁ θάνατος· διὸ παρακαλῶν ἔλεγε· « Νῦν ἡ ψυχή μου τετάρακται· καὶ τί » εἴπω; Πάτερ, σῶσόν με ἐκ τῆς ὥρας » ταύτης. Πάτερ μου εἰ δυνατόν ἐστι, πα» ρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο » (3). Κἂν δὲ οὐκ ἤρεσεν αὐτῷ τὸ ποτήριον τῶν ὀνειδισμῶν καὶ τοῦ θανάτου, ὅμως ἔστερξεν αὐτὰ διὰ τὴν σωτηρίαν ἡμῶν. « Πλήν, εἶ» πεν, οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ » (4). Καί, « Ἀντὶ τῆς προκειμένης αὐτῷ χαρᾶς, ὑπέ» μεινε σταυρόν, αἰσχύνης καταφρονήσας » (5). Φανερὸν δέ ἐστιν, ὅτι ὠνείδισαν αὐτὸν οἱ Ἰουδαῖοι, πότε μὲν λέγοντες· « Τί ὅτι » μετὰ τῶν τελωνῶν καὶ ἁμαρτωλῶν ἐσθίει » καὶ πίνει » (6) πότε δέ· « Εἰ ἦν προφή» της, ἐγίνωσκεν ἄν, τίς καὶ ποταπὴ ἡ γυ» νή, ἥτις ἅπτεται αὐτοῦ, ὅτι ἁμαρτωλός » ἐστιν » (7). Ἄλλοτε δέ· « Ἐν τῷ ἄρχοντι » τῶν δαιμονίων ἐκβάλλει τὰ δαιμόνια » (8). Καὶ ἄλλοτε πάλιν· « Οὐ καλῶς λέγομεν, » ὅτι Σαμαρείτης εἶ σύ, καὶ δαιμόνιον ἔ» χεις; » Ὁμοίως καὶ ἐν τῷ καιρῷ τοῦ πάθους, καὶ ὅταν ἐκρέματο ἐν τῷ ξύλῳ τοῦ σταυροῦ, « Καὶ οἱ παραπορευόμενοι ἐβλα» σφήμουν αὐτόν, καὶ οἱ ἀρχιερεῖς μετὰ » τῶν γραμματέων ἐνέπαιζον αὐτόν (9)· » Καὶ οἱ λῃσταί, οἱ συσταυρωθέντες αὐτῷ, » ὠνείδιζον αὐτῷ » (10). Σημείωσαι δέ, ὅτι τὴν περὶ τῶν ὀνειδισμῶν προφητείαν ἐμελῴδησεν ὁ Δαβὶδ ὡς ἐκ προσώπου τοῦ Ἰησοῦ Χριστοῦ, λαλοῦντος πρὸς τὸν ἑαυτοῦ πατέρα, καὶ λέγοντος· ὦ πάτερ, « Οἱ ὀνει» δισμοὶ τῶν ὀνειδιζόντων σε ἐπέπεσον ἐπ' » ἐμέ » (11). Ἀληθῶς δὲ τὸν Θεὸν ὠνείδιζον οἱ ὀνειδίζοντες τὸν Χριστόν, ἐπειδὴ Υἱὸς Θεοῦ, καὶ Θεός ἐστιν ὁ Χριστός, ἓν μετὰ τοῦ Πατρὸς αὐτοῦ, κατὰ τὸν λόγον τῆς ἑνικίας οὐσίας τῆς θεότητος, ὡς αὐτὸς ἐδίδαξεν, εἰπών· « Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐ» σμεν » (12). Καθὼς δὲ ὁ δεχόμενος τὸν Ἰησοῦν Χριστόν, δέχεται καὶ τὸν ἀποστείλαντα αὐτόν, κατὰ τό, « Ὃς ἐὰν ἐμὲ δέ» ξηται, δέχεται τὸν ἀποσ[τ]είλαντά με » (13)· οὕτω καὶ ὁ ὀνειδίζων τὸν Ἰησοῦν Χριστόν, ὀνειδίζει τὸν ἀποστείλαντα αὐτὸν Θεὸν καὶ πατέρα αὐτοῦ· ἄκουσον δὲ καὶ τό, διὰ ποῖον λόγον ἀνέφερεν ὁ Ἀπόστολος τὴν περὶ τῶν ὀνειδισμῶν τοῦ Ἰησοῦ Χριστοῦ προφητείαν.

*Ὅσα γὰρ προεγράφη εἰς τὴν ἡμετέραν διδασκαλίαν προεγράφη· ἵνα διὰ τῆς ὑπομονῆς καὶ τῆς παρακλήσεως τῶν γραφῶν τὴν ἐλπίδα ἔχωμεν* (14).

(1) Ἐφ. 5, 11. (2) Ρωμ. 15, 3. (3) Ἰωάν. 12, 27. (4) Ματθ. 26, 39, 40. (5) Ἑβρ. 12, 2. (6) Μάρκ. 2, 16. (7) Λουκ. 7, 39. (8) Ματθ. 9, 34. (9) Μάρκ. 15, 29, 31. (10) Ματθ. 27, 44. (11) Ψαλμ. 68, 9. (12) Ἰωάν. 10, 30. (13) Λουκ. 9, 48. (14) Ρωμ. 15, 4.

Ἀνέφερον, λέγει, τὰ λόγια τοῦ προφητάνακτος Δαβίδ, δι' ὧν προεφήτευσε περὶ τῶν ὀνειδισμῶν τοῦ Χριστοῦ, ἐπειδὴ ὅσα ἐγράφησαν εἰς τὰς ἁγίας Γραφάς, πρὶν ἢ τελεσθῶσι, προεγράφησαν πρὸς διδασκαλίαν καὶ νουθεσίαν ἡμῶν· προεγράφησαν, ἵνα βλέποντες ἡμεῖς ἐν ταῖς ἁγίαις Γραφαῖς τοὺς ὑπὸ τῶν προφητῶν προῤῥηθέντας ὀνειδισμούς, ὅσους ὁ Χριστὸς διὰ τὴν πρὸς ἡμᾶς ἀγάπην αὐτοῦ ὑπέμεινεν, ὑπομένωμεν καὶ ἡμεῖς πᾶσαν θλίψιν καὶ ὀνειδισμὸν ὑπὲρ τῆς ἀγάπης αὐτοῦ καὶ τοῦ πλησίον, παρηγορούμενοι δὲ ὑπ' αὐτῶν τῶν λόγων τῶν θείων Γραφῶν, ἔχωμεν πᾶσαν τὴν ἐλπίδα ἡμῶν πρὸς αὐτὸν τὸν Ἰησοῦν Χριστόν, τὸν σωτῆρα τοῦ κόσμου.

*Ὁ δὲ Θεὸς τῆς ὑπομονῆς καὶ τῆς παρακλήσεως δῴη ὑμῖν τὸ αὐτὸ φρονεῖν ἐν ἀλλήλοις κατὰ Χριςὸν Ἰησοῦν· ἵνα ὁμοθυμαδὸν ἐν ἑνὶ στόματι δοξάζητε τὸν Θεὸν καὶ Πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ* (1).

Εὔχεται ὁ πανσέβαστος τοῦ Κυρίου Ἀπόστολος τοὺς Ῥωμαίους, πρὸς οὓς ἔγραφε, δι' αὐτῶν δὲ καὶ πάντας τοὺς εἰς Χριστὸν πιστεύοντας, ἵνα ὁ Θεὸς τῆς ὑπομονῆς καὶ τῆς παρακλήσεως ἐξαποστείλῃ εἰς τὸν νοῦν αὐτῶν τὸ αὐτὸ φρόνημα, ὅπως μιᾷ ψυχῇ καὶ καρδίᾳ πάντες ἅμα δι' ἑνὸς στόματος δοξάσωσι τὸν Θεόν, καὶ Πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἀλλὰ κατὰ τί ὠνόμασε τὸν Θεόν, Θεὸν τῆς ὑπομονῆς καὶ τῆς παρακλήσεως; Ἢ καθότι μακροθυμῶν ὑποφέρει τοὺς ἁμαρτωλούς, ἀγαπῶν δὲ τοὺς δικαίους παρηγορεῖ αὐτούς· ἢ καθότι αὐτός ἐστιν ὁ δοτὴρ τῆς ὑπομονῆς καὶ τῆς παρηγορίας· ἢ καθότι κατοικεῖ ἐν τοῖς ἀνθρώποις, οἵτινες ἔχουσι τὴν ἀρετὴν τῆς ὑπομονῆς, καὶ εὑρίσκουσιν ἐν ταῖς ἁγίαις Γραφαῖς τὴν ἐν πάσαις ταῖς περιστάσεσιν αὐτῶν δραστήριον παραμυθίαν. Τὸ αὐτὸ δὲ φρονοῦμεν, ὅταν τὰ νοήματα ἡμῶν ὑπάρχωσι σύμφωνα, καὶ ἕνα καὶ τὸν αὐτὸν σκοπὸν ἔχοντα· βλέπε δέ, ὅτι οὐκ εἶπε μόνον· « Τὸ αὐτὸ φρονεῖν », ἀλλὰ προσέθηκε καὶ τό, « Κατὰ Χριστὸν Ἰησοῦν »· διότι πολλάκις συμφωνοῦσιν οἱ ἄνθρωποι οὐχὶ κατὰ τὸ θέλημα τοῦ Ἰησοῦ Χριστοῦ, ἀλλ' ἐναντίον τοῦ θελήματος αὐτοῦ, σύμφωνοι δηλαδή εἰσιν οἱ ἄπιστοι εἰς τὴν ἀπιστίαν, οἱ αἱρετικοί, εἰς τὰ αἱρετικὰ αὐτῶν φρονήματα, οἱ σχισματικοί, εἰς τὰς γνώμας τοῦ σχίσματος, οἱ λῃσταί, εἰς τὴν ἀπόφασιν τῆς ἁρπαγῆς καὶ δυναστείας. Ταῦτα δὲ πάντα ἐξώρισεν ἀπὸ τῆς ὁμοφροσύνης ὁ Ἀπόστολος, εἰπὼν τό, « Κατὰ Χριστὸν Ἰησοῦν »· διότι ὅσοι ἔχουσι φρονήματα καὶ διαλογισμοὺς ἀρεστοὺς εἰς τὸν Ἰησοῦν Χριστόν, ἐκείνων καὶ ὁ νοῦς ἐλεύθερός ἐστι καὶ καθαρὸς ἀπὸ πάσης δυσσεβείας, καὶ τὰ ἔργα ἀμόλυντα καὶ ἁγνὰ ἀπὸ πάσης ἁμαρτίας. Ἀλλὰ πῶς οἱ πολλοί, πολλὰ ἔχοντες στόματα, δύνανται ἑνὶ ςόματι προσφέρειν τὴν πρὸς τὸν Θεὸν δοξολογίαν; Ὅταν οἱ πολλοὶ τὸ αὐτὸ φρόνημα καὶ νόημα ἔχωσι, τότε ἓν καὶ τὸ αὐτὸ νόημα ἔχει καὶ ἡ τούτων δοξολογία· ὅθεν ἐπειδὴ ἡ αὐτή ἐστι κατὰ τὴν ἔννοιαν, ὡς ἐξ ἑνὸς στόματος προσφερομένη λογίζεται, κἂν ὑπὸ πολλῶν στομάτων ἐκφωνῆται καὶ προσφέρηται. Μετὰ τὴν τοιαύτην εὐχήν, ἐπαναλαμβάνει πάλιν ὁ Ἀπόστολος τὸν λόγον περὶ τῆς ἀνοχῆς τῶν

(1) Ρωμ. 15, 5, 6.



σφαλμάτων τοῦ πλησίον, καὶ περὶ τῆς ἐπιμελείας καὶ φροντίδος τῆς περὶ τούτου σωτηρίας.

*Διὸ προσλαμβάνεσθε ἀλλήλους, καθὼς καὶ ὁ Χριστὸς προσελάβετο ἡμᾶς εἰς δόξαν Θεοῦ* (1).

Προλαβὸν εἶπεν, ὅτι χρέος ἔχομεν βαστάζειν τὰ ἀσθενήματα τῶν ἀδυνάτων· καὶ ὅτι πρέπον ἐστίν, ἵνα καθεὶς ἀρέσκῃ εἰς τὸν πλησίον αὐτοῦ, σκοπὸν ἔχων τὴν τούτου ὠφέλειαν· ἔπειτα εὐχήθη, ἵνα ἐξαποστείλῃ ὁ Θεὸς πρὸς αὐτοὺς τὴν ὁμοφροσύνην, ἐπειδὴ ἐξ αὐτῆς πηγάζει ἡ ἀγάπη, ἐκ δὲ τῆς ἀγάπης ἡ ἀνοχὴ τῶν ἐλαττωμάτων τοῦ πλησίον, καὶ ἡ ὑπὲρ τῆς σωτηρίας αὐτοῦ φροντίς, διὰ δὲ τῶν προκειμένων λόγων πάλιν τὸ αὐτὸ ἐπιβεβαιοῖ· « Διὸ προσλαμ» βάνεσθε, λέγει, ἀλλήλους ». Ἀλλὰ πῶς προσλαμβάνομεν ἀλλήλους; « Καθὼς καὶ » ὁ Χριστὸς προσελάβετο ἡμᾶς ». Πῶς δὲ προσελάβετο ἡμᾶς ὁ Χριςός; Αὐτὸς οὐκ ἀπεστράφη ἡμᾶς διὰ τὰς ἁμαρτίας ἡμῶν, ἀλλ' ἐβάςασεν αὐτάς, καὶ ἔπαθεν ὑπὲρ ἡμῶν, ἵνα διὰ τοῦ πάθους αὐτοῦ ἰατρεύσῃ τὰ ἐκ τῶν ἁμαρτιῶν ἡμῶν τραύματα. « Οὗτος » τὰς ἁμαρτίας ἡμῶν φέρει, καὶ περὶ ἡμῶν » ὀδυνᾶται. Αὐτὸς δὲ ἐτραυματίσθη διὰ » τὰς ἁμαρτίας ἡμῶν, καὶ μεμαλάκισται » διὰ τὰς ἀνομίας ἡμῶν, παιδεία εἰρήνης » ἡμῶν ἐπ' αὐτόν, τῷ μώλωπι αὐτοῦ ἡμεῖς » ἰάθημεν » (2). Ὅταν οὖν καὶ ἡμεῖς οὐκ ἀποστρεφώμεθα τὸν πλησίον ἡμῶν διὰ τὰς ἁμαρτίας αὐτοῦ, ἀλλ' ὑποφέροντες αὐτόν, πάσχωμεν καὶ παντὶ τρόπῳ ἀγωνιζώμεθα, ἵνα θεραπευθεὶς ἀπὸ τῶν πληγῶν τῆς ἁμαρτίας αὐτοῦ, τύχῃ σωτηρίας, τότε προσλαμβάνομεν αὐτόν, καθὼς καὶ ὁ Χριστὸς προσελάβετο ἡμῶν. Σημείωσαι δέ, ὅτι τὸ ἔργον τοῦτό ἐστι δόξα τοῦ Θεοῦ· διότι προσελάβετο, λέγει, ἡμᾶς ὁ Χριστὸς εἰς δόξαν Θεοῦ. Ἀληθῶς δὲ ἡ διὰ τῆς ἐνσάρκου οἰκονομίας γενομένη σωτηρία τῶν ἀνθρώπων δόξα Θεοῦ ἐστι· διότι οἱ διὰ Ἰησοῦ Χριστοῦ σωθέντες, αὐτοὶ διαπαντὸς προσφέρουσιν εἰς τὸν Θεὸν τὴν εὐχαριστήριον δοξολογίαν.

(1) Ρωμ. 15, 7. (2) Ἡσ. 53, 4, 5.

# ΟΜΙΛΙΑ

ΜΕΤΑ ΤΗΝ ΠΡΟΣ

## ΡΩΜΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

### ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗ͂Ι Ζ΄. ΚΥΡΙΑΚΗ͂Ι.

ΟΤΑΝ ἐπλησίασεν ἡ ὥρα τοῦ ζωηφόρου πάθους, τότε ὁ Κύριος Ἰησοῦς ὑψώσας εἰς τὸν οὐρανὸν τὰ ὄμματα, ἐπεκαλέσθη τὸν Θεὸν καὶ πατέρα αὐτοῦ, καὶ ἐζήτησε παρ' αὐτοῦ, ἵνα πάντες οἱ εἰς αὐτὸν πιστεύοντες ὦσιν ἕν. « Πάτερ ἅγιε, εἶπε, τήρησον αὐ» τοὺς ἐν τῷ ὀνόματί σου, ἵνα ὦσιν ἕν. Οὐ » περὶ τούτων δὲ ἐρωτῶ μόνον, ἀλλὰ καὶ » περὶ τῶν πιστευόντων διὰ τοῦ λόγου αὐ» τῶν εἰς ἐμέ· ἵνα πάντες ἓν ὦσι, καθὼς σὺ » Πάτερ ἐν ἐμοί, κἀγὼ ἐν σοί, ἵνα καὶ αὐ» τοὶ ἐν ἡμῖν ἓν ὦσι. Καὶ ἐγὼ τὴν δόξαν, » ἣν δέδωκάς μοι, δέδωκα αὐτοῖς· ἵνα ὦσιν » ἕν, καθὼς ἡμεῖς ἕν ἐσμεν. Ἐγὼ ἐν αὐτοῖς, » καὶ σὺ ἐν ἐμοί, ἵνα ὦσι τετελειωμένοι εἰς » ἕν » (1). Παρατηρῶ τὴν ἔπαρσιν τῶν ὀφθαλμῶν τοῦ Κυρίου Ἰησοῦ εἰς τὸν οὐρανόν, καὶ τὴν ἐπίκλησιν τοῦ Θεοῦ καὶ Πατρὸς αὐτοῦ, καὶ τὸν λόγον, ἵνα ὦσιν ἕν, πεντάκις ἐπαναληφθέντα ἐν ταύτῃ τῇ προσευχῇ αὐτοῦ, ὅθεν εὐλογοφανῶς συμπεραίνω, ὅτι μετὰ πολλῆς θερμότητος ὑπὲρ τούτου παρεκάλεσεν ὁ Θεάνθρωπος· ἀλλὰ κατὰ τίνα τρόπον δυνάμεθα ἡμεῖς οἱ ἄνθρωποι γενέσθαι ἕν; κατὰ τὸ σῶμα, τοῦτό ἐστιν ἀδύνατον. Κατὰ τὴν ψυχήν; ὁμοίως καὶ τοῦτο ἀδύνατόν ἐστιν· ἐφανέρωσεν ἡμῖν τὸν τρόπον ὁ θεόπνευστος Παῦλος διὰ τῶν λόγων τῆς προσευχῆς αὐτοῦ· « Ὁ δὲ Θεός, » εἶπε, τῆς ὑπομονῆς καὶ τῆς παρακλήσεως » δῴη ὑμῖν τὸ αὐτὸ φρονεῖν ἐν ἀλλήλοις » κατὰ Χριστὸν Ἰησοῦν· ἵνα ὁμοθυμαδὸν » ἐν ἑνὶ στόματι δοξάζητε τὸν Θεὸν καὶ » Πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χρι» στοῦ » (2). Ἰδοὺ ὁ τρόπος, ὅστις συνάπτει ἡμᾶς εἰς ἕν, ἡ ὁμοφροσύνη. Ὅταν φρονῶμεν ἓν καὶ τὸ αὐτό, ἤγουν ὅταν ἔχωμεν μίαν καὶ τὴν αὐτὴν κατὰ Χριςὸν γνώμην, τότε ἐσμὲν ἕν, τότε πάντα τὰ στόματα, ὡς ἐξ ἑνὸς μόνου στόματος, μίαν λατρευτικὴν δοξολογίαν προσφέρουσιν εἰς τὸ ἑνιαῖον καὶ ἀδιαίρετον κράτος τῆς τρισυποστάτου θεότητος.

Ἀλλὰ διὰ τί μετὰ τοσαύτης προθυμίας καὶ ζέσεως παρεκάλεσεν ὁ Θεάνθρωπος ὑπὲρ ταύτης τῆς ὁμοφροσύνης καὶ ὁμονοίας ἡμῶν; (3) διότι ἡ ὁμόνοιά ἐστιν ἡ πηγή, ἐξ ἧς πηγάζει καὶ ἡ βάσις ἐν ᾗ ἐπιστηρίζεται ἡ ἀγάπη, ἥτις ἐστὶ τὸ πλήρωμα τοῦ νόμου, καὶ ἐξ ἧς κρέμαται ὅλος ὁ νόμος καὶ οἱ προφῆται (4)· ὅταν ἔχωμεν σύμφωνα τοῦ νοὸς ἡμῶν τὰ φρονήματα, ἤγουν ὅταν ἐκεῖνο, ὃ

(1) Ἰωάν. 17, 11. 20—24. (2) Ῥωμ. 15, 5, 6. (3) Αὐτ. 13, 10. (4) Ματθ. 22, 40.



ἐγὼ συλλογίζομαι, ὅτι ἐστὶν ἀληθές, καὶ δίκαιον, τοῦτ' αὐτὸ καὶ σὺ ἀληθὲς καὶ δίκαιον νομίζῃς, τότε τὸ ἑνιαῖον τῆς γνώμης συνάπτει εἰς ἓν καὶ τὰς καρδίας ἡμῶν καὶ τὰς θελήσεις· καθὼς δὲ ἔχομεν οἱ δύο μίαν γνώμην, οὕτως ἔχομεν καὶ μίαν θέλησιν· ὅθεν ὃ ἐγὼ θέλω καὶ ἐπιθυμῶ, τοῦτ' αὐτὸ καὶ σὺ θέλεις καὶ ἐπιθυμεῖς· ἡ ταυτότης δὲ τῆς γνώμης, καὶ τῆς διαθέσεως τῆς καρδίας, καὶ τῆς θελήσεως γεννᾷ τὴν μεταξὺ ἡμῶν ἀληθινὴν καὶ εἰλικρινῆ ἀγάπην· διὸ ἐν ὅσῳ μένει ἐν ἡμῖν ἡ ὁμοφροσύνη, διαμένει ἐν τῇ καρδίᾳ ἡμῶν ἡ ἀγάπη ἀσάλευτος καὶ ἀμετάβλητος· ὅταν δὲ φύγῃ ἡ ὁμογνωμοσύνη, φεύγει εὐθὺς καὶ ἡ ἀγάπη· ὅταν ἐγὼ στοχάζωμαι, ὅτι τοῦτό ἐστιν ἀλήθεια, σὺ δὲ συλλογίζεσαι, ὅτι τοῦτ' αὐτό ἐστι ψεῦδος· ὅταν ἐγὼ φρονῶ, ὅτι τοῦτό ἐστιν ὠφέλιμον, σὺ δὲ φρονεῖς, ὅτι ἐστὶ βλαβερόν, τότε οὐκ ἐσμὲν ὁμόφρονες, ἀλλ' ἑτερόφρονες, οὐκ ἐσμὲν σύμφωνοι, ἀλλ' ἀσύμφωνοι· ἡ δὲ ἑτεροφροσύνη καὶ ἡ ἀσυμφωνία προξενεῖ εἰς τὰς καρδίας διαθέσεις καὶ θελήσεις ἀντιμαχομένας· ἐκ τούτου ἐγείρονται αἱ διχόνοιαι καὶ αἱ φιλονεικίαι καὶ αἱ διαθέσεις τοῦ μίσους, αἵτινες μαραίνουσιν, ἢ παντελῶς ξηραίνουσι τὰ θεάρεστα τῆς ἀγάπης φυτά.

Ἄλλος μὲν τῶν Κορινθίων ἔλεγεν, ἐγώ εἰμι μαθητὴς καὶ ἀκόλουθος τοῦ Παύλου· ἄλλος δέ, ἐγὼ τοῦ Ἀπολλώ· ἄλλος δέ, ἐγὼ τοῦ Κηφᾶ· καὶ ἄλλος, ἐγὼ τοῦ Χριστοῦ· τί ἐστι τοῦτο ; τοῦτο οὐδὲν ἄλλο ἐστίν, εἰ μὴ ἑτεροφροσύνη· αὐτοὶ οὐ φρονοῦσι τὸ αὐτό, ἀλλ' ἄλλο μὲν ὁ εἷς, ἄλλο δὲ ὁ ἕτερος· τί δὲ ἐκ τούτου ἐγεννήθη; διχόνοια καὶ φιλονεικία· « Ἐδηλώθη γάρ μοι, ἔγραφε πρὸς » αὐτοὺς ὁ Παῦλος, περὶ ὑμῶν, ἀδελφοί μου, » ὑπὸ τῶν Χλόης, ὅτι ἔριδες ἐν ὑμῖν εἰσι » (1)· γνωρίζων δὲ ὁ παμμακάριστος, ὅτι ἐκ τούτου ψυχραίνεται ἡ ἀγάπη, καὶ ἀκολουθοῦσιν ἄμετρα σκάνδαλα καὶ ἐλεεινὰ σχίσματα, ἐπανακαλῶν αὐτοὺς πρὸς τὴν ὁμόνοιαν, ἔλεγε· « Παρακαλῶ δὲ ὑμᾶς, ἀδελ» φοί, διὰ τοῦ ὀνόματος τοῦ Κυρίου ἡμῶν » Ἰησοῦ Χριστοῦ, ἵνα τὸ αὐτὸ λέγητε πάν» τες, καὶ μὴ ᾖ ἐν ὑμῖν σχίσματα, ἦτε δὲ » κατηρτισμένοι ἐν τῷ αὐτῷ νοῒ καὶ ἐν τῇ » αὐτῇ γνώμῃ » (2).

Δύο πανσέβαστοι Ἀπόστολοι τρέχουσιν ὁμοῦ εἰς διαφόρους πόλεις καὶ χώρας κηρύττοντες τῆς εὐαγγελικῆς ἀληθείας τὸν λόγον, κατὰ πάντα σύμφωνοι, ἐντελῶς ἠγαπημένοι, συνημμένοι καὶ ἀχώριστοι, ὁ Παῦλος δηλαδὴ καὶ ὁ Βαρνάβας· ἔπειτα ὁ μὲν Βαρνάβας νομίζει συμφέρον, ἵνα λάβῃ μεθ' ἑαυτοῦ τὸν Ἰωάννην, τὸν καλούμενον Μάρκον· ὁ δὲ Παῦλος κρίνει εὔλογον, ἵνα μὴ συμπαραλάβῃ αὐτόν· ἄλλο περὶ τοῦ Μάρκου φρονεῖ ὁ Βαρνάβας, καὶ ἄλλο ὁ Παῦλος, τουτέςιν οὐκ ἔχουσι περὶ τοῦ Μάρκου τὸ αὐτὸ φρόνημα, ἀλλ' εἰσὶν ἀσύμφωνοι. Τί δὲ ἠκολούθησεν ἐκ ταύτης τῆς ἑτεροφροσύνης; οὐδὲ μῖσος ἠκολούθησεν, οὐδὲ ἔχθρα, οὐδὲ θυμός, ἐπειδὴ ἦσαν ἄκακοι καὶ ἅγιοι· ἠκολούθησεν ὅμως παροξυσμός, μετὰ δὲ τὸν παροξυσμόν, χωρισμός· « Ἐγένετο οὖν παροξυσμός, ὥςε χω» ρισθῆναι ἀπ' ἀλλήλων » (3). Ἀκούετε, τί συμβαίνει καὶ εἰς αὐτοὺς τοὺς ἁγίους ἄνδρας, ὅταν φύγῃ ἀπ' αὐτῶν ἡ ὁμοφροσύνη καὶ ἡ συμφωνία ;

Πόθεν ἐγεννήθησαν τόσαι αἱρέσεις, ὅσας ἀναγινώσκομεν εἰς τὰς ἱστορίας ; ἐκ τῆς ἑτεροφροσύνης, ἤγουν ἐκ τῆς ἀσυμφωνίας τῶν φρονημάτων. Ὁ Ἄρειος οὐ φρονεῖ τὸ

(1) Α΄. Κορ. 1, 11. (2) Αὐτ. 10. (3) Πράξ. 15, 39.

ὀρθὸν καὶ κοινὸν πάντων τῶν πιστῶν φρόνημα, ὅπερ ἐστίν, ὅτι ὁ Ἰησοῦς Χριστός, καθὸ Θεός, ἐστὶν ὁμοούσιος τῷ Πατρί, ἀλλ᾽ ἔχει ἄλλο ἴδιον φρόνημα διεστραμμένον καὶ βλάσφημον, τουτέστι πείθεται, ὅτι ὁ Ἰησοῦς Χριστὸς οὐκ ἔςι Θεὸς ὁμοούσιος τῷ Πατρί, ἀλλ᾽ ἑτεροούσιος αὐτῷ. Ὁ Μακεδόνιος οὐ φρονεῖ τὸ κοινὸν καὶ ἀποστολικὸν φρόνημα, ὅπερ ἐστίν, ὅτι τὸ Πνεῦμα τὸ ἅγιόν ἐστι Θεός, ἀλλ᾽ ἔχει ἄλλο φρόνημα, ἐκ τῆς κοιλίας αὐτοῦ ἐξελθόν, ἤγουν πιστεύει, ὅτι τὸ Πνεῦμα τὸ ἅγιόν ἐςι κτίσμα· ὁ Σαβέλλιος οὐ φρονεῖ περὶ τῆς παναγίας Τριάδος τὸ κοινὸν καὶ θεοπαράδοτον δόγμα, ἀλ-ἔχει ἄλλο φρόνημα ἴδιον, ἐκ τῆς παραλογίας αὐτοῦ προελθόν· οὐ πιστεύει μίαν θεότητα ἐν τρισὶν ὑποστάσεσιν, ἀλλὰ μίαν θεότητα καὶ ἓν πρόσωπον, ἔχον τρία ὀνόματα· ὁ Ἀπολινάριος ἀθετεῖ τὸ κοινὸν καὶ ἅγιον πάντων τῶν εὐσεβῶν φρόνημα, καὶ ἐναγκαλίζεται ἄλλο, γέννημα τῆς παραφροσύνης αὐτοῦ· οἱ μὲν εὐσεβεῖς ὁμοφρόνως πιστεύουσιν, ὅτι ὁ Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, σαρκωθείς, ἀνέλαβεν ὅλην τὴν τοῦ ἀνθρώπου φύσιν, ἤγουν καὶ ψυχὴν καὶ σῶμα· αὐτὸς δὲ ὁ ἀνόητος ἐφρόνει, ὅτι ὁ σεσαρκωμένος λόγος σῶμα μόνον ἀνέλαβεν ἀνθρώπινον, οὐχὶ δὲ καὶ ψυχήν, ὅθεν ἦν ἄψυχος· ὁ Νεστόριος ἀπέῤῥιψε τὸ περὶ τῆς παναγίας παρθένου Μαρίας κοινὸν καὶ ὀρθόδοξον δόγμα, καὶ προσεκολλήθη εἰς ἄλλο ἴδιον βλάσφημον, γεννηθὲν ἐκ τῆς διαβολικῆς ὑπερηφανείας τοῦ ἐσκοτισμένου νοὸς αὐτοῦ· οἱ μὲν ὀρθόδοξοι πάντες ὁμοφρόνως πιςεύουσιν, ὅτι ἡ τὸν Υἱόν τοῦ Θεοῦ γεννήσασα ἀειπάρθενος, μήτηρ Θεοῦ ἐστι καὶ Θεοτόκος, αὐτὸς δὲ ὁ παράφρων καὶ φρενόληπτος ἀρνούμενος τοῦτο, ἐφρόνει καὶ ἐκήρυττεν, ὅτι ἐστὶ Χριςοτόκος· πάντες οἱ αἱρετικοὶ κατεφρόνησαν τὸ κοινὸν καὶ ἅγιον τῶν εὐσεβῶν φρόνημα, καὶ ἐφρόνουν ἴδια ἀλλόκοτα καὶ ἀντίθεα φρονήματα· ἐκ ταύτης δὲ τῆς ἀσυμφωνίας τῶν φρονημάτων ἐξωρίσθη ἐκ τῶν καρδιῶν αὐτῶν ἡ ἀρετὴ τῆς ἀγάπης· ἐκ τούτου δὲ πόσας φιλονεικίας αὐτοὶ ἐξήγειραν, καὶ πόσας ἔχθρας καὶ διωγμοὺς καὶ καταδυναστείας καὶ πολέμους, καὶ πόσον αἷμα ἁγίων ὁμολογητῶν ἔχυσαν, καὶ πόσα πάνδεινα καὶ ἐλεεινὰ κακὰ ἐποίησαν, γνωστά εἰσιν εἰς ὅσους ἀναγινώσκουσι τῆς ἐκκλησιαστικῆς ἱστορίας τὰ βιβλία. Ἐὰν αὐτοὶ πάντες ἦσαν ὁμόφρονες καὶ ὁμογνώμονες τοῖς εὐσεβέσι, κατὰ τὴν προσευχὴν τοῦ Ἰησοῦ Χριστοῦ καὶ τὴν δέησιν τοῦ Ἀποστόλου Παύλου, οὐ μόνον οὐδὲν τῶν τοιούτων κακῶν ἐφαίνετο, ἀλλ᾽ ἀντ᾽ αὐτῶν ἐπέλαμπεν ἐπ᾽ αὐτοὺς ἡ μακαρία καὶ σωτήριος ἀγάπη, καὶ τοῦ πλησίον ἡ ὠφέλεια καὶ ἡ σωτηρία.

Ἀλλ᾽ ἐὰν ὑπὲρ τῆς ὁμοφροσύνης, λέγεις, ἐδεήθη οὐ μόνον ὁ Παῦλος, ἀλλὰ καὶ αὐτὸς ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ, ὁ Θεάνθρωπος Ἰησοῦς, φανερόν ἐστιν, ὅτι αὐτή ἐστι χάρισμα ὑπὸ Θεοῦ, ἄνωθεν πεμπόμενον εἰς ἐκείνους τοὺς ἀνθρώπους, εἰς ὅσους αὐτὸς εὐδοκήσει· ἐπειδὴ οὖν ἡ κατὰ Χριστὸν ὁμόνοιά ἐστι δῶρον Θεοῦ, ἐγὼ οὐδὲν χρεωστῶ ποιῆσαι ὑπὲρ τῆς τούτου κτήσεως. Ἐὰν ὁ Θεὸς φωτίσῃ τὸν νοῦν μου, ἵνα φρονῇ τὸ φρόνημα τῶν ὀρθοδόξων, εἰμὶ ὀρθόδοξος· ἐὰν δὲ μὴ ἐξαποστείλῃ μοι τῆς μετ᾽ αὐτῶν ὁμοφρονύνης τὸ δῶρον, γίνομαι κακόδοξος. Ἐὰν ὁ Θεὸς πείσῃ με, ἵνα φρονῶ ὅσα φρονοῦσιν οἱ ἐνάρετοι, γίνομαι ἐνάρετος· ἐὰν δὲ μὴ ἐξαποστείλῃ μοι τῆς μετὰ τούτων



ὁμογνωμοσύνης τὸ δῶρον, γίνομαι παμπόνηρος. Ἀληθῶς δῶρον Θεοῦ ἐστιν ἡ κατὰ Χριστὸν ὁμοφροσύνη, καθὼς καὶ πᾶν ἄλλο ἀγαθόν· πλήν, ἐπειδὴ ὁ Θεός ἐστι δίκαιος, οὐκ ἐξαποστέλλει τὰ δῶρα αὐτοῦ, εἰμὴ εἰς ἐκείνους, οἵτινες γίνονται τῶν δώρων αὐτοῦ ἄξιοι. Βλέπε δὲ τὸν θεῖον Ἀπόστολον, πῶς πρὶν ἢ δεηθῇ τοῦ Θεοῦ ὑπὲρ τῆς ὁμοφροσύνης, ἔδωκε παραγγελίας δι᾽ ὧν προκατασκευάζομεν καὶ προετοιμάζομεν ἑαυτοὺς πρὸς τὴν ὑποδοχὴν τούτου τοῦ μεγάλου χαρίσματος· « Ὀφείλομεν, εἶπεν, » ἡμεῖς οἱ δυνατοὶ τὰ ἀσθενήματα τῶν ἀδυ» νάτων βαςάζειν, καὶ μὴ ἑαυτοῖς ἀρέσκειν. » Ἕκαστος γὰρ ὑμῶν τῷ πλησίον ἀρεσκέ» τω εἰς τὸ ἀγαθὸν πρὸς οἰκοδομήν » (1). Μετὰ δὲ ταύτας τὰς παραγγελίας εὐχηθείς, εἶπεν· « Ὁ δὲ Θεὸς τῆς ὑπομονῆς καὶ τῆς » παρακλήσεως δῴη ὑμῖν τὸ αὐτὸ φρονεῖν » ἐν ἀλλήλοις κατὰ Χριστὸν Ἰησοῦν » (2). Ἐὰν οὖν ἡμεῖς βαςάζωμεν τὰ ἀσθενήματα τῶν ἀδυνάτων, καὶ ἀρέσκωμεν οὐχὶ ἑαυτοῖς, ἀλλὰ τῷ πλησίον ἡμῶν πρὸς ὠφέλειαν καὶ ἀπαρτισμὸν αὐτοῦ, ὁ Θεός, βλέπων ἡμᾶς ἑτοίμους καὶ ἀξίους τῶν ἑαυτοῦ δωρεῶν, ἐξαποςέλλει ἡμῖν τῆς ὁμονοίας τὸ μέγα χάρισμα.

Ὁ θεῖος Παῦλος, ἵνα πείσῃ ἡμᾶς πρὸς τὴν ἐκπλήρωσιν τῆς σωτηρίου αὐτοῦ παραγγελίας, προβάλλει ἡμῖν τὸ παράδειγμα τοῦ Ἰησοῦ Χριστοῦ· « Καὶ γὰρ ὁ Χριστὸς » οὐχ ἑαυτῷ ἤρεσε, λέγει, ἀλλά, καθὼς γέ» γραπται· οἱ ὀνειδισμοὶ τῶν ὀνειδιζόντων « σε ἐπέπεσον ἐπ᾽ ἐμέ » (3). Ἀτενίζω οὖν εἰς τὸν Ἰησοῦν Χριστὸν τὸν Σωτῆρά μου, καὶ βλέπω, ὅτι οἱ μὲν Ἰουδαῖοι ὑβρίζουσιν αὐτόν, κραυγάζοντες παῤῥησίᾳ· « Οὐ καλῶς » λέγομεν ἡμεῖς, ὅτι Σαμαρείτης εἶ σύ, καὶ » δαιμόνιον ἔχεις; » (4). Αὐτὸς δὲ μετὰ πάσης πρᾳότητος ἀποκρινόμενος, νουθετεῖ αὐτοὺς καὶ διδάσκει τὰ πρὸς τὴν ἑαυτῶν σωτηρίαν· βαστάζω ἆρά γε ἐγὼ τοιουτοτρόπως τὸ ἀσθένημα, ἤγουν τὸν θυμὸν καὶ τὴν ὀργὴν τοῦ ὑβρίζοντός με; οὐαί μοι, ἐγὼ φλογίζομαι ὑπὸ τοῦ θυμοῦ, ὅταν ἀκούσω τὰς ὕβρεις μου, καὶ ἀνθυβρίζω, καὶ ἐὰν τύχῃ δέρω καὶ τραυματίζω τὸν ὑβριστήν μου· οἱ Φαρισαῖοι ἀνυποστόλως συκοφαντοῦσι τὸν Ἰησοῦν Χριςὸν ἐνώπιον πάντων. « Οὗ» τος, λέγουσιν, οὐκ ἐκβάλλει τὰ δαιμόνια, » εἰμὴ ἐν τῷ Βεελζεβούλ, ἄρχοντι τῶν δαι» μονίων » (5). Αὐτὸς δὲ ἀποκρινόμενος σπεύδει, ἵνα διὰ διαφόρων ἀποδείξεων ἐλευθερώσῃ αὐτοὺς ἀπὸ τῆς πλάνης, καὶ ὁδηγήσῃ πρὸς τὴν κατανόησιν τῆς ἀληθείας· βαστάζω ἆρά γε ἐγὼ κατὰ τὸν αὐτὸν τρόπον τὸ σφάλμα, ἤγουν τὸν φθόνον ἢ τὸ μῖσος τῆς προαιρέσεως τοῦ συκοφάντου μου; οὐαί μοι, ἐγὼ πλέκω κατ᾽ αὐτοῦ συκοφαντίαν βαρυτέραν, καὶ σκάπτω λάκκον, ἵνα καταθάψω αὐτὸν ἐκεῖ. Ὁ Ἰσκαριώτης Ἰούδας παρέδωκε τὸν Ἰησοῦν Χριςὸν εἰς θάνατον· αὐτὸς δέ, ὅταν εἶδεν αὐτὸν ἐρχόμενον, ἵνα διὰ τοῦ φιλήματος παραδώσῃ αὐτόν, εἶπε· Φίλε μου διὰ ποίαν αἰτίαν παρίςασαι ἐνώπιόν μου; « Ἑταῖρε, ἐφ᾽ ᾧ πάρει; » (6) Ἆρά γε ὑποδέχομαι ἐγὼ κατὰ τὸν αὐτὸν τρόπον τὸν προδότην μου; λέγω ἆρά γε καὶ ἐγὼ πρὸς αὐτόν, ὅταν ἔλθῃ πρός με, φίλε μου, διατί παρίςασαι ἐνώπιόν μου; οὐαί μοι, ἐγὼ ῥάπτω κατ᾽ αὐτοῦ πᾶσαν ἐπιβουλὴν καὶ ἑτοιμάζω πᾶσαν παγίδα καὶ βρόχον.

Βλέπε τὸν Ἰησοῦν Χριστὸν μετὰ πόσης ἀνεξικακίας βαστάζει τῶν κριτῶν αὐτοῦ τὴν ἀδικοκρισίαν, τῶν ςρατιωτῶν τὰ περι-

(1) Ῥωμ. 15, 1, 2. (2) Αὐτ. 5. (3) Αὐτ. 15, 3. (4) Ἰωάν. 8, 48. (5) Ματθ. 12, 24. (6) Αὐτ. 26, 50.

παίγνια, τοῦ λαοῦ τὰ ἐμπτύσματα, τοὺς κολαφισμούς, τὰ ῥαπίσματα, τῶν σταυρωσάντων αὐτὸν τὴν ἀσπλαγχνίαν· οὐ μόνον μετ᾽ ἀνεικάστου συμπαθείας ἐβάστασε πάντα, ἀλλὰ καὶ ἐν αὐτῷ τῷ σταυρῷ κρεμάμενος, παρεκάλεσε τὸν Θεὸν καὶ πατέρα αὐτοῦ, ἵνα συγχωρήσῃ τὰ τούτων πταίσματα « Πάτερ, εἶπεν, ἄφες αὐτοῖς, οὐ γὰρ » οἴδασι τί ποιουσι » (1). Τρισάθλιοι ἡμεῖς, οὐδὲ ἕνα πικρὸν λόγον βαστάζομεν, οὐδὲ ἓν αὐστηρόν, ἢ περιπαικτικὸν σχῆμα τοῦ πλησίον ἡμῶν ὑποφέρομεν. Ὁ Ἰησοῦς Χριστὸς ἐβάστασε πάθος καὶ σταυρὸν καὶ θάνατον, ἀναμάρτητος ὤν, ἵνα ἡμᾶς ἐλευθερώσῃ ἐκ τῆς κολάσεως· ἡμεῖς δὲ οὐδέ ὀλιγώτατον κόπον στέργομεν, οὐδὲ βραχυτάτην ἐνόχλησιν ὑπομένομεν, ἵνα τοὺς ἀδελφοὺς ἡμῶν εὐεργετήσωμεν· ἡμεῖς πεπληρωμένοι ὄντες ἁμαρτημάτων, οὐ μόνον τὰ ἀσθενήματα τῶν ἐνοχλούντων ἡμᾶς οὐ βαστάζομεν, ἀλλ᾽ οὐδὲ τὰ ἀσθενήματα τῶν μηδεμίαν ἐνόχλησιν προξενούντων ἡμῖν συμπαθοῦμεν· βλέπομεν τοὺς ἀδελφοὺς ἡμῶν ἁμαρτάνοντας, καὶ οὐ μόνον οὐκ ἐπιμελούμεθα περὶ τῆς διορθώσεως αὐτῶν, οὐ μόνον οὐ καλύπτομεν τὴν ἁμαρτίαν αὐτῶν, ἀλλὰ περιερχόμενοι ἔνθεν κἀκεῖθεν καταλαλοῦντες καὶ κατακρίνοντες αὐτούς, κοινολογοῦμεν καὶ καταθεατρίζομεν τὰ τούτων σφάλματα.

Πῶς οὖν δυνάμεθα, τοιοῦτοι ὄντες, γενέσθαι μέτοχοι τοῦ θείου δώρου τῆς ὁμοφροσύνης, περὶ ἧς ἐδεήθη οὐ μόνον ὁ Παῦλος, ἀλλὰ καὶ αὐτὸς ὁ Θεάνθρωπος Ἰησοῦς; καθὼς ἡμεῖς οὐδὲ εἰς τὰ συντετριμμένα, οὐδὲ εἰς τὰ ῥεῤῥυπωμένα σκεύη βάλλομεν τὸ πολύτιμον μῦρον· οὕτως οὐδὲ ὁ Θεὸς βάλλει τὰ ἀτίμητα αὐτοῦ δῶρα εἰς τὰς καρδίας τῶν ἀσυμπαθῶν, τῶν μὴ θελόντων βαστάζειν τοῦ πλησίον αὐτῶν τὰ σφάλματα· ἐκ τούτου ἐστερημένοι μένομεν τοῦ οὐρανίου τῆς ὁμοφροσύνης χαρίσματος· ἐκ τούτου οὐδὲ εἰς τὰς πόλεις, οὐδὲ εἰς τὰς οἰκίας, οὐδὲ εἰς τὴν συγγένειαν, οὐδὲ εἰς τὰ ἱερὰ καταγώγια βλέπεις ὁμόνοιαν· πανταχοῦ βασιλεύει ἡ διχόνοια, πανταχοῦ ἑτεροφροσύνη καὶ ἀσυμφωνία· ἐξ αὐτῶν δὲ προέρχονται τὰ σκάνδαλα, αἱ ἀλληλομαχίαι, οἱ πόλεμοι, καὶ τὰ μυρία καὶ πάνδεινα δυστυχήματα.

Ἀδελφοί μου ἀγαπητοί, ἡ ἀποστολικὴ ἐντολή, ἣν σήμερον ἠκούσατε, ἐστὶν ὠφέλιμος οὐ μόνον εἰς τὴν ψυχήν, ἀλλὰ καὶ εἰς τὸ σῶμα, οὐ μόνον οἰκοδομεῖ τὴν ψυχικὴν κατάστασιν, ἀλλὰ στηρίζει καὶ τὴν πολιτικὴν διοίκησιν· κραταιὰ καὶ ἀνεπιβούλευτος ἐκείνη ἡ πόλις, ἧς οἱ πολῖται βαστάζουσιν ἀλλήλων τὰ βάρη· εἰρηνικὴ καὶ εὐοδουμένη ἐκείνη ἡ οἰκία καὶ ἡ ἀδελφότης καὶ ἡ συζυγία ἐν ᾗ ὁ εἷς ὑποφέρει τοῦ ἄλλου τὸ ἐλάττωμα· πανευτυχὴς πᾶσα ὁμήγυρις, ἐν ᾗ φυλάττεται τοῦτο τὸ ἀποστολικὸν παράγγελμα· ἡ τούτου ἐκπλήρωσις περιθάλπει καὶ ἐπιστηρίζει εἰς τὰς καρδίας ἡμῶν τὴν μεγάλην ἀρετὴν τῆς ἀγάπης· ἐξ αὐτῆς δὲ πάντα τὰ ἐπίγεια ἀγαθά, ἐξ αὐτῆς καὶ ἡ αἰώνιος σωτηρία. Μνημονεύετε οὖν διαπαντὸς τὸ ἀποστολικὸν παράγγελμα· « Ὀφείλομεν » ἡμεῖς οἱ δυνατοὶ τὰ ἀσθενήματα τῶν ἀ» δυνάτων βαστάζειν, καὶ μὴ ἑαυτοῖς ἀρέ» σκειν » (2). Ἔχετε πάντοτε ἐνώπιον τῶν ὀφθαλμῶν ὑμῶν ταύτην τὴν ἁγίαν ἐντολήν· διότι, ἐὰν φυλάττητε αὐτήν, δι᾽ αὐτῆς ἀναπληροῦτε τὸν νόμον τοῦ Ἰησοῦ Χριστοῦ· « Ἀλ» λήλων τὰ βάρη βαστάζετε, καὶ οὕτως ἀ» πληρώσατε τὸν νόμον τοῦ Χριστοῦ » (3).

(1) Λουκ. 23, 34. (2) Ῥωμ. 15, 1. (3) Γαλ. 6, 2.



# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΗΝ ΠΡΩΤΗΝ ΠΡΟΣ

# ΚΟΡΙΝΘΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗι Η΄. ΚΥΡΙΑΚΗι.

ΠΟΛΙΣ τῆς Ἀχαΐας ἐστὶν ἡ Κόρινθος, πλουσιωτάτη μὲν εἰς τοὺς παλαιοὺς καιροὺς διὰ τὰ ἐν αὐτῇ γινόμενα μεγάλα τῶν πραγματευτῶν ἐμπόρια, πολλοὺς δὲ ἔχουσα τότε τοὺς ἐγκατοίκους καὶ τοὺς ἐν αὐτῇ ἐπιδημοῦντας· μεταξὺ δὲ αὐτῶν πολλοὶ ἦσαν καὶ σοφισταὶ καὶ ῥήτορες καὶ φιλόσοφοι, ἐν οἷς καὶ ὁ Περίανδρος, εἷς τῶν ἑπτὰ σοφῶν τῆς Ἑλλάδος· ἐν αὐτῇ δὲ τῇ ἐπισημοτάτῃ πόλει ἐλθὼν ὁ Παῦλος, ἔσπειρε πρῶτος τῶν εὐαγγελικῶν δογμάτων τὰ θεῖα σπέρματα· ἐπίστευσε δὲ εἰς τὸν Κύριον Ἰησοῦν Χριστὸν ὁ Κρίσπος, ὁ τῶν Ἰουδαίων ἀρχισυνάγωγος « Σὺν ὅλῳ τῷ οἴκῳ αὐτοῦ » (1)· καὶ πολλοὶ τῶν Κορινθίων ἀκούοντες, ἐπίστευον καὶ ἐβαπτίζοντο. Κατ᾽ ἐπιταγὴν δὲ τοῦ Κυρίου ἔμεινεν ἐκεῖ ὁ Παῦλος διδάσκων τὸν λόγον τοῦ Θεοῦ ἐνιαυτὸν καὶ μῆνας ἕξ· διότι ἐν ὁράματι τῆς νυκτὸς φανεὶς αὐτῷ ὁ Κύριος, εἶπε πρὸς αὐτόν· « Μὴ φοβοῦ, ἀλ» λὰ λάλει, καὶ μὴ σιωπήσῃς· διότι λαός » ἐστί μοι πολὺς ἐν τῇ πόλει ταύτῃ » (2). Μετὰ δὲ τὴν τούτου ἀναχώρησιν ἀπὸ τῆς Κορίνθου ἔγραψε ταύτην τὴν πρὸς τοὺς Κορινθίους πρώτην ἐπιστολὴν αὐτοῦ, ἀφορμὴν λαβὼν ἀπὸ τῆς ἐπιστολῆς, ἣν αὐτοὶ ἀπέστειλαν πρὸς αὐτόν, προβάλλοντες αὐτῷ ζητήματα περὶ παρθενίας καὶ γάμου, ὡς φαίνεται ἐκ τούτων τῶν ἀποκριτικῶν αὐτοῦ λόγων· « Περὶ δὲ ὧν ἐγράψατέ μοι, » καλὸν ἀνθρώπῳ γυναικὶ μὴ ἅπτεσθαι » (3). Καὶ ἔγραψε μὲν ταύτην τὴν ἐπιστολὴν ὁ Παῦλος ἐν Μακεδονίᾳ εὑρισκόμενος, ὡς αὐτὸς μαρτυρεῖ, λέγων· « Ἐλεύσομαι πρὸς » ὑμᾶς, ὅταν Μακεδονίαν διέλθω· Μακε» δονίαν γὰρ διέρχομαι » (4). Περιέχει δὲ ἡ ἐπιστολὴ οὐ μόνον τὴν ἀπόκρισιν εἰς τὰ πρὸς αὐτὸν γραφέντα, ἀλλὰ καὶ πολλὰς θαυμασίας νουθεσίας περὶ διαφόρων ὑποθέσεων, καὶ ἐλέγχους δὲ καὶ ἐπιτίμια κατὰ τῶν σχισμάτων καὶ τῶν ἁμαρτημάτων, τῶν ἀναφανέντων ἐν Κορίνθῳ, ἀφ᾽ οὗ αὐτὸς ἐκεῖθεν ἀνεχώρησε, καὶ πρῶτον μέν, κατὰ τὴν αὐτοῦ συνήθειαν, ἔγραψεν εὐχὰς καὶ ἐπαίνους ἔπειτα μετὰ πολλῆς ἐμφάσεως ἄρχεται τῆς νουθεσίας, λέγων·

*Ἀδελφοί, παρακαλῶ ὑμᾶς διὰ τοῦ ὀνόματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἵνα τὸ αὐτὸ λέγητε πάντες, καὶ μὴ ᾖ ἐν ὑμῖν σχίσματα, ἦτε δὲ*

(1) Πράξ. 18, 8. (2) Αὐτ. 9, 10. (3) Α΄. Κορ. 7, 1. (4) Α΄. Κορ. 16, 5.

*κατηρτισμένοι ἐν τῷ αὐτῷ νοΐ καὶ ἐν τῇ αὐτῇ γνώμῃ* (1).

Καθὼς οἱ ἀποστελλόμενοι ὑπὸ τοῦ ἐπιγείου βασιλέως, ἵνα κηρύξωσι τὸ τούτου πρόσταγμα, πρὸς πίστωσιν τοῦ λόγου δηλοποιοῦσι πρὸς τοὺς ἀκροατάς, ὅτι ἐξ ὀνόματος τοῦ βασιλέως κηρύττουσι τὰ ὑπ' αὐτῶν λεγόμενα· οὕτω καὶ ὁ θεοῤῥήμων Παῦλος, ὁ ὑπὸ τοῦ ἐπουρανίου βασιλέως ἀποσταλεὶς κήρυξ καὶ διδάσκαλος τῶν ἐντολῶν αὐτοῦ, ἵνα ἐπιβεβαιώσῃ πᾶσαν τὴν οἰκουμένην, ὅτι ὅσα διδάσκει, εἰσὶ προστάγματα Θεοῦ, λέγει, ὅτι ἐξ ὀνόματος τοῦ Ἰησοῦ Χριστοῦ παρακαλεῖ· « Παρακαλῶ ὑμᾶς, » λέγει, διὰ τοῦ ὀνόματος τοῦ Κυρίου ἡμῶν » Ἰησοῦ Χριστοῦ ». Τί δὲ παρακαλεῖ; ἵνα πάντες λέγωσιν ἓν καὶ τὸ αὐτό, καὶ ἵνα μὴ λέγῃ ὁ μὲν τοῦτο, ὁ δὲ ἐκεῖνο, καὶ οὕτω σχίζονται καὶ διαχωρίζονται ἀπ' ἀλλήλων· ἐπειδὴ δὲ οἱ ὑποκριταὶ ἄλλα μὲν λέγουσιν, ἄλλα δὲ φρονοῦσι, καὶ οὐδὲ τὰ νοήματα οὐδὲ τὰς γνώμας ἔχουσι, συμφώνους τοῖς λόγοις, τοῖς ἐκπορευομένοις ἐκ τοῦ στόματος αὐτῶν, διὰ τοῦτο οὐ μόνον εἶπεν· « Ἵνα » τὸ αὐτὸ λέγητε πάντες », ἀλλὰ προσέθηκε καὶ τό, « Ἦτε δὲ κατηρτισμένοι ἐν » τῷ αὐτῷ νοΐ καὶ ἐν τῇ αὐτῇ γνώμῃ »· ἤγουν ἔχετε τελείαν συμφωνίαν καὶ κατὰ τὰ νοήματα καὶ κατὰ τὰς γνώμας· ὅπερ ἐστίν, ἵνα καὶ τὰ λόγια τοῦ στόματος, καὶ τὰ νοήματα καὶ αἱ γνῶμαι τῆς διανοίας αὐτῶν ἔχωσι τελείαν συμφωνίαν· βλέπε δέ, ὅτι τὰ αὐτὰ ἐδίδασκε οὐ μόνον τοὺς Κορινθίους, ἀλλὰ καὶ τοὺς Ῥωμαίους. Πρὸς ἐκείνους μὲν ἔλεγεν· « Ἦτε δὲ κατηρτισμέ» νοι ἐν τῷ αὐτῷ νοΐ καὶ ἐν τῇ αὐτῇ γνώ» μῃ » (2)· πρὸς τούτους δὲ « Ὁ δὲ Θεὸς » τῆς ὑπομονῆς καὶ τῆς παρακλήσεως δῴη » ὑμῖν τὸ αὐτὸ φρονεῖν ἐν ἀλλήλοις». Πρὸς ἐκείνους· « Ἵνα τὸ αὐτὸ λέγητε πάντες, » καὶ μὴ ᾖ ἐν ὑμῖν σχίσματα ». Πρὸς τούτους· « Ἵνα ὁμοθυμαδὸν ἐν ἑνὶ στόματι » δοξάζητε τὸν Θεὸν καὶ Πατέρα τοῦ Κυ» ρίου ἡμῶν Ἰησοῦ Χριστοῦ » (3). Ἀλλὰ διὰ τί πρὸς μὲν τοὺς Ῥωμαίους ἔγραφε ταῦτα εὐχετικῶς, πρὸς δὲ τοὺς Κορινθίους παρακαλεστικῶς; διότι οἱ μὲν Ῥωμαῖοι τὸ αὐτὸ ἔλεγον καὶ τὸ αὐτο ἐφρόνουν· ὅθεν διὰ τῆς εὐχῆς προεφύλαττε καὶ ἐπεςήριζεν αὐτούς. Πρὸς δὲ τοὺς Κορινθίους ἔγραφε παρακαλεστικῶς ἅμα καὶ προστακτικῶς, ἐπειδὴ γνωστὸν ἐγένετο εἰς αὐτόν, ὅτι εἶχον φιλονεικίας καὶ ἀσυμφωνίας μεταξὺ ἀλλήλων καὶ σχίσματα.

*Ἐδηλώθη γάρ μοι περὶ ὑμῶν, ἀδελφοί μου, ὑπὸ τῶν Χλόης, ὅτι ἔριδες ἐν ὑμῖν εἰσι. Λέγω δὲ τοῦτο, ὅτι ἕκαστος ὑμῶν λέγει· ἐγὼ μέν εἰμι Παύλου, ἐγὼ δὲ Ἀπολλώ, ἐγὼ δὲ Κηφᾶ, ἐγὼ δὲ Χριστοῦ* (4).

« Ὑπὸ τῶν Χλόης » (5), σημαίνει ὑπὸ τῶν ἐκ τοῦ οἴκου, ἢ ὑπὸ τῶν ἐν τῇ ἐξουσίᾳ τῆς Χλόης, ἥτις ἴσως ἦν γυνὴ Κορινθία, καθὼς καί, τοὺς ἐκ τῶν Ἀριστοβούλου, καὶ τοὺς ἐκ τῶν Ναρκίσσου, σημαίνει τοὺς ἐκ τῆς οἰκίας τοῦ Ἀριστοβούλου καὶ τοῦ Ναρκίσσου· καὶ τὸ μέν « λέγω δὲ τοῦτο », σημαίνει τό, λόγου χάριν, παραδείγματος χάριν, Τὸ δὲ « Ἕκαστος ὑμῶν » τό, εἷς ἐξ ὑμῶν, ἄλλος τις ἐξ ὑμῶν. Κηφᾶν δὲ λέγει οὐχὶ τὸν Πέτρον, ἀλλά τινας τῶν μαθητῶν αὐτοῦ· διότι οὐδεὶς ἱστόρησεν, ὅτι ὁ Πέτρος ἐκήρυξεν εἰς τὴν Κόρινθον τοῦ Εὐ-

(1) Α'. Κορ. 1, 10. (2) Ρωμ. 15, 5. (3) Αὐτ. 6. (4) Α'. Κορ. 1, 11, 12. (5) Ρωμ. 16, 10, 11.



αγγελίου τὸν λόγον· παρατήρησον δέ, μετὰ πόσης σοφίας ὁ Παῦλος ἐλέγχει τοὺς Κορινθίους· πρῶτον μὲν γλυκαίνει τὴν πικρότητα τοῦ ἐλέγχου διὰ τῆς γλυκύτητος τοῦ ἀδελφικοῦ ὀνόματος· Ἀδελφοί μου, λέγει· δεύτερον σμικρύνει τὸ βάρος τοῦ ἁμαρτήματος, ὀνομάσας αὐτὸ ἔριδας· τρίτον σιωπᾷ μὲν τὸ ὄνομα τοῦ ἀνθρώπου, ὅστις ἐφανέρωσεν εἰς αὐτὸν τὰ τῶν Κορινθίων ἁμαρτήματα, ἵνα μὴ ὑποβάλλῃ αὐτὸν ὑπὸ τὴν τούτων ὀργὴν καὶ ἀγανάκτησιν· ἵνα δὲ ὁ λόγος αὐτοῦ ἔχῃ τὸ ἀξιόπιστον, οὐ λαλεῖ πάντῃ ἀορίστως, ἀλλὰ τρόπον τινὰ ὡρισμένως, λέγων, ὅτι οἱ ἐκ τῆς οἰκίας τῆς Χλόης ἐφανέρωσαν αὐτῷ ταῦτα· διὰ ποίαν δὲ αἰτίαν ὁ Παῦλος προέταξεν ἑαυτὸν οὐ μόνον τοῦ Ἀπολλὼ καὶ τοῦ Κηφᾶ, ἀλλὰ καὶ αὐτοῦ τοῦ Ἰησοῦ Χριστοῦ; Ἡ ὑπ' αὐτοῦ πλεχθεῖσα τῶν ὀνομάτων σειρὰ προβαίνει οὐχὶ ἀπὸ τοῦ ἀνωτέρου εἰς τὸ κατώτερον, ἀλλ' ἀπὸ τοῦ κατωτέρου εἰς τὸ ἀνώτατον· ὅθεν κἂν πρῶτον ἔθετο τὸ ὄνομα αὐτοῦ, ὕστερον ὅμως λογίζεται διὰ τὴν τῶν προσώπων ἀκολουθίαν· τοιουτοτρόπως δὲ ἔπλεξε ταύτην τὴν σειράν, ἵνα δείξῃ, ὅτι ἔσχατοι ἦσαν οἱ λέγοντες, ὅτι ἦσαν μαθηταὶ τοῦ Χριστοῦ, καὶ οὕτως ἐλεγχθῶσι σφοδρότερον τῶν Κορινθίων αἱ διαφωνίαι. Ἀδελφοί μου, λέγει, ἐφανέρωσάν μοι περὶ ὑμῶν οἱ ἐκ τοῦ οἴκου τῆς Χλόης, ὅτι ἔχετε φιλονεικίας· λόγου χάριν, ὅτι ἄλλος μὲν ἐξ ὑμῶν λέγει, ἐγώ εἰμι μαθητὴς καὶ ἀκόλουθος τοῦ Παύλου· ἄλλος, ἐγὼ δὲ τοῦ Ἀπολλώ· ἄλλος, ἐγὼ δὲ τοῦ Κηφᾶ· ἄλλος, ἐγὼ δὲ τοῦ Χριστοῦ. Λέγουσι δέ τινες, ὅτι οἱ Κορίνθιοι οὐκ ὠνόμαζον ἑαυτοὺς μαθητὰς τοῦ Παύλου, οὐδὲ τοῦ Ἀπολλώ, οὐδὲ τοῦ Κηφᾶ, ἀλλ' ἄλλων τινῶν διδασκάλων (1)· ὁ δὲ Παῦλος μετεσχημάτισε ταῦτα, ὡς αὐτὸς λέγει, εἰς ἑαυτὸν καὶ τὸν Ἀπολλώ (2), πρῶτον μέν, ἵνα μὴ καταισχύνῃ τοὺς τοιούτους διδασκάλους, καὶ ἑπομένως ἐκθηριώσῃ αὐτούς· δεύτερον δέ, ἵνα παραστήσῃ τὸ ἄτοπον βαρύτερον· διότι, ἐὰν ἡμάρτανον, ὀνομάζοντες ἑαυτοὺς μαθητὰς τῶν ἀληθινῶν διδασκάλων αὐτῶν, ἤγουν τοῦ Παύλου, ἢ τοῦ Ἀπολλώ, ἢ τοῦ Κηφᾶ, πολλῷ μᾶλλον ἡμάρτανον, ὀνομάζοντες ἑαυτοὺς μαθητὰς ἀνθρώπων, οἵτινες οὐδὲ ἀπεσταλμένοι ἦσαν ὑπὸ Θεοῦ, οὐδὲ εἶχον τοῦ εὐαγγελικοῦ κηρύγματος τὸ χάρισμα· διὰ τὸν αὐτὸν δὲ λόγον συνηρίθμησε καὶ τοῦ Χριστοῦ τὸ ὄνομα, ἵνα δείξῃ δηλονότι, πόσην μεγάλην ἀτοπίαν ἐποίουν, συντάσσοντες τὸν δεσπότην μετά τῶν δούλων. Ἐὰν δὲ νοήσῃς, ὅτι ὁ λόγος τοῦ Παύλου οὐκ ἔστι μετεσχηματισμένος, ἀλλ' ἁπλοῦς, οὐκ ἔστιν οὐδὲ ἐσφαλμένον, οὐδὲ ἀπίθανον τὸ νόημά σου· διότι ἀληθῶς ὁ μὲν Παῦλος πρῶτος ἐδίδαξε τὸ Εὐαγγέλιον εἰς τὴν Κόρινθον (3), μετ' αὐτὸν δὲ ὁ Ἀπολλώς (4), καὶ μετ' αὐτὸν ἢ σὺν αὐτῷ μαθηταί τινες ἴσως τοῦ Πέτρου. Ὅθεν οἱ μὲν ὑπὸ τοῦ Παύλου διδαχθέντες καὶ πιστεύσαντες, ἔλεγον, ὅτι εἰσὶ τοῦ Παύλου· οἱ δὲ ὑπὸ τοῦ Ἀπολλώ, ὅτι εἰσὶ τοῦ Ἀπολλώ· οἱ δὲ ὑπὸ τῶν μαθητῶν τοῦ Κηφᾶ, ὅτι εἰσὶ τοῦ Κηφᾶ· ὅσοι δὲ οὐκ ἐσχίσθησαν ἀπ' ἀλλήλων, ἀλλ' ἔμειναν σύμφωνοι, ἐκεῖνοι ἔλεγον, ὅτι εἰσὶ μαθηταὶ τοῦ Χριςοῦ· στηρίζουσι δὲ τοῦτο τὸ νόημα ταῦτα τοῦ Παύλου τὰ λόγια· « Μὴ Παῦλος ἐσταυρώ» θη ὑπὲρ ὑμῶν, ἢ εἰς τὸ ὄνομα Παύ» λου ἐβαπτίσθητε; (5) Τίς οὖν ἐστι Παῦ» λος, τίς δὲ Ἀπολλώς, ἀλλ' ἢ διάκονοι,

(1) Χρυσ. Θεοδ. Οἰκουμ. Θεοφ. Αὐτ. (2) Α'. Κορ. 4, 6. (3) Πράξ. 18, 1. (4) Αὐτ. 19, 1. (5) Α'. Κορ. 1, 13.

» δι' ὧν ἐπιστεύσατε, καὶ ἑκάστῳ ὡς ὁ » Κύριος ἔδωκεν; Ἐγὼ ἐφύτευσα, Ἀπολ» λὼς ἐπότισεν, ἀλλ' ὁ Θεὸς ηὔξανε » (1). Τὸ δέ, « Μετεσχημάτισα εἰς ἐμαυτὸν καὶ » Ἀπολλώ », σημαίνει, ὅτι ἐσιώπησε πάντα τὰ τῶν ἄλλων διδασκάλων ὀνόματα, μεταῤῥυθμίσας αὐτὰ εἰς τὸ ἑαυτοῦ ὄνομα καὶ τὸ τοῦ Ἀπολλώ. Ταῦτα δὲ εἰπών, ἐπιφέρει εὐθὺς τὸ ἄτοπον, τὸ ἐξ ἀνάγκης ἑπόμενον ἐκ τῶν τοιούτων φιλονεικιῶν καὶ σχισμάτων.

*Μεμέρισται ὁ Χριστός; μὴ Παῦλος ἐσταυρώθη ὑπὲρ ὑμῶν, ἢ εἰς τὸ ὄνομα Παύλου ἐβαπτίσθητε;* (2)

Πολλάκις ἡ ἐρώτησις ἔχει δύναμιν βεβαιώσεως. Ὅθεν τὸ ἐρωτηματικὸν τοῦτο λόγιον « Μεμέρισται ὁ Χριστός; » ἰσοδυναμεῖ μετὰ τοῦ βεβαιωτικοῦ, ἤγουν τοῦ Μεμέρισται ὁ Χριστός· ἐμερίσθη, λέγει, ὦ Κορίνθιοι, ὁ Χριστὸς ἐκ μέρους ὑμῶν· ἀλλὰ τίς ὁ τούτου λόγος; « Πάντες οἱ πιστοί εἰσι » σῶμα Χριστοῦ καὶ μέλη ἐκ μέρους » (3). ἐπειδὴ οὖν οἱ Κορίνθιοι ἐσχίσθησαν ἀπ' ἀλλήλων, καὶ ἐχώρισαν ἑαυτοὺς ἀπὸ τοῦ σώματος τοῦ Χριστοῦ, λέγοντες, ὅτι εἰσὶ τοῦ Παύλου, ἢ τοῦ Ἀπολλώ, ἢ τοῦ Κηφᾶ, διὰ τοῦτο ὅσον τὸ κατ' αὐτοὺς ἐμερίσθη ὁ Χριστός, ἤγουν τὸ σῶμα τοῦ Ἰησοῦ Χριστοῦ, τουτέστιν ἡ ἐκκλησία. Μετὰ δὲ τοῦτον τὸν ἔλεγχον ἐπιφέρει λόγον ἀποδεικτικὸν τῆς παραλογίας τοῦ σχίσματος αὐτῶν· ἐπειδὴ αὐτοὶ ἔλεγον, ὅτι εἰσὶν ὀπαδοὶ καὶ ἀκόλουθοι τοῦ Παύλου, αὐτὸς ἀποκρίνεται πρὸς αὐτοὺς οὕτω. Μήπως ὁ Παῦλος ἐσταυρώθη ὑπὲρ τῆς σωτηρίας ὑμῶν; ἢ μήπως ἐβαπτίσθητε εἰς τὸ ὄνομα τοῦ Παύλου; ἐκ τούτου φανερὸς γίνεται ὁ παραλογισμὸς αὐτῶν· διότι ὁ Χριστὸς ἐσταυρώθη ὑπὲρ αὐτῶν καὶ ὑπὲρ πάντων· εἰς τὸ ὄνομα τοῦ Ἰησοῦ Χριστοῦ αὐτοὶ ἔλαβον τὸ σωτήριον βάπτισμα. Ὅθεν τοῦ Ἰησοῦ Χριστοῦ ἦσαν καὶ δοῦλοι καὶ ἀκόλουθοι καὶ υἱοὶ καὶ μέλη τοῦ σώματος αὐτοῦ· παραλόγως οὖν ἔλεγον ἄλλοι μέν, ὅτι εἰσὶ τοῦ Παύλου, ἄλλοι δὲ τοῦ Ἀπολλώ, καὶ ἄλλοι τοῦ Κηφᾶ.

*Εὐχαριστῶ τῷ Θεῷ ὅτι οὐδένα ὑμῶν ἐβάπτισα, εἰμὴ Κρίσπον καὶ Γάϊον. Ἵνα μή τις εἴποι ὅτι εἰς τὸ ἐμὸν ὄνομα ἐβάπτισα. Ἐβάπτισα δὲ καὶ τὸν Στεφανᾶ οἶκον· λοιπὸν οὐκ οἶδα εἴτινα ἄλλον ἐβάπτισα* (4).

Ὁ μὲν Κρίσπος ἀρχισυνάγωγος ἦν τῆς ἐν Κορίνθῳ συναγωγῆς, ἐκεῖ δὲ εἰς τὴν Κόρινθον ἐβάπτισεν αὐτὸν ὁ Παῦλος « Σὺν ὅ» λῳ τῷ οἴκῳ αὐτοῦ » (5). Τρεῖς δὲ Γάϊοι ἀναφέρονται ὑπὸ τῶν ἱερῶν βιβλίων· ὁ Μακεδών, ὁ συνέκδημος τοῦ Παύλου εἰς τὴν Ἔφεσον (6)· ὁ Θεσσαλονικεύς, ὁ ἀκολουθήσας αὐτῷ ἄχρι τῆς Ἀσίας (7)· καὶ ὁ ξένος, ἤγουν ὁ ξενοδόχος τοῦ Παύλου, καὶ τῆς ἐκκλησίας ὅλης (8). Ἐπειδὴ δὲ λέγει, οὐδένα ὑμῶν, ἤγουν οὐδένα ὑμῶν τῶν Κορινθίων ἐβάπτισα, εἰμὴ Κρίσπον καὶ Γάϊον, φανερόν ἐστιν, ὅτι καὶ ὁ Γάϊος Κορίνθιος ἦν, καθὼς καὶ ὁ Κρίσπος· ἐκ τούτου ἕπεται, ὅτι οὐδὲ περὶ τοῦ Μακεδόνος, οὐδὲ περὶ τοῦ Θεσσαλονικέως λαλεῖ, ἀλλ' ἐνδεχομένως περὶ τοῦ Γαΐου, ὃν ὠνόμασε ξένον, ὡς ξενοδοχήσαντα αὐτόν τε καὶ πάντας τοὺς ἐπιδημοῦντας πιστούς, ὅτε ἐν Κορίνθῳ διέτριβε.

(1) Α'. Κορ. 3, 5, 6. (2) Αὐτ. 13. (3) Αὐτ. 12, 27, (4) Αὐτ. 1, 14, 15, 16. (5) Πράξ, 18, 8.
(6) Αὐτ. 19, 29. (7) Αὐτ. 20, 4, 16. (8) Ῥωμ. 16, 23.



Στεφανᾶς δέ ἐστιν ὁ δεσμοφύλαξ, ὃν ὁ Παῦλος ἐβάπτισε σὺν πᾶσι τοῖς μετ' αὐτοῦ ἐν τῇ πόλει Φιλίππων (1). Βλέπε δέ, πῶς ἀποδεικνύει, ὅτι οὐκ ἐβαπτίσθησαν εἰς τὸ ὄνομα αὐτοῦ, μαρτυρῶν ὅτι οὐδένα ἄλλον ἐβάπτισεν, εἰμὴ τοὺς τρεῖς προειρημένους. Ἀλλὰ διὰ τί προσφέρει εὐχαριστίαν εἰς τὸν Θεόν, ὅτι οὐδένα ἐβάπτισεν, εἰμὴ Κρίσπον καὶ Γάϊον καὶ τὸν Στεφανᾶ οἶκον; Ἀποδίδωσιν αὐτὸς τὸν ὑπὲρ τούτου λόγον. Εὐχαριστῶ, λέγει, τῷ Θεῷ ὅτι προνοητικῶς ᾠκονόμησεν, ἵνα μηδένα πλὴν τούτων βαπτίσω, ὅπως μηδεὶς τῶν ποιούντων τὰ σχίσματα λαβὼν ἀφορμήν, λέγει, ὅτι ἐβάπτισα εἰς τὸ ἐμὸν ὄνομα· ἐπειδὴ δὲ εἶπεν· « Οὐκ » οἶδα εἴ τινα ἄλλον ἐβάπτισα », ἵνα μηδεὶς συλλογισθῇ, ὅτι ὡς μικρὸν ἔργον στοχαζόμενος τὸ βάπτισμα, οὐδὲ κᾂν ἐμνημόνευεν, ἐὰν ἐβάπτισεν ἄλλον τινά, διὰ τοῦτο ἐφανέρωσε, διὰ ποῖον λόγον οὐκ ἐβάπτιζεν, εἰπών·

*Οὐ γὰρ ἀπέστειλέ με Χριστὸς βαπτίζειν, ἀλλ' εὐαγγελίζεσθαι· οὐκ ἐν σοφίᾳ λόγου, ἵνα μὴ κενωθῇ ὁ σταυρὸς τοῦ Χριστοῦ* (2).

Ὁ Ἰησοῦς Χριστὸς ἐπίσης παρήγγειλε τοῖς Ἀποστόλοις, ἵνα καὶ κηρύττωσι τὸ Εὐαγγέλιον, καὶ βαπτίζωσι τοὺς πιστεύοντας· « Πορευθέντες οὖν, εἶπε, μαθητεύσα» τε πάντα τὰ ἔθνη βαπτίζοντες αὐτοὺς » εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ » τοῦ ἁγίου Πνεύματος » (3). Ἐπειδὴ δὲ ὁ Παῦλος λέγει, ὅτι ὁ Χριστὸς ἀπέστειλεν αὐτὸν οὐχ' ἵνα βαπτίζῃ, ἀλλ' ἵνα κηρύττῃ τὸ Εὐαγγέλιον, φανερόν ἐστιν, ὅτι αὐτὸς κατ' ἰδίαν ἔλαβε τοῦτο τὸ πρόσταγμα, ἴσως ὅταν ὁ Ἰησοῦς Χριστὸς ἔδειξεν εἰς αὐτόν, ὅσα ἀνάγκη ἦν νὰ πάθῃ κηρύττων τὸ ὄνομα αὐτοῦ, καθὼς ἐφανέρωσεν εἰς τὸν Ἀνανίαν εἰπών· « Ἐγὼ ὑποδείξω αὐτῷ, ὅσα δεῖ » αὐτὸν ὑπὲρ τοῦ ὀνόματός μου παθεῖν » (4). Ἐνεχείρησε δὲ εἰς αὐτὸν τὸ δυσκολώτερον ἐπάγγελμα, ἐπειδὴ αὐτὸς ἦν « Σκεῦος » ἐκλογῆς, ἱκανὸν τοῦ βαστάσαι τὸ ὄνομα » αὐτοῦ ἐνώπιον ἐθνῶν καὶ βασιλέων, υἱῶν » τε Ἰσραήλ » (5). Δυσκολώτερον ἀληθῶς τὸ ἐπάγγελμα τοῦ κηρύγματος τῆς ἱερουργίας τοῦ βαπτίσματος· διότι ὁ μὲν Ἀπόστολος, ὁ κηρύττων τὸ Εὐαγγέλιον πρὸς τοὺς ἀπίστους, ὑπέκειτο εἰς διωγμοὺς καὶ παθήματα καὶ θανάτου κινδύνους· ὁ δὲ Ἀπόστολος, ὁ βαπτίζων τοὺς πιστεύσαντας, οὐδὲν τούτων ἔπασχεν. Ἀλλ' ἐὰν οὐκ ἀπεστάλη, ἵνα βαπτίζῃ, διὰ τί ἐβάπτισε τὸν Κρίσπον καὶ τὸν Γάϊον καὶ τοῦ Στεφανᾶ τὸν οἶκον; Διότι εἶχε καὶ τὴν χάριν τοῦ βαπτίζειν καὶ τὸ ἐπάγγελμα τοῦ κηρύγματος, καθὼς καὶ πάντες οἱ λοιποὶ Ἀπόστολοι· πλὴν ἐπειδὴ περὶ τοῦ κηρύγματος ἔλαβεν ἰδιαιτάτην παραγγελίαν ὑπὸ τοῦ Ἰησοῦ Χριστοῦ, ὅθεν καὶ ἔλεγεν· « Οὐ γὰρ ἀπέ» στειλέ με Χριστὸς βαπτίζειν, ἀλλ' εὐαγ» γελίζεσθαι ». Διὰ τοῦτο ἐβάπτιζε μέν, ὅταν αἱ περιστάσεις ἠνάγκαζον, ἐκήρυττε δὲ ἀδιαλείπτως, λογιζόμενος τὸ κήρυγμα ἰδιαίτατον αὐτοῦ ἐπάγγελμα. Ὅθεν καὶ ἔγραφεν· « Ἐὰν γὰρ εὐαγγελίζωμαι, οὐκ » ἔστι μοι καύχημα· ἀνάγκη γάρ μοι ἐπί» κειται· Οὐαὶ δέ μοι ἐστίν, ἐὰν μὴ εὐαγ» γελίζωμαι » (6). Βλέπε δέ, ὅτι ὁ Ἰησοῦς Χριστός, ὅςις ἔδωκεν αὐτῷ ἰδιαιτάτην παραγγελίαν περὶ τοῦ εὐαγγελικοῦ κηρύγματος

(1) Πράξ. 16, 33. (2) Α. Κορ. 1, 17, (3) Ματθ. 28, 19. (4) Πράξ. 9, 16. (5) Αὐτ. 15.
(6) Α'. Κορ. 9, 16.

τος, αὐτὸς ἐδίδαξεν αὐτὸν καὶ τὸν τρόπον τοῦ διδάσκειν τὸ Εὐαγγέλιον»· Οὐκ ἐν σο» φίᾳ λέγει λόγου », Ἤγουν, οὐχὶ διὰ λόγου, διὰ τῆς σχολαστικῆς σοφίας καὶ τῆς τῶν σοφιστῶν τέχνης κατεσκευασμένου, οὐχὶ διὰ λόγου συγγεγραμμένου διὰ τῆς κοσμικῆς σοφίας· τοιουτοτρόπως δὲ ὁ Θεὸς ὥρισεν· « Ἵνα μὴ κενωθῇ ὁ σταυρὸς τοῦ » Χριστοῦ», τουτέστιν ἵνα μὴ ἐξευτελισθῇ, καὶ ὡς οὐδὲν λογισθῇ τοῦ σταυρωθέντος Χριστοῦ ἡ δύναμις· ἐὰν ἡ διδαχὴ τῶν Ἀποστόλων εἶχε τῆς εὐφραδείας τὰ κάλλη καὶ τῆς κοσμικῆς σοφίας τὰ θέλγητρα, καθεὶς ἐνόμιζεν, ὅτι τῆς σχολαστικῆς ἐπιστήμης ἡ δύναμις εἵλκυσε καὶ ὑπέταξε τοὺς ἀνθρώπους εἰς τὴν εἰς Χριστὸν πίστιν. Οὐδεὶς δὲ ἐπείθετο, ὅτι ἡ δύναμις τοῦ σταυρωθέντος Χριστοῦ ἐνήργησε πρὸς τὴν ὑποδοχὴν καὶ αὔξησιν αὐτῆς· ἑπομένως δὲ πάντες ὡς οὐδὲν ἐλογίζοντο τοῦ σταυροῦ τὴν χάριν καὶ δύναμιν· ἀκούοντες δὲ τὴν ἁπλότητα τοῦ κηρύγματος, καὶ βλέποντες τὸν πολυπλασιασμὸν τῶν πιστευόντων, ἐπείθοντο, ὅτι τῆς δυνάμεως καὶ χάριτος τοῦ σταυρωθέντος Χριστοῦ ἔργον ἐστὶν ἡ εἰς Χριστὸν πίστις.

# ΟΜΙΛΙΑ

ΜΕΤΑ ΤΗΝ ΠΡΩΤΗΝ ΠΡΟΣ

## ΚΟΡΙΝΘΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗι Η'. ΚΥΡΙΑΚΗι.

ΕΙΣ τὴν θεωρίαν τοῦ κηρύγματος τῆς πίστεως ἀναβιβάζει τὸν νοῦν ἡμῶν ἡ σήμερον ἀναγνωσθεῖσα διδασκαλία τοῦ θεοῤῥήμονος Παύλου. Αὐτὸς μαρτυρεῖ, ὅτι ὁ Ἰησοῦς Χριστὸς ἀπέστειλεν αὐτόν, ἵνα κηρύττῃ τὸ Εὐαγγέλιον, πλὴν οὐχὶ διὰ λόγου κοσμικῆς σοφίας· « Οὐκ ἐν σοφίᾳ λόγου»(1). Ὁμοίως ἐπιμαρτυρεῖ, ὅτι ὁ Θεὸς διὰ τὸ ἔργον τοῦ κηρύγματος τῆς πίστεως ἐξελέξατο τὰ μωρὰ καὶ τὰ ἀσθενῆ καὶ τὰ ἀγενῆ τοῦ κόσμου, καὶ τὰ ἐξουθενημένα, καὶ τὰ μὴ ὄντα· ἐπιφέρει δὲ καὶ τό, διὰ ποῖον λόγον ὁ Θεὸς ἐποίησε ταῦτα· « Ἵνα μὴ κενωθῇ, » λέγει, ὁ σταυρὸς τοῦ Χριστοῦ· ὅπως μὴ » καυχήσηται πᾶσα σὰρξ ἐνώπιον αὐ» τοῦ » (2). Ὅστις προσηλώσῃ τὸν νοῦν εἰς τὴν κατανόησιν τούτων τῶν λόγων, παρατηρήσῃ δὲ τῶν προφητῶν τὰς προῤῥήσεις, καὶ τὴν ἱστορίαν τοῦ εὐαγγελικοῦ κηρύγματος, ἐκεῖνος πείθεται καὶ ὁμολογεῖ, ὅτι ἡ εἰς Χριστὸν πίστις ἐστὶν ἡ πίστις ἡ ἀληθινὴ καὶ θεοπαράδοτος.

Ἐὰν ἀνοίξῃς τῶν προφητῶν τὰ βιβλία, βλέπεις, ὅτι αὐτοὶ πολλοὺς αἰῶνας πρὸ τοῦ Ἰησοῦ Χριστοῦ προεῖπον φανερὰ τὰ περὶ τοῦ εὐαγγελικοῦ κηρύγματος. Περίπου ὀ-

(1) Α'. Κορ. 1, 17. (2) Αὐτ. καὶ 29.



κτακόσια ἔτη πρὸ Χριςοῦ εἶπεν ὁ προφήτης Ἡσαΐας· « Ἐκ γὰρ Σιὼν ἐξελεύσεται νό» μος, καὶ λόγος Κυρίου ἐξ Ἱερουσαλήμ»(1). Τὸ αὐτὸ διὰ τῶν αὐτῶν λέξεων προηγόρευσε μετ' ὀλίγον καιρὸν καὶ ὁ προφήτης Μιχαίας· « Ὅτι ἐκ Σιών, εἶπεν, ἐξελεύσεται » νόμος, καὶ λόγος Κυρίου ἐξ Ἱερουσαλήμ»(2). Προεῖπον δὲ καὶ τὰ κατορθώματα τοῦ νόμου καὶ τοῦ λόγου, ὅστις ἔμελλεν ἐξελθεῖν ἐκ τῆς Σιών, ἤγουν ἐκ τῆς Ἱερουσαλήμ· « Καὶ » κρινεῖ, εἶπεν ὁ Ἡσαΐας, ἀναμέσον τῶν » ἐθνῶν, καὶ ἐξελέγξει λαὸν πολύν (3). Καὶ » κρινεῖ, εἶπεν ὁ Μιχαίας, ἀναμέσον λαῶν » πολλῶν, καὶ ἐξελέγξει ἔθνη ἰσχυρὰ ἕως » εἰς μακράν » (4). Ἄκουσον δέ, τί περὶ τούτου ἱστορεῖ ὁ Μάρκος ὁ Εὐαγγελιστής· « Ἐκεῖνοι δέ, λέγει, ἤγουν οἱ Ἀπόστολοι » ἐξελθόντες » (5)· γνωστὸν δέ ἐστιν ὅτι ἐκ τῆς Σιὼν καὶ ἐκ τῆς Ἱερουσαλὴμ ἐξελθόντες, ἐκήρυξαν. Τί δὲ ἄλλο ἐκήρυξαν, εἰμὴ τὸν λόγον καὶ τὸν νόμον τὸν εὐαγγελικόν; ἰδοὺ οὖν, πῶς ἐκ τῆς Σιὼν ἐξῆλθεν ὁ νόμος, καὶ ὁ λόγος τοῦ Κυρίου ἐξ Ἱερουσαλήμ, ὡς προηγόρευσαν οἱ προφῆται. Ποῦ δὲ ἐκηρύχθη ὁ νόμος καὶ ὁ λόγος ἐκ τῆς Ἱερουσαλὴμ ἐξελθών; ὁ μὲν προφήτης εἶπεν· « Ἕως εἰς » μακράν » (6)· ὁ δὲ Εὐαγγελιστὴς ἱστόρησεν ὅτι ἐκηρύχθη πανταχοῦ· « Ἐκεῖνοι » δὲ ἐξελθόντες, ἐκήρυξαν πανταχοῦ » (7). ἀληθῶς δὲ ὁ εὐαγγελικὸς λόγος καὶ νόμος ἐκηρύχθη ὑπὸ τῶν Ἀποστόλων οὐ μόνον ἐγγύς, ἤγουν εἰς μόνην τὴν Παλαιςτίνην, ἀλλὰ καὶ εἰς τὰ λοιπὰ μέρη τῆς Ἀσίας, καὶ εἰς τὴν Εὐρώπην, καὶ εἰς τὴν Ἀφρικήν· αὐτὸς δὲ ὁ εὐαγγελικὸς λόγος καὶ νόμος ἔκρινεν, ἤγουν κατέκρινε τὴν ἀσέβειαν τῶν ἐθνικῶν καὶ τὰς ἁμαρτίας ἀναριθμήτων λαῶν· αὐτὸς ἤλεγξεν ἔθνη ἰσχυρά· Διότι ἡ ἀλήθεια τοῦ Εὐαγγελίου ἤλεγξε τὴν ἀπάτην τῶν τότε ἰσχυρῶν Ῥωμαίων, καὶ τὴν τῶν Σκυθῶν καὶ Πάρθων καὶ Ἰνδῶν, καὶ τῶν πανταχοῦ τῆς οἰκουμένης κατοικούντων ἐθνῶν· ὥστε ὁ Παῦλος ἀνυποστόλως ἔγραφε πρὸς τοὺς Ῥωμαίους, λέγων· « Εὐχαριστῶ » τῷ Θεῷ μου διὰ Ἰησοῦ Χριστοῦ ὑπὲρ » πάντων ὑμῶν, ὅτι ἡ πίστις ὑμῶν καταγ» γέλλεται ἐν ὅλῳ τῷ κόσμῳ » (8). Πόθεν οὗτοι οἱ Προφῆται τόσους αἰῶνας πρὸ Χριστοῦ ἐγνώρισαν, καὶ τόσον φανερὰ προκατήγγειλαν τὰ περὶ τοῦ εὐαγγελικοῦ κηρύγματος; πόθεν ἄλλοθεν, εἰμὴ ἐκ Θεοῦ; πόθεν τόσα ἔθνη τόσον μακρὰν ἀπ' ἀλλήλων, καὶ τόσον διαφέροντα ἀλλήλων κατὰ τὸ γένος, κατὰ τὴν γλῶσσαν, κατὰ τοὺς τρόπους τῆς θρησκείας, κατὰ τοὺς νόμους, κατὰ τὰ ἤθη, κατὰ τὰς συνηθείας, εἰς τοσοῦτον ὀλίγον διάςημα καιροῦ ἐπίςευσαν εἰς τὸν Ἰησοῦν Χριςόν; ἐξετάσατε καὶ ἴδετε, ἐὰν δύναμις ἀνθρώπινος συνέτρεξε καὶ ἐβοήθησεν εἰς τοῦτο τὸ θαυμασιώτατον καὶ ἐξαίσιον ἔργον.

Τέσσαρές εἰσιν οἱ τρόποι, δι' ὧν οἱ ἄνθρωποι σύρουσι τοὺς ἀνθρώπους πρὸς τὸ θέλημα καὶ τὴν ὑπακοὴν αὐτῶν. Οἱ δύω εἰσὶ καλοὶ καὶ ἐπαινετοί, οὗτοί εἰσιν ἡ μαρτυρία καὶ ἡ ἀπόδειξις· δύω δέ εἰσι κακοὶ καὶ ἐπίμεμπτοι, οὗτοι δέ εἰσιν ἡ δυναστεία καὶ ἡ ἀπάτη· δυνατοί εἰσιν οὗτοι οἱ τρόποι, πλὴν αὐτοὶ οὐδόλως ἐνήργησαν εἰς τὸ κήρυγμα τοῦ Εὐαγγελίου· οἱ πιστεύσαντες εἰς τὸ εὐαγγελικὸν κήρυγμα, ἐπίστευσαν μηδὲ ὑπὸ τῆς τῶν πολλῶν μαρτυρίας πεισθέντες, μηδὲ ὑπὸ τῶν ἀποδείξεων πληροφορηθέντες, μηδὲ ὑπὸ τῆς δυναστείας νικηθέντες, μηδὲ ὑπὸ τῆς ἀπάτης πλανηθέντες.

(1) Ησ. 2, 3. (2) Μιχ, 4, 2. (3) Ησ. 2, 4. (4) Μιχ. 4, 3. (5) Μάρκ. 16, 20. (6) Μιχ. 4, 3. (7) Μάρκ. 16, 20. (8) Ρωμ. 1, 8.

Ἡ σύμφωνος τῶν πολλῶν μαρτυρία περί τινος ὑποθέσεως, πείθει πολλούς, ὅτι ἀληθής ἐστιν ἡ μαρτυρουμένη ὑπόθεσις· ὅσον δὲ περισσότεροί εἰσιν οἱ μάρτυρες, τόσον περισσότεροί εἰσιν οἱ πιστεύοντες· ἡ σύμφωνος μαρτυρία τῶν πολλῶν καὶ ἡ ἐπιστημονικὴ ἀπόδειξις ἔχουσι σχεδὸν τὴν αὐτὴν δύναμιν. Τίς ἀμφιβάλλει, παραδείγματος χάριν, ὅτι ὁ Κωνσταντῖνος, ὁ ἰσαπόστολος, πρότερον ἦν εἰδωλολάτρης, ἔπειτα ἐπίστευσεν εἰς τὸν Ἰησοῦν Χριστόν; ἢ τίς διστάζει, ὅτι ὁ Ἰουλιανὸς ὁ παραβάτης χριστιανὸς ὤν, ἠθέτησε τὴν εἰς Χριστὸν πίστιν, καὶ ἐλάτρευσε τὰ εἴδωλα; οὐδείς· ἀλλὰ διατί; διότι πλῆθος πολὺ ἱστορικῶν ταῦτα συμφώνως μαρτυροῦσι. Δώδεκα ἦσαν ἀπ' ἀρχῆς οἱ Ἀπόστολοι. « Μετὰ δὲ » ταῦτα ἀνέδειξεν ὁ Κύριος καὶ ἑτέρους » ἑβδομήκοντα » (1). Πάντες οὖν οἱ κηρύττοντες καὶ μαρτυροῦντες τὰ περὶ τοῦ Ἰησοῦ Χριστοῦ, ἦσαν ὀγδοήκοντα καὶ δύο· ἀριθμὸς μαρτύρων πολλὰ ὀλίγος ὡς πρὸς πᾶσαν τὴν οἰκουμένην· διὸ καὶ ἔλεγε πρὸς αὐτοὺς ὁ Σωτήρ· « Ὁ μὲν θερισμὸς πολύς, οἱ δὲ » ἐργάται ὀλίγοι » (2). Ἐὰν ὅμως αὐτοὶ πάντες ὁμοῦ περιήρχοντο ἀπὸ τόπου εἰς τόπον, ἡ σύμφωνος μαρτυρία ὀγδοήκοντα καὶ δύο ἔπειθέ τινας, ὅτι τὰ ὑπ' αὐτῶν κηρυττόμενα ἦσαν ἀληθῆ· ἀλλὰ πρῶτον μὲν ὁ διδάσκαλος αὐτῶν « Ἀπέστειλεν αὐτοὺς ἀνὰ » δύο πρὸ προσώπου αὐτοῦ εἰς πᾶσαν πό» λιν καὶ τόπον » (3). Ἔπειτα μετὰ τὴν εἰς οὐρανοὺς ἀνάληψιν αὐτοῦ, οὐ μόνον ἀνὰ δύο, ἀλλὰ καὶ εἷς μόνος περιερχόμενος ἐδίδασκε τὸ Εὐαγγέλιον.

Πείθει ἐνίοτε καὶ εἷς μόνος πολλούς· Ἀλλὰ πότε τοῦτο συμβαίνει; ὅταν λαλῇ λόγον ἀποδεικτικόν, τεχνικόν, πειθανόν, ἐκ τούτου δὲ βλέπομεν, ὅτι πολλοὶ ἐπίστευσαν εἰς τὰ φιλοσοφούμενα ὑπὸ τοῦ Πλάτωνος, καὶ ὠνομάσθησαν Πλατωνικοί· πολλοὶ ἠκολούθησαν τοῦ Ἀριστοτέλους τὸ σύστημα, καὶ ἐλέγοντο Ἀριστοτελικοί· πολλοὶ τόσον πολλὰ ἐπίστευσαν εἰς τὰς ἀποδείξεις τοῦ Πυθαγόρου, ὥστε οὐ μόνον ἐκαλοῦντο Πυθαγόρειοι, ἀλλὰ καὶ ἀντὶ ἀποδείξεως ἔλεγον τὸ « Αὐτὸς ἔφα »· καὶ ἐκ τούτου βλέπομεν, ὅτι πολλάκις ὁ μὲν Δημοσθένης τῇ δυνάμει τῆς ἀποδεικτικῆς αὐτοῦ εὐφραδείας ἔπεισε τοὺς Ἀθηναίους, ὁ δὲ Κικέρων τῇ πειθοῖ τῆς ῥητορικῆς αὐτοῦ τέχνης ἐπληροφόρησε τοὺς Ῥωμαίους· ποίαν δὲ μαθηματικὴν ἀπόδειξιν, ἢ σοφιστικὴν τέχνην, ἢ διαλέκτου εὐφράδειαν, ἢ ῥητορικῆς ἐπιτηδεύματα εἶχεν ὁ λόγος τοῦ κηρύγματος τῶν Ἀποστόλων; αὐτοὶ οὐ μόνον ἦσαν ἰδιῶται καὶ ἀγράμματοι (4), καὶ ἑπομένως ἀνεπιτήδειοι παντελῶς πρὸς τὰ τοιαῦτα, ἀλλ' ἔλαβον καὶ πρόσταγμα παρὰ τοῦ διδασκάλου αὐτῶν, ἵνα μὴ κηρύττωσιν « Ἐν σοφίᾳ » λόγου », τουτέστι διὰ λόγου σοφίᾳ κοσμικῇ κατεσκευασμένου· « Ἵνα μὴ κενωθῇ » ὁ σταυρὸς τοῦ Χριστοῦ » (5). Ἀλλ' ἆρά γε εἶχον τὰ ὑπ' αὐτῶν διδασκόμενα τὴν κοσμικὴν πειθανότητα; ποίαν πειθανότητα εἶχεν εἰς τον λίθινον νοῦν τῶν Ἑβραίων ὁ σταυρὸς τοῦ Χριστοῦ, ὅστις καθ' ὑπερβολὴν ἐσκανδάλιζεν αὐτούς, καθότι ἐπίςευον, « ὅτι κεκατηραμένος ὑπὸ Θεοῦ πᾶς ὁ κρε» μάμενος ἐπὶ ξύλου; » (6) Ποίαν πειθανότητα εἶχε τῶν Ἀποστόλων τὸ κήρυγμα εἰς τὸν σαρκικὸν νοῦν τῶν Ἑλλήνων, οἵτινες ἀκούοντες, ὅτι ὁ ἀποστολικὸς λόγος ἐστὶν ἁπλοῦς καὶ ἀνεπιτήδευτος, καὶ γυμνὸς τῆς

(1) Λουκ. 10, 1. (2) Αὐτ. 2. (3) Αὐτ. 1. (4) Πράξ. 4, 13. (5) Α'. Κορ. 1, 17. (6) Δευτ. 21, 23.



κοσμικῆς σοφίας, ἐνόμιζον μωρίαν τὰ ὑπ' αὐτῶν διδασκόμενα; σκάνδαλον εἰς τοὺς Ἰουδαίους, μωρία εἰς τοὺς ἐθνικοὺς ἐλογίζετο τοῦ Εὐαγγελίου τὸ κήρυγμα· ὅμως, « Ἡμεῖς, ἔλεγεν ὁ Παῦλος, κηρύσσομεν » Χριστὸν ἐσταυρωμένον, Ἰουδαίοις μὲν σκάνδαλον, Ἕλλησι δὲ μωρίαν » (1).

Ἡ βία καὶ ἡ δυναστεία ἀληθῶς οὐ πείθουσι τὸν νοῦν, πλὴν κάμπτουσι τὴν κεφαλήν, κερδαίνουσιν ὅλον τὸν ἔξω ἄνθρωπον, αἰχμαλωτίζουσιν ὁπωσδήποτε τὴν τούτου προαίρεσιν, καὶ ἑπομένως ποιοῦσιν αὐτὸν δοῦλον πάντων τῶν τοῦ τυράννου θελημάτων· ἐὰν ἐνατενίσῃς εἰς τὰ τρία μέρη τῆς γῆς, βλέπεις, ὅτι ὁ φόβος τῆς γεγυγνωμένης σπάθης καὶ τὰ ὅπλα τῆς δυναστικῆς ἀπανθρωπίας ἐβίασαν πλῆθος δυσάριθμον ἀνθρώπων δεχθῆναι τὸ ψεῦδος ὡς ἀλήθειαν, πιστεῦσαι δηλονότι, ὅτι ὁ ἄνθρωπος ὁ παμπόνηρος καὶ παγκάκιστος ἦν ἀπεσταλμένος ὑπὸ Θεοῦ, καὶ ὑπέταξαν αὐτοὺς εἰς τοὺς ὑπ' αὐτοῦ διδαχθέντας παραλόγους καὶ ἐπιβλαβεῖς νόμους. Βλέπεις ὅμως, ὅτι αὐτὰ τὰ ἐξ ἀρχῆς δυναστευθέντα καὶ πεισθέντα γένη ἦσαν ἀμαθῆ, ἀπαίδευτα, ἄνομα, ἄπρακτα, ἀπολίτευτα, νομαδικά, βάρβαρα, ἁμαξόβια· εἰς ποίαν δὲ ἱςορίαν εὑρίσκεις, ὅτι οἱ Ἀπόςολοι ἐβάςαζον ὅπλα εἰς τὰς χεῖρας, καὶ ἐφοβέριζον θάνατον, ἢ καὶ ἐφόνευον τοὺς μὴ πειθομένους εἰς τὴν διδαχὴν αὐτῶν; εἰς ποίαν ἱστορίαν ἀναγινώσκεις, ὅτι ἐποίησαν κἂν μικροτάτην βίαν εἰς μικρὸν ἢ μέγαν, εἰς ἰδιώτην ἢ ἄρχοντα, ἢ εἰς ὁποιασδήποτε καταςάσεως ἄνθρωπον; οὐδεὶς τοῦτο ἱςόρισεν, οὐδεὶς εἶπεν, οὐδὲ ἐξ αὐτῶν τῶν ἀσπόνδων ἐχθρῶν τῆς εἰς Χριστὸν πίστεως. Ἀληθῶς δέ, ποίαν δυναστείαν ἢ βίαν ἠδύναντο ποιῆσαι δύω ἢ τρεῖς ἄνθρωποι ἄοπλοι, πτωχοί, ξένοι, ἀγράμματοι, ἐναντίον εἰς πόλεις ὁλοκλήρους, εἰς ἄρχοντας καὶ ἡγεμόνας, εἰς δυνάστας καὶ βασιλεῖς, εἰς λαοὺς σοφοὺς καὶ πεπολιτευμένους, ὁποῖοι ἦσαν τότε οἱ Ἕλληνες καὶ οἱ Ῥωμαῖοι, πρὸς οὓς ἐρχόμενοι οἱ Ἀπόστολοι ἐκήρυττον τῆς εὐσεβείας τὸν λόγον; βλέπεις δὲ μάλιστα τὸ ἐναντίον, βλέπεις, ὅτι οἱ Ἀπόστολοι ἐβιάζοντο καὶ ἐδυναστεύοντο ὑπὸ τῶν διωκτῶν καὶ τυράννων, ἵνα σιωπήσωσι μὲν τὸ κήρυγμα, προσκυνήσωσι δὲ τὰ εἴδωλα· βλέπεις αὐτοὺς ἐν ὁδοιπορίαις καὶ κινδύνοις. « Ἐν κόπῳ καὶ μόχθῳ, ἐν ἀγρυπνίαις πολ» λάκις, ἐν λιμῷ καὶ δίψει, ἐν νηστείαις » πολλάκις, ἐν ψύχει καὶ γυμνότητι » (2). Ὕβριζον αὐτοὺς οἱ τύραννοι, ἐδίωκον ἐβλασφήμουν, ἐβασάνιζον, εἰς θάνατον παρεδίδοσαν (3).

Ἡ ἀπάτη πλανᾷ τὸν νοῦν, καὶ ὑποσκελίζει τὴν θέλησιν, καὶ ὑποτάσσει τὸν ἄνθρωπον εἰς τοῦ πλάνου τὸ θέλημα· οὐδὲν δὲ ἀπατᾷ τόσον εὔκολα τὸν νοῦν τοῦ ἀνθρώπου, ὅσον ὁ λόγος, ὅστις ἔχει τῶν ἐπιθυμιῶν τῆς σαρκὸς τὸ ἀπατηλὸν δέλεαρ· ἐὰν ὑποσχεθῇς εἰς τοὺς ἀνθρώπους πλοῦτον, δόξαν, ἐξουσίαν, ἀνάπαυσιν, ἡδονήν, κερδαίνεις εὐθὺς τὸν νοῦν αὐτῶν καὶ τὴν καρδίαν, καὶ ὡς ὑποχειρίους σου σύρεις αὐτοὺς εἰς πάντα τὰ θελήματά σου· τοῦ Ἐπικούρου τὸ σύστημα, κἂν πολλὰ ἄτοπον καὶ παράλογον, ἐπλάνησεν ὅμως καὶ ἔτι πλανᾷ πολλοὺς ἕως τὴν σήμερον, ἐπειδὴ διδάσκει τό, « Φάγωμεν καὶ πίωμεν· » αὔριον γὰρ ἀποθνήσκομεν » (4). Τοῦτο τὸ μάθημα κολακεύει καὶ ἀναζωοποιεῖ τὰ πάθη· τὰ πάθη σκοτίζουσι τὸν νοῦν· ὁ

(1) Α'. Κορ. 1, 23. (2) Β'. Κορ. 11, 27. (3) Α'. Κορ. 12, 13. (4) Αὐτ. 15, 32.

νοῦς ἐσκοτισμένος πείθεται, ὅτι ὁ ἄνθρωπος ὁ λογικός, ὁ σοφός, ὁ ἐπιστημονικός, ἐστι θνητόψυχος, καὶ οὐδὲν διαφέρει τῶν ἀλόγων ζώων. Ἐὰν ἐξετάσῃς τῶν Ἀποστόλων τὸ κήρυγμα, βλέπεις, ὅτι αὐτοὶ ἐδίδασκον οὐχὶ τὰ ἀρεστὰ εἰς τὰ πάθη, ἀλλὰ τὰ ἐναντία, ἢ ὀρθότερον εἰπεῖν, ὅσα νεκροῦσι τῆς σαρκὸς ἡμῶν τὰς ἐπιθυμίας· αὐτοὶ οὐχ ὑπέσχοντο πλοῦτον, ἀλλ' ἐδίδασκον πτωχείαν· « Πάντα, ἔλεγον, ὅσα ἔχεις πώλη-» σον, καὶ διάδος πτωχοῖς » (1). Οὐκ ἐκήρυττον ὅσα τρέφουσι τῆς ὑπερηφανείας τοὺς λογισμούς, ἀλλ' ἐνομοθέτουν ὅσα καταμαραίνουσι τῆς ὑψηλοφροσύνης τὴν φλόγα· « Εἴτις θέλει, ἐκήρυττον, πρῶτος εἶναι, » ἔσται πάντων ἔσχατος καὶ πάντων » διάκονος (2). Ὅστις δὲ ὑψώσει ἑαυ-» τόν, ταπεινωθήσεται· καὶ ὅστις ταπει-» νώσει ἑαυτόν, ὑψωθήσεται » (3)· Αὐτοὶ οὐκ ἔλυον τὸν χαλινὸν τῆς σαρκικῆς ὁρμῆς, ἀλλ' ἐχαλίνουν αὐστηρῶς πᾶσαν σαρκικὴν ἐπιθυμίαν, καὶ ῥιζόθεν ἀπέκοπτον τῆς σαρκὸς τὰ θελήματα· « Εἴτις θέλει, ἔλεγον γε-» νέσθαι μαθητὴς τοῦ Ἰησοῦ Χριστοῦ, ἀ-» παρνησάσθω ἑαυτόν, καὶ ἀράτω τὸν » σταυρὸν αὐτοῦ » (4). Πρὸς τούτοις αὐτοὶ ὡς ἐκ προσώπου τοῦ Ἰησοῦ Χριστοῦ λαλοῦντες, προέλεγον τὰ φοβερὰ παθήματα καὶ τὸν διὰ μαρτυρίου θάνατον, τὸν περιμένοντα τοὺς πιστεύσαντας· « Παραδώ-» σουσι γὰρ ὑμᾶς, ἔλεγον, εἰς συνέδρια, καὶ » ἐν ταῖς συναγωγαῖς αὐτῶν μαστιγώσου-» σιν ὑμᾶς (5). Παραδώσει δὲ ἀδελφὸς ἀδελ-» φὸν εἰς θάνατον, καὶ πατὴρ τέκνον· καὶ » ἐπαναστήσονται τέκνα ἐπὶ γονεῖς, καὶ » θανατώσουσιν αὐτούς. Καὶ ἔσεσθε μισού-» μενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου. Ἀ-» ποβήσεται δὲ ὑμῖν εἰς μαρτύριον » (6).

Μετὰ ταῦτα εἰπάτωσαν οἱ ἄπιστοι, διὰ ποίας ἀνθρωπίνης δυνάμεως ὁ Πέτρος, ὁ πτωχὸς καὶ ἀγράμματος ἁλιεύς, μετὰ τοσαύτης παῤῥησίας ἀνοίξας τὸ στόμα αὐτοῦ, ἐκήρυξε τὴν θεότητα καὶ τὴν σάρκωσιν καὶ τὸν θάνατον καὶ τὴν ἀνάστασιν τοῦ Ἰησοῦ Χριστοῦ ἐνώπιον τῶν ἐν Ἱερουσαλὴμ συναθροισθέντων Πάρθων, Μήδων, Ἐλαμιτῶν, Μεσοποταμίων, Καππαδοκῶν, Ποντικῶν, Ἀσιανῶν, Φρύγων, Παμφυλίων, Αἰγυπτίων, Λιβύων, Ῥωμαίων, Ἰουδαίων, Κρητῶν, Ἀράβων; εἰπάτωσαν, ποίᾳ ἡ μαρτυρίᾳ πολλῶν, ἢ λόγου σοφίᾳ, ἢ τυραννικῇ δυναστείᾳ, ἢ δολερᾷ ἀπάτῃ, ἐπείσθησαν ἐξ αὐτῶν εὐθὺς κατ' ἐκείνην τὴν ὥραν, ἐν ᾗ ἤκουσαν αὐτὸν διδάσκοντα, « Ψυχαὶ » ὡσεὶ τρισχίλιαι, καὶ μετὰ χαρᾶς ὑποδε-» ξάμενοι τὸν λόγον αὐτοῦ, ἐβαπτίσθη-» σαν; » (7) Εἰπάτωσαν οἱ ἄπιστοι, διὰ ποίας ἀνθρωπίνης δυνάμεως ὁ Πέτρος, ὁ εὐτελὴς καὶ ἀπαίδευτος ἁλιεύς, μετὰ τοσαύτης παῤῥησίας ἐδίδασκεν ὅλον τὸ πλῆθος τοῦ λαοῦ τὸ συνελθὸν « Ἐπὶ τῇ στοᾷ » τῇ καλουμένῃ Σολομῶντος;» (8) Καὶ ποίᾳ δυνάμει ἡ διδαχὴ αὐτοῦ ἐπέστρεψε τότε εὐθὺς πρὸς τὴν εἰς Χριστὸν πίστιν. « Ὡ-» σεὶ χιλιάδας πέντε ἀνδρῶν; » (9). Εἰπάτωσαν οἱ ἀπιστοῦντες, διὰ ποίας δυνάμεως ὁ Παῦλος ὁ Ἑβραῖος, ὁ πτωχός, ὁ σκηνοποιός, ἐδίδασκεν ἐν τῷ μέσῳ τῆς ἀγορᾶς τῶν Ἀθηναίων τοὺς ἐπικουρείους καὶ στωϊκοὺς φιλοσόφους; Ποίᾳ δυνάμει ἐστάθη ἐν μέσῳ τοῦ Ἀρείου Πάγου, ὅπου ἐκάθηντο οἱ σοφώτατοι τῶν τότε ἀνθρώπων, καὶ ἐξελέγξας τὴν εἰδωλολατρείαν αὐτῶν, ἐκήρυξε τὴν εἰς Χριςὸν πίστιν; (10) ἢ ποία ἀνθρωπίνη

(1) Λουκ. 18, 22. (2) Μάρκ. 9, 35. (3) Ματθ. 23, 12. (4) Αὐτ. 16, 24. (5) Αὐτ. 10, 17, 21, 22.
(6) Λουκ. 21, 13. (7) Πράξ. 2, 41. (8) Αὐτ. 3, 11. (9) Αὐτ. 4, 4. 18, 3. (10) Αὐτ. 17, 18, 22.



δύναμις ἔπεισε τὸν Διονύσιον τὸν Ἀρεοπαγίτην, καὶ τὴν Δάμαριν, καὶ ἄλλους ἄνδρας (1), ἵνα πιστεύσωσιν εἰς ὅσα ἐδίδασκεν ἐκεῖνος, ὃν ἐκεῖ εἰς τὰς Ἀθήνας πρὸ ὀλίγου ὠνόμαζον σπερμολόγον; (2)

Ἄνθρωποι νομιζόμενοι μωροί, ἄνθρωποι ἀσθενεῖς καὶ ἀγενεῖς, ἄνθρωποι ἐξουθενημένοι, καὶ μὴ ὄντα ὡς πρὸς τὴν φαντασίαν τοῦ κόσμου, διδάσκουσι σοφούς, ἰσχυρούς, εὐγενεῖς, τοπάρχας, ἄρχοντας, ἡγεμόνας, βασιλεῖς· διδάσκουσι δὲ αὐτοὺς δόγματα δυσχώρητα εἰς τὸν ἀνθρώπινον νοῦν, καὶ μαθήματα ἀντιφερόμενα εἰς τῆς σαρκὸς τὰ θελήματα· πίστευσον, λέγουσιν, ὅτι ὁ Χριστός, ὃν ὡς κακοῦργον ἐσταύρωσαν οἱ Ἰουδαῖοι, ἐστὶ Θεὸς ἀληθινός, ποιητὴς τοῦ οὐρανοῦ καὶ τῆς γῆς· καῦσον τοὺς θεούς σου καὶ προσκύνει Χριστὸν ἐσταυρωμένον· ἀρνήθητι διὰ τὴν ἀγάπην αὐτοῦ τὴν πατροπαράδοτόν σου πίστιν, τοὺς νόμους τῆς πατρίδος σου, τὰς συνηθείας τοῦ γένους σου, τὰ θελήματα τῆς σαρκός σου, τὰς πονηρὰς ἐπιθυμίας τῆς ψυχῆς σου· νέκρωσον τὴν σαρκικὴν ἡδονήν, καὶ σωφρόνησον πάντα τὰ μέλη σου· διάνειμε τὸν πλοῦτόν σου εἰς τοὺς πένητας, καὶ γίνου πτωχός· καταφρόνησον τὴν ἀρέσκειαν τοῦ φάρυγγος, καὶ ἀγάπα τὴν νηστείαν· νόμιζε σκύβαλα πάντα τὰ ὁρατὰ ἀγαθὰ τοῦ κόσμου, καὶ ἀφιέρωσον τὸν νοῦν σου εἰς τὴν μελέτην τῶν ἀοράτων τοῦ οὐρανοῦ ἀγαθῶν· γίνου ἕτοιμος δι' ἀγάπην Χριστοῦ ἐγκαταλιπεῖν φίλους, συγγενεῖς, ἀδελφούς, γονεῖς, γυναῖκα, τέκνα· γίνου ἕτοιμος ὑπομεῖναι κινδύνους, διωγμούς, θλίψεις, παντὸς εἴδους παιδευτήρια· ἔσο ἕτοιμος παραδοθῆναι καὶ εἰς θάνατον διὰ τὴν εἰς Χριστὸν πίστιν καὶ ἀγάπην· ταῦτα ἐκήρυττον καὶ ἐδίδασκον οἱ Ἀπόστολοι. Τί οὖν λέγεις; βλέπεις εἰς ὅσα εἴπομεν ἢ πρᾶγμα φυσικόν, ἢ βοήθειαν ἀνθρωπίνην, ἢ δύναμιν κοσμικὴν πείθουσαν, ἢ ἀναγκάζουσαν τοὺς ἀνθρώπους ὑποδεχθῆναι τοιαύτην πίστιν καὶ τοιαύτην νομοθεσίαν; καὶ ὅμως χιλιάδες χιλιάδων, καὶ μυριάδες μυριάδων ἀνθρώπων πάσης τάξεως καὶ καταστάσεως, οὐ μόνον ἐπίστευσαν καὶ ἐδέχθησαν ταύτην τὴν νομοθεσίαν, ἀλλὰ καὶ μετὰ πάσης ἀκριβείας ἐφύλαξαν τὰ νομοθετηθέντα, καὶ ὑπέμειναν πολυποικίλους βασάνους, καὶ θανατηφόρα παιδευτήρια, καὶ τὸ ἴδιον αἷμα ἐξέχεαν, καὶ τὸν θάνατον ἔστερξαν, ἵνα μὴ τὴν εἰς Χριστὸν πίστιν ἀθετήσωσιν· ὅστις εἰς τοῦτο τὸ ἔργον οὐ βλέπει μίαν ὑπερφυσικὴν δύναμιν, ἐνεργοῦσαν εἰς τὸ κήρυγμα τῶν Ἀποστόλων, καὶ πείθουσαν τὰς καρδίας τῶν ἀκουόντων· καὶ οὐ πείθεται, ὅτι αὐτὸς ὁ τῶν ἁπάντων δεσπότης συνήργει καὶ ἐβοήθει, ἐπιβεβαιῶν διὰ τῶν ἐξαισίων θαυμάτων τὴν διδασκαλίαν τῶν Ἀποστόλων, καθὼς ἐβεβαίωσεν ἡμᾶς ὁ θεηγόρος Μάρκος, εἰπών· « Ἐκεῖνοι δὲ ἐξελθόντες, ἐκή-» ρυξαν πανταχοῦ, τοῦ Κυρίου συνεργοῦν-» τος, καὶ τὸν λόγον βεβαιοῦντος, διὰ τῶν » ἐπακολουθούντων σημείων » (3). Ὅστις, λέγω, ταῦτα οὐδὲ βλέπει, οὐδὲ διακρίνει, οὐδὲ πιστεύει, ἀλλ' ὑπὸ τῆς ἐσκοτισμένης φαντασίας αὐτοῦ πλανώμενος λέγει, ὅτι δι' ἀνθρωπίνης δυνάμεως ἡπλώθη τὸ εὐαγγελικὸν κήρυγμα, ἐκεῖνος τυφλός ἐστι καὶ ἀνόητος, ἐγκαταλελειμμένος ὑπὸ Θεοῦ, καὶ πάντῃ ἀναίσθητος.

Κύριε Ἰησοῦ, φῶς αἰώνιον ἐκ τοῦ αἰωνίου φωτός, Θεὲ ἀληθινὲ ἐκ Θεοῦ ἀληθινοῦ,

(1) Πράξ. 34. (2) Αὐτ. 18. (3) Μάρκ. 16, 20.

Υἱὲ μονογενές, ἀπαύγασμα τῆς δόξης τοῦ Πατρός, καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ, σύ, Λόγε σεσαρκωμένε, πρῶτος ἐδίδαξας τὸν κόσμον τῆς ἀληθινῆς πίστεως τὰ δόγματα, σὺ παντοδύναμε ἐνίσχυσας τοὺς μαθητάς σου κηρύξαι τὴν ἀλήθειαν τῆς εἰς σὲ πίστεως εἰς τὴν οἰκουμένην, σὺ φωτοπάροχε ἐφώτισας τὰς ψυχὰς τῶν ἀκουσάντων τὸ κήρυγμα αὐτῶν, καὶ ἐϐεϐαίωσας τὸν λόγον σου διὰ τῶν μεγάλων θαυμάτων, ὅσα ἐποίησεν ἡ παντεξούσιος χείρ σου· σύ, φιλάνθρωπε καὶ πανοικτίρμον, ἔδωκας ἡμῖν τοῖς ἀναξίοις τὸ ἐπουράνιον καὶ πανυπέρτιμον δῶρον τῆς ἀληθινῆς πίστεως, ἐξ ἧς προχέονται πάντα τὰ θεῖα καὶ σωτηριώδη χαρίσματα. Τί οὖν ὑπὲρ τούτου ἀνταποδώσομέν σοι ἡμεῖς οἱ ἁμαρτωλοί; Ἡμεῖς οἴδαμεν καὶ ἐπιστεύσαμεν, ὅτι τῶν ἀγαθῶν ἡμῶν οὐ χρείαν ἔχεις, ἀλλὰ τὴν καρδίαν ἡμῶν ζητεῖς. « Δός μοι, λέ» γεις, υἱὲ σὴν καρδίαν » (1). Αὐτὴν οὖν ἐν παντὶ καιρῷ καὶ πάσῃ ὥρᾳ ὡς ὁλόκαυτον θυσίαν προσφέροντές σοι, ἐκτενῶς παρακαλοῦμέν σε, καὶ δεόμεθά σου θερμῶς, ἵνα διαφυλάξῃς ἡμᾶς ἀπὸ τῆς ὀλεθρίου πλάνης τῶν ἀπίστων καὶ κακοδόξων· καταξιώσῃς δὲ ἕκαστον ἡμῶν καὶ ἐν τῇ ὥρᾳ τοῦ θανάτου καὶ ἐν αὐτῇ τῇ ἐσχάτῃ ἡμῶν ἀναπνοῇ ἐκφωνῆσαι τὴν σωτήριον ὁμολογίαν τῆς πίστεως, καὶ εἰπεῖν. Πιστεύω Κύριε καὶ ὁμολογῶ, ὅτι σὺ εἶ ὁ Υἱὸς τοῦ Θεοῦ, σὺ εἶ ὁ λυτρωτὴς τοῦ κόσμου· καὶ οὕτω πάντες θαῤῥήσαντες εἰς τὸ ἄπειρον ἔλεος τῆς εὐσπλαγχνίας σου, παραδώσομεν τὴν ψυχὴν ἡμῶν εἰς τὰς παναχράντους καὶ ἁγίας σου χεῖρας. Ἀμήν.

# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΗΝ ΠΡΩΤΗΝ ΠΡΟΣ

# ΚΟΡΙΝΘΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

## ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗι Θ'. ΚΥΡΙΑΚΗι.

ΕΙΣ πᾶσαν μὲν ὑπόθεσιν ἡ ἀσυμφωνία βλάϐην ἐξαισίαν προξενεῖ εἰς τοὺς ἀνθρώπους· ἡ δὲ εἰς τὰ περὶ πίστεως ἀσυμφωνία καὶ ὄλεθρον παντελῆ ἐπιφέρει εἰς τὰς τῶν πιστευόντων ψυχάς, διὰ τοῦτο, ὅταν ὁ θεόπνευστος Παῦλος ἔμαθεν, ὅτι οἱ Κορίνθιοι ἐσχίσθησαν εἰς διάφορα κόμματα, πολλὰ ἔγραψε πρὸς αὐτοὺς περὶ τῶν σχισμάτων αὐτῶν, ἀγωνιζόμενος, ἵνα ὁλοκλήρως ἐκσπάσῃ τῶν σχισμάτων τὰς ῥίζας, καὶ πρῶτον μὲν παρέστησεν εἰς αὐτούς, ὡς ἠκούσαμεν τὴν παρελθοῦσαν κυριακήν, ὁποίαν ἁμαρτίαν ἐποίουν αὐτοί, ἄλλοι μὲν λέγοντες, ὅτι εἰσὶ τοῦ Παύλου, ἄλλοι δὲ τοῦ Ἀπολλώ, ἄλλοι δὲ τοῦ Κηφᾶ· ἔπειτα πολλὰς ποιήσας παρεκϐάσεις, ἐπανέρχεται

(1) Παρ. 23, 26.



πάλιν εἰς τὸν πρῶτον σκοπόν, καὶ ἐλέγχει αὐτοὺς ὡς σαρκικούς, ἤγουν ὡς φρονοῦντας σαρκικὰ καὶ οὐχὶ πνευματικὰ φρονήματα. « Ὅταν γὰρ λέγῃ τις· ἐγὼ μέν εἰμι Παύ» λου· ἕτερος δέ, ἐγὼ Ἀπολλώ· οὐχὶ σαρ» κικοί ἐστε; » (1) Τοιουτοτρόπως ἐλέγχει αὐτούς, μετὰ δὲ ταῦτα, ἵνα πληροφορήσῃ αὐτούς, ὅτι παραλόγως σχίζονται, καυχώμενοι ἐν τοῖς τῶν διδασκάλων αὐτῶν ὀνόμασι, διερμηνεύει τίς ἦν αὐτός, καὶ τίς ὁ Ἀπολλώ, οἵτινες κατὰ πρῶτον ἐδίδαξαν αὐτοὺς τὴν εἰς Χριστὸν πίστιν· « Τίς οὖν, » λέγει, ἐστὶ Παῦλος, τίς δὲ Ἀπολλώς, ἀλ» λ' ἢ διάκονοι, δι' ὧν ἐπιστεύσατε, καὶ » ἑκάστῳ, ὡς ὁ Κύριος ἔδωκεν; Ἐγὼ ἐφύ» τευσα, Ἀπολλὼς ἐπότισεν· ἀλλ' ὁ Θεὸς » ηὔξανεν. Ὥστε οὔτε ὁ φυτεύων ἐστί τι, » οὔτε ὁ ποτίζων, ἀλλ' ὁ αὐξάνων Θεός. » Ὁ φυτεύων δὲ καὶ ὁ ποτίζων ἕν εἰσιν· ἕ» καστος δὲ τὸν ἴδιον μισθὸν λήψεται κατὰ » τὸν ἴδιον κόπον » (2). Ταῦτα δὲ εἰπών, προστίθησιν εὐθὺς τό, « Θεοῦ γάρ ἐσμεν » συνεργοί », καὶ τὰ ἑξῆς ὅσα σήμερον ἀνεγνώσθησαν. Περὶ τούτων δὲ μετὰ τοσαύτης συντομίας καὶ τοιαύτης συνθήκης ὀνομάτων λαλεῖ, ὥστε ἀναγκαίως ζητεῖται ἡ ἑρμηνεία καὶ ἡ προσοχή, ἵνα κατανοηθῇ ἡ τούτων ἔννοια· ἡμεῖς οὖν προϐάλλομεν τὴν κατὰ τὸ δυνατὸν ἡμῖν ἑρμηνείαν· ὑμεῖς δέ, ἀγαπητοὶ ἀδελφοί, ἀφιερώσατε τὴν προσοχὴν ὑμῶν εἰς τὴν ταύτης ἀκρόασιν.

*Ἀδελφοί, Θεοῦ ἐσμεν συνεργοί· Θεοῦ γεώργιον, Θεοῦ οἰκοδομή ἐςε* (3).

Ἄνθρωποι ἦσαν οἱ Ἀπόστολοι, καθὼς καὶ ἡμεῖς. Πῶς οὖν λέγει, « Θεοῦ ἐσμεν » συνεργοί; » ὁ ἄνθρωπος συνεργὸς τοῦ Θεοῦ; τοῦτο φαίνεται ἄτοπον. Ἐὰν ὅμως στοχασθῇς τὴν ἀληθινὴν σημασίαν τοῦ συνεργοῦ, ϐλέπεις, ὅτι ἐστὶν ὀρθὸν καὶ εὔτακτον· συνεργός ἐστιν ὁ μετὰ ἄλλου τινὸς ἓν καὶ τὸ αὐτὸ ἔργον ἐργαζόμενος· κατὰ ταύτην δὲ τὴν ἔννοιαν ὁ δοῦλος γίνεται συνεργὸς τοῦ δεσπότου, καὶ ὁ στρατιώτης τοῦ ϐασιλέως· τὸ ἔργον ὅμως εἰς τὸν δεσπότην, καὶ οὐχὶ εἰς τὸν δοῦλον, εἰς τὸν ϐασιλέα, καὶ οὐχὶ εἰς τὸν στρατιώτην ἀναφέρεται· ὁ Παῦλος πρῶτον ὠνόμασεν ἑαυτὸν διάκονον, ἤγουν ὑπηρέτην, ὁμοίως καὶ τὸν Ἀπολλώ· « Τίς ἐστιν εἶπε, Παῦλος, τίς δὲ Ἀπολλώς, » ἀλλ' ἢ διάκονοι » (4), ἔπειτα εἶπε « Θεοῦ » ἐσμεν συνεργοί », ἵνα φανερώσῃ, ὅτι ὁ Θεὸς καὶ αὐτοὶ ἓν καὶ τὸ αὐτὸ ἔργον εἰργάζοντο, τὴν σωτηρίαν δηλαδὴ τῶν ἀνθρώπων· ὁ μὲν Θεὸς ὡς δεσπότης καὶ ϐασιλεύς, αὐτοὶ δὲ ὡς δοῦλοι καὶ ὑπηρέται· ἐπειδὴ δὲ προλαϐὸν ἐλάλησε μεταφορικῶς εἰπών, ὅτι αὐτὸς ἐφύτευσεν, ἤγουν αὐτὸς πρῶτος ἔθηκεν εἰς τὴν καρδίαν αὐτῶν τῆς πίστεως τὸν λόγον, ἀκολουθεῖ τὴν μεταφοράν, λέγων· « Θεοῦ » γεώργιον, Θεοῦ οἰκοδομή ἐστε ». Ὑμεῖς, λέγει, ὦ Κορίνθιοι, ἐστὲ γεώργιον Θεοῦ, τουτέστι φυτεία, ἣν ἐφύτευσεν ὁ Θεός, ἢ ὡς εἶπεν ὁ Ἡσαΐας· « Φύτευμα Κυρίου εἰς δό» ξαν » (5). Οἰκοδομὴ Θεοῦ ἐστε, καθότι ὑμεῖς ἐστε ἡ ὑπ' αὐτοῦ οἰκοδομηθεῖσα ἐκκλησία. Βλέπε δέ, ὅτι τὰ ὀνόματα ταῦτα, γεώργιον καὶ οἰκοδομή, ἐλέγχουσι τὴν τοῦ σχίσματος αὐτῶν παραλογίαν. Ἐὰν τὸ φυτὸν σχισθῇ ξηραίνεται· ἐὰν ἡ οἰκοδομὴ σχισθῇ, συντρίϐεται· ἐπειδὴ ἦσαν καὶ γεώργιον Θεοῦ, καὶ οἰκοδομὴ Θεοῦ, παραλόγως ἄλλοι μὲν ἐξ αὐτῶν ἔλεγον, ὅτι εἰσὶ τοῦ

(1) Α'. Κορ. 3, 4. (2) Αὐτ, 9. (3) Αὐτ. 3, 9. (4) Αὐτ. 3, 6. (5) Ἠσ. 61. 34.

Παύλου, ἄλλοι δέ, τοῦ Ἀπολλώ, ἄλλοι δέ, τοῦ Κηφᾶ· Παραλόγως ἐσεμνύνοντο καὶ ἐκαυχῶντο ὀνομάζοντες ἑαυτοὺς διὰ τοῦ ὀνόματος τῶν συνεργῶν καὶ διακόνων, καὶ οὐχὶ διὰ τοῦ ὀνόματος τοῦ ἀρχηγοῦ καὶ δεσπότου Ἰησοῦ Χριστοῦ. Ἐπειδὴ δὲ ὠνόμασεν αὐτοὺς οἰκοδομὴν Θεοῦ, τὸν περὶ τῆς οἰκοδομῆς λόγον ἀκολουθεῖ, λέγων·

*Κατὰ τὴν χάριν τοῦ Θεοῦ τὴν δοθεῖσάν μοι, ὡς σοφὸς ἀρχιτέκτων θεμέλιον τέθεικα, ἄλλος δὲ ἐποικοδομεῖ· ἕκαστος δὲ βλεπέτω, πῶς οἰκοδομεῖ. Θεμέλιον γὰρ ἄλλον οὐδεὶς δύναται θεῖναι παρὰ τὸν κείμενον, ὅς ἐστιν Ἰησοῦς ὁ Χριστός* (1).

Μὴ νομίσῃς, ὅτι ὁ Παῦλος ἐπαινεῖ ἑαυτόν, λέγων, ὅτι ἐστὶ « Σοφὸς ἀρχιτέκτων». διότι αὐτὸς οὐκ ἀναφέρει τὸν ἔπαινον εἰς ἑαυτὸν ἀλλ' εἰς τοῦ Θεοῦ τὴν χάριν «Κατὰ τὴν » χάριν, λέγει τοῦ Θεοῦ τὴν δοθεῖσάν μοι». Ἡ χάρις, λέγει, ἣν ἔδωκέ μοι ὁ Θεός, αὐτὴ ἐσόφισέ με, αὐτὴ κατέστησέ με σοφὸν ἀρχιτέκτονα, καὶ ὡδήγησέ με, ἵνα βάλλω θεμέλιον τῆς οἰκοδομῆς, ἤγουν τῆς ἐκκλησίας τὸν Ἰησοῦν Χριστόν, τουτέστι τὴν εἰς Χριστὸν πίστιν καὶ ὁμολογίαν· αὐτὸς δὲ ὁ Χριστὸς πρὸ τοῦ Παύλου ἔβαλε τοῦτον τὸν θεμέλιον εἰς τὴν ἁγίαν αὐτοῦ ἐκκλησίαν· διότι ὅταν ὁ Πέτρος ὡμολόγησε καὶ εἶπε· « Σὺ εἶ ὁ Χριστός, ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ » ζῶντος », τότε ὁ Χριστὸς ἀποκριθεὶς εἶπε· « Σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ » πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλησίαν»(2). Ὅπερ ἐστίν, αὐτὴ ἡ ὁμολογία σου ἔσεται τὸ θεμέλιον τῆς πίστεως καὶ τῆς ἐκκλησίας· ἄλλον, λέγει ὁ Παῦλος, θεμέλιον πλὴν τούτου, ὅςις ἐςὶν ἡ εἰς Χριςὸν πίςις καὶ ὁμολογία, οὐδείς, τουτέστιν οὐδὲ ἄνθρωπος οὐδὲ ἄγγελος δύναται θεῖναι. Ἐὰν βάλλῃς ἄλλον θεμέλιον πλὴν τούτου, ἤγουν ἐὰν ἡ διδαχή σου οὐχ' ὑπάρχῃ τεθεμελιωμένη ἐπάνω εἰς τοῦτο τὸ δόγμα, ὅτι ὁ Ἰησοῦς Χριςός ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ, εἴτι ἂν διδάξῃς, οὐκ ἔστιν εὐσεβές, ἀλλὰ τῆς εὐσεβείας ἀλλότριον, καὶ ξένον τῆς ἀληθείας καὶ ψυχώλεθρον· ἐγὼ μέν, λέγει, ἔβαλλον τοῦτον τὸν θεμέλιον ὑπὸ τῆς δοθείσης μοι χάριτος φωτισθείς, ἄλλος δέ, ἤγουν ἄλλος εὐσεβὴς διδάσκαλος καὶ ποιμὴν τῆς ἐκκλησίας καὶ μυσταγωγός, « Ἐ» ποικοδομεῖ » εἴτουν ἐπὶ τῷ θεμελίῳ τούτῳ στηριζόμενος, σαφηνίζει καὶ διδάσκει τὰ περὶ τοῦ Ἰησοῦ Χριστοῦ δόγματα. «Ἕ» καστος δὲ βλεπέτω, πῶς ἐποικοδομεῖ ». Καθεὶς δηλονότι τῶν ἱεροκηρύκων, ἀνάγκη ἐστίν, ἵνα προσέχῃ, καὶ μετὰ πάσης ἀκριβείας παρατηρῇ τὰ ὑπ' αὐτοῦ διδασκόμενα, ὅπως ἡ διδασκαλία αὐτοῦ καθαρεύῃ ἀπὸ τῶν ζιζανίων πασῶν τῶν αἱρέσεων καὶ πάσης δεισιδαιμονίας, ὑπάρχῃ δὲ σύμφωνος τῷ λόγῳ τῆς ἀληθείας.

*Εἰ δέ τις ἐποικοδομεῖ ἐπὶ τὸν θεμέλιον τοῦτον, χρυσόν, ἄργυρον, λίθους τιμίους. ξύλα, χόρτον, καλάμην. Ἑκάστου τὸ ἔργον φανερὸν γενήσεται· ἡ γὰρ ἡμέρα δηλώσει· ὅτι ἐν πυρὶ ἀποκαλύπτεται, καὶ ἑκάστου τὸ ἔργον, ὁποῖόν ἐστι, τὸ πῦρ δοκιμάσει. Εἴτινος τὸ ἔργον μένει, ὃ ἐπῳκοδόμησε, μισθὸν λήψεται. Εἴτινος τὸ ἔργον κατα-*

(1) Α΄. Κορ. 3, 10, 11. (2) Ματθ. 16, 16, 18.



*καήσεται, ζημιωθήσεται· αὐτὸς δὲ σωθήσεται, οὕτω δέ, ὡς διὰ πυρός* (1).

Τινὲς μὲν τῶν παλαιῶν ἐκλαμβάνουσι ταῦτα τὰ δυσνόητα ἀποστολικὰ λόγια, ὡς ἀναφερόμενα πρὸς τοὺς διδασκάλους, καὶ πρὸς τὰ εἴδη τῆς τούτων ὀρθοδόξου καὶ σωτηριώδους, ἢ κακοδόξου καὶ ψυχοφθόρου διδασκαλίας· τινὲς δὲ λέγουσιν, ὅτι ἀναφέρονται πρὸς πάντας τοὺς πιστούς, καὶ πρὸς τὰ εἴδη τῶν ἀρετῶν, ἢ τῶν ἁμαρτημάτων αὐτῶν (2)· πρὸς κατανόησιν δὲ πάντων τῶν προκειμένων λόγων ἀνάγκη ἐςίν, ἵνα κατὰ μὲν τὴν γνώμην τῶν πρώτων νοήσωμεν, ὅτι ὁ μὲν χρυσὸς καὶ ὁ ἄργυρος καὶ οἱ λίθοι οἱ τίμιοι σημαίνουσι τὴν λαμπρὰν καὶ θεόσδοτον καὶ πανέντιμον τῆς ὀρθοδόξου πίστεως διδασκαλίαν· τὰ δὲ ξύλα καὶ ὁ χόρτος καὶ ἡ καλάμη, τὰ ἄκαρπα καὶ εὐτελῆ καὶ ὀλέθρια τῶν αἱρετικῶν μαθήματα· τό δέ, « Ἡ γὰρ ἡμέρα δηλώσει » τὸν καιρόν, ὅστις δηλοποιεῖ τὰ πράγματα, καὶ ἀποκαλύπτει ποῖά εἰσι τὰ ἀγαθά, καὶ ποῖα τὰ πονηρά, καθὼς τὸ πῦρ, ποῖα σώματά εἰσι δύσφλεκτα, καὶ ποῖα εὐκολόκαυστα· ὁ δὲ λόγος, « Τὸ πῦρ δοκιμάσει », τὸν ἐν τῇ ἐκκλησίᾳ φωτισμὸν τοῦ παναγίου Πνεύματος, τοῦ ἐν εἴδει πυρίνων γλωσσῶν δοθέντος, δι' οὗ οἱ εὐσεβεῖς διακρίνουσι τὴν ὀρθὴν διδασκαλίαν ἀπὸ τῆς διεστραμμένης. Τὸ δέ, « Ὡς διὰ πυρός », τὴν θλίψιν, ἣν προξενεῖ εἰς τοὺς αἱρετικοὺς ὁ ἔλεγχος τῆς ἐκκλησίας, ἐπειδὴ ὡς πῦρ καίει ἡ θλίψις, κατὰ τό, «Διήλθομεν διὰ πυρὸς καὶ ὕδατος » (3). Εἰς δὲ τό, « Σωθήσεται », ἀνάγκη ἐστίν, ἵνα ὑπονοήσωμεν, τό, ἐὰν μετανοήσῃ, καθὼς ὑπονοεῖται καὶ εἰς τό, « Παραδοῦναι » τὸν τοιοῦτον τῷ σατανᾷ εἰς ὄλεθρον τῆς » σαρκός, ἵνα τὸ Πνεῦμα σωθῇ ἐν τῇ ἡμέ» ρᾳ τοῦ Κυρίου Ἰησοῦ » (4). Κατὰ δὲ τὴν γνώμην τῶν δευτέρων, νόησον ἀντὶ χρυσοῦ καὶ ἀργύρου καὶ λίθων τιμίων, τὰς κατὰ νοῦν καὶ λόγον καὶ ἔργον κατορθουμένας ἀρετάς· ἀντὶ δὲ ξύλων καὶ χόρτου καὶ καλάμης, τὰ ἐν διανοίᾳ καὶ λόγῳ καὶ ἔργῳ τελούμενα ἁμαρτήματα· ἀντὶ δὲ τοῦ, « Ἡ » γὰρ ἡμέρα δηλώσει», τὴν ἐσχάτην ἡμέραν τῆς κρίσεως, ἥτις ἐν πυρὶ ἀποκαλύπτεται, « Καθότι ποταμὸς πυρὸς εἷλκεν » ἔμπροσθεν αὐτοῦ » (5), ἤγουν τοῦ κριτοῦ, ὡς εἶπεν ὁ μέγας προφήτης Δανιήλ. Ἀντὶ δὲ τοῦ πυρὸς τοῦ δοκιμάζοντος ἑκάστου τὸ ἔργον, ὁποῖόν ἐστι, τὴν τοῦ Θεοῦ δικαιοκρισίαν νόησον· « Ἐν γὰρ τῷ πυρὶ Κυρίου » λέγει ὁ Ἡσαΐας, κριθήσεται πᾶσα ἡ γῆ» (6). Ἀντὶ δὲ τοῦ, « Σωθήσεται, οὕτω δέ, ὡς » διὰ πυρός », μὴ νομίσῃς τό, σωτηρίας ἀπολαύσει, οὕτω δὲ ὡς διὰ πυρός, ἀλλὰ σῶος διαφυλαχθήσεται, κατὰ τό, «Σώθητε » ἀπὸ τῆς γενεᾶς τῆς σκολιᾶς ταύτης» (7). Ἄφθαρτος δηλονότι διαφυλαχθήσεται, οὕτω δὲ ἄφθαρτος, ὥστε φλέγεσθαι διὰ τοῦ πυρὸς τῆς αἰωνίου κολάσεως. Κατὰ τὴν τῶν πρώτων οὖν γνώμην ταῦτα διδάσκει ὁ θεῖος Ἀπόστολος. Ἐάν τις τῶν διδασκάλων ἐπάνω εἰς τοῦτον τὸν θεμέλιον τῆς εἰς Χριστὸν πίστεως στηριζόμενος, διδάσκῃ διδασκαλίαν εἴτε ὀρθόδοξον, εἴτε κακόδοξον, γινωσκέτω, ὅτι τοῦ καθενὸς ἡ διδασκαλία φανερωθήσεται, ὁποία ἐστί· διότι ἡ προαγωγὴ τοῦ καιροῦ ἀποκαλύπτει αὐτήν· ὁ δὲ ζῆλος τοῦ παναγίου Πνεύματος, καὶ ἡ διάκρισις τῶν ἐν τῇ ἐκκλησιᾳ εὐσεβῶν δοκιμάσει καὶ ἀνακρινεῖ τό, πότερον, ὀρθά εἰσιν, ἢ

(1) Α΄. Κορ. 3, 12, 13, 14, 15. (2) Βασ. ἐν. κ. έ. Ησ. καὶ Ἀμβρ. ἐν κ. 3 τῆς πρὸς Κορ. Ὠριγ. ἐν ὁμιλ. 6 εἰς τὴν ἑξαημ. καὶ Ἱερών. ἐν β. 1. κατὰ Ἰωβιν. καὶ Χρυσ. Θεοδ. Οἰκουμ. Θεοφύλ. ἐν κ. 3. τὰς πρὸς Κοριν. (3) Ψαλμ. 65, 12.
(4) Α΄. Κορ. 5, 5. (5) Δαν. 7, 10. (6) Ἡσ. 65, 16. (7) Πράξ. 2, 40.

διεστραμμένα τὰ ὑπ' αὐτοῦ διδασκόμενα καὶ ἐὰν μὲν ἡ διδαχὴ αὐτοῦ μετὰ τὴν δοκιμὴν καὶ ἐπίκρισιν τῆς ἐκκλησίας διαμένῃ ἀκατάκριτος καὶ ἀκατηγόρητος, ἀπολαύσει μισθοῦ, τῆς παρὰ Θεοῦ δηλονότι ἀνταποδόσεως, καὶ τοῦ ἐπαίνου τῆς ἐκκλησίας· ἐὰν δὲ ἡ ἐκκλησία κρίνῃ αὐτὴν αἱρετικὴν καὶ κακόδοξον, αὐτὴ μὲν ἡ διδαχὴ ζημιωθήσεται, τουτέστι κατακριθήσεται καὶ καταδικασθήσεται, αὐτὸς δὲ σωθήσεται οὐχὶ διὰ πυρός, ἀλλ' οὕτως ὡς διὰ πυρός, ἤγουν διὰ τῶν ἐλέγχων καὶ τῶν ἐπιτιμίων τῆς ἐκκλησίας, ἐὰν δηλαδὴ μετανοήσῃ. Κατὰ δὲ τὴν δευτέραν γνώμην ὁ Ἀπόστολος διδάσκει τὰ ἑξῆς· ἐάν τις τῶν πιστῶν θεμελιούμενος ἐπὶ τῷ θεμελίῳ τῆς εἰς Χριστὸν πίστεως, καὶ διὰ τοῦ νοὸς καὶ διὰ τοῦ λόγου καὶ διὰ τῶν ἔργων αὐτοῦ ἐποικοδομῇ, ἤγουν πράττῃ εἴτε τῆς ἀρετῆς, εἴτε τῆς ἁμαρτίας τὰ ἔργα, γινωσκέτω, ὅτι αἱ πράξεις τοῦ καθενὸς φανερωθήσονται· διότι ἡ ἐσχάτη ἡμέρα τῆς κρίσεως, παῤῥησιαζομένη μετὰ τοῦ πυρὸς τῆς θείας δικαιοσύνης, ἀνακαλύπτει πάντα· αὐτὸ δὲ τὸ πῦρ, ἤγουν αὐτὴ τοῦ Θεοῦ ἡ δικαιοκρισία διακρίνει ὁποῖόν ἐστι τὸ ἔργον ἑκάστου, ἀγαθὸν δηλαδή, ἢ πονηρόν. Ἐὰν δὲ μετὰ τὴν δοκιμασίαν καὶ κρίσιν τοῦ Θεοῦ τὸ ἔργον τοῦ ἀνθρώπου μένῃ ἀκατάκριτον, λήψεται μισθὸν τουτέστι τὴν τῶν οὐρανῶν βασιλείαν· ἐὰν δὲ τὸ ἔργον αὐτοῦ κριθῇ ἄξιον πυρός, ἐκεῖνο μὲν ζημιωθήσεται, ἤγουν ἐξουδενωθήσεται, αὐτὸς δὲ σωθήσεται, τουτέστι σῶος διαφυλαχθήσεται, ἵνα παραδοθῇ τῷ αἰωνίῳ πυρὶ τῆς κολάσεως. Βλέπετε δέ, πῶς πρῶτον μὲν ἤλεγξε τοὺς ἀπ' ἀλλήλων σχισθέντας Κορινθίους, ὡς ἠκούσατε ἐν τῇ παρελθούσῃ κυριακῇ· ἔπειτα, ὥσπερ ὑποπτευόμενος μήπως καὶ αὐτοὶ οἱ διδάσκαλοι αὐτῶν εἰσι τῶν σχισμάτων παραίτιοι, ἐνουθέτησε καὶ αὐτούς, καὶ ἐφοβέρισε διὰ τῶν προκειμένων λόγων. Μετὰ δὲ ταῦτα κατεσκεύασε καὶ ἄλλην ἀπόδειξιν, δι' ἧς πάλιν ἐλέγχει τοὺς σχισθέντας, λέγων·

*Οὐκ οἴδατε, ὅτι ναὸς Θεοῦ ἐστε, καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ οἰκεῖ ἐν ὑμῖν; Εἴ τις τὸν ναὸν τοῦ Θεοῦ φθείρει, φθερεῖ τοῦτον ὁ Θεός· ὁ γὰρ ναὸς τοῦ Θεοῦ ἅγιός ἐστιν, οἵτινές ἐστε ὑμεῖς* (1).

Προλαβὸν εἶπε· « Θεοῦ οἰκοδομή ἐστε »· ἐφανέρωσε δέ, καὶ ποῖόν ἐστι τὸ θεμέλιον ταύτης τῆς θείας οἰκοδομῆς, εἰπών· « Θε- » μέλιον γὰρ ἄλλον οὐδεὶς δύναται θεῖναι » παρὰ τὸν κείμενον, ὅς ἐστιν Ἰησοῦς ὁ » Χριστός » (2). Νῦν δὲ λέγει, ὅτι αὐτὴ ἡ οἰκοδομή, ἡ ἔχουσα θεμέλιον τὸν Ἰησοῦν Χριστόν, ἐστὶ ναὸς τοῦ Θεοῦ, καὶ ὅτι αὐτὸς ὁ τοῦ Θεοῦ ναός εἰσιν αὐτοὶ οἱ εἰς Χριστὸν πιστεύσαντες· « Οὐκ οἴδατε, λέγει, ὅτι » ναὸς Θεοῦ ἐστε, καὶ τὸ πνεῦμα τοῦ Θεοῦ » οἰκεῖ ἐν ὑμῖν; ὁ γὰρ ναὸς τοῦ Θεοῦ ἅγιός » ἐστιν, οἵτινές ἐστε ὑμεῖς ». Τὰ αὐτὰ δὲ καὶ οἱ προφῆται εἶπον, καὶ αὐτὸς ὁ μονογενὴς τοῦ Θεοῦ Υἱός· διότι ὁ μὲν προφήτης Ἰεζεκιὴλ ὡς ἐκ στόματος τοῦ Θεοῦ ἐδίδαξε, λέγων· « Καὶ ἔσται ἡ κατασκήνω- » σίς μου ἐν αὐτοῖς, καὶ ἔσομαι αὐτοῖς Θεός, » καὶ αὐτοὶ ἔσονταί μοι λαός » (3). Ὁ δὲ Ἰησοῦς Χριστὸς εἰς τὸν ἀγαπῶντα αὐτὸν ὑπεσχέθη, λέγων· « Καὶ πρὸς αὐτὸν ἐλευσό- » σόμεθα, καὶ μονὴν παρ' αὐτῷ ποιήσο- » μεν » (4). Σιωπᾷ δὲ τὸ συμπέρασμα ὁ

(1) Α'. Κορ. 3, 16, 17. (2) Α'. Κορ. 3, 9, 11. (3) Ἰεζ. 37, 27. (4) Ἰωάν. 44, 23.



Ἀπόστολος, ἐπειδή ἐστι φανερόν· διότι, ἐὰν ἦσαν ναὸς Θεοῦ, καὶ τὸ πνεῦμα τοῦ Θεοῦ κατῴκει ἐν αὐτοῖς, ἐπειδὴ εἷς ἐστιν ὁ Θεός, ἀνάγκη ἦν, ἵνα καὶ αὐτοὶ μὴ σχίζωνται ἀπ' ἀλλήλων, ἀλλὰ μένωσιν ἀδιάσπαστοι ἀπὸ τῆς ἑνότητος τῆς πίστεως. Σιωπᾷ τὸ συμπέρασμα, ἵνα ἐπιφέρῃ τὸν φοβερισμόν, καὶ δι' αὐτοῦ ἐκριζώσας τὸ σχίσμα, ἑνώσῃ τὰ κεχωρισμένα μέλη· « Εἴ τις τὸν ναὸν » τοῦ Θεοῦ φθείρει, φθερεῖ τοῦτον, λέγει, ὁ » Θεός ». Κατὰ δύω δὲ τρόπους φθείρομεν τοῦτον τὸν ἅγιον ναόν, ἢ φθείροντες τὸν θεμέλιον αὐτοῦ, τουτέστι διδάσκοντες κακόδοξα δόγματα, ἀντὶ τῶν ὀρθοδόξων, καὶ δεισιδαιμονίας ἀντὶ τῆς ὀρθῆς πίστεως· ἢ φθείροντες αὐτὴν τὴν οἰκοδομήν, τουτέστιν ἐργαζόμενοι τὰς θεοστυγεῖς ἁμαρτίας ἀντὶ τῶν θεοφιλεστάτων ἀρετῶν. Ἐὰν δέ τις τοιουτοτρόπως φθείρῃ τὸν ἅγιον τοῦ Θεοῦ ναόν, τοῦτον φθερεῖ, ἤγουν ἀπολέσει καὶ ἐξαφανίσει ὁ Θεός· ἔδωκε δὲ ὁ Θεὸς περὶ τούτου παράδειγμα φρικτόν, τὸν Ἄρειον καὶ τὸν Ἰούδαν. Αὐτοὶ ἔφθειραν τὸν ναὸν τοῦ Θεοῦ τὸν ἅγιον, ὁ μὲν Ἄρειος διδάξας τὸν Ἰησοῦν Χριστὸν ἑτεροούσιον τῷ πατρὶ αὐτοῦ· ὁ δὲ Ἰούδας ἐποικοδομήσας ἐν ἑαυτῷ φιλαργυρίαν καὶ προδοσίαν κατὰ τοῦ Ἰησοῦ Χριστοῦ. Διὸ ὁ μὲν Ἄρειος ἐφθάρη, ἐκρεύσας πάντα τὰ ἔγκατα καὶ τὰ σπλάγχνα καὶ πᾶσαν τὴν ἔσω οὐσίαν αὐτοῦ σὺν τῇ μιαρᾷ αὐτοῦ ψυχῇ· ὁ δὲ παράνομος Ἰούδας, ἑκουσίως ἀπαγχονισθείς· διότι, ἀφ' οὗ παρέδωκε τὸν Ἰησοῦν Χριστόν, « Ἀπελ- » θὼν ἀπήγξατο » (1).

# ΟΜΙΛΙΑ

ΜΕΤΑ ΤΗΝ ΠΡΩΤΗΝ ΠΡΟΣ

## ΚΟΡΙΝΘΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

### ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗι Θ'. ΚΥΡΙΑΚΗι.

ΝΟΗΜΑΤΑ δυσνόητα περιέχουσιν αἱ ἐπιστολαὶ τοῦ θεηγόρου Παύλου, ὡς ἐμαρτύρησεν ὁ θεομακάριστος Ἀπόστολος Πέτρος· οἱ δὲ ἀμαθεῖς, λέγει, καὶ ἀστήρικτοι ἄνθρωποι διαστρέφουσιν αὐτά, « Ὡς καὶ » τὰς λοιπὰς γραφάς, πρὸς τὴν ἰδίαν αὐ- » τῶν ἀπώλειαν » (2). Βλέπομεν τοῦτο εἰς ταῦτα τοῦ Παύλου τὰ λόγια· « Αὐτὸς δὲ » σωθήσεται, οὕτω δὲ ὡς διὰ πυρός » (3). Τούτων τῶν λόγων τὸ νόημα τινές, εἴτε ἐπειδὴ ἦσαν ἀμαθεῖς τῶν Θείων Γραφῶν, εἴτ' ἐπειδὴ ἦσαν ἀστήρικτοι εἰς τὴν εὐσέβειαν καὶ ἀρετήν, μὴ κατανοήσαντες, ἐστρέβλωσαν καὶ διέστρεψαν κακῶς, φαντασθέντες, ὅτι τὸ πῦρ, περὶ οὗ ἐλάλησεν ὁ Παῦλος, ἐστὶ καθαρτήριον, καθαρίζον τὰς ψυχὰς ἀπὸ τῶν ἁμαρτιῶν, καθὼς καθαρίζει καὶ τὸ χρυσίον ἀπὸ πάσης ἀκαθαρσίας. Ἐκ τού-

(1) Ματθ. 27, 5. (2) Β'. Πέτρ. 3, 16. (3) Α'. Κορ. 3, 15.

του ἔπλασαν τὸ κερδαλαῖον πλάσμα, ἐνομοθέτησαν δηλαδή, ὅτι μετὰ θάνατον παντὸς ἀνθρώπου ἢ μετανοήσαντος μέν, ἁρπαγέντος δὲ ὑπὸ τοῦ θανάτου, καὶ ἑπομένως μὴ προφθάσαντος τελέσαι τῆς μετανοίας τὰ ἔργα, ἵνα δι' αὐτῶν καθαρισθῇ· ἢ μὴ μετανοήσαντος ὅλως διὰ τὰ συγγνωστὰ αὐτοῦ ἁμαρτήματα, ἡ ψυχὴ ἔρχεται εἰς τὸν τόπον, ὅπου ἐςὶν αὐτὸ τὸ καθαρτήριον πῦρ, ἐκεῖ δὲ φλογιζομένη τόσον διάστημα καιροῦ, ὅσον ἐστὶν ἀνάλογον τῷ ϐάρει τῶν ἁμαρτημάτων αὐτοῦ, ἐξέρχεται ἔπειτα ἐκεῖθεν καθαρὰ πάσης κηλῖδος, καθὼς τὸ χρυσίον ἐκ τῆς καμίνου, καὶ ἀπολαμϐάνει τῆς θείας δόξης καὶ μακαριότητος· δροσίζουσι δέ, ὡς αὐτοὶ λέγουσι, τὴν δριμύτητα τούτου τοῦ πυρός, ἔτι δὲ καὶ συντέμνουσι τὴν τοῦ καιροῦ παράτασιν αἱ προσευχαὶ καὶ ἐλεημοσύναι, ἐξόχως δὲ αἱ ἱερουργίαι, αἱ ὑπὲρ τῶν ἐκεῖ καιομένων τελούμεναι. Ἐκ τούτου τὸ πῦρ ἐκεῖνο ἐκεῖ, ὅπου εὑρίσκεται πῦρ ἐςι φλογίζον, κάτω δὲ εἰς τὴν γῆν γίνεται πηγή, ῥέουσα ἀργύριον πολὺ καὶ κέρδος μέγα· διότι πᾶς ὁ δεχόμενος τοῦτο τὸ ἡμαρτημένον σύστημα, ἵνα δροσίσῃ τὴν φλόγα, τὴν φλογίζουσαν τὴν ψυχὴν τοῦ πατρός, ἢ τῆς μητρός, ἢ ἄλλου τινὸς συγγενοῦς ἢ φίλου, καὶ ἵνα ἀπαλλάξῃ αὐτὸν ταχύτερον τῆς ὀδυνηρᾶς ἐκείνης ϐασάνου, μετὰ χαρᾶς γεμίζει τῶν τοιούτων ἱερουργῶν τὰς χεῖρας.

Τοῦτο τὸ πλασματῶδες σύστημα, τὸ ὑπ' ἐκείνων ἐφευρεθέν, τῶν καὶ ἄλλα καινοτομήματα τούτων χείρονα καινοτομησάντων, φαίνεται μὲν ϐλαστὸς ἀλλόκοτος τῆς αἱρετικῆς γνώμης τοῦ Ὠριγένους, ὅστις παραλογῶν ἔλεγεν, ὅτι ἔχει τέλος ἡ ἀτελεύτητος καὶ αἰώνιος κόλασις· περιέχει δὲ σφάλματα πολλὰ καὶ μεγάλα, μηδὲν ἔχον θεμέλιον, μηδὲ ἐκ τῶν Θείων Γραφῶν, μηδὲ ἐκ τῶν θεοφόρων πατέρων. Πρῶτον μὲν ὑποτίθησιν, ὅτι τὰ ἔργα τῆς μετανοίας τοῦ ἀνθρώπου, ὅπερ ἐστίν, ἡ ἀρετὴ αὐτοῦ καθαρίζει τὰ τούτου ἁμαρτήματα. Τοῦτο δέ ἐςι φρόνημα κακόδοξον· διότι ἡ ἀρετή, μᾶλλον δέ, πᾶσαι ὁμοῦ αἱ ἀρεταὶ οὐ δύνανται καθαρίσαι οὐ μόνον τὰς πολλάς, ἀλλ' οὐδὲ κἂν μίαν μόνην ἁμαρτίαν. Ὅταν ἁμαρτάνωμεν, περιφρονοῦμεν πρόσωπον τιμῆς ἀπείρου, τουτέστιν, αὐτὸν τὸν Θεόν· διὰ τοῦτο τῆς ἁμαρτίας τὸ ϐάρος ἐστὶν ἄπειρον. ἡ δὲ ἀρετή, μᾶλλον δέ, πᾶσαι αἱ ἀρεταὶ ἡμῶν εἰσιν ὡς τὸ οὐδὲν ἐνώπιον τοῦ Θεοῦ, εἰσιν « Ὡς ῥάκος ἀποκαθημένης » (1) λέγει ὁ προφήτης Ἡσαΐας. Διὸ οὐδέποτε ἰσοδυναμεῖ ἡ ἀξία τῆς ἀρετῆς τῷ ϐάρει τῆς ἁμαρτίας. Ὅθεν ὁ Θεὸς δίκαιος ὤν, οὐ καθαρίζει τὸν ἄνθρωπον ἀπὸ τῶν ἁμαρτιῶν αὐτοῦ δι' ἀντιμισθίαν τῶν ἑαυτοῦ ἀρετῶν. Ἐὰν ἡ ἀρετὴ ἐκαθάριζε τὴν ἁμαρτίαν, πάντες καὶ οἱ πρὸ νόμου, καὶ οἱ ἐν νόμῳ, καὶ οἱ μετὰ νόμον δίκαιοι ἦσαν καθαροὶ καὶ ἀπὸ τῆς προπατορικῆς ἁμαρτίας, καὶ υἱοὶ Θεοῦ καὶ κληρονόμοι τῆς αὐτοῦ ϐασιλείας· ἑπομένως περιττὴ ἦν καὶ ἡ σάρκωσις, καὶ τὸ πάθος, καὶ ὁ ςαυρός, καὶ τὸ αἷμα καὶ τὸ ὕδωρ, καὶ ὁ θάνατος, καὶ ἡ ἀνάςασις τοῦ Ἰησοῦ Χριςοῦ.

Μόνη ἡ ἀρετὴ τοῦ Θεανθρώπου, ὡς ἀρετὴ προσώπου ἀπείρου τιμῆς καὶ ἀξίας, ἐξήλειψε τὴν ἁμαρτίαν. Αὐτὸς ἐτελείωσε τὴν ἱκανοποίησιν, ἤγουν τῆς μετανοίας τὰ ἔργα ὑπὲρ πάντων τῶν ἁμαρτωλῶν· αὐτὸς διὰ τοῦ ἀνθρώπου τὴν παρακοὴν ἐγένετο ὑπήκοος μέχρι θανάτου, διὰ τὴν ὑπερήφανον φαντασίαν τῆς ἰσοθείας ἐφόρεσε στέφανον

(1) Ἡσ. 64, 6.



ἀκάνθινον ἐπὶ τῆς κεφαλῆς, διὰ τὰς ἐπὶ τὸ ξύλον τῆς γνώσεως ἁπλωθείσας χεῖρας, ἥπλωσε τὰς χεῖρας ἐν τῷ ξύλῳ τοῦ ςαυροῦ· ἐγυμνώθη διὰ τὸ ἔνδυμα τῶν δερματίνων χιτώνων, ἐγεύθη τῆς χολῆς, διὰ τὴν ἡδονὴν τῆς γεύσεως τοῦ καρποῦ, ἐλογχεύθη τὴν πλευράν διὰ τὴν ἐκ τῆς πλευρᾶς ληφθεῖσαν καὶ ἀπατηθεῖσαν προμήτορα. « Αὐτὸς ἐ» τραυματίσθη διὰ τὰς ἁμαρτίας ἡμῶν, » καὶ μεμαλάκισται διὰ τὰς ἀνομίας ἡ» μῶν» (1). Αὐτὸς ἐϐάστασε τὴν διὰ τὰ ἁμαρτήματα ἡμῶν τιμωρίαν, καὶ εἰρήνευσεν ἡμᾶς μετὰ τοῦ Θεοῦ. « Παιδεία εἰρήνης » ἡμῶν ἐπ' αὐτόν ». Αἱ πληγαὶ τῶν χειρῶν καὶ ποδῶν αὐτοῦ ἐθεράπευσαν τὰ τραύματα τῶν ἀνομιῶν ἡμῶν· « Τῷ μώλωπι » αὐτοῦ ἡμεῖς ἰάθημεν ». Τὸ αἷμα τὸ ἐκ τῆς πλευρᾶς αὐτοῦ ἐξελθὸν καθαρίζει ἡμᾶς ἀπὸ παντὸς ἁμαρτήματος· « Τὸ αἷμα τοῦ Ἰησοῦ Χριστοῦ, τοῦ Υἱοῦ αὐτοῦ καθαρίζει » ἡμᾶς ἀπὸ πάσης ἁμαρτίας » (2). Τὸ ὕδωρ τὸ ἐκ τῆς πλευρᾶς αὐτοῦ ἐκρεῦσαν, ἐκπλύνει τῆς ψυχῆς τὰς ἀκαθαρσίας, καὶ δωρεῖται τὴν σωτηρίαν. « Ὁ πιστεύσας » καὶ ϐαπτισθεὶς σωθήσεται » (3). Αὐτὸς δέ, εἰς ὃν ἐδόθη πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς ἔδωκεν εἰς τοὺς μαθητὰς αὐτοῦ την ἐξουσίαν τοῦ λύειν καὶ δεσμεῖν τὰς τῶν ἀνθρώπων ἁμαρτίας. « Λάϐετε, εἶπε, » Πνεῦμα ἅγιον. Ἄν τινων ἀφῆτε τὰς ἁ» μαρτίας, ἀφίενται αὐτοῖς· ἄν τινων κρα» τῆτε κρεκράτηνται » (4). Αὐτὴ δὲ ἡ ἐξουσία μεταδίδοται ἀλληλοδιαδόχως εἰς τοὺς ἀληθεῖς καὶ νομίμους διαδόχους αὐτῶν, ἕως τῆς συντελείας τοῦ αἰῶνος. Διὸ ὁ μὲν ἱερεὺς ἐκφωνεῖ κάτω εἰς τὴν γῆν πρὸς τὸν ἐξομολογηθέντα τὰς ἁμαρτίας αὐτοῦ τὴν δεσποτικὴν φωνήν, « Τέκνον, ἀφέ» ωνταί σοι αἱ ἁμαρτίαι σου » (5)· ἄνω δὲ ἐν τῷ οὐρανῷ ὁ πατὴρ τῶν οἰκτιρμῶν λύει πάσας τὰς ἁμαρτίας τοῦ ἀληθῶς μετανοήσαντος, καὶ καθαρίζει τὴν ψυχὴν αὐτοῦ ἀπὸ πάσης ἀνομίας.

Ἀλλὰ κατὰ τοῦτον τὸν λόγον περιττά εἰσι, λέγεις, τῆς μετανοίας τὰ ἔργα, ἡ λεγομένη δηλαδὴ ἱκανοποίησις, ἢ κανών, ὁ ὑπὸ τοῦ πνευματικοῦ πατρὸς διοριζόμενος. Οὐκ εἰσὶ περιττά, ἀλλὰ χρήσιμα καὶ ψυχοσωτήρια· αὐτὰ οὐκ εἰσὶ τὰ αἴτια τῆς ἀφέσεως τῶν ἁμαρτιῶν· διότι ταύτην ἡμεῖς λαμϐάνομεν εὐθὺς μετὰ τὴν ἐξομολόγησιν καὶ τὴν συγχωρητικὴν εὐχήν, διὰ τὴν ἱκανοποίησιν, ἣν ἐποίησεν ὑπὲρ ἡμῶν ὁ Ἰησοῦς Χριστός, καὶ διὰ τῆς χάριτος τοῦ ὑπὲρ ἡμῶν ἐκχυθέντος πανυπερτίμου αὐτοῦ αἵματος· εἰσὶν ὅμως οἱ καρποὶ τῆς μετανοίας, καὶ ἡ ἀπόδειξις τῆς πρὸς τὸν Θεὸν ἐπιςροφῆς ἡμῶν· εἰσὶν ἔργα ὑπακοῆς ἀντὶ τῆς παρακοῆς, ἣν ἐποιήσαμεν ἁμαρτήσαντες· εἰσὶ χαλινὸς ἐμποδίζων τὰ εἰς τὴν ἁμαρτίαν ἐπανακυλίσματα. Ὅθεν ὅστις ἑκουσίως οὐκ ἐκπληροῖ αὐτά, ἐκεῖνος παρακούει τῆς ἐκκλησίας, καὶ περιφρονεῖ τὴν δοθεῖσαν αὐτῷ χάριν τοῦ ἁγίου Πνεύματος.

Δεύτερον δέ, τὸ τοιοῦτον σύστημα προσάπτει μομφὴν ἀδικίας εἰς τὸν Θεόν. Ἄκουσον πῶς. Ἀληθῶς, ἄλλοτε μὲν ἡ ψυχὴ διὰ τῶν πονηρῶν αὐτῆς λογισμῶν ἐγείρει τὸ σῶμα πρὸς τὴν ἁμαρτίαν· ἄλλοτε ὅμως τὸ σῶμα διὰ τῶν σαρκικῶν αὐτοῦ ἐπαναστάσεων διεγείρει τὴν ψυχὴν πρὸς τὴν ἐκπλήρωσιν τῆς ἁμαρτίας· πλὴν εἴτε ἡ ψυχὴ ἐγείρει τὸ σῶμα, εἴτε τὸ σῶμα τὴν ψυχήν, καὶ τὰ δύο ὁμοῦ πράττουσι τὴν ἁμαρτίαν.

(1) Ἡσ. 53, 5. (2) Α'. Ἰωάν. 1, 7. (3) Μάρκ. 16, 16. (4) Ματθ. 28, 18. Ἰωάν. 20, 22, 23.
(5) Μάρκ. 2, 5.

Οὐδέποτε δὲ οὐδὲ ἡ ψυχὴ ἁμαρτάνει, χωρὶς τῆς συναισθήσεως τοῦ σώματος, οὐδὲ τὸ σῶμα, χωρὶς τῆς συγκαταθέσεως τῆς ψυχῆς. Ἐπειδὴ δὲ κατὰ τοῦτο τὸ σύστημα ὁ Θεὸς εὐθὺς μετὰ τὸν τοῦ ἀνθρώπου θάνατον, τὴν μὲν ψυχὴν αὐτοῦ, τὴν ἀξίαν τοῦ καθαρτηρίου πυρός, παιδεύει, ὅσον καιρὸν πρέπει, καταφλέγων αὐτήν, τὸ δὲ σῶμα, τὸ ὑπόδικον τιμωρίας, ὡς συναμαρτῆσαν τῇ ψυχῇ, οὐ μόνον ἀφίησιν ἀπαίδευτον, μεταβάλλων αὐτὸ εἰς ἀναίσθητον χοῦν, ἀλλὰ καὶ συνδοξάζει τῇ ψυχῇ μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν· φανερόν ἐστιν, ὅτι τοῦτο τὸ καθαρτήριον πῦρ οὐ μόνον φλογίζει τὰς ψυχάς, ἀλλὰ καταναλίσκει τὴν ἄπειρον τοῦ Θεοῦ δικαιοσύνην. Ἐὰν δύο ἄνθρωποι ὁμοῦ κατεφρόνουν ἐπίσης τὸν αὐτὸν νόμον ἑνὸς ἐπιγείου βασιλέως, ὁ δὲ βασιλεὺς τὸν μὲν ἕνα ἐπαίδευεν εὐθύς, τὸν δὲ ἕτερον οὐ μόνον οὐκ ἐπαίδευεν, ἀλλὰ μετὰ παρέλευσιν καιροῦ ἐτίμα καὶ ἐδόξαζε, πόσην ἀδικίαν ἐποίει ὁ βασιλεὺς ἐκεῖνος; τοιαύτην ἀδικίαν ἐποίει ὁ Θεός, ἐὰν ἀληθὲς ἦν τοῦ καθαρτηρίου πυρὸς τὸ φάντασμα· ποῖον δὲ ἄτοπον τούτου τοῦ ἀτόπου ὑπέρτερον;

Τρίτον ἡ ψευδοϋπόθεσις τοῦ καθαρτηρίου πυρὸς καταργεῖ δόγμα πίστεως· ἡμεῖς οἱ εὐσεβεῖς χριστιανοὶ πιστεύομεν, ὅτι ὁ Θεὸς ὥρισεν ἡμέραν, ἐν ᾗ μετὰ πάσης δικαιοσύνης μέλλει κρῖναι πάντας τοὺς ἀπ' αἰῶνος ἀνθρώπους μηδενὸς ἐξαιρουμένου. Τοῦτο ἐμαθήτευσαν ἡμᾶς οἱ θεοδίδακτοι Ἀπόστολοι, εἰπόντες· « Ἔστησεν ἡμέραν, ἐν ᾗ » μέλλει κρίνειν τὴν οἰκουμένην ἐν δικαιο» σύνῃ (1). Τοῦτο αὐτὸ ἐδίδαξεν ἡμᾶς αὐτὸς ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ, εἰπών· « Ὅταν » ἔλθῃ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ » αὐτοῦ, καὶ πάντες οἱ ἅγιοι ἄγγελοι μετ' » αὐτοῦ, τότε καθίσει ἐπὶ θρόνου δόξης » αὐτοῦ. Καὶ συναχθήσονται ἔμπροσθεν » αὐτοῦ πάντα τὰ ἔθνη » (2). Τοῦτο ἡμεῖς ὁμολογοῦμεν διὰ τοῦ ἱεροῦ συμβόλου τῆς πίστεως, λέγοντες· « Καὶ πάλιν ἐρχόμενον » μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκρούς ». Τί οὖν; ἔσονται ἆρά γε τότε μέρη τῆς κρινομένης οἰκουμένης καὶ οἱ διὰ τοῦ καθαρτηρίου πυρὸς διελθόντες, ἢ στήσονται ἀνὰ μέρος κεχωρισμένοι ἀπὸ τῶν ἄλλων τῶν κρινομένων; συναχθήσονται ἆρά γε καὶ αὐτοὶ μετὰ πάντων τῶν ἐθνῶν ἐνώπιον τοῦ κριτοῦ, ἢ ἐγκαταλειφθήσονται; ἑνὶ λόγῳ κριθήσονται ἆρά γε καὶ αὐτοὶ τότε, ἢ οὔ; ἐὰν τὸ πρῶτον, ἐπειδὴ προλαβὸν ἐκρίθησαν, ὅτε δηλαδὴ κατεδικάσθησαν εἰς τὴν φλόγα τοῦ καθαρτηρίου πυρός, φανερόν ἐστιν, ὅτι πάντες μὲν οἱ λοιποὶ ἄνθρωποι ἅπαξ κριθήσονται, δηλονότι μόνον ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως· αὐτοὶ δὲ δίς, πρὸ τῆς ἡμέρας ἐκείνης κατ' ἰδίαν, καὶ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ μετὰ πάντων τῶν ἄλλων. Ἐπειδὴ δὲ φοβερά ἐστιν ἡ κρίσις τοῦ Θεοῦ, αὐτοὶ μὲν δὶς δοκιμάζουσι τὰ τρομερὰ τῆς κρίσεως φόβητρα, πάντες δὲ οἱ λοιποὶ ἅπαξ καὶ μόνον· ἀλλ' ἔστιν ἆρά γε τοῦτο κατάλληλον τῇ θείᾳ δικαιοσύνῃ; ἐὰν δὲ ὑποτεθῇ τὸ δεύτερον, ἐξ ἀνάγκης ἀκολουθεῖ, ὅτι ἡ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ὁρισθεῖσα κρίσις τοῦ Θεοῦ οὐκ ἔστιν οἰκουμενικὴ καὶ καθολική, ἀλλὰ μερικὴ καὶ ἰδιάζουσα. Ἐὰν δὲ εἴπῃς, ὅτι πᾶς ἄνθρωπος εὐθὺς μετὰ θάνατον κρίνεται καὶ ἀπολαμβάνει ἢ τὸ τέλειον τῆς δόξης, ἢ τὸ τέλειον τῆς κολάσεως, τοῦτο οὐ μόνον ἐστὶν ἐναντίον τῶν ἐμφαντικῶν λόγων τῶν ἁγίων Γραφῶν, ἀλλὰ καὶ ἀποδείκνυσι ματαίαν

(1) Πράξ. 17, 31. (2) Ματθ. 25, 31, 32.



τὴν ὑπὸ Θεοῦ διωρισμένην κοινὴν κρίσιν. Διότι, ἐὰν ὁ καθεὶς ἐκρίθη καὶ ἔλαβε τὴν τελείαν ἀνταπόδοσιν, ποία χρεία ἐστὶ δευτέρας κρίσεως; οἱ ἄνθρωποι ἀνακρίνουσι καὶ δὶς καὶ τρὶς καὶ πολλάκις, ἐπειδὴ ἀτελεῖς ὄντες κατὰ τὸν νοῦν, λανθάνονται· ὁ δὲ Θεός, πανυπερτέλειος ὢν καὶ ἀλάνθαστος, οὐδεμίαν ἔχει χρείαν, ἵνα ἅπαξ καὶ δὶς ἀνακρίνῃ.

Τέταρτον, ἐπειδὴ ἡ ἡμέρα τῆς κρίσεως αἰφνιδίως παῤῥησιάζεται· « Ἡ ἡμέρα Κυ» ρίου, λέγει ὁ θεῖος Ἀπόστολος, ὡς κλέ» πτης ἐν νυκτί, οὕτως ἔρχεται (1). Ἐν ᾗ » ὥρᾳ, εἶπεν ὁ Κύριος, οὐ δοκεῖτε, ὁ Υἱὸς » τοῦ ἀνθρώπου ἔρχεται » (2). Πολλοὶ τότε εὑρεθήσονται μὴ ἐκτελέσαντες τὴν τῶν ἁμαρτημάτων αὐτῶν ἱκανοποίησιν, καὶ πολλοὶ ἀμετανόητοι ἐκ τῶν συγγνωστῶν αὐτῶν σφαλμάτων, πολλοὶ δηλονότι ἄξιοι οὐχὶ τῆς αἰωνίου κολάσεως, ἀλλὰ τοῦ προσκαίρου καθαρτηρίου πυρός. Τί οὖν ποιήσει τότε ὑπὲρ τούτων ὁ Θεός; ἆρά γε ἀναβάλλει τὸν ἀπ' αἰῶνος διορισθέντα καιρὸν τῆς κρίσεως καὶ ἀποφάσεως, ἕως ἂν αὐτοὶ καθαρισθῶσιν ὑπὸ τοῦ καθαρτηρίου πυρός; ἀλλ' ἐν τοσούτῳ ἄλλοι ὅμοιοι αὐτοῖς γίνονται, καὶ ἐφεξῆς ἄλλοι, ἕως οὗ ὑπάρχει τὸ γένος τῶν ἀνθρώπων. Ἑπομένως δὲ ἐμποδίζεται διαπαντὸς ἡ πρὸ τῶν αἰώνων ὑπὸ Θεοῦ ὁρισθεῖσα ἡμέρα καὶ ὥρα τῆς κρίσεως. Ἆρά γε κρίνει καὶ καταδικάζει εἰς τὸ πῦρ τὸ αἰώνιον ἐκείνους οἵτινες ἦσαν ὑπόδικοι μόνον τοῦ προσκαίρου πυρός, ἤγουν τοῦ καθαρτηρίου; ἀλλὰ τίς οὐ βλέπει, ὅτι τοῦτό ἐστιν ἀδικία; Ἆρά γε εἰσάγει αὐτοὺς εἰς τὴν αἰώνιον βασιλείαν ἀκαθάρτους καὶ ῥεῤῥυπωμένους; Ἀλλ' ὅσοι οὐκ ἔχουσιν ἔνδυμα γάμου, ἤγουν καθαρότητα καὶ ἁγιωσύνην, ἐκεῖνοι ἐκβάλλονται ἔξω τοῦ θείου νυμφῶνος. Ἆρά γε συγχωρεῖ πρῶτον τὰς τούτων ἁμαρτίας, ἔπειτα εἰσάγει αὐτοὺς εἰς τὴν ἀτελεύτητον δόξαν; ἀλλὰ τοῦτό ἐστι προσωποληψία· διότι ἄλλους μὲν τὰ αὐτὰ πράξαντας πρότερον κατέφλεξεν, ἔπειτα ἠλέησε, τούτους δὲ ἀφλέκτους ἐδόξασε.

Πρός τούτοις, πόθεν οὗτοι οἱ καινοτόμοι ἀφορμὴν λαβόντες, ἔπλασαν τοῦτο τὸ σκανδαλωδέστατον σύστημα; Ποία θεόπνευστος γραφή, ποῖος προφήτης, ποῖος Ἀπόστολος, ἢ ποῖος τῶν ἀληθῶς ἁγίων ἐλάλησε περὶ καθαρτηρίου πυρός; Ἰδοὺ λέγουσιν, ὁ Ἀπόστολος Παῦλος λέγει· « Αὐτὸς » δὲ σωθήσεται, οὕτω δὲ ὡς διὰ πυρός » (3). Ἀλλὰ τὸ ῥητὸν τοῦτο περιέχει τὰ δυσνόητα, ὡς εἶπεν ὁ Πέτρος (4). Οὐδεὶς δὲ τῶν θείων πατέρων, τῶν διερμηνευσάντων αὐτό, ἐφαντάσθη καθαρτήριον πῦρ, οὐδὲ κἂν ἓν τῶν λοιπῶν, ὅσα περὶ τοῦ πυρὸς τούτου ἔπλασαν οἱ νεοφανεῖς οὗτοι πλάσται· ἐπειδὴ δὲ πρὸ τοῦ ῥητοῦ τούτου εἶπεν ὁ Παῦλος· » Ἑκάστου τὸ ἔργον φανερὸν γενήσε» ται· ἡ γὰρ ἡμέρα δηλώσει » (5)· φανερόν ἐστιν, ὅτι ἠνάγκασε πάντας πιστεῦσαι, ὅτι λαλεῖ περὶ τῆς φοβερᾶς ἡμέρας τῆς κρίσεως, ἐν ᾗ πάντα τὰ τῶν ἀνθρώπων ἔργα φανερωθήσονται. Βλέπε δέ, ὅτι οὐκ εἶπε, διὰ πυρός, ἀλλ' ὡς διὰ πυρός. Τίς οὖν εὐσεβής, καὶ τὸν Θεὸν φοβούμενος ἐπάνω εἰς θεμέλιον τοσοῦτον ἀσαφὲς καὶ ἀμφίβολον οἰκοδομεῖ τόσην ὑποθετικὴν οἰκοδομήν, νεοφανῆ καὶ ἀνήκουστον εἰς τὴν καθόλου ἐκκλησίαν, καὶ πλάττει τόσα πλάσματα, ἐξ ὧν συμπεραίνονται τόσα ἄτοπα καὶ παράλογα, μᾶλλον δέ, βλάσφημα, καὶ διδάσκει καὶ ἀγωνίζεται πεῖσαι τοὺς ἄλλους,

(1) Α'. Θεσ. 5. 2. (2) Ματθ. 24, 44. (3) Α. Κορ. 3, 15. (4) Β'. Πέτρ. 3, 16. (5) Α'. Κορ. 3, 13.

ἵνα πιστεύσωσι καὶ ὑποδεχθῶσιν αὐτά; περὶ μὲν τοῦ πυρὸς τῆς αἰωνίου κολάσεως ἐλάλησεν ὁ Θεὸς φανερὰ ἐν ταῖς Θείαις Γραφαῖς, ὀνομάσας αὐτό, πῦρ ἄσβεστον, πῦρ καμιναῖον, πῦρ αἰώνιον, πῦρ γεέννης, πῦρ φλογερόν, πῦρ λιμναῖον, καιόμενον ἐν τῷ θείῳ (1). Πῦρ δὲ καθαρτήριον οὐδὲ φαίνεται, οὐδὲ ἀκούεται, οὐδὲ εἰς τὰς Θείας Γραφάς, οὐδὲ εἰς τὰς τῶν ἁγίων Συνόδων διατάξεις, οὐδὲ εἰς τὰς ἀρχαίας ἐκκλησιαστικὰς ἱστορίας, οὐδὲ εἰς τὰ συγγράμματα τῶν θεοφόρων πατέρων.

Ἀλλὰ καὶ ἡ ὀρθόδοξος ἐκκλησία, λέγεις, προσφέρει ὑπὲρ τῶν κεκοιμημένων ὀρθοδόξων καὶ τὰς ἀναιμάκτους θυσίας, καὶ ἐλεημοσύνας εἰς τοὺς πτωχούς, καὶ κηροὺς καὶ θυμιάματα, καὶ προσευχάς, καὶ δεήσεις. Τοῦτό ἐστιν ἀληθέστατον, πλὴν ἄλλο ἐστὶ τὸ ἔργον τοῦτο, καὶ ἄλλο τὰ περὶ τοῦ καθαρτηρίου πυρὸς μυθολογήματα. Ἄκουσον δέ, ποῦ θεμελιοῦται τοῦτο τὸ ἅγιον τῆς ἐκκλησίας ἔργον. Ὁ μὲν προφητάναξ Δαβὶδ εἶπεν, ὅτι οἱ δίκαιοι περιμένουσι τὴν ἀνταπόδοσιν, ἕως οὗ καὶ αὐτὸς λάβῃ αὐτήν· « Ἐξάγαγε, εἶπεν, ἐκ φυλακῆς τὴν ψυχήν μου τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματί σου » (2). Ἀλλὰ διὰ τί τοῦτο; Διότι, « ἐμὲ ὑπομενοῦσι, λέγει, δίκαιοι, ἕως οὗ ἀνταποδῷς μοι. » Ὁ δὲ θεσπέσιος Παῦλος ἐσαφήνισε τοῦτο εἰπὼν περὶ τῶν δικαίων· « Καὶ οὗτοι πάντες οὐκ ἐκομίσαντο τὴν ἐπαγγελίαν » (3). Διὰ τί; Διότι ηὐδόκησε, λέγει, ἡ πρόνοια τοῦ Θεοῦ, ἵνα μὴ ἐκεῖνοι χωρὶς ἡμῶν ἀπολαύσωσι τὸ τέλειον τῆς δόξης. « Τοῦ Θεοῦ περὶ ἡμῶν κρεῖττόν τι προβλεψαμένου, ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσιν ». Ἀκούομεν δὲ καὶ τὸν θεομακάριστον Πέτρον μαρτυροῦντα, ὅτι οὐ, μόνον οἱ ἁμαρτωλοί, ἀλλ' οὐδὲ οἱ δαίμονες, μεθ' ὧν οἱ ἁμαρτωλοὶ μέλλουσι συγκολασθῆναι, ἔλαβον τὸ τέλειον τῆς κολάσεως. « Οἶδε γάρ, λέγει αὐτός, περὶ τῶν ἁμαρτωλῶν, εὐσεβεῖς ἐκ πειρασμῶν ῥύεσθαι, ἀδίκους δὲ εἰς ἡμέραν κρίσεως κολαζομένους τηρεῖν » (4). Περὶ δὲ τῶν δαιμόνων λέγει· « Εἰ γὰρ ὁ Θεὸς ἀγγέλων ἁμαρτησάντων οὐκ ἐφείσατο, ἀλλὰ σειραῖς ζόφου ταρταρώσας, παρέδωκεν εἰς κρίσιν τετηρημένους ». Ἐκ τούτων οὖν οὐδεὶς δύναται ἀμφιβάλλειν, ὅτι οὐδὲ οἱ δίκαιοι, οὐδὲ οἱ ἁμαρτωλοὶ ἔλαβον τὸ τέλειον τῆς ἀνταποδόσεως, περιμένουσι δὲ τὴν ἡμέραν τῆς κρίσεως, ἵνα μετὰ τὴν κρίσιν λάβῃ ὁ καθεὶς τὸ τέλειον ἀνταπόδωμα. « Τὸν ἀγῶνα τὸν καλὸν ἠγώνισμαι, ἔγραφεν ὁ θεῖος Παῦλος, τὸν δρόμον τετέλεκα, τὴν πίστιν τετήρηκα. Λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος, ὃν ἀποδώσει μοι ὁ Κύριος ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ὁ δίκαιος κριτής » (5). Ἀκούεις; Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, λέγει, ὁ δίκαιος κριτής. Ἵνα δὲ μὴ νομίσῃς, ὅτι περὶ ἑαυτοῦ μόνον λαλεῖ, ἐπιφέρει εὐθύς· « Οὐ μόνον δὲ ἐμοί, ἀλλὰ καὶ πᾶσι τοῖς ἠγαπηκόσι τὴν ἐπιφάνειαν αὐτοῦ ». Ἐπειδὴ οὖν οὐδὲ ἐκρίθησαν οἱ κεκοιμημένοι, ἑπομένως οὐδὲ ἔλαβον τὴν τελείαν ἀντάμειψιν, εἰς τὸ ἄπειρον ἔλεος τοῦ Θεοῦ θαῤῥοῦσα ἡ ἐκκλησία, δέεται ἵνα ἐλεήσῃ τοὺς ἁμαρτωλούς.

Ὅτι δὲ ἡ ἐκκλησία ἐξ ἀποστολικῆς παραδόσεως τοῦτο παρέλαβε, φανερόν ἐστι, πρῶτον μέν, ἐκ τῆς κοινῆς καὶ συμφώνου περὶ τούτου γνώμης πάντων τῶν χριστιανῶν. Διότι, ἐὰν ἐξέλῃς τινὰς νεωτεριστάς,

(1) Ματθ. 3, 12, καὶ 13, 42. καὶ 18, 8. καὶ 25, 41· καὶ 8, 9. Ἀποκ. 19, 20. (2) Ψαλ. 141, 8. (3) Ἑβρ. 11, 39, 40. (4) Β'. Πέτρ. 2, 9, 4. (5) Β'. Τιμ. 4, 7, 8.



πάντες, καὶ αὐτοὶ δηλονότι οἱ ἀπὸ τῆς ἐκκλησίας σχισθέντες, καὶ ἴδια κόμματα συστήσαντες, οὐκ ἔπαυσαν τοῦτο ποιοῦντες· δεύτερον δέ, ἐκ τῆς ἀλληλοδιαδόχου μαρτυρίας τῶν παλαιῶν ἁγίων πατέρων (1). Ὅτι δὲ οἱ θεοφόροι Ἀπόστολοι οὐ μόνον ἐγγράφως, ἀλλὰ καὶ ἀγράφως πολλὰ παρέδωκαν εἰς τοὺς πιστούς, παραγγείλαντες, ἵνα φυλάττωσιν αὐτά, μαρτυρεῖ ὁ παμμακάριστος Παῦλος, λέγων· « Ἄρα οὖν, ἀδελφοί, στήκετε, καὶ κρατεῖτε τὰς παραδόσεις, ἃς ἐδιδάχθητε εἴτε διὰ λόγου εἴτε δι' ἐπιστολῆς ἡμῶν » (2). Ἔχομεν δὲ καὶ παλαιὰν ἱστορίαν τὸ ἔργον τοῦτο ἐπιβεβαιοῦσαν, ἱστορίαν δεκτὴν τοῖς πᾶσιν, οὐ μόνον τοῖς χριστιανοῖς, ἀλλὰ καὶ τοῖς Ἑβραίοις, τὴν περὶ τῶν Μακκαβαίων δηλονότι ἱστορίαν· ἐν αὐτῇ ἀναγινώσκομεν, ὅτι ὁ Ἰούδας ὁ Μακκαβαῖος συνέλεξε δύω χιλιάδας δραχμὰς ἀργυρίου, καὶ ἀπέστειλεν αὐτὸ εἰς τὴν Ἱερουσαλήμ, ἵνα ἐκεῖ προσφέρωσι θυσίαν ὑπὲρ τῶν ἁμαρτιῶν τῶν ἐν τῷ πολέμῳ ἀποθανόντων. « Ποιησάμενός τε, λέγει ἡ ἱστορία, κατ' ἀνδρολογίαν κατασκευάσματα εἰς ἀργυρίου δραχμὰς δισχιλίας, ἀπέστειλεν εἰς Ἱερουσαλήμ, προσαγαγεῖν περὶ ἁμαρτίας θυσίαν » (3). Ταῦτα εἰπὼν ὁ ἱστορικός, καὶ πολλὰ ἐπαινέσας τοῦτο τὸ ἔργον, ἐπάγει· « Ὅθεν περὶ τῶν τεθνηκότων τὸν ἐξιλασμὸν ἐποιήσατο, τῆς ἁμαρτίας ἀπολυθῆναι ».

Πάντες οὖν ἡμεῖς, οἱ τὸν λόγον τῆς ἀληθείας ὀρθοτομοῦντες, καὶ κρατοῦμεν, καὶ φυλάττομεν, καὶ ἐνεργοῦμεν τὰ περὶ τῶν κεκοιμημένων εὐσεβῶν μνημόσυνα, ὡς ἐκ τῶν Ἀποστόλων παραδοθέντα, ὡς ἐκ πάσης τῆς ὀρθοδόξου ἐκκλησίας ἀπ' ἀρχῆς καὶ φυλαττόμενα καὶ ἐνεργούμενα, ὡς ἐπιδεκτικὰ τῆς πρὸς τὸν πλησίον ἀγάπης, ὡς ἀρεστὰ εἰς τὸν Θεόν, ὡς ἐπωφελέστατα καὶ ψυχοσωτήρια. Τὸ δὲ σύστημα τοῦ πλαστοῦ πυρός, τοῦ λεγομένου καθαρτηρίου, καὶ τὰ ὅμοια τούτῳ κενοτομήματα, τὰ ἐκ τῆς κοιλίας τῶν πονηρῶν ἀνθρώπων ἐξερευχθέντα καὶ πλασθέντα, ἀποστρεφόμεθα καὶ περιφρονοῦμεν, συντάττοντες αὐτὰ εἰς τοὺς « Βεβήλους καὶ γραώδεις μύθους, καὶ εἰς τὰς μωρὰς ζητήσεις », περὶ ὧν ὁ Παῦλος ἔγραψε πρὸς τὸν Τιμόθεον καὶ τὸν Τῖτον (4).

(1) Ὅρα λογ. Δαμασκ. περὶ τῶν κεκοιμ. (2) Β'. Θεσ. 2, 15. (3) Β'. Μακκαβ. 12, 43, 45. (4) Α'. Τιμ. 4, 7. Τίτ. 3, 9.

# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΗΝ ΠΡΩΤΗΝ ΠΡΟΣ

# ΚΟΡΙΝΘΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

## ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗι Γ'. ΚΥΡΙΑΚΗι.

ΠΙΚΡΟΤΑΤΟΝ καὶ πληκτικώτατον πρᾶγμά ἐστι τῶν προεστώτων ὁ ἔλεγχος· αὐτὸς οὐ μόνον βυθίζει τὴν ψυχὴν εἰς τὴν θάλασσαν τῆς λύπης, ἀλλὰ πολλάκις τοσοῦτον παροργίζει τὸ πνεῦμα, ὥστε ἄγρια διεγείρει κατὰ τοῦ ἀνθρώπου τοῦ θυμοῦ τὰ κύματα. Ἡ στενοχωρία τῆς λύπης ἐκνευρίζει τῆς λογικῆς δυνάμεως τὸν τόνον· τοῦ θυμοῦ τὰ κύματα πνίγουσι τοῦ νοὸς τὴν διάκρισιν. Ἐκ τούτου ὡς ἐπὶ τὸ πλεῖστον οἱ αὐστηροὶ ἔλεγχοι βλάβην προξενοῦσιν ἀντὶ ὠφελείας. Διὰ τοῦτο καθὼς οἱ ἐπιστήμονες τῶν σωμάτων ἰατροί, ἀναμιγνύοντες τὰ ἄνοστα φάρμακα μετά τινων νοστίμων ἀρτυμάτων μετριάζουσι τὴν τούτων ἀηδίαν, καὶ κατασκευάζουσι μίγμα δεκτὸν μὲν εἰς τὴν γεῦσιν, θεραπευτικὸν δὲ τῆς ἀῤῥωστίας· οὕτω καὶ οἱ σοφοὶ τῆς ψυχῆς ἰατροί, συγκιρνῶντες τὸν αὐστηρὸν ἔλεγχον μετὰ τῶν ἁπαλωτέρων λόγων, μετριάζουσι τὴν τούτου πικρίαν, καὶ συνιστῶσι κρᾶμα λόγου καὶ εἰς τὸν νοῦν εὐπρόσδεκτον, καὶ τῶν τῆς ψυχῆς ἀῤῥωστημάτων θεραπευτήριον. Εἰς τὴν κατασκευὴν τοιούτου μίγματος οὐδεὶς σοφώτερος τοῦ Παύλου, ἐπειδὴ οὐδεὶς ἠξιώθη τῆς τοιαύτης χάριτος πλὴν ἐκείνου. Τὰ σήμερον ἀναγνωσθέντα λόγια τῆς ἐπιστολῆς αὐτοῦ ἔλεγχον περιέχουσιν αὐστηρότατον κατὰ τῶν Κορινθίων. Μετὰ τοσαύτης ὅμως σοφίας καὶ ἐπιστήμης συνεκέρασεν ὁ πάνσοφος διδάσκαλος τὸ σκληρὸν μετὰ τοῦ ἁπαλοῦ, καὶ συνέμιξε τὸ πικρὸν μετὰ τῆς γλυκύτητος, ὥστε κατεσκεύασε μῖγμα λόγου, ὡς οὐδεὶς ἀμφιβάλει, καὶ εὐάρεστον εἰς τὸν νοῦν, καὶ θεραπευτικὸν τῆς ἁμαρτίας τῶν Κορινθίων. Πρόσεχε, ὦ ἀκροατά, εἰς τὴν ἑρμηνείαν τῶν ἀναγνωσθέντων λόγων, ἵνα καταλάβῃς τὴν ἐν αὐτοῖς ἐπουράνιον τοῦ Θεοῦ σοφίαν, καὶ θεραπεύσας τῆς ψυχῆς σου τὰ τραύματα, καταστολίσῃς αὐτὴν διὰ τοῦ καλλωπισμοῦ τῶν ἐναρέτων ἔργων.

*Ἀδελφοί, ὁ Θεὸς ἡμᾶς τοὺς Ἀποστόλους ἐσχάτους ἀπέδειξεν, ὡς ἐπιθανατίους, ὅτι θέατρον ἐγενήθημεν τῷ κόσμῳ καὶ ἀγγέλοις καὶ ἀνθρώποις* (1).

Οἱ Κορίνθιοι ἐφθάρησαν ὑπὸ τῆς διδασκαλίας τῶν ψευδαποστόλων· ὅθεν ἐπαρθέντες εἰς λογισμοὺς ὑπερηφανείας, ἐνόμιζον, ὅτι ἔφθασαν εἰς τὴν τελειότητα πάσης ἀρετῆς καὶ εὐτυχίας· ἐκ τούτου δὲ ἐκαυχῶντο καυχήματα μάταια, καὶ ἐκόμπαζον, ὀνομάζοντες ἑαυτοὺς διὰ τῶν ὀνομάτων τῶν διδασκάλων αὐτῶν, « Ἐγὼ μέν εἰμι Παύ-
» λου, ἐγὼ δὲ Ἀπολλώ, ἐγὼ δὲ Κηφᾶ » (1), ἐξ οὗ καὶ σχίσματα ἐν αὐτοῖς ἐγένοντο. Ὁ Παῦλος οὖν, θέλων αὐτοὺς ἐξελέγξαι πρὸς διόρθωσιν αὐτῶν οὐκ ἐξουδενίζει τὰ ὑπερήφανα αὐτῶν φρονήματα διὰ γυμνῶν ἐλεγκτικῶν λόγων, ἀλλὰ πρῶτον μὲν προβάλλει εἰρωνικῶς ὅσα αὐτοὶ περὶ ἑαυτῶν ἐφαντάζοντο λέγων· « Ἤδη κεκορεσμένοι ἐστέ,
» ἤδη ἐπλουτήσατε, χωρὶς ἡμῶν ἐβασιλεύ-
» σατε· καὶ ὄφελόν γε ἐβασιλεύσατε, ἵνα
» καὶ ἡμεῖς συμβασιλεύσωμεν » (2)· ἔπειτα περιγράφει τὴν περιπεφρονημένην καὶ κινδυνώδη τῶν Ἀποστόλων κατάστασιν. Ἐὰν ὑμεῖς, λέγει, ἀληθῶς πλήρης ἐστὲ πάσης ἀρετῆς καὶ πλούσιοι, καὶ ἐβασιλεύσατε χωρὶς ἡμῶν τῶν διδασκάλων ὑμῶν, ἐγὼ « Δο-
» κῶ » (3), ἤγουν νομίζω, ὅτι ὁ Θεὸς ἀπέδειξεν ἡμᾶς τοὺς Ἀποστόλους ἐσχάτους πάντων τῶν ἀνθρώπων, Ὡς ἐπιθανατίους, τουτέστιν ὡς ὡρισμένους μόνον διὰ σφαγὴν καὶ θάνατον· « Δοκῶ, ὅτι θέατρον ἐγενή-
» θημεν τῷ κόσμῳ καὶ ἀγγέλοις καὶ ἀνθρώ-
» ποις ». Θέατρον μὲν εἶπεν ἀντὶ τοῦ, θέαμα· κόσμον δέ, τὸν ἀόρατον καὶ τὸν ὁρατόν. Πάντες οἱ ἄγγελοι, λέγει, καὶ οἱ ἀγαθοὶ καὶ οἱ πονηροὶ ἐφ' ἡμᾶς τοὺς Ἀποστόλους ἐπιβλέπουσιν· οἱ μὲν ἀγαθοὶ βοηθοῦντες καὶ χαίροντες, οἱ δὲ πονηροί, ἤγουν οἱ δαίμονες, πειράζοντες καὶ λυπούμενοι. Πάντες οἱ ἄνθρωποι, καὶ οἱ πιστοὶ κκὶ οἱ ἄπιστοι εἰς ἡμᾶς βλέπουσιν, οἱ μὲν πιστοὶ συμπάσχοντες· οἱ δὲ ἄπιστοι τυραννοῦντες καὶ καταδιώκοντες· μετὰ ταῦτα ἀκολουθῶν ἔτι τὸν ἔλεγχον διὰ τοῦ αὐτοῦ ἐσχηματισμένου λόγου, παραβάλλει τὴν των Ἀποστόλων κατάστασιν μετὰ τῆς νομιζομένης τῶν Κορινθίων καταστάσεως, λέγων·

*Ἡμεῖς μωροὶ διὰ Χριστόν, ~~ὑμεῖς~~ ὑμεῖς δὲ φρόνιμοι ἐν Χριστῷ· ἡμεῖς ἀσθενεῖς, ὑμεῖς δὲ ἰσχυροί· ὑμεῖς ἔνδοξοι, ἡμεῖς δὲ ἄτιμοι* (4).

Ἡμεῖς, λέγει, οἱ Ἀπόστολοι διὰ τὴν ἀγάπην τοῦ Ἰησοῦ Χριστοῦ, καὶ διὰ τὸν ζῆλον τοῦ εὐαγγελικοῦ κηρύγματος νομιζόμεθα μωροί. Ἀληθῶς δὲ μωρὸν ὠνόμασεν ὁ Φῆστος τὸν Παῦλον, κραυγάζων μεγάλῃ τῇ φωνῇ· « Μαίνῃ Παῦλε· τὰ πολλά σε
» γράμματα εἰς μανίαν περιτρέπει· » (5). Ὑμεῖς δὲ οἱ Κορίνθιοι λογίζεσθε φρόνιμοι ἐν Χριστῷ, ἤγουν ἐν τῇ εἰς Χριστὸν πίστει, ἢ ἐν τῇ τοῦ Χριστοῦ ἐκκλησίᾳ. Ἡμεῖς οἱ Ἀπόστολοί ἐσμεν ἀσθενεῖς, ὡς μηδεμίαν ἔχοντες κοσμικὴν δύναμιν· « Καὶ ἐγὼ ἐν
» ἀσθενείᾳ καὶ ἐν φόβῳ καὶ ἐν τρόμῳ πολ-
» λῷ ἐγενόμην πρὸς ὑμᾶς » (6)· Οὕτω πρὸς τοὺς αὐτοὺς Κορινθίους ἔγραφεν ὁ αὐτὸς Ἀπόστολος. Ὑμεῖς δὲ οἱ Κορίνθιοι δυνατοί ἐστε, ὡς πλοῦτον ἔχοντες καὶ κοσμικὰς δυνάμεις. Ὑμεῖς οἱ Κορίνθιοί ἐστε ἔνδοξοι, σοφοὶ λογιζόμενοι καὶ ἐπιστήμονες. Ἡμεῖς δὲ οἱ Ἀπόστολοι ἄτιμοί ἐσμεν, ὡς περιφρονούμενοι καὶ σπερμολόγοι ὀνομαζόμενοι. Ἀληθῶς δὲ σπερμολόγον ὠνόμασαν τὸν Παῦλον εἰς τὰς Ἀθήνας οἱ Ἐπικούριοι, καὶ οἱ στοϊκοὶ φιλόσοφοι, λέγοντες· « Τί ἂν θέλοι ὁ
» σπερμολόγος οὗτος λέγειν » (7); Μετὰ τὴν παράθεσιν ταύτην περιγράφει τὰς ταλαιπωρίας καὶ τὰς κακώσεις τῶν Ἀποστόλων.

(1) Α', Κορ. 4, 9.

(1) Α'. Κορ. 1, 12. (2) Α'. Κορ. 4, 8. (3) Α'. Κορ. 4, 9. (4) Α'. Κορ. 4, 10. (5) Πράξ. 26, 24. (6) Α'. Κορ. 2, 3. (7) Πράξ. 17, 18

*Ἄχρι τῆς ἄρτι ὥρας καὶ πεινῶμεν, καὶ διψῶμεν, καὶ γυμνητεύομεν, καὶ κολαφιζόμεθα, καὶ ἀστατοῦμεν, καὶ κοπιῶμεν, ἐργαζόμενοι ταῖς ἰδίαις χερσί* [1].

Τὸ μὲν Γυμνητεύομεν σημαίνει τό, στερούμεθα τῶν πρὸς ἀνάπαυσιν ἐνδυμάτων, ὀλίγα καὶ εὐτελῆ ἔχοντες, μόνον δηλαδὴ ἐκεῖνα τὰ τὴν γύμνωσιν σκεπάζοντα· τὸ δὲ Κολαφιζόμεθα, τό, ὑπομένομεν παντοίους πειρασμούς, καθὼς καὶ τό, « Ἐδόθη μοι » σκόλωψ τῇ σαρκὶ ἄγγελος σατάν, ἵνα με » κολαφίζῃ » [2]. Τὸ δὲ Ἀςατοῦμεν, τό, ἀκαταπαύστως περιερχόμεθα μεταβαίνοντες ἐκ τόπου εἰς τόπον, διὰ τὸ εὐαγγελικὸν κήρυγμα, καὶ μὴ ἔχοντες οἰκίαν, ὅπου ςαθέντες ἀναπαυθῶμεν. Σκηνοποιὸς δὲ ὢν ὁ μακάριος Παῦλος, ἰδίαις χερσὶ ῥάπτων σκηνάς, διὰ τούτου τοῦ ἐργοχείρου αὐτοῦ ἔτρεφεν οὐ μόνον ἑαυτόν, ἀλλὰ καὶ τοὺς σὺν αὐτῷ [3], ὡς ἔλεγε πρὸς τοὺς ἐν Ἐφέσῳ πρεσβυτέρους· « Αὐτοὶ δὲ γινώσκετε, ὅτι » ταῖς χρείαις μου καὶ τοῖς οὖσι μετ' ἐμοῦ » ὑπηρέτησαν αἱ χεῖρες αὗται » [4]. Οὐ διηγοῦμαι ὑμῖν, λέγει, παθήματα παρελθόντα, ἀλλ' ἐκεῖνα ὅσα πάσχομεν ἕως τῆς ὥρας ταύτης. « Καὶ πεινῶμεν, καὶ διψῶμεν, καὶ » γυμνητεύομεν, καὶ κολαφιζόμεθα, καὶ » ἀστατοῦμεν, καὶ κοπιῶμεν ἐργαζόμενοι » ταῖς ἰδίαις χερσί ». Διὰ τούτων μὲν τῶν λόγων ἐφανέρωσεν ὁ τοῦ Θεοῦ Ἀπόστολος τὴν ἀνδρίαν καὶ ὑπομονήν, διὰ δὲ τῶν ἑξῆς δηλοποιεῖ τὴν ἔτι τελειοτέραν τῶν Ἀποςόλων ἀρετήν.

*Λοιδορούμενοι, εὐλογοῦμεν· διωκόμενοι, ἀνεχόμεθα· βλασφημούμενοι, παρακαλοῦμεν* [5].

« Ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, εἶπεν ὁ » Κύριος, εὐλογεῖτε τοὺς καταρωμένους ὑ» μᾶς, καλῶς ποιεῖτε τοὺς μισοῦντας ὑμᾶς, » καὶ προσεύχεσθε ὑπὲρ τῶν ἐπηρεαζόν» των καὶ διωκόντων ὑμᾶς » [6]. Ἰδοὺ πεπληρωμένα ταῦτα τὰ θεῖα προστάγματα ὑπὸ τῶν Ἀποστόλων· οἱ μὲν ἄπιστοι ὕβριζον τοὺς Ἀποστόλους, οἱ δὲ Ἀπόστολοι εὐλόγουν τοὺς ὑβρίζοντας ἀπίστους. « Λοι» δορούμενοι εὐλογοῦμεν ». Οἱ μὲν τύραννοι παντὶ τρόπῳ ἐδίωκον τοὺς Ἀποστόλους, οἱ δὲ Ἀπόστολοι ἀνδρειοφρόνως ἐβάσταζον καὶ τοὺς διωγμοὺς καὶ τὴν κακίαν τῶν διωκόντων. « Διωκόμενοι, ἀνεχόμεθα ». Οἱ ἀσεβεῖς ἐβλασφήμουν τοὺς Ἀποστόλους, οἱ Ἀπόστολοι παρεκάλουν τὸν Θεὸν ὑπὲρ τῆς σωτηρίας τῶν βλασφημούντων αὐτούς· « βλασφημούμενοι, παρακαλοῦμεν ». Ὅςις ὑπομένει τοὺς ὑβρίζοντας, τοὺς διώκοντας, τοὺς βλασφημοῦντας αὐτόν, καὶ μηδεμίαν ἐκδίκησιν ποιεῖ, ἐκεῖνος ἐργάζεται ἀρετὴν μεγάλην· ὅστις δὲ οὐ μόνον ὑπομένει, καὶ οὐδεμίαν ποιεῖ ἐκδίκησιν, ἀλλὰ καὶ εὐλογεῖ αὐτούς, καὶ εὔχεται ὑπὲρ αὐτῶν, ἐκεῖνος ἀναβαίνει εἰς τῆς ἀρετῆς τὴν ἀκρώρειαν· διὰ τούτων οὖν τῶν λόγων φανερώσας ὁ Παῦλος τὴν τελειότητα τῆς ἀρετῆς τῶν Ἀποστόλων· διὰ τῶν ἑξῆς ἐδηλοποίησε· πόσον εὐτελεῖς ἐλογίζετο αὐτοὺς ὁ κόσμος.

*Ὡς περικαθάρματα τοῦ κόσμου ἐγενήθημεν, πάντων περίψημα ἕως ἄρτι* [7].

(1) Α'. Κορ. 4, 11, 12. (2) Β'. Κορ. 12, 7. (3) Πράξ. 18, 3. (4) Πράξ. 20, 34. (5) Α'. Κορ. 4, 12, 13.
(6) Ματθ. 5, 44. (7) Α'. Κορ. 4, 13.



Τί εὐτελέστερον τῶν περικαθαρμάτων, ἤγουν τῶν ἀποσαρωμάτων, τῶν ῥιπτομένων ἔξω τῆς οἰκίας, ἀφ' οὗ σαρώσωμεν; τί καταφρονητότερον τοῦ περιψήματος, τουτέστι τοῦ ἀποσπογγίσματος τῶν ἀκαθαρσιῶν; οὐ μόνον πρότερον, εἰς τὰς ἀρχὰς δηλονότι τοῦ κηρύγματος, ἀλλ' ἄχρι τῆς ὥρας ταύτης, λέγει, ἐσμὲν ἐνώπιον τῶν ὀφθαλμῶν τοῦ κόσμου ὡς περικαθάρματα, καὶ ὡς περίψημα πάντων τῶν ἀνθρώπων· ἀλλὰ διὰ τί ὁ τοῦ Θεοῦ Ἀπόστολος μετὰ τοσαύτης ἐμφάσεως περιέγραψε καὶ τὰ παθήματα, καὶ τὰς ἀρετάς, καὶ τὴν ἐσχάτην εὐτέλειαν τῶν Ἀποστόλων; Πρῶτον μέν, ἵνα ταπεινώσῃ τῶν Κορινθίων τὴν ὑψηλοφροσύνην· διότι κἂν σιωπᾷ τὸ ἐκ τῶν λόγων αὐτοῦ συμπέρασμα, ἵνα μὴ παροργίσῃ, αὐτὸ ὅμως ὑπονοεῖται καὶ ὑπακούεται καὶ τρόπον τινὰ κραυγάζει, λέγων· ἐὰν ἡμεῖς οἱ Ἀπόστολοι, οἱ ὑπὸ Θεοῦ ἐκλελεγμένοι, οἱ τῶν χαρισμάτων τοῦ ἁγίου Πνεύματος πεπληρωμένοι; οἱ διδάσκαλοι ὑμῶν, πάσχωμεν τόσα παθήματα, καὶ τοσοῦτον ἀγωνιζώμεθα ὑπὲρ των κατορθωμάτων τῆς ἀρετῆς, καὶ τοσοῦτον εὐτελεῖς λογιζώμεθα ὑπὸ τῶν ἀνθρώπων· πῶς ὑμεῖς, μαθηταὶ ὄντες ἀρχάριοι, τολμᾶτε νομίζειν ἑαυτοὺς καὶ φρονίμους καὶ δυνατοὺς καὶ ἐνδόξους καὶ πανευτυχεῖς; δεύτερον δέ, εἶπε ταῦτα, ἵνα περιγράψῃ τὰ ἔργα καὶ τὸ πολίτευμα τῶν Ἀποστόλων, πρὸς παράδειγμα ἀρετῆς καὶ τελειότητος πάντων τῶν εἰς Χριστὸν πιστευόντων. Ἐπειδὴ δέ, κἂν μετὰ ἐπιτηδειότητος καὶ μεγάλης ἐπιστήμης ἤλεγξε τὴν τῶν Κορινθίων ἔπαρσιν, εἶχεν ὅμως ὁ λόγος αὐτοῦ πλῆξιν καὶ πικρότητα πολλήν, διὰ τοῦτο χαλᾷ τὸν τόνον τῆς πικρότητος τοῦ λόγου, μεταβάλλων τὴν πικρίαν τοῦ ἐλέγχου εἰς γλυκυτάτην νουθεσίαν.

*Οὐκ ἐντρέπων ὑμᾶς γράφω ταῦτα, ἀλλ' ὡς τέκνα μου ἀγαπητὰ νουθετῶ. Ἐὰν γὰρ μυρίους παιδαγωγοὺς ἔχητε ἐν Χριστῷ, ἀλλ' οὐ πολλοὺς πατέρας· ἐν γὰρ Χριστῷ Ἰησοῦ διὰ τοῦ Εὐαγγελίου ἐγὼ ὑμᾶς ἐγέννησα. Παρακαλῶ οὖν ὑμᾶς μιμηταί μου γίνεσθε* [1].

Πρῶτος ὁ Παῦλος ἐκήρυξε τὸν λόγον τῆς πίστεως εἰς τὴν Κόρινθον, ὅπου καὶ πολλὰ ὑπέμεινε παθήματα ὑπὸ τῶν ἐκεῖ Ἰουδαίων καὶ Ἑλλήνων [2], ὅπου « Καὶ πολλοὶ τῶν » Κορινθίων ἀκούοντες, ἐπίστευον καὶ ἐβα» πτίζοντο » [3]. Μετὰ δὲ τὸν Παῦλον καὶ ὁ Ἀπολλώς, καὶ ἄλλοι κήρυκες τῆς πίστεως ἦλθον εἰς τὴν Κόρινθον, καὶ ἐδίδαξαν, καὶ τούτους μὲν ὀνομάζει παιδαγωγούς, καθότι καὶ αὐτοὶ ἐπεστήριξαν αὐτοὺς εἰς τὴν εὐσέβειαν· ἑαυτὸν δὲ ὀνομάζει πατέρα, καθότι αὐτὸς πρῶτος κηρύξας αὐτοῖς τὸ Εὐαγγέλιον, καὶ ἐπιστρέψας αὐτοὺς ἀπὸ τῆς πλάνης τῶν εἰδώλων εἰς τὴν ἀλήθειαν τῆς εἰς Χριστὸν πίστεως, ἀνεγέννησεν αὐτούς, καταστήσας ἀνθρώπους πνευματικοὺς ἀντὶ σαρκικῶν, καὶ ἐπουρανίους, ἀντὶ ἐπιγείων. Γράφω ταῦτα, λέγει, ἤγουν γράφω τούτους τοὺς ἐλέγχους πρὸς ὑμᾶς, ὦ Κορίνθιοι, οὐχ ἵνα καταισχύνω τὰ πρόσωπα ὑμῶν, ἀλλ' ἵνα νουθετήσω ὑμᾶς ὡς τέκνα μου ἠγαπημένα. Διότι κἂν μυρίους ἔχητε παιδαγωγούς, οὐκ ἔχετε ὅμως πολλοὺς πατέρας, δυναμένους μετὰ τοσαύτης παῤῥησίας καὶ ἀγάπης ἐλέγξαι τὰ ἁμαρτήματα ὑμῶν, καὶ νουθετῆσαι ὑμᾶς ἀνυποστόλως, διότι

(1) Α'. Κορ. 4, 14, 15, 16. (2) Πράξ. 18, 1, 8. (3) Αὐτ. 19. 1.

ἐγὼ μόνος εἰμὶ ὁ κατὰ πνεῦμα πατὴρ ὑμῶν ἐγὼ ὑμᾶς ἐγέννησα, διδάξας ὑμᾶς τὴν εὐαγγελικὴν πίστιν· ἐπειδὴ οὖν ἔχω δικαίωμα πατρὸς πρὸς ὑμᾶς, διὰ τοῦτο παρακαλῶ ὑμᾶς « Μιμηταί μου γίνεσθε ». Μιμήθητε τὴν ἐμὴν εἰς Χριστὸν πίστιν, τὴν ἐμὴν ἀγάπην, τὴν ἐμὴν ταπείνωσιν, τὴν ἐλπίδα μου, τὸν ζῆλόν μου, καὶ τὰς λοιπὰς ἀρετάς. Μόνος δὲ ὁ Παῦλος, καὶ εἴτις ἄλλος ἔφθασεν εἰς τὴν τελειότητα τῆς ἀρετῆς αὐτοῦ, δύναται μετὰ θάῤῥους εἰπεῖν ὡς αὐτός τό, « Μιμηταί μου γίνεσθε ».

# ΟΜΙΛΙΑ

## ΜΕΤΑ ΤΗΝ ΠΡΩΤΗΝ ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

### ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗι Γ'. ΚΥΡΙΑΚΗι.

ΤΟΝ ὑπὲρ ἡμῶν παθόντα Ἰησοῦν Χριστὸν προβάλλει ἡμῖν παράδειγμα ὁ θεσπέσιος Πέτρος, ἵνα ἔχοντες αὐτὸν ἔμπροσθεν τῶν ὀφθαλμῶν τῆς ψυχῆς ἡμῶν, μιμηταὶ γενώμεθα τῆς ἐπουρανίου ζωῆς αὐτοῦ καὶ πολιτείας. « Χριστὸς ἔπαθε, λέγει, ὑπὲρ » ὑμῶν, ὑμῖν ὑπολιμπάνων ὑπογραμμόν, » ἵνα ἐπακολουθήσητε τοῖς ἴχνεσιν αὐ» τοῦ » (1). Ἐπιβεβαιοῖ δέ, ὅτι τοῦτό ἐστι τὸ πρωτότυπον παράδειγμα πάσης ἀρετῆς καὶ τελειότητος, παράδειγμα ἀναμαρτησίας· « Ὃς ἁμαρτίαν οὐκ ἐποίησε » (2)· παράδειγμα ἀληθείας καὶ εἰλικρινείας· « Οὐδὲ » εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ »· παράδειγμα ταπεινοφροσύνης, μακροθυμίας, πρᾳότητος, ἀνεξικακίας· « Ὃς λοι» δορούμενος οὐκ ἀντελοιδόρει, πάσχων, » οὐκ ἠπείλει » (3)· παράδειγμα τοῦ πληρώματος τῆς δικαιοσύνης, καθότι ἑκουσίως παρέδωκεν ἑαυτὸν εἰς θάνατον, ἵνα πληρωθῇ ἡ ἀπόφασις τοῦ Θεοῦ καὶ Πατρὸς αὐτοῦ, ὅστις ἔκρινε δικαίως, ὅτι πρέπον ἐστίν, ἵνα αὐτὸς ἀποθάνῃ ὑπὲρ τῆς τῶν ἀνθρώπων σωτηρίας· « Παρεδίδου δὲ τῷ κρί» νοντι δικαίως »· παράδειγμα ὑπερτελείας ἀγάπης καὶ εὐσπλαγχνίας· « Ὃς τὰς ἁ» μαρτίας ἡμῶν αὐτὸς ἀνήνεγκεν ἐν τῷ » σώματι αὐτοῦ ἐπὶ τὸ ξύλον » (4). Ποῖον ἄλλο παράδειγμα ἢ βεβαιότερον, ἢ τελειότερον, ἢ ὠφελιμώτερον τούτου τοῦ παραδείγματος; Ἐὰν οὖν προσηλώσωμεν τοὺς νοεροὺς ὀφθαλμοὺς τῆς ψυχῆς ἡμῶν εἰς τοῦτο τὸ πανυπερτέλειον ἀρχέτυπον, ἀναμφιβόλως ὁδεύσομεν θεοπρεπῶς τῆς τελειότητος τὸν δρόμον· διότι, καθὼς καὶ ὁ ζωγράφος, καὶ ὁ τέκτων, καὶ ὁ οἰκοδόμος, καὶ πᾶς ἄλλος τεχνίτης, ὅσον τελειότερον παράδειγμα ἔχει ἔμπροσθεν τῶν ὀφθαλμῶν αὐτοῦ, τόσον τεχνικώτερον κατασκευάζει τὸ ἔργον τῶν χειρῶν αὐτοῦ· οὕτω καὶ ὁ πιςὸς

(1) Α'. Πέτρ. 2, 21. (2) Αὐτ. 22. (3) Αὐτ. 23. (4) Αὐτ. 24.



ἄνθρωπος, ὅσον ἁγιώτερον παράδειγμα ἔχει ἔμπροσθεν τοῦ νοοός αὐτοῦ, τόσον θεοπρεπέστερον ἐργάζεται τῆς προαιρέσεως αὐτοῦ τὸ ἔργον.

Πῶς οὖν ὁ πανаοίδιμος Παῦλος τολμήσας, ἀντεκατέστησεν ἑαυτὸν παράδειγμα, ἀντὶ τοῦ Ἰησοῦ Χριστοῦ, εἰπών· Μιμηταί μου γίνεσθε, Διὰ τί οὐ παραγγέλλει, καθὼς ὁ Πέτρος, τὴν μίμησιν τοῦ ἀρχετύπου, ὅστις ἐστὶν ὁ Χριστός, ἀλλὰ τὴν τοῦ ἀντιγράφου, ὅστις ἐστὶν αὐτός; Ποῖος ἀγνοεῖ, ὅτι τὸ ἀντίγραφον οὐδέποτε ἐξισοῦται κατὰ πάντα τῷ πρωτοτύπῳ; ὅσην ἁγιωσύνην καὶ τελειότητα νοήσῃς εἰς τὰ ἤθη καὶ εἰς τὸ πολίτευμα τοῦ Παύλου, οὐδόλως αὐτὴ φθάνει εἰς τὸν πανυπερτέλειον βαθμὸν τῆς ἁγιωσύνης καὶ τελειότητος τοῦ Ἰησοῦ Χριστοῦ· διότι ὁ Παῦλός ἐστι μόνον ἄνθρωπος, ὁ δὲ Ἰησοῦς Χριστός, Θεὸς ὁμοῦ καὶ ἄνθρωπος. Διὰ ποίαν οὖν αἰτίαν ὁ Παῦλος ἔστρεψε τὰ ὄμματα ἡμῶν ἀπὸ τοῦ Ἰησοῦ Χριστοῦ πρὸς ἑαυτόν, ἤγουν ἀπὸ τοῦ τελειοτέρου εἰς τὸ ἀτελέστερον παράδειγμα; Ἡμεῖς πιστεύομεν, ὅτι τὰ λόγια τοῦ Ἀποστόλου Παύλου εἰσὶ λόγια θεόπνευστα, ἰσοδύναμα ταῖς λοιπαῖς θεοσδότοις γραφαῖς, καὶ ἰσότιμα. Διό, καθὼς πάντα τὰ λοιπὰ αὐτοῦ λόγια, οὕτω καὶ τό, « Μιμηταί μου » γίνεσθε » (1), λόγον ἔχει πνευματικὸν καὶ σωτήριον. Καὶ πρῶτον μὲν παρατηρῶ, ὅτι οὐ μόνον οὐκ ἐσιώπησε τοῦ Ἰησοῦ Χριστοῦ τὸ παράδειγμα, ἀλλ' ὅτι καὶ παρέστησεν αὐτὸ ὡς πρῶτον ἀρχέτυπον, καὶ ὡμολόγησεν, ὅτι καὶ αὐτὸς ἐπ' αὐτὸ ἐπέβλεψε, καὶ ἐξ αὐτοῦ ἔλαβε πάσης ἀρετῆς τὸ ὑπόδειγμα. « Μιμηταί μου, εἶπε, γίνεσθε, καθὼς κἀγὼ » Χριστοῦ » (2). Δεύτερον δὲ βλέπω, ὅτι οὕτως ἐλάλησεν ὁ τοῦ Θεοῦ ἄνθρωπος, ἵνα δείξῃ εὔκολον τοῦτο τὸ κατόρθωμα, καὶ προτρέψῃ περισσότερον εἰς τὴν ἐργασίαν τῶν ἀρετῶν, καὶ ἑπομένως ὠφελήσῃ τοὺς διδασκομένους. Ἄκουσον δέ, πῶς ὁ λόγος οὗτος « Μιμηταί μου γίνεσθε », καὶ προτρέπει καὶ ὠφελεῖ τὰς ψυχὰς τῶν πιστευόντων.

Ὅσον περισσότεραι τῶν αἰσθήσεων ἡμῶν κοινωνοῦσιν εἰς τὸν νοῦν τῶν πραγμάτων τὰς ἰδέας, τόσον περισσοτέραν πληροφορίαν λαμβάνει ὁ νοῦς περὶ τῆς τῶν πραγμάτων ὑπάρξεως· διὰ τοῦτο εὐκολώτερον πειθόμεθα εἰς ὅσα καὶ βλέπομεν, καὶ ἀκούομεν, καὶ ψηλαφῶμεν, ἢ εἰς ὅσα μόνον ἀκούομεν. Ἐκ τούτου ὁ μὲν Πέτρος ὁμοῦ καὶ ὁ Ἰωάννης μετὰ τοσαύτης παῤῥησίας ἔλεγον ἐνώπιον τοῦ συνεδρίου· « Οὐ δυνάμεθα γὰρ « ἡμεῖς ἃ εἴδομεν καὶ ἠκούσαμεν μὴ λα» λεῖν » (3). Ὁ δὲ Ἰωάννης ἔγραφεν· « Ὃ ἀ» κηκόαμεν, ὃ ἑωράκαμεν τοῖς ὀφθαλμοῖς » ἡμῶν, ὃ ἐθεασάμεθα, καὶ αἱ χεῖρες ἡμῶν » ἐψηλάφησαν περὶ τοῦ λόγου τῆς ζωῆς. » Ὃ ἑωράκαμεν καὶ ἀκηκόαμεν, ἀπαγ» γέλλομεν ὑμῖν » (4). Οἱ Κορίνθιοι ἤκουσαν μὲν τὰ περὶ τοῦ Ἰησοῦ Χριστοῦ, ὅμως οὐδὲ αὐτόν, οὐδὲ τὰ θαυμάσια, οὐδὲ τὰς ἀρετὰς αὐτοῦ εἶδον· ὅταν δὲ ὁ Παῦλος ἐλθὼν εἰς τὴν Κόρινθον, ἐδίδαξεν αὐτούς, τότε καὶ εἶδον καὶ ἤκουσαν αὐτόν, καὶ αἱ χεῖρες αὐτῶν ἐψηλάφησαν, ἵν' οὕτως εἴπω, τὴν τούτου ζωὴν καὶ τὸ πολίτευμα. Εἶδον καὶ τοὺς ἀγῶνας, καὶ τὰ δεσμά, καὶ τὰς θλίψεις, ὅσα ὑπὲρ τοῦ κηρύγματος τῆς πίςεως ἐκεῖ ὑπέμεινε, καὶ πάσας τὰς ἀρετὰς αὐτοῦ, καὶ τὰ θαυμάσια κατορθώματα· ἑαυτὸν οὖν προβάλλει εἰς αὐτοὺς ὡς παράδειγ-

(1) Α'. Κορ. 4, 16. (2) Αὐτ. 11, 1. (3) Πράξ. 4. 20. (4) Α'. Ἰωάν. 1, 1, 3.

μα ὁρατὸν καὶ γνωστὸν καὶ ψηλαφητόν, καὶ ἑπομένως δυνάμενον προτρέψαι αὐτοὺς πρὸς τὴν τῶν ἀρετῶν κατόρθωσιν. Μιμήθητε, λέγει, τὴν πίςιν τὴν ἀγάπην, τὴν ἐλπίδα, τὸν ζῆλον, τοὺς ἀγῶνας, ὅσους ἐν ἐμοὶ εἴδατε καὶ ἐγνώκατε καὶ ἐπληροφορήθητε. Ἰσχυρός ἐστιν οὗτος ὁ λόγος, ἐπειδὴ πολλὰ ἰσχύει τὸ βλεπόμενον παράδειγμα· ἔπειτα, ἵνα μηδεὶς νομίσῃ, ὅτι ὑπερηφανευόμενος ἔλεγε ταῦτα, προβάλλει τὸ ἀρχέτυπον παράδειγμα· « Μιμηταί μου, λέγει, γίνεσθε, » ὡς κἀγὼ Χριστοῦ » (1). Ὥσπερ ἂν εἰ ἔλεγεν· ὅστις ἐμὲ μιμεῖται, ἐκεῖνος μιμεῖται τὸν Ἰησοῦν Χριστόν. Διότι οὐκ ἐγὼ ἀπ' ἐμαυτοῦ γέγονα τοιοῦτος, ἀλλὰ τὸν Χριστὸν μιμησάμενος κατεστάθην παράδειγμα μιμήσεως ἄξιον.

Οὗτος ὁ ἀποστολικὸς λόγος, ἀγαπητοί μου ἀδελφοί, ἁρπάζει ἀπὸ τοῦ στόματος ἡμῶν τὴν πρόφασιν, δι' ἧς προφασιζόμενοι φεύγομεν τὸν δρόμον τῆς ἀρετῆς καὶ τελειότητος· ὅταν διὰ τῶν ὀφθαλμῶν τῆς διανοίας μου βλέπω τὸν Ἰησοῦν Χριστόν, τὸν δεσπότην πάσης τῆς κτίσεως, ὡς δοῦλον περιεζωσμένον τὸ λέντιον, καὶ βάλλοντα ὕδωρ εἰς τὸν νιπτῆρα, καὶ κλίνοντα τὰ γόνατα ἐνώπιον τῶν μαθητῶν αὐτοῦ, καὶ πλύνοντα τοὺς πόδας αὐτῶν, καὶ ἐκμάσσοντα αὐτοὺς « Τῷ λεντίῳ, ᾧ ἦν διεζω- » σμένος »(2), θαυμάζω τὸ ὑπερβάλλον τῆς ταπεινώσεως αὐτοῦ, καὶ κατανύγομαι καὶ κλαίω, καὶ ἡ συνείδησίς μου δὲ τότε κινεῖ με πρὸς τὴν ἀρετὴν τῆς ταπεινοφροσύνης· ἀλλ' ὁ παμπόνηρος ὁ νοῦς μου, ὁ ὑπὸ τῆς ὑπερηφανείας διεφθαρμένος, εὑρίσκει προφασιολογίας ἀφορμὴν τοῦ Ἰησοῦ Χριστοῦ τὴν θεότητα. Ὁ Ἰησοῦς Χριστός, λέγει μοι ὁ νοῦς μου, Θεὸς ὢν πανυπερτέλειος, ὑπερτελείαν εἶχε καὶ τὴν ταπείνωσιν· σὺ δὲ ἄνθρωπος ὢν ἀτελής, οὐ δύνασαι μιμητὴς αὐτοῦ γενέσθαι, οὐ δύνασαι ταπεινωθῆναι, ὅσον αὐτὸς ἐταπεινώθη· ἡ τοιαύτη δὲ προφασιολογία παύει τῆς συνειδήσεώς μου τὴν κίνησιν καὶ τὴν προτροπὴν πρὸς τὴν ταπείνωσιν. Ὅταν ἐγὼ διὰ τῶν νοερῶν μου ὀφθαλμῶν βλέπω τὸν Ἰησοῦν Χριστόν, τὸν πλάστην μου καὶ Κύριον, συρόμενον εἰς τὰ κριτήρια, περιπαιζόμενον ὑπὸ τῶν στρατιωτῶν, ἐμπτυόμενον καὶ ῥαπιζόμενον, φοροῦντα κάλαμον εἰς τὴν δεξιάν, καὶ στέφανον ἀκάνθινον ἐπὶ τὴν κεφαλήν, σταυρούμενον ἐν μέσῳ δύω λῃστῶν, βλασφημούμενον ὑπὸ τῶν παραπορευομένων, χλευαζόμενον ὑπὸ τῶν Ἀρχιερέων, ὀνειδιζόμενον ὑπὸ τῶν συςαυρωθέντων λῃςῶν, καὶ ἐν πᾶσι τούτοις ὡς ἀμνὸν ἄκακον μὴ ἀνοίγοντα τὸ στόμα αὐτοῦ, θαυμάζω ἀληθῶς καὶ ἐξίσταμαι, ὁρῶν τὴν ὑπερβολικὴν ὑπομονὴν αὐτοῦ καὶ τὴν μακροθυμίαν· πλήττομαι δὲ τότε ὑπὸ τῆς καρδίας μου, καὶ προτρέπομαι ὑπὸ τῆς συνειδήσεώς μου πρὸς κατόρθωσιν τούτων τῶν μεγάλων ἀρετῶν· πλὴν ὁ ὑπὸ τῆς ὀργῆς καὶ τοῦ θυμοῦ διεφθαρμένος νοῦς μου προφασιολογεῖται διὰ τῆς θεότητος τοῦ Ἰησοῦ Χριστοῦ. Αὐτός, λέγει μοι ὁ νοῦς μου, ὡς Θεὸς ἀπαθής, ὑπερτελείαν εἶχε καὶ τὴν ἀρετὴν τῆς ὑπομονῆς καὶ τῆς μακροθυμίας· σὺ δὲ ὡς ἄνθρωπος ἐμπαθής, οὐ δύνασαι μιμητὴς αὐτοῦ γενέσθαι, οὐδὲ ὑπομεῖναι ὅσα αὐτὸς ὑπέμεινεν· ἡ τοιαύτη δὲ προφασιώδης ἀπολογία μαραίνει τῆς συνειδήσεώς μου τὴν προθυμίαν· ὅταν δὲ ἀναβαίνω νοερῶς εἰς τοῦ Γολγοθᾶ τὸ ὄρος, καὶ βλέπω ἐκεῖ τὸν Ἰησοῦν

(1) Α'. Κορ. 11. 1. (2) Ἰωάν. 13, 5.



Χριστὸν τὸν ἀναμάρτητον σωτῆρά μου ἐπὶ σταυροῦ κρεμάμενον, καὶ ὑπὸ τῆς ὀδύνης τῶν πληγῶν καὶ τῶν πόνων τοῦ σταυροῦ καταθλιβόμενον, καὶ ἀκούω ὅτι δικαιολογεῖ τοὺς ἐχθροὺς αὐτοῦ, καὶ παρακαλεῖ ὑπὲρ τῶν σταυρωσάντων αὐτόν, λέγων· « Πάτερ ἄφες αὐτοῖς· οὐ γὰρ οἴδασι τί » ποιοῦσι » (1)· θαυμάζω καὶ ἐκπλήττομαι καθορῶν τὴν ἄπειρον ἀνεξικακίαν αὐτοῦ καὶ εὐσπλαγχνίαν, ἔρχονται δὲ δάκρυα εἰς τοὺς ὀφθαλμούς μου, καὶ αὐτὴ δὲ ἡ συνείδησίς μου διδάσκει με τότε, λέγουσα· συγχώρησον καὶ σὺ τοὺς ἐχθρούς σου, καθὼς ὁ λυτρωτὴς καὶ δεσπότης σου· πλὴν ὁ ὑπὸ τοῦ μίσους καὶ τῆς φιλαυτίας διεφθαρμένος νοῦς μου, εὑρίσκων λόγον προφάσεως τὴν τοῦ Ἰησοῦ Χριστοῦ θεότητα, λέγει μοι εὐθύς· ὁ Ἰησοῦς Χριστὸς Θεὸν ὤν, καὶ ἀπείρους ἔχων τὰς τελειότητας, ἄπειρον ἔχει καὶ τὴν ἀνεξικακίαν καὶ τὸ ἔλεος, σὺ δὲ ἄνθρωπος ὤν, ἀτελέστατος ὑπάρχεις καὶ ἐμπαθέστατος, ὅθεν οὐ δύνασαι μιμητὴς αὐτοῦ γενέσθαι, οὐ δύνασαι γενέσθαι τόσον ἀνεξίκακος καὶ εὔσπλαγχνος ὅσον αὐτός ἐγένετο· διὰ ταύτης δὲ τῆς προφάσεως ψυχραίνεται τῆς ψυχῆς μου ἡ ζέσις, καὶ τῆς συνειδήσεώς μου ἡ προτροπή· πᾶς χριστιανός, συλλογιζόμενος τὰς ἀρετὰς τοῦ Ἰησοῦ Χριςοῦ, θαυμάζει καὶ ἀπορεῖ, κατανύγεται καὶ θέλει μιμητὴς αὐτοῦ γενέσθαι, πλὴν στοχαζόμενος, ὅτι ὁ Ἰησοῦς Χριστός ἐστιν οὐ μόνον ἄνθρωπος, ἀλλὰ καὶ Θεός, προφασίζεται καὶ παραιτεῖ τὸ τοιοῦτον ἐπιχείρημα.

Ἀλλ' ὅταν βλέπῃς εἰς τὸν Ἀπόστολον Παῦλον τόσην ταπείνωσιν, ὅσην ἐφανέρωσεν, ὀνομάσας ἑαυτὸν ἀποσάρωμα τοῦ κόσμου καὶ σπόγγισμα τῆς ἀκαθαρσίας πάντων τῶν ἐπὶ γῆς ἀνθρώπων· « Ὡς περικα- » θάρματα τοῦ κόσμου ἐγενήθημεν, πάν- » των περίψημα ἕως ἄρτι » (2). Σὺ δὲ αἴρων τὰς ὀφρύας, καυχᾶσαι ἐπὶ τῇ ἀρετῇ σου, ἢ ἐπὶ τῇ εὐγενείᾳ σου, ἢ ἐπὶ τῷ πλούτῳ σου, ἢ ἐπὶ τῇ ἐξουσίᾳ σου καὶ τοῖς ἀξιώμασί σου, ποίαν πρόφασιν ἔχεις; ὁ Παῦλος οὐκ ἦν θεάνθρωπος, ὡς ὁ Ἰησοῦς Χριστός, ἀλλ' ἄνθρωπος μόνον ὥσπερ καὶ σύ. Πῶς οὖν αὐτός, κἂν σκεῦος ἦν ἐκλογῆς, κἂν διδάσκαλος τῆς οἰκουμένης, κἂν παντὸς τοῦ κόσμου φωστήρ (3), κἂν ἀνέβη « Ἕ- » ως τρίτου οὐρανοῦ, καὶ ἤκουσεν ἄῤῥητα ῥήματα » (4), ἐδυνήθη καταβῆναι εἰς τόσον βάθος ταπεινώσεως· σὺ δὲ ἄνθρωπος ὤν, καθὼς καὶ ἐκεῖνος ὑψηλοφρονεῖς, κἂν μὴ ἔχῃς τὰ χαρίσματα ἐκείνου, ἀποστρεφόμενος τὴν μεγάλην ἀρετὴν τῆς ταπεινοφροσύνης; ποίαν πρόφασιν εὑρίσκει ὁ νοῦς σου περὶ τούτου; ποίαν απολογίαν ἔχω ἐγώ, ὅταν ἐνατενίζων εἰς τὸν Παῦλον, βλέπω αὐτὸν πεινῶντα, διψῶντα, γυμνητεύοντα, κολαφιζόμενον, ἀστατοῦντα, κοπιῶντα, ἐργοχειροῦντα δι' ἀγάπην τοῦ Ἰησοῦ Χριστοῦ, καὶ σωτηρίαν τοῦ πλησίον (5)· ἐγὼ δὲ οὐ μόνον πεῖναν καὶ δίψαν οὐχ ὑποφέρω, ἀλλ' οὐδὲ ἐγκράτειαν ὀλίγων τροφῶν εἰς τὸν καιρὸν τῆς νηστείας· οὐ μόνον γύμνωσιν οὐ στέργω, ἀλλ' οὐδὲ εὐαρεστοῦμαι εἰς τὰ μέτρια καὶ ταπεινὰ ἐνδύματα· οὐ μόνον οὐ δέχομαι τοὺς ὑπὸ τῶν ἀνθρώπων κολαφισμούς, ἀλλ' οὐδὲ ἕνα ψυχρὸν λόγον τοῦ ἀδελφοῦ μου ὑπομένω, κἂν ἐξ ἀπροσεξίας ἐξῆλθεν ἀπὸ τοῦ στόματος αὐτοῦ· οὐ μόνον φεύγω τὴν ἐνόχλησιν τῆς ἐκ τόπου εἰς τόπον περιφορᾶς, ἀλλ' οὐδὲ κἂν πρὸς ὥραν ἐγκαταλεῖψαι θέλω τὴν

(1) Λουκ. 23, 34. (2) Α'. Κορ. 4, 13. (3) Πράξ. 9, 15. (4) Β'. Κορ. 12, 2, 4. (5) Α'. Κορ. 4, 11, 12.

τρυφὴν τῆς ἀναπαύσεώς μου, δι' ἀγάπην τοῦ Ἰησοῦ Χριστοῦ, καὶ διὰ τὴν ὠφέλειαν τοῦ πλησίον μου, ποίαν προφασιολογίαν ἔχομεν ὅταν βλέπωμεν, ὅτι ὁ Παῦλος εὐλογεῖ τοὺς ὑβρίζοντας, καὶ ὑποφέρει τοὺς διώκοντας, καὶ συγχωρεῖ τοὺς βλασφημοῦντας αὐτόν (1). ἡμεῖς δὲ τοὺς καὶ μικρὰν βλάβην προξενήσαντας ἡμῖν ἐπιβουλεύομεν, καὶ παντὶ τρόπῳ βλάπτομεν, καὶ καταδιώκομεν ἕως θανάτου; Ὁ Παῦλος ἄνθρωπος ὥς περ καὶ ἡμεῖς, τὴν αὐτὴν σάρκα φορῶν, καὶ τὰ αὐτὰ παθήματα καὶ τὰς ἐπιθυμίας ὅσας καὶ ἡμεῖς, τὸν αὐτὸν κόσμον κατοικῶν, ὃν καὶ ἡμεῖς, πρὸς τὰς αὐτὰς ἀρχὰς καὶ ἐξουσίας, καὶ πρὸς τοὺς αὐτοὺς « κοσμο» κράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου, » καὶ πρὸς τὰ αὐτὰ πνευματικὰ τῆς πο» νηρίας ἐν τοῖς ἐπουρανίοις » (2) ἀκαταπαύστως παλαίων, ὥσπερ καὶ ἡμεῖς· καὶ αὐτὸς μὲν νικᾷ καὶ θριαμβεύει, καὶ μιμητὴς τοῦ Χριστοῦ γίνεται, ἡμεῖς δὲ νικώμεθα καὶ κατατροπούμεθα, καὶ γινόμεθα μιμηταὶ τοῦ διαβόλου. Ποίαν οὖν ὑπὲρ τούτου ἔχομεν ἀπολογίαν ἢ πρόφασιν;

Ἀδελφέ, οὐ δύνασαι, λέγεις; ἄνθρωπος ὤν, γενέσθαι μιμητὴς τοῦ Ἰησοῦ Χριστοῦ, ἐπειδὴ αὐτὸς οὐκ ἔστι μόνον ἄνθρωπος, ἀλλὰ καὶ Θεός· πῶς δὲ ὁ Παῦλος ἄνθρωπος ὤν, καθὼς καὶ σύ, ἐμιμήθη τὰς ἀρετὰς τοῦ Ἰησοῦ Χριστοῦ, οὐ δύνασαι, λέγεις, ἀκολουθῆσαι τοῖς ἴχνεσι τοῦ Ἰησοῦ Χριστοῦ, ἐπειδὴ αὐτός ἐστι Θεάνθρωπος· ἀκολούθει οὖν τοῖς ἴχνεσι τοῦ Παύλου, ὅστις ἐστὶ μόνον ἄνθρωπος, καθὼς καὶ σύ. Βλέπετε, πόσην οὐράνιον σοφίαν ἔχει οὗτος ὁ ἀποστολικὸς λόγος « Μιμηταί μου γίνεσθε, καθὼς » κἀγὼ Χριστοῦ » (3). Βλέπετε, πῶς ἁρπάζει ἀπὸ τῆς καρδίας ἡμῶν πᾶσαν ἀφορμὴν προφάσεως, καὶ ἐξουδενῶν πᾶσαν ἔνστασιν, ποιεῖ τὸν ἄνθρωπον ἀναπολόγητον; Ἐὰν οὐ δύνασαι, ὡς λέγεις, μιμηθῆναι τὸν Ἰησοῦν Χριστόν, ἐπειδή ἐστι Θεάνθρωπος, μιμήθητι τόν Παῦλον, ὅστις ἐστὶ μόνον ἄνθρωπος· ἐὰν δὲ μιμηθῇς τὸν Παῦλον, αὐτὸν μιμεῖσαι τὸν Ἰησοῦν Χριστόν· διότι ὁ Παῦλος τοῦ Ἰησοῦ Χριστοῦ ἐστι μιμητής. «Μι» μηταί μου γίνεσθε, καθὼς κἀγὼ Χριςοῦ».

Ἀλλ' ἐγώ, λέγεις, οὐκ ἔχω οὐδὲ τὴν γνώμην, οὐδὲ τὴν προαίρεσιν τοῦ Παύλου, οὐδὲ τὴν χάριν, ἣν αὐτὸς ἔλαβε· δύνασαι ὅμως, ἐὰν θέλῃς, ποιῆσαι καὶ τὴν γνώμην σου καὶ τὴν προαίρεσίν σου ὁμοίαν τῇ τοῦ Παύλου, καθότι ἐπλάσθης ὑπὸ Κυρίου τοῦ Θεοῦ σου αὐτεξούσιος καὶ αὐτοπροαίρετος. Οὐδὲ ὁ Παῦλος εἶχε πρότερον τὴν γνώμην καὶ προαίρεσιν, ἣν ἀνέλαβεν ὕστερον. Πρῶτον ἦν διώκτης τοῦ Χριστοῦ, ἔπειτα ἐκήρυττεν ἐν πᾶσι τοῖς ἔθνεσι τὸ ὄνομα αὐτοῦ. Πρῶτον ἔφθειρε τὴν Χριστοῦ ἐκκλησίαν, ἔπειτα ᾠκοδόμει καὶ ἐςήριζεν αὐτήν. Πρῶτον ἦν πολέμιος ἄσπονδος τῶν χριστιανῶν, ἔπειτα ἐγένετο φίλτατος ὑπερασπιστὴς αὐτῶν. Πρῶτον ἐσκότιζε τὰς ψυχὰς τῶν ἀνθρώπων, κηρύττων τὸν ἰουδαϊσμόν, ἔπειτα ἐφώτισε πᾶσαν τὴν οἰκουμένην, διδάσκων τὸν χριστιανισμόν. Ἐὰν οὖν ἔχῃς γνώμην καὶ προαίρεσιν κακήν, μετάβαλε αὐτὴν εἰς τὸ ἀγαθόν· οὕτω δὲ ποιήσας, ἔχεις τὴν γνώμην καὶ προαίρεσιν τοῦ Παύλου (4)· τότε δὲ λαμβάνεις καὶ τὴν χάριν, ἣν ἔλαβεν ὁ Παῦλος· « Οὐ γάρ ἐστι προσωποληψία » παρὰ τῷ Θεῷ. Εἷς Θεὸς καὶ Πατὴρ » πάντων, ὁ ἐπὶ πάντων καὶ διὰ πάντων, » καὶ ἐν πᾶσιν ὑμῖν » (5). Ἐπίσης πάντας

(1) Α'. Κορ. 4, 12,, 13. (2) Ἐφεσ. 6, 12. (3) Α'. Κορ. 11, 1. (4) Ῥωμ. 2, 11. (5) Ἐφεσ. 4, 6, 7.



ἀγαπᾷ, ἐπίσης θέλει πάντας σωθῆναι, ἐπειδὴ πάντων ἐπίσης ἐστὶ δημιουργός καὶ πλάστης· μεταδίδωσι δὲ τὰ θεῖα αὐτοῦ χαρίσματα κατὰ τὸ μέτρον τῆς ἀγαθότητος τῆς ἡμῶν προαιρέσεως· « Ἑνὶ δὲ ἑκάστῳ » ἡμῶν ἐδόθη ἡ χάρις, κατὰ τὸ μέτρον » τῆς δωρεᾶς τοῦ Χριστοῦ ». Αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΗΝ ΠΡΩΤΗΝ ΠΡΟΣ

# ΚΟΡΙΝΘΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

## ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗι ΙΑ'. ΚΥΡΙΑΚΗι.

ΤΟΤΕ καταλαμβάνομεν ἐντελῶς τὰ σήμερον ἀναγνωσθέντα λόγια τοῦ θεοῤῥήμονος Παύλου, ὅταν θεωρήσωμεν καὶ τὰ ἐν τῷ προλαβόντι ὀγδόῳ κεφαλαίῳ ὑπ' αὐτοῦ εἰρημένα. Αὐτὸς ἐν αὐτῷ τῷ κεφαλαίῳ λαλῶν περὶ τῶν εἰδωλοθύτων, καὶ διδάσκων τὸ κατὰ τοῦ σκανδάλου μάθημα, εἶπεν, ὅτι, ὅταν τὸ ἔργον ἡμῶν σκανδαλίζῃ τοὺς ἀδελφούς, τότε πρέπον ἐστίν, ἵνα ἀπέχωμεν ἀπ' αὐτοῦ, κἂν τὸ ἔργον αὐτὸ καθ' ἑαυτὸ οὐδένα νόμον καταφρονῇ. Περὶ δὲ τούτου προβάλλει τῆς κρεωφαγίας τὸ παράδειγμα, λέγων· « Διό περ, εἰ βρῶμα σκανδαλίζει » τὸν ἀδελφόν μου, οὐ μὴ φάγω κρέας εἰς » τὸν αἰῶνα, ἵνα μὴ τὸν ἀδελφόν μου σκαν» δαλίσω » (1). Τὴν αὐτὴν ὑπόθεσιν ἐπιβεβαιοῖ καὶ διὰ τοῦ παραδείγματος, τοῦ σήμερον ἀναγνωσθέντος ἐν τῇ τῆς ἐπιστολῆς αὐτοῦ περικοπῇ (2)· διότι δι' αὐτῆς πρῶτον μὲν πληροφορεῖ, ὅτι ἐστὶν Ἀπόστολος, ἤγουν κήρυξ καὶ διδάσκαλος τῆς εἰς Χριστὸν πίστεως· ἔπειτα ἀποδεικνύει, ὅτι καὶ ὁ ἀνθρώπινος λόγος ἀπαιτεῖ, καὶ ὁ μωσαϊκὸς νόμος διορίζει, καὶ ἡ εὐαγγελικὴ διάταξις συγχωρεῖ, ἵνα οἱ διδάσκοντες τρέφωνται ὑπὸ τῶν διδασκομένων· μετὰ ταῦτα δὲ λέγει, ὅτι κἂν κατὰ τοὺς νόμους εἶχεν ἐξουσίαν ζητεῖν παρὰ τῶν Κορινθίων τὰ πρὸς τὸ ζῆν ἀναγκαῖα, ὅμως οὐκ ἔκρινεν εὔλογον ἐνεργῆσαι ταύτην τὴν ἐξουσίαν, οὐδὲ ἠθέλησε ζητῆσαι ἀμοιβὴν διὰ τὸν κόπον τοῦ εὐαγγελικοῦ κηρύγματος, ἔστερξε δὲ πᾶσαν κακουχίαν, καὶ προέκρινε πάντα κόπον, φοβούμενος μήπως σκανδαλίσῃ, ἐκ δὲ τοῦ σκανδάλου ἐμποδισθῇ ὁ καρπὸς τοῦ εὐαγγελίου. Ὅστις μετὰ προσοχῆς ἀκούσῃ τὴν ἑρμηνείαν τῶν ἀναγνωσθέντων λόγων, ἐκεῖνος βλέπων ἐν αὐτοῖς τὸ ὕψος καὶ τὴν τελειότητα τῆς ἀρετῆς τοῦ Παύλου, μανθάνει, πόσον ἀναγκαῖός ἐστιν ὁ ζῆλος, ἵνα φεύγωμεν τὰ προξενοῦντα τὸ σκάνδαλον, καὶ ἐμποδίζοντα τῆς πίστεως

(1) Α'. Κορ. 8, 13. (2) Ὅρα τὸν Οἰκουμ. αὐτ.

τὸν πολυπλασιασμόν, καὶ τῆς ἀρετῆς τὴν αὔξησιν.

***Ἀδελφοί, ἡ σφραγὶς τῆς ἐμῆς Ἀποστολῆς ὑμεῖς ἐστε ἐν Κυρίῳ*** (1).

Διὰ τί ὁ Παῦλος μετὰ τοσαύτης ἐμφάσεως ἀποδεικνύει ὅτι ἐστὶν Ἀπόστολος; πρὸ τῶν προκειμένων λόγων εἶπεν· « Οὐκ εἰμὶ » Ἀπόστολος; οὐκ εἰμὶ ἐλεύθερος; οὐχὶ Ἰη» σοῦν Χριστὸν τὸν Κύριον ἡμῶν ἑώρα» κα; » (2) Ἵνα δὲ πιστοποιήσῃ τὸν λόγον αὐτοῦ, αὐτοὺς τοὺς Κορινθίους ἀνακαλεῖ μάρτυρας τοῦ ἀποστολικοῦ αὐτοῦ ἔργου, ἐρωτῶν αὐτοὺς καὶ λέγων· Οὐ τὸ ἔργον μου ὑμεῖς ἐστε ἐν Κυρίῳ; Κἂν εἰς ἄλλους, λέγει, οὐκ ἐκήρυξα τὸ Εὐαγγέλιον, οὐδὲ ἐγενόμην αὐτοῖς Ἀπόστολος, εἰς ὑμᾶς ὅμως ἐκήρυξα αὐτό, καὶ ἐγενόμην εἰς ὑμᾶς Ἀπόστολος· « Εἰ ἄλλοις οὐκ εἰμὶ Ἀπόστολος, » ἀλλά γε ὑμῖν εἰμι ». Τελευταῖον δὲ ἐπιστηρίζει τὸν λόγον αὐτοῦ διὰ τῶν προκειμένων λόγων. Ὑμεῖς, λέγει, ὦ Κορίνθιοι, ἐστὲ ἡ σφραγίς, ἤγουν ἡ βεβαίωσις καὶ ἡ ἀπόδειξις, ὅτι ἐγώ εἰμι Ἀπόστολος διὰ τῆς χάριτος τοῦ Κυρίου· « Ἡ σφραγὶς τῆς ἐ» μῆς ἀποστολῆς ὑμεῖς ἐστε ἐν Κυρίῳ ». Ἀλλὰ τίς ἡ χρεία τούτων τῶν λόγων; τίς τῶν Κορινθίων οὐκ ἐγίνωσκεν, ὅτι ὁ Παῦλος πρῶτος ἐκήρυξεν εἰς τὴν Κόρινθον τὴν εἰς Χριστὸν πίστιν; Διὰ τί οὖν ἔγραφε ταῦτα πρὸς αὐτούς; (3) Ἐν τῷ καιρῷ τῶν Ἀποστόλων ἦσάν τινες ἰουδαΐζοντες, ἤγουν καὶ εἰς τὸν Ἰησοῦν Χριστὸν πιστεύοντες, καὶ τὰ ἔθιμα τοῦ μωσαϊκοῦ νόμου φυλάττοντες· ἐπειδὴ δὲ ὁ Παῦλος πλέον τῶν ἄλλων Ἀποστόλων ἐκήρυττε τὴν τῶν νομικῶν ἔργων κατάργησιν, ὅθεν καὶ τὸν Πέτρον ὡς ἀναγκάζοντα τὰ ἔθνη ἰουδαΐζειν ἤλεγξεν (4), αὐτοὶ κατ' αὐτοῦ ἀντιφερόμενοι, ἔλεγον, ὅτι οὐκ ἔστι γνήσιος Ἀπόστολος, καθότι οὐδὲ εἶδε τὸν Ἰησοῦν Χριστόν, οὐδὲ ἀπεστάλη ὑπ' αὐτοῦ εἰς τὸ κήρυγμα, καθὼς οἱ λοιποὶ Ἀπόστολοι (5)· ἀνάγκην οὖν εἶχεν ἀποδεῖξαι, ὅτι ἐστὶν ἀληθινὸς Ἀπόστολος, ἵνα εὐοδώσῃ τὸν σκοπὸν αὐτοῦ, ἀποδείξας, ὅτι κἂν ἐξουσίαν εἶχεν ὡς Ἀπόστολος λαμβάνειν τὰ πρὸς τὴν χρείαν αὐτοῦ ὑπὸ τῶν ὑπ' αὐτοῦ διδασκομένων Κορινθίων, ὅμως ἵνα μὴ σκανδαλίσῃ, ἐκήρυξεν αὐτοῖς ἀδάπανον τὸ Εὐαγγέλιον· τοιουτοτρόπως οὖν ἀποδείξας, ὅτι ἐστὶν Ἀπόστολος, λέγει·

***Ἡ ἐμὴ ἀπολογία τοῖς ἐμὲ ἀνακρίνουσιν αὕτη ἐστί*** (6).

Τοιουτοτρόπως, λέγει, ἀπολογοῦμαι ἐγὼ πρὸς ἐκείνους, οἵτινες ἐξετάζοντες καὶ πολυπραγμονοῦντες τὰ κατ' ἐμέ, λέγουσιν, ὅτι οὐκ εἰμὶ Ἀπόστολος· ὑμᾶς τοὺς Κορινθίους προβάλλω μάρτυρας, καθότι ὑμεῖς ἐστε ἡ βεβαίωσις καὶ ἡ ἀπόδειξις, ὅτι εἰμὶ Ἀπόστολος· διότι ἐν ὑμῖν ἔπραξα τὰ τοῦ Ἀποστόλου ἔργα, τὴν εἰς Χριστὸν πίστιν, διδάξας, καὶ ὑπὲρ αὐτῆς πολλὰ ὑπομείνας παθήματα, καὶ πολλοὺς ἐξ ὑμῶν εἰς Χριστὸν ἐπιστρέψας· μετὰ δὲ ταύτην τὴν ἀποδεικτικὴν ἀπολογίαν μεταβαίνει εἰς τὴν ἀπόδειξιν τῆς ἐξουσίας, ἣν εἶχεν ὡς Ἀπόστολος πρὸς τὸ λαμβάνειν τὰ ἀναγκαῖα πρὸς τὸ ζῆν ὑπὸ τῶν μαθητῶν αὐτοῦ τῶν Κορινθίων.

***Μὴ οὐκ ἔχομεν ἐξουσίαν φαγεῖν καὶ πιεῖν;*** (7)

(1) Κορ. 9, 2. (2) Α'. Κορ. 9, 1. (3) Γαλ. 2, 14. (4) Αὐτ. 16. (5) Ἀμβροσ. Αὐτ. (6) Α'. Κορ, 9, 3.
(7) Αὐτ. 9, 4.



Τί οὖν ἆρά γε οὐκ ἔτρωγεν, οὐδὲ ἔπινεν ὁ Παῦλος; Ναί, ἀληθῶς καὶ ἐπείνα καὶ ἐδίψα, καθὼς πρὸς τοὺς αὐτοὺς Κορινθίους ἔγραφε, λέγων· « Ἄχρι τῆς ἄρτι ὥρας καὶ » πεινῶμεν καὶ διψῶμεν » (1). Πλὴν οὐ τοῦτο λέγει, ἀλλὰ διὰ τῶν λόγων τούτων δηλοποιεῖ, ὅτι οὐδὲ τροφάς, οὐδέ ποτε ἐλάμβανε παρὰ τῶν ὑπ' αὐτοῦ διδασκομένων Κορινθίων, κἂν ἐξουσίαν εἶχεν ὡς Ἀπόστολος καὶ διδάσκαλος ζητεῖν παρ' αὐτῶν ταῦτα, ἀλλ' ἐτρέφετο ἐργαζόμενος « Ταῖς ἰδί» αις χερσὶ » (2), τουτέστι ῥάπτων σκηνάς.

***Μὴ οὐκ ἔχομεν ἐξουσίαν ἀδελφὴν γυναῖκα περιάγειν, ὡς καὶ οἱ λοιποὶ Ἀπόστολοι, καὶ οἱ ἀδελφοὶ τοῦ Κυρίου, καὶ Κηφᾶς;*** (3)

Τινὲς μὲν λέγουσιν, ὅτι αἱ μετὰ τῶν Ἀποστόλων συμπεριφερόμεναι γυναῖκες ἦσαν σύζυγοι αὐτῶν (4). Περιέφερον δὲ αὐτὰς μεθ' ἑαυτῶν οἱ Ἀπόστολοι οὐχ ὡς συζύγους, ἀλλ' ὡς ἀδελφάς· ἵνα ἐκεῖναι μὲν ὑπηρετῶσιν αὐτούς, αὐτοὶ δὲ διαμένωσι προσηλωμένοι ὅλως δι' ὅλου εἰς τὸ ἔργον τοῦ εὐαγγελικοῦ κηρύγματος· δι' αὐτῶν δὲ τῶν γυναικῶν χωρίς τινος κακῆς ὑποψίας καὶ κατηγορίας εἰσήρχετο ἡ διδασκαλία τοῦ Κυρίου καὶ εἰς αὐτοὺς τοὺς τῶν γυναικῶν θαλάμους· οἱ αὐτοὶ δὲ λέγουσιν, ὅτι ὁ Παῦλος, κἂν εἶχε σύζυγον, ἣν καὶ προσαγορεύει ἐν μιᾷ τῶν ἐπιστολῶν αὐτοῦ, ὅμως οὐ περιέφερεν αὐτὴν διὰ τὸ εὐσταλές, ἤγουν τὸ πρόχειρον καὶ εὐμετάβατον τοῦ κηρύγματος. Ἀλλὰ σημείωσον, ὅτι κἂν ὁ Παῦλος ἐν τῇ πρὸς Φιλιππησίους ἐπιστολῇ αὐτοῦ ἔγραψε· « Καὶ ἐρωτῶ καὶ σὲ σύ» ζυγε γνήσιε » (5). Κἂν καὶ ὁ θεοφόρος Ἰγνάτιος ἐν τῇ πρὸς Φιλαδελφεῖς ἐπιστολῇ αὐτοῦ συντάσσῃ τὸν Παῦλον μετὰ τῶν προσομιλησάντων γάμῳ· ἀπίθανον ὅμως φαίνεται, ὡς καὶ πολλοὶ τῶν διερμηνευτῶν ἐπιβεβαιοῦσιν, ὅτι ὁ Παῦλος ἦν συνεζευγμένος γυναικί (6). Διότι ἐὰν εἶχε γυναῖκα, πῶς συνέταττεν ἑαυτὸν μετὰ τῶν ἀγάμων καὶ τῶν χηρευουσῶν· καὶ ἔγραφε πρὸς τοὺς αὐτοὺς Κορινθίους· « Λέγω δὲ τοῖς ἀγά» μοις καὶ ταῖς χήραις καλὸν αὐτοῖς ἐστιν, » ἐὰν μείνωσιν ὡς κἀγώ; » (7) Ἐπειδὴ δὲ οὐκ εἶπε, γνησία σύζυγε, ἀλλὰ γνήσιε σύζυγε, φανερόν ἐστιν, ὅτι οὐ περὶ γυναικὸς ἐλάλει, ἀλλὰ περὶ ἀνδρὸς ὀνομαζομένου συζύγου. Οὗτος δὲ ἴσως ἦν ἀδελφός, ἢ σύζυγος μιᾶς τῶν ὑπ' αὐτοῦ ἀναφερομένων γυναικῶν, τουτέστιν τῆς Εὐωδίας, ἢ τῆς Συντύχης, ἢ σύζυγον ὠνόμασε φίλον τινὰ γνήσιον, ὡς ὑπὸ τὸν αὐτὸν ζυγὸν τοῦ Ἰησοῦ Χριστοῦ ὄντα, ὑφ' ὃν καὶ αὐτὸς ὁ Παῦλος· περὶ δὲ τῆς τοῦ Ἰγνατίου μαρτυρίας ὑποψία ἐστί, μήτι τὸ τοῦ Παύλου ὄνομα προσετέθη ἐν αὐτῇ ὑπό τινος ἢ αἱρετικοῦ, ἢ καὶ ὀρθοδόξου, σπουδάζοντος βεβαιῶσαι, ὅτι ὁ Παῦλος εἶχε γυναῖκα. Περὶ δὲ τῶν μετὰ τῶν Ἀποστόλων συμπεριαγομένων γυναικῶν πολλῷ πιθανωτέρα ἐστὶν ἡ γνώμη τῶν παρασημειωθέντων διερμηνευτῶν (8)· οἵτινες λέγουσιν, ὅτι τινὲς πισταὶ καὶ σεβάσμιαι γυναῖκες, εὐλαβείᾳ φερόμεναι, ἠκολούθουν τοῖς Ἀποστόλοις, ὑπηρετοῦσαι αὐτούς· αὐτοὶ δὲ οὐκ ἐνεπόδιζον τὴν θεάρεστον αὐτῶν προθυμίαν· ἀφορῶντες εἰς τὸ τοῦ διδασκάλου αὐτῶν παράδειγμα, ὅστις ὑπὸ πολλῶν γυναικῶν ὑπηρετήθη ἐν Ἱερουσαλήμ· « Αἵτινες διηκόνουν αὐτῷ ἀπὸ τῶν ὑπαρ-

(1) Α'. Κορ. 4, 11. (2) Αὐτ. 12. Πράξ. 18, 3. (3) Α'. Κυρ. 9, 5. (4) Κλημ. ὁ Ἀλεξ. ἐν 6, 3. στρωματ. ἀριθ. 6. (5) Φιλιπ. 4, 3.
(6) Χρυσ· ἐν κεφ. 4. τῆς πρὸς Φιλιπ. Θεοδωρ. αὐτ. Οἰκουμ. αὐτ. Θεοφ. αὐτ. (7) Α'. Κορ. 7, 8. (8) Ἐν οἷς καὶ ὁ Ἀμβρόσιος.

» χόντων αὐτῶν » (1). Διὰ δὲ τῶν προκειμένων λόγων ὁ Παῦλος λέγει· μήπως οὐκ ἔχω ἐξουσίαν, ἵνα περιφέρω μετ' ἐμοῦ γυναῖκα εἰς τόπον ἀδελφῆς, ἵνα ὑπηρετῇ μοι, καθὼς τοῦτο ποιοῦσιν οἱ λοιποὶ Ἀπόστολοι, καὶ οἱ ἀδελφοὶ τοῦ Κυρίου, ἤγουν ὁ Ἰάκωβος, καὶ ὁ Ἰωσῆς, καὶ ὁ Σίμων, καὶ ὁ Ἰούδας, οἱ τοῦ Ἰωσὴφ υἱοί, οὐ μόνον δὲ οὗτοι, ἀλλὰ καὶ αὐτος ὁ Κηφᾶς, ἤγουν ὁ Πέτρος; (2)

*Ἢ μόνος ἐγὼ καὶ Βαρνάβας οὐκ ἔχομεν ἐξουσίαν τοῦ μὴ ἐργάζεσθαι;* (3)

Ὡς φαίνεται οὐ μόνον ὁ Παῦλος οὐδὲν ἐζήτει παρὰ τῶν Κορινθίων, οὐδὲ ἤθελε συμπεριφέρειν γυναῖκα πρὸς ὑπηρεσίαν αὐτοῦ, ἀλλ' ὑπηρέτει αὐτὸς ἑαυτόν, καὶ διὰ τοῦ ἐργοχείρου αὐτοῦ ἔτρεφεν ἑαυτόν, ἀλλὰ καὶ ὁ πανεύφημος Βαρνάβας τὰ αὐτὰ ἐποίει. Ὅθεν μετὰ εἰλικρινοῦς καρδίας ὁμολογεῖ τοῦτο ὁ Παῦλος, λέγων· μήπως ἐκ πάντων τῶν Ἀποστόλων ἐγὼ μόνος καὶ ὁ Βαρνάβας οὐκ ἔχομεν ἐξουσίαν « Τοῦ μὴ » ἐργάζεσθαι », ἤγουν οὐκ ἔχομεν ἐξουσίαν ἀργεῖν ἀπὸ τῶν ἐργοχείρων, καὶ μηδὲν ἐργόχειρον ἐργαζομένους ὑπηρετεῖσθαι καὶ τρέφεσθαι ὑπὸ τῶν μαθητῶν ἡμῶν; δείξας δέ, ὅτι κατὰ λόγον ἐξουσίας, καὶ κατὰ τὸ παράδειγμα τῶν λοιπῶν Ἀποστόλων, δίκαιόν ἐστιν, ἵνα καὶ τρέφηται καὶ ὑπηρετῆται ὑπὸ τῶν ὑπ' αὐτοῦ διδασκομένων, δείκνυσι πάλιν τὸ αὐτὸ καὶ διὰ τῶν ἐπιτηδευμάτων τοῦ βίου, καὶ τῶν κανόνων τῆς συνηθείας, λέγων·

*Τίς στρατεύεται ἰδίοις ὀψωνίοις ποτέ; τίς φυτεύει ἀμπελῶνα, καὶ ἐκ τοῦ καρποῦ αὐτοῦ οὐκ ἐσθίει; ἢ τίς ποιμαίνει ποίμνιον, καὶ ἐκ τοῦ γάλακτος τῆς ποίμνης οὐκ ἐσθίει;* (4)

Βλέπε, ὅτι καὶ τὰ ἀνθρώπινα παραδείγματα, τὰ ὑπ' αὐτοῦ προβαλλόμενα, ἤγουν ἡ στρατιά, καὶ ὁ ἀμπελών, καὶ ἡ ποίμνη, σύμβολά εἰσι τῆς ἐκκλησίας. Ἡ στρατιά, καθότι οἱ ἐν τῇ ἐκκλησίᾳ στρατιῶταί εἰσι, στρατηγὸν ἔχοντες τὸν ἐν αὐτῇ προεστῶτα καὶ στρατευόμενοι καὶ παλαίοντες « Πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας, » πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους » τοῦ αἰῶνος τούτου, πρὸς τὰ πνευματικὰ » τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις » (5). Ὁ δὲ ἀμπελών, καθότι αὐτός ἐστιν ἡ ἄμπελος, τουτέστιν ἡ ἐκκλησία, περὶ ἧς ὁ προφήτης προσευχόμενος, ἔλεγεν· « Ὁ » Θεὸς τῶν δυνάμεων ἐπίστρεψον δή, ἐπί- » βλεψον ἐξ οὐρανοῦ, καὶ ἴδε, καὶ ἐπίσκε- » ψαι τὴν ἄμπελον ταύτην, καὶ κατάρ- » τισαι αὐτήν, ἣν ἐφύτευσεν ἡ δεξιά σου » (6). Ἡ δὲ ποίμνη, καθότι ἡ ἐκκλησία ἐστὶν ἡ τοῦ Ἰησοῦ Χριστοῦ ποίμνη, περὶ ἧς αὐτὸς εἶπε· « Καὶ ἄλλα πρόβατα ἔχω, ἃ οὐκ ἔςιν » ἐκ τῆς αὐλῆς ταύτης· κἀκεῖνά με δεῖ ἀ- » γαγεῖν· καὶ τῆς φωνῆς μου ἀκούσουσι· καὶ γενήσεται μία ποίμνη, εἷς ποιμήν » (7). Ἀληθῶς δὲ οὐδεὶς οὐδὲ στρατηγός, οὐδὲ στρατιώτης τρέφεται ἐκ τῶν ἰδίων, καὶ οὐχὶ διὰ τῶν ἐκ τοῦ κοινοῦ σιτηρεσίων· οὐδεὶς οὐδὲ ἀμπελῶνα φυτεύει, καὶ οὐκ ἐσθίει ἐκ τοῦ καρποῦ, οὐδὲ ποίμνην ποιμαίνει, καὶ οὐ τρώγει ἐκ τοῦ γάλακτος. Σημείωσαι δὲ πρῶτον, ὅτι ταῦτα τὰ παραδείγματα προβάλλει ἵνα δείξῃ, ὅτι ἀνάγκη ἐστίν, ἵνα οἱ τῆς ἐκκλησίας προεστῶτες ἔχωσι ἀν-

(1) Λουκ. 8, 3. (2) Ματθ. 13, 55. (3) Α'. Κορ. 9, 6. (4) Αὐτ. 9, 7. (5) Ἐφ. 6, 12. (6) Ψαλμ. 79, 14. 15. (7) Ἰωάν. 10, 16.



δρείαν στρατιώτου, καὶ ἐπιμέλειαν γεωργοῦ, καὶ φροντίδα ποιμένος· δεύτερον δέ, ὅτι οὐκ εἶπεν, ἐσθίει τὸν καρπόν, ἀλλ' ἐκ τοῦ καρποῦ· οὐδὲ εἶπεν· ἐσθίει τὸ γάλα, ἀλλ' ἐκ τοῦ γάλακτος, ἵνα φανερώσῃ, ὅτι οἱ τὴν Χριστοῦ ἐκκλησίαν γεωργοῦντες καὶ ποιμαίνοντες ἔχουσι δικαίωμα λαμβάνειν οὐχὶ ὅλον τὸν καρπόν, οὐδὲ ὅλον τὸ γάλα, ἀλλὰ μέρος ἐξ αὐτῶν μόνον, ὅσον αὐτοῖς ἀναγκαῖον. Ἰδοὺ δὲ καὶ ἄλλην προβάλλει ἀπόδειξιν ἐκ τῶν βιβλίων τοῦ νόμου περὶ τῆς αὐτῆς ὑποθέσεως.

*Μὴ κατὰ ἄνθρωπον ταῦτα λαλῶ; ἢ οὐχὶ καὶ ὁ νόμος ταῦτα λέγει; Ἐν γὰρ τῷ Μωσέως νόμῳ γέγραπται· οὐ φιμώσεις βοῦν ἀλοῶντα· μὴ τῶν βοῶν μέλει τῷ Θεῷ;* (1)

Τινὲς φιλάργυροι ὄντες, ἔβαλον κημόν, ἤγουν δεσμὸν εἰς τὰ στόματα τῶν ἀλοώντων βοῶν, ἵνα μὴ τρώγωσι τὰ ἐν τῇ ἅλωνι σπέρματα· ὁ δὲ Θεὸς τῶν ὅλων ἔδωκε περὶ τούτου πρόσταγμα, εἰπών· « Οὐ φιμώσεις » βοῦν ἀλοῶντα » (2)· ἤγουν μὴ δέσῃς τὸ στόμα τοῦ βοός, ὅστις ἀλοᾷ, ἀλλ' ἄφες αὐτὸν ἐλεύθερον, ἵνα μετέχῃ τῶν σπερμάτων, ὑπὲρ ὧν κοπιᾷ. Τοῦτον τὸν νόμον μετέρχεται ὁ Παῦλος, ἵνα ἀποδείξῃ τὸν σκοπὸν αὐτοῦ· Μὴ νομίσητε, λέγει, ὅτι ταῦτα ἐγὼ λαλῶ κατὰ ἄνθρωπον, τουτέστι κατὰ μόνα τά παραδείγματα καὶ τὰς συνηθείας καὶ τοὺς νόμους τῶν ἀνθρώπων. Διότι καὶ ὁ τοῦ Θεοῦ νόμος, ὁ διὰ τοῦ Μωϋσέως δοθείς, ταῦτα διορίζων, λέγει· « Οὐ φιμώσεις » βοῦν ἀλοῶντα ». Ταῦτα δὲ εἰπών, ἐφαρμόζει τοῦτον τὸν νόμον εἰς τὴν ὑπόθεσιν αὐτοῦ, δηλοποιῶν τὸ τούτου μυστικὸν νόημα· « Μὴ τῶν βοῶν, λέγει, μέλλει τῷ » Θεῷ; » Ἀλλὰ πῶς οὐ μέλλει τῷ Θεῷ ὑπὲρ τῶν βοῶν; Οὐκ ἀνοίγει αὐτὸς τὴν χεῖρα αὐτοῦ, καὶ ἐμπιπλᾷ « Πᾶν ζῶον εὐ- » δοκίας; » (3) Οὐ δίδωσιν αὐτὸς « Τοῖς » κτήνεσι τροφὴν αὐτῶν, καὶ τοῖς νεοσσοῖς » τῶν κοράκων, τοῖς ἐπικαλουμένοις αὐ- » τόν; » (4) Πῶς οὖν λέγει· « Μὴ τῶν βοῶν » μέλλει τῷ Θεῷ; » Προνοεῖ μὲν περὶ πάντων τῶν ζώων ὁ Θεός, καθὼς καὶ περὶ πάντων τῶν λοιπῶν αὐτοῦ κτισμάτων· πλὴν νόμους οὐ δίδωσιν εἰς τὰ ἄλογα ζῶα τὰ μὴ δυνάμενα κατανοῆσαι αὐτούς, καθότι οὐκ ἔχουσι τὴν τοῦ λόγου δύναμιν· οὐ φροντίζει ὁ Θεὸς νομοθετῆσαι τὰ ἄλογα ζῶα, ἀλλ' ἡμᾶς νομοθετεῖ, ὅταν λαλῇ περὶ αὐτῶν.

*Ἢ δι' ἡμᾶς πάντως λέγει; δι' ἡμᾶς γὰρ ἐγράφη, ὅτι ἐπ' ἐλπίδι ὀφείλει ὁ ἀροτριῶν ἀροτριᾶν· καὶ ὁ ἀλοῶν τῆς ἐλπίδος αὐτοῦ μετέχειν ἐπ' ἐλπίδι* (5).

Ὁ ἀροτριῶν διὰ τοῦ ἀρότρου ἑτοιμάζει τὴν γῆν πρὸς ὑποδοχὴν τῶν σπόρων· ὁ Ἀπόστολος διὰ τοῦ κηρύγματος διατίθησι τὴν ψυχὴν πρὸς ὑποδοχὴν τῶν τῆς πίστεως δογμάτων. Ὁ ἀλοῶν διὰ τῆς τριβῆς τῶν σταχύων ἐξάγει τὸν σῖτον· ὁ Ἀπόστολος διὰ τῆς πρὸς τοὺς πιστοὺς συνεχοῦς διδασκαλίας ἐξάγει τὸν καρπὸν τῶν καλῶν ἔργων. Ὁ μὲν ἀροτριῶν ἀροτριᾷ, ἐλπίζων τοῦ καρποῦ τὴν συλλογήν, ὁ δὲ ἀλοῶν μετέχει τῆς ἐλπίδος αὐτοῦ, ὁρῶν ἐν ταῖς χερσὶν αὐτοῦ τὸν σῖτον· ὁ Ἀπόστολος διδάσκει τὸν λόγον, ἐλπίζων τὴν ἐξ αὐτοῦ καρποφορίαν, ὅταν δὲ οἱ διδασκόμενοι διὰ τῆς συν-

(1) Α'. Κορ. 9, 8, 9. (2) Δευτ. 25, 4. (3) Ψαλμ. 114, 16. (4) Αὐτ. 146, 9. (5) Α. Κορ. 9, 10.

ἐχρῦς αὐτοῦ νουθεσίας καρποφορῶσι, τότε αὐτὸς ἀπολαμβάνει τῆς ἐλπίδος αὐτοῦ ὁρῶν τοὺς καρποὺς τῆς πίστεως. Ἀροτῆρες οὖν καὶ ἀλοητῆρες λέγονται οἱ Ἀπόστολοι καὶ οἱ τῆς πίστεως διδάσκαλοι διὰ τὴν ὁμοιότητα τῶν ἐπαγγελμάτων· εἰσὶ δὲ τὰ προκείμενα ἀποστολικὰ λόγια ἐπεξηγηματικὰ τοῦ ἀνωτέρω εἰρημένου λόγου, ἤγουν τοῦ, « Οὐ φιμώσεις βοῦν ἀλοῶντα » (1). Δι' ἡμᾶς, λέγει ἀναμφιβόλως ἐγράφη οὗτος ὁ λόγος· διότι πρέπον ἐστίν, ἵνα ὁ τὴν πίστιν διδάσκων ἐλπίζῃ τὸν μισθόν, ἀπολαμβάνῃ δὲ τῆς ἐλπίδος αὐτοῦ ὅταν βλέπῃ τῆς διδασκαλίας αὐτοῦ τὸν καρπόν. Παρατήρησον δὲ τὴν ἀποστολικὴν σοφίαν. Ἐπειδὴ εἶπε· «Μετέχειν τῆς ἐλπίδος αὐτοῦ»· ἵνα μηδεὶς νομίσῃ, ὅτι ὁ Ἀπόστολος ἔχει μόνην τὴν ἐλπίδα τῆς σωματικῆς ἀπολαύσεως, προσέθηκε τό, Ἐπ' ἐλπίδι, εἰπών· « τῆς ἐλπίδος αὐτοῦ μετέχειν ἐπ' ἐλπίδι »· ἵνα διὰ τούτου φανερώσῃ, ὅτι δίκαιόν ἐςιν, ἵνα ἀπολαμβάνῃ μὲν τὸν ἐπίγειον μισθὸν αὐτοῦ, ἔχῃ ὅμως καὶ τὴν ἐλπίδα τῆς ἐπουρανίου μισθαποδοσίας. Μετὰ δὲ ταύτην τὴν ἐκ τοῦ νόμου ἀπόδειξιν, καὶ ἄλλην προβάλλει, ἐξαχθεῖσαν ἐκ τῆς συγκρίσεως τῶν πνευματικῶν καὶ σαρκικῶν πραγμάτων, λέγων τὰ ἑξῆς·

**Εἰ** *ἡμεῖς ὑμῖν τὰ πνευματικὰ ἐσπείραμεν. μέγα, εἰ ἡμεῖς, ὑμῶν τὰ σαρκικὰ θερίσομεν;* (2).

Τὰ πνευματικὰ τὰ ὑπὸ τῶν Ἀποστόλων σπειρόμενα ἦσαν τὸ διδασκόμενον κήρυγμα τῶν δογμάτων τῆς πίστεως, καὶ ἡ νομοθεσία περὶ τῆς ἀποχῆς τῶν ἁμαρτημάτων καὶ τῆς ἐργασίας τῶν ἀρετῶν· καρπὸς δὲ τούτων τῶν πνευματικῶν σπερμάτων ἡ κληρονομία τῆς αἰωνίου δόξης καὶ βασιλείας. Σαρκικὰ δέ, τὰ ὑπὸ τῶν Ἀποστόλων θεριζόμενα, ἦσαν ἡ ἀναγκαία τροφὴ καὶ τὸ ἱμάτιον καὶ ἡ ὑπηρεσία, πράγματα ὀλίγα καὶ μικρὰ καὶ φθαρτὰ καὶ πρόσκαιρα, καὶ κατὰ τοῦτο δὲ μόνον ζητούμενα, καθὸ ἦσαν ἐνδεικτικὰ τῆς εὐχαρίςου προαιρέσεως τῶν εὐεργετουμένων, ἅμα δὲ καὶ κατασκευαστικὰ τῆς εὐοδώσεως τοῦ εὐαγγελικοῦ κηρύγματος. Διότι λαμβάνοντες ταῦτα οἱ Ἀπόστολοι ὑπὸ τῶν πιστῶν, καὶ μηδόλως ὑπὲρ αὐτῶν περισπώμενοι ὅλως δι' ὅλου ἐφρόντιζον περὶ τοῦ κηρύγματος τῆς πίςεως. Σημείωσαι δὲ πρῶτον μέν, ὅτι πᾶσαν τὴν προκειμένην ὑπόθεσιν ἐξέθετο ὁ θεῖος Ἀπόςολος διὰ τοῦ σχήματος τῆς ἐρωτήσεως, ἵνα μᾶλλον ἰσχυροποιήσῃ τὴν δύναμιν τοῦ λόγου, καὶ δηλοποιήσῃ τὴν βεβαιότητα τῶν πραγμάτων· δεύτερον δέ, ὅτι προάγει τὴν μεταφορὰν ἕως τέλους, ἀροτῆρας καὶ ἀλοητῆρας εἰπὼν τοὺς Ἀποστόλους· σπόρον τὸν θεῖον λόγον· θέρος τὸν μισθόν. Ἐποίησε δὲ τοῦτο κατὰ μίμησιν τῆς διδασκαλίας τοῦ Κυρίου, ὅστις ἐξωμοίωσε τὸν λόγον τοῦ Θεοῦ τῷ σπόρῳ, εἰπών· « Ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι τὸν σπόρον αὐτοῦ » (3). Ἔχει δὲ ἡ προκειμένη ἀπόδειξις δύναμιν ἰσχυρὰν καὶ μεγάλην. Ἐὰν ἡμεῖς, λέγει, οἱ Ἀπόστολοι μετεδώκαμεν ὑμῖν τὰ πνευματικὰ χαρίσματα, δηλαδὴ τὴν εἰς Χριστὸν πίςιν, τὸν εὐαγγελικὸν νόμον, τὰ ἅγια μυστήρια, τὴν εἴσοδον τῆς αἰωνίου σωτηρίας· « Εἰ ἡμεῖς ὑμῖν τὰ πνευματικὰ ἐσπείραμεν»· Μέγα ἆρά γε ἀνταπόδομά ἐςιν, ἐὰν ἡμεῖς ἀντὶ τούτων λάβωμεν ἐξ ὑμῶν τὰ σωματικά, ἤγουν ὀλίγην τροφὴν καὶ εὐτελὲς ἱμάτιον καὶ μικρὰν ὑπηρεσίαν;

(1) Α'. Κορ. 9, 9. (2) Αὐτ. 9, 11. (3) Λουκ. 8, 5.



« Μέγα εἰ ἡμεῖς ὑμῶν τὰ σαρκικὰ θερίσομεν; » Παραστήσας οὖν, ὅτι ἀληθῶς ἦν Ἀπόςολος, καὶ διὰ πολλῶν ἐπιχειρημάτων ἀποδείξας, ὅτι καθὸ Ἀπόστολος, ἐξουσίαν εἶχε λαμβάνειν ἐξ αὐτῶν τὰ πρὸς τὴν σωματικὴν χρείαν, ἀνακαλύπτει τὸν σκοπὸν τῶν τοσούτων ἀποδείξεων, δηλοποιῶν ἅμα καὶ τὸν λόγον, δι' ὃν οὐκ ἠθέλησε μετελθεῖν ταύτην τὴν ἐξουσίαν.

**Εἰ** *ἄλλοι τῆς ἐξουσίας ὑμῶν μετέχουσιν, οὐ μᾶλλον ἡμεῖς; ἀλλ' οὐκ ἐχρησάμεθα τῇ ἐξουσίᾳ ταύτῃ, ἀλλὰ πάντα στέγομεν, ἵνα μὴ ἐγκοπήν τινα δῶμεν τῷ Εὐαγγελίῳ τοῦ Χριστοῦ* (1).

Ἄλλους λέγει, οὐχὶ τοὺς Ἀποστόλους, οὐδὲ τοὺς ἀδελφοὺς τοῦ Κυρίου, οὐδὲ τὸν Κηφᾶν (2), οὓς πρότερον ἀνέφερεν, ἀλλ' ἄλλους τινὰς ψευδοδιδασκάλους καὶ ἀπατεῶνας, περὶ ὧν ἔγραφε πρὸς τοὺς αὐτοὺς Κορινθίους· « Ἀνέχεσθε γάρ, εἴ τις ὑμᾶς καταδουλοῖ, εἴ τις κατεσθίει, εἴ τις λαμβάνει, εἴ τις ἐπαίρεται, εἴ τις ὑμᾶς εἰς πρόσωπον δέρει » (3). Διὰ τοῦτο οὐκ εἶπε, λαμβάνουσιν, ἀλλὰ « Τῆς ἐξουσίας ὑμῶν μετέχουσιν » (4), ἤγουν ἐξουσιάζουσιν ὑμᾶς, καὶ αὐθεντικῶς, καὶ δυναστικῶς παρ' ὑμῶν ζητοῦσιν· ἐκ τούτων δὲ τῶν λόγων καὶ ἄλλο κατασκευάζει ἐπιχείρημα. Ἐὰν ἄλλοι τινές, λέγει, ψευδοδιδάσκαλοι καὶ ἀπατεῶνες μετὰ ἐξουσίας καὶ δεσποτείας λαμβάνωσιν ἐξ ὑμῶν ὅσα ζητοῦσι, πολλῷ μᾶλλον δίκαιόν ἐστιν, ἵνα ἡμεῖς οἱ ἀληθινοὶ Ἀπόστολοι καὶ διδάσκαλοι ὑμῶν λαμβάνωμεν ἐξ ὑμῶν τὰ πρὸς τὴν χρείαν. Ταῦτα δὲ εἰπών, δηλοποιεῖ εὐθὺς διὰ ποῖον σκοπὸν αὐτὸς οὐκ ἐλάμβανε, λέγων· κἂν ὑπάρχω ἀληθὴς Ἀπόστολος, κἂν ἔχω ἐξουσίαν τοῦ λαμβάνειν, κἂν ἄλλοι μετ' ἐξουσίας λαμβάνωσιν, ἐγὼ ὅμως οὐκ ἠθέλησα μετελθεῖν ταύτην τὴν νόμιμον ἐξουσίαν· ἵνα δὲ μηδεὶς εἴπῃ, οὐκ εἶχες χρείαν, καὶ διὰ τοῦτο οὐκ ἐλάμβανες, ἐπιφέρει τό, « Ἀλλὰ πάντα στέγομεν » ἤγουν ὑπομένω καὶ πεῖναν καὶ δίψαν καὶ γύμνωσιν, καὶ τὸν τοῦ ἐργοχείρου κόπον, καὶ πᾶσαν ἄλλην κακουχίαν. Οὕτω δὲ πολιτεύομαι, λέγει· « Ἵνα μὴ ἐγκοπήν τινα δῶμεν τῷ Εὐαγγελίῳ τοῦ Χριστοῦ». Διὰ ποῖον δὲ λόγον ἐγίνετο ἐμπόδιον καὶ παρακοπὴ τοῦ εὐαγγελικοῦ κηρύγματος, ἐὰν αὐτὸς ἐλάμβανεν ἐκ τῶν Κορινθίων τὰ πρὸς τὸ ζῆν ἀναγκαῖα; αὐτός, κἂν οὐκ ἐζήτει μισθὸν διὰ τὸν κόπον τοῦ κηρύγματος, ἐλάμβανεν ὅμως τὰ πρὸς αὐτὸν αὐτοπροαιρέτως προσφερόμενα, ὅταν ἐγνώριζεν, ὅτι λαμβάνων αὐτά, οὐ μόνον οὐδένα σκανδαλίζει, ἀλλὰ καὶ ὠφελεῖ τοὺς προσφέροντας. Τοῦτο φανερόν ἐστιν ἐξ ὧν ἔγραφε πρὸς τοὺς Φιλιππησίους, λέγων· « Ὅτι καὶ ἐν Θεσσαλονίκῃ καὶ ἅπαξ καὶ δὶς εἰς τὴν χρείαν μοι ἐπέμψατε. Οὐχ ὅτι ἐπιζητῶ τὸ δόμα, ἀλλ' ἐπιζητῶ τὸν καρπόν, τὸν πλεονάζοντα εἰς λόγον ὑμῶν. Πεπλήρωμαι δεξάμενος παρὰ Ἐπαφροδίτου τὰ παρ' ὑμῶν, ὀσμὴν εὐωδίας, θυσίαν δεκτήν, εὐάρεστον τῷ Θεῷ » (5). Ὁμοίως καὶ ἐξ ὧν πρὸς αὐτοὺς τοὺς Κορινθίους ἔγραφεν· « Ἄλλας, ἔλεγεν, ἐκκλησίας ἐσύλησα, λαβὼν ὀψώνιον, πρὸς τὴν ὑμῶν διακονίαν » (6). Βλέπομεν δέ, ὅτι καὶ τὴν τράπεζαν τοῦ δεσμοφύλακος μετὰ χαρᾶς ἐδέξατο (7), καὶ τὸν Ὀνησιφόρον εὐλόγησε διὰ τὴν περιποίσιν, ἣν ἔδειξε πρὸς αὐτόν (8).

(1) Α'. Κορ. 9, 12. (2) Αὐτ. 5. (3) Χρυσ. αὐτ. (4) Β'. Κορ. 11, 20, (5) Φιλιπ. 4, 16, 18. (6) Β'. Κορ. 11, 8. (7) Πράξ. 16, 34. (8) Β'. Τιμ. 1, 16.

Ἐπειδὴ δὲ εἰς τὴν Κόρινθον καὶ Ἑβραῖοι, καὶ ἐθνικοί, καὶ φιλόσοφοι διαφόρων συστημάτων, καὶ σοφισταὶ πολλοί, κατῴκουν, πάντες δὲ ἔκδοτοι ἦσαν εἰς τὰ τῆς γῆς καὶ τῆς σαρκός, διὰ τοῦτο ὁ Παῦλος γνωρίσας, ὅτι ἐὰν ἐδέχετο παρ' αὐτῶν τὰ πρὸς τὴν χρείαν αὐτοῦ, πονηροὶ ὄντες ἐλάμβανον ἀφορμὴν συκοφαντίας, καὶ ἔλεγον, ὅτι κηρύττει τὸ Εὐαγγέλιον, ἵνα προσπορίζηται τὰ πρὸς τὴν ἰδίαν χρείαν καὶ ἀνάπαυσιν· τοῦτο δὲ ἐσκανδάλιζε τοὺς ἀκούοντας, ἐκ δὲ τοῦ σκανδάλου παρεκόπτετο ἡ πρόοδος καὶ ἡ αὔξησις τῆς εὐαγγελικῆς πίστεως· ἵνα μηδὲ μικρὰν προξενήσῃ σκανδάλου ἀφορμήν, οὐδὲν ἠθέλησε λαβεῖν ἐκ τῶν Κορινθίων.

# ΟΜΙΛΙΑ

ΜΕΤΑ ΤΗΝ ΠΡΩΤΗΝ ΠΡΟΣ

## ΚΟΡΙΝΘΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗι ΙΑ'. ΚΥΡΙΑΚΗι.

ΜΕΓΑΛΗΣ ἀρετῆς παράδειγμα τὸ ἐν τῇ πόλει τῶν Κορινθίων ἔργον τοῦ θεοφόρου Παύλου. Αὐτὸς κἂν εἶχε πολλὰ καὶ μεγάλα δικαιώματα, κἂν εἶχεν ἐξουσίαν, δεδομένην αὐτῷ ὑπὸ τοῦ Ἰησοῦ Χριστοῦ, ὅστις εἶπεν· « Ἄξιος γὰρ ὁ ἐργάτης τοῦ μισθοῦ » αὐτοῦ » (1), καὶ ἐπικεκυρωμένην ὑπὸ τοῦ πρακτικοῦ παραδείγματος τῶν λοιπῶν Ἀποστόλων, εἰς τὸ λαμβάνειν ὑπὸ τῶν ὑπ' αὐτοῦ διδασκομένων Κορινθίων πάντα τὰ πρὸς τὴν χρείαν αὐτοῦ, οὐδὲν ὅμως ἠθέλησε λαβεῖν ἐξ αὐτῶν, ἀλλ' ἔστερξε πᾶσαν ταλαιπωρίαν καὶ κάκωσιν, ἵνα μὴ ἀκολουθήσῃ οὐδὲ μικρὸν ἐμπόδιον εἰς τοῦ Εὐαγγελίου τὸ κήρυγμα· « Ἵνα μή, λέγει, ἐγκοπήν τι- » να δῶμεν τῷ Εὐαγγελίῳ τοῦ Χριστοῦ » (2). Τί δὲ ἄλλο δηλοποιοῦσι ταῦτα τὰ λόγια, εἰμὴ ζέσιν ψυχῆς μεγάλην ὑπὲρ τῆς αὐξήσεως καὶ τοῦ πολυπλασιασμοῦ τῆς εἰς Χριστὸν πίστεως, τουτέστι τῆς δόξης τοῦ Θεοῦ, καὶ τῆς τῶν ἀνθρώπων σωτηρίας; τοῦτο δέ ἐστιν ἐκείνη ἡ μεγάλη ἀρετή, ἡ πασῶν τῶν μεγάλων ἀρετῶν μήτηρ, ἡ ἐν ταῖς καρδίαις τῶν ἐκλεκτῶν κατοικοῦσα, ἥτις ὀνομάζεται ζῆλος. Περὶ αὐτῆς οὖν τῆς ἀρετῆς προσκαλεῖ ἡμᾶς λαλῆσαι ἡ σήμερον ἀναγνωσθεῖσα περικοπὴ τῆς πρὸς Κορινθίους ἐπιστολῆς τοῦ θεορρήμονος Παύλου.

Ὁ ζῆλος γεννᾶται ἐκ τῆς ἀγάπης, διευθύνεται ὑπὸ τῆς διακρίσεως, καὶ στηρίζεται ὑπὸ τῆς ἐπιμονῆς καὶ σταθερότητος. Πᾶσα ψυχὴ ἀνθρώπου ἔχει τὴν δύναμιν τῆς ἀγάπης, ὑπὸ Θεοῦ ἐμπεφυτευμένην ἐν αὐτῇ, καθὼς πάντα τὰ σώματα ἔχουσι τὸ πῦρ ἐσπαρμένον εἰς πάντα τὰ μέρη αὐτῶν ὑπὸ τοῦ τῶν ὅλων δημιουργοῦ. Οὐδὲ ψυχή

(1) Ματθ. 10, 10. (2) Β'. Κορ. 9, 12.



ἐστιν ἄμοιρος ἀγάπης, οὐδὲ σῶμα πυρὸς ἀμέτοχον. Καθὼς δὲ τὸ πῦρ, τὸ ἐν τοῖς ἀψύχοις σώμασιν ἐμφωλεῦον, οὐδεμίαν αἰσθητὴν ἐνέργειαν ποιεῖ, ἐὰν μὴ διὰ τῆς τριβῆς συναχθῇ καὶ συνενωθῇ, οὕτω καὶ ἡ ἐν ταῖς καρδίαις ἡμῶν ἀγάπη οὐδὲν ὁρατὸν ἔργον ποιεῖ, ἐὰν μὴ διὰ τῆς θείας χάριτος αὐξήσῃ καὶ μεγαλυνθῇ. Ἀφ' οὗ τὸ ἐν τοῖς σώμασι πῦρ διὰ τῆς τριβῆς συνενωθῇ, γεννᾷ τὴν φλόγα. Ἀφ' οὗ ἡ ἐν ταῖς καρδίαις ἡμῶν ἀγάπη διὰ τῆς χάριτος αὐξηθῇ, γεννᾷ τὸν ζῆλον. Καθὼς δὲ ἡ φλὸξ καὶ θερμαίνει καὶ καίει· οὕτω καὶ ὁ ζῆλος καὶ ὠφελεῖ καὶ βλάπτει· ὁ μὲν διακριτικὸς ὠφελεῖ, ὁ δὲ ἀδιάκριτος βλάπτει.

Ὅταν μετὰ πολλῆς ζέσεως καὶ σφοδρότητος ὁρμῶμεν, ἵνα πράξωμεν ἔργα ἄνομα καὶ ἄδικα, μὴ διακρίνοντες, ὅτι εἰσὶ τοιαῦτα, ἀλλὰ νομίζοντες, ὅτι εἰσὶ νόμιμα καὶ δίκαια, τότε ὁ ζῆλος ἡμῶν ἐστιν ἀδιάκριτος. Τοιοῦτον ζῆλον εἶχον οἱ Ἰουδαῖοι, ὡς περὶ αὐτῶν ἐμαρτύρησεν ὁ Παῦλος, λέγων· « Μαρτυρῶ γὰρ αὐτοῖς, ὅτι ζῆλον Θεοῦ ἔ- » χουσιν, ἀλλ' οὐ κατ' ἐπίγνωσιν » (1). Τοιοῦτον ζῆλον εἶχε καὶ ὁ Παῦλος, ὅτε ἦν Σαῦλος (2), ἤγουν πρὶν ἢ ἐπιστρέψῃ πρὸς τὸν Χριστόν. Βλέπε αὐτόν, φυλακίζει καὶ δέρει τοὺς πιστεύοντας, συνευδοκεῖ εἰς τὸν λιθασμὸν τοῦ πρωτομάρτυρος Στεφάνου, ἐμπνέων δὲ φοβερισμῶν καὶ φόνων εἰς τοὺς μαθητὰς τοῦ Κυρίου, τρέχει εἰς τὴν Δαμασκόν, ἵνα ὅσους εὕρῃ ἄνδρας τε καὶ γυναῖκας πιστεύοντας εἰς τὸν Χριστόν, φέρῃ δεδεμένους εἰς τὴν Ἱερουσαλὴμ (3). Ζέσις ἐστὶ τοῦτο καὶ ὁρμὴ ψυχῆς μεγάλη, ὅπερ ἐστὶ ζῆλος. Ζῆλός ἐστιν ἀλλ' ἀδιάκριτος, καὶ ἐπομένως βλαβερώτατος. Οὐ διέκρινεν ὁ Παῦλος, ποῖον τὸ νόμιμον καὶ ποῖον τὸ ἄνομον, ποῖον τὸ δίκαιον καὶ ποῖον τὸ ἄδικον· ποῖον τὸ ἀρεστὸν καὶ ποῖον τὸ μισητὸν εἰς τὸν Θεόν. Ὅθεν κατεδίωκε τὴν χριστιανικὴν πίστιν, καὶ ἐζήτει ἐξαλεῖψαι τοὺς εἰς Χριστὸν πιστεύοντας, νομίζων, ὅτι τοῦτο τὸ ἔργον ἐστὶ καὶ νόμιμον καὶ δίκαιον καὶ εὐάρεστον τῷ Θεῷ. Εἶχε ζῆλον πολὺν καὶ μέγαν, ἀλλὰ γυμνὸν τῆς διακρίσεως. Ὅτε δὲ οὐρανόθεν προσκαλέσας αὐτὸν ὁ υἱὸς τοῦ Θεοῦ, ἔθηκεν εἰς τὴν ψυχὴν αὐτοῦ τὴν ἐπίγνωσιν τῆς ἀληθείας, καὶ τὴν ὀρθὴν τῶν πραγμάτων διάκρισιν, τότε ὁ ζῆλος αὐτοῦ ἐγένετο διακριτικός, καὶ ἐπομένως ὠφελιμώτατος (4). Ὅθεν ἔτρεχεν « Ἀπὸ Ἱερου- » σαλὴμ καὶ κύκλῳ μέχρι τοῦ Ἰλλυρικοῦ » (5), κηρύττων τὸ Εὐαγγέλιον, διδάσκων τῆς πίστεως τὰ δόγματα, εὐαγγελιζόμενος τῶν ἀγαθῶν ἔργων τὰ νομοθετήματα, καταργῶν τὴν ἀπιστίαν, οἰκοδομῶν τὴν ἐκκλησίαν, ἐπιστρέφων τοὺς ἀπίστους, στηρίζων τοὺς πιστεύοντας (6). Ζῆλος ἦν καὶ ὁ πρῶτος, καθὼς αὐτὸς ἐμαρτύρησεν, εἰπών· « Ζη- » λωτὴς ὑπάρχων τῶν πατρικῶν μου παραδόσεων ». Ζῆλος καὶ ὁ δεύτερος, ὡς ὁ αὐτὸς ἐπιβεβαιοῖ, λέγων· « Ζηλῶ γὰρ ὑμᾶς » Θεοῦ ζήλῳ ». Ἀλλ' ὁ μὲν πρῶτος, ἐπειδὴ ἦν ζῆλος χωρὶς διακρίσεως, κατέκαιεν, ἤγουν ἔβλαπτε καὶ ἐξηφάνιζεν· ὁ δὲ δεύτερος, ἐπειδὴ ἦν πλήρης διακρίσεως, ἐθέρμαινε, τουτέστιν ὄφελος προεξένει καὶ σωτηρίαν αἰώνιον. Ἐκ τούτου βλέπομεν, ὅτι ἡ διάκρισις διευθύνει τὸν ζῆλον, μεταρρυθμίζουσα αὐτὸν ἀπὸ τῆς ὁρμῆς τῶν πονηρῶν ἔργων εἰς τὴν ἐργασίαν τῶν ἀγαθῶν πράξεων.

Χρείαν ὅμως ἔχει ὁ διακριτικὸς ζῆλος

(1) Ρωμ. 10, 2. (2) Πράξ. 22, 19, 20. (3) Αὐτ. 9, 1, 2. (4) Ρωμ. 15, 19. (5) Γαλ. 1, 14. (6) Β'. Κορ. 11, 2.

ἐπιμονῆς καὶ σταθερότητος, ἐπειδὴ χωρὶς αὐτῆς οὐ διαρκεῖ πολὺν καιρόν, ἀλλὰ μετ' ὀλίγον σβέννυται, καθὼς τὸ πῦρ, τὸ διὰ στυππίου ἀναπτόμενον, ἢ δι' ἀχύρου, ἢ δι' ἄλλης τινὸς ὕλης λεπτῆς καὶ εὐπρήστου. Ὁ ζηλωτὴς ἄνθρωπος ἀντιμάχεται κατὰ παντὸς εἴδους ἀνομίας, ἀγωνιζόμενος καὶ λόγῳ καὶ ἔργῳ καὶ παντὶ τρόπῳ, ἵνα ἐξαλείψῃ ῥιζόθεν τὴν κακίαν, ἀντ' αὐτῆς δὲ ἐμφυτεύσῃ εἰς τὰς καρδίας τῶν ἀνθρώπων τὴν ἀρετήν· «Ὁ κόσμος ὅλος ἐν τῷ πονηρῷ κεῖται»(1). Ἡ κακία πολλή, ἡ ἀρετὴ πολλὰ ὀλίγη. Ἔχει δὲ ἡ κακία προστάτας ἰσχυροὺς καὶ ἀναριθμήτους. Ἐκ τούτου ἄλλοι μὲν περιφρονοῦσι τὸν ζηλωτὴν ἄνθρωπον, ὅταν νουθετῇ καὶ διδάσκῃ, ὡς ἀδολέσχην καὶ φλύαρον· «Τί ἂν θέλοι ὁ σπερμολόγος οὗτος;» (2) ἔλεγον περὶ τοῦ Παύλου οἱ Ἐπικούρειοι καὶ οἱ στωϊκοὶ φιλόσοφοι, ὅταν ἐδίδασκεν εἰς τὰς Ἀθήνας. Ἄλλοι κατηγοροῦσιν αὐτὸν ὡς μωρὸν καὶ ἀσύνετον· «Μαίνῃ, Παῦλε, » τὰ πολλά σε γράμματα εἰς μανίαν περι» τρέπει » (3), ἐκραύγαζε μεγαλοφώνως ὁ Φῆστος κατὰ τοῦ Παύλου. Ἄλλοι συκοφαντοῦσι τοὺς ζηλωτάς, ὡς ταράσσοντας τὴν ἡσυχίαν τῶν πόλεων· «Οὗτοι οἱ ἄν»θρωποι ἐκταράσσουσιν ἡμῶν τὴν πόλιν»(4). ἔλεγον περὶ τοῦ Παύλου καὶ τοῦ Σίλα, οἱ κύριοι τῆς παιδίσκης, τῆς ἐχούσης τὸ πνεῦμα τοῦ Πύθωνος. Ἐκεῖνοι μὲν ἐλέγχουσιν αὐτοὺς ὡς φθορεῖς τῆς γνώμης καὶ τῶν ἠθῶν τοῦ λαοῦ· «Εἰ σὺ εἶ αὐτὸς ὁ διαστρέ» φων τὸν Ἰσραήλ;» (5) Οὕτως ἐξωνείδιζεν ὁ Ἀχαὰβ τὸν ζηλωτὴν Ἠλίαν· οὗτοι δὲ φοβερίζουσιν αὐτοὺς θάνατον· «Τάδε ποιή» σαί μοι ὁ Θεὸς καὶ τάδε προσθείη, ὅτι » ταύτην τὴν ὥραν αὔριον θήσομαι τὴν ψυ» χήν σου » (6). Τοιουτοτρόπως ἐφοβέριζε τὸν αὐτὸν προφήτην ἡ παμπόνηρος Ἰεζάβελ. Πόσους δὲ διωγμοὺς ἐγείρουσιν οἱ τύραννοι, καὶ πόσα παιδευτήρια ἑτοιμάζουσι κατὰ τῶν ζηλωτῶν ἀνθρώπων, μαρτυροῦσι τοῦ Ἰωσὴφ ἡ φυλακή, τοῦ Ἡσαΐου ὁ πρίων τοῦ Μιχαίου τὰ ῥαπίσματα, τοῦ Ἱερεμίου ὁ βόρβορος, τοῦ Δανιὴλ ὁ λάκκος, τῶν τριῶν παίδων ἡ κάμινος, τοῦ Παύλου τὰ δεσμά, τῶν Ἀποστόλων τὰ πολυάριθμα παθήματα· μαρτυροῦσι τῶν ὁμολογητῶν οἱ ἀγῶνες, τῶν μαρτύρων οἱ ἆθλοι, καὶ πάντων τῶν ζηλωτῶν ἀνθρώπων τὰ πειρατήρια. Ἐκ τούτου καθεὶς βλέπει, ὅτι τόσον ἀναγκαία ἐστὶν ἡ σταθερότης διὰ τὴν στερέωσιν τοῦ ζήλου, ὥστε, ἐὰν λείψῃ, μεταβάλλεται ὁ ζῆλος εἰς φόβον, καὶ ὁ ζηλωτὴς γίνεται δειλός, καὶ παντὸς ἀγαθοῦ ἔργου ἀργὸς καὶ ἄπρακτος.

Ὅστις δὲ ἔχει ζῆλον ὁδηγούμενον ὑπὸ τῆς διακρίσεως, καὶ στηριζόμενον ὑπὸ τῆς σταθερότητος, ἐκεῖνος ποιεῖ τὰ μεγάλα καὶ θαυμαστὰ ἔργα. Τοιοῦτον ζῆλον εἶχεν ὁ μεγαλώνυμος Ἠλίας. Ὁ ζῆλος αὐτοῦ ἦν ζῆλος κατ' ἐπίγνωσιν· διότι ἐζήλωσεν ὑπὲρ τῆς λατρείας τοῦ ἀληθινοῦ Θεοῦ· «Ζηλῶν » ἐζήλωκα, ἔλεγε, τῷ Κυρίῳ παντοκράτορι· » ὅτι ἐγκατέλιπόν σε οἱ υἱοὶ Ἰσραήλ· τὰ » θυσιαστήριά σου κατέσκαψαν, καὶ τοὺς » προφήτας σου ἀπέκτειναν ἐν ῥομφαίᾳ»(7). Κατ' ἐπίγνωσιν ὁ ζῆλος αὐτοῦ, ἐπειδὴ ὁ Θεὸς ὡδήγει αὐτὸν εἰς πάντα τὰ ἔργα, ὅσα ἐποίει· ἀλλὰ καὶ ἐπίμονος καὶ σταθερὸς ὁ ζῆλος αὐτοῦ· διότι οὐδὲ αἱ ἐπιβουλαὶ τῶν ψευδοπροφητῶν, οὐδὲ οἱ ἔλεγχοι τοῦ Ἀχαάβ, οὐδὲ οἱ φοβερισμοὶ τῆς Ἰεζάβελ, ἔσβεσαν τοῦ θείου ζήλου αὐτοῦ τὴν φλόγα.

(1) Α'. Ἰωάν. 5, 19. (2) Πράξ. 17, 18. (3) Αὐτ. 26, 24. (4) Αὐτ. 16. 20. (5) Γ'. Βασ. 18, 17.
(6) Αὐτ. 19, 2. (7) Αὐτ. 19, 16.



Κἂν δὲ ὡς ἄνθρωπος ἐφοβήθη τῆς Ἰεζάβελ τὰς θανατηφόρους ἐπιβουλάς, καὶ ἀνεχώρησεν (1), ὁ ζῆλος ὅμως τῆς ψυχῆς αὐτοῦ ἔμενεν ἀκλόνητος καὶ ἀκμαῖος διαπαντός. Ὅθεν μετ' ὀλίγον ἐπιστρέψας, ἤλεγξεν αὐστηρῶς τὸν Ἀχαὰβ διὰ τὴν ἁρπαγὴν τοῦ ἀμπελῶνος, καὶ διὰ τοῦ Ναβουθαὶ τὸ ἀθῶον αἷμα· «Τάδε λέγει Κύριος, εἶπε πρὸς » αὐτόν, ὡς σὺ ἐφόνευσας καὶ ἐκληρονόμη» σας, διὰ τοῦτο τάδε λέγει Κύριος, ἐν » παντὶ τόπῳ, ᾧ ἔλειξαν αἱ ὕες καὶ οἱ κύ» νες τὸ αἷμα Ναβουθαί, ἐκεῖ λείξουσιν οἱ κύ» νες τὸ αἷμά σου καὶ αἱ πόρναι λούσονται » ἐν τῷ αἵματί σου » (2). Πόσα δὲ θαυμαστὰ ἔργα, ἢ ὀρθότερον εἰπεῖν, θαυμάσια κατώρθωσεν ὁ ἅγιος ζῆλος τούτου τοῦ μεγάλου προφήτου; αὐτὸς ἵνα μὴ πλανηθῇ ὁ λαὸς τοῦ Θεοῦ, καὶ προσκυνήσῃ τῷ Βάαλ, ἐδεήθη τοῦ Θεοῦ, ἵνα μὴ βρέξῃ· καὶ ὁ οὐρανὸς ἐκλείσθη, καὶ ἡ βροχὴ οὐ κατέβη «Ἐπὶ τῆς γῆς ἐνιαυτοὺς τρεῖς καὶ μῆνας » ἕξ » (3). Αὐτὸς ἵνα ἀποδείξῃ πλάνους τοὺς ἱερεῖς τῆς αἰσχύνης (4), καὶ ἐπιστρέψῃ τοὺς λατρεύσαντας τῷ Βάαλ, κατήγαγε πῦρ ἀπὸ τοῦ οὐρανοῦ ἐπὶ τὴν θυσίαν αὐτοῦ· «Ἔπεσε πῦρ, λέγει τὸ ἱερὸν λόγιον, παρὰ » Κυρίου ἐκ τοῦ οὐρανοῦ, καὶ κατέφαγε τὰ » ὁλοκαυτώματα καὶ τὰς σχίδακας καὶ τὸ » ὕδωρ τὸ ἐν τῇ θαλάσσῃ, καὶ τοὺς λίθους » καὶ τὸν χοῦν ἐξέλειξε » (5). Τοῦτο δὲ τὸ θαῦμα ἰδὼν ὁ λαός, ἔπεσον πάντες ἐπὶ πρόσωπον αὐτῶν κραυγάζοντες· «Ἀληθῶς » Κύριος ὁ Θεός, αὐτὸς ὁ Θεός » (6). Ὅταν δὲ ὁ τοῦ Θεοῦ ἄνθρωπος εἶδε τὴν ἐπιστροφὴν καὶ τὴν πίστιν τοῦ λαοῦ, τότε διὰ τῆς προσευχῆς αὐτοῦ ἤνοιξε τὸν οὐρανόν· «Καὶ » πάλιν προσηύξατο, καὶ ὁ οὐρανὸς ὑετὸν » ἔδωκε, καὶ ἡ γῆ ἐβλάστησε τὸν καρπὸν » αὐτῆς » (7). Καὶ διὰ μὲν τούτων τῶν θαυμάτων ἐξωλόθρευσε τὴν προσκύνησιν τοῦ Βάαλ, ἀπέδειξε, τίς ἐστιν ὁ ἀληθινὸς Θεός, ἐστερέωσε τοὺς πιστοὺς εἰς τὴν πρὸς αὐτὸν πίστιν, ἐπέστρεψε τοὺς ἀπιστήσαντας ἀπὸ τῆς ἀπιστίας. Διὰ δὲ τοῦ προφητικοῦ αὐτοῦ ἐλέγχου εἰς τόσην μετάνοιαν ἔφερε τὸν Ἀχαάβ, διὰ τὸν ἄδικον φόνον καὶ τὴν ἁρπαγὴν τοῦ ἀμπελῶνος τοῦ Ναβουθαί, ὥστε «Κατενύγη ἀπὸ προσώπου » Κυρίου, ἐπορεύετο κλαίων, καὶ διέῤῥηξε » τὸν χιτῶνα αὐτοῦ, καὶ ἐζώσατο σάκκον » ἐπὶ τὸ σῶμα αὐτοῦ, καὶ ἐνήστευσε » (8).

Ὁ Πρόδρομος Ἰωάννης ἔλαβε καὶ τὸ πνεῦμα καὶ τὴν δύναμιν τοῦ ζήλου τοῦ προφήτου Ἠλιοῦ κατὰ τὴν προφητείαν Ζαχαρίου τοῦ πατρὸς αὐτοῦ (9)· ὅθεν βλέπομεν αὐτὸν προτρέποντα πάντας πρὸς μετάνοιαν, νουθετοῦντα τοὺς ὄχλους, διδάσκοντα τοὺς τελώνας, συμβουλεύοντα τοὺς στρατιώτας· οὐδὲ ἡ ἐξουσία τῶν ἀρχιερέων, οὐδὲ ὁ φθόνος τῶν Φαρισαίων, οὐδὲ ἡ κακία τῶν γραμματέων συστέλλουσιν αὐτὸν ἀπὸ τοῦ κηρύγματος τῆς ἀληθείας· ὁμολογεῖ παῤῥησίᾳ ἐνώπιον πάντων, ὅτι οὐκ ἔστιν αὐτὸς ὁ προσδοκώμενος Χριςός, δεικνύει δὲ αὐτοῖς, τίς ἐςιν ὁ Χριςός, λέγων· «Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ » ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου » (10). » Βαπτίζει παῤῥησίᾳ πάντας τοὺς πρὸς αὐτὸν προσερχομένους βάπτισμα μετανοίας καὶ προετοιμασίας τοῦ εἰς Χριστὸν βαπτίσματος, καὶ κηρύττει παῤῥησίᾳ· «Ἐγὼ » μὲν βαπτίζω ὑμᾶς ἐν ὕδατι εἰς μετά» νοιαν· ὁ δὲ ὀπίσω μου ἐρχόμενος, ἰσχυ» ρότερός μου ἐστίν, οὗ οὐκ εἰμὶ ἱκανὸς τὰ » ὑποδήματα βαστάσαι· αὐτὸς ὑμᾶς βα-

(1) Γ'. Βασ. 3. (2) Αὐτ. 21, 19. (3) Αὐτ. 17, 1, (4) Ἰάκ. 5, 17. (5) Γ'. Βασ. 18, 38. (6) Αὐτ. 39.
(7) Αὐτ. 45. Ἰάκ. 5, 18. (8) Γ'. Βασ. 21, 27. (9) Λουκ. 1, 17. (10) Ἰωάν. 1, 29.

» πτίσει ἐν Πνεύματι ἁγίῳ καὶ πυρί » (1)· πόσον δὲ ζῆλον ἔδειξεν οὗτος ὁ ἐκ κοιλίας μητρὸς ἡγιασμένος ἄνθρωπος, ὅταν εἶδε τὴν ἀνομίαν τοῦ Ἡρώδου; οὐδόλως ἐφοβήθη οὐδὲ τὴν βασιλικὴν αὐτοῦ ἐξουσίαν, οὐδὲ τὴν ὠμότητα τῆς ἀπανθρώπου αὐτοῦ γνώμης. ἀλλ' ἦλθε πρόθυμος, ἐστάθη ἐνώπιον αὐτοῦ θαρσαλέος, καὶ ἐνουθέτησεν αὐτὸν ἀνυποστόλως, κἂν προέβλεπε τὴν περιμένουσαν αὐτὸν φυλακήν, καὶ τὴν ἀποτομὴν τῆς ἰδίας αὐτοῦ κεφαλῆς· « Οὐκ ἔξεστί » σοι, εἶπεν, ὦ βασιλεῦ, ἔχειν τὴν γυναῖκα « τοῦ ἀδελφοῦ σου » (2). Μέγας καὶ τοῦ προφήτου Νάθαν ὁ ζῆλος, ὑπερέχει ὅμως αὐτὸν ὁ τοῦ Βαπτιςοῦ· διότι ὁ μὲν Νάθαν ἐνουθέτησε βασιλέα ἐπιεικῆ καὶ ἅγιον· ὁ δὲ Βαπτιςής, βασιλέα σκληρὸν καὶ κακότροπον.

Ἐνατένισον δὲ καὶ εἰς τὸν Παῦλον, ἵνα καταλάβῃς τοῦ θερμοῦ καὶ διακριτικοῦ καὶ σταθεροῦ ζήλου τὰ κατορθώματα. Οὐδὲν δύναται χωρίσαι αὐτὸν ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ (3), οὔτε θλίψις, οὔτε στενοχωρία, οὔτε διωγμός, οὔτε λιμός, οὔτε γυμνότης, οὔτε κίνδυνος, οὔτε μάχαιρα, οὔτε θάνατος, οὔτε ζωή, οὔτε ἄγγελοι, οὔτε ἀρχαί, οὔτε δυνάμεις, οὔτε ἐνεστῶτα, οὔτε μέλλοντα, οὔτε ὕψωμα, οὔτε βάθος, οὔτε τις κτίσις ἑτέρα· λαλεῖ ἐνώπιον βασιλέων καὶ ἡγεμόνων (4), ἀρχόντων τε καὶ πολυμαθῶν, καὶ κηρύττει Χριστὸν ἐςαυρωμένον (5)· νομίζει τὰ πάντα σκύβαλα, ἵνα Χριςὸν κερδήσῃ (6)· οὐδεμίαν φροντίδα ἔχει περὶ τῆς ἰδίας ζωῆς, οὐδὲ λογίζεται αὐτὴν ἀξίαν περισσοτέρας τιμῆς τοῦ εὐαγγελικοῦ κηρύγματος· οὐ μόνον στέργει, ἀλλὰ καὶ εὔχεται· «Ἀνάθεμα εἶναι ἀπὸ τοῦ Χριςοῦ» (7), ἤγουν χωρισθῆναι ἀπὸ τοῦ Χριςοῦ, ἵνα σωθῶσιν οἱ Ἰσραηλῖται. Ταῦτα δὲ τί ἄλλο εἰσίν, εἰμὴ φλογεροῦ ζήλου ἔργα καὶ νοήματα; Περιτέμνει τὸν Τιμόθεον οἰκονομικῶς, «Διὰ » τοὺς Ἰουδαίους δηλονότι τοὺς ὄντας ἐν τοῖς » τόποις ἐκείνοις» (8). Γίνεται, « Τοῖς Ἰου» δαίοις ὡς Ἰουδαῖος· τοῖς ὑπὸ νόμον ὡς » ὑπὸ νόμον· Τοῖς ἀνόμοις ὡς ἄνομος, τοῖς » ἀσθενέσιν ὡς ἀσθενής, τοῖς πᾶσι τὰ πάν» τα, ἵνα πάντως τινὰς σώσῃ » (9). Ταῦτα δὲ τί ἄλλο εἰσίν, εἰμὴ ἔργα βαθείας διακρίσεως θεῖα καὶ σωτήρια; ὑπομένει διωγμούς, φυλακάς, δεσμά, ῥαβδισμούς, λιθασμούς, παντὸς εἴδους παθήματα, καθ' ἑκάστην ἡμέραν ἐγγίζει εἰς τὰς πύλας τοῦ θανάτου, καὶ ἐν πᾶσι τούτοις διασώζει τὴν αὐτὴν τοῦ ζήλου θερμότητα ὑπὲρ τοῦ εὐαγγελικοῦ κηρύγματος, ἕως οὗ διὰ μαρτυρικοῦ θανάτου παρέδωκε τὴν ἁγιωτάτην αὐτοῦ ψυχὴν εἰς χεῖρας τοῦ πλάστου αὐτοῦ καὶ δεσπότου. Ταῦτα τί ἄλλο εἰσίν, εἰμὴ ἔργα τῆς ἀκλονήτου καὶ ἀκάμπτου σταθερότητος τῆς ἀδαμαντίνης αὐτοῦ ψυχῆς;

Ἐὰν δὲ ἁπλώσῃς τοῦ νοός σου τὴν θεωρίαν εἰς πᾶσαν τὴν οἰκουμένην, βλέπῃς ἐν αὐτῇ τὰ γενικώτερα τοῦ ζήλου κατορθώματα· ἐν αὐτῇ βλέπεις, ὅτι οὐδεὶς ἄλλος ἐστήριξε τὴν θεοσέβειαν εἰς τὸ γένος τοῦ Ἰσραήλ, εἰμὴ τῶν προφητῶν ὁ ζῆλος· οὐδεὶς ἄλλος ἐπέστρεψεν ἀπὸ τῆς πλάνης τῶν εἰδώλων τὰ ἔθνη, καὶ εἰσήγαγεν αὐτὰ εἰς τὴν ἀλήθειαν τῆς πίστεως, εἰμὴ τῶν Ἀποστόλων ὁ ζῆλος· οὐδεὶς ἄλλος ἐξήλεγξε τῶν αἱρετικῶν τὰς βλασφημίας, καὶ ἐκύρωσε τῆς ὀρθοδοξίας τὰ δόγματα, εἰμὴ τῶν θείων πατέρων ὁ ζῆλος.

Μεγάλη ἀρετὴ ὁ ζῆλος, καὶ μεγάλα τὰ τούτου κατορθώματα, πλὴν πολλὰ σπανίως

(1) Ματθ. 3, 11. (2) Μάρκ. 6, 18. (3) Ῥωμ. 8, 35, 38, 39. (4) Α'. Κορ. 1, 23. (5) Φιλιπ. 3, 8. (6) Πράξ. 20, 24. (7) Ῥωμ. 9, 3. (8) Πράξ. 16, 3. (9) Α'. Κορ. 9, 20, 22.



εὑρίσκεται καθαρὸς ἀπὸ τῆς ἀδιακρισίας· ἡ δὲ ἀδιακρισία φθείρει τὴν ἀρετὴν αὐτοῦ, πολλάκις δὲ μεταβάλλει αὐτὴν εἰς κακίαν· ἔχω ζῆλον θερμόν, ὡς τὸ πῦρ, διὰ τὰ σφάλματα τῶν ἄλλων, διὰ δὲ τὰ ἐμὰ ἁμαρτήματα, ψυχρὸν ὡς χιόνα· τὸ κάρφος, τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ μου, ἤγουν τὸ μικρὸν αὐτοῦ σφάλμα, φαίνεταί μοι δοκός, τουτέςιν ἁμάρτημα μέγα· ἡ δὲ δοκός, ἡ ἐν τῷ ὀφθαλμῷ μου, ἤγουν τὸ μέγα ἁμάρτημά μου φαίνεταί μοι οὐδέν. Τοῦτο δέ ἐςι ζῆλος ἀδιάκριτος. Ὅθεν νομίζω, ὅτι εἰμὶ ζηλωτής, ἐγὼ δέ εἰμι τέλειος ὑποκριτής. Ὅταν ἔχω ζῆλον διακριτικόν, πρῶτον μὲν διακρίνω τὰ σφάλματά μου καὶ καθαρίζω ἀπ' αὐτῶν τὴν ψυχήν μου, ἔπειτα ἐπιχειρῶ τὴν διόρθωσιν τῶν ἄλλων· «Ὑποκριτά, οὕτως ἐλέγχει » τὸν ἀδιάκριτον ζῆλόν μου ὁ Κύριος, ἔκ» βαλε πρῶτον τὴν δοκὸν ἐκ τοῦ ὀφθαλμοῦ » σου, καὶ τότε διαβλέψεις ἐκβαλεῖν τὸ » κάρφος ἐκ τοῦ ὀφθαλμοῦ τοῦ ἀδελφοῦ » σου » (1). Πόσοι ἔχουσι ζῆλον, ἀλλὰ μὴ διακρίνοντες τὰ ὄντως καλὰ ἀπὸ τῶν κακῶν ποιοῦσιν ἁμαρτήματα μεγάλα, νομίζοντες, ὅτι πράττουσιν ἀρετὰς μεγάλας; παράδειγμα τούτου, οἱ σχισματικοὶ καὶ ἐσχισμένοι. Αὐτοὶ ὑπὸ τοῦ ἀδιακρίτου αὐτῶν ζήλου σκοτιζόμενοι, βλέπουσι τὸν κώνωπα ὡς κάμηλον, καὶ πλάττοντες σφάλματα εἰς τὴν ἐκκλησίαν τοῦ Χριστοῦ, τὰ μὴ ὄντα σφάλματα, ἀλλὰ καλλωπίσματα, νομίζουσιν ἀρετὴν τὸν ἀπ' αὐτῆς χωρισμόν, ἤγουν τὸν τῆς ψυχῆς αὐτῶν ἀφανισμόν. Ὅθεν σχίζονται οἱ πανάθλιοι ἀπὸ τῆς ἐκκλησίας, καὶ μακρυνόμενοι ἀπ' αὐτῆς, συνιστῶσι φατρίας καὶ κόμματα φθοροποιὰ τῆς ψυχῆς αὐτῶν, καὶ πάσης θείας χάριτος ἐστερημένα. Πόσοι ἔχουσι ζῆλον, ἀλλὰ μὴ γνωρίζοντες, ὅτι εἰσὶ μέλη τῆς ἐκκλησίας· αὐθαδιάζουσι κατ' αὐτῶν τῶν προεστώτων, ἐλέγχοντες αὐτούς· καὶ νομίζουσιν, ὅτι ποιοῦσιν ἀρετήν, ἐργάζονται δὲ κακίαν, ἤγουν παρακοὴν καὶ ἀνυποταξίαν; Πόσοι ἔχουσι μὲν ζῆλον διὰ τὴν διόρθωσιν τῶν ἀδελφῶν, ἀλλ' οὐ μετέρχονται αὐτὸν μετὰ τῆς πρεπούσης διακρίσεως, νουθετοῦντες αὐτοὺς καὶ καταρτίζοντες κατὰ τὴν ἀποστολικὴν ἐντολήν· « Ἐν πνεύματι πρᾳότητος, σκο» ποῦντες μὴ καὶ αὐτοὶ πειρασθῶσιν » (2), ἀλλ' ἐλέγχουσιν αὐτοὺς ἀδιακρίτως, καὶ ἐξονειδίζουσι μετὰ αὐστηρότητος· ὅθεν ἀντὶ ὠφελείας προξενοῦσι βλάβην, καὶ ἀντὶ ἀρετῆς ποιοῦσιν ἁμαρτίαν;

Ὁ ζῆλος, ἀγαπητοί μου ἀδελφοί, ἐστὶν ἀρετὴ μεγάλη, πλὴν χρείαν ἔχει μεγάλης διακρίσεως. Φαίνεται δέ μοι, ὅτι τοῦτο σημαίνουσι ταῦτα τὰ λόγια τοῦ Κυρίου· «Πᾶς » γὰρ πυρὶ ἁλισθήσεται· καὶ πᾶσα θυσία » ἁλὶ ἁλισθήσεται » (3). Διότι τὸ μὲν πῦρ τύπος ἐστὶ τοῦ ζήλου, καθότι θερμός ἐστιν ὁ ζῆλος, καθὼς καὶ τὸ πῦρ· τὸ δὲ ἅλας τύπος ἐστὶ τῆς διακρίσεως· διότι καθὼς τὸ ἅλας οὐ μόνον διαφυλάττει τὰ ἁλιζόμενα ἀπὸ τῆς σήψεως, ἀλλὰ καὶ ποιεῖ νοστίμους τὰς τροφάς, οὕτω καὶ ἡ διάκρισις οὐ μόνον διαφυλάττει τὸν ζῆλον ἀπὸ τῆς ἁμαρτίας, ἀλλὰ καὶ ἅγια ποιεῖ πάντα τὰ τούτου ἔργα. Ἑνώσας οὖν ὁ Κύριος ταῦτα τὰ δύω ὀνόματα, ἤγουν τὸ πῦρ καὶ τὸ ἅλας, συνέστησε μεταφορικῶς πῦρ ἁλμυρόν, ἢ πῦρ ἁλίζον, ἵνα δείξῃ, ὅτι ἀνάγκη ἐστίν, ἵνα ὁ ζῆλος συνηνωμένος ὑπάρχῃ πάντοτε μετὰ τῆς διακρίσεως· διὰ τοῦτο δὲ εἶπε· « Πᾶς » γὰρ πυρὶ ἁλισθήσεται », ἤγουν πᾶς ἄν-

(1) Ματθ. 7, 5. (2) Γαλ. 6, 1. (3) Μάρκ. 9, 49.

θρωπος γενέσθω ζηλωτὴς μετὰ διακρίσεως· « Καὶ πᾶσα θυσία ἁλὶ ἁλισθήσεται», τουτέστι, καὶ πᾶσα ἀρετὴ ἐκ τοῦ ζήλου τῆς ψυχῆς προερχομένη, ἔσω ἠρτυμένη διὰ τῆς διακρίσεως· ταῦτα δὲ εἶπεν ἐπειδὴ ἡ ἀδιάκριτος ἀρετὴ οὐκ ἔστιν εὐπρόσδεκτος ἐνώπιον αὐτοῦ. Τοῦτο φανερόν ἐστιν ἐκ τῶν λόγων τοῦ Θεοῦ περὶ τῆς θυσίας τοῦ Κάϊν· ὀρθῶς προσέφερεν ὁ Κάϊν τὴν θυσίαν αὐτοῦ, ἐπειδὴ προσέφερεν αὐτὴν εἰς τὸν Θεόν· πλὴν οὐ διέκρινε καλῶς, ὅτι ἔπρεπεν, ἵνα προσφέρῃ εἰς αὐτὸν τὰ ἐκλεκτότερα τῶν πραγμάτων αὐτοῦ· διὸ εἶπε πρὸς αὐτὸν ὁ Θεός· « Οὐκ ἐὰν ὀρθῶς προσενέγκῃς, ὀρθῶς δὲ » μὴ διέλῃς, ἥμαρτες; » (1) Ἔπειτα ἔδειξεν ὅτι οὐκ ἐδέχθη τὸ δῶρον αὐτοῦ, εἰπών· ἐπιστρέφω σοι αὐτό, « Πρὸς σὲ ἡ ἀποστρο- » φὴ αὐτοῦ ». Ἔστω ὑπὸ τὴν ἐξουσίαν σου τὸ δῶρόν σου, « Καὶ σὺ ἄρξεις αὐτοῦ ».

Κύριε Ἰησοῦ Χριστὲ Υἱὲ τοῦ Θεοῦ τοῦ ζῶντος, σὺ ἦλθες εἰς τὴν γῆν, ἵνα βάλλῃς εἰς τὴν καρδίαν ἡμῶν πῦρ, καθὼς εἶπας· Πῦρ ἦλθον βαλεῖν εἰς τὴν γῆν (2). Σὲ οὖν ἐπικαλούμεθα, βάλλε εἰς τὴν καρδίαν ἡμῶν τοῦτο τὸ πῦρ τοῦ ζήλου τῆς πίστεως καὶ τῆς ἀρετῆς, πλὴν μὴ ἄναλον, ἤγουν ἀδιάκριτον, ἀλλ' ἅλατι ἠρτυμένον, ὡς εἶπας, τουτέστι διακριτικόν· ἵνα δι' αὐτοῦ θερμανθέντες, ἅμα δὲ καὶ ἁλισθέντες, προσφέρωμέν σοι πᾶσαν θυσίαν ἡμῶν οὐ μόνον ὀρθῶς ἀλλὰ καὶ διακριτικῶς. Τοιαύταις γὰρ θυσίαις εὐαρεστεῖται τὸ ἔλεός σου· ᾧ ἡ δόξα καὶ ἡ μεγαλωσύνη καὶ ἡ ἐλπὶς ἡμῶν, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΗΝ ΠΡΩΤΗΝ ΠΡΟΣ

## ΚΟΡΙΝΘΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗι ΙΒ'. ΚΥΡΙΑΚΗι.

Ἡ ἀνάστασις τῶν νεκρῶν ἐστι τὸ θεμέλιον πάντων τῶν ὑπὸ τῆς χριστιανικῆς πίστεως διδασκομένων· διότι, ἐὰν οἱ νεκροὶ οὐκ ἐγείρονται, οὐδὲ ὁ Χριστὸς ἀνέστη ἐκ νεκρῶν· ἐὰν δὲ ὁ Χριστὸς οὐκ ἀνέστη ἐκ τῶν νεκρῶν, ἀνωφελὴς καὶ ματαία ἐστὶν ἡ χριστιανικὴ πίστις· « Εἰ γάρ, λέγει ὁ Παῦλος, νεκροὶ » οὐκ ἐγείρονται, οὐδὲ Χριστὸς ἐγήγερται, » εἰ δὲ Χριστὸς οὐκ ἐγήγερται· ματαία ἡ » πίστις ἡμῶν » (3). Ὁ Ἐπίκουρος τῆς καταπτύστου ἡδονῆς τὸ ἀνδράποδον, λέγων, ὅτι ἡ ψυχὴ ἐστι σωματικὴ καὶ θνητή, ἠρνεῖτο διὰ τοῦτο τὴν ἐκ νεκρῶν ἀνάστασιν(4)· περιεφέρετο δὲ εἰς τὴν Κόρινθον τὸ ὀλέθριον καὶ ψυχοφθόρον αὐτοῦ σύστημα, ὡς φαίνεται ἐκ τούτων τῶν λόγων τῆς ἐπιστολῆς τοῦ Παύλου· « Πῶς λέγουσί τινες ἐν ὑμῖν, » ὅτι ἀνάστασις νεκρῶν οὐκ ἔστιν; » (5)

(1) Γεν. 4, 7. (2) Λουκ. 12, 49. (3) Α'. Κορ. 15, 16, 17. (4) Ὅρα Λαέρτ. (5) Α'. Κορ. 15, 12.



Ἐπειδὴ δὲ τοῦτο τὸ φρόνημα καταργεῖ πᾶσαν τὴν εἰς Χριστὸν πίστιν, ἀναλαμβάνει κατὰ τούτου τὸν ἔνθερμον αὐτοῦ ζῆλον ὁ τρισμακάριος Παῦλος· διὰ δὲ τῆς θεοσδότου αὐτοῦ σοφίας καὶ χάριτος γράφει περὶ τούτου πρὸς τοὺς Κορινθίους, ἵνα καὶ τοὺς μὴ πλανηθέντας στηρίξῃ, καὶ τοὺς εἰς τὴν θανατηφόρον ταύτην πλάνην πεσόντας ἀνορθώσῃ τε καὶ ἐπιστρέψῃ. Καὶ πρῶτον μὲν διὰ τῆς τῶν πολλῶν μαρτυρίας ἀποδεικνύει, ὅτι ὁ Ἰησοῦς Χριστὸς ἀνέστη ἐκ νεκρῶν. Δεύτερον, διὰ πολλῶν καὶ διαφόρων λόγων πείθει, ὅτι καὶ οἱ νεκροὶ ἀνίστανται. Τὸ πρῶτον τούτων τῶν δύο περιέχουσι τὰ σήμερον ἀναγνωσθέντα λόγια τῆς ἐπιστολῆς αὐτοῦ· διευθύνει δὲ αὐτὰ πρὸς τοὺς ὑπ' αὐτοῦ κατηχηθέντας, λέγων·

*Ἀδελφοί, γνωρίζω ὑμῖν τὸ Εὐαγγέλιον, ὃ εὐηγγελισάμην ὑμῖν, ὃ καὶ παρελάβετε, ἐν ᾧ καὶ ἑστήκατε. Δι' οὗ καὶ σώζεσθε, τίνι λόγῳ εὐηγγελισάμην ὑμῖν, εἰ κατέχετε· ἐκτὸς εἰ μὴ εἰκῇ ἐπιστεύσατε* (1).

Ὅτι μὲν ὁ θεσπέσιος Παῦλος, ὅταν ἦλθεν εἰς τὴν Κόρινθον, ἐδίδαξε τοὺς Κορινθίους κατὰ βάθος καὶ πλάτος τὰ περὶ τοῦ Ἰησοῦ Χριστοῦ, καὶ τὰ περὶ τῆς ἀναστάσεως τῶν νεκρῶν, οὐδεμία ἐστὶν ἀμφιβολία· ἐπειδὴ δὲ καὶ ἔγραφε πρὸς αὐτοὺς περὶ τῆς τῶν νεκρῶν ἀναστάσεως, ἄρχεται τὸν περὶ αὐτῆς λόγον ἀπ' αὐτῆς τῆς κατηχήσεως, δι' ἧς ἐδίδαξεν αὐτοὺς τὴν εἰς Χριστὸν πίστιν. Γνωρίζω ὑμῖν, λέγει, ἤγουν ἀναμιμνήσκω εἰς ὑμᾶς, ὦ ἀδελφοί, τὴν εὐαγγελικὴν διδασκαλίαν, ἣν ἐγὼ μὲν ὑμᾶς ἐδίδαξα, ὑμεῖς δὲ αὐτὴν παρελάβετε, καὶ ἐν αὐτῇ διαμένετε στερεοὶ καὶ ἀκλόνητοι, δι' αὐτῆς δὲ καὶ σώζεσθε, τουτέστι σωθῆναι δύνασθε. « Γνωρίζω ὑμῖν », εἴτουν ἀνακαλῶ εἰς τὴν μνήμην ὑμῶν « Τίνι λόγῳ εὐηγγε- » λισάμην ὑμῖν », ποίῳ δηλαδὴ θεμελίῳ καὶ βάσει ἐδίδαξα ὑμᾶς τὸ τοῦ Χριστοῦ Εὐαγγέλιον· ἔπειτα ἐπιφέρει, λέγων· « Εἰ « κατέχετε », ὅπερ ἐστίν, ἐὰν κρατῆτε τοῦτο τὸ θεμέλιον, τὴν ἀνάστασιν δηλονότι τῶν νεκρῶν· κρατῆτε δὲ τοῦτο ἀναμφιβόλως, « Ἐκτὸς εἰ μὴ εἰκῇ ἐπιστεύσατε ». Διότι ἐκτὸς τούτου τοῦ δόγματος, ματαίως καὶ ἀνωφελῶς ἐπιστεύσατε, ἐκτὸς τούτου ἀνωφελὴς καὶ ματαία ἐστὶν ἡ πίστις ὑμῶν. Τοιουτοτρόπως δὲ προοιμιάσας, ὅσα τότε κατήχησεν αὐτούς, ἀναμιμνήσκει πρὸς αὐτούς, λέγων·

*Παρέδωκα γὰρ ὑμῖν ἐν πρώτοις ὃ καὶ παρέλαβον, ὅτι Χριστὸς ἀπέθανεν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν κατὰ τὰς Γραφάς. Καὶ ὅτι ἐτάφη, καὶ ὅτι ἐγήγερται τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς Γραφάς* (2).

Παρὰ τίνος παρέλαβεν ὁ Παῦλος ὅσα περὶ τοῦ Ἰησοῦ Χριστοῦ παρέδωκε; Μήπως παρὰ τοῦ Ἀποστόλου Ἀνανίου, τοῦ βαπτίσαντος αὐτόν; ἢ παρὰ ἄλλων Χριστοῦ μαθητῶν, εὑρεθέντων ἐν τῇ Δαμασκῷ τότε, ὅταν αὐτὸς ἐκεῖ ἐβαπτίσθη; ἢ παρὰ τοῦ Πέτρου, ὅταν ἀνῆλθεν εἰς Ἱεροσόλυμα, ἵνα ἱστορήσῃ αὐτόν, καὶ ἐπέμεινε « Πρὸς αὐτὸν » ἡμέρας δεκαπέντε » (3), ὅπου καὶ τὸν Ἰάκωβον εἶδε, τὸν ἀδελφὸν τοῦ Κυρίου; οὐχί· διότι αὐτὸς ὁ Παῦλος ἐβεβαίωσεν, ὅτι

(1) Α'. Κορ. 15, 1, 2. (2) Αὐτ. 15, 3, 4. (3) Γαλ. 1, 18, 19.

οὐ παρέλαβε παρὰ ἀνθρώπου τὸ Εὐαγγέλιον, ἀλλὰ παρ' αὐτοῦ τοῦ Ἰησοῦ Χριστοῦ δι' ἀποκαλύψεως. « Γνωρίζω δὲ ὑμῖν, εἶπεν, » ἀδελφοί, τὸ Εὐαγγέλιον τὸ εὐαγγελισθὲν » ὑπ' ἐμοῦ, ὅτι οὐκ ἔστι κατὰ ἄνθρωπον· » οὐδὲ γὰρ ἐγὼ παρὰ ἀνθρώπου παρέλαβον, » οὔτε ἐδιδάχθην, ἀλλὰ δι' ἀποκαλύψεως » Ἰησοῦ Χριστοῦ » (1). Ἐπειδὴ δὲ διὰ τῆς ἀναστάσεως τοῦ Ἰησοῦ Χριστοῦ ἀποδεικνύει τὴν τῶν νεκρῶν ἀνάστασιν, ἵνα μηδεὶς ἀμφιβάλλῃ περὶ τῆς τοῦ Χριστοῦ ἀναστάσεως, προβάλλει τὰς ὑπὲρ αὐτῆς ἀποδείξεις. Πρώτη δὲ ἀπόδειξίς ἐστιν ἡ βεβαίωσις περὶ τοῦ, ὅτι ἀληθῶς ἀπέθανε καὶ ἐτάφη. Διὰ τοῦτο οὖν λέγει, ὅτι ἐν πρώτοις παρέδωκεν εἰς αὐτοὺς τό, ὅτι ὁ Χριστὸς ἀπέθανε καὶ ἐτάφη, ἔπειτα καὶ τό, ὅτι τῇ τρίτῃ ἡμέρᾳ ἀνέστη. Προβάλλει δὲ περὶ τούτου ἀποδείξεις δύο, τὴν παράδοσιν, λέγων· « Ὃ καὶ παρέλαβον »· καὶ τὰς Θείας Γραφάς, προστιθεὶς τό, « Κατὰ τὰς » Γραφὰς ». Γραφὰς δὲ λέγει τοὺς ἁγίους προφήτας, τοὺς προφητεύσαντας περὶ τοῦ θανάτου καὶ τῆς ταφῆς καὶ τῆς ἀναστάσεως τοῦ Ἰησοῦ Χριστοῦ. Καὶ περὶ μὲν τοῦ θανάτου αὐτοῦ προεφήτευσεν ὁ μεγαλοφωνότατος Ἡσαΐας, εἰπών· « Ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ, ἀπὸ τῶν » ἀνομιῶν τοῦ λαοῦ μου ἤχθη εἰς θάνατον » (2). Περὶ δὲ τῆς ταφῆς αὐτοῦ ὁ αὐτὸς Ἡσαΐας προεῖπεν· « Ἔσται ἐν εἰρήνῃ ἡ ταφὴ » αὐτοῦ, ἦρται ἐκ τοῦ μέσου » (3). Τὴν δὲ ἀνάστασιν αὐτοῦ ὁ μὲν προφητάναξ Δαβὶδ προκατήγγειλεν, αὐτὸν τὸν Χριστὸν παραστήσας λέγοντα· « Οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδην, οὐδὲ δώσεις τὸν ὅσιόν » σου ἰδεῖν διαφθοράν » (4)· ὁ δὲ προφήτης Ἰωνᾶς προετύπωσε διὰ τῆς ἐν τῇ κοιλίᾳ τοῦ κήτους τριημέρου αὐτοῦ ταφῆς· « Ὥς » περ γὰρ ἦν Ἰωνᾶς ἐν τῇ κοιλίᾳ τοῦ κή» τους τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας· οὕ» τως ἔσται ὁ Υἱὸς τοῦ ἀνθρώπου, προεῖ» πεν ὁ Κύριος, ἐν τῇ καρδίᾳ τῆς γῆς τρεῖς » ἡμέρας καὶ τρεῖς νύκτας » (5). Μετὰ δὲ ταύτας τὰς δύο ἀποδείξεις, ἐπάγει καὶ τρίτην, τοὺς μάρτυρας δηλονότι, τοὺς ἰδόντας αὐτὸν μετὰ τὴν ἐκ νεκρῶν αὐτοῦ ἀνάστασιν.

*Καὶ ὅτι ὤφθη Κηφᾷ, εἶτα τοῖς δώδεκα. Ἔπειτα ὤφθη ἐπάνω πεντακοσίοις ἀδελφοῖς ἐφ' ἅπαξ, ἐξ ὧν πλείους μένουσιν ἕως ἄρτι, τινὲς δὲ καὶ ἐκοιμήθησαν. Ἔπειτα ὤφθη Ἰακώβῳ· εἶτα τοῖς Ἀποστόλοις πᾶσι* (6).

Διὰ τί προβάλει πρῶτον τὸν Κηφᾶν; ἤγουν τὸν Πέτρον μάρτυρα τῆς Χριστοῦ ἀναστάσεως; διότι αὐτὸς ἦν πρῶτος τῶν Ἀποστόλων· εἰς αὐτὸν δὲ πρῶτον ἐκ πάντων τῶν ἄλλων μαθητῶν ἐφάνη ὁ Ἰησοῦς Χριστός (7), ὅτε ἀνέστη ἐκ νεκρῶν, ὡς φαίνεται ἐκ τῶν λόγων, ὧν ἔλεγον μεταξὺ ἀλλήλων οἱ ἐν Ἱερουσαλὴμ συναθροισθέντες ἕνδεκα Ἀπόστολοι καὶ οἱ μετ' αὐτῶν, ὅτε ὁ Κλεόπας καὶ ὁ σὺν αὐτῷ μαθητής, ἐπιστρέψαντες ἀπὸ Ἐμμαούς, ἦλθον πρὸς αὐτούς· « Καὶ εὗρον, λέγει ὁ εὐαγγελιστὴς » Λουκᾶς, τοὺς ἕνδεκα καὶ τοὺς σὺν αὐ» τοῖς, λέγοντας, ὅτι ἠγέρθη ὁ Κύριος ὄν» τως, καὶ ὤφθη Σίμωνι » (8). Ἐπειδὴ δὲ ἕνδεκα ἦσαν οἱ Ἀπόστολοι μετὰ τὴν ἀνάστασιν τοῦ Ἰησοῦ Χριστοῦ, καθότι ὁ Ἰούδας καὶ τῆς ἀποστολικῆς χάριτος ἐξέπεσε μετὰ τὴν προδοσίαν, καὶ « Ἀπελθὼν ἀ-

(1) Γαλ. 11, 12. (2) Ἡσ. 53, 8. (3) Αὐτ. 57, 2. (4) Ψαλμ. 15, 10. (5) Ματθ. 12, 40.
(6) Α'. Κορ. 15, 5, 6, 7. (7) Ματθ. 10, 2. (8) Λουκ. 24, 33, 34.



» πήγξατο » (1), διὰ τί εἶπεν ὁ Παῦλος, τοῖς δώδεκα; Διότι δώδεκα ἐποίησεν ὁ Κύριος ἐξ ἀρχῆς, « Ἵνα ὦσι μετ' αὐτοῦ, καὶ ἵνα » ἀποστέλλῃ αὐτοὺς κηρύσσειν » (2). Τὸν ἀριθμὸν δὲ τῶν δώδεκα, τὸν ὑπὸ τοῦ Κυρίου ὁρισθέντα, κἂν ἕνδεκα ἦσαν τότε οἱ Ἀπόστολοι, ἀνέφερεν ὁ Παῦλος, καθὼς καὶ ὁ Εὐαγγελιστὴς Ἰωάννης, εἰπών· « Θωμᾶς » δὲ εἷς ἐκ τῶν δώδεκα » (3). Μή τι δὲ ὁ Κύριος ἐφάνη καὶ εἰς τὸν Ματθίαν κατ' ἰδίαν, καθὼς καὶ εἰς τὸν Παῦλον καὶ εἰς τὸν Ἰάκωβον; ἢ μή τι ὁ Ματθίας εἷς ἦν τῶν πεντακοσίων ἀδελφῶν, οἷς ὤφθη ὁ Κύριος; τίνες δὲ ἦσαν οὗτοι οἱ πεντακόσιοι ἀδελφοί, καὶ ποῦ ὤφθη ἐπάνω αὐτῶν ὁ Χριστός, καὶ πῶς ἐφάνη, ἀνὰ μέρος εἰς τὸν καθ' ἕνα, ἢ ὁμοῦ τοῖς πᾶσιν; οὐδὲν περὶ τούτου ἐφανέρωσαν οὐδὲ τὰ Εὐαγγέλια, οὐδὲ τῶν Ἀποστόλων αἱ πράξεις, μόνος δὲ ὁ θεόπνευστος Παῦλος εἶπεν, ὅτι ὤφθη ἐπάνω πεντακοσίοις ἀδελφοῖς, καθὼς εἶπε καὶ τό, « Ὤφθη » Ἰακώβῳ, εἶτα τοῖς Ἀποστόλοις πᾶσιν » (4), Ἀποστόλους ὀνομάσας οὐχὶ τοὺς δώδεκα, οὓς ἀνωτέρω ἀνέφερεν, ἀλλὰ τοὺς ἑβδομήκοντα μαθητάς. Ἐκ τούτων δέ, λέγει, τῶν πεντακοσίων ἀδελφῶν οἱ περισσότεροι ζῶσιν ἄχρι τῆς σήμερον, « Τινὲς δὲ καὶ ἐκοιμήθησαν ». Σὺ δὲ σημείωσον τό, ἐκοιμήθησαν, περὶ τῶν ἁγίων λεγόμενον, ἀντὶ τοῦ, ἀπέθανον. Τοῦτο δὲ εἶπεν, ἵνα ἔτι μᾶλλον πληροφορήσῃ· διότι, ἐάν τις ἐδίσταζε περὶ τῶν ὑπ' αὐτοῦ λεγομένων, ἠδύνατο ἐρωτῆσαι αὐτοὺς τοὺς ἔτι ζῶντας καὶ ἰδόντας τὸν Κύριον μετὰ τὴν ἐκ νεκρῶν αὐτοῦ ἀνάστασιν·

*Ἔσχατον δὲ πάντων, ὡσπερεὶ τῷ ἐκτρώματι ὤφθη κἀμοί. Ἐγὼ γάρ εἰμι ὁ ἐλάχιστος τῶν Ἀποστόλων, ὃς οὐκ εἰμὶ ἱκανὸς καλεῖσθαι Ἀπόστολος, διότι ἐδίωξα τὴν ἐκκλησίαν τοῦ Θεοῦ. Χάριτι δὲ Θεοῦ εἰμι ὅ εἰμι· καὶ ἡ χάρις αὐτοῦ ἡ εἰς ἐμὲ οὐ κενὴ ἐγενήθη, ἀλλὰ περισσότερον πάντων ἐκοπίασα· οὐκ ἐγὼ δέ, ἀλλ' ἡ χάρις τοῦ Θεοῦ, ἡ σὺν ἐμοί. Εἴτε οὖν ἐγώ, εἴτε ἐκεῖνοι, οὕτω κηρύσσομεν, καὶ οὕτως ἐπιστεύσατε* (5).

Βλέπε κλίμακα θαυμασίαν, δι' ἧς ὁ Παῦλος πανσόφως ἅμα καὶ ἐπωφελῶς καταβαίνει καὶ ἀναβαίνει. Καὶ ὅταν μὲν καταβαίνῃ, φθάνει ταπεινούμενος ἕως αὐτῆς τῆς ἐσχάτης τῶν ἁμαρτωλῶν καταστάσεως· ὅταν δὲ ἀναβαίνῃ, συστέλλει ἐπιτηδείως καὶ σμικρύνει ταπεινοφρόνως τῆς ἰδίας ἀναβάσεως τὸ ὕψος· Ἄκουσον δὲ τὰ τῆς βαθυτάτης αὐτοῦ ταπεινώσεως ῥήματα· « Ἔ» σχατον δὲ πάντων, λέγει, ὡσπερεὶ τῷ » ἐκτρώματι ὤφθη κἀμοί ». Ἔκτρωμά ἐστι τὸ ἀτελὲς ἔμβρυον, τὸ πρὸ τοῦ καιροῦ τῆς γεννήσεως αὐτοῦ ἀποβαλλόμενον, ἑπομένως ἐστὶ πρᾶγμα εὐτελὲς καὶ οὐτιδανὸν καὶ ἄχρηστον. Τῷ ἐκτρώματι οὖν παραβάλλει ἑαυτόν, λέγων· ὕστερον πάντων τῶν ἄλλων Ἀποστόλων ἐφάνη καὶ εἰς ἐμὲ ὁ Κύριος, ὡσπερεὶ τῷ ἐκτρώματι, ὡς εἰς πρᾶγμα εὐτελέστατον καὶ οὐτιδανώτατον. Ἐπιφέρει δὲ καὶ τὸν λόγον τῆς αὐτοῦ εὐτελείας καὶ οὐτιδανότητος· διότι ἐγώ εἰμι, λέγει ὁ ὕστερος τῶν Ἀποστόλων, καὶ οὐκ εἰμὶ ἄξιος τοῦ ἀποστολικοῦ ὀνόματος, « Ὃς οὐκ εἰμὶ ἱκα» νὸς καλεῖσθαι Ἀπόστολος, καθότι ἐδίωξα

(1) Ματθ. 27, 5. (2) Μάρκ. 3, 14. (3) Ἰωάν. 20, 24. Χρυσ. αὐτ. (4) Ἀμβρ. αὐτ.
(5) Α'. Κορ. 15, 8, 9. 10, 11.

» τὴν ἐκκλησίαν τοῦ Θεοῦ ». Ἀληθῶς δὲ διώκτης τῆς ἐκκλησίας, καὶ Ἀπόστολός εἶσι δύο ὀνόματα ἀντικείμενα· διὸ τοὺς πρὸ τῆς ἐπιστροφῆς αὐτοῦ διωγμούς, ὅσους ἐποίησε κατὰ τῆς ἐκκλησίας, προβάλλει, ἵνα δείξας ἑαυτὸν καὶ αὐτῆς τῆς ἀποστολικῆς ὀνομασίας ἀνάξιον, ταπεινώσῃ ἑαυτὸν ἕως τοῦ ἐσχάτου βαθμοῦ τῆς ταπεινοφροσύνης. Ἄκουσον δὲ καὶ τὰ λόγια τῆς ὑψώσεως αὐτοῦ, καὶ σημείωσαι, πόσον συστέλλει καὶ περικρύπτει αὐτήν, ἵνα πληροφορηθῇς, ὅτι οὐδὲ περιαυτολογεῖ, οὐδὲ μεγαλοῤῥημονεῖ, καὶ καταλάβῃς, ὅτι καὶ αὐτὴ ἡ φαινομένη ὕψωσίς ἐστι βαθυτάτη ταπείνωσις· « Χάριτι δὲ Θεοῦ, λέγει, εἰμὶ ὅ εἰμι ». Ἀκούεις; εἰς τὴν χάριν τοῦ Θεοῦ, καὶ οὐχὶ εἰς τὴν ἑαυτοῦ προθυμίαν ἀπονέμει πάσας τὰς ἀρετὰς αὐτοῦ· οὐ λέγει δὲ τό, τί ἐστιν, οὐ λέγει δηλονότι, χάριτι Θεοῦ εἰμι Ἀπόστολος, εἰμὶ τῶν ἐθνῶν διδάσκαλος, εἰμὶ κῆρυξ τοῦ Εὐαγγελίου, ἀλλὰ λέγει μόνον, εἰμὶ ὅ εἰμι. Οὐδὲ λέγει ὀνομαστὶ τὰ θαυμάσια ἔργα, ὅσα ἡ χάρις τοῦ Θεοῦ ἐποίησε δι' αὐτοῦ, ἀλλὰ λέγει μόνον, ὅτι ἡ δοθεῖσα αὐτῷ χάρις οὐκ ἐγένετο ἄκαρπος καὶ ἀτελεσφόρητος· « Καὶ ἡ χάρις αὐτοῦ ἡ εἰς ἐμέ, οὐ » κενὴ ἐγενήθη ». Οὐδὲ παῤῥησιάζει τοὺς κόπους αὐτοῦ εἰδικῶς, ἀλλὰ μεγαλύνει μὲν αὐτοὺς γενικῶς, λέγων· « Περισσότερον » αὐτῶν πάντων ἐκοπίασα », ἤγουν περισσότερον καὶ τοῦ Πέτρου καὶ τῶν δώδεκα Ἀποστόλων καὶ τῶν πεντακοσίων ἀδελφῶν, καὶ τοῦ Ἰακώβου, καὶ πάντων τῶν μαθητῶν, οὓς ἀνωτέρω ἀνέφερεν· ἔπειτα εὐθὺς χαλᾷ τὴν δύναμιν τῆς ὑψώσεως αὐτοῦ, πρῶτον μὲν ὁμολογήσας, ὅτι οὐκ αὐτὸς ἐκοπίασεν, ἀλλ' ἡ χάρις τοῦ Θεοῦ, ἡ σὺν αὐτῷ ὑπάρχουσα· « Οὐκ ἐγὼ δέ, λέγει, ἀλλ' ἡ χάρις τοῦ Θεοῦ ἡ σὺν ἐμοί ». Δεύτερον δέ, ἀμφίβολον παραστήσας καὶ οὐχὶ βέβαιον, τό, ὅτι αὐτὸς περισσότερον πάντων τῶν ἄλλων ἐκοπίασε· διότι ὡς ἀμφιβάλλων εἶπεν· « Εἴτε οὖν ἐγώ, εἴτε ἐκεῖνοι », ὥσπερ ἂν εἰ ἔλεγεν, οὐκ οἶδά τις, ἐγώ, ἢ ἐκεῖνοι περισσότερον ἐκοπίασαν. Ἀλλὰ διὰ τί ὁ Παῦλος ἀνεβίβασεν ἑαυτὸν εἰς τόσον ὕψος; Διότι ἀνάγκην εἶχε συστάσεως, ἐπειδὴ ἐμαρτύρει, ὅτι ὁ Χριστὸς ἐφάνη εἰς αὐτὸν μετὰ τὴν ἐκ νεκρῶν αὐτοῦ ἀνάστασιν· τόσον δὲ περισσότερον κῦρος ἔχει ἡ μαρτυρία, ὅσον ἀξιοπιστότεροί εἰσιν οἱ μαρτυροῦντες· τόσον δὲ ἀξιοπιστότεροι οἱ μαρτυροῦντες, ὅσον περισσότερον γνωστά εἰσι τὰ τῆς ἀρετῆς αὐτῶν κατορθώματα, κἂν δὲ ἠναγκάσθη καὶ ὑψῶσαι καὶ ἐπαινέσαι ἑαυτόν, ἵνα ἡ μαρτυρία αὐτοῦ ἔχῃ πᾶσαν τὴν ἰσχὺν καὶ δύναμιν, ἐποίησεν ὅμως τοῦτο διὰ τοῦ θαυμασίου τῆς ταπεινώσεως τρόπου, ὃν ἠκούσατε. Τοιουτοτρόπως δὲ συστήσας τὴν μαρτυρίαν αὐτοῦ, ἐπιφέρει τοῦ σκοποῦ αὐτοῦ τὸ συμπέρασμα, λέγων· « Εἴ» τε οὖν ἐγώ, εἴτε ἐκεῖνοι περισσότερον ἐ» κοπίασαν, ὅμως πάντες οὕτω κηρύσσο» μεν ». Ἤγουν οὕτω συμφώνως διδάσκομεν τὴν ἐκ νεκρῶν ἀνάστασιν τοῦ Ἰησοῦ Χριστοῦ. « Καὶ οὕτως ἐπιστεύσατε ». Καὶ ὑμεῖς δὲ οὕτως ἐπιστεύσατε, ὡς ἡμεῖς ἐκηρύξαμεν, τουτέστιν, ὅτι ὁ Χριστὸς ἀνέστη ἐκ νεκρῶν.



# ΟΜΙΛΙΑ

ΜΕΤΑ ΤΗΝ ΠΡΩΤΗΝ ΠΡΟΣ

## ΚΟΡΙΝΘΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗι ΙΒ'. ΚΥΡΙΑΚΗι.

ΔΙΑ τεσσάρων ἀποδείξεων ἀπέδειξεν ὁ πάνσοφος Παῦλος, ὅτι ὁ Ἰησοῦς Χριστὸς ἀνέστη ἐκ νεκρῶν· διὰ τῆς παραδόσεως, ἣν αὐτὸς παρέλαβε παρ' αὐτοῦ τοῦ Ἰησοῦ Χριστοῦ, διὰ τῶν προφητικῶν λόγων τῶν Θείων Γραφῶν, διὰ τῆς μαρτυρίας τῶν μαρτυρησάντων, ὅτι εἶδον τὸν Χριστὸν μετὰ τὴν ἐκ νεκρῶν αὐτοῦ ἀνάστασιν, καὶ διὰ τῆς πίστεως τῶν Κορινθίων, οἵτινες ἐπίστευσαν, ὅτι ὁ Χριστὸς ἀνέστη ἐκ νεκρῶν. Διὰ τούτων δὲ ἀποδείξας τὴν τοῦ Χριστοῦ ἀνάστασιν, δι' αὐτῆς ἔπειτα καὶ δι' ἄλλων πολλῶν ἐπιχειρημάτων ἀπέδειξεν, ὅτι κοινῶς πάντες οἱ ἄνθρωποι ἐκ νεκρῶν ἀνίστανται· τοῦτο δὲ ἦν τότε ὁ κύριος αὐτοῦ σκοπός, ἐπειδή τινες τῶν Κορινθίων, φθαρέντες ὑπὸ τῆς διδασκαλίας τῶν Ἐπικουρείων, ἔλεγον· « Ὅτι ἀνάστασις νεκρῶν » οὐκ ἔστιν » (1). Ὀλέθριος ἀληθῶς ἡ τότε φθορά, ὀλεθριωτέρα ὅμως ἡ ἐν ταῖς καθ' ἡμᾶς ἡμέραις, ἐπειδὴ ἡ τότε ἴσως περιεκλείετο εἰς μόνην τὴν Κόρινθον, ἡ δὲ σημερινὴ περιέρχεται εἰς πᾶσαν τὴν οἰκουμένην.

Ἐφάνησαν ἐν ταῖς καθ' ἡμᾶς ἡμέραις ὑπὲρ ἄλλοτέ ποτε ἄνδρες « Λαλοῦντες, » κατὰ τὴν προφητείαν τοῦ Παύλου, διεστραμμένα » (2), τὴν τῶν νεκρῶν ἀνάστασιν ἀρνούμενοι, καὶ πάντα τὰ πιστευόμενα χλευάζοντες. Ἄνθρωποι δέ εἰσιν οὗτοι παμπόνηροι, οἵτινες γνωρίζοντες, ὅτι τὸ μὲν οἰκοδομῆσαί ἐστι δύσκολον, τὸ δὲ κρημνίσαι τὰ οἰκοδομηθέντα, εὔκολον, καὶ βλέποντες, ὅτι πᾶν ἄλλο σύστημα, πλὴν τοῦ χριστιανικοῦ, ἐστὶν αὐτοκατάργητον καὶ καταγέλαστον, οὐδὲ ἀλλότριον ἔχουσι σύστημα, οὐδὲ ἴδιον κατασκευάζουσιν, ἀλλ' ἀκαταστατοῦντες, ἄλλοτε μὲν τοῦτο, ἄλλοτε δὲ ἐκεῖνο ἐπαγγέλλονται, « Μὴ νο» οῦντες μήτε ἃ λέγουσι, μήτε περὶ τίνων » διαβεβαιοῦνται » (3). Ἄλλοτε μὲν ὁμολογοῦσι Θεὸν ποιητὴν τοῦ παντός, πλὴν λέγουσιν, ὅτι οὐδὲ τοὺς κακοὺς παιδεύει, οὐδὲ τοὺς ἀγαθοὺς εὐεργετεῖ, οὐδὲ προνοεῖ ὅλως ὑπὲρ τῶν κτισμάτων, ὧν ἔπλασεν. ὅθεν φανερόν ἐστιν, ὅτι οὗτος ὁ Θεός, ὁ ὑπὸ τῆς φαντασίας αὐτῶν πλαττόμενος, ἢ οὐ δύναται προνοεῖν, καὶ ἐπομένως ἐστὶν ἀσθενής, ἢ οὐ θέλει, καὶ ἐπομένως ἐστὶν ἢ φθονερὸς καὶ ἐπίβουλος, ἢ ὑπερήφανος καὶ ἀκατάδεκτος, ἢ νωθρὸς καὶ ἀμελέστατος· τοιοῦτον Θεὸν πλάττει ἡ πεπλανημένη αὐτῶν φαντασία, τουτέστιν ἀτελῆ καὶ ἀσθενῆ

(1) Α'. Κορ. 15, 12. (2) Πράξ. 2, 30. (3) Α'. Τιμ. 1, 7.

καὶ ἐμπαθῆ, καὶ ἑπομένως οὐτιδανώτερον καὶ αὐτῶν τῶν ψευδοθεῶν, τῶν ὑπὸ τῶν εἰδωλολατρῶν πλαττομένων. Ἄλλοτε δὲ καὶ αὐτὴν τὴν ὕπαρξιν τοῦ Θεοῦ ἀρνοῦνται, τυφλοὶ καὶ κωφοὶ καὶ ἄλογοι καὶ ἀναίσθητοι, οὐδὲ τὰ κτίσματα βλέποντες κηρύττοντα τὸν κτίστην, οὐδὲ τὴν φωνὴν τῆς φύσεως ἀκούοντες διηγουμένην τοῦ Θεοῦ τὴν δόξαν, οὐδὲ εἰς τὸν λόγον ὑποτασσόμενοι, τὸν ὁδηγοῦντα πρὸς τὴν κατανόησιν τῆς παντοδυνάμου ἀρχῆς, οὐδὲ εἰς τὴν αἴσθησιν πειθόμενοι, ἥτις ἀναγκάζει πιστεῦσαι δημιουργὸν τῶν αἰσθητῶν πραγμάτων. Ἄλλοτε δὲ ὑποκρίνονται, ὅτι εἰσὶν ἀκόλουθοι τοῦ συστήματος τοῦ Πύῤῥωνος, καὶ ἑπομένως ἀμφιβάλλουσι περὶ πάντων, καὶ περὶ αὐτῆς τῆς ἰδίας ὑπάρξεως, ὥσπερ ἂν εἰ οὐκ ἐγίνωσκον, ὅτι τὸ τοιοῦτον σύστημα περιεπαίχθη καὶ κατηργήθη, καὶ παντελῶς ἐξέλιπεν. Ἔχουσιν ὅμως οἱ τοιοῦτοι ἀσεβεῖς ἴδιον ἰδιαίτατον ἀγῶνα, ἵνα τὴν εἰς Χριστὸν πίστιν καταργήσωσιν.

Ἐὰν δὲ ἐρωτήσῃς αὐτούς, διὰ τί ἀναλαμβάνουσι τόσον ζῆλον διὰ τὸν ἀφανισμὸν τῆς χριστιανικῆς πίστεως, ἀποκρίνονται, ὅτι σκοπὸν ἔχουσι φωτίσαι τοὺς ἀνθρώπους, Ὁποῖον δὲ φωτισμὸν ἔλαβον αὐτοὶ ἐκ τῆς ἀπιστίας αὐτῶν, μαρτυρεῖ ὁ βίος καὶ τὸ πολίτευμα αὐτῶν. Αὐτοὶ ὡς ψεῦσται καὶ δόλιοι ὑποκριταί, ὑποσχόμενοι ἐλευθερίαν καὶ ἰσότητα, ἀπατῶσι πολλούς, ἔπειτα ὡς λησταὶ ἔνοπλοι καθαιροῦσι μὲν τοὺς νομίμους ἐξουσιαστάς, ὑποτάσσουσι δὲ ὑπὸ τὴν ἐξουσίαν αὐτῶν πόλεις καὶ ὁλοκλήρους ἐπαρχίας, ἁρπάζουσι πάντας τοὺς ἐν αὐταῖς θησαυρούς, καὶ ποιοῦσι τοὺς ἐν αὐταῖς κατοικοῦντας, ἀντὶ ἐλευθέρων, δούλους αὐτῶν, καὶ ἀντὶ ἴσων, ἐλεεινοὺς καὶ τρισαθλίους. Μαρτυρεῖ, ὁποῖός ἐστιν ὁ φωτισμὸς αὐτῶν, ἡ δυστυχεστάτη κατάστασις τῆς ἰδίας αὐτῶν πατρίδος· μαρτυρεῖ τὸ αἷμα, τὸ ποταμηδὸν ἐκχυνόμενον ἐν πάσῃ σχεδὸν τῇ Εὐρώπῃ· μαρτυροῦσι τὰ πάνδεινα κακά, ὅσα πάσχουσι δυσάριθμοι ἀνθρώπων μυριάδες· μαρτυρεῖ ἡ ἄλογος αὐτῶν πρόληψις, ἡ περὶ τῆς πολιτικῆς διοικήσεως, ἥτις ἀναστατῶσαι σπουδάζει τοὺς λαούς, καὶ διεγεῖραι τὸ ὑπήκοον κατὰ τοῦ ἄρχοντος, καὶ ἐκταράξαι καὶ αὐτοὺς τοὺς βασιλικοὺς θρόνους. Ἐπειδὴ δὲ ἡ τούτων διδασκαλία κολακεύει τὴν σάρκα, καὶ ἐξουδενεῖ τὸ πνεῦμα, σβεννύει τῆς συνειδήσεως τὸν ἔλεγχον, καὶ λύει τὸν χαλινὸν τῶν τυραννούντων ἡμᾶς παθῶν, θεοποιεῖ τὴν σαρκικὴν ἡδονήν, καὶ ὠθεῖ τὸν ἄνθρωπον ὅπου ἡ διάνοια αὐτοῦ ἐπιμελῶς ἔγκειται « Ἐκ νεότητος αὐτοῦ » (1), ἤγουν πρὸς τὸν κρημνὸν πάσης αἰσχρᾶς ἐπιθυμίας καὶ ἀπανθρώπου πράξεως· διὰ τοῦτο εὐκόλως μὲν μεταδίδοται καὶ πολυπλασιάζεται, δυσκόλως δὲ ἰχνεύεται καὶ ἐξαλείφεται.

Ἐπειδὴ ὅμως αὐτοὶ λέγουσι πρὸς τοῖς ἄλλοις. Ἐὰν ἐβλέπαμεν ἕνα καὶ μόνον ἀναστάντα ἐκ νεκρῶν, οὐ μόνον ἐπιστεύομεν, ὅτι οἱ νεκροὶ ἀνίστανται, ἀλλὰ καὶ εἰς ὅσα ἡ χριστιανικὴ πίστις διδάσκει παρευθὺς ἐπειθόμεθα, διὰ τοῦτο προβάλλομεν δύο ἐκ τῶν ἀποδείξεων τοῦ Ἀποστόλου Παύλου περὶ τῆς ἐκ νεκρῶν ἀναστάσεως τοῦ Ἰησοῦ Χριστοῦ, τουτέστι τὴν ἐκ τῶν Θείων Γραφῶν, καὶ τὴν ἐκ τῶν μαρτύρων, ἐκφράζοντες αὐτὰς πλατύτερον, καὶ ἀναπληροῦντες ὅσα ὁ Παῦλος διὰ τὸ σύντομον ἐγκατέλιπεν. Ἀλλ' ὁ λόγος τῶν Θείων Γραφῶν οὐδὲν

(1) Γεν. 8, 21.



ἰσχύει εἰς τοὺς ἀπίστους, ἐπειδὴ νομίζουσιν αὐτὸν οὐχὶ λόγον Θεοῦ, ἀλλὰ κατασκευὴν ἀνθρώπων. Ἀλλ' οὐδὲ αἱ μαρτυρίαι πείθουσιν αὐτούς, ἐπειδὴ ὑποπτεύονται ψεῦδος καὶ δολιότητας. Ἐὰν ἐβλέπαμεν, λέγουσιν, ἄνθρωπον ἀναστάντα ἐκ νεκρῶν, ἐπιστεύομεν καὶ ἐπειθόμεθα. Τοῦτ' αὐτὸ ἔλεγε καὶ ὁ πλούσιος πρὸς τὸν Ἀβραάμ· « Ἐρωτῶ οὖν σε, πάτερ, ἵνα πέμψῃς αὐτόν, ἤγουν τὸν ἀποθανόντα Λάζαρον, » εἰς τὸν οἶκον τοῦ πατρός μου. Ἔχουσι » Μωσέα, ἀπεκρίθη πρὸς αὐτὸν ὁ Ἀβραάμ, » καὶ τοὺς προφήτας, ἀκουσάτωσαν αὐτῶν ». Ὁ δὲ πλούσιος ἐπέμενεν ἰσχυρογνωμονῶν· « Οὐχί, πάτερ Ἀβραάμ, ἔλεγεν· ἀλλ' ἐάν τις ἐκ νεκρῶν πορευθῇ » πρὸς αὐτούς, μετανοήσουσιν. Εἰ Μωσέως, ἀπεκρίθη ὁ Ἀβραάμ, καὶ τῶν προφητῶν οὐκ ἀκούουσιν, οὐδὲ ἐάν τις ἐκ νεκρῶν, ἀναστῇ πεισθήσονται » (1).

Ἀλλὰ διὰ τί, ὦ ἄπιστοι, ἄνθρωποι ὄντες διὰ λογικῆς δυνάμεως τετιμημένοι, παρασυμβάλλεσθε τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καὶ ὁμοιοῦσθε αὐτοῖς; (2) τὰ κτήνη ἐπειδὴ οὐκ ἔχουσι νοῦν κινοῦνται καὶ ἕλκονται, καί, ἵν' οὕτως εἴπω, σύρονται ὑπὸ μόνων τῶν αἰσθήσεων· ὑμεῖς δὲ νοῦν ἔχοντες, καὶ συλλογιζόμενοι, καὶ κρίνοντες, καὶ διακρίνοντες, διὰ τί μετέρχεσθε μόνην τὴν αἴσθησιν, καὶ εἰς αὐτὴν ἀφιεροῦτε ὅλην τὴν κρίσιν ὑμῶν καὶ τὴν ἀπόφασιν; πόσον παράλογόν ἐστιν, ἐὰν ἔχοντες δύο χεῖρας, δεξιὰν καὶ ἀριστεράν, μετερχώμεθα εἰς τὰς ἐργασίας ἡμῶν μόνον τὴν ἀριστεράν, ἐγκαταλιμπάνωμεν δὲ τὴν δεξιὰν ἀνενέργητον καὶ ἀκίνητον, ὥσπερ ἂν εἰ μὴ εἴχομεν αὐτήν; πόσον δὲ ἀτελῆ ἦσαν καὶ τὰ ἔργα, τὰ διὰ μόνης τῆς ἀριστερᾶς χειρὸς γινόμενα; ἔχετε αἴσθησιν, ἀλλ' ἔχετε καὶ νοῦν· ἡ αἴσθησις παρίστησιν εἰς τὸν νοῦν τὰ αἰσθητά, ἀλλ' ὁ νοῦς κρίνει καὶ διακρίνει αὐτά. Πῶς οὐκ αἰσθάνεσθε, ὅτι πρῶτον βάλλετε ὑπὸ τὴν κρίσιν τοῦ νοὸς τὸ βλεπόμενον, ἔπειτα πείθεσθε, ὅτι οὕτως ἔχει, καθὼς τὰ ὄμματα παρέστησαν, ἢ ἄλλως καθὼς ὁ νοῦς κρίνει; ἆρά γε οὐ γνωρίζετε τὰς ἀπάτας τῶν αἰσθήσεων; πιστεύετε ὑμεῖς ὅτι τόσον ἐστὶ τοῦ ἡλίου τὸ μέγεθος, ὅσον αὐτὸ βλέπετε; οὐχί· ὑμεῖς πεπεισμένοι ἐστέ, ὅτι ἐστὶ μυριοπλασίως μεῖζον. Ἀλλὰ πόθεν τοῦτο; Ἐκ τῶν συλλογισμῶν τοῦ νοός. Βλέπετε οὖν, ὅτι πείθεσθε εἰς τὸν λόγον τοῦ νοὸς μᾶλλον, ἢ εἰς τὴν παράστασιν τῶν αἰσθήσεων. Διὰ τί δὲ εἰς τὰς ἀποδείξεις τῆς θεωρητικῆς γεωμετρίας καὶ τῆς ἀριθμητικῆς οὐδεὶς ἀμφιβάλλει; Διότι παραχωρεῖ ἐξ αὐτῶν ἡ παράστασις τῆς ἀπατώσης ὁράσεως, καὶ δουλεύει μόνον ὁ λόγος, ὁ τὸν νοῦν καταπείθων.

Ἀλλ' ἡ ἀπόδειξις τοῦ Παύλου, λέγετε, οὐδὲ λόγον ἔχει πείθοντα, ὅτι ὁ Χριστὸς ἀνέστη ἐκ νεκρῶν· ὦ! εἰς τοῦτο παραλογεῖτε προφανέστατα, ἢ μὴ διακρίνοντες τοῦ λόγου τὴν δύναμιν, διὰ τὴν τοῦ νοὸς ὑμῶν ἐμπάθειαν, ἢ μὴ γινώσκοντες ἐξ ἀμαθείας, τίνες εἰσὶν οἱ λόγοι, οἱ ἀποδεικτικοὶ τῆς ἐκ νεκρῶν ἀναστάσεως τοῦ Ἰησοῦ Χριστοῦ. Τὸ πρῶτόν ἐστι πάθος γεννώμενον ἐκ τῆς προκαταλήψεως, ἢ ἐκ τῆς ὑπερηφανείας, ἢ ἐξ ἄλλων πολλῶν ὁμοῦ παθῶν. Ὅθεν ἐὰν μὴ ἐκτινάξητε ἐκ τοῦ νοὸς ὑμῶν τὴν ἀκαθαρσίαν τῶν τοιούτων παθῶν, οὐδέποτε δύνασθε γνωρίσαι τὴν ἀλήθειαν. Τὸ δὲ δεύτερόν ἐστι πάθος εὐθεράπευτον· διότι, ἀφ'

(1) Λουκ. 16, 27, 29, 30, 31. (2) Ψαλμ. 48, 13.

οὐ μάθετε τοὺς λόγους, φεύγει ἀφ' ἡμῶν τῆς ἀμαθείας τὸ σκότος, καὶ ἔρχεται τῆς ἀληθείας τὸ φῶς.

Ἐὰν ἐρευνήσητε τῶν ἁγίων προφητῶν τὰ βιβλία, ἐν αὐτοῖς εὑρίσκετε τοὺς λόγους, οἵτινες πείθουσι τὸν νοῦν οὐ μόνον, ὅτι ὁ Χριστὸς ἀνέστη ἐκ νεκρῶν, ἀλλὰ καὶ ὅτι ἀληθῆ εἰσι πάντα, ὅσα περὶ αὐτοῦ διδάσκουσι τὰ Εὐαγγέλια. Ἀλλ' ὑμεῖς λέγετε, ὅτι τὰ προφητικὰ βιβλία οὐκ ἐγράφησαν κατὰ θείαν ἐμπνευσιν, ἀλλὰ κατεσκευάσθησαν κατὰ ἀνθρωπίνην ἐφεύρεσιν. Ἠκούσαμεν τὴν πρότασιν ὑμῶν, ἀλλ' ἵνα καταπείσητε περὶ τούτου καὶ ἑαυτοὺς καὶ ἡμᾶς, ἀνάγκη ἐστίν, ἵνα ἀποδείξητε πρῶτον, ὅτι οἱ προφῆται ἦσαν ἄνθρωποι ἀσεβεῖς, παγκάκιστοι, καὶ πάντων τῶν ἀνθρώπων πονηρότεροι· διότι, ἐὰν μὴ ἦσαν τοιοῦτοι, πῶς μετὰ τοσαύτης αὐθαδείας ἐλάλουν μὲν τὰ λόγια τῆς πονηρίας αὐτῶν, ἔλεγον δέ· Τάδε λέγει Κύριος; Ποῖον δὲ λόγον, ἢ ἀπόδειξιν, ἢ μαρτυρίαν ἔχετε περὶ τοῦ, ὅτι οἱ προφῆται ἦσαν ἀσεβεῖς καὶ παμπόνηροι; οὐδεμίαν· ἡμεῖς δὲ διὰ τῆς μαρτυρίας τοῦ βίου καὶ τῆς πολιτείας καὶ τῶν κατορθωμάτων αὐτῶν ἀποδεικνύομεν, ὅτι ἦσαν ἄνθρωποι εὐσεβέστατοι, ἀπροσωπόληπτοι, φιλαληθέστατοι, καὶ πάσῃ δικαιοσύνῃ καὶ ἀρετῇ διακεκοσμημένοι. Ἐκ τούτου δὲ ἕπεται, ὅτι ἀδύνατον ἦν, ἵνα τοιοῦτοι ἄνθρωποι πράξωσι τοιοῦτον δολερὸν καὶ πανοῦργον καὶ ἀσεβὲς ἔργον. Δεύτερον δέ, πρέπον ἐστίν, ἵνα ἀποδείξητε, ἐν ποίᾳ δυνάμει οὗτοι οἱ ἄνθρωποι, ὁποῖοι καὶ ἂν ἦσαν, οἱ τοσούτους αἰῶνας πρὸ τῆς παρουσίας τοῦ Ἰησοῦ συγγράψαντες τὰ ἑαυτῶν βιβλία, προεῖπον τὰ περὶ αὐτοῦ μετὰ τοσαύτης ἀκριβείας, ὥσπερ ἂν εἰ ἔβλεπον αὐτὰ ἐνώπιον τῶν ὀφθαλμῶν αὐτῶν.

Ἐν ποίᾳ δυνάμει ὁ προφήτης Δανιὴλ διὰ τῶν ἑαυτοῦ ἑβδομάδων προεῖπε μετὰ τοσαύτης βεβαιότητος τὸν καιρόν, ἐν ᾧ ὁ Ἰησοῦς Χριστὸς ἔμελλε γεννηθῆναι; (1) ἐν ποίᾳ δυνάμει ὁ προφήτης Ἡσαΐας προηγόρευσε τοσοῦτον φανερὰ τὰ περὶ τῆς ἐκ παρθένου γεννήσεως τοῦ Ἰησοῦ Χριςοῦ, εἰπών· « Διὰ τοῦτο δώσει Κύριος αὐτὸς ἡμῖν σημεῖον· ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ λήψεται, καὶ τέξεται υἱὸν καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ; » (2) Ἔτι δὲ καὶ τὰ περὶ τῆς δυνάμεως τοῦ σταυροῦ αὐτοῦ, καὶ περὶ τοῦ σκοποῦ τῆς ἀποστολῆς αὐτοῦ, καὶ περὶ τῆς μεγαλειότητος τῆς δεσποτείας καὶ τῆς εἰρήνης αὐτοῦ, καὶ περὶ τῆς αἰωνίου αὐτοῦ βασιλείας· « Ὅτι παιδίον ἐγεννήθη ἡμῖν, εἶπεν, υἱὸς καὶ ἐδόθη ἡμῖν, οὗ ἡ ἀρχὴ ἐγεννήθη ἐπὶ τοῦ ὤμου αὐτοῦ, και καλεῖται τὸ ὄνομα αὐτοῦ μεγάλης βουλῆς ἄγγελος· ἄξω γὰρ εἰρήνην ἐπὶ τοὺς ἄρχοντας καὶ ὑγείαν αὐτῷ. Μεγάλη ἡ ἀρχὴ αὐτοῦ, καὶ τῆς εἰρήνης αὐτοῦ οὐκ ἔςιν ὅριον· ἐπὶ τὸν θρόνον Δαβίδ, καὶ τὴν βασιλείαν αὐτοῦ, κατορθῶσαι αὐτήν, καὶ ἀντιλαβέσθαι ἐν κρίματι καὶ δικαιοσύνῃ, ἀπὸ τοῦ νῦν καὶ εἰς τὸν αἰῶνα· ὁ ζῆλος Κυρίου Σαβαὼθ ποιήσει ταῦτα » (3). Πρὸς τούτοις δὲ καὶ τὰ θαυμάσια ἔργα, ὅσα ὁ Ἰησοῦς Χριστὸς ἐποίησεν, εἰς τὸν καιρὸν τῆς ἐν τῷ κόσμῳ διατριβῆς αὐτοῦ· « Πνεῦμα Κυρίου, λέγων ὡς ἐκ προσώπου Χριστοῦ, ἐπ' ἐμέ, οὗ εἵνεκεν ἔχρισέ μοι, εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με, ἰάσασθαι τοὺς συντετριμμένους τὴν καρδίαν, κηρύξαι αἰχμαλώτοις ἄφε-

(1) Δαν. 9, 24. κτλ. (2) Ἡσ. 7, 14. (3) Αὐτ. 9, 6, 7.



σιν καὶ τυφλοῖς ἀνάβλεψιν » (1). Ἐν ποίᾳ δυνάμει ὁ Ἱερεμίας προεῖπε σαφέστατα καὶ αὐτὸ τὸ θρηνητικὸν συμβάν, τὸ ἐπὶ τῇ γεννήσει τοῦ Χριστοῦ, ἤγουν τὴν βρεφοκτονίαν, ἣν ἐποίησεν ὁ Ἡρώδης; « Φωνή, εἶπεν, ἐν Ῥαμᾷ ἠκούσθη θρήνου καὶ κλαυθμοῦ καὶ ὀδυρμοῦ· Ῥαχὴλ ἀποκλαιομένη οὐκ ἤθελε παύσασθαι ἐπὶ τοῖς υἱοῖς αὐτῆς, ὅτι οὐκ εἰσίν » (2). Ἐὰν στοχασθῇς τὰ λόγια τοῦ προφήτου Ζαχαρίου, φαίνεταί σοι, ὅτι αὐτὸς ἔβλεπεν ἔμπροσθεν αὐτοῦ τὸν Ἰησοῦν Χριστὸν ἐπὶ πώλου ὄνου καθεζόμενον, καὶ εἰσερχόμενον εἰς τὴν ἁγίαν πόλιν Ἱερουσαλήμ, « Χαῖρε, ἔλεγε, σφόδρα, θύγατερ Σιών, κήρυσσε, θύγατερ Ἱερουσαλήμ· ἰδοὺ ὁ βασιλεύς σου ἔρχεταί σοι δίκαιος καὶ σώζων, αὐτὸς πραΰς, καὶ ἐπιβεβηκὼς ἐπὶ ὑποζύγιον καὶ πῶλον νέον » (3).

Ἄνοιξον τὸ βιβλίον τῶν ψαλμῶν τοῦ Δαβίδ, τὸ πολλῷ παλαιότερον τῶν βιβλίων τῶν εἰρημένων προφητῶν. Ἐν αὐτῷ ἀναγινώσκεις τὰς προφητείας καὶ τῶν παθῶν, καὶ τῆς ταφῆς, καὶ τῆς ἀναστάσεως, καὶ τῆς εἰς οὐρανοὺς ἀναβάσεως τοῦ Ἰησοῦ Χριστοῦ· « Ἔδωκαν, λέγει ὁ προφήτης, εἰς τὸ βρῶμά μου χολήν, καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος » (4). Ἄκουσον περὶ τούτου καὶ τὴν μαρτυρίαν τοῦ Εὐαγγελίου· οἱ δὲ στρατιῶται « Ἔδωκαν αὐτῷ πιεῖν ὄξος μετὰ χολῆς μεμιγμένον » (5). Ὁ μὲν προφήτης προεῖπε· « Πάντες οἱ θεωροῦντές με ἐξεμυκτήρισάν με, ἐλάλησαν ἐν χείλεσιν, ἐκίνησαν κεφαλήν » (6). Ὁ δὲ Εὐαγγελιστὴς ἱστόρησεν· « Οἱ δὲ παραπορευόμενοι ἐβλασφήμουν αὐτόν, κινοῦντες τὰς κεφαλὰς αὐτῶν· καὶ λέγοντες· ὁ καταλύων τὸν ναόν, καὶ ἐν τρισὶν ἡμέραις οἰκοδομῶν, σῶσον σεαυτόν· εἰ Υἱὸς εἶ τοῦ Θεοῦ, κατάβηθι ἀπὸ τοῦ σταυροῦ » (7). Ὁ μὲν προφήτης προλέγων τὸ μέλλον γενέσθαι, εἶπε· « Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον » (8). Ὁ δὲ Εὐαγγελιστὴς καὶ αὐτόπτης τοῦ πεπραγμένου λέγει· « Οἱ δὲ στρατιῶται, ὅτε ἐσταύρωσαν τὸν Ἰησοῦν, ἔλαβον τὰ ἱμάτια αὐτοῦ (καὶ ἐποίησαν τέσσαρα μέρη, ἑκάστῳ στρατιώτῃ μέρος) καὶ τὸν χιτῶνα· ἦν δὲ ὁ χιτὼν ἄῤῥαφος· ἐκ τῶν ἄνωθεν ὑφαντὸς δι' ὅλου. Εἶπον οὖν πρὸς ἀλλήλους· μὴ σχίσωμεν αὐτόν, ἀλλὰ λάχωμεν περὶ αὐτοῦ, τίνος ἔςαι » (9). « Ἔθεντό με, εἶπεν ὁ προφήτης, ἐν λάκκῳ κατωτάτῳ, ἐν σκοτεινοῖς καὶ ἐν σκιᾷ θανάτου » (10). « Ὁ δὲ Ἰωσήφ, λέγει ὁ Εὐαγγελιστής, λαβὼν τὸ σῶμα τοῦ Ἰησοῦ, ἐνετύλιξεν αὐτὸ σινδόνι καθαρᾷ, καὶ ἔθετο αὐτὸ ἐν τῷ καινῷ αὐτοῦ μνημείῳ » (11). Περὶ δὲ τῆς ἀναστάσεως τοῦ Ἰησοῦ Χριστοῦ, ὁ μὲν προφήτης πρῶτον εἰσάγει αὐτὸν τὸν Ἰησοῦν Χριστὸν λέγοντα· « Ὅτι οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδην, οὐδὲ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν » (12). Ὁ δὲ Εὐαγγελιστὴς ἱστορεῖ τὸν Ἰησοῦν Χριστὸν εἰπόντα· « Ὅτι ἐγὼ τίθημι τὴν ψυχήν μου, ἵνα πάλιν λάβω αὐτήν » (13). Ἔπειτα ὁ μὲν προφήτης προσεύχεται καὶ παρακαλεῖ ὑπὲρ τῆς ἀναστάσεως τοῦ Χριστοῦ, λέγων· « Ἐξεγέρθητι ἡ δόξα μου, ἐξεγέρθητι, ψαλτήριον καὶ κιθάρα » (14). Καὶ μὴ νομίσῃς, ὅτι ἁπλῶς καὶ ὡς ἔτυχεν ὁ προφήτης ἐξεφώνησε ταῦτα τὰ τρία· διότι ἐξέλαβεν αὐτὰ ὡς σύμβολα τῶν τριῶν

(1) Ἡσ. 61, 1. (2) Ἱερ. 31, 15. (3) Ζαχ. 9, 9. (4) Ψαλμ. 68, 21. (5) Ματθ. 27, 34 (6) Ψαλμ 21, 8. (7) Ματθ. 27, 39, 40. (8) Ψαλμ 21, 18. (9) Ἰωάν, 19, 23, 24. (10) Ψαλμ. 87, 6. (11) Ματθ. 27, 59, 60. (12) Ψαλμ. 15, 10. (13) Ἰωάν. 10, 17. (14) Ψαλμ. 56, 8.

θείων προσώπων, καὶ ὡς σημαντικὰ τῆς θεότητος καὶ τῆς ψυχῆς καὶ τοῦ σώματος ἐκείνου, ὑπὲρ οὗ ἐδέετο. ἵνα ἐκ νεκρῶν ἀναστηθῇ· εἰσακούεται δὲ ἡ προφητικὴ αὐτοῦ προσευχή, καὶ ἀκούει φωνὴν λέγουσαν· « Ἐξεγερθήσομαι ὄρθρου ». Ὁ δὲ εὐαγγελιστὴς περιγράφων τὸν καιρὸν τῆς ἀναστάσεως τοῦ Χριστοῦ, λέγει· « Ὄθρου βαθέος » ἦλθον ἐπὶ τὸ μνῆμα, (αἱ μυροφόροι δηλο» νότι) εὗρον δὲ τὸν λίθον ἀποκεκυλισμένον » ἀπὸ τοῦ μνημείου, καὶ εἰσελθοῦσαι, οὐχ' » εὗρον τὸ σῶμα τοῦ Κυρίου Ἰησοῦ » (1). Ὁ μὲν προφήτης προβλέπων τὴν εἰς οὐρανοὺς ἀνάληψιν τοῦ Ἰησοῦ Χριστοῦ, ἔψαλλεν ἐν ἀγαλλιάσει· « Ἀνέβη ὁ Θεὸς ἐν ἀλα» λαγμῷ, Κύριος ἐν φωνῇ σάλπιγγος » (2). Ὁ δὲ Εὐαγγελιστὴς ἐμαρτύρησε, λέγων· « Ὁ μὲν οὖν Κύριος, μετὰ τὸ λαλῆσαι αὐ» τοῖς, ἀνελήφθη εἰς τὸν οὐρανόν, καὶ ἐκά» θισεν ἐκ δεξιῶν τοῦ Θεοῦ » (3). Ἐπιλήψει με ὁ χρόνος, ἐὰν θελήσω διηγηθῆναι ὅσα οἱ προφῆται προεῖπον περὶ τοῦ Ἰησοῦ Χριστοῦ, καὶ ἐπ' αὐτῷ ἔλαβον τὸ προφητευθὲν πέρας,

Εἴπατε οὖν, ὦ ἄπιστοι, κατὰ ποῖον φυσικὸν λόγον, ἢ κατὰ ποίαν ἀνθρωπίνην δύναμιν οἱ προφῆται τοσούτους αἰῶνας πρὸ τῆς ἐν κόσμῳ παρουσίας τοῦ Χριστοῦ προεῖδον καὶ προεῖπον μετὰ τοσαύτης ἀκριβείας τὰ περὶ αὐτοῦ; τί ἀποκρίνεσθε; λέγετε ἴσως, ὅτι τὰ προφητικὰ λόγιά εἰσι πλάσματα τῶν χριστιανῶν; ἀλλ' ἐπιστομίζουσιν ὑμᾶς οἱ Ἑβραῖοι· αὐτοί, οἱ ἄσπονδοι ἐχθροὶ τοῦ Χριστοῦ καὶ τῆς χριστιανικῆς πίστεως, φυλάττουσι, κατὰ θείαν οἰκονομίαν, τῶν προφητῶν τὰ βιβλία, τὰ ἐν τῇ ἑβραϊκῇ αὐτῶν διαλέκτῳ γεγραμμένα, καὶ σέβονται αὐτὰ ὡς προφητικά, καὶ ὡς περιέχοντα Θεοῦ λόγια. Ἢ λέγετε, ὅτι οἱ Εὐαγγελισταὶ κατεσκεύασαν τὴν εὐαγγελικὴν ἱστορίαν, ἀκολουθήσαντες οὐχ ὅσα πράγματι καὶ ἀληθείᾳ συνέβησαν εἰς τὸν Ἰησοῦν Χριστόν, ἀλλ' ὅσα περὶ αὐτοῦ εἶπον οἱ προφῆται; Ἀλλ' οἱ Ἀπόστολοι πρῶτον μὲν οὐκ εἰς ἄλλον τινὰ τόπον, ἀλλ' εἰς τὴν Ἱερουσαλὴμ ἐκήρυξαν τὸ Εὐαγγέλιον. Πῶς οὖν ἐτόλμησαν λαλεῖν παῤῥησίᾳ τοσοῦτον ψεῦδος ἐνώπιον τῶν κατοικούντων ἐν Ἱερουσαλήμ, οἵτινες καὶ εἶδον καὶ ἤκουσαν τὰ περὶ τοῦ Ἰησοῦ Χριστοῦ; Πῶς ἐτόλμησαν ἐνώπιον παντὸς τοῦ συνεδρίου, ἤγουν ἐνώπιον ἀρχόντων καὶ πρεσβυτέρων καὶ ἀρχιερέων καὶ γραμματέων καὶ πάντων τῶν ἐκ τοῦ ἀρχιερατικοῦ γένους, λέγειν κατὰ πρόσωπον αὐτῶν περὶ τοῦ Χριστοῦ, « Ὃν ὑμεῖς ἐσταυρώσατε, ὃν ὁ Θεὸς ἤγει» ρεν ἐκ νεκρῶν; (4) ἢ πῶς ἤλπισαν, ὅτι λαλοῦντες τοσοῦτον ψεῦδος, δύνανται πεῖσαι τοὺς ἀνθρώπους; (5) ἢ πῶς τόσαι χιλιάδες ἐξ αὐτῶν τῶν κατοικούντων τὴν Ἱερουσαλὴμ ἐπίστευσαν εἰς τὸν Ἰησοῦν Χριστόν, ἀκούοντες τοὺς Ἀποςόλους λαλοῦντας ἀναισχύντως τοσοῦτον σωρὸν ψεύδους; ἀσύστατοι οὖν καὶ οὐτιδαναί εἰσιν, ὦ ἄπιστοι, αἱ ἐνστάσεις ὑμῶν· ἀναγκάζει δὲ ὑμᾶς ἡ δύναμις τοῦ λόγου, ἵνα πιστεύσητε, ὅτι ἄλλη δύναμις πολλῷ ὑπερτέρα τῆς φύσεως, εἴτουν δύναμις τοῦ πανυπερτελείου Θεοῦ, καὶ τὸν νοῦν τῶν προφητῶν ἐφώτισε προκατιδεῖν τὰ μέλλοντα, καὶ τὴν γλῶσσαν διεύθυνε λαλῆσαι τὰ μυστήρια, καὶ τὴν χεῖρα ἐκίνησε γράψαι τὰ περὶ τοῦ Χριστοῦ, τοσούτους αἰῶνας πρὸ τοῦ Χριστοῦ· ἑπομένως ἀληθῆ καὶ ἀναμφίβολά εἰσιν ὅσα πε-

(1) Λουκ. 24, 12, 13. (2) Ψαλμ. 46, 5. (3) Μαρκ. 16, 19. (4) Πράξ. 4, 10. (5) Αὐτ. 2, 42, καὶ 4, 4.



ρὶ αὐτοῦ οἱ προφῆται προεκήρυξαν· ἑπομένως ἀληθὲς καὶ ἀναμφίβολον, ὅτι ὁ Χριςὸς ἀνέστη ἐκ νεκρῶν. Ἰδοὺ οὖν βλέπετε ἕνα ἐκ νεκρῶν ἀναστάντα, βλέπετε δὲ αὐτὸν οὐ διὰ τῶν σωματικῶν ὀφθαλμῶν, τῶν πολλάκις ἀπατώντων ἡμᾶς, ἀλλὰ διὰ τοῦ φωτὸς τοῦ ὀρθοῦ λόγου, τοῦ μηδέποτε πλανῶντος, ἀλλὰ πάντοτε πληροφοροῦντος· καὶ οὗτος μὲν ὁ λόγος ἐςὶν ἐκ τῶν προτέρων, ἤγουν ἐκ τῶν λόγων, τῶν ὑπὸ τῶν προφητῶν πολλοὺς αἰῶνας πρὸ τῆς Χριςοῦ ἀναςάσεως διακηρυχθέντων. Ἀκούσατε δὲ καὶ τὸν λόγον, τὸν ἐκ τῶν ὑςέρων, τουτέςι τὸν λόγον τῆς μαρτυρίας τῶν μετὰ τὴν ἀνάστασιν τοῦ Χριστοῦ μαρτυρησάντων, ὅτι εἶδον τὸν Χριςὸν μετὰ τὴν ἐκ νεκρῶν αὐτοῦ ἀνάστασιν.

Ἐρώτησον πρῶτον σεαυτόν, ἐὰν δι' ἓν ψευδὲς πλάσμα, ὃ σὺ ἔπλασας καὶ κατεσκεύασας, στέργῃς αὐτοπροαιρέτως ὑπομεῖναι πᾶσαν κάκωσιν καὶ βάσανον, καὶ τὴν στέρησιν τέλος πάντων τῆς ἰδίας σου ζωῆς, δι' ὀξυτάτων βασανιστηρίων· ἐρώτησον ἔπειτα καὶ ὅσους ἄλλους θέλεις, ἐὰν στέργωσι ταῦτα πάντα δι' ἓν γνωστὸν καὶ μάταιον ψεῦδος. Τί ἀποκρίνεσαι σὺ πρὸς σεαυτόν; Τί ἀποκρίνεταί σοι ὅστις ἂν ἐρωτηθῇ; λέγεις ἆρά γε σύ, ἢ λέγει ἄλλος τις, ναί, στέργω; οὐχί· διότι τοῦτό ἐστιν οὐ μόνον ἐναντίον παντὸς λόγου, ἀλλὰ καὶ ἐναντίον τοῦ νόμου τῆς φύσεως· μόλις στέργει ὁ ἄνθρωπος τὸν θάνατον διὰ τὸ δίκαιον, διὰ τὸ συμφέρον, διὰ τὴν ἀλήθειαν. Δώδεκα Ἀπόστολοι, ἑβδομήκοντα μαθηταί, πεντακόσιοι ἀδελφοί, πάντες σύγχρονοι, καὶ πάντες σύμφωνοι καὶ ὁμόφρονες, κηρύττουσι, λέγοντες· εἴδομεν τὸν Ἰησοῦν Χριστὸν μετὰ τὴν ἐκ νεκρῶν αὐτοῦ ἀνάστασιν. Τὸ συνέδριον τῶν Ἰουδαίων μετὰ πολλῶν καὶ μεγάλων φοβερισμῶν παραγγέλλει εἰς τοὺς ἀρχηγοὺς αὐτῶν, ἤγουν εἰς τοὺς Ἀποστόλους, λέγον· μηδόλως κηρύττετε, κλείσατε τὸ στόμα, μηδένα διδάσκετε ἐν τῷ ὀνόματι τοῦ Χριστοῦ· « Καὶ κα» λέσαντες αὐτούς, παρήγγειλαν αὐτοῖς τὸ » καθόλου μὴ φθέγγεσθαι, μηδὲ διδάσκειν » ἐπὶ τῷ ὀνόματι τοῦ Χριστοῦ » (1). Αὐτοὶ δὲ ἀποκρίνονται ἐνώπιον παντὸς τοῦ συνεδρίου, λέγοντες· « Οὐ δυνάμεθα γὰρ ἡμεῖς » ἃ εἴδομεν καὶ ἠκούσαμεν, μὴ λαλεῖν » (2). Καὶ οἱ μὲν τοῦ συνεδρίου πάλιν αὐστηρότατα ἐφοβέρισαν αὐτούς· αὐτοὶ δὲ περισσότερον κηρύττοντες ἐμαρτύρουν, ὅτι ὁ Χριστὸς ἀνέστη ἐκ νεκρῶν. « Καὶ μεγάλῃ » δυνάμει ἀπεδίδουν τὸ μαρτύριον οἱ Ἀπό» στολοι τῆς ἀναστάσεως τοῦ Κυρίου Ἰη» σοῦ » (3). Ταῦτα ἀκούσαντες οἱ τοῦ συνεδρίου, κατέκλεισαν αὐτοὺς εἰς τὴν φυλακήν· ἐκεῖθεν δὲ διὰ θαύματος ἐξελθόντας ἐῤῥάβδισαν ἀνιλεῶς· αὐτοὶ δὲ πολλῷ μᾶλλον ἐκραύγαζον· « Ὁ Χριστὸς ἀνέςη ἐκ νε» κρῶν » (4). Μετὰ ταῦτα ἐξελθόντες τῆς Ἱερουσαλήμ, τρέχουσιν εἰς πᾶσαν πόλιν καὶ χώραν, κηρύττοντες τὴν τοῦ Χριστοῦ ἀνάστασιν, καὶ ἐπιβεβαιοῦντες καὶ λέγοντες· « Ὃ ἑωράκαμεν τοῖς ὀφθαλμοῖς ἡμῶν, » ὃ ἐθεασάμεθα, καὶ αἱ χεῖρες ἡμῶν ἐψη» λάφησαν περὶ τοῦ λόγου τῆς ζωῆς· ὃ ἑω» ράκαμεν καὶ ἀκηκόαμεν, ἀπαγγέλλομεν » ὑμῖν » (5). Ὑπὲρ τούτου δὲ τοῦ κηρύγματος ὑπομένουσι πεῖναν, δίψαν, γύμνωσιν, κολαφισμούς, ὕβρεις, διωγμούς, βλασφημίας, ἀτιμίαν καὶ ἐξουδένωσιν, τελευταῖον δὲ καὶ βασανιστικὸν θάνατον » (6). Ὁ Στέφανος, ὁ Ἀνανίας καὶ ὁ Ἄρχιππος

(1) Πράξ. 4, 18. (2) Αὐτ. 20, 21. (3) Αὐτ. 33. (4) Αὐτ. 5, 18, 40. (5) Α. Ἰωάν. 1, 1, 3.
(6) Α'. Κορ. 4, 11, 12.

παρέδωκαν τὸ πνεῦμα, λιθοβοληθέντες· ὁ Ἀνδρέας, ὁ Πέτρος, ὁ Φίλιππος καὶ ὁ Σίμων ὁ ζηλωτής, ἐν ξύλῳ σταυρωθέντες· ὁ Ματθαῖος καὶ ὁ Βαρνάβας, πυρὶ κατακαυθέντες· ὁ Ἰάκωβος, ὁ ἀδελφὸς τοῦ Κυρίου, καὶ ὁ Τιμόθεος ῥοπαλισθέντες· ὁ Παῦλος, ὁ Ἰάκωβος ὁ τοῦ Ἰωάννου ἀδελφός, ὁ Ἀρίσταρχος, ὁ Πούδης, ὁ Τρόφιμος, τὰς κεφαλὰς ἀποτμηθέντες. Πολλὰ ὀλίγοι ἐκ τῶν Ἀποστόλων καὶ μαθητῶν τοῦ Χριστοῦ οὐκ ἐγεύθησαν τὸ μαρτυρικὸν τοῦ θανάτου ποτήριον. Πῶς ἐξηγεῖ τοῦτο τὸ παραδοξότατον καὶ ὑπὲρ φύσιν φαινόμενον ἡ ψευδοφιλοσοφία τῶν ἀπίστων; τί λέγουσι περὶ τούτου οἱ ψευδοφιλόσοφοι οἱ ἄπιστοι;

Αὐτοὶ ἦσαν, ἀποκρίνονται, ἄνθρωποι φανατικοί· καὶ πόθεν μὲν παράγεται αὐτὴ ἡ λέξις, οὐδ' αὐτοὶ οἱ ταύτην μετερχόμενοι γινώσκουσι· σημαίνει ὅμως παρ' αὐτοῖς τό, βεβλαμμένοι τὴν φαντασίαν καὶ μωροί· ἀλλὰ πεντακοσίων καὶ ὀγδοήκοντα δύο ἀνθρώπων ἐβλάφθη ἡ φαντασία εἰς ἕνα καὶ τὸν αὐτὸν καιρόν, καὶ ἔπαθε μίαν καὶ τὴν αὐτὴν βλάβην; πεντακόσιοι καὶ ὀγδοήκοντα δύο ἄνθρωποι μωροὶ κατὰ μίαν καὶ τὴν αὐτὴν μωρίαν καὶ κατὰ τὸν αὐτὸν καιρόν; καὶ τίς λόγος τοῦτο πείθει; ἀλλὰ καὶ οἱ φανατικοὶ φοβεριζόμενοι καὶ ῥαβδιζόμενοι, ὅπως ἂν μὴ λαλῶσι τὰ τῆς μωρίας αὐτῶν, φοβοῦνται καὶ σιωπῶσιν· οἱ δὲ μαθηταὶ τοῦ Χριστοῦ, φοβεριζόμενοι καὶ ῥαβδιζόμενοι, καὶ μυρίας κακουχίας καὶ τιμωρίας πάσχοντες, πολλῷ μᾶλλον ἐκήρυττον, ὅτι ὁ Χριστὸς ἀνέστη ἐκ νεκρῶν. Μωροί; καὶ ἔχουσι τόσην συμφωνίαν καὶ ἀγάπην μεταξὺ ἀλλήλων, τόσην φρόνησιν εἰς τὰ λόγια, τόσην δικαιοσύνην εἰς πᾶν ἔργον, τόσην ἀρετὴν εἰς πᾶσαν πρᾶξιν, τόσην ἁγιωσύνην εἰς τὰ ἤθη; μωροὶ καὶ ἅγιοι; τοῦτο τὸ μάθημα διδάσκει ὑμᾶς ἡ ἄλογος φιλοσοφία ὑμῶν; καὶ τίς λόγος τοῦτο πείθει; ἢ τίς ἄνθρωπος φρόνιμος εἰς τοῦτο πείθεται;

Ἀλλ' ἔστω· αὐτοὶ μὲν ἦσαν μωροί· ἀλλὰ πῶς ἐμωράνθησαν τόσα πλήθη ἀνθρώπων εἰς τὴν Ἀσίαν, τόσα εἰς τὴν Εὐρώπην, τόσα εἰς τὴν Ἀφρικήν, καὶ ἐπείσθησαν, ὅτι ἀληθές ἐστιν ἐκεῖνο, ὅπερ οἱ μωροὶ ἐκήρυττον, ἤγουν ὅτι ὁ σταυρωθεὶς καὶ ἀποθανὼν καὶ ταφεὶς ἀνέστη ἐκ νεκρῶν; Πῶς ἐπείσθησαν εἰς τῶν μωρῶν τὸ κήρυγμα οἱ ἐκ τῆς οἰκίας τοῦ Καίσαρος εἰς τὴν Ῥώμην (2), καὶ οἱ Ἀρεοπαγῖται εἰς τὰς Ἀθήνας (3), ὅπου τότε ἤκμαζον αἱ ἐπιστῆμαι, καὶ ἐπολιτεύετο ἡ ἀπόδειξις, καὶ ὁ νοῦς οὐκ ἐπλανᾶτο εὐκόλως; Πῶς τόσα ἄμετρα πλήθη ἀνθρώπων ἐπείσθησαν ὑπὸ τῆς διδασκαλίας τῶν μωρῶν, καὶ ἐπίστευσαν, ὅτι ὁ ἐν μέσῳ δύο λῃστῶν ὡς κατάδικος σταυρωθείς, καὶ ἐπὶ τοῦ ξύλου τοῦ σταυροῦ ἀποθανών, ἀνέστη ἐκ νεκρῶν, καὶ ἔστι Θεὸς ἀληθινός, ποιητὴς τοῦ οὐρανοῦ καὶ τῆς γῆς; Πῶς δὲ πεισθέντες καὶ πιστεύσαντες εἰς τὸν Ἰησοῦν Χριστόν, ἐγκατέλιπον τὴν προπατορικὴν αὐτῶν θρησκείαν, καὶ τὰς πεπαλαιωμένας αὐτῶν συνηθείας, καὶ τοὺς τῶν προγόνων αὐτῶν νόμους, καὶ μετὰ τοσαύτης προθυμίας ἀπεστράφησαν πᾶσαν σωματικὴν ἡδονὴν καὶ ἄνεσιν, ἔτρεχον εἰς τοὺς κινδύνους καὶ διωγμοὺς καὶ εἰς τὰ βασανιστήρια, ὅσα οἱ τότε τύραννοι ἐφοβέριζον παρρησίᾳ, καὶ ἀνυποστόλως ἔπραττον καθ' ἑκάστην ἡμέραν κατὰ τῶν χριστιανῶν; Σὺ λέγεις, ὦ ἄπιστε, ὅτι οἱ τοῦ Εὐαγγελίου κήρυκες ἦσαν βεβλαμμένοι τὴν φαντασίαν

(1) Α'. Κορ. 4, 11, 13. (2) Φιλιπ. 4, 22. (3) Πράξ. 17, 34.



καὶ μωροί, πρόσθες ὅμως τούτοις, ὅτι καὶ πάμπτωχοι ἦσαν, καὶ ἄοπλοι, καὶ γυμνοί, καὶ ἀγράμματοι, καὶ ὅτι ἐδίδασκον πλούτου καταφρόνησιν, κοσμικῶν ἐπιθυμιῶν ἄρνησιν, πάσης σαρκικῆς ἡδονῆς ἀποχήν, παθῶν ψυχοφθόρων σταύρωσιν, καὶ τὰ λοιπά, ὅσα ἀναγινώσκομεν εἰς τὰ Εὐαγγέλια. Πῶς οὖν τοιοῦτοι ἄνθρωποι διὰ τοιαύτης διδασκαλίας ἔπραξαν τοιοῦτον θαυμάσιον καὶ ἐξαίσιον κατόρθωμα, ὁποῖόν ἐστιν ἡ εἰς Χριστὸν ἐπιστροφὴ τοῦ κόσμου; ποίᾳ δυνάμει; ποίῳ τρόπῳ; ποίᾳ ἐξουσίᾳ; Ὅστις ταῦτα συλλογισθῇ ἀπαθῶς, καὶ κρίνει ὀρθῶς καὶ δικαίως, ἐκεῖνος βλέπει, ὅτι πᾶς λόγος πείθει πιστεῦσαι, ὅτι οὐδεμία δύναμις κοσμικὴ προέτρεψε καὶ ἐνίσχυσε τοὺς κήρυκας τοῦ Εὐαγγελίου κηρύξαι τὴν εἰς Χριςὸν πίςιν· οὐδεμία δύναμις κοσμική, οὐδὲ προσπάθεια σωματικὴ ἔπεισε τοὺς ἀκροατὰς τοῦ εὐαγγελικοῦ κηρύγματος δεχθῆναι τὰ δόγματα καὶ τοὺς νόμους τῆς εἰς Χριςὸν πίςεως· ἀναγκάζεται δὲ ἐκβοῆσαι μετὰ τοῦ προφήτου τὴν φωνήν, τὴν ταῦτα προφητεύσασαν· « Καὶ εἶπα, νῦν ἠρξάμην, αὕτη ἡ ἀλ» λοίωσις τῆς δεξιᾶς τοῦ Ὑψίστου » (1).

Οὐδεὶς δέ, ὡς νομίζω, φρόνιμος καὶ διακριτικὸς προβάλλει τὸ πλάσμα τῆς πλάνης, τὸ ἐξ αἰῶνας μετὰ τὴν Χριστοῦ ἀνάληψιν ἀρξάμενον, οὐδὲ λέγει, ἰδοὺ αὐτὸ τὸ δίδαγμα, κἂν μὴ ἐκ Θεοῦ, ὅμως ἐπολυπλασιάσθη καὶ ἡπλώθη εἰς τοσαῦτα πλήθη ἀνθρώπων· διότι καθεὶς γινώσκει, ὅτι αὐτὸ ἡπλώθη τῇ δυνάμει τῆς σπάθης, καὶ ἐπολυπλασιάσθη τῇ ἰσχύϊ τῆς καταδυναστείας καὶ τῆς μαχαίρας· καὶ γνωρίζει, ὅτι αὐτὸ ἀνοίγει θύραν εἰς τὰς σωματικὰς τρυφάς, καὶ συντρίβει τοὺς χαλινοὺς τῆς σωφροσύνης, καὶ ἀνταποδίδωσι κοσμικὰς ἀνταποδόσεις. Ἔμαθε δὲ καθείς, ὅτι οὐδέποτε ὑπ' οὐδενός, οὐδὲ οἱ τοῦτο κηρύξαντες, οὐδὲ οἱ τοῦτο ὑποδεχθέντες, ὑπέμειναν θανάτους, ἢ δυναστείας, ἢ διωγμούς, ἢ κἂν μικρὰν τιμωρίαν, καὶ ἤκουσεν, ὅτι αὐτὸ κατὰ πρῶτον ἐκηρύχθη εἰς ἔθνη βάρβαρα, ἄνομα, ἀμαθέστατα, ὧν τὰ περισσότερα οὐδεμίαν εἶχον πίστιν ἔγγραφον, οὐδὲ νομοθεσίαν.

Ἀλλ' ἆρά γε πείθονται οἱ ἄπιστοι, ταῦτα ἀκούοντες; « Οὐδεὶς δύναται ἐλθεῖν πρός » με, εἶπεν ὁ Κύριος, ἐὰν μὴ ὁ Πατήρ, ὁ » πέμψας με, ἑλκύσῃ αὐτόν » (2). Ἐὰν οἱ ἄπιστοι, διώξαντες μακρὰν ἀπ' αὐτῶν τὰ πάθη, τὰ σκοτίζοντα τὸν νοῦν, καὶ δόντες τόπον εἰς τὴν δύναμιν τοῦ λόγου, κατασαθῶσι σκεύη ἄξια τῆς ὑποδοχῆς τοῦ ἀτιμήτου μύρου τῆς πίστεως, οὐκ ἐγκαταλείπει αὐτοὺς ὁ Θεός, ἀλλ' ἕλκει τῇ δυνάμει τῆς θείας αὐτοῦ χάριτος, καὶ στηρίζει ἐπὶ τὴν πέτραν τῆς ἀληθοῦς πίστεως. Ὑμεῖς δέ, ὦ εὐσεβεῖς, ὅσοι ἠξιώθητε τοῦ μεγάλου χαρίσματος τῆς εἰς Χριστὸν πίστεως, προσέχετε, ἵνα μὴ ὑπ' αὐτῶν πλανηθῆτε· προσοχῆς μεγάλης ἔχετε χρείαν, μάλιστα εἰς τούτους τοὺς καιρούς, ἐν οἷς ὑπὲρ ἄλλοτέ ποτε « Κύκλῳ οἱ ἀσεβεῖς περιπατοῦσιν » (3). Ἀπατηλόν ἐστι τῆς ἀσεβείας τὸ δέλεαρ, ἐπειδὴ διδάσκει τὴν τῶν σαρκικῶν ἐπιθυμιῶν ἀπόλαυσιν· « Φάγωμεν καὶ πίωμεν, » αὔριον γὰρ ἀποθνήσκομεν » (4). Ὑμεῖς ἐστε ἁπλοῖ καὶ ἄκακοι, ἐκεῖνοι δέ εἰσι δολεροὶ καὶ πανοῦργοι· ὑμεῖς ἴσως ἀγύμνασοι εἰς τὰς ἀποδείξεις τῆς πίστεως, ἐκεῖνοι καταγεγυμνασμένοι εἰς τῆς ἀσεβείας τὰ σοφίσματα. Ἀρέσκει εἰς τὰ πάθη σου ἡ τούτων διδασκαλία, γλυκαίνει τὴν ἐπιθυμίαν

(1) Ψαλμ. 76, 10. (2) Ἰωάν. 6, 44. (3) Ψαλμ. 11, 8. (4) Α'. Κορ. 15, 33.

τῆς σαρκός σου τοῦ λόγου αὐτῶν ἡ ἀσέβεια. Τὰ δὲ πάθη καὶ αἱ ἐπιθυμίαι εἰσὶν ἐκεῖνοι οἱ ἐχθροί, περὶ ὧν ὁ Κύριος εἶπε· « Καὶ ἐχθροὶ τοῦ ἀνθρώπου οἱ οἰκιακοὶ αὐ» τοῦ » (1). Αὐτοὺς οὖν τοὺς ἐχθρούς σου καθοπλίζουσι κατὰ σοῦ οἱ ἀσεβεῖς, ἵνα θανατώσωσι τὴν ψυχήν σου· « Τάφος ἀνεῳγ» μένος ὁ λάρυγξ αὐτῶν (2)· μάχαιρα ὀξεῖα » ἡ γλῶσσα (3)· ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη » αὐτῶν (4)· ἰσόβολος ὁ λόγος αὐτῶν ». Κλείετε οὖν τὰ ὦτα, ὅταν αὐτοὶ λαλῶσι τῆς ἀπιστίας τὰ ῥήματα· φεύγετε τὰς ὁμιλίας αὐτῶν, ὡς φεύγετε τὴν φλόγα τοῦ πυρὸς καὶ τοῦ λοιμοῦ τὰ μολύσματα· « Υἱέ, » μή σε πλανήσωσιν ἄνδρες ἀσεβεῖς » (5)· οὕτω συμβουλεύει τὸ Πνεῦμα τὸ ἅγιον διὰ στόματος τοῦ σοφοῦ Σολομῶντος, « μηδὲ » βουληθῇς, ἐὰν παρακαλέσωσί σε· Μὴ » πορευθῇς ἐν ὁδῷ μετ' αὐτῶν, ἔκκλινον » τὸν πόδα σου ἐκ τῶν τρίβων αὐτῶν ».

# ΕΡΜΗΝΕΙΑ

## ΕΙΣ ΤΗΝ ΠΡΩΤΗΝ ΠΡΟΣ

# ΚΟΡΙΝΘΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

## ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗ; ΙΓ'. ΚΥΡΙΑΚΗ;.

Ἡ πίστις καὶ ἡ ἀγάπη εἰσὶ τὰ δύω ἀληθινὰ καὶ ἀκράδαντα τῆς σωτηρίας θεμέλια. Οὐδεὶς χωρὶς πίστεως σώζεται, οὐδεὶς χωρὶς ἀγάπης σωθῆναι δύναται. Ὅστις πιστεύει, ἀλλ' οὐκ ἀγαπᾷ, ἐκεῖνος οὐ σώζεται· ὅστις ἀγαπᾷ, ἀλλ' οὐ πιστεύει, ἐκεῖνος κολάζεται· ἐκεῖνος δὲ μόνον ἐστὶν ὁ σεσωσμένος καὶ ὁ δίκαιος καὶ ὁ ἅγιος ἐνώπιον τοῦ Θεοῦ, ὅστις, ἔχων πίστιν ἀληθῆ, ἔχει καὶ ἀγάπην πρακτικήν. Ὁ θεηγόρος Παῦλος διδάσκων τοὺς Κορινθίους κατ' ἰδίαν, ἐδίδασκε κοινῶς πᾶσαν τὴν οἰκουμένην· διὰ τοῦτο ἐὰν ἀκριβῶς στοχασθῇς πᾶσαν τὴν πρώτην πρὸς αὐτοὺς ἐπιστολὴν αὐτοῦ, βλέπεις, ὅτι ὅλη αὐτὰ τὰ δύο μαθήματα περιέχει, τὸ μάθημα δηλαδὴ τῆς πίστεως καὶ τὸ μάθημα τῆς ἀγάπης. Τοῦτ' αὐτὸ βλέπεις καὶ εἰς αὐτὰ τὰ τελευταῖα τῆς ἐπιστολῆς λόγια, τὰ σήμερον ἐν τῇ ἐκκλησίᾳ ἀναγνωσθέντα· καὶ δι' αὐτῶν πίστιν στερεὰν καὶ ἀγάπην εἰλικρινῆ παραγγέλλει· διότι καὶ οἱ ἀσπασμοὶ τῆς ἀδελφότητος, καὶ ἡ σύστασις ὑπὲρ τῆς περιποιήσεως τῶν ἀξιωτέρων, ἀγάπην πνέουσι· καὶ αὐτὴ δὲ ἡ εὐχή, ἡ ἀκροτελευταία σφραγὶς τῆς ἐπιστολῆς αὐτοῦ, ἀγάπη ἐστίν· « Ἡ ἀγάπη μου, λέ» γει, μετὰ πάντων ὑμῶν ἐν Χριστῷ Ἰη» σοῦ » (6). Κἂν δὲ ἁπλᾶ καὶ μηδεμιᾶς ἐξηγήσεως δεόμενα φαίνωνται τὰ ἀναγνωσθέντα λόγια, ὅστις ὅμως μετὰ προσοχῆς ἀκούσει τὴν ἐφεξῆς ἑρμηνείαν, ἐκεῖνος πολλὴν κερδαίνει τὴν ψυχικὴν ὠφέλειαν.

(1) Ματθ. 10, 36. (2) Ψαλμ. 5, 9. (3) Αὐτ. 56, 4. (4) Αὐτ. 13, 3. (5) Παροιμ. 1, 10, 11, 15.
(6) Α'. Κορ. 16. 24.



*Ἀδελφοί, γρηγορεῖτε, στήκετε ἐν τῇ πίστει, ἀνδρίζεσθε, κραταιοῦσθε· πάντα ὑμῶν ἐν ἀγάπῃ γινέσθω* (1).

Κατ' ἐκείνους τοὺς καιρούς, ἐν οἷς ὁ Παῦλος ἔγραφε πρὸς τοὺς Κορινθίους, ἦσαν καὶ ἀπατεῶνες, οἵτινες ἔπειθον τοὺς πιστούς, « Ὅτι ἀνάστασις νεκρῶν οὐκ ἔστι » (2) καὶ τύραννοι, οἵτινες ἐδυνάστευον αὐτούς, ἵνα ἀρνηθῶσι τὴν εἰς Χριστὸν πίστιν· καὶ σκανδαλοποιοί, οἵτινες ἐσκανδάλιζον τῶν πιστῶν τὰ πλήθη, ἄλλοι μὲν τρώγοντες τὰ εἰδωλόθυτα (3), ἄλλοι δὲ διδάσκοντες τό, « Ἐγὼ » μέν εἰμι Παύλου, ἐγὼ δὲ Ἀπολλώ, ἐγὼ δὲ » Κηφᾶ » (4). Κατὰ τῆς ἀπάτης ἀναγκαία ἐστὶν ἡ προσοχή· διότι, ὅταν προσέχῃς, δυσκόλως σὲ ἀπατᾷ ὁ πλάνος. Κατὰ τῆς δυναστείας ἀναγκαία ἐστὶν ἡ ἐπιμονή, ἡ ἀνδρεία, τὸ κράτος· διότι ὅταν ὑπάρχῃς ἐπίμονος καὶ ἀνδρεῖος καὶ κραταιός, οὐδὲν κατὰ σοῦ δύνανται τῶν τυράννων αἱ δυναστεῖαι. Κατὰ δὲ τοῦ σκανδάλου ἀναγκαιοτάτη ἐστὶν ἡ ἀγάπη· διότι, ὅταν τῇ ἀληθείᾳ ἀγαπᾷς τὸν πλησίον σου, οὐδὲν ποιεῖς προξενοῦν αὐτῷ σκάνδαλον· διὰ τοῦτο οὖν τρία παρήγγειλε τότε εἰς τοὺς πιστοὺς ὁ Παῦλος, τό, « Γρηγορεῖτε », ἵνα μὴ πλανῶνται ὑπὸ τῶν ἀπατεώνων· τό, « Στήκε» τε ἐν τῇ πίστει, ἀνδρίζεσθε, κραταιοῦ» σθε », ἵνα μὴ νικῶνται ὑπὸ τῆς δυναστείας τῶν τυράννων· καὶ τό, « Πάντα ὑμῶν ἐν » ἀγάπῃ γινέσθω », ἵνα μὴ τοὺς ἀδελφοὺς σκανδαλίζωσιν· αὐτὰ δὲ τὰ τρία ὅπλα εἰσὶ καὶ κατὰ τοῦ διαβόλου· διότι αὐτός ἐστι καὶ τῆς ἀπάτης ὁ ἐφευρετής, καὶ τῆς δυναστείας ὁ σύμβουλος, καὶ τοῦ σκανδάλου ὁ συνεργός· ἐπειδὴ δὲ ἄχρι τῆς σήμερον καὶ ἀπατεῶνες περιέρχονται, θνητοψυχίαν καὶ ἀσέβειαν διδάσκοντες· καὶ τύραννοι ἀναφαίνονται, δυναστικῶς τοὺς πιστοὺς ἀποσπῶντες ἀπὸ τῶν ὀρθῶν τῆς πίστεως δογμάτων· καὶ σκανδαλοποιοὶ πολλοί, παντὶ τρόπῳ σκανδαλίζοντες· καὶ ὁ διάβολος « Ὡς λέων » ὠρυόμενος, περιπατεῖ, ζητῶν τίνα κα» ταπίῃ » (5)· διὰ τοῦτο ἄχρι τῆς σήμερον ἀναγκαιοτάτη εἰς πᾶσαν ψυχὴν ἡ παραγγελία τοῦ Παύλου· « Γρηγορεῖτε, στήκετε » ἐν τῇ πίστει, ἀνδρίζεσθε, κραταιοῦσθε· » πάντα ὑμῶν ἐν ἀγάπῃ γινέσθω ». Βλέπε δὲ πῶς διὰ τούτων τῶν συντόμων λόγων ἀνακεφαλαιώσας ὅσα περὶ πίστεως καὶ ἀγάπης εἶπεν ἐν πάσῃ τῇ ἐπιστολῇ αὐτοῦ, δείκνυσιν ἔπειτα καὶ τῆς ἀγάπης τὸ ἔργον, παρακαλῶν ὑπὲρ τῆς τῶν ἀδελφῶν περιποιήσεως.

*Παρακαλῶ δὲ ὑμᾶς, ἀδελφοί, οἴδατε τὴν οἰκίαν Στεφανᾶ, ὅτι ἐστὶν ἀπαρχὴ τῆς Ἀχαΐας, καὶ εἰς διακονίαν τοῖς ἁγίοις ἔταξαν ἑαυτούς. Ἵνα καὶ ὑμεῖς ὑποτάσσησθε τοῖς τοιούτοις, καὶ παντὶ τῷ συνεργοῦντι καὶ κοπιῶντι* (6).

Οὗτος ὁ Στεφανᾶς ἐστιν ὁ δεσμοφύλαξ, ὃν ὁ Παῦλος ἐβάπτισε σὺν πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ αὐτοῦ ἐν τῇ πόλει Φιλίππων· διὸ καὶ πρὸς τοὺς αὐτοὺς Κορινθίους ἔγραφεν· « Ἐ» βάπτισα δὲ καὶ τὸν Στεφανᾶ οἶκον » (8). « Καὶ Ἀχαΐαν » μὲν ὀνομάζει τὴν Ἑλλάδα, καθότι ἔκπαλαι, ἐκ τῶν καιρῶν δηλαδὴ τοῦ Ὁμήρου, Ἀχαιοὶ ἐλέγοντο οἱ Ἕλληνες· ἀπαρχὴν δὲ τῆς Ἀχαΐας τοῦ Στεφανᾶ τὸν οἶκον, ἢ καθότι αὐτὸς κατῴκει τὴν πόλιν Φιλίππων, ἥτις ἦν τότε « Πρώτη τῆς με-

(1) Α'. Κορ. 16, 13, 14. (2) Αὐτ. 5, 12. (3) Αὐτ. 8, 13. (4) Αὐτ. 1, 12. (5) Α'. Πέτρ. 5, 8.
(6) Α'. Κορ. 16, 15, 16. (7) Πράξ. 16, 33. (8) Α'. Κορ. 1, 16.

« ... ρίδος τῆς Μακεδονίας πόλις » (1), ἢ καθότι ἡ οἰκία τοῦ Στεφανᾶ πρώτη ἐκ τῶν ἑλληνικῶν οἴκων ἐπίστευσεν ὅλη εἰς τὸν Ἰησοῦν Χριστόν, ἢ καθότι οἱ ἐξ αὐτοῦ τοῦ οἴκου ὑπερεῖχον εἰς τὰ κατορθώματα τῆς ἀρετῆς τοὺς **κατοικοῦντας** ἐν ταῖς ἄλλαις οἰκίαις τῆς Ἀχαΐας· διὸ καὶ ἔλεγε περὶ αὐτῶν, ὅτι Ἔταξαν, ἤγουν ἀφιέρωσαν ἑαυτοὺς εἰς τὴν ὑπηρεσίαν τῶν ἁγίων, ἤγουν τῶν πιστῶν, οὓς οὐ μόνον ἐνταῦθα, ἀλλὰ καὶ ἀλλαχοῦ ὀνομάζει ἁγίους διὰ τὸ ἅγιον ἐπάγγελμα τῆς Χριστιανικῆς πίστεως, καὶ διὰ τὴν ἁγίαν αὐτῶν ζωὴν καὶ πολιτείαν. Βλέπε δέ, μετὰ πόσης ἀγάπης συνίστησι τὸν Στεφανᾶν καὶ τοὺς περὶ αὐτόν. Παρακαλῶ, λέγει, ἐπειδὴ γινώσκετε, ὅτι οἱ κατοικοῦντες τὴν οἰκίαν τοῦ Στεφανᾶ εἰσι πρῶτοι τῶν ἐν τῇ Ἀχαΐᾳ κατὰ τὴν πίστιν καὶ τὴν ἀρετήν, καὶ ὅτι αὐτοὶ ἀφιέρωσαν ἑαυτοὺς εἰς τὴν ὑπηρεσίαν τῶν ἁγίων, ἵνα καὶ ὑμεῖς δεικνύητε πᾶσαν **ὑπακοήν**· οὐ λέγει δὲ αὐτοῖς, ἀλλὰ τοῖς τοιούτοις, ἵνα μηδεὶς νομίσῃ ὅτι κατὰ προσπάθειαν παραγγέλλει τὴν πρὸς τὸν Στεφανᾶν καὶ τοὺς οἰκιακοὺς αὐτοῦ ὑπακοὴν καὶ εὐλάβειαν· ὅθεν καὶ ἐπιβεβαιοῖ τὴν γενικὴν καὶ καθολικὴν αὐτοῦ σύστασιν, λέγων· « Καὶ παντὶ τῷ συνεργοῦντι καὶ κοπιῶντι ». **Ὑποτάσσεσθε**, λέγει, καὶ περιποιεῖσθε οὐ μόνον τὸν Στεφανᾶν καὶ τοὺς οἰκιακοὺς αὐτοῦ, ἀλλὰ καὶ ὅσους τοιοῦτοί εἰσιν, ὁποῖοι οἱ περὶ τὸν Στεφανᾶν, ἔτι δὲ καὶ πάντα ἄνθρωπον, ὅστις συμβοηθεῖ καὶ κοπιᾷ εἰς τῆς ἀρετῆς τὰ ἔργα.

*Χαίρω δὲ ἐπὶ τῇ παρουσίᾳ Στεφανᾶ καὶ Φουρτουνάτου καὶ Ἀχαϊκοῦ, ὅτι τὸ ὑμῶν ὑστέρημα οὗτοι ἀνεπλήρωσαν. Ἀνέπαυσαν γὰρ τὸ ἐμὸν πνεῦμα καὶ τὸ ὑμῶν· ἐπιγινώσκετε οὖν τοὺς τοιούτους* (2).

Ἐκ τοῦ ἀριθμοῦ τῶν ἑβδομήκοντα Ἀποστόλων εἰσὶν ὁ Φουρτουνάτος καὶ ὁ Ἀχαϊκός· ἴσως δὲ αὐτοὶ ἦσαν οἱ ἐκ τῆς οἰκίας τῆς Χλόης, περὶ ὧν ὁ Παῦλος ἐν τῇ ἀρχῇ τῆς ἐπιστολῆς αὐτοῦ ἔγραφεν· « Ἐδηλώθη γάρ μοι ἀδελφοί μου, ὑπὸ τῶν Χλόης » (3). Τούτους δὲ σὺν τῷ Στεφανᾷ ἀπέστειλαν οἱ Κορίνθιοι πρὸς τὸν Παῦλον μετὰ ἐπιστολῆς, ἥτις περιεῖχε ζητήματα περὶ γάμου καὶ παρθενίας καὶ περὶ τῶν εἰδωλοθύτων· αὐτοὶ δὲ ἐλθόντες πρὸς αὐτόν, ἐφανέρωσαν αὐτῷ τὰ μεταξὺ τῶν Κορινθίων σχίσματα, καὶ τὰ περὶ τοῦ πορνεύοντος, καὶ τὰ περὶ τῶν λεγόντων, ὅτι οἱ νεκροὶ οὐκ ἐγείρονται. Ἐπειδὴ οὖν ὁ Παῦλος δι' αὐτῶν ἀπέστειλε πρὸς αὐτοὺς τὴν ἀπόκρισιν, ἥτις οὐ μόνον περιεῖχε τῶν ζητημάτων αὐτῶν τὴν λύσιν, ἀλλὰ καὶ τὰς περὶ τῶν ἁμαρτημάτων αὐτῶν ἐλεγκτικὰς νουθεσίας (4), φοβούμενος, μήπως λαβόντες παρ' αὐτῶν τὴν τοιαύτην ἀποκριτικὴν ἐπιστολὴν αὐτοῦ, λυπήσωσιν αὐτούς, ὡς φανερώσαντας αὐτῷ τὰ τούτων παραπτώματα, διὰ τοῦτο συνίστησιν αὐτούς, λέγων· « Χαίρω ἐπὶ τῇ παρουσίᾳ Στεφανᾶ καὶ Φουρτουνάτου καὶ Ἀχαϊκοῦ ». Ταῦτα δὲ τὰ λόγια παραστατικά εἰσι τῆς πρὸς τοὺς Κορινθίους μεγάλης αὐτοῦ ἀγάπης· διότι τότε χαίρομεν βλέποντες τοὺς ἀπεσταλμένους, ὅταν πολλὰ ἀγαπῶμεν τοὺς ἀποστείλαντας· χαίρομεν βλέποντες τοὺς ἀπεσταλμένους ὑπὸ τῶν ἠγαπημένων, ὥς-

(1) Πράξ. 16, 12. καὶ 15, 12. (2) Α'. Κορ. 16, 17, 18. (3) Χρυσ. αὐτ. Α'. Κορ. 1, 11. (4) Α'. Κορ. 1, 11, καὶ 5, 1.



περ ἂν εἰ ἐβλέπομεν τοὺς ἀποστείλαντας φίλους· τοῦτο δὲ σημαίνουσι ταῦτα τὰ λόγια· « Ὅτι τὸ ὑμῶν ὑστέρημα οὗτοι ἀνεπλήρωσαν ». Ἐστερούμην, λέγει, τῆς ἀπολαύσεως ὑμῶν, ἡ δὲ τούτων παρουσία ἀνεπλήρωσε ταύτην τὴν στέρησιν, καθότι βλέπων αὐτούς, ὑμᾶς ἔβλεπον· « Ἀνέπαυσαν γὰρ τὸ ἐμὸν πνεῦμα καὶ τὸ ὑμῶν ». Ἀλλὰ πῶς οὗτοι οἱ τρεῖς ἀπεσταλμένοι ἀνέπαυσαν τὸ πνεῦμα καὶ τοῦ Παύλου καὶ τῶν Κορινθίων; Ὁ Παῦλος μαθὼν δι' αὐτῶν τὰ τῶν Κορινθίων ἁμαρτήματα, καὶ νουθετήσας αὐτούς, ἀνέπαυσε τὸ πνεῦμα αὐτοῦ, ἐπειδὴ ἐπλήρωσε τὸ ἀποστολικὸν αὐτοῦ χρέος· οἱ Κορίνθιοι ἀναγνόντες τὴν ἐπιστολὴν τοῦ Παύλου, τὴν διὰ τῶν τριῶν ἀπεσταλμένων προσενεχθεῖσαν αὐτοῖς, ἀνέπαυσαν τὸ πνεῦμα αὐτῶν ἀπὸ τῶν ἐλέγχων τῆς ἑαυτῶν συνειδήσεως, διορθωθέντες ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν, ὡς περὶ τούτου μαρτυρεῖ αὐτὸς ὁ Παῦλος, λέγων· « Βλέπω γάρ, ὅτι ἡ ἐπιστολὴ ἐκείνη εἰ καὶ πρὸς ὥραν ἐλύπησεν ὑμᾶς· νῦν χαίρω, οὐχ ὅτι ἐλυπήθητε, ἀλλ' ὅτι ἐλυπήθητε εἰς μετάνοιαν (1). Ἄκουσον δέ, πῶς διὰ τοῦ συμπεράσματος παραγγέλλει, ἵνα τιμῶσιν οὐ μόνον τοὺς τρεῖς ἀπεσταλμένους, ἀλλὰ καὶ ὅσους ὅμοιοί εἰσιν αὐτοῖς κατὰ τὴν εὐσέβειαν καὶ ἀρετήν· « Ἐπιγινώσκετε οὖν, λέγει, τοὺς τοιούτους ». Μετὰ ταῦτα γράφει τοὺς ἀσπασμοὺς τῶν ἀδελφῶν, λέγων·

*Ἀσπάζονται ὑμᾶς αἱ ἐκκλησίαι τῆς Ἀσίας· ἀσπάζονται ὑμᾶς ἐν Κυρίῳ πολλὰ Ἀκύλας καὶ Πρίσκιλλα, σὺν τῇ κατ' οἶκον αὐτῶν ἐκκλησίᾳ* (2).

Τὰ λόγια ταῦτα πείθουσιν, ὅτι ὁ Παῦλος ἔγραφεν αὐτὰ εὑρισκόμενος εἰς τὴν Ἔφεσον· καὶ ἤρξατο μὲν γράφειν τὴν πρὸς τοὺς Κορινθίους πρώτην αὐτοῦ ἐπιστολήν, ὅταν διήρχετο τὴν Μακεδονίαν, ὡς αὐτὸς μαρτυρεῖ, λέγων· « Μακεδονίαν γὰρ διέρχομαι » (3). Ἔχων δὲ σκοπὸν ἐλθεῖν καὶ μεῖναι ἐν τῇ Ἐφέσῳ ἕως τῆς Πεντηκοστῆς ὡς ὁ αὐτὸς ἐπιβεβαιοῖ, λέγων· « Ἐπιμενῶ δὲ ἐν τῇ Ἐφέσῳ ἕως τῆς Πεντηκοστῆς »· ἐλθὼν εἰς τὴν Ἔφεσον, τέλος ἐπέθηκε τῇ ἐπιστολῇ αὐτοῦ (4)· ἐκεῖ δέ, ἤγουν εἰς τὴν Ἔφεσον, δι' αὐτὸν ἦλθον ἐνδεχομένως οἱ προεστῶτες τῶν ἐκκλησιῶν τῆς Γαλατίας, τῆς Λυκαονίας, τῆς Φρυγίας, ἢ καὶ ἄλλων ἀσιατικῶν ἐκκλησιῶν· ὅθεν ὡς ἐξ αὐτῶν ἀσπάζεται τοὺς Κορινθίους· τὸν δὲ Ἀκύλαν καὶ τὴν γυναῖκα αὐτοῦ Πρίσκιλλαν εὗρεν εἰς τὴν Κόρινθον, ὅτε τὸ πρῶτον ἦλθεν ἐκεῖ. « Καὶ διὰ τὸ ὁμότεχνον εἶναι, λέγει ὁ ἱερὸς Λουκᾶς, ἔμενε παρ' αὐτοῖς καὶ εἰργάζετο· ἦσαν γὰρ σκηνοποιοὶ τὴν τέχνην » (5). Οὗτοι οὖν, ὡς φαίνεται, μετέβησαν ἐκ τῆς Κορίνθου εἰς τὴν Ἔφεσον, ὅπου ἦν τότε ὁ Παῦλος· διὰ τοῦτο καὶ ὡς ἐξ αὐτῶν ἀσπάζεται τοὺς Κορινθίους. Βλέπε δέ, πῶς διὰ τῶν ἀσπασμῶν καὶ τῶν κοινῶν τῶν τῆς Ἀσίας ἐκκλησιῶν, καὶ τῶν τῆς κατ' οἶκον ἐκκλησίας τοῦ Ἀκύλα, συνδέει πάντας τῷ συνδέσμῳ τῆς ἀγάπης. Σημείωσαι δὲ καὶ τὴν ἀρετὴν τούτων τῶν ἁγίων συζύγων, ἤγουν τοῦ Ἀκύλα καὶ τῆς Πρισκίλλης, οἵτινες ἐποίησαν τὸν οἶκον αὐτῶν ἐκκλησίαν, ὅπου οἱ πιστοὶ συναγόμενοι προσηύχοντο, καὶ ἐτέλουν τὰ θεῖα μυστήρια. Τοιαύτην δὲ ἐκκλησίαν εἶχεν οὐ μόνον ὁ Ἀκύλας, ἀλλὰ καὶ ὁ Νυμφᾶς ἐν τῇ Λαοδικείᾳ, καὶ

(1) Β'. Κορ. 7, 8, 9. (2) Α'. Κορ. 16, 19. (3) Αὐτ. 16, 5. (4) Αὐτ. 8. (5) Πράξ. 18, 3.

ὁ Φιλήμων ἐν ταῖς Κολασσαῖς (1). Ἐσώζετο ἡ τοιαύτη τοῦ Φιλήμονος οἰκία καὶ κατ' αὐτὸν τὸν πέμπτον ἀπὸ Χριστοῦ αἰῶνα.

*Ἀσπάζονται ὑμᾶς οἱ ἀδελφοὶ πάντες· ἀσπάσασθε ἀλλήλους ἐν φιλήματι ἁγίῳ* (2).

Εἰπὼν πρῶτον, « Ἀσπάζονται ὑμᾶς αἱ » ἐκκλησίαι τῆς Ἀσίας, καὶ ἡ κατ' οἶκον » ἐκκλησία τοῦ Ἀκύλα », ἔπειτα, καὶ πάντες οἱ ἀδελφοί, παρέστησε διὰ τούτου, ὅτι πάντες οἱ εἰς Χριστὸν πιστεύοντες ἀδελφικὴν ἀγάπην καὶ ἑνότητα εἶχον μεταξὺ ἀλλήλων. Παραγγέλλει δὲ καὶ εἰς τοὺς Κορινθίους, ἵνα καὶ μεταξὺ ἀλλήλων ποιήσωσι τὸν ἀσπασμόν. Ἐπειδὴ δέ εἰσι φιλήματα καὶ ὑποκριτικὰ καὶ δόλια, καθὼς τὸ τοῦ Ἰούδα, καὶ αἰσχρὰ καὶ βέβηλα, καθὼς τὰ τῶν ἀσελγούντων· φίλημα δὲ ἅγιόν ἐςι τὸ ἀνυπόκριτον, καὶ τὸ ἐκ καθαρᾶς ἀγάπης προερχόμενον, διὰ τοῦτο εἶπεν, ἵνα ποιήσωσι τὸν μεταξὺ ἀλλήλων ἀσπασμόν, οὐκ ἐν φιλήματι ἁπλῶς, ἀλλ' « Ἐν φιλή» ματι ἁγίῳ »· ἐπισυνάπτει δὲ καὶ τὸν ἴδιον ἀσπασμόν, λέγων·

*Ὁ ἀσπασμὸς τῇ ἐμῇ χειρὶ Παύλου* (3).

Ὁ Παῦλος μὲν ὑπηγόρευεν, ἄλλος δὲ ἔγραψεν ὅλην τὴν ἐπιστολήν· ταῦτα δὲ τὰ λόγια· « Ὁ ἀσπασμὸς τῇ ἐμῇ χειρὶ Παύ» λου », ἰδίᾳ χειρὶ ἔγραψεν ὁ Παῦλος· ἐπειδὴ δὲ οἱ ἀσπασμοὶ καὶ τὰ φιλήματα, περὶ ὧν αὐτὸς λαλεῖ, οὐδὲν ἄλλο σημαίνουσιν, εἰ μὴ τὴν μεταξὺ ἀλλήλων καθαρὰν καὶ εὐαγγελικὴν ἀγάπην· αὐτὴ δὲ θυγάτηρ ἐςὶ τῆς πρὸς Χριστὸν ἀγάπης, διότι « Πᾶς ὁ » ἀγαπῶν τὸν γεννήσαντα, ἀγαπᾷ καὶ » τὸν γεγεννημένον ἐξ αὐτοῦ » (4)· διὰ τοῦτο ἐπέφερε τὰ ἑξῆς·

*Εἴτις οὐ φιλεῖ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ἤτω ἀνάθεμα, μαρὰν ἀθά* (5).

Τὸ μὲν ἀνάθεμα, παντελῆ χωρισμὸν σημαίνει (6)· περὶ δὲ τοῦ, Μαρὰν ἀθά, τινὲς λέγουσιν, ὅτι ταῦτα οὐκ εἰσὶν ὀνόματα τῆς ἑβραϊκῆς, ἀλλὰ τῆς τῶν Σύρων διαλέκτου, πολλοὶ δέ, ὅτι εἰσὶν ἑβραϊκά· ἄλλοι δέ, συγκείμενα ἐκ τῆς Ἑβραίων καὶ Σύρων φωνῆς, καθότι αὗται αἱ δύο διάλεκτοι συγγένειαν ἔχουσι μεταξὺ ἀλλήλων (7)· σημαίνει δὲ κατὰ μέν τινας τό, ὁ Κύριος ἦλθε· κατ' ἄλλους δέ, ὅταν ὁ Κύριος ἔλθῃ. Καὶ κατὰ μὲν τὴν πρώτην σημασίαν ἡ ἔννοιά ἐστιν αὕτη· Εἴτις οὐκ ἀγαπᾷ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ὅστις ἦλθεν εἰς τὸν κόσμον, ἔστω κεχωρισμένος ἀπ' αὐτοῦ· κατὰ δὲ τὴν δευτέραν ἐστὶν αὕτη· Ὅστις οὐκ ἀγαπᾷ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ἔστω κεχωρισμένος ἀπ' αὐτοῦ, ὅταν ἔλθῃ κρῖναι ζῶντας καὶ νεκρούς· καί τινες μὲν λέγουσιν, ὅτι ἑβραϊστὶ ἔγραψεν αὐτὰ ὁ Παῦλος, ἵνα συντρίψῃ τὴν ὑπερηφάνειαν τῶν Κορινθίων, οἵτινες ἐπαίροντο ἐπὶ τῇ εὐφραδείᾳ τῆς ἑλληνικῆς διαλέκτου (8), δείξας αὐτοῖς, ὅτι εἰς τὸ νόημα, οὐχὶ δὲ εἰς τὴν φράσιν ἐστὶν ἡ δύναμις. Ἐπειδὴ ὅμως τρία εἴδη ἀφορισμοῦ εἶχον οἱ Ἰουδαῖοι, κατάραν, ἀνάθεμα καὶ μαρὰν ἀθά· τὸ δὲ ἔσχατον ἦν τὸ φοβερώτερον καὶ παιδευτικώτερον, ἐλέγετο δέ, ὅταν μετὰ τὴν κατάραν καὶ τὸ ἀνάθεμα ἔμενεν ὁ ἄνθρωπος ἀδιόρθωτος (9),

(1) Κολ. 4, 15. Φιλ. 1, 2. Θεοδωρ. ἐν προοιμ. τῆς πρὸς Φιλιπ. ἐπις. (2) Α'. Κορ. 16, 20, (3) Αὐτ. 16, 21.
(4) Α'. Ἰωάν. 5, 1. (5) Α'. Κορ. 16, 22. (6) Θεοδωρ. αὐτ. (7) Χρυσ. Οἰκουμ. Θεοφ. αὐτ. Ἱερων. εἰς τὴν πρὸς Μαρκέλλ. ἐπιστ. Ὅρα τοὺς καλουμ. Ἱερ. Κριτικ. (8) Χρυσ. Οἰκ. Θεοφ. (9) Ὅρα τοὺς Κριτικ.



μήπως ὁ Παῦλος ἔγραψε τοῦτο οὕτως, ὡς ἐλέγετο, ἤγουν μαρὰν ἀθά, διὰ περισσοτέραν τοῦ λόγου ἔμφασιν. Διὰ τούτων δὲ τῶν λόγων πολὺν φόβον ἐνέσταξεν εἰς τὰς καρδίας τῶν Κορινθίων, σπουδάζων πεῖσαι αὐτούς, ἵνα ἀγαπῶσι τὸν Ἰησοῦν Χριστόν, ἑπομένως δὲ καὶ ἀλλήλους, καὶ οὕτω παύσωσι τὰ μεταξὺ ἀλλήλων σκάνδαλα καὶ τὰ σχίσματα, καὶ μηκέτι λέγοντες· « Ἐγὼ » μέν εἰμι Παύλου, ἐγὼ δὲ Ἀπολλώ, ἐγὼ » δὲ Κηφᾶ, ἐγὼ δὲ Χριστοῦ » (1), ἀφιερώσωσι πᾶσαν τὴν ἑαυτῶν ἀγάπην καὶ τὴν ἐλπίδα εἰς τὸν Ἰησοῦν Χριστόν· ἐπειδὴ δὲ τοσοῦτον ἐφόβισε, διὰ τοῦτο θαρσοποιεῖ αὐτοὺς διὰ τῶν ἑξῆς λόγων·

*Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μεθ' ὑμῶν. Ἡ ἀγάπη μου μετὰ πάντων ὑμῶν ἐν Χριστῷ Ἰησοῦ. Ἀμήν* (2).

Περιέχει ἡ πρὸς Κορινθίους πρώτη ἐπιστολὴ τοῦ θεορρήμονος Παύλου καὶ ἀποδείξεις τῆς πίστεως, καὶ νουθεσίας, καὶ ἐλέγχους, καὶ φοβερισμούς, καὶ ἐπιτίμια, τὸ δὲ τέλος αὐτῆς εὐχή ἐστι καὶ δηλοποίησις τῆς πρὸς αὐτοὺς εὐνοϊκῆς αὐτοῦ διαθέσεως· εὔχομαι, λέγει, ἵνα ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ εἴη μεθ' ὑμῶν. Δηλοποιεῖ δέ, ὅτι πάντας αὐτοὺς ἀγαπᾷ ἀγάπῃ καθαρᾷ καὶ ἁγίᾳ, ἥτις ἐστὶν ἡ ἀγάπη, ἣν ἐνομοθέτησεν ὁ Ἰησοῦς Χριστός. Ἡ κατὰ Χριστὸν ἀγάπη μου, λέγει, ἐστὶ μετὰ πάντων ὑμῶν· « Ἡ ἀγάπη μου μετὰ πάντων » ὑμῶν ἐν Χριστῷ Ἰησοῦ. Ἀμήν ». Ἐλθέτω δέ, Κύριε, καὶ εἰς ἡμᾶς ἡ χάρις, ἣν ηὔξατο τοῖς Κορινθίοις ὁ Ἀπόστολός σου, ἵνα τῇ θείᾳ αὐτῆς δυνάμει ἀγαπήσαντές σε ἐξ ὅλης ψυχῆς καὶ καρδίας, ἐλευθερωθῶμεν ἀπὸ τῆς φοβερᾶς καταδίκης τοῦ ἀναθέματος, μαρὰν ἀθά· μείνωμεν δὲ ἀχωρίστως συνηνωμένοι μετὰ σοῦ τοῦ Σωτῆρος ἡμῶν καὶ ἐν τῇ παρούσῃ ζωῇ, καὶ ἐν τῇ ὥρᾳ τοῦ θανάτου, καὶ μετὰ θάνατον, καὶ ὅταν ἔλθῃς κρῖναι ζῶντας καὶ νεκρούς, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

(1) Α'. Κορ. 1, 12. (2) Αὐτ. 16, 23, 24.

# ΟΜΙΛΙΑ

ΜΕΤΑ ΤΗΝ ΠΡΩΤΗΝ ΠΡΟΣ

## ΚΟΡΙΝΘΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

### ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗι ΙΓ'. ΚΥΡΙΑΚΗι.

Η πρὸς τοὺς Κορινθίους σύστασις τοῦ Ἀποστόλου Παύλου περὶ τῆς οἰκίας τοῦ Στεφανᾶ, καὶ ἡ παραγγελία αὐτοῦ ὑπὲρ τοῦ Φουρτουνάτου καὶ τοῦ Ἀχαϊκοῦ, ἐστὶ νομοθεσία κοινὴ περὶ τῆς ὑπὸ πάντων χρεωστουμένης περιποιήσεως καὶ ὑπακοῆς εἰς τοὺς ἐργαζομένους τὰ θεάρεστα τῆς ἀρετῆς ἔργα. Ὁ Στεφανᾶς καὶ οἱ ἐν τῇ οἰκίᾳ αὐτοῦ ἦσαν ἀφιερωμένοι εἰς τὴν ὑπηρεσίαν τῶν πιστῶν καὶ ἁγίων ἀνθρώπων, φιλοξενοῦντες, συμβοηθοῦντες, παντὶ τρόπῳ ὑπηρετοῦντες αὐτοὺς εἰς πᾶσαν ἀνάγκην καὶ εἰς πᾶσαν περίστασιν, ὑπηρεσίας δεομένην. Ὁ Φουρτουνάτος καὶ ὁ Ἀχαϊκός, κήρυκες τῆς πίστεως καὶ διδάσκαλοι ὄντες, ἀνέλαβον προθύμως σὺν τῷ Στεφανᾷ καὶ τὸν τῆς ὁδοιπορίας κόπον, ἐλθόντες πρὸς τὸν Παῦλον, ἵνα καὶ τοῦ Παύλου καὶ τῶν Κορινθίων ἀναπαύσωσι τὸ πνεῦμα· ἐκ τούτου οὖν ἀφορμὴν λαβὼν ὁ Παῦλος, παρήγγειλε γενικῶς, καὶ ἐνομοθέτησε τοῖς πᾶσι τὴν πρὸς τοὺς ἐναρέτους ἀνθρώπους ὑπακοὴν καὶ εὐλάβειαν· διὰ τοῦτο δὲ οὐκ εἶπεν, ἵνα καὶ ὑμεῖς ὑποτάσσησθε αὐτοῖς, ἀλλ' « Ἵνα » καὶ ὑμεῖς ὑποτάσσησθε τοῖς τοιούτοις »· οὐδὲ εἶπεν· Ἐπιγινώσκετε οὖν αὐτούς, ἀλλ' « Ἐπιγινώσκετε οὖν τοὺς τοιούτους » (1), ἤγουν τοὺς ποιοῦντας τὰ ἀγαθὰ ἔργα, ὡς ὁ Στεφανᾶς καὶ ὁ Φουρτουνάτος καὶ ὁ Ἀχαϊκός. Ἵνα δὲ ἐπιβεβαιώσῃ, ὅτι ἐπὶ τὸ κοινὸν ἐπιβλέπει ὁ λόγος αὐτοῦ, προσέθηκε τό, « Καὶ παντὶ τῷ συνεργοῦντι » καὶ κοπιῶντι » (2), τουτέςι, τιμᾶτε καὶ ὑποτάσσεσθε οὐ μόνον εἰς τοὺς τρεῖς εἰρημένους, ἀλλὰ καὶ εἰς πάντα ἄνθρωπον συμβοηθοῦντα καὶ κοπιάζοντα ὑπὲρ τῶν καλῶν ἔργων. Ἡ παραγγελία αὕτη οὐκ ἔστιν ἐφεύρημα τοῦ Παύλου, ἀλλὰ βουλὴ καὶ θέλημα τοῦ Θεοῦ· διότι αὐτὸς ὁ Θεός, καὶ διὰ τῆς Παλαιᾶς, καὶ διὰ τῆς Νέας Διαθήκης, καὶ διὰ λόγου, καὶ διὰ παραδειγμάτων ἐδίδαξεν, ὅτι ἡ εὐλάβεια, καὶ ἡ περιποίησις, καὶ ἡ ὑπακοὴ πρὸς τοὺς ἐναρέτους καὶ ἁγίους ἀνθρώπους, ἐστὶν ἔργον πολλὰ ἀρεστὸν εἰς αὐτὸν καὶ εὐπρόσδεκτον.

Τὸ ἁπαλώτερον καὶ τιμιώτερον πάντων τῶν μελῶν τοῦ σώματός ἐστιν ὁ ὀφθαλμός· τῶν δὲ μερῶν, ἐξ ὧν ὁ ὀφθαλμὸς σύγκειται, τὸ τρυφερώτερον καὶ χρησιμώτερόν ἐστιν ἡ κόρη τοῦ ὀφθαλμοῦ· αὐτὴ οὐδὲν ἄλλο ἐστίν, εἰμὴ μικρὰ στρογγύλη τρύπα ἐν τῷ κερατοειδεῖ τοῦ ὀφθαλμοῦ χιτῶνι, ἐσκεπα-

(1) Α'. Κορ. 16, 16, 17. (2) Αὐτ. 16.



σμένη διὰ λεπτοτάτης ἀραχνοειδοῦς μεμβράνης, ἥτις διὰ τὴν ἄκραν λεπτότητα καὶ τὴν ὑπερβάλλουσαν αὐτῆς ἁπαλότητα οὐδεμίαν ἐπιδέχεται ψηλάφησιν. ὅθεν, ἐάν τις τολμήσῃ ψηλαφῆσαι τὴν κόρην τοῦ ὀφθαλμοῦ αὐτοῦ, ἐκεῖνος σχίζει εὐθὺς καὶ συντρίβει τὴν σκεπάζουσαν αὐτὴν ἀραχνοειδῆ μεμβράναν· διὸ ἐκχεῖται τὸ ἐν τῷ βολβῷ τοῦ ὀφθαλμοῦ αὐτοῦ ὕδωρ, ταράττεται δὲ τὸ κρυσταλλοειδὲς μέρος, καὶ ἡ καλουμένη φακή, καί, ἑνὶ λόγῳ, διαφθείρεται ὅλος ὁ ὀφθαλμός· ὅθεν σκότος περικαλύπτει εὐθὺς ἐκεῖνον τὸν ἄνθρωπον, καὶ μένει διὰ παντὸς τυφλός. Ὁ Θεός, ἵνα παραστήσῃ τὸ ὕψος τῆς ἀξίας καὶ τῆς τιμῆς τῶν ἐναρέτων ἀνθρώπων, καὶ τό, πόσον ἀναγκαῖόν ἐστιν, ἵνα προσέχωμεν καὶ τιμῶμεν αὐτούς, πόσον δὲ βλαπτόμεθα, ἐὰν ἐνοχλήσωμεν αὐτούς, ὡμοίωσεν αὐτοὺς μετὰ τῆς κόρης τοῦ ὀφθαλμοῦ, εἰπὼν ὑπὲρ αὐτῶν· « Ὁ ἁπτό- » μενος ὑμῶν, ὡς ὁ ἁπτόμενος τῆς κόρης » τοῦ ὀφθαλμοῦ αὐτοῦ » (1). Ἀκούετε; Ὁ ἁπτόμενος ὑμῶν· ὅστις ἢ δι' ἔργου, ἢ διὰ λόγου, ἢ δι' ἄλλου ὁποιουδήποτε τρόπου περιφρονήσει ὑμᾶς τοὺς δούλους μου, « Ὡς » ὁ ἁπτόμενος τῆς κόρης τοῦ ὀφθαλμοῦ αὐ- » τοῦ », ἐκεῖνος γίνεται ὅμοιος τῷ ἀνθρώπῳ, ὅστις ψηλαφᾷ τὴν κόρην τοῦ ὀφθαλμοῦ αὐτοῦ, ἤγουν προξενεῖ ἑαυτῷ μεγίστην βλάβην καὶ ἀφανισμόν. Ταῦτα δὲ οὐ μόνον διὰ λόγου εἶπεν ὁ Θεός, ἀλλὰ καὶ διὰ τῶν πραγμάτων ἐβεβαίωσεν.

Ἕνα μόνον λόγον ἐλάλησεν ἡ Μαριὰμ κατὰ τοῦ ἀδελφοῦ αὐτῆς, τοῦ Μωϋσέως. « Μὴ Μωϋσεῖ, εἶπε, μόνῳ λελάληκε Κύριος, » οὐχὶ καὶ ἡμῖν ἐλάλησε; » (2) Καὶ ὁ μὲν Μωϋσῆς, ἄνθρωπος ὢν « Πραῢς σφόδρα » παρὰ πάντας τοὺς ἀνθρώπους, τοὺς ὄν- » τας ἐπὶ τῆς γῆς », ἐσιώπησε, καὶ μεθ' ὑπομονῆς ὑπέφερε τὴν αὐθάδειαν καὶ τὴν περιφρόνησιν τῆς Μαριάμ· ὁ Κύριος ὅμως ὠργίσθη κατ' αὐτῆς· « Καὶ ἰδοὺ λέπρα λευ- » κὴ ὡσεὶ χιὼν πεπλήρωκε τὸ σῶμα αὐ- » τῆς » (3). Βλέπε οὖν πεπληρωμένον τὸν λόγον, ὃν εἶπεν ὁ Θεός· « Ὁ ἁπτόμενος ὑ- » μῶν, ὡς ὁ ἁπτόμενος τῆς κόρης τοῦ ὀφ- » θαλμοῦ αὐτοῦ » (4).

Ὅταν ὁ βασιλεὺς Ἱεροβοὰμ προσέφερε τὴν θυσίαν αὐτοῦ εἰς τὸ ἐν Βαιθὴλ θυσιαστήριον, τότε ἐνεφανίσθη ἐκεῖ εἷς ἄνθρωπος τοῦ Θεοῦ, ὅστις σταθεὶς πλησίον τοῦ θυσιαστηρίου, προεφήτευσε τὴν ἐξουδένωσιν καὶ τὸν ἀφανισμὸν ἐκείνου τοῦ θυσιαστηρίου· ὁ δὲ Ἱεροβοὰμ ταῦτα ἀκούσας, ἥπλωσε τὴν χεῖρα αὐτοῦ, καὶ εἶπε πρὸς τὸν λαόν, πιάσατε αὐτὸν τὸν ἄνθρωπον. Κᾂν δὲ ὁ ἄνθρωπος τοῦ Θεοῦ οὐδὲ ἀντέστη, οὐδὲ ἐλάλησεν, εὐθὺς ὅμως ἐξηράνθη τοῦ Ἱεροβοὰμ ἡ χείρ, ὥστε οὐκ ἠδυνήθη συστεῖλαι αὐτήν, καὶ ἐπιστρέψαι εἰς τὴν προτέραν αὐτῆς κατάστασιν, εἰμὴ ὅτε ἐδεήθη τοῦ Θεοῦ ἐκεῖνος ὁ ἅγιος ἄνθρωπος· « Καὶ ἰδοὺ ἐξηράνθη ἡ » χεὶρ αὐτοῦ, ἣν ἐξέτεινεν ἐπ' αὐτόν· καὶ » οὐκ ἠδυνήθη ἐπιστρέψαι αὐτὴν πρὸς ἑαυ- » τόν, καὶ ἐδεήθη ὁ ἄνθρωπος τοῦ Θεοῦ τοῦ » προσώπου Κυρίου, καὶ ἐπέςρεψε τὴν χεῖ- » ρα τοῦ βασιλέως πρὸς αὐτόν, καὶ ἐγένετο » καθὼς τὸ πρότερον » (8). Βλέπεις τί συμβαίνει εἰς ἐκείνους, οἵτινες οὐκ εὐλαβοῦνται τοὺς δούλους τοῦ Θεοῦ; βλέπεις τὴν ἐκπλήρωσιν τοῦ λόγου ὃν εἶπεν ὁ Θεός; « Ὁ ἁ- » πτόμενος ὑμῶν, ὡς ὁ ἁπτόμενος τῆς κό- » ρης τοῦ ὀφθαλμοῦ αὐτοῦ » (6). Ἄκουσον δὲ καὶ ἄλλο παράδειγμα θαυμασιώτερον.

(1) Ζαχ. 2, 8. (2) Ἀριθ. 12, 2, 3. (3) Αὐτ. 10. (4) Ζαχ. 2, 8. (5) Γ'. Βασ. 13, 4, 6. (6) Ζαχ. 2, 8.

Τῷ καιρῷ ἐκείνῳ ἀνέβαινεν ὁ προφήτης Ἐλισσαῖος εἰς Βαιθήλ, τινὰ δὲ μικρὰ παιδάρια ἐξελθόντα τῆς πόλεως, περιέπαιζον αὐτόν· παιδάρια ἦσαν αὐτά, ὅπερ ἐστίν, οὐδὲ γνῶσιν εἶχον, οὐδὲ φρόνησιν ἀνδρὸς τελείου· ὁ δὲ λόγος, ὃν εἶπον κατὰ τοῦ προφήτου, οὐκ ἦν ὑβριστικός, ἀλλὰ περιπαικτικός. Παιδία μικρὰ εἶδον τὸν Ἐλισσαῖον φαλακρόν, ἴσως δὲ οὐκ ἐγίνωσκον, ὅτι ἐστὶ προφήτης· ὅθεν παίζοντα ἔλεγον· « Ἀνάβαινε, φαλακρέ, ἀνάβαινε » (1)· καὶ ὅμως εὐθὺς ἐξῆλθον ἐκ τοῦ δρυμοῦ δύω ἄρκτοι, καὶ κατέσχισαν τεσσαράκοντα καὶ δύο ἐξ αὐτῶν. Ἵνα δὲ μηδεὶς νομίσῃ, ὅτι κατὰ συμβεβηκὸς αἱ ἄρκτοι ἐξῆλθον τότε ἐκ τοῦ δρυμοῦ, καὶ κατέσχισαν τὰ παιδία ἐκεῖνα, συνεχώρησεν ὁ Θεός, ἵνα πρῶτον ὁ Ἐλισσαῖος ὁ πρᾳότατος καταρασθῇ αὐτὰ ἐν ὀνόματι Κυρίου, ἔπειτα ἐξέλθωσιν αἱ ἄρκτοι ἐκ τοῦ δρυμοῦ, καὶ κατασχίσωσιν αὐτά· « Καὶ ἐξένευσε, λέγει ἡ ἱερὰ ἱστορία, ὀπίσω αὐτῶν ὁ Ἐλισσαῖος, καὶ εἶδεν αὐτά, καὶ κατηράσατο αὐτοῖς ἐν ὀνόματι Κυρίου, καὶ ἰδοὺ ἐξῆλθον δύο ἄρκτοι ἐκ τοῦ δρυμοῦ, καὶ ἀνέῤῥηξαν ἀπ' αὐτῶν τεσσαράκοντα καὶ δύο παῖδας » (2). Ἐὰν οὖν ὁ Θεὸς ἐπαίδευσεν ἐκεῖνα τὰ μικρὰ παιδάρια, τὰ διὰ τὸ ἀτελὲς τοῦ νοὸς αὐτῶν ἕνα μόνον περιπαικτικὸν λόγον εἰπόντα κατὰ τοῦ προφήτου Ἐλισσαίου, τί ἆρά γε ποιήσει ὁ Θεὸς κατ' ἐκείνων τῶν ἀνθρώπων, οἵτινες καὶ κατὰ τὴν ἡλικίαν, καὶ κατὰ τὴν φρόνησιν τελειότεροι ὄντες τῶν παιδαρίων ἐκείνων, οὐκ εὐλαβοῦνται, ἀλλὰ κατακρίνουσι καὶ περιφρονοῦσι τοὺς ἐναρέτους ἀνθρώπους, τοὺς ἱερωμένους, τοὺς διδασκάλους, τοὺς συνεργοῦντας καὶ κοπιῶντας ὑπὲρ τῆς κοινῆς τῶν πιστῶν ὠφελείας; Τινὲς τῶν ἑρμηνευτῶν λέγουσιν, ὅτι ὁ Θεὸς ἐπαίδευσεν ἐκεῖνα τὰ παιδάρια, ἵνα λυπήσῃ τοὺς γονεῖς αὐτῶν, τοὺς μὴ διδάξαντας αὐτὰ τὸ πρὸς τοὺς ἁγίους ἄνδρας χρεωςούμενον σέβας (3). Ἀνάγκη οὖν ἐστιν, ἵνα πάντες οἱ γονεῖς ἔχοντες πρὸ τῶν ὀφθαλμῶν αὐτῶν τοῦτο τὸ φοβερὸν παράδειγμα, διδάσκωσιν ἐπιμελῶς τὰ ἴδια τέκνα, ἵνα προσφέρωσι τὴν πρέπουσαν τιμὴν καὶ εὐλάβειαν πρὸς τοὺς δούλους τοῦ Κυρίου.

Ὅμοια παραδείγματα βλέπεις καὶ εἰς τὰ βιβλία τῆς Νέας Διαθήκης. Ὁ Ἀνανίας καὶ ἡ γυνὴ αὐτοῦ Σαπφεῖρα ἐσυμφώνησαν, ἵνα ἀπατήσωσι τοὺς Ἀποστόλους· αὐτοὶ πωλήσαντες τὸ χωρίον αὐτῶν, μέρος μὲν τῆς τιμῆς τοῦ χωρίου ἔκρυψαν, μέρος δὲ προσέφερον τοῖς Ἀποστόλοις· καὶ ὁ μὲν Πέτρος ἤλεγξε τὴν τοῦ Ἀνανίου δολιότητα, ὁ δὲ Ἀνανίας ἀκούσας τοῦ Πέτρου τὸν ἔλεγχον, « Πεσὼν ἐξέψυξε » (4). Τοῦτ' αὐτὸ ἔπαθε καὶ ἡ Σαπφεῖρα, ἥτις ἐρωτηθεῖσα ὑπὸ τοῦ Πέτρου, περὶ τῆς τιμῆς τοῦ χωρίου, καὶ ψευσθεῖσα ἐνώπιον αὐτοῦ, καὶ ἐλεγχθεῖσα ὑπ' αὐτοῦ, « Ἔπεσε παραχρῆμα παρὰ τοὺς πόδας αὐτοῦ καὶ ἐξέψυξεν » (5). Ὁ μὲν Παῦλος καὶ ὁ Βαρνάβας κατηχοῦσι τὸν ἀνθύπατον Σέργιον Παῦλον, ὁ δὲ Ἐλύμας ὁ μάγος καταθλίβει αὐτούς, ἐναντιούμενος αὐτοῖς, καὶ ζητῶν διαστρέψαι τὸν ἀνθύπατον ἀπὸ τῆς πίστεως· ὅθεν ὁ Παῦλος πλησθεὶς ζήλου καὶ Πνεύματος ἁγίου, ἐλέγχει καὶ καταρᾶται τὸν μάγον· « Καὶ νῦν ἰδού, εἶπε, χεὶρ τοῦ Κυρίου ἐπὶ σέ, καὶ ἔσῃ τυφλός, μὴ βλέπων τὸν ἥλιον ἄχρι καιροῦ· παραχρῆμα δὲ ἐπέπεσεν ἐπ' αὐτὸν ἀχλὺς καὶ σκότος, καὶ περιάγων ἐζήτει χειραγωγούς » (1).

(1) Δ'. Βασ. 2, 23. (2) Αὐτ. 24. (3) Θεοδώριτ. ἐν τῇ Δ'. τῶν Βασ. (4) Πράξ. 5, 1. (5) Αὐτ. 10.



Ἀλλ' ἡμεῖς βλέπομεν, λέγετε, τόσον πλῆθος διωκτῶν, τυράννων, παγκακίστων ἀνθρώπων, οἵτινες καὶ περιεφρόνησαν καὶ ἐτυράννησαν, καὶ τέλος πάντων ἐθανάτωσαν τόσα πλήθη ἁγίων ἀνδρῶν καὶ γυναικῶν, καὶ ὅμως οὐδεμίαν ἔλαβον τιμωρίαν. Καὶ ἄχρι τῆς σήμερον δὲ βλέπομεν πολλοὺς ἐξουδενοῦντας τοὺς ἐναρέτους, καὶ μηδεμίαν λαμβάνοντας παίδευσιν. Ὑμεῖς λαλεῖτε ὡς θνητόψυχοι, καὶ ὥσπερ ἂν εἰ μὴ ἐπιστεύετε, ὅτι ἐστὶ μέλλουσα ζωή, καὶ κρίσις κοινή, καὶ ἀνταπόδοσις τῶν ἔργων, ὧν ἕκαστος ἔπραξεν· οὐ πιστεύετε ὑμεῖς, ὅτι ὁ καιρὸς τῆς παρούσης ζωῆς οὐκ ἔστιν ὁ καιρὸς τῆς κρίσεως καὶ τῆς ἀνταποδόσεως; οὐ πιστεύετε, ὅτι ὁ Ἰησοῦς Χριστὸς ἐλεύσεται πάλιν ἐπὶ τῆς γῆς κρῖναι ζῶντας καὶ νεκρούς; οὐκ οἴδατε, ὅτι τότε ἕκαστος λαμβάνει τὴν ἀνταπόδοσιν τῶν ἔργων αὐτοῦ; οὐκ ἀκούετε τὸν Θεὸν λέγοντα· « Φυλάσσεται δὲ ὁ ἀσεβὴς εἰς ἡμέραν κακήν· οἱ δὲ ἀσεβεῖς ἐν ἡμέρᾳ κακῇ ὀλοῦνται; » (2) Τότε οὖν οἱ διῶκται καὶ οἱ τύραννοι καὶ οἱ παγκάκιστοι ἄνθρωποι, οἱ τοὺς ἁγίους διώξαντες, ἢ ἀποκτείναντες, ἢ περιφρονήσαντες, λαμβάνουσι τὴν πρέπουσαν ἀνάλογον τιμωρίαν. Ἐὰν δὲ βλέπητε τινὰς ἐξ αὐτῶν παιδευομένους εἰς ταύτην τὴν πρόσκαιρον ζωήν, τοῦτο λογίζεσθε οἰκονομίαν Θεοῦ καὶ εὐσπλαγχνίαν· οἰκονομίαν μὲν δι' ἡμᾶς, ἵνα ἡμεῖς βλέποντες ἐκείνους τιμωρουμένους, φεύγωμεν τῆς ἁμαρτίας τὴν μίμησιν· εὐσπλαγχνίαν δὲ δι' ἐκείνους· ἐπειδὴ ἡ πρόσκαιρος παίδευσις ἐπιφέρει εἰς αὐτοὺς τὸ ἔλεος· « Ἐπισκέψομαι, εἶπεν ὁ Θεός, ἐν ῥάβδῳ τὰς ἀνομίας αὐτῶν, καὶ ἐν μάστιξι τὰς ἀδικίας αὐτῶν· τὸ δὲ ἔλεός μου οὐ μὴ διασκεδάσω ἀπ' αὐτῶν, οὐδ' οὐ μὴ ἀδικήσω ἐν τῇ ἀληθείᾳ μου » (3). Μὴ λέγετε οὖν, ὅτι πλῆθος τῶν ἐξουδενούντων τοὺς ἁγίους οὐδεμίαν ἔλαβον τιμωρίαν· διότι πάντες τιμωροῦνται· ἄλλοι μὲν προσκαίρως, ἄλλοι δὲ αἰωνίως, ὡς διορίζει ἡ ἀνωτάτω καὶ μυστηριώδης θεία πρόνοια.

Οὐ μόνον δὲ ἐτιμώρησεν ὁ Θεὸς εἰς τὴν παροῦσαν ζωὴν τοὺς καταφρονητὰς τῶν ἐναρέτων, ἀλλὰ καὶ εὐλόγησεν ἐκείνους, οἵτινες εὐλαβήθησαν καὶ ὑπεδέχθησαν αὐτοὺς περιποιητικῶς, παράδειγμα φανερὸν ὁ Λάβαν. Αὐτὸς ὅταν ἤκουσεν, ὅτι ὁ Ἰακὼβ ἔρχεται πρὸς αὐτόν, ἔτρεξεν εἰς συνάντησιν αὐτοῦ, καὶ ἐνηγκάλισεν αὐτόν, καὶ ἐφίλησεν αὐτόν· « Καὶ εἰσήγαγεν αὐτὸν εἰς τὸν οἶκον αὐτοῦ » (4). Ὅταν δὲ ὁ Ἰακὼβ ἐμελέτησεν ἀναχωρῆσαι ἀπὸ τῆς οἰκίας τοῦ Λάβαν, τότε ὁ Λάβαν ὡμολόγησε φανερὰ τὴν εὐτυχίαν, ἣν ἔδωκεν αὐτῷ ὁ Θεός, ἐπειδὴ ὑπεδέχθη τὸν Ἰακὼβ εἰς τὸν οἶκον αὐτοῦ « Εὐλόγησε γάρ με, εἶπεν, ὁ Θεὸς ἐπὶ τῇ σῇ εἰσόδῳ » (5). Τοῦτ' αὐτὸ ἀναγινώσκομεν καὶ περὶ τῆς οἰκίας τοῦ Πετεφρῆ, ὅτε εἰσήγαγεν ἐν αὐτῇ τὸν Ἰωσήφ· « Καὶ εὐλόγησε, λέγει ἡ Θεία Γραφή, Κύριος τὸν οἶκον τοῦ Αἰγυπτίου διὰ Ἰωσήφ, καὶ ἐγενήθη εὐλογία Κυρίου ἐν πᾶσι τοῖς ὑπάρχουσιν αὐτῷ ἐν τῷ οἴκῳ καὶ ἐν τῷ ἀγρῷ αὐτοῦ » (6). Μακάριος οὖν καὶ εὐτυχὴς ἐκεῖνος ὁ ἄνθρωπος, ὅστις σέβεται καὶ περιποιεῖται τοὺς ἐναρέτους ἀνθρώπους.

Τὰ παραδείγματα, ἄφωνα ὄντα, ἔχουσι φωνὴν παντὸς λόγου ἰσχυροτέραν· ὁ Θεὸς ὅμως ἐδίδαξεν ἡμᾶς τὴν πρὸς τοὺς ἁγίους

(1) Πράξ. 13, 11. (2) Παροιμ. 16, 5, 3. (3) Ψαλμ. 88, 33, 34. (4) Γεν. 29, 13. (5) Αὐτ. 30, 27. (6) Αὐτ. 39, 5.

εὐλάβειαν οὐ μόνον διὰ τῶν παραδειγμάτων, ἀλλὰ καὶ διὰ λόγου ἐμφαντικωτάτου καὶ τῆς θείας αὐτοῦ βουλῆς ἀποδεικτικοῦ· « Ὁ δεχόμενος ὑμᾶς, εἶπε περὶ αὐτῶν, ἐμὲ » δέχεται· καὶ ὁ ἐμὲ δεχόμενος, δέχεται » τὸν ἀποστείλαντά με. Ὁ ἀκούων ὑμῶν, » ἐμοῦ ἀκούει, καὶ ὁ ἀθετῶν ὑμᾶς, ἐμὲ ἀ» θετεῖ· ὁ δὲ ἐμὲ ἀθετῶν, ἀθετεῖ τὸν ἀπο» στείλαντά με » (1). Τί σημαίνουσι ταῦτα; Καὶ τί ἄλλο, εἰ μὴ ὅτι ὁ Θεὸς κατέστησε τοὺς ἁγίους ἰσοτίμους αὐτῷ, καὶ τὸν τόπον αὐτοῦ ἐπέχοντας, καὶ ὡς ἐπιτρόπους αὐτοῦ ἐπὶ τῆς γῆς, καὶ ἑπομένως ὅτι ἔδωκεν αὐτοῖς τὴν ἐξουσίαν τοῦ θείου αὐτοῦ κράτους; ἀληθῶς δὲ βλέπομεν, ὅτι πάντα τὰ κτίσματα προσφέρουσιν εἰς αὐτοὺς πᾶσαν ὑπακοὴν καὶ εὐλάβειαν. Εὐλαβήθησαν αὐτοὺς τὰ ἄγρια τετράποδα· οἱ λέοντες ἐν τῷ λάκκῳ, κἂν πεινῶντες ἦσαν, οὐ μόνον οὐ κατέφαγον, ἀλλ' οὐδὲ ἔβλαψαν ὅλως τὸν Δανιὴλ (2). Εὐλαβήθησαν αὐτοὺς τὰ ἑρπετά· ἡ ἔχιδνα ἥψατο μὲν τῆς χειρὸς τοῦ Παύλου, οὐδὲν ὅμως κακὸν ἐποίησεν αὐτῷ (3). Εὐλαβήθησαν αὐτοὺς τὰ νηκτά· τὸ κῆτος κατέπιε μὲν τὸν Ἰωνᾶν, ἐφύλαξεν ὅμως αὐτὸν σῶον ἐν τῇ κοιλίᾳ αὐτοῦ « Τρεῖς » ἡμέρας καὶ τρεῖς νύκτας, ἔπειτα ἐξέβαλεν » αὐτὸν ζῶντα ἐπὶ τὴν ξηράν » (4). Ὑπηρέτησαν αὐτοὺς τὰ πετεινά· οἱ κόρακες ἔφερον εἰς τὸν Ἠλίαν « Ἄρτους τὸ πρωΐ, καὶ κρέας » τὸ δείλης » (5). Ἐσεβάσθη αὐτοὺς τὸ πῦρ· ἡ φλὸξ τῆς ἑπταπλασίως καυθείσης καμίνου, οὐδὲ ἥψατο, οὐδὲ παρηνώχλησε τοὺς τρεῖς παῖδας, τοὺς ἑστῶτας ἐν μέσῳ αὐτῆς, ἀλλ' ἐξῆλθον ἐκ μέσου τοῦ πυρὸς ἀβλαβεῖς (6). Ὑπήκουσαν εἰς αὐτοὺς τὰ στοιχεῖα· τὸν μὲν ἀέρα εἰς ψηλαφητὸν σκότος καὶ γνόφον καὶ θύελλαν, τὸ δὲ ὕδωρ εἰς αἷμα, τὸ δὲ χῶμα τῆς γῆς εἰς σκνίφας μετέβαλεν ὁ Μωϋσῆς, τὸ δὲ ὀλίγον πῦρ τῆς καμιναίας αἰθάλης διὰ τῆς χειρὸς αὐτοῦ διασκεδάσας εἰς τὸν ἀέρα, ἐπλήρωσε πληγῶν τοὺς ἀνθρώπους καὶ τὰ τετράποδα πάσης τῆς Αἰγύπτου (7). Ὑπετάγησαν εἰς τὸν λόγον αὐτῶν τὰ νέφη· « Εἰ ἔσται, εἶπεν ὁ » Ἠλίας, τὰ ἔτη ταῦτα δρόσος καὶ ὑετός, » ὅτι εἰμὴ διὰ στόματος λόγου μου. Καὶ » οὐκ ἔβρεξεν ἐπὶ τῆς γῆς ἐνιαυτοὺς τρεῖς » καὶ μῆνας ἕξ » (8). Ὑπήκουσεν εἰς τὸ πρόσταγμα αὐτῶν ὁ ἥλιος καὶ ἡ σελήνη· « Στήτω ὁ ἥλιος, εἶπεν ὁ Ἰησοῦς τοῦ Ναυή, » κατὰ Γαβαών, καὶ ἡ σελήνη κατὰ φά» ραγγα Αἰλῶν· καὶ ἔστη ὁ ἥλιος καὶ ἡ σε» λήνη ἐν στάσει, ἕως ἠμύνατο ὁ Θεὸς τοὺς » ἐχθροὺς αὐτῶν » (9).

Οὐ μόνον δὲ τὰ ὑλικὰ καὶ αἰσθητά, ἀλλὰ καὶ τὰ ἄϋλα καὶ νοερὰ κτίσματα εὐλαβοῦνται καὶ ὑποτάσσονται εἰς τοὺς ποιοῦντας τοῦ Κυρίου τὸ θέλημα. Πνεύματα πονηρά εἰσιν οἱ δαίμονες, ἀποστάται τῆς θείας ὑποταγῆς καὶ βασιλείας, φθονεροὶ καὶ ἐπίβουλοι τοῦ τῶν ἀνθρώπων γένους, ὅμως ὑποτάσσονται εἰς τῶν ἁγίων ἀνδρῶν τὸ πρόσταγμα. Ἐβεβαίωσαν τοῦτο ἐνώπιον τοῦ Κυρίου οἱ ἑβδομήκοντα Ἀπόστολοι, εἰπόντες πρὸς αὐτόν· « Κύριε, καὶ τὰ δαι» μόνια ὑποτάσσεται ἡμῖν ἐν τῷ ὀνόματί » σου » (10). Ἐμαρτύρησε τοῦτο διὰ τῶν ἔργων τὸ πνεῦμα τοῦ Πύθωνος· διότι ὅταν ἤκουσε τοῦ Παύλου τὸ πρόσταγμα, « Ἐ» ξῆλθεν αὐτῇ τῇ ὥρᾳ ἀπὸ τῆς παιδίσκης » τῆς Μάντεως » (11). Πνεύματα ἀγαθά εἰσιν οἱ ἅγιοι ἄγγελοι, φῶτα Θεοῦ ἄϋλα, λαμπρότητες δεύτεραι μετὰ τὴν πρώτην

(1) Ματθ. 10, 40. Λουκ. 10, 16. (2) Δαν. 6, 22. (3) Πράξ. 28, 5. (4) Ἰων. 2, 1, 11. Ματθ. 12, 40.
(5) Γ'. Βασ. 17, 6. (6) Δαν. 3, 26. (7) Ἐξ. 10. 22, καὶ 7, 19, καὶ 8, 17, καὶ 9, 10, 11. (8) Γ'. Βασ. 17, 1.
Ἰακ. 5, 17. (9) Ἰησ. 10, 12, 13. (10) Λουκ. 10, 17. (11) Πράξ. 16, 18.



ὑπερούσιον λαμπρότητα, λειτουργοί εἰσι τῆς ὑπεραρχίου τρισυποστάτου θεότητος, καὶ αὐτοὶ ὅμως ὑπηρετοῦσιν ἐκείνους τοὺς ἀνθρώπους, ὅσοι διὰ τὴν πίστιν καὶ ἀρετὴν αὐτῶν μέλλουσι κληρονομῆσαι τὴν ἐπουράνιον τοῦ Θεοῦ βασιλείαν· ἐπιβεβαιοῖ τοῦτο ὁ θεηγόρος Παῦλος, λέγων· « Οὐχὶ πάντες » εἰσὶ λειτουργικὰ πνεύματα, εἰς διακονίαν » ἀποστελλόμενα, διὰ τοὺς μέλλοντας κλη» ρονομεῖν σωτηρίαν; » (1) Βλέπε δέ, πόσην εὐλάβειαν καὶ ὑπακοὴν δείκνυσι πρὸς τὸν Ἰακὼβ ὁ ἄγγελος. Αὐτὸς ὡς ἄνθρωπος, καὶ ὡς εἶδος Θεοῦ φανεὶς πρὸς αὐτόν, ἐπάλαιε μετ' αὐτοῦ· καὶ ὁ μὲν Ἄγγελος παρακαλεῖ τὸν Ἰακώβ· « Ἀπόστειλόν με, λέγει, ἀνέβη » γὰρ ὁ ὄρθρος » (2)· ὁ δὲ Ἰακὼβ ἀποκρίνεται πρὸς αὐτόν « Οὐ μή σε ἀποστείλω, » ἐὰν μή με εὐλογήσῃς » (3). Εὐλαβεῖται ὁ ἄγγελος τοῦ Ἰακὼβ τὸ πρόσωπον, καὶ ὑπακούσας αὐτῷ, « Εὐλόγησεν αὐτὸν ἐκεῖ ».

Ἀλλὰ διὰ τί τόση τιμή, τόση ἐξουσία, τόση χάρις εἰς τοὺς ἐναρέτους ἄνδρας; διότι αὐτοὶ διὰ τὴν ὀρθὴν καὶ καλὴν χρῆσιν τοῦ αὐτεξουσίου αὐτῶν γίνονται εἰκόνες, τὸ καθ' ὁμοίωσιν τοῦ Θεοῦ ἔχουσαι, καὶ δεικνύουσαι, ὁποῖος ἐπλάσθη ἀπ' ἀρχῆς ὁ ἄνθρωπος, καὶ ὁποία ἡ εὐγένεια τῆς φύσεως αὐτοῦ πρὸ τῆς παραβάσεως· αὐτοὶ διὰ τὴν ἐν ἑαυτοῖς ἀγάπην εἰσὶ σάλπιγγες, σαλπίζουσαι καὶ τὸν ἐν Σινᾷ νόμον, καὶ τὸ ἐν Ἱερουσαλὴμ Εὐαγγέλιον, καὶ τοῦ Θεοῦ τὰ μεγαλεῖα, δι' ὧν ἡμεῖς σωζόμεθα· αὐτοὶ διὰ τὴν ἐν ἑαυτοῖς τελειότητα τῆς ἀρετῆς, γίνονται σκεύη χωρητικὰ τῶν μεγάλων τοῦ Θεοῦ χαρισμάτων, δι' ὧν ἡμεῖς βλέπομεν καὶ τὴν πρόγνωσιν αὐτοῦ ἐν ταῖς προφητείαις αὐτῶν, καὶ τὴν παντοδυναμίαν αὐτοῦ ἐν τοῖς ὑπ' αὐτῶν ἐνεργουμένοις θαύμασι, καὶ τοὺς λοιποὺς ὑπεραγίους τῆς θεότητος αὐτοῦ χαρακτῆρας ἐν τῇ ἁγιότητι τῶν θαυμασίων αὐτῶν κατορθωμάτων· αὐτοὶ διὰ τὸν ἐν αὐτοῖς ζῆλόν εἰσιν οἱ ἀρχιστράτηγοι, δι' ὧν ὁ Θεὸς πολεμεῖ τὴν ἁμαρτίαν, καὶ τὰ ὄργανα, δι' ὧν στηρίζει τὴν ἀρετήν· αὐτοί, ἔχοντες ἐν ἑαυτοῖς τὸ ὑπέρλαμπρον φῶς τῆς ἀρετῆς, λάμπουσιν ὡς φωστῆρες, καὶ περιαστράπτοντες τὸν νοῦν ἡμῶν, διεγείρουσιν ἡμᾶς πρὸς αἴνεσιν τοῦ Θεοῦ καὶ δοξολογίαν· διὰ τοῦτο οὖν δίδωσιν εἰς αὐτοὺς ὁ Θεὸς τόσην ἐξουσίαν καὶ χάριν· διὰ τοῦτο θέλει, ἵνα ἡμεῖς τιμῶμεν καὶ εὐλαβούμεθα αὐτούς· διὰ τοῦτο παιδεύει αὐστηρῶς τοὺς μὴ τιμῶντας αὐτούς· τί περισσότερον; πλὴν ἐςι καὶ ἔτι περισσότερον.

Ὅτι μὲν οἱ ἅγιοι ἄνθρωποι ἀγαπῶσι τὸν Θεὸν ἐξ ὅλης ψυχῆς καὶ καρδίας καὶ ἰσχύος, καὶ διανοίας, κατὰ τὴν θείαν ἐντολήν, οὐδεμία ἐστὶν ἀμφιβολία· διότι χωρὶς τῆς τοιαύτης ἀγάπης οὐ μόνον οὐδεὶς γίνεται ἅγιος, ἀλλὰ χωρὶς αὐτῆς οὐδέν ἐστιν ἐνώπιον τοῦ Θεοῦ· « Ἀγάπην δὲ μὴ ἔχω, οὐ» δέν εἰμι » (4)· ὁ δὲ θεάνθρωπος ὑπεσχέθη, λέγων· « Ἐάν τις ἀγαπᾷ με, τὸν λόγον » μου τηρήσει, καὶ ὁ πατήρ μου ἀγαπήσει » αὐτόν, καὶ πρὸς αὐτὸν ἐλευσόμεθα, καὶ » μονὴν παρ' αὐτῷ ποιήσομεν » (5). Ἀκούεις; καὶ μονήν, λέγει, παρ' αὐτῷ ποιήσομεν. Λοιπὸν οἱ ἄνθρωποι οἱ ἐνάρετοί εἰσι κατοικητήριον τοῦ Θεοῦ· ὅστις οὖν τιμᾷ αὐτούς, ἐκεῖνος τιμᾷ τὸν ἐν αὐτοῖς ἐνοικοῦντα Θεόν· ὅστις δὲ περιφρονεῖ αὐτούς, ἐκεῖνος περιφρονεῖ τὸν Θεόν, τὸν κατοικοῦντα ἐν αὐτοῖς· Ὁ ἀκούων ὑμῶν, ἐμοῦ ἀκούει, καὶ ὁ ἀθε» τῶν ὑμᾶς, ἐμὲ ἀθετεῖ· ὁ δὲ ἐμὲ ἀθετῶν, » ἀθετεῖ τὸν ἀποστείλαντά με » (6).

(1) Ἑβρ. 1, 14. (2) Γεν. 22, 26. (3) Αὐτ. 29. (4) Μᾶρκ. 12, 30. (5) Α'. Κορ. 13, 2, 3. Ἰωάν. 14, 23.
(6) Λουκ. 10, 16.

# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΗΝ ΔΕΥΤΕΡΑΝ ΠΡΟΣ

# ΚΟΡΙΝΘΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗι ΙΔ'. ΚΥΡΙΑΚΗι.

ΤΗΝ πρὸς Κορινθίους δευτέραν ἐπιστολὴν αὐτοῦ ἔγραψεν ὁ Ἀπόστολος Παῦλος ἐν τῇ Μακεδονίᾳ εὑρισκόμενος, ἀπέστειλε δὲ αὐτὴν πρὸς αὐτοὺς διὰ τῶν Ἀποστόλων Τίτου καὶ Λουκᾶ· ἔγραψε δὲ αὐτήν, ὅτε ὁ Τίτος ἐπιστρέψας πρὸς αὐτὸν ἀπὸ τῆς Κορίνθου, ἐχαροποίησεν αὐτόν, ἀναγγείλας αὐτῷ τὴν ἀπολογίαν αὐτῶν καὶ τὴν μετάνοιαν καὶ τὴν ὑπακοὴν καὶ τὸν ζῆλον, καὶ ὅσην ἀγάπην εἶχον πρὸς αὐτόν, καὶ ὅσην δεξίωσιν καὶ φιλοξενίαν ἔδειξαν εἰς αὐτὸν τὸν Τίτον. Ὁ δὲ σκοπὸς τῆς ἐπιστολῆς ἐστι, πρῶτον μὲν ἵνα ἀπολογηθῇ περὶ τοῦ, διὰ τί οὐκ ἦλθεν εἰς τὴν Κόρινθον, καθὼς διὰ τῆς πρώτης ἐπιστολῆς αὐτοῦ ὑπεσχέθη πρὸς αὐτούς (1)· δεύτερον δέ, ἵνα παρακαλέσῃ αὐτούς, ὅπως ἂν εἰς τὸ ἑξῆς δείξωσιν ἀγάπην εἰς τὸν ἁμαρτωλόν, ὃν διὰ τῆς πρώτης ἐπστολῆς παρέδωκε τῷ σατανᾷ (2)· τρίτον, ἵνα φανερώσῃ αὐτοῖς, ὅσην χαρὰν ἔλαβε διὰ τὴν διόρθωσιν αὐτῶν καὶ τὴν ὑποδοχὴν τοῦ Τίτου (3)· τέταρτον, ἵνα προτρέψῃ αὐτοὺς πρὸς τὴν σύναξιν τῆς πρὸς τοὺς ἐν Ἱερουσαλὴμ ἀδελφοὺς ἐλεημοσύνης (4)· πέμπτον, ἵνα ἐλέγξῃ τοὺς ψευδαποστόλους, τοὺς καὶ τὴν καθαρότητα τῆς πίστεως αὐτῶν μιαίνοντας, καὶ αὐτὸν κατακρίνοντας (5)· ἐξ οὗ ἠναγκάσθη διηγηθῆναι τὰ ἐξαίσια αὐτοῦ κατορθώματα καὶ τὰς θείας ἀποκαλύψεις καὶ ὀπτασίας· καὶ ἄλλα δὲ πολλὰ καὶ θεῖα περιέχει ἡ ἐπιστολή, μᾶλλον δέ, πᾶσα λέξις ἐν αὐτῇ πλήρης ἐςὶν ἐπουρανίων νοημάτων, ὁδηγούντων πρὸς τὴν αἰώνιον σωτηρίαν. Τοιαῦτα δέ εἰσι καὶ τὰ σήμερον ἐκ τῆς αὐτῆς ἐπιστολῆς ἀναγνωσθέντα λόγια· ἐπειδὴ δὲ χρείαν ἔχουσιν ἑρμηνείας, προβάλλομεν ταύτην, ἵν' ὑπ' αὐτῆς ὁδηγηθέντες, καὶ τὸν νοῦν εἰς τὸν οὐρανὸν ὑψώσαντες, τρέχητε ἀόκνως τὴν ὁδὸν τῆς σωτηρίας.

*Ἀδελφοί, ὁ βεβαιῶν ἡμᾶς σὺν ὑμῖν εἰς Χριςόν, καὶ χρίσας ἡμᾶς Θεός, ὁ καὶ σφραγίσας ἡμᾶς, καὶ δοὺς τὸν ἀραβῶνα τοῦ Πνεύματος ἐν ταῖς καρδίαις ἡμῶν* (6).

Εἶπε προλαβόν· « Ὁ λόγος ἡμῶν, ἤγουν » τὸ εὐαγγελικὸν κήρυγμα, οὐκ ἐγένετο » ναὶ καὶ οὔ » (7), οὐκ ἐδιδάξαμεν δηλονότι ποτὲ μὲν τοῦτο, ποτὲ δὲ τὸ ἄλλο, ἀλλὰ πάντοτε ἓν καὶ τὸ αὐτό· « Ὁ γὰρ τοῦ Θεοῦ

(1) Β'. Κορ. 1, 23 καὶ 2, 1. (2) Α'. Κορ. 16, 5. Β'. Κορ. 2, 8. (3) Α'. Κορ. 5, 5. (4) Β'. Κορ. 7, 7. 13.
(5) Αὐτ. 9, 1, κτλ. (6) Αὐτ. 1, 21. 22. (7) Αὐτ. 18.



» Υἱὸς Ἰησοῦς Χριστός, ὁ ἐν ὑμῖν δι' ἡμῶν » κηρυχθείς » (1), τουτέςιν ὁ Υἱὸς τοῦ Θεοῦ, ὃν ἡμεῖς ἐκηρύξαμεν εἰς ὑμᾶς· « Οὐκ ἐγένετο » ναὶ καὶ οὔ, ἀλλὰ ναὶ ἐν αὐτῷ γέγονε τῷ » Θεῷ πρὸς δόξαν δι' ἡμῶν » (2). Ἡ ἀλήθεια, λέγει, τῆς εἰς τὸν Υἱὸν τοῦ Θεοῦ πίστεως οὐκ ἔστι μεταβλητὴ καὶ ἀβέβαιος, ἀλλ' ἀμετάβλητος καὶ βεβαία, δι' ἡμῶν τῶν Ἀποστόλων κηρυττομένη πρὸς δόξαν Θεοῦ· μετὰ ταῦτα ἐπισυνάπτει εὐθὺς τὰ προκείμενα λόγια, ἵνα διδάξῃ, ὅτι ὁ Θεός ἐστιν, ὅστις βεβαιοῖ καὶ ἐπιστηρίζει τοὺς Ἀποστόλους, ἅμα δὲ καὶ τοὺς πιστούς, ἵνα πιςεύωσιν εἰς τὸν Ἰησοῦν Χριςόν· αὐτὸς ὁ Θεός ἐστι, λέγει, ὅστις καὶ ἔχρισε, καὶ ἐσφράγισε, καὶ ἔδωκε τὸν ἀῤῥαβῶνα τοῦ ἁγίου Πνεύματος ἐν ταῖς καρδίαις ἡμῶν. Ἀλλὰ πῶς ἔχρισεν ἡμᾶς; καὶ τί σημαίνει τό, ἐσφράγισε; καὶ τίς ἐστιν ὁ ἐν ταῖς καρδίαις ἡμῶν ἀῤῥαβὼν τοῦ Πνεύματος; Καθὼς πρὸ τῆς ἐνανθρωπήσεως τοῦ Ἰησοῦ Χριστοῦ ἔχριεν ὁ Θεὸς δι' ὑλικοῦ ἐλαίου, ἐποίει δὲ διὰ τοῦ χρίσματος βασιλεῖς καὶ ἱερεῖς καὶ προφήτας· οὕτω μετὰ τὴν ἔνσαρκον τοῦ Υἱοῦ αὐτοῦ οἰκονομίαν, χρίει ἡμᾶς πιστεύοντας διὰ τοῦ νοεροῦ χρίσματος τῆς θείας αὐτοῦ χάριτος, ποιῶν ἡμᾶς βασιλεῖς καὶ ἱερεῖς καὶ προφήτας. Βασιλεῖς μέν, βασιλεύοντας τῶν παθῶν τῆς σαρκὸς ἡμῶν καὶ πάσης τῆς τῶν δαιμόνων δυνάμεως. Τοῦτο δὲ σημαίνει οὗτος ὁ λόγος. « Ἰδοὺ δίδωμι » ὑμῖν τὴν ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄ» φεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν » δύναμιν τοῦ ἐχθροῦ· καὶ οὐδὲν ὑμᾶς οὐ μὴ » ἀδικήσει » (3). Ὁμοίως καὶ οὗτος· « Ἰδοὺ » γὰρ ἡ βασιλεία τοῦ Θεοῦ ἐντὸς ὑμῶν ἐ» ςιν » (4). Ἐποίησεν ἡμᾶς βασιλεῖς, ἀνοίξας τὴν θύραν τῆς βασιλείας αὐτοῦ. Διὸ « Καὶ ἥξουσιν ἀπὸ ἀνατολῶν καὶ δυσμῶν, καὶ ἀπὸ » βοῤῥᾶ καὶ νότου· καὶ ἀνακλιθήσονται ἐν » τῇ βασιλείᾳ τοῦ Θεοῦ » (5). Ἱερεῖς δὲ ἐποίησε, δοὺς ἡμῖν χάριν καὶ δύναμιν, ἵνα προσφέρωμεν αὐτῷ τὰ σώματα ἡμῶν « Θυ» σίαν ζῶσαν, ἁγίαν, εὐάρεςον τῷ Θεῷ » (6). Προφήτας δὲ ἐποίησε, καταξιώσας ἡμᾶς λαλεῖν περὶ τῶν μελλόντων· « Ἃ ὀφθαλ» μὸς οὐκ οἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ » ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη » (7). Ἐπειδὴ δὲ διὰ τῆς σφραγίδος ἐπιβεβαιοῦμεν καὶ ὅσα ὑπεσχέθημεν, καὶ ὅσα ἐδώκαμεν, διὰ τοῦτο ὁ Ἀπόστολος εἶπε τό, « Ἐσφρά» γισεν », ἵνα φανερώσῃ, ὅτι τὰ χαρίσματα τοῦ Θεοῦ εἰσι βέβαια καὶ ἀμετάβλητα, καθὼς καὶ ἀλλαχοῦ τοῦτο ἐβεβαίωσεν, εἰπών· « Ἀμεταμέλητα γὰρ τὰ χαρίσματα καὶ ἡ » κλῆσις τοῦ Θεοῦ » (8). Ἀῤῥαβὼν δὲ τοῦ πνεύματός ἐστιν ἡ ἐλπὶς τῆς ἀπολαύσεως τῆς ἐπουρανίου βασιλείας. Ὁ μὲν ἄπιστος οὐδεμίαν ἔχει ἐλπίδα τοιαύτης ἀπολαύσεως· εἰς δὲ τὴν καρδίαν τοῦ πιςοῦ ἡ πίςις φέρει τὴν χάριν τοῦ ἁγίου Πνεύματος, ἥτις φυτεύει εἰς τὴν ψυχὴν αὐτοῦ τὴν ἐλπίδα τῆς αἰωνίου μακαριότητος. Ἀῤῥαβῶνα δὲ ὠνόμασε ταύτην τὴν ἐλπίδα, ἐπειδὴ καθὼς ὁ ὑπὸ τῶν ἀνθρώπων διδόμενος ἡμῖν ὑλικὸς ἀῤῥαβὼν ἐπιβεβαιοῖ ἡμᾶς περὶ τῆς ἀνταποδόσεως τῶν ὑποσχεθέντων ἡμῖν ὑλικῶν πραγμάτων, οὕτως ἡ ἐν ταῖς ψυχαῖς ἡμῶν ἐμφυτευομένη νοερὰ ἐλπὶς ἐπιβεβαιοῖ ἡμᾶς περὶ τῆς ἀπολαύσεως τῶν ὑπὸ Θεοῦ ὑπισχνουμένων ἡμῖν αἰωνίων ἀγαθῶν. Βλέπε δέ, πῶς διὰ τῶν προκειμένων λόγων καὶ τὸ τρισυπόστατον ἐδίδαξε τῆς ὑπεραρχίου θεότητος, δηλοποιήσας τὸν μὲν Πατέρα διὰ

(1) Β'. Κορ. 1, 19. (2) Αὐτ. 20. (3) Λουκ. 10, 19. (4) Αὐτ. 17, 21. (5) Αὐτ. 12, 29. (6) Ῥωμ. 12, 1.
(7) Α. Κορ. 2, 9. (8) Ῥωμ. 11, 29.

τοῦ, Θεός· τὸν δὲ Υἱὸν διὰ τοῦ, εἰς Χριςόν· τὸ δὲ πανάγιον Πνεῦμα διὰ τοῦ, Πνεύματος. Τοιουτοτρόπως δὲ τέλος ἐπιθεὶς ἐπὶ τὸ τῆς ἐπιστολῆς αὐτοῦ προοίμιον, ἄρχεται τῆς ἀπολογίας ὑπὲρ τῆς ἰδίας αὐτοῦ ὑποσχέσεως, λέγων·

*Ἐγὼ δὲ μάρτυρα τὸν Θεὸν ἐπικαλοῦμαι ἐπὶ τὴν ἐμὴν ψυχήν, ὅτι φειδόμενος ὑμῶν, οὐκ ἔτι ἦλθον εἰς Κόρινθον* (1).

Ἵνα μὴ νομίσωσιν, ὅτι οὐκ ἦλθε πρὸς αὐτούς, ὡς ὑπεσχέθη διὰ τῆς πρώτης αὐτοῦ ἐπιστολῆς (2), ἐπικαλεῖται μάρτυρα τὸν καρδιογνώςην Θεόν, λέγων· οὐκ ἦλθον πρὸς ὑμᾶς « Φειδόμενος ὑμῶν », ἤγουν ἀπέχων ἀπὸ τῆς διὰ τῆς ἁμαρτίας ὑμῶν πρεπούσης ὑμῖν τιμωρίας, δι' ἧς ἔμελλον τιμωρῆσαι ὑμᾶς, ἐὰν παρεγενόμην τότε εἰς τὴν Κόρινθον· καὶ φαίνεται μὲν ὁ λόγος οὗτος· « Ἐγὼ δὲ μάρτυρα τὸν Θεὸν ἐπικαλοῦμαι ἐπὶ τὴν ἐμὴν ψυχήν »· ὅτι ἐστὶν ὅρκος, πλὴν οὐκ ἔστιν ὅρκος, ἀλλὰ τρόπος βεβαιωτικῆς μαρτυρίας συνήθης αὐτῷ, καὶ ὅμοιος τῷ, « Ἀλήθειαν λέγω ἐν Χριστῷ, οὐ ψεύδομαι, συμμαρτυρούσης μοι τῆς συνειδήσεώς μου ἐν Πνεύματι ἁγίῳ » (3)· ὁμοίως δὲ καὶ τῷ, « ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ οἶδεν, ὁ ὢν εὐλογητὸς εἰς τοὺς αἰῶνας, ὅτι οὐ ψεύδομαι » (4). Ἐπειδὴ δὲ τὸ « Φειδόμενος ὑμῶν », ἔμφασιν ἔχει αὐθεντικήν, καὶ λόγος ἐστὶν ἀνθρώπου ἐξουσίαν ἔχοντος καὶ συγχωρῆσαι καὶ παιδεῦσαι· ἵνα μὴ οἱ τοῦτον τὸν λόγον ἀκούσαντες, εἴπωσιν· ἐπειδὴ ἐπιστεύσαμεν, κατεστάθημεν δοῦλοι, νῦν δὲ κατεξουσιάζων ἡμῶν ὁ Παῦλος, λέγει, ὅτι φειδόμενος ὑμῶν, οὐκ ἦλθε πρὸς ἡμᾶς, ὅπερ σημαίνει, ὅτι, ἐὰν ἤρχετο, ἐπαίδευεν ἡμᾶς· διὰ τοῦτο θέλων ἁρπάσαι καὶ ἀπὸ τοῦ στόματος καὶ ἀπὸ τοῦ νοὸς αὐτῶν τὰ τοιαῦτα, ἐπιφέρει τὰ ἑξῆς·

*Οὐχ ὅτι κυριεύομεν ὑμῶν τῆς πίστεως, ἀλλὰ συνεργοί ἐσμεν τῆς χαρᾶς ὑμῶν· τῇ γὰρ πίστει ἑστήκατε* (5).

Εἶπον ἐγώ, λέγει, ὅτι φειδόμενος ὑμῶν οὐκ ἦλθον εἰς τὴν Κόρινθον, οὐ κατὰ τοῦτο, καθὸ δηλαδὴ κύριός εἰμι ὑμῶν τῆς πίστεως, ἤγουν ἕνεκα τῆς πίστεως, ὅπερ ἐςίν, οὐ κατὰ τοῦτο, καθὸ ἔχω ἐξουσίαν καὶ κυριότητα ἐφ' ὑμᾶς, ἐπειδή ἐστε πιστοί· οὐκ ἐσμὲν ἡμεῖς οἱ Ἀπόστολοι κύριοι ὑμῶν, ἐπειδὴ εἰς Χριστὸν ἐπιστεύσατε, ἀλλὰ συνεργοί ἐσμεν τῆς χαρᾶς ὑμῶν, καθότι ἐμείνατε στερεοὶ εἰς τὴν πίστιν. Ποίας δὲ χαρᾶς ἦν συνεργὸς ὁ Παῦλος; Τῆς χαρᾶς τῆς πνευματικῆς, ἥτις ἔρχεται εἰς τὰς καρδίας τῶν πιστῶν, ὅταν φυλάττωσι τὰς ἐντολὰς τοῦ Θεοῦ. Περὶ αὐτῆς δὲ τῆς χαρᾶς ἔλεγεν ὁ σωτὴρ τοῦ κόσμου· « Ταῦτα λελάληκα ὑμῖν, ἵνα ἡ χαρὰ ἡ ἐμὴ ἐν ὑμῖν μείνῃ, καὶ ἡ χαρὰ ὑμῶν πληρωθῇ » (6). Πῶς δὲ ὁ Παῦλος ἐγίνετο συνεργὸς ταύτης τῆς πνευματικῆς χαρᾶς; διδάσκων τοῦ Θεοῦ τοὺς νόμους, στηρίζων τοὺς ἐναρέτους, ἐπιτιμῶν τοὺς ἁμαρτάνοντας, καὶ ἐπιστρέφων αὐτοὺς ἀπὸ τοῦ κρημνοῦ τῆς ἁμαρτίας εἰς τῆς ἀρετῆς τὸν δρόμον. Τὸ αὐτὸ δὲ νόημα φαίνεται ὅτι διαλαμβάνουσι καὶ τὰ ἀκόλουθα λόγια·

(1) Β'. Κορ. 1, 23. (2) Α'. Κορ. 16, 5. (3) Ρωμ. 9, 1. (4) Β'. Κορ. 11, 31. (5) Αὐτ. 1, 24.
(6) Ἰωάν. 15, 11.



*Ἔκρινα δὲ ἐμαυτῷ τοῦτο, τὸ μὴ πάλιν ἐλθεῖν ἐν λύπῃ πρὸς ὑμᾶς. Εἰ γὰρ ἐγὼ λυπῶ ὑμᾶς, καὶ τίς ἐστιν ὁ εὐφραίνων με, εἰ μὴ ὁ λυπούμενος ἐξ ἐμοῦ ;* (1).

Τοῦτο, λέγει, ἔκρινα ἐγὼ εὔλογον, ἵνα δηλαδὴ μὴ ἔλθω πάλιν πρὸς ὑμᾶς « Ἐν λύπῃ », ἤγουν πρὸς τὸ λυπῆσαι τοὺς ἁμαρτήσαντας διὰ τῶν ἐπιτιμίων. Τὸ δὲ ἑξῆς, « Εἰ γὰρ ἐγώ » (2), ἐξέλαβεν ἀντὶ τοῦ, κἂν δὲ ἐγώ, τουτέστι, κἂν δὲ ἐγὼ λυπῶ ὑμᾶς, τίς ἄλλος ἐστὶν ὁ εὐφραίνων με, εἰ μὴ ἐκεῖνος, ὅστις ἐξ ἐμοῦ λυπεῖται; Ἀλλὰ πῶς ὁ ἐξ αὐτοῦ λυπούμενος ἐχαροποίει αὐτόν ; Ὅστις ὑπ' αὐτοῦ ἐλεγχόμενος ὑπὲρ τῶν ἁμαρτιῶν αὐτοῦ, ἐλυπεῖτο συλλογιζόμενος τῆς ἁμαρτίας τὸ βάρος, ἐκεῖνος μετενόει καὶ ἐπέστρεφεν ἀπὸ τῆς ἁμαρτίας εἰς τὴν ὁδὸν τῆς ἀρετῆς· « Ἡ γὰρ κατὰ Θεὸν λύπη μετάνοιαν εἰς σωτηρίαν ἀμεταμέλητον κατεργάζεται » (3). Ἡ τοιαύτη οὖν μετάνοια ἔφερε μὲν σωτηρίαν εἰς τὸν ἁμαρτωλόν, ηὔφραινε δὲ τὴν καρδίαν τοῦ Παύλου.

*Καὶ ἔγραψα ὑμῖν τοῦτο αὐτό, ἵνα μὴ ἐλθὼν λύπην ἔχω ἀφ' ὧν ἔδει με χαίρειν· πεποιθὼς ἐπὶ πάντας ὑμᾶς, ὅτι ἡ ἐμὴ χαρὰ πάντων ὑμῶν ἐστιν* (4).

Ποῖόν ἐστι τό, « Τοῦτο αὐτό ; Τό, ὅτι φειδόμενος ὑμῶν οὐκ ἔτι ἦλθον εἰς Κόρινθον» (5). Ἔγραψε δὲ τοῦτο οὐ μόνον ἐν τῇ ἀρχῇ ταύτης τῆς ἐπιςολῆς, ἀλλὰ καὶ ἐν τῷ τέλει αὐτῆς πλατύτερον· « Φοβοῦμαι γάρ, εἶπε, μήπως ἐλθών, οὐχ οἵους θέλω εὕρω ὑμᾶς, κἀγὼ εὑρεθῶ ὑμῖν οἷον οὐ θέλετε. Μὴ πάλιν ἐλθόντα με ταπεινώσῃ ὁ Θεός μου πρὸς ὑμᾶς, καὶ πενθήσω πολλοὺς τῶν προημαρτηκότων, καὶ μὴ μετανοησάντων ἐπὶ τῇ ἀκαθαρσίᾳ, καὶ πορνείᾳ, καὶ ἀσελγείᾳ, ᾗ ἔπραξαν » (6). Ἔγραψα, λέγει, πρὸς ὑμᾶς τοῦτο αὐτό, ἤγουν τὸν λόγον, δι' ὃν οὐκ ἦλθον πρὸς ὑμᾶς, ὅπως ἄν, ὅταν ἔλθω, μὴ θλίβωμαι, βλέπων ἀμετανοήτους ἐκείνους, οἵτινες ὡς μαθηταὶ τοῦ Χριςοῦ ἔπρεπεν, ἵνα διὰ τῆς ἐργασίας τῶν ἀρετῶν εὐφραίνωσι τὴν ψυχήν μου. Βλέπε δὲ πῶς ὁ Παῦλος ἐσχημάτισε τὸν λόγον αὐτοῦ κατὰ τὸν λόγον τοῦ Κυρίου· ὁ μὲν Κύριος εἶπε· « Ταῦτα λελάληκα ὑμῖν, ἵνα ἡ χαρὰ ἡ ἐμὴ ἐν ὑμῖν μείνῃ, καὶ ἡ χαρὰ ὑμῶν πληρωθῇ » (7). ὁ δὲ Παῦλος λέγει· « Ἔγραψα πεποιθὼς ἐπὶ πάντας ὑμᾶς, ὅτι ἡ ἐμὴ χαρὰ πάντων ὑμῶν ἐστιν ». ἤγουν ἔγραψα ἔχων βεβαίαν ἐλπίδα εἰς πάντας ὑμᾶς, ὅτι ἡ διὰ τὴν ἀρετὴν ὑμῶν χαρά μου, χαρά ἐστι πάντων ὑμῶν, ὡς ἐργαζομένων τῆς χαρᾶς τὰ ἔργα, τουτέστι τὰ ἔργα τῆς ἀρετῆς· ἐπειδὴ δὲ ἐλύπησεν αὐτοὺς διὰ τῶν ἐλέγχων καὶ ἐπιτιμίων τῶν περιεχομένων ἐν τῇ πρώτῃ αὐτοῦ ἐπιστολῇ, παρηγορεῖ αὐτοὺς διὰ τῶν ἑξῆς λόγων·

*Ἐκ γὰρ πολλῆς θλίψεως καὶ συνοχῆς καρδίας ἔγραψα ὑμῖν διὰ πολλῶν δακρύων, οὐχ ἵνα λυπηθῆτε, ἀλλὰ τὴν ἀγάπην ἵνα γνῶτε, ἣν ἔχω περισσοτέρως εἰς ὑμᾶς* (8).

Μὴ νομίσητε, λέγει, ὅτι ἤλεγξα καὶ ἐπετίμησα, ἵνα λυπήσω ὑμᾶς· διότι ἐγὼ αναλογιζόμενος τοὺς ἁμαρτήσαντας, ἔγραψα

(1) Β'. Κορ. 2, 1, 2. (2) Οἰκουμ. αὐτ. (3) Β'. Κορ. 7, 10. (4) Αὐτ. 2, 3. (5) Αὐτ. 1, 23.
(6) Αὐτ. 12. 20, 21. (7) Ἰωάν. 15, 11. (8) Β'. Κορ. 2, 4.

τοὺς ἐλέγχους καὶ τὰ ἐπιτίμια ἐκ τῆς πολλῆς μου θλίψεως καὶ τῆς στενοχωρίας τῆς καρδίας μου, ἐκχέων ὑπὲρ αὐτῶν πολλὰ δάκρυα· οὐκ ἔγραψα ταῦτα, ἵνα λυπηθῆτε ἀλλ' ἵνα δι' αὐτῶν γνωρίσητε, ὅτι ὑπερεκπερισσοῦ ὑμᾶς ἀγαπῶ.

# ΟΜΙΛΙΑ

ΜΕΤΑ ΤΗΝ ΔΕΥΤΕΡΑΝ ΠΡΟΣ

# ΚΟΡΙΝΘΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗ͂ι ΙΔ'. ΚΥΡΙΑΚΗ͂ι.

ΜΕΤΑ βίας ἡ ψυχὴ τοῦ ἁμαρτωλοῦ αἰσθάνεται ὀλίγην θλίψιν, ὅταν ἐννοῇ τῶν ἀνομιῶν αὐτῆς τὸ βάρος· μετὰ βίας ἔρχονται μικραὶ καὶ ὀλίγαι ῥανίδες δακρύων εἰς τοὺς ὀφθαλμοὺς τοῦ ἁμαρτωλοῦ, ὅταν ἀναλογισθῇ τῶν ἁμαρτιῶν αὐτοῦ τὸ πέλαγος. Πόθεν οὖν τόση θλῖψις καὶ στενοχωρία καρδίας εἰς τὸν Παῦλον διὰ τὰς ἁμαρτίας τῶν Κορινθίων; πόθεν προήρχοντο εἰς αὐτὸν τὰ πολλὰ δάκρυα διὰ τὰ ξένα ἁμαρτήματα; Ἐφανέρωσε τὸ πόθεν αὐτὸς ὁ πανaοίδιμος Ἀπόστολος· διότι πρῶτον μὲν εἶπεν, ὅτι ἐκ πολλῆς θλίψεως καὶ συνοχῆς καρδίας, καὶ διὰ πολλῶν δακρύων ἔγραψε τὰ ἐπιτίμια τῶν ἁμαρτιῶν τῶν Κορινθίων, ἔπειτα ὡμολόγησεν, ὅτι ταῦτα ἦσαν καρποὶ τῆς πρὸς αὐτοὺς πολλῆς αὐτοῦ ἀγάπης· « Ἔ-» γραψα ταῦτα, λέγει, οὐχ ἵνα λυπηθῆτε, » ἀλλὰ τὴν ἀγάπην ἵνα γνῶτε, ἣν ἔχω » περισσοτέρως εἰς ὑμᾶς » (1). Ἐξ ὅλης ψυχῆς καὶ καρδίας ἠγάπα τὸν Θεὸν ὁ τρισμακάριος, διὸ καὶ τὸν πλησίον αὐτοῦ ὡς ἑαυτὸν ἠγάπα· ὅθεν ὡς ἴδια λογιζόμενος τοῦ πλησίον τὰ ἁμαρτήματα, ἐθλίβετο ὑπὲρ αὐτῶν, καὶ κατενύγετο, καὶ ἐξέχεε κρουνοὺς δακρύων. Ἡμεῖς οἱ τάλανες πολλὰ ὀλίγον ἀγαπῶμεν τὸν Θεόν, πολλὰ ὀλίγον τὸν πλησίον, διὰ τοῦτο οὐ μόνον διὰ τὰς ἁμαρτίας αὐτοῦ, ἀλλὰ καὶ διὰ τὰς ἀνομίας ἡμῶν οὐδόλως, ἢ πολλὰ ὀλίγον καὶ μετὰ βίας κατανυγόμεθα· ἐκ τούτου μανθάνομεν, ὅτι ἡ κατάνυξίς ἐστι θυγάτηρ τῆς ἀγάπης, καὶ ἑπομένως συμπεραίνομεν, ὅτι ἐστὶ πολλὰ ἀρεστὴ εἰς τὸν Θεόν· ὅθεν καὶ βλέπομεν, ὅτι καρποφορεῖ τοῦ Θεοῦ τὰ ἐλέη, καὶ τῆς ψυχῆς τὴν σωτηρίαν.

Ἵνα δὲ πληροφορηθῇς, ὅτι ἡ ἀγάπη γεννᾷ τὴν κατάνυξιν καὶ τὰ δάκρυα, ἐρεύνησον τῆς καρδίας σου τὰ κινήματα· παρατήρησον, πότε θλίβεσαι, ὅταν δυστυχῇ ὁ φίλος σου, ἢ ὅταν δυστυχῇ ὁ ἐχθρός σου· πότε στενοχωρεῖται ἡ καρδία σου, ὅταν βλέπῃς ὅτι θλίβεται ὁ ἠγαπημένος σου, ἢ ὅταν καταλάβῃς, ὅτι λυπεῖται ὁ ὑπὸ σοῦ μεμισημένος· πότε κλαίεις, ὅταν βλέπῃς βασανιζόμενον ἐκεῖνον, ὃν ἀγαπᾷς, ἢ ὅταν

(1) Β'. Κορ. 2, 4.



θεωρῇς τυραννούμενον ἐκεῖνον, ὃν μισεῖς· ἐὰν ἐρευνήσῃς τὰ βάθη τῆς καρδίας σου, βλέπεις καὶ πείθεσαι, ὅτι ὅσον περισσότερον ἀγαπᾷς τὸν συγγενῆ σου ἢ τὸν φίλον σου, τόσον περισσότερον καὶ λυπεῖσαι, καὶ στενοχωρεῖσαι, καὶ κλαίεις διὰ τὰς ἐκείνου συμφορὰς καὶ δυστυχίας. Βλέπεις καὶ πείθεσαι, ὅτι διὰ μὲν τὰς συμφορὰς τοῦ ἐχθροῦ σου χαίρεις, διὰ δὲ τὰ δυστυχήματα ἐκείνου, ὃν οὐδὲ ἀγαπᾷς, οὐδὲ μισεῖς, γίνεσαι ὡς ἀναίσθητος, τουτέστιν, οὐδὲ χαίρεις, οὐδὲ λυπεῖσαι.

Βλέπω τὸν βασιλέα τοῦ Ἰσραὴλ πεπληρωμένον κατανύξεως· αὐτὸς ἐκ βάθους ψυχῆς στενάζει βαρέως, καθ' ἑκάστην νύκτα λούει τὴν κλίνην, καὶ βρέχει τὴν στρωμνὴν αὐτοῦ διὰ τῶν πολλῶν αὐτοῦ δακρύων· « Ἐκοπίασα, λέγει, ἐν τῷ στεναγμῷ μου, » λούσω καθ' ἑκάστην νύκτα τὴν κλίνην μου, » ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέ-» ξω » (1). Ἐρευνῶ, ποῖόν ἐστι τὸ ποιητικὸν αἴτιον, ἤγουν, πόθεν προέρχεται ἡ τόση κατάνυξις, καὶ εὑρίσκω, ὅτι ἡ πηγὴ τῆς κατανύξεως αὐτοῦ ἐστιν ἡ πολλὴ ἀγάπη, ἣν εἶχε πρὸς τὸν Θεόν. Ἀκούω, πῶς ἐκφράζει τῆς πρὸς Θεὸν ἀγάπης αὐτοῦ τὴν φλόγα· « Ὃν τρόπον, λέγει, ἐπιποθεῖ ἡ » ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, οὕ-» τως ἐπιποθεῖ ἡ ψυχή μου πρὸς σὲ, ὁ Θεός. » Ἐδίψησεν ἡ ψυχή μου πρὸς τὸν Θεόν, » τὸν ἰσχυρόν, τὸν ζῶντα· πότε ἥξω καὶ » ὀφθήσομαι τῷ προσώπῳ τοῦ Θεοῦ; » (2) Βλέπω δέ, ὅτι κλαίει ἐπειδὴ ἀκούει τοὺς ἀπίστους περιφρονοῦντας τὸν Θεόν, καὶ λέγοντας, ποῦ ἐστιν ὁ Θεός σου; « Ἐγενή-» θη τὰ δάκρυά μου ἐμοὶ ἄρτος ἡμέρας » καὶ νυκτός, ἐν τῷ λέγεσθαί μοι καθ' ἑκά-» στην ἡμέραν, ποῦ ἐστιν ὁ Θεός σου; » (3) Βλέπω, ὅτι θλίβεται, καὶ κατανύγεται, καὶ κλαίει, ἐπειδὴ γνωρίζει, ὅτι διὰ τῆς μοιχείας καὶ τοῦ φόνου παρώργισε τὸν Θεόν, καὶ ἐπειδὴ ἡ ἁμαρτία αὐτοῦ παρίσταται διὰ παντὸς ἐνώπιον αὐτοῦ· « Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, » καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστὶ διὰ παντός » (4).

Ὁ προφήτης Ἱερεμίας, λέγει ἡ ἱερὰ ἱστορία, ἦν φιλάδελφος, ἤγουν ἠγάπα πολὺ τὸν πλησίον αὐτοῦ (5)· ὅθεν καὶ μετὰ θάνατον οὐ μόνον ἐπρέσβευεν ἐνώπιον τοῦ Θεοῦ ὑπὲρ τοῦ λαοῦ καὶ τῆς ἁγίας πόλεως, ἀλλὰ καὶ ἐν ὀνείρῳ φανεὶς εἰς τὸν Μακκαβαῖον Ἰούδαν, εἶπε· « Λάβε τὴν ἁγίαν ῥομφαίαν, » δῶρον παρὰ τοῦ Θεοῦ, δι' ἧς θραύσεις » τοὺς ὑπεναντίους » (6)· Ὅταν οὖν διὰ τῶν προφητικῶν αὐτοῦ ὀφθαλμῶν ἔβλεπε τῆς Ἱερουσαλὴμ τὴν αἰχμαλωσίαν, καὶ τοῦ Ἰσραηλιτικοῦ λαοῦ τὴν συμφοράν, ὑπὸ τῆς ἀγάπης περισφιγγόμενος, ἐζήτει οὐχὶ δάκρυα, ἀλλὰ δακρύων πηγήν· « Τίς δώσει, ἔ-» λεγε, τῇ κεφαλῇ μου ὕδωρ, καὶ τοῖς ὀφθαλ-» μοῖς μου πηγὴν δακρύων; καὶ κλαύσομαι » τὸν λαόν μου τοῦτον ἡμέρας καὶ νυκτός, » τοὺς τετραυματισμένους θυγατρὸς λαοῦ » μου » (7). Τόσον δὲ κατενύγετο καὶ ἔκλαιεν, ὥστε ἠλαττώθη τὸ φῶς τῶν ὀφθαλμῶν αὐτοῦ· « Ἐξέλιπον, ἐβόα, ἐν δάκρυσιν οἱ ὀφθαλ-» μοί μου » (8). Καὶ ὁ προφήτης δὲ Δανιήλ, λογιζόμενος τὴν ἐρήμωσιν τῆς Ἱερουσαλήμ, τὴν καταστροφὴν τοῦ ναοῦ, καὶ τὴν ἐν Βαβυλῶνι αἰχμαλωσίαν τοῦ γένους αὐτοῦ, ἐκ τῆς πρὸς τὸν Θεὸν καὶ τὸν πλησίον αὐτοῦ ἀγάπης, εἰς τόσην κατάνυξιν ἔφθασεν, ὥστε τρεῖς ὁλοκλήρους ἑβδομάδας ἐθρηνολόγει πικρῶς· « Ἐν ταῖς ἡμέραις ἐκείναις, λέγει

(1) Ψαλμ. 6, 7. (2) Αὐτ. 41, 1, 2, 3. (3) Αὐτ. 4. (4) Αὐτ. 50, 5. (5) Β'. Μακ. 15, 14.
(6) Αὐτ. 16. (7) Ἱερ. 9, 1. (8) Θρήν. 2, 11.

» αὐτός, ἐγὼ Δανιὴλ ἤμην πενθῶν τρεῖς » ἑβδομάδας ἡμερῶν » (1).

Ἐὰν ἀνοίξῃς τῆς Νέας Διαθήκης τὰ βιβλία, βλέπεις, ὅτι ὅπου πολλὴ ἀγάπη, ἐκεῖ καὶ πολλὴ κατάνυξις. Πόθεν ὁ Πέτρος ἐξελθὼν ἔξω τῆς αὐλῆς τοῦ ἀρχιερέως « Ἔ» κλαυσε πικρῶς;» (2) ἐκ τῆς πολλῆς ἀγάπης· ἡ ἀγάπη ἔφερεν εἰς τὴν καρδίαν αὐτοῦ τὴν κατάνυξιν, καὶ εἰς τοὺς ὀφθαλμοὺς αὐτοῦ τὰ πικρὰ δάκρυα. Ἀλλὰ ποίαν μαρτυρίαν ἔχομεν περὶ τοῦ, ὅτι αὐτὸς ἠγάπα πολὺ τὸν Ἰησοῦν Χριστόν; Τὸ ἔργον αὐτοῦ μαρτυρεῖ· διότι αὐτὸς ἀφῆκε πάντα, ὅσα εἶχε, καὶ ἠκολούθησε τῷ Χριστῷ (3). Θέλεις καὶ ἄλλην μαρτυρίαν ἰσχυρωτέραν; Ἔχεις τοῦ Ἰησοῦ Χριστοῦ τὸ τριττὸν ἐρώτημα. Ἐγνώριζε μὲν ὁ Κύριος ὡς καρδιογνώστης τοῦ Πέτρου τὴν ἀγάπην· ἠρώτησε δέ, ἵνα ἀκούσῃ ὁ κόσμος αὐτὸν ὁμολογοῦντα καὶ λέγοντα δίς «Ναί, Κύριε, σὺ οἶδας, » ὅτι φιλῶ σε » (4), καὶ μάθῃ ἐκ τῆς λύπης αὐτοῦ τὴν πολλὴν αὐτοῦ ἀγάπην· διότι, ὅταν ἤκουσε τὸ τρίτον ἐρώτημα, τότε ἐλυπήθη, νομίζων, ὅτι ὁ Κύριος ἀμφιβάλλει περὶ τῆς ἀγάπης αὐτοῦ διὰ τὴν ἄρνησιν· « Ἐλυπήθη, λέγει, ὁ Πέτρος, ὅτι εἶπεν αὐ» τῷ τὸ τρίτον· φιλεῖς με » (5)· ὅθεν αὐτὸν τὸν Ἰησοῦν Χριςὸν ἐκάλεσε μάρτυρα. «Κύ» ριε, εἶπε, σὺ πάντα οἶδας, σὺ γινώσκεις, » ὅτι φιλῶ σε » (6). Πόθεν ἡ πόρνη ἐξέχεε τόσον πλῆθος δακρύων, ὥστε ἔπλυνε τοὺς πόδας τοῦ Ἰησοῦ Χριστοῦ; ἐκ τῆς πολλῆς ἀγάπης, ἣν εἶχε πρὸς τὸν Θεόν· ἐμαρτύρησε τοῦτο αὐτὸς ὁ θεάνθρωπος, εἰπὼν πρὸς Σίμωνα τὸν Φαρισαῖον· « Οὗ χάριν, λέγω » σοι, ἀφέονται αἱ ἁμαρτίαι αὐτῆς αἱ πολ» λαί, ὅτι ἠγάπησε πολύ » (7). Ἀλλὰ καὶ αὐτὸς ὁ τοῦ κόσμου σωτὴρ καὶ Κύριος, ὅταν εἶδε τὴν Μαρίαν κλαίουσαν διὰ τὸν θάνατον τοῦ ἀδελφοῦ αὐτῆς, καὶ τοὺς συνελθόντας Ἰουδαίους κλαίοντας, τότε « Ἐνε» βριμήσατο τῷ πνεύματι, καὶ ἐτάραξεν » ἑαυτόν, καὶ ἐδάκρυσεν » (8). Ἵνα δὲ πληροφορηθῶμεν, ὅτι τὰ δάκρυα αὐτοῦ ἦσαν δάκρυα ἀγάπης, ἐσημείωσεν, ὁ Εὐαγγελιστὴς ταῦτα τὰ λόγια « Ἠγάπα δὲ ὁ Ἰη» σοῦς τὴν Μάρθαν, καὶ τὴν ἀδελφὴν αὐ» τῆς, καὶ τὸν Λάζαρον » (9).

Ἐπειδὴ οὖν ἐγὼ ὁ ἄθλιος οὐδὲ τὸν Θεὸν ἀγαπῶ, οὐδὲ τὸν πλησίον μου, διὰ τοῦτο οὐδὲ δάκρυα ἔχω, οὐδὲ κατάνυξιν· διὰ τοῦτο ἡ καρδία μου ἐστὶ σκληρὰ ὡς ἡ πέτρα· αἰσθάνομαι, ὅτι παροργίζω τὸν Θεὸν τὸν πλάστην μου, ἀθετῶν τὰς ἁγίας αὐτοῦ ἐντολάς, καὶ μὴ φυλάττων τοὺς θείους αὐτοῦ νόμους, ἀλλ' ἐπειδὴ οὐκ ἀγαπῶ αὐτόν, οὐδὲ κλαίω, οὐδὲ θλίβομαι ὅλως. Βλέπω τοὺς ἀδελφούς μου παραπικραίνοντας τὸν Θεὸν διὰ τῆς παραβάσεως τῶν ἐντολῶν αὐτοῦ, βλέπω τὴν περιμένουσαν αὐτοὺς αἰώνιον κόλασιν, ἀλλ' ἐπειδὴ οὐδὲ τὸν θεὸν ἀγαπῶ, τὸν ὑπ' αὐτῶν περιφρονούμενον, οὐδὲ αὐτοὺς τοὺς ἀδελφούς, τοὺς τὸν θεὸν περιφρνοῦντας, διὰ τοῦτο οὐδὲ κλαίω, οὐδὲ λυποῦμαι, οὐδὲ κἂν σκυθρωπάζων πορεύομαι. Οὐαί μοι· καὶ πῶς δύναμαι σωθῆναι; χωρὶς κατανύξεως οὐκ ἔστι μετάνοια, χωρὶς μετανοίας οὐκ ἔςιν ἁμαρτημάτων συγχώρησις, χωρὶς συγχωρήσεως ἁμαρτιῶν οὐκ ἔστι σωτηρία· διότι τίς ἐστιν ἀναμάρτητος; « Τίς γὰρ » καθαρὸς ἔσται ἀπὸ ῥύπου; ἀλλ' οὐδείς, » ἐὰν καὶ μία ἡμέρα ὁ βίος αὐτοῦ ἐπὶ τῆς » γῆς (10).

Ἡ κατάνυξίς ἐστιν ἡ κλείς, ἡ ἀνοίγουσα

(1) Δαν. 10, 2 (2) Ματθ. 26, 75. (3) Αὐτ. 19, 27. (4) Ἰωάν. 21, 15. 16. (5) Αὐτ. 17. (6) Αὐτ.
(7) Λουκ. 7. 47. (8) Ἰωάν. 11, 33, 35. (9) Αὐτ· 5. (10) Ἰὼβ 14, 4, 5.



τὴν θύραν τοῦ ἐλέους καὶ τῆς εὐσπλαγχνίας τοῦ Θεοῦ. Ἐπειδὴ δὲ αὐτή ἐστι θυσία τῆς ψυχῆς ἡμῶν, ὑπερέχει πᾶσαν ἄλλην θυσίαν, καὶ τοσοῦτον εὐπρόσδεκτός ἐστιν εἰς τὸν Θεόν, ὥστε οὐδέποτε μένει ἀργή, οὐδέποτε γίνεται ἄπρακτος, ἀλλὰ πάντοτε ἐκπληροῖ τοῦ προσφέροντος αὐτὴν τὸν σκοπόν· ἐβεβαίωσε τοῦτο αὐτὸς ὁ Θεὸς διὰ στόματος τοῦ ἁγίου προφήτου Δαβίδ, εἰπών· «Θυσία » τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρ» δίαν συντετριμμένην καὶ τεταπεινωμέ» νην ὁ Θεὸς οὐκ ἐξουδενώσει » (1). Ὅταν κατανύξῃς τὴν ψυχήν σου, καὶ ταπεινώσῃς τὴν καρδίαν σου, καὶ σταλάξῃ τὸ δάκρυον ἐκ τῶν ὀφθαλμῶν σου, τότε οὐκ ἐξουδενοῦται ἡ δέησίς σου, ἀλλ' ἐκπληροῖ ὁ Θεὸς τὸ αἴτημά σου. Ἡ θυσία τῆς κατανύξεώς σου, καὶ ἡ προσφορὰ τῶν δακρύων σου τόσην δύναμιν ἔχει, ὥστε μεταβάλλει καὶ αὐτὴν τοῦ Θεοῦ τὴν ἀπόφασιν.

Προστάσσει ὁ Θεὸς τὸν προφήτην Ἡσαΐαν, λέγων πρὸς αὐτόν· ὕπαγε εἰς τὸν Ἐζεκίαν, καὶ εἰπὲ πρὸς αὐτόν, ἵνα διατάξῃ περὶ τοῦ οἴκου αὐτοῦ, διότι ἀποθνήσκει· Ἔρχεται ὁ Ἡσαΐας εἰς τὴν κλίνην, ὅπου ὁ βασιλεὺς Ἐζεκίας ἀσθενῶν κατέκειτο, καὶ λέγει πρὸς αὐτόν· Βασιλεῦ, ἄκουσον· «Τά» δε λέγει Κύριος, ἔντειλε τῷ οἴκῳ σου, » ἀποθνήσκεις σύ, καὶ οὐ ζήσῃ » (2). Ἀπόφασις οὖν τοῦ Θεοῦ ἐστιν, ἵνα ὁ Ἐζεκίας ἀποθάνῃ. Ἀλλ' ὁ Ἐζεκίας ἀκούσας τοῦ Θεοῦ τὴν ἀπόφασιν, κατανύγεται, προσεύχεται, ἐκχέει πολλὰ δάκρυα. «Ἀπέστρεψε » πρὸς τὸν τοῖχον, καὶ ηὔξατο πρὸς Κύριον, » καὶ ἔκλαυσε κλαυθμῷ μεγάλῳ » (3). Ἡ δὲ κατάνυξις, καὶ ἡ προσευχή, καὶ τὰ δάκρυα μεταβάλλουσι τὴν ἀπόφασιν τοῦ θανάτου εἰς ἀπόφασιν ζωῆς· ἀποστέλλει πάλιν ὁ Θεὸς τὸν Ἡσαΐαν « Ἐπίστρεψον, λέ» γει, καὶ ἐρεῖς πρὸς Ἐζεκίαν τὸν ἡγούμε» νον τοῦ λαοῦ μου· Τά δε λέγει Κύριος ὁ » Θεὸς Δαβὶδ τοῦ πατρός σου· Ἤκουσα τῆς » προσευχῆς σου, εἶδον τὰ δάκρυά σου· » ἰδοὺ ἐγὼ ἰάσομαί σε· τῇ ἡμέρᾳ τῇ τρίτῃ » ἀναβήσῃ εἰς οἶκον Κυρίου· Καὶ προσθή» σω ἐπὶ τὰς ἡμέρας σου πεντεκαίδεκα » ἔτη· καὶ ἐκ χειρὸς βασιλέως Ἀσσυρίων » σώσω σε καὶ τὴν πόλιν ταύτην » (4). Καθὼς δὲ εἶπεν ὁ Θεός, οὕτω καὶ ἐγένετο. Τὴν αὐτὴν δύναμιν βλέπεις εἰς τὴν κατάνυξιν, ὅταν μελετήσῃς τῆς Νινευὴ τὴν ἐπιστροφήν. Ἀπόφασιν Θεοῦ ἐκήρυξεν ὁ Ἰωνᾶς εἰς τοὺς Νινευΐτας· « Ἔτι τρεῖς ἡμέραι, » εἶπε, καὶ Νινευὴ καταστραφήσεται» (5). Οἱ Νινευΐται πιστεύσαντες, ὅτι ὁ λόγος τοῦ Ἰωνᾶ ἐστι λόγος Θεοῦ, ταπεινοῦσι τὴν ὑπερηφανίαν τῆς καρδίας αὐτῶν, ἐνδύονται σάκκους, νηστεύουσιν ἀπὸ μεγάλου ἕως μικροῦ, κατανύγονται, καὶ ζητοῦσι τοῦ Θεοῦ τὸ ἔλεος. Ταῦτα δὲ τῆς κατανύξεως τὰ ἔργα μεταβάλλουσιν εἰς εὐσπλαγχνίαν τὴν θείαν ἀγανάκτησιν. « Καὶ μετενόησεν ὁ » Θεός, λέγει ἡ Θεία Γραφή, ἐπὶ τῇ κακίᾳ, » ᾗ ἐλάλησε του ποιῆσαι αὐτοῖς, καὶ οὐκ » ἐποίησε » (6).

Φρίκη περιλαμβάνει με, ὅταν ἀναγινώσκω τὰς ἀσεβεῖς πράξεις καὶ τὰ τυραννικὰ ἔργα τοῦ βασιλέως Μανασσῆ (7). Μαγεῖαι παντὸς εἴδους, δυναστεῖαι πάσης ἐφευρέσεως, διωγμοὶ τῶν πιστῶν (8). θάνατοι τῶν ἁγίων, πλάνησις τῶν εὐσεβῶν, ἀναστήλωσις τῶν εἰδώλων οὐ μόνον εἰς πάντα τόπον τῆς βασιλείας αὐτοῦ, ἀλλὰ καὶ εἰς αὐτὸ τοῦ Θεοῦ τὸ θυσιαστήριον, ἀπείθεια καὶ

(1) Ψαλ. 50, 19. (2) Δ'. Βασ. 20, 1. (3) Αὐτ. 2, 3. (4) Αὐτ. 5, 6. (5) Ἰων. 3, 4. (6) Αὐτ. 10.
(7) Δ'. Βασ. 21. (8) Β'. Παρ. 33.

περιφρόνησις τῆς φωνῆς τοῦ παντοκράτορος, ὅστις προσωπικῶς ἔκραζεν αὐτὸν εἰς μετάνοιαν, ἁμαρτήματα δυσαρίθμητα κατὰ τὸν ἀριθμόν, βαρύτατα κατὰ τὸ βάρος ἦσαν τοῦ Μανασσῆ τὰ ἔργα· ὠργίσθη οὖν κατ' αὐτοῦ ὁ Θεός, καὶ ἀπέστειλε τοὺς ἄρχοντας τῆς δυνάμεως τοῦ βασιλέως Ἀσσούρ, οἵτινες δήσαντες αὐτὸν ἐν πέδαις, αἰχμάλωτον καὶ δέσμιον ἔφερον αὐτὸν εἰς τὴν Βαβυλῶνα (1)· ἐκεῖ ἦλθεν εἰς τὴν καρδίαν αὐτοῦ ἡ κατάνυξις, ἥτις ἔφερεν εἰς αὐτὸν τὴν λύπην καὶ τὴν ταπείνωσιν καὶ τὴν προσευχήν· « Καὶ ὡς ἐθλίβη, ἐζήτησε τὸ πρόσω» πον Θεοῦ τοῦ Κυρίου αὐτοῦ, καὶ ἐταπει» νώθη σφόδρα ἀπὸ προσώπου Θεοῦ πατέ» ρων αὐτοῦ· καὶ προσηύξατο πρὸς αὐ» τόν » (2). Ἡ θυσία τῆς κατανύξεως αὐτοῦ ἔστησε τὴν θείαν ὀργήν, καὶ μετέβαλε τὸν θυμὸν εἰς ἔλεος, καὶ τὴν τιμωρίαν εἰς εὐεργεσίαν. « Καὶ ἐπήκουσε, λέγει ἡ ἱερὰ » ἱστορία, αὐτοῦ, καὶ ἐπήκουσε τῆς βοῆς » αὐτοῦ, καὶ ἐπέστρεψεν αὐτὸν εἰς Ἱερου» σαλὴμ ἐπὶ τὴν βασιλείαν αὐτοῦ » (3). Ἰδοὺ ἡ ἐκπλήρωσις τοῦ λόγου, ὃν εἶπεν ὁ Θεός· « Θυσία τῷ Θεῷ πνεῦμα συντετριμ» μένον, καρδίαν συντετριμμένην καὶ τε» ταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώ» σει » (4).

Κατάνυξις οὖν, ἀρετὴ ἁγία καὶ ὑπερθαύμαστε, σὺ μεταβάλλεις εἰς ἔλεος τοῦ Θεοῦ τὴν δικαιοσύνην, καθὼς μετέβαλες τοῦ Μανασσῆ τὴν τιμωρίαν εἰς εὐεργεσίαν· σὺ ἐξιλεοῖς τὸν Θεόν, ὅταν διὰ τὸ πλῆθος τῶν ἀνομιῶν ἡμῶν, ἐντείνων τὸ τόξον αὐτοῦ, ἑτοιμάζῃ τοῦ θανάτου τὰ βέλη, καθὼς ἐξιλεώσας αὐτόν, ὅταν ἐξεφώνησε τὴν καταστροφὴν τῆς Νινευὴ διὰ τὰς ἁμαρτίας τῶν ἐν αὐτῇ κατοικούντων· σὺ γίνεσαι βάλσαμον τῶν ἀσθενειῶν τοῦ σώματος, καὶ ἐπιφέρεις προσθήκην ζωῆς, καθὼς ἴαμα γέγονας τῆς ἀῤῥωστίας τοῦ Ἐζεκίου, καὶ προσέθηκας αὐτῷ ἔτη ζωῆς πεντεκαίδεκα· σὺ πλύνεις τὸν βόρβορον τῶν ἀκαθαρσιῶν τῆς ψυχῆς, καθὼς ἔπλυνας τῆς πόρνης τὴν ῥυπαρότητα τῆς ἀσελγείας, καὶ καθαρίζεις τὴν ψυχὴν ἀπὸ πάσης ἁμαρτίας, καθὼς τοῦ Πέτρου τὴν ψυχὴν ἀπὸ τοῦ φοβεροῦ τῆς ἀρνήσεως ἁμαρτήματος· ἀναβαίνεις ἀπὸ τῆς γῆς εἰς τὸν οὐρανόν, ἵστασαι ἐνώπιον τοῦ θρόνου τῆς μεγαλωσύνης, καθικετεύεις ἐκεῖ καὶ ἐπιτυγχάνεις ὅσα ζητεῖς· τὰ δάκρυά σου γίνονται βάπτισμα καθαῖρον καὶ ἁγιάζον τὴν ψυχήν· τὰ δάκρυά σου συντάσσουσί με εἰς τοὺς χοροὺς τῶν μακαρίων, κατὰ τὴν ἀπόφασιν τοῦ Κυρίου μου, ὅστις εἶπε· « Μακάριοι οἱ πεν» θοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται (5). » Μακάριοι οἱ κλαίοντες νῦν, ὅτι γελάσετε » (6).

Ταῦτα, λέγετε, εἰσὶ γνωστά· πάντες ταῦτα οὕτω πιστεύομεν, ὑπὸ τῶν ἁγίων Γραφῶν, καὶ τῶν θεηγόρων Ἀποστόλων καὶ τῶν θείων πατέρων ἡμῶν διδαχθέντες· τὸν τρόπον δὲ ἀγνοοῦμεν, δι' οὗ δυνάμεθα γενέσθαι κατανυκτικοί. Θέλομεν πολλάκις καὶ ἐπιθυμοῦμεν, ἵνα κατανυχθῶμεν καὶ κλαύσωμεν διὰ τὰς ἁμαρτίας ἡμῶν, πλὴν οὐδὲ κατάνυξις ἔρχεται εἰς τὴν καρδίαν, οὐδὲ ῥανὶς δακρύων φαίνεται εἰς τοὺς ὀφθαλμοὺς ἡμῶν. Ἡ κατάνυξις, ἀδελφοί, ἐστὶ θυγάτηρ τῆς ἀγάπης, ὡς εἴπομεν· διὸ ὅσον περισσότερον ἀγαπᾶτε τὸν Θεόν, καὶ τὸν πλησίον, τόσον εὐκολώτερον κατανύγεσθε καὶ κλαίετε. Προσκαλοῦσι δὲ τὴν

(1) Β'. Παρ. 33, 11. (2) Αὐτ. 12, 13. (3) Αὐτ. 13. (4) Ψαλμ. 50, 19. (5) Ματθ. 5, 4.
(6) Λουκ. 6, 21.



κατάνυξιν, καὶ φέρουσι τὰ δάκρυα οἱ κατανυκτικοὶ στοχασμοί, ὁμοίως καὶ τὰ κατανυκτικὰ λόγια. Πλήν, καθὼς ἓν καὶ τὸ αὐτὸ ἰατρικὸν οὐ φέρει τὴν ὑγείαν εἰς πάντα ἄνθρωπον, ἀλλὰ τοῦτο μὲν ὠφελεῖ τοῦτον, ἐκεῖνο δὲ τὸν ἄλλον· οὕτως οὐδὲ εἷς καὶ ὁ αὐτὸς στοχασμός, οὐδὲ εἷς καὶ ὁ αὐτὸς λόγος προξενεῖ ἐπίσης εἰς τὸν καθένα συντριβὴν καρδίας, ἀλλ' ἄλλος μὲν κατανύγει τοῦτον, ἄλλος δὲ ἄλλον. Ἄλλος μὲν καντανύγεται βλέπων νοερῶς εἰς τὴν Ἱερουσαλὴμ τὸν Ἰησοῦν, τὸν βασιλέα τῆς δόξης, συρόμενον εἰς τὰ κριτήρια, περιπαιζόμενον καὶ βασανιζόμενον ὑπὸ τῶν ἀνθρώπων, καὶ ἐπάνω εἰς τοῦ Γολγοθᾶ τὸ ὄρος ἐπὶ σταυροῦ κρεμάμενον γυμνὸν καὶ ἡμαγμένον· ἄλλος δὲ ἀναλογιζόμενος τῶν ἁγίων μαρτύρων τοὺς ἀγῶνας καὶ τὰς δριμυτάτας βασάνους· ἄλλος, προσηλώσας τὸν νοῦν εἰς τῶν ἁγίων τὰς λαμπρότητας, καὶ εἰς τὴν θεωρίαν τῆς ἐπουρανίου αὐτῶν δόξης· ἄλλος, ἐνατενίσας διὰ τῶν ὀφθαλμῶν τῆς ψυχῆς αὐτοῦ εἰς τὸν ἐπὶ θρόνου κρίσεως καθήμενον, καὶ κατιδὼν ἑαυτὸν ἐνώπιον αὐτοῦ κατάδικον διὰ τὰς ἑαυτοῦ ἁμαρτίας, καὶ πάντη ἀναπολόγητον· οὗτος, μελετῶν τὴν ὥραν τοῦ θανάτου, κλαίει· ἐκεῖνος, ἀναλογιζόμενος τῶν ἁμαρτιῶν αὐτοῦ τὸ πέλαγος, δακρυῤῥοεῖ· ἄλλος, ἀναθεωρῶν τῶν κολαζομένων τὰ βασανιστήρια, ἐκ βάθους καρδίας στενάζει· ἄλλος, ἐννοῶν τὴν ἄπειρον τοῦ Θεοῦ εὐσπλαγχνίαν καὶ τὰς ἀμέτρους αὐτοῦ εὐεργεσίας, ἐκχέει κρουνοὺς δακρύων. Τοῦτ' αὐτὸ ἀληθεύει καὶ διὰ τὰ κατανυκτικὰ λόγια· τοῦτον μὲν κατανύγει τό, « Ἐλέησόν με ὁ Θεὸς » (1) τοῦ Δαβίδ· ἐκεῖνον τό, « Ὁ Θεὸς ἱλάσθητί » μοι τῷ ἁμαρτωλῷ » (2) τοῦ Τελώνου· ἄλλον, τοῦ λῃστοῦ τὸ « Μνήσθητί μου, Κύ» ριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου » (3)· ἄλλον, τοῦ Πέτρου τό, « Κύριε, σῶσόν με » (4), καὶ ἄλλον δέ, ἄλλος ὅμοιος λόγος. Καθὼς δὲ οὐδὲ ἡ αὐτὴ βοτάνη, οὐδὲ τὸ αὐτὸ ἔμπλαστρον φέρει πάντοτε εἰς τὸν αὐτὸν ἄνθρωπον τὴν ὑγείαν, ἀλλὰ νῦν μὲν ἐκείνη ἡ βοτάνη καὶ ἐκεῖνο τὸ ἔμπλαστρον, ἄλλοτε δέ, ἄλλη, καὶ ἄλλοτε πάλιν ἄλλο, κατὰ τὴν διάθεσιν, ἣν ἔχει τότε τὸ σῶμα· οὕτως οὐδὲ ὁ αὐτὸς στοχασμός, οὐδὲ ὁ αὐτὸς λόγος φέρει πάντοτε εἰς τὸν αὐτὸν ἄνθρωπον τὴν κατάνυξιν, ἀλλὰ νῦν μὲν οὗτος, ἄλλοτε δὲ ἄλλος, κατὰ τὴν διάθεσιν, ἣν ἔχει τότε ἡ ψυχή· διὰ τοῦτο, ὅταν θέλῃς κατάνυξιν, δοκίμαζε πάντα κατανυκτικὸν στοχασμὸν καὶ λόγον, ἕως ἂν εὕρῃς ἐκεῖνον, ὅστις πλήττει εὐστόχως τὴν καρδίαν σου· εὑρὼν δὲ ἐπανάλαμβανε αὐτόν, ἕως ἂν φέρῃ εἰς τὴν καρδίαν σου τὴν τελείαν κατάνυξιν, καθὼς ἐπαναλαμβάνεις καὶ τὸ ὠφελῆσάν σε ἰατρικόν, ἕως ἂν προξενήσῃ σοι τὴν τελείαν ὑγείαν.

Ἀδελφοί μου ἀγαπητοί, ἐπειδὴ ἡ κατάνυξις προξενεῖ τὴν αἰώνιον σωτηρίαν, χάρισμά ἐστι τοῦ Θεοῦ μέγα καὶ ὑπερτέλειον. Ἡμεῖς δὲ ἐδιδάχθημεν ὅτι « Πᾶσα δόσις » ἀγαθή, καὶ πᾶν δώρημα τέλειον ἄνωθέν » ἐστι καταβαῖνον ἀπὸ τοῦ πατρὸς τῶν » φώτων » (5). Διὰ τοῦτο, ἀδελφέ, παρ' αὐτοῦ τοῦ Θεοῦ ζήτει τὴν κατάνυξιν· δός μοι, λέγε πρὸς αὐτόν, Κύριε, κατανύξεως πόθον, δός μοι καρδίας συντριβήν, δός μοι τῆς μετανοίας τὰ δάκρυα, ἵνα δι' αὐτῶν πλύνω τὸν ῥύπον τῆς ψυχῆς μου, καὶ ἰατρεύσω τὰς πληγὰς τῶν ἁμαρτιῶν μου. Ἐὰν δὲ πολλάκις τοῦτο ἐκ καρδίας ζητῇς,

(1) Ψαλμ. 50, 1. (2) Λουκ. 18, 13. (3) Αὐτ. 23, 42. (4) Ματθ. 14, 30. (5) Ἰακ. 1, 17.

λαμβάνεις αὐτὸ ἀναμφιβόλως· « Πᾶς γὰρ » ὁ αἰτῶν λαμβάνει, καὶ ὁ ζητῶν εὑρίσκει, » καὶ τῷ κρούοντι ἀνοιγήσεται » (1) ἐν Χριστῷ Ἰησοῦ, τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ ἡ λατρεία εἰς τοὺς αἰῶνας τῶν αἰώνων· Ἀμήν.

# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΗΝ ΔΕΥΤΕΡΑΝ ΠΡΟΣ

## ΚΟΡΙΝΘΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗ͂Ι ΙΕ'. ΚΥΡΙΑΚΗ͂Ι.

ὙΨΗΛΗΣ θεολογίας μαθήματα διδάσκει ἡμᾶς διὰ τῆς σήμερον ἀναγνωσθείσης ἐπιστολῆς ὁ θεηγόρος Ἀπόστολος, ἀπὸ τῆς τοῦ κόσμου δημιουργίας, καὶ ἀπὸ τῆς ἐνσάρκου οἰκονομίας τοῦ Υἱοῦ καὶ Λόγου τοῦ Θεοῦ λαβὼν τὰς ἀφορμάς. Δύο φῶτα προβάλλει ὁ ἐπουράνιος ἄνθρωπος, τὸ φῶς τὸ κτιστόν, ὃ ἐποίησεν ὁ Θεὸς ἐν ἀρχῇ τῆς δημιουργίας, εἰπών· « Γενηθήτω φῶς· καὶ ἐγένετο » φῶς » (2). Καὶ τὸ φῶς τὸ ἄκτιστον, ὃ ἦν ἐν ἀρχῇ, ἤγουν ἀπ' αἰῶνος ἅμα τῷ Πατρί, κατὰ τό, « Ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ » Λόγος ἦν πρὸς τὸν Θεόν, καὶ Θεὸς ἦν ὁ » Λόγος. Αὐτὸς δέ, Ἦν τὸ φῶς τὸ ἀληθι» νόν » (3). Τὸ φῶς τὸ κτιστὸν ἐκ τοῦ μὴ ὄντος παρήχθη τῇ πρώτῃ ἡμέρᾳ· τὸ φῶς τὸ ἄκτιστον ἐκ τοῦ Πατρὸς ἐγεννήθη πρὸ πάντων τῶν αἰώνων. Τὸ φῶς τὸ κτιστὸν φωτίζει τὰ σώματα, τὸ φῶς τὸ ἄκτιστον φωτίζει τὰ πνεύματα· ἐκεῖνο ποιεῖ ὁρατὰ τὰ ἀόρατα, τοῦτο ποιεῖ πιστοὺς τοὺς ἀπίστους. Ἐκεῖνος ὁ Θεός, ὅστις ἔκτισε τὸ ὑλικὸν φῶς πρὸς φωτισμὸν πάντων τῶν ὑλικῶν σωμάτων, αὐτὸς ἀπέστειλε καὶ τὸ ἄϋλον φῶς, τὸν μονογενῆ Υἱὸν αὐτοῦ καὶ Λόγον, ἄνθρωπον γενόμενον πρὸς φωτισμὸν πασῶν τῶν ἀΰλων ψυχῶν, ἵνα δι' αὐτοῦ πάντες φωτισθέντες γνωρίσωσιν, ὅτι αὐτός ἐστιν ὁ ἀληθινὸς Θεός. Τοῦτον δὲ τὸν φωτισμὸν τῆς γνώσεως τοῦ Θεοῦ ἐνέθηκεν ὁ Θεὸς εἰς σκεύη ὀστράκινα, ἤγουν εἰς τὰς καρδίας τῶν πτωχῶν, καὶ ἀσόφων, καὶ ἀδυνάτων Ἀποστόλων, ἵνα δι' αὐτῶν φωτίσῃ πᾶσαν τὴν οἰκουμένην· εἰς σκεύη ὀστράκινα ἐνέθηκεν αὐτόν, ἵνα πάντες πληροφορηθῶσιν, ὅτι καὶ ἡ ἔκτασις καὶ τὰ κατορθώματα τούτου τοῦ φωτισμοῦ οὐκ εἰσὶν ἔργα ἀνθρώπινα, ἀλλὰ θαύματα παράδοξα τῆς ἀπείρου δυνάμεως τοῦ παντοδυνάμου Θεοῦ. Ταῦτα σαφέστερα γίνονται, καὶ τελειότερον κατανοοῦνται διὰ τῆς ἑρμηνείας· διὰ τοῦτο, ὅστις προσεκτικῶς ἀκούσας αὐτήν, κατονοήσει ἐντελῶς τὰ ἀποστολικὰ νοήματα, ἐκεῖνος φωτίζεται ὑπὸ τοῦ φωτισμοῦ τοῦ ὑπεραρχίου φωτός, ὅστις ἐστὶν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός.

(1) Ματθ. 7, 8. (2) Γεν. 1, 3. (3) Ἰωάν. 1, 1, 9.



*Ἀδελφοί, ὁ Θεὸς ὁ εἰπὼν ἐκ σκότους φῶς λάμψαι· ὃς ἔλαμψεν ἐν ταῖς καρδίαις ἡμῶν, πρὸς φωτισμὸν τῆς γνώσεως τῆς δόξης τοῦ Θεοῦ ἐν προσώπῳ Ἰησοῦ Χριστοῦ* (1).

Πρὶν ἢ κτισθῇ τὸ φῶς, σκότος περιεῖχε πᾶσαν τὴν γῆν· ὅθεν καὶ ἡ γῆ καὶ πάντα τὰ ἐπίγεια ἦσαν ἀφανῆ καὶ ἀόρατα. « Ἡ » δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος· » καὶ σκότος ἐπάνω τῆς ἀβύσσου· εἶπε » δὲ ὁ Θεός· Γενηθήτω φῶς· καὶ ἐγένετο » φῶς » (2). Ὅτε δὲ ἔλαμψε τὸ φῶς, τότε ὁρατὰ γεγόνασι πάντα τὰ ἐπίγεια. Τί δὲ σημαίνει τό, « Ἔλαμψεν ἐν προσώπῳ » Ἰησοῦ Χριστοῦ; » Αὐτὸ σημαίνει, ὅτι διὰ τοῦ σαρκωθέντος Υἱοῦ καὶ Λόγου, ἤγουν τοῦ Ἰησοῦ Χριστοῦ, ὅστις ἐστὶ « Τὸ » φῶς τὸ ἀληθινόν, ὃ φωτίζει πάντα ἄν» θρωπον, ἐρχόμενον εἰς τὸν κόσμον » (3), ἔλαμψεν ἐν ταῖς ἐσκοτισμέναις καρδίαις τῶν ἀνθρώπων, πρὸς φωτισμὸν τῆς γνώσεως τῆς δόξης τοῦ Θεοῦ, τουτέστιν, ἵνα φωτισθέντες οἱ ἄνθρωποι, γνωρίσωσι, ποία ἐστὶν ἡ δόξα τοῦ Θεοῦ. Διὰ τί δὲ οὐκ εἶπε, τῆς γνώσεως τοῦ Θεοῦ, ἀλλὰ τῆς γνώσεως τῆς δόξης τοῦ Θεοῦ; διότι ὁ Θεὸς καὶ πρὸ τῆς ἐνανθρωπήσεως τοῦ Υἱοῦ αὐτοῦ οὐκ ἦν παντελῶς ἀγνώριστος, καθότι ἦν « Γνω» στὸς ἐν τῇ Ἰουδαίᾳ » (4)· τοῦ Θεοῦ δὲ ἡ δόξα ἦν ἀγνώριστος· διότι ἡ ὄντως δόξα τοῦ Θεοῦ ἐστιν, οὐχὶ ἡ δημιουργία τῶν ἑτεροουσίων κτισμάτων, ἀλλ' ἡ γέννησις τοῦ ὁμοουσίου Υἱοῦ, καὶ ἡ ἐκπόρευσις τοῦ ὁμοουσίου Πνεύματος. Δόξα τοῦ Θεοῦ ἐστι καὶ ἡ δημιουργία τοῦ ἀοράτου καὶ ὁρατοῦ κόσμου, πλὴν αὐτὴ οὐκ ἔστιν ἡ ὄντως δόξα τοῦ Θεοῦ· Πατὴρ τοῦ Υἱοῦ, καὶ προβολεὺς τοῦ Πνεύματος, τοῦτό ἐστιν ἡ ὄντως δόξα τοῦ Θεοῦ. Ὁ Υἱός ἐστιν « Ἀπαύγασμα » τῆς δόξης τῆς θεότητος, αὐτὸς χαρακτὴρ » τῆς πατρικῆς ὑποστάσεως » (5)· τὸ Πνεῦμα τὸ ἅγιον, τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενόν, ἐστιν ἡ δόξα τῆς θεότητος· διὸ περὶ αὐτοῦ ἔλεγεν ὁ Υἱός· « Ἐκεῖνος ἐμὲ δοξά» σει » (6)· Πατέρα δέ, καὶ Υἱόν, καὶ Πνεῦμα ἅγιον ὁ Ἰησοῦς Χριστὸς ἐκήρυξεν εἰς τὸν κόσμον, εἰπὼν πρὸς τοὺς Ἀποστόλους αὐτοῦ· « Πορευθέντες οὖν, μαθητεύ» σατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐ» τοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ » Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος » (7). Ὅθεν αὐτὸς ἐφώτισε τοὺς ἀνθρώπους πρὸς κατανόησιν τῆς ὑπερεχούσης δόξης τοῦ Θεοῦ, ἥτις ἐστὶν ἡ προσκύνησις καὶ ἡ λατρεία τῆς τρισυποστάτου καὶ ἑνιαίας θεότητος· διὰ τοῦτο δὲ ἔλεγε πρὸς τὸν Θεὸν καὶ Πατέρα αὐτοῦ· « Ἐγώ σε ἐδόξασα ἐπὶ τῆς » γῆς » (8). Ἰδοὺ δὲ τὸ νόημα τῶν προκειμένων ἀποστολικῶν λόγων. Ὁ Θεός, ὅστις εἶπεν εἰς τὸν καιρὸν τῆς δημιουργίας, ἵνα ἐκ τοῦ σκότους, τοῦ τὴν γῆν περικαλύπτοντος, ἀναφανῇ καὶ λάμψῃ τὸ αἰσθητὸν φῶς, πρὸς φωτισμὸν τῶν κτισμάτων, αὐτὸς ὁ Θεός, « Ὅτε ἦλθε τὸ πλήρωμα τοῦ χρόνου, » ἐξαπέστειλεν » (9) ἄλλο φῶς, τὸν Υἱὸν αὐτοῦ ἐνανθρωπήσαντα, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ὅστις ἐφώτισε τὰς καρδίας ἡμῶν, ἵνα γνωρίσωμεν τὴν ἀληθινὴν δόξαν τοῦ Θεοῦ. Περὶ τούτου δὲ τοῦ φωτισμοῦ διαλαμβάνουσι καὶ τὰ ἑξῆς λόγια.

*Ἔχομεν δὲ τὸν θησαυρὸν τοῦτον ἐν ὀστρακίνοις σκεύεσιν, ἵνα ἡ ὑπερ-*

(1) Β'. Κορ. 4, 6. (2) Γεν. 1, 2, 3. (3) Ἰωάν. 1, 9. (4) Ψαλμ. 75, 1. (5) Ἑβρ. 1, 3. Ἰωάν. 14, 10—12. (6) Αὐτ. (7) Ματθ. 28, 19. (8) Ἰωάν. 17, 4. (9) Γαλ. 4, 4.

*βολὴ τῆς δυνάμεως ᾗ τοῦ Θεοῦ, καὶ μὴ ἐξ ἡμῶν* (1).

Θησαυρὸν ὠνόμασε τὸν φωτισμὸν τῆς θεογνωσίας, ὃν ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ, ἄνθρωπος γενόμενος, ἐξέχεεν εἰς τὰς καρδίας ἡμῶν, διδάξας τὸ ἑνιαῖον καὶ τρισυπόστατον τῆς θεότητος. Ἀληθῶς δὲ θησαυρός ἐστιν ἀτίμητος οὗτος ὁ φωτισμός, ὡς πρόξενος τῶν ἐπουρανίων ἀγαθῶν τῆς αἰωνίου ζωῆς· « Αὕτη δὲ ἐστιν, εἶπεν ὁ Κύριος, » ἡ αἰώνιος ζωή, ἵνα γινώσκωσί σε τὸν » μόνον ἀληθινὸν Θεόν, καὶ ὃν ἀπέστειλας » Ἰησοῦν Χριστόν » (2). Ἔχομεν, λέγει, τοῦτον τὸν ἐπουράνιον φωτισμὸν τοῦ Ἰησοῦ Χριστοῦ, τοῦ αἰωνίου φωτός, περιεχόμενον εἰς σκεύη πήλινα, ἤγουν εἰς φθαρτοὺς καὶ ἀσθενεῖς ἀνθρώπους· τοῦτο δὲ οὕτως ᾠκονόμησεν ἡ πάνσοφος τοῦ Θεοῦ πρόνοια, ἵνα πιστεύσῃ ὁ κόσμος, ὅτι οὐχ ἡμεῖς οἱ Ἀπόστολοι, ἀλλ' ἡ ὑπερβάλλουσα δύναμις τοῦ Θεοῦ ἐφήπλωσε καὶ ἐπολυπλασίασε τοῦτον τὸν σωτήριον τῆς πίστεως φωτισμόν. Τοῦτο δὲ κατασκευάζει καὶ διὰ τῶν ἑξῆς λόγων, ἀποδεικνύων τὴν δύναμιν τῆς θείας χάριτος ἐνεργοῦσαν ἐν τῇ ἀδυναμίᾳ τῆς φύσεως πρὸς ἐκπλήρωσιν τοῦ τοιούτου μεγάλου κατορθώματος.

*Ἐν παντὶ θλιβόμενοι, ἀλλ' οὐ στενοχωρούμενοι· ἀπορούμενοι, ἀλλ' οὐκ ἐξαπορούμενοι· διωκόμενοι, ἀλλ' οὐκ ἐγκαταλειπόμενοι· καταβαλλόμενοι, ἀλλ' οὐκ ἀπολλύμενοι* (3).

Βλέπε, πῶς περιγράφει ὁ θεῖος Ἀπόστολος τὴν δύναμιν τῆς θείας χάριτος, ἐνισχύουσαν τὴν ἀδυναμίαν τῆς φύσεως· « Ἐν » παντί », λέγει, ἤγουν εἰς πάντα καιρὸν καὶ τόπον καὶ περίστασιν· « Θλιβόμενοι »· θλιβόμεθα μὲν ὡς ἄνθρωποι ὑπὸ τῆς δυναστείας τῶν πολεμούντων ἡμᾶς ἀπίστων, ὅμως ὑπὸ τῆς χάριτος δυναμούμενοι, οὐ στενοχωρούμεθα, ἤγουν οὐ συστελλόμεθα, οὐδὲ κλείομεν τὸ στόμα, οὐδὲ σιωπῶμεν τὸ κήρυγμα τῆς πίστεως. « Ἀπορούμενοι »· πίπτομεν εἰς ἀπορίαν περὶ τοῦ, τί πρέπον ἐστὶ ποιῆσαι εἰς τὸν καιρὸν τῆς κινδυνωδεστάτης καταδρομῆς, καὶ τῶν χαλεπωτάτων περιστάσεων· « Ἀλλ' οὐκ ἐξαπορού» μενοι »· ἀλλ' ὑπὸ τῆς χάριτος τοῦ Θεοῦ φωτιζόμενοι, οὐ καταντῶμεν εἰς τὸν ἔσχατον ἀπελπισμόν· ἀλλ' εὑρίσκομεν πόρους καὶ τρόπους ἀπαλλαγῆς καὶ εἰς αὐτὰς τὰς ἀπόρους περιστάσεις· « Διωκόμενοι »· διωκόμεθα μὲν ὑπὸ τῶν τυράννων, ὅμως οὐκ ἐγκαταλείπει ἡμᾶς ὁ Θεός, ἀλλὰ βοηθῶν καὶ σκέπων, λυτροῦται τῶν διωγμῶν καὶ κινδύνων. « Καταβαλλόμενοι »· καταπονούμεθα μὲν καὶ ἀτονοῦμεν ὡς ἄνθρωποι, πλήν, θείᾳ δυνάμει κραταιούμενοι, οὐδὲ ἀφανιζόμεθα, οὐδὲ φθειρόμεθα.

*Πάντοτε τὴν νέκρωσιν τοῦ Κυρίου Ἰησοῦ ἐν τῷ σώματι περιφέροντες, ἵνα καὶ ἡ ζωὴ τοῦ Ἰησοῦ ἐν τῷ σώματι ἡμῶν φανερωθῇ. Ἀεὶ γὰρ ἡμεῖς οἱ ζῶντες εἰς θάνατον παραδιδόμεθα διὰ Ἰησοῦν, ἵνα καὶ ἡ ζωὴ τοῦ Ἰησοῦ φανερωθῇ ἐν τῇ θνητῇ σαρκὶ ἡμῶν* (4).

Τί σημαίνει ἡ νέκρωσις τοῦ Κυρίου Ἰησοῦ, ἣν περιέφερον ἐν τῷ σώματι αὐτῶν οἱ

(1) Β'. Κορ. 4, 7. (2) Ἰωάν. 17, 3. (3) Β'. Κορ. 4, 8, 9. (4) Αὐτ. 4, 10, 11.



θεῖοι Ἀπόστολοι; Ἐπειδὴ ὁ Παῦλος διηρμήνευσε τοῦτο, οὐδεμία ἄλλη ἑρμηνεία ἔχει τόπον. Αὐτὸς γνωρίσας, ὡς φαίνεται, ὅτι δυσνόητός ἐστιν ὁ λόγος, ἐξέφρασεν αὐτὸν εὐθύς, εἰπών· « Ἀεὶ γὰρ ἡμεῖς οἱ ζῶντες » εἰς θάνατον παραδιδόμεθα διὰ Ἰησοῦν ». Ἀφ' οὗ οὖν κατανοήσῃς τοῦτο, τότε καταλαμβάνεις καὶ τό, τί σημαίνει ἡ νέκρωσις τοῦ Κυρίου Ἰησοῦ. Ἄκουσον οὖν· Οἱ θεορρήμονες Ἀπόστολοι εἰς πάντα τόπον περιερχόμενοι, ἐδίδασκον ἀκαταπαύςως Ἰουδαίους καὶ Ἕλληνας. Εἰς τοὺς Ἰουδαίους ἔλεγον, ὅτι ὁ μωσαϊκὸς νόμος τύπος ἦν καὶ σκιὰ τοῦ εὐαγγελικοῦ κηρύγματος, καὶ ὅτι αὐτὸς οὐδένα σώζει, χωρὶς τῆς εἰς Χριςὸν πίςεως (1). Εἰς δὲ τοὺς Ἕλληνας ἐκήρυττον, ὅτι οὐκ εἰσὶ θεοὶ τὰ χρυσᾶ καὶ ἀργυρᾶ καὶ λίθινα ξόανα, τὰ ὑπ' αὐτῶν λατρευόμενα, καὶ ὅτι αὐτοὶ οὐκ ἠδύναντο σωθῆναι, ἐὰν μὴ ἐξουδενώσωσιν ἐκεῖνα, δεχθῶσι δὲ τὴν εἰς Χριστὸν πίςιν (2)· Ὅσοι οὖν ἐκ τῶν Ἰουδαίων καὶ τῶν Ἑλλήνων διὰ τὴν ἑαυτῶν ἀναξιότητα οὐκ ἐπίστευον εἰς τὸν Ἰησοῦν Χριστόν, ἐκεῖνοι ταῦτα ἀκούοντες, ὠργίζοντο καὶ ἐξεμαίνοντο κατὰ τῶν Ἀποστόλων, καὶ παντοιοτρόπως ἐζήτουν θανατῶσαι αὐτούς. Ἄφευκτος οὖν τοῦ θανάτου ὁ κίνδυνος εἰς τοὺς Ἀποστόλους διὰ τὸ τοιοῦτον κήρυγμα· αὐτοὶ ὅμως, κἂν ἄφευκτος ἦν τοῦ θανάτου ὁ κίνδυνος, οὐκ ἔπαυον, ἀλλ' ἀκαταπαύστως τὰ αὐτὰ ἐδίδασκον. Φανερὸν οὖν ἐστιν, ὅτι πάντοτε παρεδίδοσαν τὴν ἰδίαν ζωὴν εἰς θάνατον δι' ἀγάπην τοῦ Ἰησοῦ Χριστοῦ. Τοῦτο δὲ σημαίνει ἡ νέκρωσις τοῦ Κυρίου Ἰησοῦ, ἡ ἐν τῷ σώματι αὐτῶν περιφερομένη, τὸν θάνατον δηλαδὴ σημαίνει, εἰς ὃν καθ' ἡμέραν παρεδίδοσαν ἑαυτούς· ὅθεν ὁ Παῦλος ἔλεγε· « Καθ' ἡμέραν ἀποθνήσκω » (3). Διὰ τί δὲ περιέφερον τὴν νέκρωσιν τοῦ Κυρίου Ἰησοῦ ἐν τῷ σώματι αὐτῶν; « Ἵνα καὶ ἡ » ζωὴ τοῦ Ἰησοῦ, λέγει, ἐν τῷ σώματι » ἡμῶν φανερωθῇ », τουτέστιν, ἵνα μὴ μόνον διὰ λόγου κηρύττωμεν τὴν ζωὴν τοῦ Ἰησοῦ Χριστοῦ, ἀλλὰ καὶ δι' αὐτῶν τῶν ἔργων τοῦ σώματος, καὶ τῆς φθαρτῆς σαρκὸς ἡμῶν, φανεροῦται καὶ ἀποδεικνύεται ἡ ἁγιότης τῆς ζωῆς αὐτοῦ· διότι, καθὼς αὐτὸς παρέδωκεν ἑαυτὸν ἑκουσίως εἰς θάνατον ὑπὲρ τῆς σωτηρίας παντὸς τοῦ κόσμου (4), οὕτω καὶ ἡμεῖς αὐτοπροαιρέτως καθ' ἑκάστην παραδίδομεν ἑαυτοὺς εἰς τοῦ θανάτου τοὺς κινδύνους, ἵνα ὁδηγήσωμεν τοὺς ἀνθρώπους πρὸς τὴν αἰώνιον σωτηρίαν· κατὰ τοῦτο δὲ φανεροῦται ἡ ζωὴ τοῦ Ἰησοῦ ἐν τῷ σώματι ἡμῶν.

*Ὥστε ὁ μὲν θάνατος ἐν ἡμῖν ἐνεργεῖται, ἡ δὲ ζωὴ ἐν ὑμῖν* (5).

Ἔχει ἆρά γε οἰκειότητα τοῦτο τὸ συμπέρασμα μετὰ τῶν προηγουμένων λόγων; Ἔχει πολλήν. Οἱ Ἀπόστολοι ἐκινδύνευον πᾶσαν ὥραν τοῦ θανάτου τὸν κίνδυνον, ἵνα ἁπλώσωσι τὴν εὐαγγελικὴν πίστιν, καὶ οὕτω καταςήσωσι τοὺς πιστεύσαντας κληρονόμους τῆς μακαρίας καὶ αἰωνίου ζωῆς. Ἐπειδὴ δὲ οἱ Κορίνθιοι, πρὸς οὓς ἔγραφεν, ἐπίστευσαν εἰς τὸν Ἰησοῦν Χριστόν, καὶ ἑπομένως κληρονόμοι ἦσαν τῇ αὐτοῦ χάριτι τῆς αἰωνίου ζωῆς, διὰ τοῦτο εἶπεν· ἡμεῖς οἱ Ἀπόστολοι κηρύττοντες τὴν πίστιν, παραδιδόμεθα εἰς θάνατον· « Ὁ μὲν θάνατος » ἐν ἡμῖν ἐνεργεῖται ». Ὑμεῖς δὲ οἱ πισεύ-

(1) Ἑβρ. 10, 1. Γαλ. 2, 16. (2) Πράξ. 17, 29. (3) Α'. Κορ. 15, 31. (4) Ἰωάν. 10, 11, 18.
(5) Β'. Κορ. 4, 12.

σαντες, κληρονομεῖτε διὰ τὴν πίστιν ὑμῶν τὴν αἰώνιον ζωήν· « Ἡ δὲ ζωὴ ἐν ὑμῖν ». Ἐπειδὴ δὲ ἀνέφερε ζωὴν αἰώνιον, τὴν δὲ ζωὴν τὴν αἰώνιον οὐ βλέπομεν διὰ τῶν ὑλικῶν ὀφθαλμῶν τοῦ σώματος, ἀλλὰ πιςεύομεν διὰ τῶν νοερῶν δυνάμεων τῆς ψυχῆς, διὰ τοῦτο ἐπιφέρει τὰ ἑξῆς, λέγων·

*Ἔχοντες τὸ αὐτὸ πνεῦμα τῆς πίστεως, κατὰ τὸ γεγραμμένον· Ἐπίστευσα, διὸ ἐλάλησα· καὶ ἡμεῖς πιστεύομεν, διὸ καὶ λαλοῦμεν. Εἰδότες ὅτι ὁ ἐγείρας τὸν Κύριον Ἰησοῦν, καὶ ἡμᾶς διὰ Ἰησοῦ ἐγερεῖ, καὶ παραστήσει σὺν ὑμῖν* (1).

Ἀλλὰ δύναταί τις πρὸς ταῦτα ἀποκριθῆναι, λέγων· πόθεν σύ, ὦ Παῦλε, μετὰ τοσούτου θάῤῥους καὶ ἀσφαλείας λαλῶν περὶ τῆς αἰωνίου ζωῆς, λέγεις, ὅτι ὁ Θεός, ὅςις ἤγειρεν ἐκ νεκρῶν τὸν Κύριον Ἰησοῦν, ἀναστήσει σε μετὰ πάντων τῶν πιστευόντων, καὶ παραστήσει σε μετ' αὐτῶν; ὅτι μὲν πάντες οἱ νεκροὶ ἀναστήσονται, ὁ Ἰησοῦς Χριστὸς τοῦτο ἐδίδαξε (2)· τὸ δέ, ποῦ παραστήσει (3), κἂν ἐσιώπησας, φανερὸν ὅμως ἐςίν, ὅτι παραστήσει, λέγεις, διὰ τὴν ἀπόλαυσιν τῆς θείας δόξης, ἐπειδὴ ἀνωτέρω εἶπας· « Ἡ δὲ ζωὴ ἐν ὑμῖν » (4). Προφθάνει ταύτην τὴν ἔνστασιν ὁ θεόπνευστος, προβάλλων τῶν ἁγίων προφητῶν τὸ παράδειγμα. Ὁ προφήτης Δαβίδ, ἀφ' οὗ ἐλάλησε περὶ τῆς χώρας τῶν ζώντων, ἤγουν περὶ τῆς ἄνω Ἱερουσαλήμ, τῆς πατρίδος καὶ κατοικίας τῶν αἰωνίως ζώντων παρὰ τῷ Θεῷ, καὶ εἶπεν· « Εὐαρεστήσω ἐνώπιον » Κυρίου ἐν χώρᾳ ζώντων » (5)· τότε ἐμαρτύρησεν, ὅτι ἐλάλησε περὶ αὐτῆς, ὁδηγούμενος ὑπὸ τῆς πίστεως· « Ἐπίστευσα, εἶπε, » διὸ ἐλάλησα » (6). Ὁ οὖν Παῦλος λέγει· Ἐπειδὴ ἡμεῖς οἱ Ἀπόστολοι ἔχομεν τὸ αὐτὸ πνεῦμα τῆς πίστεως, ἤγουν τὴν αὐτὴν χάριν καὶ τὸν αὐτὸν φωτισμὸν τῆς πίστεως, ὃν εἶχον οἱ ἅγιοι προφῆται, αὐτοὶ δὲ διὰ τοῦ τοιούτου φωτισμοῦ τῆς πίστεως ἐλάλησαν τὰ περὶ τῆς μελλούσης ζωῆς καὶ ἀπολαύσεως, ὡς μαρτυρεῖ τὸ ἐν τοῖς ψαλμοῖς γεγραμμένον· « Ἐπίστευσα, διὸ » ἐλάλησα »· ἐπειδὴ ἡμεῖς ἐπιστεύσαμεν εἰς τὰ λόγια τοῦ Ἰησοῦ Χριστοῦ, διὰ τοῦτο λαλοῦμεν, καθὼς καὶ ἐκεῖνοι περὶ τῶν μὴ βλεπομένων, ἀλλὰ πιστευομένων πραγμάτων· λαλοῦμεν, ἐπειδὴ διὰ τῆς πίστεως ἐμάθομεν καὶ ἐγνωρίσαμεν, ὅτι ὁ Θεός, ὅστις ἤγειρεν ἐκ νεκρῶν τὸν Κύριον Ἰησοῦν, καθὸ ἄνθρωπον, αὐτὸς διὰ τὴν εἰς τὸν Κύριον Ἰησοῦν πίστιν ἡμῶν ἀναστήσει ἡμᾶς τοὺς Ἀποστόλους σὺν ὑμῖν τοῖς πιστοῖς, καὶ παραστήσει ἐνώπιον τῆς δόξης αὐτοῦ, ἵνα αἰωνίως μετ' αὐτοῦ συζήσωμεν, ἀπολαμβάνοντες τῆς θείας αὐτοῦ βασιλείας καὶ μακαριότητος.

*Τὰ γὰρ πάντα δι' ὑμᾶς, ἵνα ἡ χάρις πλεονάσασα, διὰ τῶν πλειόνων τὴν εὐχαριστίαν περισσεύσῃ εἰς τὴν δόξαν τοῦ Θεοῦ* (7).

« Τὰ γὰρ πάντα ». Ποῖα πάντα; Ἡ ἐνανθρώπησις τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ, τὸ πάθος, ὁ θάνατος, ἡ ἐκ νεκρῶν αὐτοῦ ἀνάστασις, καὶ ὅσα ἄλλα διὰ τὴν τῶν ἀνθρώπων σωτηρίαν ᾠκονόμησεν ὁ Θεός·

(1) Β'. Κορ. 4, 13, 14. (2) Ἰωάν. 6, 40. (3) Ματθ. 25, 32. (4) Β'. Κορ. 4, 12. (5) Ψαλ. 114, 9. (6) Ψαλ. 115, 1. (7) Β'. Κορ. 4, 15.



πρὸς τούτοις οἱ διωγμοί, οἱ κίνδυνοι, οἱ καθ' ἡμέραν θάνατοι, καὶ ὅσα ἄλλα ἔπαθον οἱ Ἀπόστολοι, ἵνα ἐπιστρέψωσι τοὺς ἀνθρώπους ἀπὸ τῆς πλάνης αὐτῶν εἰς τὴν ὁδὸν τῆς σωτηρίας· ταῦτα πάντα δι' ὑμᾶς, ἤγουν διὰ τὴν σωτηρίαν ὑμῶν τῶν πιστευόντων ἐγένοντο· ἐγένοντο δέ, ἵνα δι' αὐτῶν δοθῇ ὑμῖν πλουσιοπαρόχως ἡ χάρις, καὶ οὕτω περισσότεροι περισσοτέραν προσφέρωσι τὴν εὐχαριστίαν αὐτῶν εἰς δόξαν καὶ αἴνεσιν τοῦ Θεοῦ, τοῦ ταῦτα πάντα οἰκονομήσαντος διὰ τὴν τῶν ἀνθρώπων σωτηρίαν.

# ΟΜΙΛΙΑ

ΜΕΤΑ ΤΗΝ ΔΕΥΤΕΡΑΝ ΠΡΟΣ

## ΚΟΡΙΝΘΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗι ΙΕ'. ΚΥΡΙΑΚΗι.

ΑΝΔΡΕΣ ἀδελφοί, ὅσοι φοβούμενοι τοὺς ἐχθροὺς τῆς ἀρετῆς, ἢ οὐδόλως φροντίζετε περὶ αὐτῆς, ἢ ἄρχεσθε μὲν προθύμως τὴν ἐργασίαν αὐτῆς, ἔπειτα δὲ δειλιάσαντες, στρέφετε τὰ νῶτα καὶ ἐγκαταλείπετε αὐτήν, ἀκούσατε πόσον θαῤῥύνουσιν ὑμᾶς τὰ σήμερον ἀναγνωσθέντα λόγια τῆς ἐπιστολῆς τοῦ Παύλου· « Ἐν παντί, λέγει, θλι- » βόμενοι, ἀλλ' οὐ στενοχωρούμενοι· ἀπορούμενοι, ἀλλ' οὐκ ἐξαπορούμενοι· διωκόμε- » νοι, ἀλλ' οὐκ ἐγκαταλειπόμενοι· κατα- » βαλλόμενοι, ἀλλ' οὐκ ἀπολλύμενοι » (1). Ἀληθῶς ὀξύς ἐστι τῆς σαρκὸς ὁ πόλεμος· τὰ ὅπλα αὐτῆς εἰσιν αἱ ἡδονικαὶ ἐπιθυμίαι· δι' αὐτῶν δὲ νύκτα τε καὶ ἡμέραν γαργαλίζουσα, σπουδάζει, ἵνα ἁρπάσῃ τὸν θησαυρὸν τῆς σωφροσύνης, καὶ κατακρημνίσῃ εἰς τὸ βορβορῶδες βάραθρον τῆς ἀσελγείας· ἀληθῶς ἀπατηλὸς καὶ δόλιός ἐστιν ὁ πόλεμος τοῦ κόσμου· τὰ στρατεύματα αὐτοῦ εἰσιν ὁ πλοῦτος, αἱ τρυφαί, τὰ ἀξιώματα, αἱ τιμαί, ἔχει δὲ καὶ μύρια μυρίων ἐπιτηδειότατα ςρατηγήματα πρὸς ἀπάτην καὶ νέων καὶ γερόντων, καὶ ἀνδρῶν καὶ γυναικῶν, καὶ σοφῶν καὶ ἀμαθῶν, καὶ πάσης τάξεως καὶ καταστάσεως ἀνθρώπων, καὶ αὐτῶν τῶν προβεβηκότων εἰς τῆς ἀρετῆς τὰ κατορθώματα· σπεύδει δὲ διὰ τούτων ἵνα ἐξαλείψῃ τῆς ψυχῆς τὴν ἁπλότητα καὶ ἀκακίαν, καὶ τυπώσῃ ἐν αὐτῇ πᾶν εἶδος κακίας καὶ δολιότητος. Ἀληθῶς μέγας ἐστὶν ὁ πόλεμος τοῦ διαβόλου· αὐτὸς ἔχει ἐπιτήδεια τόξα, ἔχει πεπυρωμένα βέλη, ἔχει πολυποικίλους παγίδας, ἔχει ἀναρίθμητα τεχνάσματα καὶ μηχανουργήματα, δι' αὐτῶν δὲ ἀκαταπαύστως ἀγωνίζεται, ἵνα παντοιοτρόπως βλάψῃ τὰς ψυχὰς τῶν ἀνθρώπων· ἀληθῶς ταῦτα οὕτως ἔχουσιν· ἀληθῶς αὐτοὶ μὲν οἱ τρεῖς ἐχθροὶ πόλεμον συγκροτοῦσι καθ' ἡμῶν, ἡμεῖς δέ ἐσμεν στρατιῶ-

(1) Β'. Κορ. 4, 8, 9.

ται τοῦ Ἰησοῦ Χριστοῦ· ὅθεν ὁ Παῦλος ἔγραφε μὲν πρὸς τὸν Τιμόθεον· « Σὺ οὖν » κακοπάθησον ὡς καλὸς στρατιώτης Ἰησοῦ Χριστοῦ » (1)· ἔδειξε δὲ εἰς πάντας τοὺς στρατευομένους, ποῖά εἰσι τὰ ὅπλα, δι' ὧν νικῶνται οὗτοι οἱ ἐχθροί· « Στῆτε » οὖν, εἶπε, περιζωσάμενοι τὴν ὀσφὺν ὑμῶν » ἐν ἀληθείᾳ » (2). Τοῦτό ἐστι τὸ κατὰ τῆς σαρκὸς ὅπλον· « Καὶ ἐνδυσάμενοι τὸν » θώρακα τῆς δικαιοσύνης, καὶ ὑποδυσάμενοι τοὺς πόδας ἐν ἑτοιμασίᾳ τοῦ εὐαγγελίου τῆς εἰρήνης ». Ταῦτά εἰσι τὰ κατὰ τοῦ κόσμου ὅπλα. « Ἐπὶ πᾶσιν ἀναλαβόντες τὸν θυρεὸν τῆς πίστεως, ἐν ᾧ » δυνήσεσθε πάντα τὰ βέλη τοῦ πονηροῦ » τὰ πεπυρωμένα σβέσαι ». Ἰδοὺ καὶ τὰ κατὰ τῶν δαιμόνων ὅπλα· « Καὶ τὴν περικεφαλαίαν τοῦ σωτηρίου δέξασθε, καὶ » τὴν μάχαιραν τοῦ πνεύματος, ὅ ἐστι » ῥῆμα Θεοῦ ». Ἰδοὺ καὶ τῆς νίκης τὰ βραβεῖα, καὶ οἱ ἄφθαρτοι στέφανοι.

Ἐπειδὴ δὲ στρατιῶταί ἐσμεν τοῦ ἐπουρανίου βασιλέως, παρατηρήσωμεν τῶν ἐπιγείων βασιλέων τοὺς στρατιώτας. Αὐτοί, ἐὰν ἔχωσι συμβοηθοὺς πολλῷ ἰσχυροτέρους καὶ τεχνικωτέρους τῶν ἐχθρῶν αὐτῶν, οὐδόλως φοβοῦνται τοὺς ἐχθρούς· ὅταν πληροφορηθῶσιν, ὅτι οἱ συμβοηθοὶ αὐτῶν εἰσιν ἀκαταμάχητοι καὶ ἀκατανίκητοι, οὐδόλως δειλιάζουσιν, ἀλλὰ καὶ καταβαίνουσιν εὐψύχως εἰς τὸ στάδιον, καὶ πολεμοῦσι καρτερικῶς καὶ ἀνδρειοφρόνως, ἕως ἂν νικήσωσι καὶ στεφανωθῶσι. Διὰ τί οὖν, σὺ μὲν φοβούμενος, οὐδόλως καταβαίνεις εἰς τῆς ἀρετῆς τὸ στάδιον, σὺ δὲ εἰσελθὼν ἐν αὐτῷ, δειλιᾷς, καὶ στρέφεις τὸ πρόσωπον, καὶ φεύγεις; ἄνθρωπε, τί φοβεῖσαι; τῆς σαρκὸς τὴν πήρωσιν; τοῦ κόσμου τὴν ἀπάτην; τοῦ δαίμονος τὰ ἔνεδρα; μὴ φοβηθῇς ἀπὸ προσώπου αὐτῶν· διότι ἔχεις συμβοηθοὺς ἀσυγκρίτως ἰσχυροτέρους καὶ ἐπιτηδειοτέρους τῶν ἐχθρῶν τῶν πολεμούντων σε· αὐτοὶ φρίττουσι τῶν συμβοηθῶν σου τὴν δύναμιν. Κακοπάθησον ὡς καλὸς στρατιώτης, ἵνα παντελῶς αὐτοὺς καταπροπώσῃς. Προξενοῦσι μὲν αὐτοὶ θλίψεις, φέρουσιν ἀπορίας, διεγείρουσι διωγμούς, ἀλλ' οὐδόλως δύνανται, ἐν ὅσῳ ἀντιπολεμεῖς αὐτούς, τελειῶσαι κατὰ σοῦ τοῦ σκοποῦ αὐτῶν τὸ ἔργον· ἀλλ' ἐκεῖνοι μὲν νικῶνται, σὺ δὲ λαμβάνεις τῆς νίκης τὸ τρόπαιον. Ἐπιβεβαιοῖ τοῦτο ὁ ὑπὲρ πάντας ἀγωνισθεὶς τῆς ἀρετῆς τὸν ἀγῶνα, καὶ θαυμασίως νικήσας, καὶ ὑπερενδόξως στεφανωθείς, ὁ πανυπερένδοξος ἀθλητής, ὁ Παῦλος· « Ἐν » παντί, λέγει, θλιβόμενοι, ἀλλ' οὐ στενοχωρούμενοι· ἀπορούμενοι, ἀλλ' οὐκ ἐξαπορούμενοι· διωκόμενοι, ἀλλ' οὐκ ἐγκαταλειπόμενοι· καταβαλλόμενοι, ἀλλ' οὐκ » ἀπολλύμενοι » (3). Ὅταν εἰς τὰς θλίψεις οὐκ αἰσθανώμεθα στενοχωρίαν, εἰς τὰς ἀπορίας εὑρίσκωμεν πόρους, εἰς τοὺς διωγμοὺς ἔχωμεν καταφύγια, εἰς τὰς πτώσεις οὐ καταντῶμεν εἰς τὴν ἀπώλειαν, τί δειλιῶμεν, ἢ τί φοβούμεθα;

Ἐφοβήθη ὁ Γεδεὼν τὸν πόλεμον τῶν ἐχθρῶν αὐτοῦ, καὶ ἐχθρῶν παντὸς τοῦ γένους αὐτοῦ, ἤγουν τῶν Μαδιανιτῶν· ἐπειδὴ ἐκεῖνοι μὲν « Ἦσαν, λέγει ἡ ἱερὰ ἱστορία, ὡς ἡ ἄμμος, ἡ ἐπὶ χείλους τῆς θαλάσσης εἰς πλῆθος » (4)· αὐτὸς δὲ μίαν μόνην χιλιάδα εἶχεν ἀσθενῶν στρατιωτῶν· ὅθεν, ὅταν ὁ ἄγγελος ἀπέστειλεν αὐτόν, ἵνα πολεμήσῃ αὐτούς, διστάζων καὶ φοβούμενος ἔλεγε πρὸς αὐτόν· « Ἐν τίνι σώσω » τὸν Ἰσραήλ; ἰδοὺ ἡ χιλιάς μου ἠσθένησεν ἐν Μανασσῇ, καὶ ἐγώ εἰμι μικρότερος ἐν οἴκῳ τοῦ πατρός μου » (1). Ἀλλ' ὅταν ἤκουσε τὸν ἄγγελον λέγοντα, ὅτι ὁ Θεός ἐστι βοηθὸς αὐτοῦ· « Κύριος ἔσται μετὰ σοῦ » (2), τότε ἀπέῤῥιψε πάντα φόβον ἀπὸ τῆς καρδίας αὐτοῦ, καὶ συνάξας τὸν λαὸν αὐτοῦ, παρετάχθη θαρσαλέως κατὰ τῆς παρεμβολῆς Μαδιάμ. Ὁ δὲ Κύριος, ἵνα δείξῃ, ὅτι οὐχὶ τῇ δυνάμει τοῦ λαοῦ αὐτοῦ, ἀλλὰ τῇ βοηθείᾳ τῆς θείας χάριτος ἔμελλε θριαμβεῦσαι κατὰ τῶν Μαδιανιτῶν, ὥρισεν αὐτῷ, ἵνα ἐξαποστείλῃ πάντα τὸν λαὸν αὐτοῦ εἰς τὸν οἶκον αὐτῶν, λάβῃ δὲ μεθ' ἑαυτοῦ μόνον τριακοσίους ἄνδρας, καὶ δι' αὐτῶν κατατροπώσῃ τοὺς ἐχθρούς· « Καὶ εἶπε Κύριος πρὸς Γεδεών, ἐν » τοῖς τριακοσίοις ἀνδράσι, τοῖς λάψασι, » σώσω ὑμᾶς, καὶ δώσω τὴν Μαδιὰμ ἐν » χειρί σου, καὶ πᾶς ὁ λαὸς πορεύσονται ἀνὴρ εἰς τὸν τόπον αὐτοῦ » (3). Οὕτως εἶπεν ὁ Θεὸς καὶ οὕτως ἐγένετο· ἐπάταξε δηλαδὴ ὁ Γεδεὼν τοὺς Μαδιανίτας μετὰ μόνων τριακοσίων ἀνδρῶν, καὶ ἐφόνευσε τοὺς ἄρχοντας αὐτῶν, « Τὸν Ὠρήβ, καὶ τὸν Ζήβ, » καὶ τοὺς βασιλεῖς αὐτῶν, τὸν Ζεβεὲ καὶ » τὸν Σαλμανά » (4). Τοσοῦτον δὲ ἔφθειρε τὸ γένος αὐτῶν (5), ὥστε ἐταπεινώθησαν καὶ οὐκ ἠδυνήθησαν ὑψῶσαι τὴν κεφαλὴν αὐτῶν, ἀλλὰ συνεστάλησαν καὶ ἡσύχασαν ἔτη τεσσαράκοντα « Καὶ συνεστάλη Μαδιὰμ ἐνώπιον υἱῶν Ἰσραήλ, καὶ οὐ προσέθηκαν ἆραι τὴν κεφαλὴν αὐτῶν· καὶ » ἡσύχασεν ἡ γῆ τεσσαράκοντα ἔτη ἐν ἡμέραις Γεδεών » (6).

Καὶ ὁ Μωϋσῆς ἐδειλίασεν, ὅταν ὁ Θεὸς ἐκέλευσεν αὐτόν, ἵνα, ἀπελθὼν εἰς τὴν Αἴγυπτον, λυτρώσῃ τὸν λαὸν αὐτοῦ ἀπὸ τῆς δυναστείας τοῦ Φαραώ· « Τίς εἰμι ἐγώ, » ἀπεκρίθη πρὸς τὸν Θεόν, ὅτι πορεύσομαι » πρὸς Φαραὼ βασιλέα Αἰγύπτου, καὶ ὅτι » ἐξάξω τοὺς υἱοὺς Ἰσραὴλ ἐκ γῆς Αἰγύπτου; » (7) Ὕπαγε, εἶπε πρὸς αὐτὸν ὁ Θεός, « Ὅτι ἔσομαι μετὰ σοῦ » (8). Ὁ λόγον οὗτος ἐδίωξεν ἀπὸ τῆς καρδίας αὐτοῦ καὶ τὸν δισταγμὸν καὶ τὸν φόβον. Ἀδιστάκτως οὖν ἦλθεν ὁ Μωϋσῆς εἰς τὴν Αἴγυπτον, παρεστάθη ἀφόβως ἔμπροσθεν τοῦ Φαραώ, μεγαλοψύχως ἐφανέρωσεν εἰς αὐτὸν τοῦ Θεοῦ τὸ πρόσταγμα· ἔπειτα ἐποίησε τὰ μεγάλα καὶ ἐξαίσια θαύματα, ἐξήγαγε τὸν Ἰσραηλιτικὸν λαὸν ἐκ τῆς Αἰγύπτου, καὶ διαπεράσας αὐτὸν διὰ τῆς Ἐρυθρᾶς θαλάσσης, ἠλευθέρωσεν αὐτὸν ἀπὸ τῆς Φαραωνίτιδος τυραννίας.

Μετὰ τὰ τοιαῦτα παραδείγματα σὺ φοβούμενος τοὺς ἐχθρούς σου οὐχ ὑπακούεις εἰς τοῦ Θεοῦ τὰ προστάγματα, ἀλλ' ἀμελεῖς τῶν καλῶν ἔργων τὰ κατορθώματα; Ὁ Γεδεὼν οὐκ ἐφοβήθη τοὺς Μαδιανίτας, ὧν τὸ πλῆθος, ὡς ἡ ἄμμος, ἡ παρὰ τὸ χεῖλος τῆς θαλάσσης· σὺ δὲ φοβεῖσαι τῆς σαρκός σου τὸν πόλεμον, ἥτις, ὅταν μὲν φεύγῃς τὰ σκανδαλίζοντα πρόσωπα, μαραίνει τὴν ζέσιν τῆς πονηρᾶς αὐτῆς ἐπιθυμίας, ὅταν δὲ περιζώσῃς τὴν ὀσφύν σου διὰ τῆς νηστείας, τότε τρομάζουσα, καταστέλλει καὶ νεκροποιεῖ τὰς ἰδίας αὐτῆς ἐπαναστάσεις; Ὁ Γεδεὼν ἐπολέμησε καὶ κατετρόπωσε τὸ ἄμετρον καὶ ἰσχυρὸν πλῆθος τῶν Μαδιανιτῶν· σὺ δὲ διστάζεις ἀντιπολεμῆσαι τοῦ κόσμου τὴν ματαιότητα, ἥτις, ἐὰν στοχασθῇς, τί ἐστι, βλέπεις, ὅτι « Πᾶσα

(1) Β'. Τιμ. 2, 3. (2) Ἐφ. 6, 14, 17. (3) Β'. Κορ. 4, 8, 9. (4) Κριτ. 7, 12.



(1) Κριτ. 6, 15. (2) Αὐτ. 16. (3) Αὐτ. 7, 7. (4) Αὐτ. 25. (5) Αὐτ. 8, 21. (6) Αὐτ. 28,
(7) Ἐξ. 3, 11. (8) Αὐτ. 12.

» σὰρξ ὡς χόρτος, καὶ πᾶσα δόξα ἀνθρώ» που, ὡς ἄνθος χόρτου· ἐξηράνθη ὁ χόρ» τος, καὶ τὸ ἄνθος αὐτοῦ ἐξέπεσεν » (1). Ἐὰν στοχασθῇς, τί ἐστιν ὁ κόσμος, βλέπεις, ὅτι « Ὁ κόσμος παράγεται, καὶ ἡ » ἐπιθυμία αὐτοῦ· ὁ δὲ ποιῶν τὸ θέλημα » τοῦ Θεοῦ, μένει εἰς τὸν αἰῶνα· » (2) Ὁ Μωϋσῆς οὐκ ἐφοβήθη οὐδὲ τὴν τυραννικὴν γνώμην τοῦ Φαραώ, οὐδὲ τὴν βασιλικὴν αὐτοῦ ἐξουσίαν, οὐδὲ τὴν ἀκαταμάχητον αὐτοῦ δύναμιν· σὺ δὲ φοβεῖσαι καὶ τρέμεις τῶν δαιμόνων τὰς ἐπιβουλάς, οἵτινες, ἐὰν μόνον ἐκτείνῃς τὴν χεῖρά σου, καὶ σημειώσῃς τοῦ σταυροῦ τὸ σχῆμα, ἐξαφανίζονται ἐκ προσώπου σου, καθὼς ἐξηφανίσθη ὁ Ἀμαλήκ, ὅταν ὁ Μωϋσῆς, ὑψώσας τὰς χεῖρας αὐτοῦ, ἐσχημάτισε τὸν τύπον τοῦ σταυροῦ; (3)

Ἀλλὰ ποίαν, λέγεις, πληροφορίαν ἔχω ἐγώ, ὅτι ὁ Θεός ἐστι μετ' ἐμοῦ, καθὼς μετὰ τοῦ Γεδεὼν καὶ τοῦ Μωϋσέως, καὶ ὅτι βοηθεῖ μοι εἰς τὴν κατὰ τῶν ἐχθρῶν μου πάλην, καθὼς ἐκείνους εἰς τὸν κατὰ τῶν ἐχθρῶν αὐτῶν πόλεμον; ὤ! περὶ τούτου μηδεμίαν ἔχε ἀμφιβολίαν· πρῶτον μέν, ἐπειδὴ τοσοῦτον καθαρῶς περὶ τούτου λαλεῖ ὁ ἅγιος προφήτης Δαβίδ, ὥστε μόνος ὁ ἀναίσθητος οὐ πείθεται· ἄκουσον, τί λέγει αὐτός· « Ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντε» λεῖται περὶ σοῦ, τοῦ διαφυλάξαι σε ἐν » πάσαις ταῖς ὁδοῖς σου. Ἐπὶ χειρῶν ἀ» ροῦσί σε, μήποτε προσκόψῃς πρὸς λίθον » τὸν πόδα σου· ἐπὶ ἀσπίδα καὶ βασιλί» σκον ἐπιβήσῃ, καὶ καταπατήσεις λέον» τα καὶ δράκοντα » (4). Σημείωσαι δέ, ὅτι ὁδοὺς λέγει οὐχὶ τὰς ὁδοὺς τῆς ἁμαρτίας, ἀλλὰ τὰς ὁδοὺς τῆς ἀρετῆς· διότι τότε ἔχεις τὸν Θεὸν συνοδοιπόρον, ὅταν περιπατῇς τῆς ἀρετῆς τὸν δρόμον· ὅταν δὲ τρέχῃς τῆς ἀπωλείας τὸν κρημνόν, τότε μακρύνεται ἀπὸ σοῦ ὁ Θεός, καὶ μένεις μόνος. Ὁ δὲ λίθος τοῦ τῶν ποδῶν προσκόμματος τὴν ἁμαρτίαν σημαίνει· διότι, καθὼς ἐκεῖνος, ὅστις προσκόπτει πρὸς τὸν λίθον, πίπτει καὶ συντρίβεται· οὕτω καὶ ἐκεῖνος, ὅστις πράττει τὴν ἁμαρτίαν, πίπτει καὶ ἀπολεῖται. Τὰ κοινῶς δὲ περιφερόμενα περὶ τῆς ἀσπίδος καὶ τοῦ βασιλίσκου ὡς ἀληθῆ μετελθὼν ὁ προφήτης, διὰ μὲν τῆς ἀσπίδος ἐσήμανε τὴν σάρκα, διὰ δὲ τοῦ βασιλίσκου, τὸν κόσμον· διότι, καθὼς ἡ ἀσπὶς κωφή ἐστι, καὶ ἐμφράττει τὰ ὦτα αὐτῆς, ἵνα μὴ ἀκούσῃ τὴν φωνὴν τῶν ἐπαδόντων· οὕτως ἡ σὰρξ κωφεύει, καὶ ἐμφράττει τὰς αἰσθητικὰς αὐτῆς δυνάμεις, ἵνα μὴ αἰσθάνηται τὸν νόμον τοῦ πνεύματος· καθὼς δὲ ὁ βασιλίσκος διὰ τῆς ἐνατενίσεως τῶν ὀμμάτων αὐτοῦ βλάπτει τῶν ἀνθρώπων τὰ σώματα, οὕτω καὶ ὁ κόσμος διὰ τῆς μεταδόσεως τῶν ἀγαθῶν αὐτοῦ φθείρει τὰς τῶν ἀνθρώπων ψυχάς. Ὅτι δὲ ὁ διάβολος καὶ λέων λέγεται καὶ δράκων, διὰ τὴν ὑπ' αὐτοῦ προξενουμένην βλάβην, μαρτυροῦσιν οἱ θεόπται Ἀπόστολοι, ὁ Πέτρος δηλαδὴ καὶ ὁ Ἰωάννης· ὁ μὲν κηρύττων, ὅτι « Ὡς λέων ὠρυόμενος περιπατεῖ, » ζητῶν, τίνα καταπίῃ » (5)· ὁ δέ, λέγων· « Καὶ ἰδοὺ δράκων μέγας πυῤῥός » (6). Ἐπειδὴ οὖν ὁ ἅγιος τοῦ Θεοῦ προφήτης μαρτυρεῖ, ὅτι, ὅταν περιπατῇς τὴν ὁδὸν τῆς ἀρετῆς, τότε οἱ ἅγιοι ἄγγελοι, βαστάζοντές σε εἰς τὰς χεῖρας αὐτῶν, διαφυλάττουσί σε ἀπὸ τῆς ἁμαρτίας· ἐπιβεβαιοῖ δέ, ὅτι ἐπιβήσῃ ἐπὶ ἀσπίδα καὶ βασιλίσκον,

(1) Α'. Πέτρ. 1, 24. (2) Α'. Ἰωάν. 2, 17. (3) Ἐξοδ. 17, 11. (4) Ψαλ. 90, 11, 13. (5) Α'. Πέτρ. 5, 8. (6) Ἀποκ. 12. 3.



ἤγουν καὶ τῆς σαρκὸς τὰς ὀρέξεις ὑποτάξεις, καὶ τοῦ κόσμου τὸν πειρασμὸν νικήσεις, καὶ καταπατήσεις λέοντα καὶ δράκοντα, τουτέστι, κατατροπώσεις τὰς τῶν δαιμόνων δυνάμεις· ὅταν οὖν παρατασσώμεθα κατὰ τῆς παρεμβολῆς τούτων τῶν τριῶν ἐχθρῶν, τότε ἔχομεν συμβοηθοὺς τὰς στρατιὰς τῶν ἐπουρανίων δυνάμεων· οἱ ἐπουράνιοι ἄγγελοι περικυκλοῦσιν ἡμᾶς, ὅταν ἐργαζώμεθα τὰ καλὰ ἔργα· οἱ ἅγιοι ἄγγελοι σκέπουσι καὶ διαφυλάττουσιν ἡμᾶς ἀπὸ τῆς τῶν πολεμίων βλάβης. Ματαίως λοιπὸν φοβούμεθα, ματαίως δειλιῶντες φεύγομεν τῆς ἀρετῆς τὸν ἀγῶνα.

Δεύτερον δέ, ἐπειδὴ ἁρπάζει ἀπὸ τῆς καρδίας πάντα δισταγμὸν τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ τὸ θεῖον χάρισμα· αὐτὸς διὰ τὴν ἄμετρον αὐτοῦ ἀγαθότητα ἔδωκεν εἰς ἡμᾶς, τοὺς εἰς αὐτὸν πιστεύοντας, ἐξουσίαν καὶ κυριότητα κατὰ τούτων τῶν τριῶν ἐχθρῶν τῆς ἀρετῆς καὶ σωτηρίας· « Ἰδού, εἶπε, δίδωμι ὑμῖν τὴν ἐξουσίαν τοῦ » πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ » ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ, και » οὐδὲν ὑμᾶς οὐ μὴ ἀδικήσει » (1). Διὰ τῶν ὄφεων σημάνας τὰς φαρμακώδεις τῆς σαρκὸς ἐπιθυμίας· διὰ τῶν σκορπίων τὰ ὀξύτατα τοῦ κόσμου κέντρα· διὰ δὲ τῆς δυνάμεως τοῦ ἐχθροῦ, τοὺς πειρασμοὺς τοῦ διαβόλου· καὶ ἐπιβεβαιώσας, ὅτι οὐδὲν τῶν κτισμάτων δύναται βλάψαι τοὺς ἐργαζομένους τὸ ἀγαθόν· ἐκ τούτου δὲ θαῤῥήσας ὁ Παῦλος ἔλεγε· « Πέπεισμαι γάρ, ὅτι οὔ» τε θάνατος, οὔτε ζωή, οὔτε ἄγγελοι, οὔτε » ἀρχαί, οὔτε δυνάμεις, οὔτε ἐνεστῶτα, » οὔτε μέλλοντα, οὔτε ὕψωμα, οὔτε βάθος, » οὔτε τις κτίσις ἑτέρα δυνήσεται ἡμᾶς χω» ρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ Θεοῦ » (2). Ἀκούσατε νῦν καὶ τὴν φιλανθρωποτάτην αὐτοῦ ὑπόσχεσιν· ὑπόσχεσιν, ἥτις ἐφαπλοῦται καὶ εἰς τοὺς τότε πιστεύσαντας, καὶ εἰς τοὺς νῦν πιστεύοντας, καὶ εἰς τοὺς ἕως τῆς συντελείας τοῦ κόσμου πιστεύσοντας· ὑπόσχεσιν, ἥτις διώκουσα μακρὰν πᾶσαν ἀμφιβολίαν, πληροφορεῖ παντὸς ἀνθρώπου τὸν νοῦν, ὅτι νικητὴς γίνεται κατὰ πάντων τῶν τῆς σωτηρίας αὐτοῦ πολεμίων· ὑπόσχεσιν, ἥτις καὶ θαῤῥύνει πρὸς τὴν εἴσοδον, καὶ στηρίζει πρὸς τὴν ἐπιμονὴν τῶν ὑπὲρ τῆς ἀρετῆς ἀγώνων. « Καὶ ἰδού, ἐγὼ μεθ' » ὑμῶν εἰμι πάσας τὰς ἡμέρας, ἕως τῆς » συντελείας τοῦ αἰῶνος. Ἀμήν » (3). Ὢ φιλανθρωπία ἄμετρος, ὢ χάρις ἐξαισία, ὢ εὐεργεσία, καὶ δόξα, καὶ ἀσφάλεια ἀνέκφραστος.

Κύριε Ἰησοῦ μου, σὺ ὁ παντοδύναμος μετ' ἐμοῦ ὑπάρχεις, ἐγὼ δὲ φοβούμενος τὴν καταδυναστείαν τῶν πονηρῶν καὶ φθαρτῶν ἀνθρώπων, ἀθετῶ τοὺς θείους σου νόμους, καὶ περιφρονῶ τὸ ἅγιόν σου Εὐαγγέλιον; Κύριε Ἰησοῦ μου, σὺ ὁ παντεξούσιος μετ' ἐμοῦ πάσας τὰς ἡμέρας, ἐγὼ δὲ παραβαίνω τὰς ἐντολάς σου, φοβούμενος, μήπως θυμώσω ἕνα ματαιόφρονα ἄνθρωπον; Σύ, Κύριέ μου παντοκράτορ, ὁ καὶ αὐτοὺς τοὺς ὅρους τῆς φύσεως μεταβάλλων, μετ' ἐμοῦ ὑπάρχεις, ἐγὼ δὲ διστάζω ἀντιστῆναι καὶ καταπολεμῆσαι τὴν πολυχρόνιον τῆς ἁμαρτίας μου συνήθειαν; Σὺ ὁ δοτὴρ τῆς ζωῆς, καὶ τῆς ὑγείας ὁ χορηγός, μετ' ἐμοῦ ὑπάρχεις πάσας τὰς ἡμέρας, ἐγὼ δὲ οὐδὲ νηστεύω οὐδὲ ἀγρυπνῶ, οὐδὲ δουλαγωγῶ τὴν σάρκα, ἐπειδὴ φοβοῦμαι, μήπως βλάψω τὴν ὑγείαν μου καὶ ἀποθάνω; Σύ, Ἰη-

(1) Λουκ. 10, 19. (2) Ῥωμ. 8, 38, 39. (3) Ματθ. 28, 20.

σοῦ μου, ὅστις ἀνοίγεις « Τὴν χεῖρά σου,
» καὶ ἐμπιπλᾷς πᾶν ζῶον εὐδοκίας » (1), μετ' ἐμοῦ ὑπάρχεις, ἐγὼ δὲ οὐκ ἐλεῶ τοὺς πτωχοὺς ἐκ τῶν ἀγαθῶν, ὧν μοι δέδωκας, ἐπειδὴ φοβοῦμαι, μήπως καταντήσω εἰς τῆς πτωχείας τὰς ἀνάγκας; Σύ, ὁ δημιουργὸς τῆς κτίσεως, καὶ ὁ δεσπότης τῶν ἁπάντων, μετ' ἐμοῦ ὑπάρχεις πάσας τὰς ἡμέρας, ἐγὼ δὲ οὐ ποιῶ τὸ θέλημά σου τὸ ἅγιον, φοβούμενος, μήπως παροργίσω τὸν παράλογον κόσμον, ἢ βλάψω τὸ θνητὸν τοῦτο σῶμα, ἢ ἐξεγείρω κατ' ἐμοῦ τοὺς πειρασμοὺς τοῦ διαβόλου; Τί ἐστι τοῦτο; καὶ τί ἄλλο εἰμὴ ὀλιγοπιστία τῆς καρδίας μου, ἢ παραλογία τοῦ νοός μου, ἢ καὶ τὰ δύω ὁμοῦ, προσέτι δὲ καὶ ἀμεριμνία τῆς σωτηρίας μου; Βλέπω πάντοτε κάτω εἰς τὴν γῆν, ὥσπερ τὰ ἄλογα ζῶα, καὶ οὐδέποτε ὡς λογικὸς ἄνθρωπος αἴρω τὰ ὄμματα ἄνω εἰς τὸν οὐρανόν· κατάκειμαι πάντοτε εἰς τὸν βόρβορον τῆς ἁμαρτίας μου, καὶ οὐδέποτε ἀνίσταμαι ἀπὸ τοῦ τάφου τῶν ἀνομιῶν μου.

Ἡ ὑπόσχεσις τοῦ Ἰησοῦ Χριστοῦ ἐστιν ὑπόσχεσις ἀληθινή, ἐπειδὴ αὐτός ἐστι Θεὸς ἀληθινός, καὶ αὐτὴ ἡ αὐτοαλήθεια. Αὐτὸς οὖν ἐστι μεθ' ἡμῶν πάσας τὰς ἡμέρας, ὡς ὑπέσχετο· τοῦτο δὲ ἐκβάλλει ἐκ τῶν καρδιῶν ἡμῶν πάντας τοὺς φόβους, ὅσοι περικυκλοῦσιν ἡμᾶς, ὅταν ἢ μελετῶμεν, ἢ καὶ ἐργαζώμεθα τὰ καλὰ ἔργα· διότι, ὅταν ἔχῃς μετὰ σοῦ τὸν παντεξούσιον, τὸν παντοκράτορα, τὸν παντοδύναμον, ὅταν ἔχῃς μετὰ σοῦ ἐκεῖνον, ὃν φρίττει καὶ τρέμει τὰ σύμπαντα, τί διστάζεις, ἢ τί φοβεῖσαι; οὐ ποιεῖς τοῦ Θεοῦ τὸ θέλημα, οὐδὲ ἐργάζεσαι τὰ καλὰ ἔργα διὰ τὸν φόβον τῶν πολεμούντων τὴν ἀρετήν; ἀλλ' ἐπειδὴ ὁ Θεὸς μετὰ σοῦ, οὐδὲ ἡ ἐπιβουλὴ τῆς σαρκός, οὐδὲ αἱ παγίδες τοῦ κόσμου, οὐδὲ τῶν δαιμόνων οἱ πόλεμοι δύνανται νικῆσαί σε, ἐὰν ἀνδρειοφρόνως πολεμῇς κατ' αὐτῶν. « Πεσεῖ-
» ται ἐκ τοῦ κλίτους σου χιλιάς, καὶ μυ-
» ριὰς ἐκ δεξιῶν σου, πρὸς σὲ δὲ οὐκ ἐγ-
» γιεῖ » (2). Ὅταν πολεμῇς τούτους τοὺς ἐχθρούς, τότε πίπτουσι χιλιάδες μὲν ἐκ τῶν ἀριστερῶν σου, μυριάδες δὲ ἐκ τῶν δεξιῶν σου, οὐδεὶς δὲ ἐξ αὐτῶν τολμᾷ οὐδὲ κἂν ἐγγίσαι σοι. Ἐκ τούτων οὖν φανερόν ἐστιν, ὅτι ἡμεῖς ἐσμεν ἀναπολόγητοι, ὅταν οὐκ ἐργαζώμεθα τὰ ἔργα τῆς ἀρετῆς. Ἀδελφοί μου ἀγαπητοί, ἡ ὥρα τοῦ θανάτου ἐστὶν ἄδηλος, τὸ περιμένον ἡμᾶς κριτήριον, φοβερώτατον, ὁ κριτὴς ἀλάνθαστος καὶ ἀδυσώπητος, οἱ γυμνοὶ τοῦ ἐνδύματος τοῦ γάμου, ἤγουν τῶν καλῶν ἔργων, διώκονται τοῦ θείου νυμφῶνος, καὶ ἐκβάλλονται « Εἰς τὸ
» σκότος τὸ ἐξώτερον, ὅπου ὁ κλαυθμὸς καὶ
» ὁ βρυγμὸς τῶν ὀδόντων » (3). « Διὰ τοῦ-
» το μὴ γίνεσθε ἄφρονες ἀλλὰ συνιέντες,
» τί τὸ θέλημα Κυρίου (4). Τὸ λοιπὸν ἀδελ-
» φοί, ὅσα ἐστὶν ἀληθῆ, ὅσα σεμνά, ὅσα
» δίκαια, ὅσα ἁγνά, ὅσα προσφιλῆ, ὅσα
» εὔφημα, εἴτις ἀρετὴ καὶ εἴτις ἔπαινος,
» ταῦτα λογίζεσθε· ταῦτα πράσσετε· καὶ
» ὁ Θεὸς τῆς εἰρήνης ἔσται μεθ' ὑμῶν » (5). Ἀμήν.

(1) Ψαλ. 144, 16. (2) Ψαλ. 9, 7. (3) Ματθ. 22, 13. (4) Ἐφ. 5, 17. (5) Φιλιπ. 4, 8, 9.



# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΗΝ ΔΕΥΤΕΡΑΝ ΠΡΟΣ

# ΚΟΡΙΝΘΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗι ΙΣΤ'. ΚΥΡΙΑΚΗι.

ΟΤΑΝ ἀναγινώσκωμεν τῆς Θείας Γραφῆς τὰς ἱστορίας, θαυμάζομεν, βλέποντες τόσον πλῆθος ἀνθρώπων, πιστευσάντων διὰ τοῦ κηρύγματος τῶν θεηγόρων Ἀποστόλων. Τρία δὲ νομίζομεν, ὅτι εἰσὶ τὰ αἴτια ταύτης τῆς πλουσιωτάτης πνευματικῆς καρποφορίας, ἡ δύναμις δηλαδὴ τῆς θείας χάριτος, τὰ μεγάλα καὶ πολλὰ θαύματα, καὶ τὸ ἅγιον πολίτευμα ἐκείνων τῶν θεοκηρύκων ἀνδρῶν· ἔστιν ὅμως καὶ ἄλλο τέταρτον αἴτιον τοῦ τοσούτου καρποῦ, ὁ ἁπλοῦς μέν, θεοπρεπὴς δὲ καὶ ἀμίμητος τρόπος τῆς τῶν θείων Ἀποστόλων διδαχῆς· βλέπομεν ἐκεῖνο, ὅπερ λέγω εἰς τὴν σήμερον ἀναγνωσθεῖσαν ἐπιστολὴν τοῦ θεορρήμονος Παύλου. Δι' αὐτῆς ὁ τοῦ Θεοῦ ἄνθρωπος, διδάσκων τὰ περὶ τῆς πίστεως καὶ τῆς ἀρετῆς, τρεῖς τρόπους μετέρχεται, ἵνα πείσῃ τοὺς ἀκούοντας· ὑπόσχεται, βοήθειαν, παρακαλεῖ καὶ προβάλλει τῶν ἀρετῶν τὸ παράδειγμα. Τὸ παράδειγμα πείθει τὸν νοῦν, ἡ δέησις ἁπαλύνει τὴν καρδίαν, ἡ βοήθεια θαῤῥύνει τὴν ψυχήν, καὶ ἑπομένως πᾶς ἀκροατὴς μετὰ χαρᾶς ὑποδέχεται τὸ κήρυγμα, καὶ μετὰ προθυμίας ἐκπληροῖ τὰ ἀκουόμενα. Ἐπειδὴ δὲ παράδειγμα ἀρετῆς προβάλλει τὰ ἴδια αὐτοῦ ἔργα, διὰ τοῦτο περιγράφει αὐτὰ μετὰ πολλῆς ἐπιτηδειότητος καὶ ταπεινοφροσύνης· προφέρει μὲν αὐτὰ διὰ πληθυντικοῦ ἀριθμοῦ, ἵνα ἀναφέρωνται κοινῶς εἰς πάντας τοὺς Ἀποστόλους· μετασχηματίζει δὲ εἰς νουθεσίαν, ἵνα περισσότερον ὠφελῇ τὰς ψυχὰς τῶν πιστευόντων. Ὅστις μετὰ προσοχῆς ἀκούσῃ τὴν τούτων ἑρμηνείαν, καὶ μετ' εὐλαβείας βάλῃ εἰς τὴν καρδίαν αὐτοῦ τὴν ἀποστολικὴν διδασκαλίαν, ἐκεῖνος οὐ μόνον θαυμάζει τὴν ἐν τῷ Παύλῳ σοφίαν τοῦ Θεοῦ, ἀλλὰ καὶ καρποφορεῖ τῶν θείων ἀρετῶν τὴν σωτήριον καρποφορίαν.

*Ἀδελφοί, συνεργοῦντες παρακαλοῦμεν, μὴ εἰς κενὸν τὴν χάριν τοῦ Θεοῦ δέξασθαι ὑμᾶς* (1).

« Συνεργοῦντες, λέγει, παρακαλοῦμεν ». Ἀλλὰ διὰ ποίων τρόπων οἱ Ἀπόστολοι ἐβοήθουν τοὺς πιστεύσαντας; Διὰ τῆς ἁγίας αὐτῶν ζωῆς, λάμποντες ὡς φωστῆρες, καὶ διὰ τοῦ πρακτικοῦ αὐτῶν παραδείγματος, ὁδηγοῦντες αὐτοὺς πρὸς τὰ τῆς ἀρετῆς κατορθώματα, διὰ τῶν προσευχῶν αὐτῶν (2),

(1) Β'. Κορ. 6, 1. (2) Ῥωμ. 1, 9.

δεόμενοι ἀδιαλείπτως τοῦ Θεοῦ ὑπὲρ τῆς σωτηρίας αὐτῶν (1). Διὰ τῆς ποιμαντικῆς φροντίδος, μεριμνῶντες κατὰ πᾶσαν ἡμέραν ὑπὲρ αὐτῶν, νουθετοῦντες, διδάσκοντες, ἐλέγχοντες, ἐπιτιμῶντες. διὸ καὶ ἔλεγεν ὁ τρισμακάριος Παῦλος· « Τίς ἀσθενεῖ καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι » (2); Συμβοηθοῦμεν, λέγει, καὶ παρακαλοῦμεν ὑμᾶς, ἵνα μὴ ἡ χάρις τοῦ Θεοῦ, ἤγουν τὸ χάρισμα τῆς πίστεως, ὅπερ ἐλάβετε, διαμείνῃ ἐν ὑμῖν ἄκαρπον καὶ ἀτελεσφόρητον, « Μὴ εἰς κενὸν τὴν χάριν τοῦ Θεοῦ δέξασθαι ὑμᾶς ». Ἐκ τούτων δὲ τῶν ἀποστολικῶν λόγων μανθάνομεν πρῶτον, ὅτι ὁ Θεὸς πρὸς πάντας ἐξαποστέλλει τὴν χάριν αὐτοῦ, οὐ μόνον δηλαδὴ εἰς ἐκείνους, οἵτινες τῇ δυνάμει αὐτῆς καρποφοροῦσι τὰ καλὰ ἔργα, ἀλλὰ καὶ εἰς ἐκείνους, οἵτινες οὐδένα καρπὸν ἀρετῆς φέρουσι· καθὼς καὶ τὸν « ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθούς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους » (3). Δεύτερον δέ, ὅτι καὶ αὐτὴ τοῦ Θεοῦ ἡ χάρις γίνεται κενή, ἤγουν ἀνωφελὴς εἰς τοὺς μὴ πράττοντας τὰ καλὰ ἔργα. Τοῦτο δὲ αὐτὸ ἐδίδαξεν ὁ Κύριος διὰ τῆς παραβολῆς τῶν ταλάντων (4)· εἰς πάντας μὲν ἔδωκε τάλαντα, οὐ πάντες δὲ ἐπολυπλασίασαν αὐτά, οὐδὲ πάντες ἐξ αὐτῶν ὠφελήθησαν. Τρίτον δὲ μανθάνομεν, τίνι τρόπῳ πρέπον ἐστίν, ἵνα διδάσκωμεν τοὺς ἀδελφούς, οὐ μόνον δηλονότι διὰ τῆς νουθεσίας, ἀλλὰ καὶ διὰ τῆς συμβοηθείας τοῦ καλοῦ παραδείγματος, καὶ τῆς πρὸς τὸν Θεὸν δεήσεως καὶ τῆς ἀδελφικῆς ἐπιστασίας· οὐ δι' ἐλέγχων καὶ ὀνειδισμῶν, ἀλλὰ διὰ παρακλήσεως καὶ ἱκεσίας. Προστίθησι δὲ καὶ τὸν λόγον, δι' ὃν συνήργει καὶ παρεκάλει αὐτούς, ἵνα μὴ ἡ τοῦ Θεοῦ χάρις φανῇ ἐν αὐτοῖς ἄπρακτος.

*Λέγει γάρ, καιρῷ δεκτῷ ἐπήκουσά σου, καὶ ἐν ἡμέρᾳ σωτηρίας ἐβοήθησά σοι· Ἰδοὺ νῦν καιρὸς εὐπρόσδεκτος, ἰδοὺ νῦν ἡμέρα σωτηρίας* (5).

« Λέγει γάρ ». Ἀλλὰ τίς λέγει; ὁ προφήτης Ἡσαΐας, αὐτὸς προφητεύων περὶ τοῦ καιροῦ, καθ' ὃν ὁ Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ σαρκωθεὶς ἤνοιξε τὴν θύραν τῆς αἰωνίου σωτηρίας, εἶπε ταῦτα τὰ λόγια. « Καιρῷ δεκτῷ ἐπήκουσά σου, καὶ ἐν ἡμέρᾳ σωτηρίας, ἐβοήθησά σοι » (6). Ἐφανέρωσε δὲ διὰ τούτων, ὅτι ὁ καιρὸς ὁ εὐπρόσδεκτος, καθ' ὃν ὁ Θεὸς μέλλει εἰσακοῦσαι τὰς προσευχὰς τῶν δεομένων ὑπὲρ τῆς ἑαυτῶν σωτηρίας, ἐστὶν ὁ καιρὸς τῆς ἐν κόσμῳ παρουσίας τοῦ Υἱοῦ αὐτοῦ, καὶ ἡ ἡμέρα, καθ' ἣν μέλλει βοηθῆσαι καὶ σῶσαι τοὺς εἰς αὐτὸν πιστεύοντας, ἄρχεται ἀπὸ τῆς ἡμέρας τοῦ πάθους καὶ τοῦ θανάτου καὶ τῆς ἀναστάσεως αὐτοῦ· ἔκτοτε δὲ καὶ ἡ αἴτησις παντὸς πιστεύοντος εἰσακούεται, ὡς καὶ αὐτὸς ὁ σωτὴρ ἐβεβαίωσεν, εἰπών· « Ἵνα ὅ,τι ἂν αἰτήσητε τὸν πατέρα ἐν τῷ ὀνόματί μου, δῷ ὑμῖν » (7). Καὶ ἡ ἐπίκλησις τοῦ ὀνόματος τοῦ Ἰησοῦ σώζει τοὺς ἐπικαλουμένους αὐτό, ὡς ὁ προφήτης Ἰωὴλ προφητεύσας, εἶπε· « Καὶ πᾶς, ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα Κυρίου, σωθήσεται » (8). Προβάλλει οὖν ὁ Παῦλος τὰ προφητικὰ λόγια τοῦ Ἡσαΐου, ἵνα δείξῃ, ὅτι ἦλθεν ὁ προῤῥηθεὶς εὐπρόσδεκτος καιρός, καὶ ἡ προφητευθεῖσα ἡμέρα τῆς σωτηρίας· διὸ εἰπών, ὅτι ἐν τῷ εὐπροσδέκτῳ καιρῷ ἐπακούει ὁ Θεὸς καὶ βοηθεῖ καὶ σώζει, ὡς λέγει ὁ προφήτης Ἡσαΐας, ἐφανέρωσε, τίς ἐστιν οὗτος ὁ καιρός, λέγων· « Ἰδοὺ νῦν καιρὸς εὐπρόσδεκτος, ἰδοὺ νῦν ἡμέρα σωτηρίας ». Ἰδού, λέγει, νῦν, ἐπειδὴ ὁ Υἱὸς τοῦ Θεοῦ ἐσαρκώθη, καὶ ἔπαθε, καὶ ἀπέθανε, καὶ ἀνέστη, νῦν ἐστιν ὁ καιρὸς ὁ ἁρμόδιος διὰ τὴν ἐπιστροφὴν τοῦ κόσμου, καὶ ἡ ἡμέρα, ἐν ᾗ ἀπολαμβάνουσι τῆς σωτηρίας αὐτῶν οἱ πρὸς τὸν Χριστὸν προσερχόμενοι· ταῦτα δὲ εἰπών, ἐπιφέρει τὰ σωτηριώδη ἔργα τῆς πίστεως, ὑφαίνων θαυμασίως τὴν ἠθικὴν διδασκαλίαν διὰ τοῦ ἰδίου παραδείγματος.

*Μηδεμίαν ἐν μηδενὶ διδόντες προσκοπήν, ἵνα μὴ μωμηθῇ ἡ διακονία* (1).

Ποίαν ἀναφορὰν ἔχουσι ταῦτα πρὸς τὰ εἰρημένα; Ταῦτα ἀναφέρονται πρὸς τό, « Συνεργοῦντες παρακαλοῦμεν » (2). Τούτῳ τῷ τρόπῳ, λέγει, συμβοηθοῦμεν ὑμᾶς, μὴ διδόντες δηλαδὴ ἐν μηδεμιᾷ ὑποθέσει προσκοπήν, ἤγουν σκανδάλου ἀφορμήν, ἵνα μὴ λάβῃ μέμψιν καὶ κατηγορίαν ἡ διακονία, τουτέστιν ἡ εὐαγγελικὴ ὑπηρεσία, ἥτις ἐστὶ τὸ κήρυγμα τῆς εἰς Χριστὸν πίστεως. Ἀληθῶς δὲ μετὰ μεγάλης προσοχῆς καὶ ἀκριβείας ἔφευγε πᾶσαν ἀφορμὴν σκανδάλου· διότι καὶ ἀπ' αὐτῶν ἀπεῖχε τῶν ἐν τῷ νόμῳ διατεταγμένων, ὅταν ἐγνώριζεν, ὅτι δύνανται προξενῆσαι σκάνδαλον. Ἐπέτρεπεν ὁ νόμος, ἵνα « Οἱ τὰ ἱερὰ ἐργαζόμενοι ἐκ τοῦ ἱεροῦ ἐσθίωσιν » (3)· αὐτὸς δὲ ἀδάπανον ἐκήρυττε τὸ Εὐαγγέλιον, φοβούμενος, μήπως σκανδαλίσῃ, λαμβάνων τὰ πρὸς τὴν χρείαν αὐτοῦ ἐκ τῶν διδασκομένων (4)· ἔλεγε δὲ καὶ τό, « Διόπερ, εἰ βρῶμα σκανδαλίζει τὸν ἀδελφόν μου, οὐ μὴ φάγω κρέα, εἰς τὸν αἰῶνα, ἵνα μὴ τὸν ἀδελφόν μου σκανδαλίσω » (5). Διὰ τοῦτο οὖν μετὰ τοσαύτης παῤῥησίας ἔλεγεν, ὅτι οὐδεμίαν ἀφορμὴν σκανδάλου ἔδωκέ ποτε ἐν οὐδεμιᾷ ὑποθέσει, ἵνα μὴ μωμηθῇ ἡ διακονία. Τὸ αὐτὸ δὲ καὶ εἰς τὴν πρώτην αὐτοῦ ἐπιστολήν τὴν πρὸς Κορινθίους ἔγραφεν· « Ἀλλὰ πάντα στέγομεν, ἔλεγεν, ἵνα μὴ ἐγκοπήν τινα δῶμεν τῷ Εὐαγγελίῳ τοῦ Χριστοῦ » (6). Βλέπε δέ, ὅτι ἄρχεται τῆς ἠθικῆς διδασκαλίας τὸ μάθημα ἀπὸ τῆς φυγῆς τῆς ἁμαρτίας, ἔπειτα διαλαμβάνει καὶ περὶ τῶν κατορθωμάτων τῆς ἀρετῆς κατὰ τό, « Ἔκκλινον ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθόν » (7). Συνεργήσαμεν, λέγει, ὑμᾶς, οὐ μόνον φεύγοντες πᾶσαν ἀφορμὴν σκανδάλου.

*Ἀλλ' ἐν παντὶ συνιστῶντες ἑαυτοὺς ὡς Θεοῦ διάκονοι, ἐν ὑπομονῇ πολλῇ, ἐν θλίψεσιν, ἐν ἀνάγκαις, ἐν διωγμοῖς, ἐν στενοχωρίαις· Ἐν πληγαῖς, ἐν φυλακαῖς, ἐν ἀκαταστασίαις, ἐν κόποις, ἐν ἀγρυπνίαις, ἐν νηστείαις* (8).

Οὐ μόνον ἐν μηδεμιᾷ περιστάσει, λέγει, ἐδώκαμεν ἀφορμὴν σκανδάλου, ἀλλ' εἰς πᾶσαν ὑπόθεσιν συνεστήσαμεν ἑαυτούς, καὶ ἀπεδείξαμεν ὅτι ἐσμὲν ὑπηρέται τοῦ Θεοῦ. Ἀπεδείξαμεν δὲ τοῦτο ὑπομένοντες πᾶσαν κάκωσιν « Ἐν ὑπομονῇ ». Πρώτην ἔταξε τὴν ὑπομονήν, ἐπειδὴ διὰ τοὺς διωγμοὺς καὶ τὰ παθήματα, ὅσα τότε ἔπασχον οἱ Ἀπόστολοι, κηρύττοντες τὸ Εὐαγγέλιον,

(1) Α'. Θεσ. 1, 2. (2) Β'. Κορ. 11, 29. (3) Ματθ. 5, 45. (4) Ματθ. 25, 15. (5) Β'. Κορ. 6, 2.
(6) Ησ. 49, 8. (7) Ἰωάν. 15, 16. (8) Ἰωήλ. 2, 32.



(1) Β'. Κορ. 6, 3. (2) Β'. Κορ. 6, 1. (3) Λευϊτ. 6, 16. (4) Α'. Κορ. 9, 13, 18. (5) Α'. Κορ. 8, 13.
(6) Α'. Κορ. 9, 12. (7) Ψαλ. 33, 15. (8) Β'. Κορ. 6, 4, 5.

τόσον ἀναγκαία ἦν ἡ ὑπομονή, ὥστε, ἐὰν ἔλειπεν, ἔπαυε τὸ κήρυγμα· οὐκ εἶπε δὲ ἁπλῶς, ἐν ὑπομονῇ, ἀλλ' « Ἐν ὑπομονῇ » πολλῇ », ἐπειδὴ πολλὰ καὶ βαρέα ἦσαν τὰ παθήματα· ἐπαριθμεῖ δὲ ὅσα ἐξ ἀνάγκης πολλὴν ἐζήτουν τὴν ὑπομονήν· « Ἐν » θλίψεσι, λέγει, ἐν ἀνάγκαις, ἐν διωγ» μοῖς (*), ἐν στενοχωρίαις· ἐν πληγαῖς, ἐν » φυλακαῖς, ἐν ἀκαταστασίαις, ἐν κόποις· » ἐν ἀγρυπνίαις, ἐν νηστείαις » (1). Καὶ τὰς μὲν θλίψεις, ὅσας ὁ Παῦλος ἐν τῇ Ἀσίᾳ, καὶ ἀλλαχοῦ ὑπέμεινεν, αὐτὸς αὐτὰς περιέγραψεν· ἱστόρησε δὲ ὁ θεηγόρος Λουκᾶς ὅσας ἀνάγκας καὶ στενοχωρίας ὑπέμεινεν ὁ Παῦλος εἰς τὴν Δαμασκὸν ὑπὸ τῶν Ἰουδαίων (2), καὶ ὅσας εἰς τὴν Ἱερουσαλὴμ ὑπὸ τῶν Ἑλληνιστῶν (3)· ὅσας πληγὰς καὶ φυλακὰς εἰς Φιλίππους τῆς Μακεδονίας ὑπὸ τῶν στρατηγῶν καὶ τοῦ ἐκεῖ ὄχλου (4)· ὅσας δὲ ἀκαταστασίας, περιγράψας αὐτὸν ἐκ τόπου εἰς τόπον διερχόμενον, χωρίς τινος καταστάσεως (5), καὶ κόπους αὐτοῦ διηγηθείς, ὅτι εἰς τὴν Κόρινθον ἐτρέφετο, ἐργοχειρῶν σὺν τῷ Ἀκύλᾳ (6)· καὶ τὰς ἀγρυπνίας, εἰπών, ὅτι παρέτεινε τὸν λόγον τῆς διδασκαλίας αὐτοῦ « Μέχρι μεσονυκτίου »· καὶ ὅτι « Τριετίαν νύκτα καὶ ἡμέραν οὐκ ἔπαυσε » νουθετῶν τοὺς Ἐφεσίους » (7). Νηστείαις δ' ἐνταῦθα λέγει ὁ Παῦλος οὐχὶ τὰς διωρισμένας, οὐδὲ τὰς μετὰ προσευχῆς γινομένας, ἀλλὰ τὰς « Ἐν λιμῷ καὶ δίψει » (8), ἤγουν τὰς ἐκ τῆς ἀπορίας τῆς τροφῆς καὶ τοῦ ποτοῦ. Τὰς πρακτικὰς δὲ ἀρετὰς ἐπαριθμήσας, ὅσας ὑπὸ τῶν διωκτῶν ἀναγκαζόμενος κατώρθωσε (9), μεταβαίνει εἰς τὰς θεωρητικάς, ὅσας δηλονότι ἡ ψυχὴ αὐτοῦ αὐτοκινήτως ἐκαρποφόρησεν.

*Ἐν ἁγνότητι, ἐν γνώσει, ἐν μακροθυμίᾳ, ἐν χρηστότητι, ἐν Πνεύματι ἁγίῳ, ἐν ἀγάπῃ ἀνυποκρίτῳ* (10).

Ἁγνότητα μὲν λέγει τὴν τῆς ψυχῆς καὶ τοῦ σώματος καθαρότητα ἀπὸ πάσης ἁμαρτίας· γνῶσιν δέ, τὴν θείαν σοφίαν καὶ ἀποκάλυψιν· διότι οὐκ ἐδίδασκεν « Ἐν » πειθοῖς ἀνθρωπίνης σοφίας λόγοις, ἀλλ' » ἀποδείξει πνεύματος καὶ δυνάμεως » (11). Οὐ μόνον δὲ τὴν καθαρότητα εἶχε καὶ τὴν ἐξ ἀποκαλύψεως θείαν σοφίαν, ἀλλὰ καὶ τὴν μακροθυμίαν καὶ τὴν χρηστότητα· καὶ διὰ μὲν τῆς μακροθυμίας ὑπέφερε τοὺς διώκτας· διὸ λοιδωρούμενος, ηὐλόγει· διωκόμενος, ὑπέμενε· βλασφημούμενος, παρεκάλει (12)· διὰ δὲ τῆς χρηστότητος εὐηργέτει πάντας, διδάσκων Ἕλληνας καὶ βαρβάρους, σοφούς τε καὶ ἀνοήτους » (13)· ταῦτα δὲ ἐποίει, οὐχ ὑπὸ πνεύματος πλάνης κινούμενος, καθὼς οἱ ψευδαπόστολοι, οἵτινες ἦσαν « Ἐργάται δόλιοι, μετασχηματιζόμενοι εἰς Ἀποστόλους Χριστοῦ » (14), ἀλλ' ὑπὸ τοῦ παναγίου Πνεύματος, τοῦ ἐν αὐτῷ οἰκοῦντος φωτιζόμενος καὶ ὁδηγούμενος. Ἵνα δὲ πληροφορήσῃ, ὅτι εἶχεν ἡ ψυχὴ αὐτοῦ τὸν φωτισμὸν τοῦ παναγίου Πνεύματος, ἀνακαλύπτει τὴν ἐν τῇ ψυχῇ αὐτοῦ ἀρετήν, τὴν φέρουσαν ἐν ἡμῖν τὸ θεῖον πνεῦμα, ἤγουν τὴν ἀνυπόκριτον ἀγάπην· « Ἐν ἀ» γάπῃ ἀνυποκρίτῳ ». Ὅπου ἀγάπη καθαρὰ καὶ εἰλικρινής, οὐχὶ ἐν σχήματι φαινομένη, καὶ ἐν λόγῳ μόνῳ ἱσταμένη, ἀλλ' ἐν πράγματι ἐνεργουμένη, καὶ δι' ἔργων ἐκτελουμένη, ἐκεῖ ἐστιν ὁ Θεός· « Ἐάν τις ἀ» γαπᾷ με, εἶπεν ὁ Κύριος, τὸν λόγον μου » τηρήσει· καὶ ὁ Πατήρ μου ἀγαπήσει αὐ» τόν, καὶ πρὸς αὐτὸν ἐλευσόμεθα, καὶ μο» νὴν παρ' αὐτῷ ποιήσομεν » (1). Ἄκουσον δὲ καὶ τὰς λοιπὰς θαυμασίους αὐτοῦ ἀρετάς.

*Ἐν λόγῳ ἀληθείας, ἐν δυνάμει Θεοῦ, διὰ τῶν ὅπλων τῆς δικαιοσύνης τῶν δεξιῶν καὶ τῶν ἀριστερῶν* (2).

Ἦσαν ἐν τῷ καιρῷ τῶν Ἀποστόλων ψευδαπόστολοι, καπηλεύοντες τὴν διδασκαλίαν τῆς πίστεως, περὶ ὧν ὁ Παῦλος ἔλεγεν· « Οὐ γάρ ἐσμεν ὡς οἱ πολλοί, κα» πηλεύοντες τὸν λόγον τοῦ Θεοῦ » (3). τούτων οἱ μὲν ἠνάγκαζον τοὺς εἰς Χριστὸν πιστεύσαντας ἵνα περιτέμνωνται (4)· οἱ δὲ ἔσπειρον μεταξὺ τῶν πιστῶν διχόνοιαν καὶ σχίσματα, πείθοντες, ἵνα ὁ μὲν λέγῃ ἑαυτὸν μαθητὴν τοῦ Παύλου, ὁ δέ, τοῦ Ἀπολλώ, ὁ δέ, τοῦ Κηφᾶ, ὁ δέ, τοῦ Χριστοῦ (5)· ἄλλοι δὲ ἐδίδασκον ἐντάλματα καὶ διδασκαλίας τῶν ἀνθρώπων (6). Οὗτοι δὲ πάντες ἀνεμίγνυον τὴν ἀλήθειαν τῆς πίστεως μετὰ τοῦ ψεύδους τῶν ἰδίων δεισιδαιμονιῶν· ὁ δὲ Παῦλος ἐκήρυττεν « Ἐν λόγῳ ἀληθείας », ἤγουν ἐδίδασκε τὴν ἀλήθειαν τῆς πίστεως ἄδολον καὶ καθαρὰν ἀπὸ πάσης ἀνθρώπων ἐφευρέσεως· « Ἀλλ' ὡς ἐξ εἰλικρινείας, ἔλε» γεν, ἀλλ' ὡς ἐκ Θεοῦ, κατενώπιον τοῦ « Θεοῦ ἐν Χριστῷ λαλοῦμεν » (7). Τὸ δέ, « Ἐν δυνάμει Θεοῦ », ἢ τὰ θαύματα σημαίνει, ὅσα αὐτὸς διὰ τῆς θείας δυνάμεως ἐποίησεν, ἢ τό, ὅτι δυνάμει Θεοῦ καὶ τὸν λόγον τῆς ἀληθείας ἐλάλει, καὶ τὰς ἀρετὰς ἐποίει, ὅσας ἐπηρίθμησεν· ὅπλα δὲ δεξιὰ ὠνόμασε τὰ χαροποιὰ πράγματα· ἀριστερὰ δέ, τὰ λυπηρά, ὡς φανερόν ἐστιν ἐκ τῶν ἑξῆς αὐτοῦ λόγων· εἶπε δέ, ὅτι καὶ ταῦτα καὶ ἐκεῖνά εἰσιν ὅπλα δικαιοσύνης, ἐπειδὴ ὁ εὐσεβὴς ἄνθρωπος καὶ διὰ τούτων, καὶ δι' ἐκείνων κατὰ τῶν ἀοράτων ἐχθρῶν αὐτοῦ μαχόμενος, κατορθοῖ τὴν δικαιοσύνην, ἤγουν πᾶσας ἀρετήν.

*Διὰ δόξης καὶ ἀτιμίας, διὰ δυσφημίας καὶ εὐφημίας· ὡς πλάνοι καὶ ἀληθεῖς· Ὡς ἀγνοούμενοι, καὶ ἐπιγινωσκόμενοι· ὡς ἀποθνήσκοντες, καὶ ἰδοὺ ζῶμεν· ὡς παιδευόμενοι, καὶ μὴ θανατούμενοι· Ὡς λυπούμενοι, ἀεὶ δὲ χαίροντες· ὡς πτωχοί, πολλοὺς δὲ πλουτίζοντες· ὡς μηδὲν ἔχοντες, καὶ πάντα κατέχοντες* (8).

Ἡ δόξα, ἡ εὐφημία, ἡ ὑπόληψις, ὅτι ἐσμὲν φιλαλήθεις, τὸ γνώριμον καὶ ἐπίσημον, ἡ ζωή, ἡ χαρά, ὁ πλοῦτος, ἡ ἐξουσία, εἰσὶ τὰ ὅπλα τὰ δεξιά· ἡ ἀτιμία, ἡ δυσφημία, ἡ ὑπόληψις, ὅτι ἐσμὲν πλάνοι, τὸ ἄσημον καὶ ἀγνώριστον, ὁ θάνατος, ἡ τιμωρία, ἡ λύπη, ἡ πτωχεία, ἡ ἀπορία, εἰσὶ τὰ ὅπλα τὰ ἀριστερά· οἱ πιστοὶ ἐδόξαζον, εὐφήμουν, ἐνόμιζον διδασκάλους τῆς ἀληθείας τοὺς Ἀποστόλους, ἐγνώριζον αὐτοὺς ὡς ἀπεσταλμένους ὑπὸ Θεοῦ, ἐξίσταντο βλέποντες αὐτοὺς ζῶντας ἐν μέσῳ τῶν θανατηφόρων κινδύνων, καὶ μὴ ἀποθνήσκοντας ἐν ταῖς ἐπιθανατίοις τιμωρίαις, ἐθαύμαζον, ὁρῶντες αὐτοὺς χαίροντας ἐν μέσῳ τῶν

(*) Τό, ἐν διωγμοῖς, εἰς τας ἄλλας ἐκδόσεις, οὐ κεῖται, οὐδὲ εἰς τοὺς παλαιοὺς οὐδὲ εἰς τοὺς νεωτέρους ἑρμηνευτάς, οὐδὲ εἰς τὰς μεταφράσεις.

(1) Β'. Κορ. 1, 8 καὶ 2, 4. (2) Ἐφεσ. 3, 13. (3) Φιλιπ. 4, 14. (4) Πράξ. 9, 24, 25. (5) Αὐτ, 16, 23. (6) Αὐτ. 18, 3. (7) Αὐτ. 20, 7, 31. (8) Αὐτ. 17, 9 καὶ 14, 23. (9) Β'. Κορ. 11, 17, (10) Αὐτ. 6, 6. (11) Α. Κορ. 2, 4. (12) Αὐτ. 4, 12. (13) Ῥωμ. 1, 14. (14) Β'. Κορ. 11, 13.

(1) Ἰωάν. 14, 23, (2) Β'. Κορ. 6, 7. (3) Αὐτ. 2, 17. (4) Γαλ. 6, 12. (5) Α. Κορ. 1, 12. (6) Κολ. 2, 22. (7) Β'. Κορ. 2, 17. (8) Αὐτ. 6, 8, 9, 10.

θλίψεων, ἀπελάμβανον τοῦ πλούτου τῆς ἐνοικούσης ἐν αὐτοῖς θείας χάριτος, παρεδίδοσαν εἰς τὴν ἐξουσίαν αὐτῶν πάντα, ὅσα εἶχον, βάλλοντες αὐτὰ παρὰ τοὺς πόδας αὐτῶν (1). Οἱ ἄπιστοι κατεφρόνουν καὶ ἐβλασφήμουν αὐτούς, ἐνόμιζον, ὅτι εἰσὶ πλάνοι καὶ ἄσημοι ἄνθρωποι, ἀπεφάσιζον κατ' αὐτῶν θάνατον, ἐπαίδευον διὰ βαρυτάτων τιμωριῶν, ἔθλιβον ὑπερβαλλόντως, ὡς πτωχοὺς καὶ ἀπόρους ἐλογίζοντο αὐτούς (2). Ἐν μέσῳ τούτων τῶν δεξιῶν καὶ ἀριςερῶν ὅπλων εὑρισκόμενος ὁ θεῖος Παῦλος, ἐξῆλθε νικηφόρος καὶ θριαμβευτής, ἐν τούτοις ἐθαυμαστώθη, μηδὲ ὑπὸ τῶν χαροποιῶν ὑπεραρθείς, μηδὲ ὑπὸ τῶν λυπηρῶν καταβληθείς, ἀλλὰ καταστήσας καὶ τὰ δεξιὰ καὶ τὰ ἀριστερὰ ὅπλα, δικαιοσύνης ὅπλα, ἤγουν πάσης ἀρετῆς ὄργανα.

# ΟΜΙΛΙΑ

ΜΕΤΑ ΤΗΝ ΔΕΥΤΕΡΑΝ ΠΡΟΣ

## ΚΟΡΙΝΘΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

### ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗι ΙΣΤ'. ΚΥΡΙΑΚΗι.

ΤΑ ἐναντία πράγματα, λέγουσιν οἱ σχολαστικοὶ φιλόσοφοι, οὐδέποτε ποιοῦσι τὸ αὐτὸ ἀποτέλεσμα· ὁ δὲ ἐπουράνιος φιλόσοφος, ὁ Παῦλος, διὰ τῆς σήμερον ἀναγνωσθείσης ἐπιστολῆς αὐτοῦ διδάσκει μάθημα ἐναντίον τῆς σχολαστικῆς διδασκαλίας. Αὐτὸς λέγει, ὅτι δύω πράγματα ἐναντία, τὰ δεξιὰ καὶ τὰ ἀριστερά, (3) ἤγουν αἱ εὐτυχίαι καὶ δυστυχίαι, εἰσὶν ὅπλα τῆς δικαιοσύνης, τουτέστι, ποιοῦσιν ἓν καὶ τὸ αὐτὸ ἀποτέλεσμα, τὸ ἔργον δηλονότι τῆς ἀρετῆς. Ποῖον δὲ ἆρά γε τούτων τῶν δύω μαθημάτων ἐστὶ τὸ ἀληθές; τὸ ὑπὸ τῶν σχολαστικῶν διδασκόμενον, ἢ τὸ ὑπὸ τοῦ Παύλου κηρυττόμενον; Καὶ τὰ δύω εἰσὶν ἐπίσης ἀληθινά, ἀλλὰ τὸ μὲν μάθημα τῶν σχολῶν ἀληθεύει εἰς τὰ σωματικά· τὸ δὲ τοῦ Παύλου, εἰς τὰ πνευματικά. Τὴν φροντίδα τῆς ἀποδείξεως τοῦ σχολαστικοῦ μαθήματος ἐγκαταλείπομεν εἰς τοὺς σχολαστικούς, ἀναλαμβάνομεν δὲ τὸν περὶ τῆς συστάσεως τῆς διδασκαλίας τοῦ Παύλου λόγον.

Ὑπὸ Κυρίου πέμπονται πρὸς τοὺς ἀνθρώπους καὶ αἱ εὐτυχίαι καὶ αἱ δυστυχίαι. Ὁ Θεός, ὡς δημιουργὸς πάντων τῶν ἐπιγείων καὶ ἐπουρανίων κτισμάτων, ἔχει ὑπὸ τὴν ἐξουσίαν αὐτοῦ τὰ σύμπαντα, ὡς παντοκράτωρ κρατεῖ καὶ συνέχει τά πάντα, ὡς παντοδύναμος ποιεῖ, ὅσα θέλει καὶ βούλεται· ὡς παντεπτόπτης καὶ προνοητὴς βλέπει καὶ προνοεῖ ὑπὲρ πάντων. Ἡ τοιαύτη δὲ ἐποπτεία καὶ πρόνοια αὐτοῦ διοικεῖ καὶ διορίζει οὐ μόνον τὰ μεγάλα, ἀλλὰ

(1) Πράξ. 4, 37. (2) Γαλ. 4, 14, 15. (3) Β'. Κορ. 6, 7.



καὶ αὐτὰ τὰ μικρότατα πράγματα· ἐβεβαίωσεν ἡμᾶς περὶ τούτου αὐτὸς ὁ μονογενὴς υἱὸς αὐτοῦ, ὁ θεάνθρωπος Ἰησοῦς, εἰπών· « Οὐχὶ δύω στρουθία ἀσσαρίου » πωλεῖται, καὶ ἓν ἐξ αὐτῶν οὐ πεσεῖται » ἐπὶ τὴν γῆν ἄνευ τοῦ πατρός ὑμῶν; » Ὑμῶν δὲ καὶ αἱ τρίχες τῆς κεφαλῆς » πᾶσαι ἠριθμημέναι εἰσίν » (1). Οὐδεὶς οὖν τῶν πιστευόντων, ὅτι ταῦτά εἰσιν ἀληθῆ, ἀμφιβάλλει περὶ τοῦ, ὅτι ὁ Θεὸς ἐξαποσέλλει εἰς ἡμᾶς καὶ τὴν ζωὴν καὶ τὸν θάνατον, καὶ τὸν πλοῦτον καὶ τὴν πτωχείαν, καὶ τὴν ἀνάβασιν τῆς καταστάσεως καὶ τὴν κατάβασιν, καὶ τὴν χαρὰν καὶ τὴν λύπην, καὶ τὴν ὑγείαν καὶ τὴν ἀσθένειαν, ἑνὶ δὲ λόγῳ, καὶ τὰ δεξιὰ ὅπλα καὶ τὰ ἀριστερά, ὡς λέγει ὁ θεοῤῥήμων Παῦλος· καθαρῶς καὶ ἐκπεφασμένως ἀναγινώσκομεν τοῦτο εἰς τὰς Θείας Γραφάς· « Κύριος θανατοῖ καὶ ζωο» γονεῖ, κατάγει εἰς ᾅδου καὶ ἀνάγει. Κύ» ριος πτωχίζει καὶ πλουτίζει, ταπεινοῖ » καὶ ἀνυψοῖ· ἀνιστᾷ ἀπὸ γῆς πένητα, » καὶ ἀπὸ κοπρίας ἐγείρει πτωχόν, καθίσαι » μετὰ δυναστῶν λαοῦ, καὶ θρόνον δόξης » κατακληρονομῶν αὐτοῖς (2). Αὐτὸς κα» θεῖλε δυνάστας ἀπὸ θρόνων, καὶ ὕψωσε » ταπεινούς· πεινῶντας ἐνέπλησεν ἀγαθῶν, » καὶ πλουτοῦντας ἐξαπέσειλε κενούς » (3). Προχωρῶ ἔμπροσθεν.

Ἡ ἀγάπη τοῦ Θεοῦ πρὸς τὸν ἄνθρωπον οὐδὲ μέτρον ἔχει, οὐδὲ πέρας. Αὐτὸς ἔπλασεν αὐτὸν κατ' εἰκόνα αὐτοῦ καὶ καθ' ὁμοίωσιν (4), κατέστησεν αὐτὸν κύριον καὶ ἐξουσιαστὴν πάντων τῶν ἐπιγείων κτισμάτων· « Καὶ εὐλόγησεν αὐτοὺς ὁ Θεός, λέ» γων· αὐξάνεσθε καὶ πληθύνεσθε, καὶ » πληρώσατε τὴν γῆν, καὶ κατακυριεύσατε » αὐτῆς· καὶ ἄρχετε τῶν ἰχθύων τῆς θα» λάσσης, καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ, » καὶ πάντων τῶν κτηνῶν, καὶ πάσης τῆς » γῆς, καὶ πάντων τῶν ἑρπετῶν, τῶν ἑρ» πόντων ἐπὶ τῆς γῆς » (5). Ὑπὲρ αὐτοῦ « Ἐφύτευσεν ὁ Θεὸς παράδεισον ἐν Ἐδὲμ » κατὰ ἀνατολάς, καὶ ἔθετο αὐτὸν ἐκεῖ » (6), ἵνα ἀπολαμβάνῃ πάσης ἀφθόρου τρυφῆς καὶ χαρᾶς καὶ ἀγαλλιάσεως. Ἀμνήμων ὁ ἄνθρωπος τῶν μεγάλων τοῦ Θεοῦ εὐεργεσιῶν, οὐκ ἐπίςευσεν εἰς τοῦ Θεοῦ τὰ λόγια, ἀλλ' ἀκούσας τὴν συμβουλὴν τοῦ νοητοῦ ὄφεως, καὶ καταφρονήσας τὴν θείαν ἐντολήν, ἀπεστάτησεν ἀπὸ τῆς ὑπακοῆς τοῦ Θεοῦ· διὸ ἐξωρίσθη τοῦ παραδείσου, ἐγένετο φθαρτός, ἐστερήθη τῶν θείων χαρισμάτων, κατεδικάσθη, ἵνα ἐν μέσῳ τῶν ἀκανθῶν καὶ τριβόλων, ἐν ἱδρῶτι τοῦ προσώπου αὐτοῦ ἐσθίῃ τὸν ἄρτον. Ἐπειδὴ δὲ ἡ φιλανθρωπία τοῦ Θεοῦ ἐστιν ἄπειρος, ἐξαπέστειλεν ὁ Θεὸς τὸν Υἱὸν αὐτοῦ εἰς τὸν κόσμον, ἵνα ἄνθρωπος γενόμενος, διὰ τοῦ πάθους καὶ τοῦ σταυροῦ καὶ τοῦ θανάτου αὐτοῦ ἐξαναστήσῃ τὸν ἄνθρωπον ἀπὸ τοῦ ἐλεεινοῦ πτώματος, καὶ ἀναγάγῃ αὐτὸν οὐ μόνον εἰς τὸ πρῶτον ἀξίωμα, ἀλλ' εἰς κατάστασιν πολλῷ ὑψηλοτέραν, καταστήσας αὐτὸν Υἱὸν καὶ κληρονόμον τῆς θείας αὐτοῦ βασιλείας· τοῦτο δέ ἐστι τὸ περισσὸν τῆς ζωῆς· περὶ οὗ ὁ Θεάνθρωπος ἔλεγεν· « Ἐγὼ ἦλθον, ἵνα » ζωὴν ἔχωσι καὶ περισσὸν ἔχωσι » (7). Διὰ τούτου δὲ τοῦ ἔργου ἐφανερώθη ἡ πρὸς τὸν ἄνθρωπον ὑπερβάλλουσα ἀγάπη τοῦ Θεοῦ· « Ἐν τούτῳ ἐστὶν ἡ ἀγάπη, οὐχ ὅτι » ἡμεῖς ἠγαπήσαμεν τὸν Θεόν, ἀλλ' ὅτι » αὐτὸς ἠγάπησεν ἡμᾶς· καὶ ἀπέστειλε » τὸν Υἱὸν αὐτοῦ ἱλασμὸν περὶ τῶν ἁμαρ-

(1) Ματθ. 10, 29, 30. (2) Α'. Βασ. 2, 6, 7, 8. (3) Λουκ. 1, 52, 53. (4) Γεν. 1, 26. (5) Αὐτ. 28. (6) Αὐτ. 2, 8. (7) Ἰωάν. 10, 10.

» τιῶν ἡμῶν » (1). Ἡ τοιαύτη δὲ ἀγάπη τοῦ Θεοῦ οὐκ ἔστι μερική, ἀλλὰ γενικὴ καὶ καθολική· διότι ὁ Θεὸς οὐκ ἀγαπᾷ ἐκεῖνον, μισεῖ δὲ τοῦτον, ἀλλ' ἀγαπᾷ πάντας, καὶ ἀγαπᾷ πάντας ἐπίσης, ἐπειδὴ πάντες ἐπίσης εἰσὶ πλάσματα αὐτοῦ, καὶ ἐπίσης ὑπὲρ τῆς σωτηρίας πάντων ὑπέμεινε σταυρὸν καὶ θάνατον· « Κἀγώ, ἐὰν ὑψωθῶ ἐκ τῆς » γῆς, πάντας ἑλκύσω πρὸς ἐμαυτόν » (2). Οὗτος ἦν ὁ σκοπὸς τοῦ σταυροῦ καὶ τοῦ θανάτου τοῦ Ἰησοῦ Χριστοῦ, ἡ σωτηρία δηλονότι πάντων τῶν ἀνθρώπων.

Ἐπειδὴ οὖν ὁ Θεὸς διοικεῖ, καὶ ποιεῖ, καὶ κατασκευάζει πάντα τὰ ἐν τῷ κόσμῳ πράγματα, ἀπὸ τοῦ πρώτου ἕως τοῦ ἐσχάτου, καὶ ἀπὸ τοῦ μεγίστου ἕως τοῦ ἐλαχίστου· ἐπειδὴ ὁ Θεὸς ἀγαπᾷ πάντας ἐπίσης καὶ θέλει ἐπίσης τὴν σωτηρίαν πάντων· ἐὰν ὁ πλοῦτος βλάπτῃ, ἡ δὲ πτωχεία ὠφελῇ· ἐὰν ἡ εὐτυχία προξενῇ τὴν μέλλουσαν κόλασιν, ἡ δὲ δυστυχία τὴν αἰώνιον βασιλείαν, πῶς ὁ Θεὸς τοῦτον μὲν ποιεῖ πλούσιον, ἐκεῖνον δὲ πένητα, τοῦτον εὐτυχῆ, ἐκεῖνον δὲ δυστυχῆ; πῶς ἐν μέσῳ τόσον ἀνίσου διανομῆς μένει σῶα ἡ ἰσότης τῆς ἀγάπης; πῶς θέλει ἐπίσης τὴν σωτηρίαν πάντων; μόλις εὑρίσκεις ἐπὶ τῆς γῆς ἕνα πατέρα, τὸν μὲν τῶν υἱῶν αὐτοῦ εὐεργετοῦντα, τὸν δὲ παιδεύοντα, κἂν πάντες οἱ ἄνθρωποι ὑπάρχωσιν ἐμπαθεῖς, κἂν τυφλὴ ὑπάρχῃ τῶν ἀνθρώπων ἡ ἀγάπη· πῶς οὖν ὁ Θεός, ἀπαθὴς ὤν, καὶ ὑπερτελείαν ἔχων τὴν ἀγάπην, καθὼς καὶ πᾶσαν ἄλλην τελειότητα, τὸν μὲν εὐεργετεῖ, ἐγχειρίζων αὐτῷ τὰ ὅπλα τὰ δεξιά, δι' ὧν σώζεται· τὸν δὲ παιδεύει, βάλλων εἰς τὰς χεῖρας αὐτοῦ τὰ ὅπλα τὰ ἀριστερά, δι' ὧν ἀπολεῖται;

Πρὸς τούτοις ὁ Θεὸς οὐκ ἔστι μόνον φιλάνθρωπος, ἀλλ' ἔστι καὶ δίκαιος « Δίκαιος » Κύριος, καὶ δικαιοσύνας ἠγάπησεν, εὐ» θύτητας εἶδε τὸ πρόσωπον αὐτοῦ » (3). « Δίκαιος Κύριος ἐν πάσαις ταῖς ὁδοῖς αὐ» τοῦ, καὶ ὅσιος ἐν πᾶσι τοῖς ἔργοις αὐ» τοῦ » (4). Ἡ δικαιοσύνη τῶν ἀνθρώπων ἐστὶν ἀτελής, εἴτ' ἐπειδὴ οἱ ἄνθρωποι ἀτελεῖς ὄντες λανθάνονται, μὴ διακρίνοντες τὸ δίκαιον ἀπὸ τοῦ ἀδίκου, εἴτ' ἐπειδὴ ἐμπαθεῖς ὄντες, κρίνουσι κατὰ τὴν ἀρέσκειαν τῶν ἰδίων παθῶν· « Μάταιοι οἱ υἱοὶ τῶν » τῶν ἀνθρώπων, ψευδεῖς οἱ υἱοὶ τῶν ἀν» θρώπων ἐν ζυγοῖς » (5). Ταῦτα ἔλεγε περὶ τῆς δικαιοσύνης τῶν ἀνθρώπων ὁ προφητάναξ Δαβίδ. Ἐπειδὴ δὲ ὁ Θεὸς ἀπαθής ἐστι καὶ πανυπερτέλειος, διὰ τοῦτο ἡ δικαιοσύνη αὐτοῦ ἐστιν ἀλάνθαστος, εὐθυτάτη, διακριτικωτάτη, ὑπερτελεία· « Ἡ δικαιοσύνη » αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος » (6). Διὰ τούτων τῶν λόγων παρέστησεν ὁ ἱεροψάλτης τό ὑπερτέλειον τῆς δικαιοσύνης τοῦ Θεοῦ, ἀλλ', ἐὰν τὰ μὲν δεξιὰ ὅπλα συμβοηθῶσι, τὰ δὲ ἀριστερὰ ἐμποδίζωσι τῆς ἀρετῆς τὰ κατορθώματα, καὶ ἑπομένως τῆς σωτηρίας τὴν ἀπόλαυσιν, πῶς σώζεται ἡ ἄπειρος δικαιοσύνη τοῦ Θεοῦ; πῶς ὁ Θεός ἐστιν ἀπειροδίκαιος, ἐὰν εἰς τοῦτον μὲν ἐγχειρίζῃ τὰ ὅπλα τὰ συμβοηθητικά, εἰς ἐκεῖνον δὲ τὰ ἐμποδιστικὰ τῆς ἀρετῆς καὶ σωτηρίας; πῶς σώζεται ἡ δικαιοσύνη τοῦ Θεοῦ, ἐὰν αὐτὸς βάλλῃ εἰς τὰς χεῖρας τοῦ ἀνθρώπου τῆς ἁμαρτίας τὰ ὅπλα, ἔπειτα παιδεύει τὸν ἁμαρτάνοντα; Ἐπειδὴ οὖν ἡ τοιαύτη ὑπόθεσις ἀποδεικνύει ἀτελῆ καὶ ἐπίμεμπτον καὶ τὴν ἀγάπην καὶ τὴν δικαιοσύνην τοῦ Θεοῦ· ἐκ τούτου δὲ μυρία

(1) Α'. Ἰωάν. 4, 10. (2) Ἰωάν. 12, 32. (3) Ψαλμ. 10, 7. (4) Αὐτ. 144, 17. (5) Αὐτ. 61, 9. (6) Αὐτ. 110, 3.



καὶ φοβερὰ ἀκολουθοῦσιν ἄτοπα καὶ βλάσφημα, διὰ τοῦτο ἀναγκάζει ἡμᾶς καὶ ἡ πίστις καὶ ὁ ὀρθὸς λόγος, ἵνα πιστεύσωμεν καὶ πληροφορηθῶμεν, ὅτι καὶ τὰ δεξιὰ καὶ τὰ ἀριστερὰ ὅπλα ἐπίσης γίνονται συνεργὰ τῆς ἀρετῆς καὶ σωτηρίας· καὶ ὅτι ἀπὸ τῆς θελήσεως ἡμῶν κρέμαται, ἵνα ποιήσωμεν καὶ τὰς εὐτυχίας καὶ τὰς δυστυχίας ὄργανα τῆς ἀρετῆς ἢ τῆς κακίας, καὶ προστάτας τῆς σωτηρίας ἡμῶν, ἢ τῆς ἀπωλείας· ἐπιβεβαιοῦσι ταύτην τὴν ἀλήθειαν τὰ παραδείγμα.

Ὁ Ἀβραὰμ κρατεῖ εἰς τὰς χεῖρας αὐτοῦ τὸ ὅπλον τοῦ πλούτου· « Ἀβραὰμ δὲ » ἦν πλούσιος σφόδρα κτήνεσι, καὶ ἀργυ» ρίῳ, καὶ χρυσίῳ » (1). Τίνα δὲ ἐπολέμησεν αὐτὸς διὰ τούτου τοῦ ὅπλου; Τὴν φιλαργυρίαν ἐπολέμησε, καὶ τοσοῦτον ἐνίκησεν αὐτήν, ὥστε κατέστησε τὴν σκηνὴν αὐτοῦ ξενοδοχεῖον. Οὐ περιέμενε δὲ ὁ τρισμακάριος, ἵνα ἔλθωσι πρὸς αὐτὸν οἱ ξένοι, ἀλλ' αὐτὸς καθήμενος ἐπὶ τῆς θύρας τῆς σκηνῆς αὐτοῦ ἕως μεσημβρίας, περιέμενε τοὺς ἐκεῖθεν διερχομένους, ὅπως φιλοξενήσῃ αὐτούς (2)· ὅταν δὲ ἔβλεπεν αὐτούς, ἔτρεχεν εἰς συνάντησιν αὐτῶν, προσκυνῶν καὶ παρακαλῶν αὐτούς, ἵνα ἔλθωσι πρὸς αὐτόν, καὶ ἀναπαυθῶσι· « Κύριε, ἔλεγεν, ὅταν εἶδε » τοὺς τρεῖς ξένους διερχομένους, εἰ ἄρα » εὗρον χάριν ἐναντίον σου, μὴ παρέλθῃς » τὸν παῖδά σου. Ληφθήτω δὴ ὕδωρ, καὶ » νιψάτωσαν τοὺς πόδας ὑμῶν· καὶ κατα» ψύξατε ὑπὸ τὸ δένδρον· καὶ λήψομαι ἄρ» τον καὶ φάγεσθε » (3) Πλοῦτον εἶχε καὶ ὁ πλούσιος τοῦ Εὐαγγελίου· « Ἄνθρωπος » δέ τις, λέγει τὸ Εὐαγγέλιον, ἦν πλού» σιος » (4). Τί δὲ ἐποίει αὐτὸς διὰ τοῦ ὅπλου τοῦ πλούτου αὐτοῦ; Ἐπολέμει τὴν ἐγκράτειαν καὶ τὴν σωφροσύνην· « Ἐνε» διδύσκετο, λέγει, πορφύραν καὶ βύσσον, » εὐφραινόμενος καθ' ἡμέραν λαμπρῶς ». Αὐτὸς διὰ τοῦ ὅπλου τοῦ πλούτου αὐτοῦ ἐπολέμησε τὴν εὐσπλαγχνίαν καὶ τὴν ἐλεημοσύνην, καὶ τόσον ἐνίκησε, καὶ τόσον μακρὰν ἀπεδίωξεν αὐτὰς ἀπὸ τῆς καρδίας αὐτοῦ, ὥστε οὐδόλως εὐσπλαγχνίζετο, οὐδὲ ἠλέει τὸν πτωχὸν Λάζαρον, κἂν ἔβλεπεν αὐτὸν κατακείμενον εἰς τὸν πυλῶνα αὐτοῦ, τετραυματισμένον, καὶ ἐπιθυμοῦντα χορτασθῆναι ἀπὸ τῶν ψυχίων, τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης αὐτοῦ, κἂν ἔβλεπε τοὺς κύνας λείχοντας τὰς τῶν τραυμάτων αὐτοῦ πληγάς.

Ἀναβίβασον νῦν τὸν νοῦν σου ἐπάνω εἰς τὸ ὄρος τοῦ Γολγοθᾶ. Βλέπε ἐκεῖ τοὺς δύω λῃστὰς εἰς μίαν καὶ τὴν αὐτὴν ἐλεεινοτάτην κατάστασιν καὶ ἐσχάτην συμφορὰν καὶ δυστυχίαν, γυμνούς, ἐσταυρωμένους, ψυχοῤῥαγοῦντας· βλέπε δέ, πῶς ὁ μὲν ἐκ δεξιῶν τοῦ ζωοδότου Χριστοῦ ποιεῖ τὴν συμφορὰν αὐτοῦ ὅπλον σωτηρίας ἐξομολογούμενος τὰς ἁμαρτίας αὐτοῦ, καὶ λέγων πρὸς τὸν σωτῆρα· « Μνήσθητί μου, Κύριε, » ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου » (5)· ὁ δὲ ἐξ εὐωνύμων ποιεῖ τὴν δυστυχίαν αὐτοῦ ὄργανον ἀπωλείας καὶ κολάσεως αἰωνίου, πειράζων καὶ βλασφημῶν τὸν δημιουργὸν τῆς κτίσεως, καὶ κραυγάζων· « Εἰ σὺ εἶ ὁ Χρι» στός, σῶσον σεαυτὸν καὶ ἡμᾶς » (6). Ἔχεις μυρία τοιαῦτα παραδείγματα οὐ μόνον εἰς τὰς Θείας Γραφάς, ἀλλὰ καὶ εἰς τὰς κοσμικὰς ἱστορίας, καὶ εἰς αὐτὰ τὰ ἄχρι τῆς σήμερον βλεπόμενα ἔργα τῶν ἀγαθῶν καὶ τῶν πονηρῶν ἀνθρώπων. Πρὸς

(1) Γεν. 13, 2. (2) Αὐτ. 18, 1. (3) Αὐτ. 3, 5. (4) Λουκ. 16, 19. (5) Αὐτ. 23, 42. (6) Αὐτ. 39.

περισσοτέραν ὅμως πληροφορίαν ταύτης τῆς ἀληθείας προβάλλω ἕνα καὶ τὸν αὐτὸν ἄνθρωπον, ὅστις ἐποίησε καὶ τὰ δεξιὰ ὅπλα καὶ τὰ ἀριστερά, ἀρετῆς ὄργανα· ἕνα λέγω, καὶ τὸν αὐτὸν ἄνθρωπον, ὅστις, καθὼς εἰς τὰς μεγάλας εὐτυχίας αὐτοῦ, οὕτω καὶ εἰς τὰς ἐσχάτας αὐτοῦ δυστυχίας κατώρθωσεν ἀρετὰς πολλάς, καὶ μεγάλας, καὶ θαυμασίας.

Ὁ Ἰὼβ ἦν ἄνθρωπος πλούσιος· « Καὶ ἦν τὰ κτήνη αὐτοῦ πρόβατα ἑπτακισχίλια, κάμηλοι τρισχίλιαι, ζεύγη βοῶν πεντακόσια, θήλειαι ὄνοι νομάδες πεντακόσιαι, καὶ ὑπηρεσία πολλὴ σφόδρα· ἄνθρωπος ἔνδοξος καὶ ἀξιωματικός· Καὶ ἔργα μεγάλα ἦν αὐτῷ ἐπὶ τῆς γῆς » (1). Ἄνθρωπος εὐγενὴς μεταξὺ τῶν κατοικούντων τὰ ἀνατολικὰ μέρη « Καὶ ἦν ὁ ἄνθρωπος ἐκεῖνος εὐγενὴς τῶν ἀφ' ἡλίου ἀνατολῶν » (2). Εἶχε δὲ καὶ τὴν εὐτυχίαν τῆς πολυτεκνίας, διότι ἐγέννησεν υἱοὺς ἑπτά, καὶ θυγατέρας τρεῖς· περιττὸν δέ ἐςιν ἐπαριθμῆσαι, πόσας, καὶ ποίας ἀρετὰς κατώρθωσεν ὁ ἄνθρωπος οὗτος δια τούτων τῶν δεξιῶν ὅπλων, ἐπειδὴ αὐτὸς ὁ παντεπόπτης καὶ καρδιογνώστης Θεὸς ἐμαρτύρησεν, ὅτι οὐδεὶς τῶν τότε ἀνθρώπων εὑρέθη τόσον ἐνάρετος καὶ ἅγιος, ὡς ὁ Ἰώβ· « Προσέσχες, εἶπε πρὸς τὸν διάβολον, τῇ διανοίᾳ σου κατὰ τοῦ παιδός μου Ἰώβ, ὅτι οὐκ ἔστι κατ' αὐτὸν ἐπὶ τῆς γῆς, ἄνθρωπος ἄμεμπτος, ἀληθινός, θεοσεβής, ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος » (3). Ἀφ' οὗ ὁ Θεὸς ἐδοκίμασε τὸν Ἰὼβ διὰ τῶν ὅπλων τῶν δεξιῶν, εὐδόκησεν, ἵνα δοκιμασθῇ καὶ διὰ τῶν ἀριστερῶν, ὅπως καὶ δι' αὐτῶν ἀριστεύσας, καὶ ἀρετῆς καθολικὸν παράδειγμα γενόμενος, λάβῃ τὸν ἀμαράντινον τῆς θείας δόξης στέφανον. Ὁ πολύτεκνος Ἰὼβ γίνεται ἄτεκνος· ὁ ὑπέρπλουτος, πτωχότατος· ὁ ἔνδοξος καὶ εὐγενὴς κάθηται « Ἐπὶ κοπρίας ἔξω τῆς πόλεως » (4). Γίνεται προσθήκη τῆς δυστυχίας αὐτοῦ ἡ ἀσθένεια· πληγαὶ ὀδυνηραί, καὶ σαπρία, καὶ σκώληκες, βασανίζουσιν αὐτόν, ὥστε « Ἔλαβεν ὄστρακον ἵνα τὸν ἰχῶρα ξύῃ ». Ἔρχονται πρὸς αὐτὸν οἱ φίλοι οὐχὶ πρὸς παρηγορίαν, ἀλλ' εἰς προσθήκην θλίψεως καὶ ὀδύνης· διότι οὐ παρηγοροῦσιν, ἀλλ' ἐλέγχουσιν αὐτὸν ὡς ἄδικον, καὶ ἐξονειδίζουσιν αὐτὸν ὡς ὑποκριτὴν καὶ πονηρόν· καὶ αὐτὴ δὲ ἡ γυνὴ αὐτοῦ αὐξάνει τοὺς πειρασμοὺς αὐτοῦ, παροξύνουσα τὴν ψυχὴν αὐτοῦ διὰ τῶν λόγων αὐτῆς, καὶ προτρέπουσα αὐτόν, ἵνα βλασφημήσῃ· « Ἀλλ' εἰπόν τι ῥῆμα, ἔλεγε πρὸς αὐτόν, καὶ τελεύτα » (5). Ἄκουσον τί ἐποίησεν ὁ Ἰὼβ καὶ διὰ τούτων τῶν ἀριστερῶν ὅπλων· « Ἐν τούτοις πᾶσι τοῖς συμβεβηκόσιν αὐτῷ οὐδὲν ἥμαρτεν Ἰὼβ ἐναντίον τοῦ Κυρίου » (6). Οὐ μόνον δὲ οὐδὲν ἥμαρτεν, ἀλλὰ καὶ ἔδειξε μεγάλας ἀρετάς· τὴν ταπείνωσιν, λέγων· « Αὐτὸς γυμνὸς ἐξῆλθον ἐκ κοιλίας μητρός μου, γυμνὸς καὶ ἀπελεύσομαι ἐκεῖ· » (7). τὴν πρὸς τὸν Θεὸν ὑπακοήν· « Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο· ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτως ἐγένετο »· τὴν πρὸς τὸν Θεὸν εὐγνωμοσύνην καὶ εὐχαριστίαν· « Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον »· τὴν ἀνδρείαν τὴν μεγαλοψυχίαν, τὴν ἕως τέλους μακαρίαν ὑπομονήν.

Ἰδοὺ οὖν ἀποδεδειγμένη ἡ ἀλήθεια τῶν λόγων τοῦ Παύλου· ἰδού, πῶς τὰ ἐναντία πράγματα, ἤγουν αἱ εὐτυχίαι καὶ δυστυ-

(1) Ἰώβ. 1, 2. (2) Αὐτόθ. 42, 12. (3) Αὐτόθ. 1, 8. (4) Αὐτόθ. 2, 3. (5) Αὐτόθ. 9. (6) Αὐτόθ. 1, 22.
(6) Αὐτόθ. 21.



χίαι ποιοῦσι τὸ αὐτὸ ἀποτέλεσμα, τουτέςι, τὴν ἀρετήν· ἰδού, πῶς καὶ τὰ δεξιά εἰσιν ὅπλα τῆς δικαιοσύνης, καθὼς καὶ τὰ ἀριστερά. Ὁ Ἰὼβ καὶ διὰ τοῦ πλούτου καὶ διὰ τῆς πτωχείας, καὶ διὰ τῆς δόξης καὶ διὰ τῆς ἀδοξίας, καὶ διὰ τῆς πολυτεκνίας καὶ διὰ τῆς ἀτεκνίας, καὶ διὰ τῆς ὑγείας καὶ διὰ τῆς ἀῤῥωστίας κατώρθωσε τῆς ἀρετῆς τὰ ἔργα. Τὰ θεόπνευστα οὖν τοῦ Παύλου λόγια ἁρπάζουσιν ἀπὸ τοῦ στόματος ἡμῶν πᾶσαν ἀπολογίαν καὶ πρόφασιν· διότι, ὅταν καὶ τὰ δεξιὰ καὶ τὰ ἀριστερὰ ὅπλα γίνωνται ὄργανα δικαιοσύνης, ποίαν ἀπολογίαν, ἢ πρόφασιν ἔχει ἢ ὁ πλούσιος, ἢ ὁ πτωχός, ἢ ὁ ἀξιωματικός, ἢ ὁ ἰδιώτης, ἢ ὁ ὑγιής, ἢ ὁ ἄῤῥωστος, ἑνὶ δὲ λόγῳ, ἢ ὁ εὐτυχής, ἢ ὁ δυστυχής, ὅταν οὐ πράττῃ τῆς ἀρετῆς τὰ ἔργα;

Ματαίως λοιπὸν προφασίζεται ὁ πλούσιος, λέγων· αἱ πολλαὶ φροντίδες τῶν ὑπαρχόντων μου ἐμποδίζουσί με ἀπὸ τῆς προσευχῆς, καὶ ἀπὸ τῆς μετανοίας καὶ ἐξομολογήσεως· ματαίως λέγει· οὐδὲν περισσεύει μοι ὑπὲρ τοῦ Λαζάρου, τοῦ ἐπιθυμοῦντος τὰ ψυχία τῆς τραπέζης μου, ἐπειδὴ ἡ συνήθεια τοῦ κόσμου ἀναγκάζει με, ἵνα καὶ τραπέζας ἔχω ἁβροδιαίτους, καὶ ἐνδύματα λαμπρά, καὶ ἁμάξας πολυτελεῖς, καὶ ἵππους πολλούς, καὶ δούλους καὶ δουλίδας. Προφάσεις ἐν ἁμαρτίαις εἰσὶν αἱ τοιαῦται ἀπολογίαι· ματαίως ὁ πτωχὸς λέγει· ἡ πτωχεία μου βιάζει με, ἵνα καὶ δολιεύωμαι, καὶ ψεύδωμαι, καὶ κλέπτω· ματαίως λέγει· ὑπὸ τῆς ἀνάγκης πολλὰ ποιοῦμεν κακά· Προφάσεις εἰσὶ ταῦτα τὰ λόγια ἀνωφελεῖς καὶ παράλογοι· παραλόγως προφασίζεται καὶ ὁ χαίρων, ὅταν λέγῃ, ὅτι ἡ μεγάλη χαρὰ παρέφερεν αὐτὸν εἰς ἀτοπήματα· καὶ ὁ θλιβόμενος, ὅταν προβάλλῃ πρὸς δικαιολογίαν τῆς ἀγανακτήσεως αὐτοῦ τὴν θλίψιν, λέγων· τὸ γὰρ πολὺ τῆς θλίψεως γεννᾷ παραφροσύνην· παραλόγως καὶ ὁ εὐτυχὴς προτείνει ὡς αἴτιον τῆς ἀσωτείας αὐτοῦ τὴν εὐτυχίαν, καὶ ὁ δυστυχὴς ὡς αἴτιον τῶν παραπτωμάτων αὐτοῦ τὴν δυστυχίαν· ὁ πλούσιος ἐὰν θέλῃ, χορτάζει τὸν πεινῶντα, ἐνδύει τὸν γυμνόν, φιλοξενεῖ τὸν ξένον, ἐλεεῖ τοὺς χρείαν ἔχοντας· ὁ ἀξιωματικός, ἐὰν θέλῃ, δικαιοῖ τὸν ἀθῶον, κατακρίνει τὸν πταίστην, ὑπερασπίζεται τοῦ ὀρφανοῦ, προστατεύει τῆς χήρας· ὁ εὐτυχής, ἐὰν θέλῃ, μεταδίδωσιν εἰς πάντας τῆς ἑαυτοῦ εὐτυχίας τοὺς καρπούς· ὁ πτωχός, ὁ τεθλιμμένος, ὁ ἀσθενής, ὁ δυστυχής, ἐὰν θέλῃ γίνεται ἀνδρεῖος, μεγαλόψυχος, ὑπομονητικός, καὶ στεφανοῦται μετὰ τῶν ἁγίων μαρτύρων. Ὁ Θεὸς ὁ φιλανθρωπότατος καὶ πανοικτίρμων ἔδωκεν εἰς ἄλλους μὲν τὰ δεξιά, εἰς ἄλλους δὲ τ' ἀριστερὰ ὅπλα. « Ἑκάστῳ κατὰ τὴν ἰδίαν δύναμιν » (1), ἵνα ποιήσαντες αὐτὰ ὅπλα δικαιοσύνης, ἀξιωθῶμεν τῆς αἰωνίου δόξης καὶ βασιλείας, ἐν Χριστῷ Ἰησοῦ, τῷ Κυρίῳ καὶ σωτῆρι ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

(1) Ματθ. 25, 15.

# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΗΝ ΔΕΥΤΕΡΑΝ ΠΡΟΣ

# ΚΟΡΙΝΘΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

## ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗι ΙΖ'. ΚΥΡΙΑΚΗι.

ΕΠΕΙΔΗ οὐκ ἄνθρωπος, ἀλλ' αὐτὸς ὁ τοῦ Θεοῦ Υἱός, ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, ἀπεκάλυψεν εἰς τὸν Παῦλον τὸ Εὐαγγέλιον τῆς ἀληθείας, καθὼς αὐτὸς μαρτυρεῖ λέγων· « Οὐδὲ γὰρ ἐγὼ παρὰ ἀνθρώπου παρέλαβον αὐτό, οὐδὲ ἐδιδάχθην· ἀλλὰ δι' ἀποκαλύψεως Ἰησοῦ Χριστοῦ » (1)· διὰ τοῦτο ὁ λόγος τοῦ κηρύγματος αὐτοῦ οὐδεμίαν χρείαν εἶχε τῆς τῶν προφητικῶν λόγων μαρτυρίας καὶ ἐπιβεβαιώσεως. Αὐτὸς ὅμως ὁ παμμακάριστος ἐπεστήριζε τὴν διδαχὴν αὐτοῦ διὰ τῶν προφητικῶν προῤῥήσεων, δεικνύων, ὅτι σύμφωνοί εἰσιν αἱ δύω διαθῆκαι, καὶ ὅτι εἷς καὶ ὁ αὐτὸς Θεός ἐςιν ὁ ποιητὴς τῆς Παλαιᾶς καὶ τῆς Νέας, καὶ ὅτι οὐκ ἄλλην διδασκαλίαν κηρύττει, εἰμὴ αὐτὴν τὴν ὑπὸ τοῦ παναγίου Πνεύματος διὰ τῶν προφητῶν προκήρυχθεῖσαν, καὶ διὰ πολλῶν συμβόλων προτυπωθεῖσαν· ἐκ τούτου βλέπομεν, ὅτι πᾶσα ἡ ἠθολογία, ἡ ἐν τῇ σήμερον ἀναγνωσθείσῃ ἐπιστολῇ αὐτοῦ, θεμελιοῦται ἐπὶ τὰ διδάγματα τῆς Παλαιᾶς Διαθήκης. Δι' αὐτῆς δὲ μανθάνομεν, ποία ἐστὶν ἡ ἀληθινὴ ἁγιωσύνη, καὶ ἀκούομεν τὸν τοῦ Χριστοῦ Ἀπόστολον διδάσκοντα καὶ λέγοντα, ὅτι τοιαύτην ἁγιωσύνην χρεωστοῦσιν ἐπιτελέσαι πάντες οἱ εἰς Χριστὸν πιστεύοντες· ἡμεῖς οὖν ἐκφράζομεν τὸ νόημα ταύτης τῆς ἐπουρανίου διδασκαλίας, ὑμεῖς δὲ οἱ ἀκούοντες προσηλώσατε τὸν νοῦν εἰς τὴν ταύτης κατανόησιν, ἵνα καταξιωθῆτε ἐπιτελέσαι τὴν νομοθετουμένην ἁγιωσύνην ἐν φόβῳ Θεοῦ.

*Ἀδελφοί, ὑμεῖς ἐστε ναὸς Θεοῦ ζῶντος, καθὼς εἶπεν ὁ Θεός· Ὅτι ἐνοικήσω ἐν αὐτοῖς, καὶ ἐμπεριπατήσω· καὶ ἔσομαι αὐτῶν Θεός, και αὐτοὶ ἔσονταί μοι λαός* (2).

Εἰς τὸ βιβλίον τοῦ Λευϊτικοῦ ἀναγινώσκομεν τὰ ἑξῆς· « Καὶ θήσω τὴν σκηνήν μου ἐν ὑμῖν, καὶ οὐ βδελύξεται ἡ ψυχή μου ὑμᾶς· Καὶ ἐμπεριπατήσω ἐν ὑμῖν· καὶ ἔσομαι ὑμῶν Θεός, καὶ ὑμεῖς ἔσεσθέ μοι λαός » (3). Τὸ δέ, « Ἔσομαι ὑμῶν Θεὸς καὶ ὑμεῖς ἔσεσθε μοι λαός » προηγόρευσαν καὶ οἱ ἅγιοι προφῆται, ὁ Ἱερεμίας δηλονότι, καὶ ὁ Ἰεζεκιήλ, καὶ ὁ Ζαχαρίας (4). Βλέπε δέ, πῶς ὁ θεόφρων Παῦλος διὰ τῆς ἐν αὐτῷ ἀποστολικῆς χάριτος οὐ

(1) Γαλ. 1, 12. (2) Β'. Κορ. 6, 16. (3) Λευϊτ. 26, 11, 12. (4) Ἱερ. 31, 33 καὶ 32, 38. Ἰεζ. 11, 20 καὶ 36, 28 καὶ 37, 27. Ζαχ. 8, 8.



κατὰ λέξιν, ἀλλὰ κατ' ἐκλογὴν ἁρμοδίαν εἰς τὴν ἔννοιαν, ἐξέλαβε τοῦ Λευϊτικοῦ τὰ λόγια, ἐφαρμόσας αὐτὰ εἰς τοὺς πιστεύοντας εἰς τὸν Ἰησοῦν Χριστὸν κατὰ τὸ ἀληθὲς αὐτῶν νόημα, καὶ τὸν σκοπὸν τοῦ προειπόντος αὐτὰ Θεοῦ· διὸ ἀντὶ τοῦ, « Ἐν ὑμῖν », ἔθηκε τό, « Ἐν αὐτοῖς », διερμηνεύσας τό, « θήσω τὴν σκηνήν μου », διὰ τοῦ, « Ἐνοικήσω », καὶ σιωπήσας τὸ « Οὐ βδελύξεται ἡ ψυχή μου ὑμᾶς », διὰ τοῦ λόγου τὸ σύντομον. Παρατήρησον δὲ καὶ τὴν τοῦ λόγου κατασκευήν, προβάλλει πρῶτον ὡς πρότασιν τό, « Ὑμεῖς ἐστε ναὸς Θεοῦ ζῶντος ». Ὑμεῖς, λέγει, οἱ χριστιανοί, ἐστὲ κατοικητήριον τοῦ Θεοῦ, οὐχὶ Θεοῦ φθαρτοῦ καὶ θνητοῦ καθὼς οἱ τῶν εἰδωλολατρῶν θεοί, οἵτινες ἦσαν φθαρτὰ ξόανα καὶ θνητοὶ ἄνθρωποι, ἀλλὰ τοῦ ἀφθάρτου καὶ ἀθανάτου Θεοῦ, ὅστις ἐστὶ Θεὸς ζῶν καὶ διαμένων εἰς τοὺς ἀπεράντους αἰῶνας· μετὰ δὲ τὴν πρότασιν ἐπάγει εὐθὺς καὶ τὴν ἀπόδειξιν, λέγων· ὁ Θεὸς ἐβεβαίωσε τοῦτο, εἰπών· « Κατοικήσω καὶ ἐμπεριπατήσω ἐν αὐτοῖς », ἤγουν ἐν τοῖς πιστεύουσιν εἰς ἐμέ, καὶ ἔσομαι Θεὸς αὐτῶν, αὐτοὶ δὲ ἔσονται ἠγαπημένος καὶ ἐκλεκτός μου λαός· τὸ αὐτὸ δὲ ὑπεσχέθη καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς εἰς τοὺς ἀγαπῶντας αὐτόν· « Ἐάν τις ἀγαπᾷ με, εἶπε, τὸν λόγον μου τηρήσει, καὶ ὁ Πατήρ μου ἀγαπήσει αὐτόν, καὶ πρὸς αὐτὸν ἐλευσόμεθα, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν » (1). Εἶπε δὲ ὁ Θεὸς διὰ μὲν τῆς Παλαιᾶς Διαθήκης « Θήσω τὴν σκηνήν μου, καὶ ἐμπεριπατήσω », ἵνα φανερώσῃ τὴν τοῦ νόμου μετάθεσιν· διότι μετατίθεται ἐκ τόπου εἰς τόπον, καὶ ἡ σκηνὴ καὶ ὁ περιπατῶν· διὰ δὲ τῆς Νέας εἶπεν· « Ἐλευσόμεθα καὶ μονὴν ποιήσομεν », ἵνα δηλοποιήσῃ τὸ ἀμετάθετον καὶ ςερεὸν καὶ μόνιμον τῆς εὐαγγελικῆς διδασκαλίας καὶ τῶν εὐαγγελικῶν χαρισμάτων. Πῶς δὲ ὁ Θεὸς κατοικεῖ ἐν ἡμῖν καὶ ἐμπεριπατεῖ; Κατοικεῖ μέν, φωτίζων, στηρίζων, ἐνδυναμῶν ἡμᾶς διὰ τῆς χάριτος τοῦ παναγίου αὐτοῦ Πνεύματος· ἐμπεριπατεῖ δὲ ἐν ἡμῖν, ἀκολουθῶν, καὶ ὁδηγῶν, καὶ συνεργῶν ἡμᾶς εἰς πᾶν ἔργον ἀγαθόν. Μετὰ δὲ τὴν ἀπόδειξιν συνάγει ὁ θεῖος Ἀπόστολος τὸ συμπέρασμα ἐξ αὐτῶν τῶν προφητικῶν προῤῥήσεων, λέγων·

*Διὸ ἐξέλθετε ἐκ μέσου αὐτῶν, καὶ ἀφορίσθητε, λέγει Κύριος· καὶ ἀκαθάρτου μὴ ἅπτεσθε· κἀγὼ εἰσδέξομαι ὑμᾶς· Καὶ ἔσομαι ὑμῖν εἰς πατέρα, καὶ ὑμεῖς ἔσεσθέ μοι εἰς υἱοὺς καὶ θυγατέρας, λέγει Κύριος παντοκράτωρ* (2).

Ὁ προφήτης Ἡσαΐας διδάσκων τοὺς Ἰσραηλίτας, ἵνα ἀπέχωσιν ἀπὸ τῆς θρησκείας καὶ τῶν πονηρῶν πράξεων τῶν ἐν Βαβυλῶνι εἰδωλολατρῶν, εἶπε ταῦτα· « Ἀπόστητε, ἀπόστητε, ἐξέλθετε ἐκεῖθεν, καὶ ἀκαθάρτου μὴ ἅψησθε, ἐξέλθετε ἐκ μέσου αὐτῆς, ἀφορίσθητε οἱ φέροντες τὰ σκεύη Κυρίου· καὶ ὁ ἐπισυνάγων ὑμᾶς Θεὸς Ἰσραήλ » (3). Προφητεύων δὲ περὶ τῆς εἰς Χριστὸν ἐπιστροφῆς τῶν ἐθνῶν, ἐκήρυττε, λέγων· « Ἄγε τοὺς υἱούς μου ἀπὸ τῆς πόῤῥωθεν, καὶ τὰς θυγατέρας μου ἀπ' ἄκρων τῆς γῆς » (4)· ὁ δὲ προφήτης Νάθαν εἶπεν ὡς ἐκ προσώπου τοῦ Θεοῦ πρὸς τὸν Δαβίδ· « Ἐγὼ ἔσομαι αὐτῷ εἰς πατέρα, καὶ αὐτὸς ἔσται μοι εἰς

(1) Ἰωάν. 14, 23. (2) Β'. Κορ. 6, 17, 18. (3) Ἡσ. 52, 11, 12. (4) Αὐτ. 43, 6.

» υἱόν » (1). Ταύτας τὰς προφητικὰς ῥήσεις ἐκφράζει ὁ θεῖος Ἀπόστολος, καθὼς προλαβὸν εἴπομεν· καὶ παρασιωπᾷ μέν τινα ἐξ αὐτῶν λόγια διὰ τὴν συντομίαν, μεθερμηνεύει δὲ τό, « Καὶ ὁ ἐπισυνάγων » ὑμᾶς Θεὸς Ἰσραὴλ », διὰ τοῦ « Κἀγὼ » εἰσδέξομαι ὑμᾶς ». Τίνες δέ εἰσιν ἐκεῖνοι, περὶ ὧν λέγει· « Ἐξέλθετε ἐκ μέσου αὐτῶν » καὶ ἀφορίσθητε; » Οἱ ἀσεβεῖς εἰσιν οὗτοι καὶ οἱ πεπονηρευμένοι ἄνθρωποι· τούτων τὰς διδασκαλίας καὶ τὰς ὁμιλίας παραγγέλλει, ἵνα φεύγωμεν καὶ ἀποστρεφώμεθα, διότι « Φθείρουσιν ἤθη χρηστὰ ὁμιλίαι κα- » καί » (2). Ἀκαθαρσία δέ ἐστιν ἡ ἁμαρτία, καθότι μολύνει τὴν ψυχήν· διὰ δὲ τοῦ, « Καὶ ἀκαθάρτου μὴ ἅπτεσθε » ἐσήμανε τὴν τελείαν ἀποχὴν οὐ μόνον τῆς πράξεως, ἀλλὰ καὶ τῶν λογισμῶν τῆς ἁμαρτίας· ὅταν δὲ φύγωμεν τὴν ἀπιστίαν καὶ τὴν ἁμαρτίαν, καὶ προσελθόντες πρὸς τὸν Ἰησοῦν Χριστόν, καταξιωθῶμεν διὰ τοῦ θείου βαπτίσματος τοῦ μεγάλου τῆς υἱοθεσίας χαρίσματος, τότε αὐτὸς μὲν γίνεται πατὴρ ἡμῶν, ἡμεῖς δὲ υἱοὶ αὐτοῦ καὶ κληρονόμοι τῆς αἰωνίου αὐτοῦ βασιλείας.

Ταύτας οὖν ἔχοντες τὰς ἐπαγγελίας, ἀγαπητοί, καθαρίσωμεν ἑαυτοὺς ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, ἐπιτελοῦντες ἁγιωσύνην ἐν φόβῳ Θεοῦ (3).

Ποῖαί εἰσιν αἱ ἐπαγγελίαι, ἤγουν αἱ ὑποσχέσεις; Ἡ ἐνοίκησις τοῦ Θεοῦ ἐν ἡμῖν· « Καὶ ἐνοικήσω ἐν αὐτοῖς, καὶ ἐμπεριπα- » τήσω» (4). Ἡ σωτηρία καὶ ἡ δόξα, ὅσην ἔχει ὁ λαὸς τοῦ Θεοῦ· «Καὶ ἔσομαι αὐτῶν » Θεός, καὶ αὐτοὶ ἔσονταί μοι λαός ». Τὸ μέγα τοῦ Θεοῦ χάρισμα, ἤγουν ἡ υἱοθεσία· « Καὶ ἔσομαι ὑμῖν εἰς πατέρα, καὶ ὑμεῖς » ἔσεσθέ μοι εἰς υἱοὺς καὶ θυγατέρας, λέγει » Κύριος παντοκράτωρ » (5). Ταῦτα ὅλως ὑπεσχέθη ὁ Θεὸς ἐπὶ τῇ ὑποθέσει, ὅτι ὑμεῖς ἀκούσαντες τὸ θεῖον αὐτοῦ πρόσταγμα, ἐξερχόμεθα καὶ ἀποχωριζόμεθα ἀπὸ τῆς ἀπιστίας, καὶ ἀποστρεφόμεθα παντελῶς τὴν ἀκαθαρσίαν τῆς ἁμαρτίας· διότι εἶπεν· « Ἐξέλθετε ἐκ μέσου αὐτῶν, καὶ ἀφορί- » σθητε, λέγει Κύριος· καὶ ἀκαθάρτου μὴ » ἅπτεσθε· κἀγὼ εἰσδέξομαι ὑμᾶς » (6). Ὁ Παῦλος οὖν ἀνακεφαλαιῶν τὰ ὑπ' αὐτοῦ προειρημένα, λέγει· ἐπειδὴ ὑπεσχέθη ὁ Θεὸς ἐκπληρῶσαι ταύτας τὰς ὑπ' αὐτοῦ δοθείσας ἡμῖν ἐπαγγελίας, ἐὰν ἡμεῖς ἐξέλθωμεν ἐκ τῆς ἀπιστίας, καὶ ἀποστραφῶμεν παντελῶς τὴν ἁμαρτίαν, διὰ τοῦτο καθαρίσωμεν ἑαυτοὺς ἀπὸ πάσης σαρκικῆς καὶ ψυχικῆς ἀκαθαρσίας, καὶ ἐπιτελέσωμεν ἔργα ἅγια ἐν φόβῳ Θεοῦ, ἵνα καταξιωθῶμεν τῆς ἀπολαύσεως τῶν θείων ὑποσχέσεων. Ἐπειδὴ δέ τινες μὲν ποιοῦσι τὰ καλὰ ἔργα οὐχὶ διὰ τὸν φόβον τοῦ Θεοῦ, ἀλλὰ διὰ τὸν φόβον τῆς τιμωρίας τῶν ἀρχόντων· τινὲς δὲ οὐχὶ διὰ τὸν φόβον τοῦ Θεοῦ, ἀλλὰ διὰ τὸν ἔπαινον καὶ τὴν δόξαν τῶν ἀνθρώπων, διὰ τοῦτο εἶπεν, « Ἐν φόβῳ Θεοῦ », ἵνα φανερώσῃ, ὅτι ἐκεῖνοι μόνοι ἐπιτελοῦσιν ἁγιωσύνην, ἤγουν γίνονται ἅγιοι, ὅσοι διὰ τὸν φόβον τοῦ Θεοῦ ποιοῦσι τῆς ἀρετῆς τὰ ἔργα.

(1) Β'. Βασ. 7, 14. (2) Α'. Κορ. 15, 33. (3) Β'.Κορ 7, 1. (4) Αὐτ. 6, 16. (5) Αὐτ. 18. (6) Αὐτ. 17.



# ΟΜΙΛΙΑ

ΜΕΤΑ ΤΗΝ ΔΕΥΤΕΡΑΝ ΠΡΟΣ

## ΚΟΡΙΝΘΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗι ΙΖ'. ΚΥΡΙΑΚΗι.

ΑΝΔΡΕΣ ἀδελφοί, μὴ νομίσητε, ὅτι ἡ διὰ τῆς ἐπιστολῆς τοῦ θεηγόρου Παύλου κηρυχθεῖσα σήμερον διδασκαλία ἐστὶ μερική, ἤγουν ἀναφέρεται μόνον εἰς τοὺς μοναχοὺς καὶ εἰς τοὺς ἀσκητὰς καὶ ἐρημίτας· διότι αὐτή ἐστι γενικὴ καὶ καθολικὴ, καὶ ἀνάγεται πρὸς πάντας τοὺς εἰς τὸν Χριστὸν πιστεύοντας. « Ἀγαπητοί », λέγει· ἀγαπητοὶ δὲ ἦσαν εἰς τὸν Παῦλον πάντες οἱ πιστοί· ὅθεν διὰ τοῦ ὀνόματος, ἀγαπητοί, ἐδήλωσεν ἄνδρας καὶ γυναῖκας, νέους καὶ γέροντας βασιλεῖς καὶ ὑπηκόους, ἄρχοντας καὶ ἰδιώτας, πλουσίους καὶ πένητας, ἱερωμένους καὶ λαϊκούς, καὶ πάσης ἀξίας καὶ τάξεως καὶ καταστάσεως ἄνθρωπον. Τί δὲ δι' αὐτῆς διδάσκει ὁ θεόπνευστος; Αὐτὸς διδάσκει τὴν ἁγιωσύνην, καὶ παραγγέλλει, ἵνα πάντες κατασταθῶσιν ἅγιοι. Πῶς; καὶ αὐτοὶ οἱ ἐν μέσῳ τῶν θορύβων τοῦ κόσμου ζῶντες, καὶ αὐτοὶ οἱ βεβυθισμένοι εἰς τὰς κοσμικὰς φροντίδας, καὶ περιπεπλεγμένοι ὑπὸ τῶν πολιτικῶν ὑποθέσεων, καὶ αὐτοὶ οἱ κρατοῦντες τὰ ὅπλα, καὶ πολεμοῦντες, καὶ τὰς ἰδίας χεῖρας εἰς τὸ αἷμα τῶν ἐχθρῶν αὐτῶν βάπτοντες, καὶ αὐτοὶ πρέπον ἐστίν, ἵνα φθάσωσιν εἰς τῆς ἁγιωσύνης τὰ ὕψη; Ναί, τοῦτο διδάσκει· « Ταύτας οὖν ἔχον- » τες, λέγει, τὰς ἐπαγγελίας, ἀγαπητοί, » καθαρίσωμεν ἑαυτοὺς ἀπὸ παντὸς μολυ- » σμοῦ σαρκὸς καὶ πνεύματος, ἐπιτελοῦν- » τες ἁγιωσύνην ἐν φόβῳ Θεοῦ » (1).

Ἐπειδὴ ὁ Παῦλος οὐκ ἀφ' ἑαυτοῦ ἐδίδασκεν, ἀλλ' ὁ ἐν αὐτῷ ζῶν Χριστός, (2), διὰ στόματος αὐτοῦ ἐλάλει, ἀνάγκη ἐστίν, ἵνα καὶ πιστεύσωμεν καὶ ὑποταχθῶμεν εἰς τὸν λόγον αὐτοῦ, κἂν νέα ἦν ἡ τοιαύτη διδαχή, καὶ ὑπὸ μόνου τοῦ Παύλου κηρυττομένη, αὐτὴ ὅμως οὐκ ἔστι νέα, ἀλλ' ἀρχαιοτάτη, οὐδὲ μόνου τοῦ Παύλου παράγγελμα ἀλλ' αὐτοῦ τοῦ ὑψίστου Θεοῦ πρόσταγμα· τρὶς τοῦτο ὁ Θεὸς ὥρισεν, ὅταν καταβὰς εἰς τὸ Σινᾶ ὄρος ἔδωκε τὸν νόμον αὐτοῦ τοῖς ἀνθρώποις. Πρῶτον, ὅταν εἶπε· « Καὶ ἁ- » γιασθήσεσθε, καὶ ἅγιοι ἔσεσθε, ὅτι ἅγιός » εἰμι ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν » (3)· δεύτερον, ὅταν εἶπε πρὸς τὸν Μωϋσῆν· « Λά- » λησον τῇ συναγωγῇ τῶν υἱῶν Ἰσραήλ, καὶ » ἐρεῖς πρὸς αὐτούς, ἅγιοι ἔσεσθε, ὅτι ἅγιος » ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν » (4). Καὶ τρίτον ὁμοίως· « Καὶ ἐλάλησε Κύριος πρὸς Μωϋ- » σῆν, λέγων· Καὶ ἔσεσθε ἅγιοι, ὅτι ἅγιος » ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν » (5). Τί τούτου

(1) Β'. Κορ. 7, 1. (2) Γαλ. 2, 20. (3) Λευϊτ. 11, 44. (4) Αὐτ. 19, 2. (5) Αὐτ. 20, 1, 7.

ἢ φανερώτερον, ἢ βεβαιότερον; Καὶ αὐτὸς δὲ ὁ λυτρωτὴς καὶ σωτὴρ τοῦ κόσμου προσευχόμενος, τοῦτο ἐζήτησε παρὰ τοῦ πατρὸς αὐτοῦ ὑπὲρ ἡμῶν· « Ἁγίασον αὐτούς, » εἶπεν, ἐν τῇ ἀληθείᾳ σου » (1). Καὶ διὰ τοῦτο ἐθυσίασεν ἑαυτὸν ἐπάνω εἰς τὸ ξύλον τοῦ σταυροῦ, ἵνα ἡμεῖς γενώμεθα ἅγιοι· « Καὶ ὑπὲρ αὐτῶν ἐγὼ ἁγιάζω ἐμαυτόν, ἵνα » καὶ αὐτοὶ ὦσιν ἡγιασμένοι ἐν ἀληθείᾳ » (2). Ὅστις οὖν περὶ τούτου ἀμφιβάλλει, ἐκεῖνος ὁμοιάζει τῷ ἀμφιβάλλοντι περὶ τοῦ, ὅτι φέγγει τὸ μεσημβρινὸν τοῦ ἡλίου φῶς.

Ἔστω, λέγεις, οὐδεὶς περὶ τούτου ἀμφιβάλλει. Πᾶς ἄνθρωπος ὅμως καὶ ἀμφιβάλλει καὶ διστάζει περὶ τοῦ, πῶς πάσης τάξεως καὶ καταστάσεως ἄνθρωπος δύναται γενέσθαι ἅγιος· ὁ θεοῤῥήμων Παῦλος ἐδίδαξε καὶ τό, πῶς· » Καθαρίσωμεν, εἶπεν, » ἑαυτοὺς ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς » καὶ πνεύματος » (3). Σαρκὸς δὲ καὶ πνεύματος εἶπεν, ἐπειδή εἰσιν ἁμαρτήματα σαρκικά, καὶ ἁμαρτήματα ψυχικά· ἡ ἀσέλγεια, ἡ γαστριμαργία, ἡ μέθη, ὁ φόνος, καὶ πᾶσα ἄλλη πονηρὰ πρᾶξίς εἰσιν, ἁμαρτήματα τῆς σαρκός· ἡ ἀπιστία, ὁ ἀπελπισμός, ἡ ὑπερηφάνεια, ἡ μνησικακία, καὶ πᾶς ἄλλος πονηρὸς λογισμός εἰσιν, ἁμαρτήματα τῆς ψυχῆς· ὅταν φοβούμενος τὸν Θεόν, καθαρεύῃς ἀπὸ τῶν ἁμαρτημάτων, τῶν μολυνόντων τὴν ψυχήν σου, καὶ ἀπὸ τῶν παραπτωμάτων τῶν βορβορούντων τὸ σῶμά σου, τότε ὑπάρχεις ὅλος καθαρὸς καὶ ἅγιος, τότε ἐπιτελεῖς ἁγιωσύνην ἐν φόβῳ Θεοῦ, τοῦτό ἐστι τό, πῶς, ἤγουν ὁ τρόπος καὶ τὸ μέσον, δι' οὗ κατὰ τὴν διδασκαλίαν τοῦ Παύλου γινόμεθα ἅγιοι· « Καθαρίσω- » μεν ἑαυτοὺς ἀπὸ παντὸς μολυσμοῦ σαρ- » κὸς καὶ πνεύματος, ἐπιτελοῦντες ἁγιω- » σύνην ἐν φόβῳ Θεοῦ ». Ἀλλὰ τοῦτό ἐςι, λέγεις, τὸ δύσκολον. Οὐκ ἔςι τόσον δύσκολον, ὅσον στοχάζεσαι· ἄκουσον δὲ τὰ ἑξῆς, ἵνα καταλάβῃς, ὅτι πολλὰ μικρά ἐστιν ἡ δυσκολία.

Κἂν διὰ τὴν ἄκραν ἕνωσιν τῆς ψυχῆς καὶ τοῦ σώματος, καὶ τὸ σῶμα μετέχῃ τῶν διαθέσεων τῆς ψυχῆς, καὶ ἡ ψυχὴ τῶν ἐπιθυμιῶν τοῦ σώματος· κἂν ἄλλοτε μὲν ἡ ἐπιθυμία τῆς σαρκὸς διαβαίνουσα εἰς τὴν ψυχήν, ποιῇ αὐτὴν μητέρα τῶν πονηρῶν λογισμῶν, ἄλλοτε δὲ πάλιν ἡ ψυχὴ διὰ τῶν πονηρῶν αὐτῆς ἐνθυμήσεων διεγείρῃ τὸ σῶμα πρὸς τὴν πρᾶξιν τῆς ἁμαρτίας, ὡς καθεὶς ἐν ἑαυτῷ αἰσθάνεται· ἐπειδὴ ὅμως ἡ ψυχὴ δίδωσι τὴν κίνησιν καὶ εἰς τὸ αἷμα καὶ εἰς τὸ ζωτικὸν πνεῦμα, καὶ εἰς πάντα τὰ μέλη καὶ μέρη τοῦ σώματος· ἐπειδὴ ἡ ψυχὴ οὐ μόνον διακρίνει τὰ αἰσθητά, ἀλλὰ καὶ τὴν αἴσθησιν παρέχει εἰς τὰ αἰσθητήρια· διὰ τοῦτο ἐνίοτε καθαρὸν μέν ἐστι τὸ σῶμα πάσης σωματικῆς ἁμαρτίας, πλήρης δέ ἐστιν ἡ ψυχὴ πάσης ἀκαθαρσίας· οὐδέποτε δὲ συμβαίνει τὸ ἐναντίον, ἤγουν οὐδέποτε ἁμαρτάνει τὸ σῶμα, ὅταν ἡ ψυχὴ καθαρεύῃ ἀπὸ τῶν πονηρῶν ἐννοιῶν, καὶ ἀντικρούῃ καὶ ἀπωθῇ τὰς ἐπιθυμίας τοῦ σώματος. Ἀλλὰ διὰ τί τοῦτο; διότι ὁ νοῦς ὁρᾷ· καὶ ὁ νοῦς ἀκούει. Διὰ τῆς δοκιμῆς δὲ γνωρίζομεν ταύτην τῆς Ἀκαδημίας τὴν ἀλήθειαν· ὅταν προσηλώσωμεν ὅλον τὸν νοῦν εἰς τὴν θεωρίαν τινὸς πράγματος, τότε οὐδὲ τὰ πρὸ τῶν ὀφθαλμῶν ἡμῶν βλέπομεν, οὐδὲ τὸν ἦχον, τὸν πλησίον τῆς ἀκοῆς ἡμῶν, ἀκούομεν, οὐδὲ διακρίνομεν οὐδὲ τί ὀσφραινόμεθα, οὐδὲ τί γευόμεθα, οὐδὲ τί

(1) Ἰωάν. 17, 17. (2) Αὐτ. 19. (3) Β'. Κορ. 7, 1.



ψηλαφῶμεν. Ἡ ψυχή, ἔχουσα ἀφ' ἑαυτῆς κατὰ φύσιν τὴν συλλογιστικὴν δύναμιν, συλλογίζεται καὶ διακρίνει καὶ τὸ καλὸν καὶ τὸ κακόν, χωρὶς τῆς συμβοηθείας τοῦ σώματος· τὸ δὲ σῶμα μὴ δυνάμενον ἀφ' ἑαυτοῦ κινηθῆναι, οὐδέν, οὐδὲ ἀγαθόν, οὐδὲ πονηρὸν δύναται πρᾶξαι χωρὶς τῆς συνεργείας τῆς ψυχῆς· οὕτω καὶ ὁ ἀρχιτέκτων, καὶ τὸ ὄργανον αὐτοῦ· ὁ μὲν ἀρχιτέκτων ἐνεργεῖ καὶ χωρὶς τοῦ ὀργάνου, σχεδιάζων νοερῶς τὸ οἰκοδόμημα· τὸ δὲ ὄργανον χωρὶς τοῦ ἀρχιτέκτονος οὐδὲν δύναται τεκτονῆσαι. Ἐκ τούτου ἀκολουθεῖ, ὅτι, ὅταν ἡ ψυχὴ καθαρεύῃ ἀπὸ παντὸς πονηροῦ νοήματος, τότε καὶ τὸ σῶμα καθαρόν ἐστιν ἀπὸ πάσης πονηρᾶς πράξεως· διὰ τοῦτο οὖν ἀκούομεν τὸν Θεὸν νομοθετοῦντα καὶ λέγοντα. « Πρόσεχε σεαυτῷ, καὶ φύλαξον τὴν ψυχήν » σου σφόδρα » (1). Ἀφιέρωσον, λέγει, ὅλην τὴν προσοχήν σου, ἵνα φυλάξῃς τὴν ψυχήν σου καθαρὰν ἀπὸ πάσης ἁμαρτίας· τοῦτο δὲ προσέταξεν ὁ Θεός, ἐπειδή, ἐὰν τοῦτο κατορθώσῃς, καθαρὸς διαμένεις καὶ ἀπὸ παντὸς σαρκικοῦ μολυσμοῦ· διότι ἡ καθαρὰ ψυχὴ οὐδέποτε κινεῖ τὸ σῶμα πρὸς τὰς ἀκαθαρσίας τῆς ἁμαρτίας. Βλέπεις οὖν, ὅτι ὅλον τὸ κατόρθωμα τῆς ἁγιωσύνης κρέμαται ἀπὸ τῆς προσοχῆς.

Ἀλλὰ ποία προσοχή, λέγεις, δύναται ἐμποδίσαι τὸν λογισμὸν τῆς ἁμαρτίας ἀπὸ τοῦ νοὸς τοῦ νέου, τοῦ ἐν τῷ βρασμῷ καὶ ἐν τῇ ἰσχύϊ τῆς νεότητος αὐτοῦ ὄντος, ὅταν βλέπων τὸ κάλλος τῶν προσώπων αἰχμαλωτίζηται ὑπὸ τοῦ νόμου, τοῦ ἐν τοῖς μέλεσιν αὐτοῦ; φεύγει μὲν ἴσως τὴν πρᾶξιν, ὁ δὲ λογισμὸς τῆς ἁμαρτίας ἐστὶν ἄφευκτος (2). Τὰ αὐτὰ εἰπὲ καὶ περὶ τοῦ φιλαργύρου διὰ τὸν λογισμὸν τῆς ἐπιθυμίας τοῦ ἀργυρίου, καὶ περὶ τοῦ μνησικάκου διὰ τὸν λογισμὸν τοῦ μίσους, καὶ περὶ τοῦ φιλοδόξου διὰ τὸν λογισμὸν τῆς φιλοδοξίας, καὶ περὶ παντὸς ἀνθρώπου διὰ πάντα ἄλλον πονηρὸν λογισμόν. Ὁ λογισμός, ἀδελφέ, προχωρεῖ βαθμηδόν· πρῶτος ἔρχεται εἰς τὸν νοῦν ἐκεῖνος, ὅστις ὀνομάζεται προσβολή, καθότι προσβάλλει καὶ κτυπᾷ ὡς ὁ κατά τινος σώματος ῥιπτόμενος λίθος, ἐξόχως ὅταν τὰ ἀντικείμενα εὑρίσκωνται ἐνώπιον τῶν αἰσθήσεων· οὗτος δὲ ὁ λογισμὸς διὰ τὴν συγκοινωνίαν τῆς ψυχῆς μετὰ τῶν αἰσθητηρίων τοῦ σώματος, ἐστὶν ἄφευκτος, πλὴν ἐστιν ἀναμάρτητος, διότι ἐὰν εὕρῃ τὴν ψυχὴν στερεωμένην διὰ τῆς προσοχῆς, οὐδὲν τελεσφορεῖ, καθὼς οὐδὲ τὸ βέλος, τὸ τοξευόμενον ἐπὶ τῶν στερεῶν λίθων· διὸ διαμένει ἡ ψυχή σου ἀμίαντος, καθὼς καὶ πρὸ τῆς προσβολῆς· ἐὰν ὅμως ἡ προσβολή, εὑροῦσα τὴν ψυχὴν γεγυμνωμένην τῆς προσοχῆς, σταθῇ ἐν αὐτῇ, καθηδύνει καὶ γλυκαίνει τὸν νοῦν· ἐκ τούτου δὲ γεννᾶται ὁ λογισμός, ὁ ὀνομαζόμενος συνδυασμός· κἂν δὲ διώξῃς αὐτὸν εὐθύς, ἐγκαταλείπει ὅμως τὴν ψυχήν σου κεκαπνισμένην, ἵν' οὕτως εἴπω, διὰ τοῦ καπνοῦ τῆς ἁμαρτίας· ἐὰν δὲ μένῃ καὶ χρονοτριβῇ ἐν τῇ διανοίᾳ σου, ὑπογαργαλίζων διὰ τῆς γλυκύτητος αὐτοῦ, ἐξυπνᾷ τὴν ἐπιθυμίαν τῆς ἁμαρτίας· τότε δὲ ἡ μὲν ἐπιθυμητικὴ δύναμις ἐπιθυμεῖ τὴν ἁμαρτίαν, ἡ δὲ λογικὴ ἐναντιοῦται· ἐκ τούτου θέλεις καὶ οὐ θέλεις, κατανεύεις καὶ ἀνανεύεις, ὁρμᾷς πρᾶξαι τὴν ἁμαρτίαν, καὶ στρέφεσαι εἰς τὰ ὀπίσω· οὗτος δὲ ὁ λογισμὸς λέγεται πάλη, ἐπειδὴ παλαίεις τότε ὡς ὁ ἀθλητὴς εἰς τὴν παλαί-

(1) Δευτ. 4, 9. (2) Ῥωμ. 7, 23.

στραν· κἂν δὲ ἐξέλθῃς ἐκ τῆς πάλης νικητής, μένει ὅμως ἡ ψυχή σου ἐκνενευρισμένη, καθὼς τῶν ἀθλητῶν τὰ σώματα μετὰ τὰ σωματικὰ παλαίσματα· ἐὰν δὲ νικηθῇς καὶ ἀποφασίσῃς ποιῆσαι τὴν ἁμαρτίαν, τότε ἐξέρχεται ἡ πάλη, καὶ εἰσέρχεται ὁ λογισμὸς τῆς συγκαταθέσεως· ἡ δὲ συγκατάθεσίς ἐστιν ἁμαρτία τῆς καρδίας· διότι, « Πᾶς ὁ βλέπων γυναῖκα πρὸς τὸ ἐπιθυμῆ» σαι αὐτῆς, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ » καρδίᾳ αὐτοῦ» (1). Μετὰ δὲ τὴν συγκατάθεσιν σχεδὸν πάντοτε ἀκολουθεῖ καὶ ἡ σωματικὴ τῆς ἁμαρτίας πρᾶξις. Τούτων οὖν τῶν τεσσάρων λογισμῶν ἡ μὲν προσβολὴ ἀληθῶς ἐστιν ἄφευκτος, τοὺς δὲ λοιποὺς τρεῖς, ἤγουν τὸν συνηδυσμόν, τὴν πάλην, καὶ τὴν συγκατάθεσιν εὐκόλως φεύγεις διὰ τῆς προσοχῆς· διότι, ἐὰν προσέχῃς, ἡ προσβολή, ἡ μήτηρ τῶν ἄλλων τριῶν, οὐδὲ προχωρεῖ, οὐδὲ καρποφορεῖ, ἀλλὰ πίπτει ἀτελεσφόρητος καὶ ἄπρακτος. Ἡ προσβολή ἐςιν ἄφευκτος, πλὴν ἐστιν ἀναμάρτητος, ἐπειδὴ οὐκ ἔστιν ἔργον τῆς θελήσεως, καθὼς οὐκ ἔστι τῆς θελήσεώς σου ἡ προσβολή, ἡ γινομένη ἐν τοῖς ὀφθαλμοῖς σου ὑπὸ τοῦ πράγματος, τοῦ ἔμπροσθεν αὐτῶν κειμένου.

Τὰς τοιαύτας προσβολὰς ὁ ψαλμῳδὸς ὀνομάζει νήπια τῆς Βαβυλῶνος, ἔπειτα λέγει, ὅτι μακάριός ἐστιν ἐκεῖνος ὁ ἄνθρωπος, ὅστις διὰ προσοχῆς στερεᾶς, ὡς ἡ πέτρα, κατεδαφίζει καὶ ἐξουδενοῖ αὐτά· « Μακά» ριος, λέγει, ὃς κρατήσει, καὶ ἐδαφιεῖ τὰ » νήπιά σου πρὸς τὴν πέτραν » (2). Αἱ πρῶται προσβολαὶ τῆς ἁμαρτίας εἰσὶν ἀσθενεῖς, ὡς τὰ νεογέννητα νήπια· ποίαν δυσκολίαν δοκιμάζεις ἐμποδίσαι τὰ νήπια, τὰ κρούοντα τὴν θύραν τῆς οἰκίας σου, καὶ ζητοῦντα εἰσελθεῖν ἐν αὐτῇ; ἐὰν προσέχῃς, οὐδεμίαν. Ὁμοίως, ἐὰν προσέχῃς, μετὰ μεγάλης εὐκολίας ἀποδιώκεις τὰς προσβολὰς τῆς ἁμαρτίας, ὅταν προσβάλλωσιν εἰς τὸν νοῦν σου, καὶ ζητῶσι προχωρῆσαι εἰς τὰ ἐσώτερα τῆς ψυχῆς σου ἐνθυμήματα. Ἔρχεται εἰς τὸν νοῦν σου ἡ προσβολὴ τῆς σαρκικῆς ἁμαρτίας, ἀλλὰ σὺ στρέψαι αὐτὸν εὐθὺς εἰς τὸν Ἰωσήφ, καὶ συλλογίζου, ὅτι αὐτὸς εἰς αὐτὸ τὸ ἄνθος τῆς νεότητος αὐτοῦ κατηδάφισε τὰς πολλὰς καὶ πυκνὰς προσβολὰς τῆς ἀναισχύντου Αἰγυπτίας, καὶ ὅτι εὐθὺς « Καταλιπὼν τὰ ἱμάτια αὐ» τοῦ ἐν ταῖς χερσὶν αὐτῆς » (3), ἐνέκρωσε τὰς προσβολάς, καὶ ἔφυγε τὴν ἁμαρτίαν. Ἔρχεται εἰς τὸν νοῦν σου ἡ προσβολὴ τῆς ὑπερηφανείας, τοῦ πλούτου, ἢ τῆς δόξης, ἢ τῆς ἀξίας σου, προσήλωσον τὸν νοῦν σου εἰς τὸν Ἀβραάμ. Αὐτὸς καὶ πλούσιος σφόδρα, ὡς ἔχων κτήνη πολλά, καὶ ἀργύριον καὶ χρυσίον (4), καὶ ἔνδοξος, ὡς νικητὴς τεσσάρων βασιλέων (5), καὶ ἀξιωματικὸς ὑπὲρ πάντας, ὡς πρέσβυς πρὸς τὸν Θεὸν ὑπὲρ τῶν Σοδόμων (6)· καὶ ἀναλόγισαι ταῦτα τὰ λόγια τῆς ταπεινοφροσύνης αὐτοῦ· «Ἐγὼ δέ εἰμι γῆ καὶ σποδός» (7). Μελέτησον αὐτά, καὶ ςρέψαι τοὺς συλλογισμούς σου πρὸς σεαυτόν, καὶ μνημόνευσον, ὅτι καὶ σὺ γῆ εἶ καὶ σποδός. Ἔρχεται εἰς τὸν νοῦν σου ἡ προσβολὴ τῆς ἐκδικήσεως τοῦ ἐχθροῦ σου, σὺ δὲ ἀφιέρωσον εὐθὺς τὸν νοῦν σου εἰς τὸν Δαβίδ. Ποῖος ἐχθρὸς κατεδίωξεν οὐχὶ τὸν ἐχθρόν, ἀλλὰ τὸν εὐεργέτην αὐτοῦ, ὅσον ὁ Σαοὺλ τὸν Δαβίδ; ποῖος ἐχθρὸς ἔλαβε τόσην εὐκολίαν, ἵνα ἐκδικηθῇ τὸν ἐχθρὸν αὐτοῦ, ὅσην ὁ Δαβὶδ τὸν Σαούλ; ποῖος ἤκουσε τόσον προτρεπτικὰ λόγια πρὸς ἐκδίκησιν τοῦ ἐχθροῦ αὐτοῦ, ὅσα κατὰ τοῦ Σαοὺλ ὁ Δαβίδ, ὅταν ὁ Σαοὺλ εἰσῆλθε μόνος εἰς τὸ σπήλαιον, ὅπου ἦν ὁ Δαβὶδ καὶ οἱ μετ' αὐτοῦ (1)· καὶ πάλιν ὅτε εὗρεν αὐτὸν κοιμώμενον ἐν τῇ παρεμβολῇ τῇ ἐν Χειλᾶ (2); πόσας προσβολὰς ἐκδικήσεως ἔφερον εἰς τὸν νοῦν τοῦ Δαβὶδ οἱ διωγμοὶ τοῦ Σαούλ; πόσας ἡ εὐκολία τῆς ἐκδικήσεως; πόσας τῶν συστρατιωτῶν αὐτοῦ τὰ προτρεπτικὰ λόγια; ἀλλ' αἱ τοιαῦται προσβολαί, πεσοῦσαι ἐπὶ τὴν στερεὰν αὐτοῦ προσοχήν, κατηδαφίσθησαν, καὶ οὐδὲν ἴσχυσαν κατὰ τῆς πρᾳότητος αὐτοῦ· ὅθεν μετὰ παῤῥησίας ἔλεγε πρὸς τὸν Θεόν· « Μνήσθητι, » Κύριε, τοῦ Δαβίδ, καὶ πάσης τῆς πρᾳό» τητος αὐτοῦ» (3). Ἐάν, ὁσάκις προσβάλλῃ εἰς τὸν νοῦν σου ὁ λογισμὸς τῆς ἁμαρτίας, εὐθὺς μεταστρέφῃς αὐτὸν εἰς τὴν θεωρίαν τῶν παραδειγμάτων τῶν ἁγίων ἀνδρῶν, ἡ μὲν προσβολὴ τῆς ἁμαρτίας ἀφανίζεται, σὺ δὲ μένεις ἀδιάφθορος. Πλήρεις εἰσὶν αἱ Θεῖαι Γραφαί, πλήρεις αἱ ἐκκλησιαστικαὶ ἱστορίαι παραδειγμάτων, δυναμένων στερεῶσαι τὴν ψυχὴν ἡμῶν ἐπὶ τὴν ὑπὲρ τῆς σωτηρίας ἡμῶν προσοχήν, καὶ πληροφορῆσαι ἡμᾶς, ὅτι οὐδὲ ἀξία, οὐδὲ ἐπάγγελμα οὐδὲ τάξις, οὐδὲ κατάστασις ἡ ὁποιαδήποτε δύναται ἐμποδίσαι ἡμᾶς ἀπὸ τοῦ δρόμου τῆς ἁγιωσύνης· ἐπιβεβαιοῖ τοῦτο ἡ ἑξῆς εὐαγγελικὴ ἱστορία.

Ὅταν ὁ πρόδρομος Ἰωάννης ἐκήρυττε τῆς μετανοίας τὸ βάπτισμα εἰς τὰ περίχωρα τοῦ Ἰορδάνου (4), τότε ἐλθόντες πρὸς αὐτὸν λαὸς πολύς, (5), καὶ αὐτοὶ δὲ οἱ Ἱεροσολυμῖται, ἠρώτων αὐτὸν τὰ περὶ τῆς σωτηρίας, λέγοντες. « Τί οὖν ποιήσομεν; » (6) Μεταξὺ τούτου τοῦ πλήθους ἦσαν ἀναμφιβόλως καὶ πλούσιοι καὶ πένητες, καὶ ἀξιωματικοὶ καὶ ἰδιῶται, καὶ πάσης καταςάσεως ἄνθρωποι· ἐσημείωσε δὲ ὁ Εὐαγγελιστὴς ῥητῶς, ὅτι ἦλθον πρὸς αὐτὸν καὶ τελῶναι, καὶ στρατιῶται, ὁμοίως καὶ αὐτοὶ ἐρωτῶντες αὐτόν, καὶ λέγοντες· «Διδάσκαλε, τί ποιή» σομεν (7); Καὶ ὁποίαν μὲν ἁγιωσύνην καὶ χάριν, ὁποῖον δὲ ζῆλον καὶ θερμότητα ὑπὲρ τῆς ἀληθείας εἶχεν ὁ Ἰωάννης, γνωςόν ἐςιν ἐκ τῆς τοῦ Ἰησοῦ Χριστοῦ μαρτυρίας, ὅςις ἐμαρτύρησε, καὶ εἶπε περὶ αὐτοῦ. « Οὐκ » ἐγήγερται ἐν γεννητοῖς γυναικῶν μείζων » Ἰωάννου τοῦ βαπτιστοῦ » (8). Ἐὰν οὖν ὁ τοιοῦτος ἄνθρωπος ἐγνώριζεν, ὅτι τὰ ἐπαγγέλματα καὶ αἱ καταστάσεις τῶν ἀνθρώπων ἐμποδίζουσι τὸν ἁγιασμὸν τῆς ψυχῆς αὐτῶν, οὐκ ἔκρυπτε τὴν ἀλήθειαν, ἀλλ' ἔλεγε πρὸς τοὺς ἐρωτῶντας αὐτόν· ἐὰν θέλητε καθαρότητα καὶ ἁγιωσύνην, ἐγκαταλείψατε τὰ ἐπαγγέλματα καὶ τὴν κατάστασιν ὑμῶν, ἐξέλθετε ἐκ τοῦ κόσμου, ὑπάγετε εἰς τὴν ἔρημον· ἔλεγεν ἀναμφιβόλως πρὸς τοὺς τελώνας· ὦ τελῶναι, φύγετε ἀπὸ τοῦ τελωνίου, διότι ἐν ὅσῳ κάθησθε ἐν αὐτῷ, οὐκ ἔςιν ὑμῖν σωτηρία· ἔλεγεν ἀδιστάκτως πρὸς τοὺς στρατευομένους· ὦ στρατιῶται, ῥίψατε τὰ ὅπλα, διότι ἐν ὅσῳ βαστάζετε αὐτὰ εἰς τὰς χεῖρας ὑμῶν, μακρὰν ἀπέχετε ἀπὸ τῆς σωτηρίας. Οὐδὲν ὅμως τοιοῦτον ἐξεφώνησεν ὁ ἁγιώτατος τοῦ Θεοῦ ἄνθρωπος· ἀλλὰ πρῶτον μὲν ἐδίδαξεν ὅλον ἐκεῖνο τὸ περιεστὸς πλῆθος μάθημα κοινόν, ἤγουν τὸ μάθημα τῆς ἀγάπης καὶ τῆς ἐλεημοσύνης· « Ὁ ἔ» χων δύο χιτῶνας, εἶπε, μεταδότω τῷ μὴ » ἔχοντι· καὶ ὁ ἔχων βρώματα, ὁμοίως » ποιείτω» (9). Ἔπειτα στραφεὶς πρὸς τοὺς τελῶνας, ἔδωκε εἰς αὐτοὺς ἐντολὴν ἀνάλο-

(1) Ματθ. 5, 28. (2) Ψαλ. 136, 9. (3) Γεν. 39, 12. (4) Αὐτ. 13, 2. (5) Αὐτ. 13. (6) Αὐτ. 14, 9. (7) Αὐτ. 18, 27.



(1) Α'. Βασ. 24, 3. (2) Αὐτ. 26, 7. (3) Ψαλ. 131, 1. (4) Λουκ. 3, 3, (5) Μάρκ. 1, 6. (6) Λουκ. 3, 10. (7) Αὐτ. 13. (8) Ματθ. 11, 11. (9) Λουκ. 3, 11.

γον εἰς τὸ ἐπάγγελμα αὐτῶν, εἰπὼν πρὸς αὐτούς· « Μηδὲν πλέον παρὰ τὸ διατεταγ- » μένον ὑμῖν πράσσετε » (1)· ὁμοίως δὲ καὶ εἰς τοὺς στρατιώτας παρήγγειλε τὰ ἀναγκαῖα πρὸς τὴν ἑαυτῶν σωτηρίαν· « Μηδένα, εἶπε, διασείσητε, μηδὲ συκοφαντήσητε, καὶ ἀρκεῖσθε τοῖς ὀψωνίοις ὑμῶν » (2). Διὰ ταύτης δὲ τῆς διδασκαλίας ἐπληροφόρησεν ὁ παμμακάριστος πᾶσαν ψυχήν, ὅτι εἰς ὁποίαν κατάστασιν εὑρίσκεται ὁ ἄνθρωπος, δύναται, ἐὰν θέλῃ φυλάξαι τὴν ψυχὴν αὐτοῦ ἀμόλυντον ἀπὸ τῆς ἁμαρτίας, καὶ ἁγιάσαι αὐτὴν διὰ τῆς τῶν ἀρετῶν ἐργασίας.

Ματαίως οὖν, ἀγαπητοί μου ἀδελφοί, προφασίζεται ἐκεῖνος μὲν τὴν νεότητα, οὗτος δέ, τὸ γῆρας· ἄλλος μέν, τὸν πλοῦτον, ἕτερος δέ, τὴν πτωχείαν· ἄλλος, τὸ ἀξίωμα, καὶ ἄλλος τὴν ἰδιωτικὴν κατάστασιν· ματαίως προβάλλει τὰς δυσκολίας, ὅσας συναντῶσιν οἱ σπουδάζοντες ἀναβῆναι τῆς ἁγιότητος τὴν θείαν κλίμακα· ὅσας δυσκολίας νοήσῃς, πᾶσαί εἰσι μικραί, εἰσὶν εὐτελεῖς, εἰσὶ πρόσκαιροι, ἡ δὲ περιμένουσα τοὺς ἁγίους ἀνταπόδοσίς ἐστι μεγάλη, ἀτίμητος, αἰώνιος· ἡ ἀμοιβὴ ἀσυγκρίτως ὑπερβαίνει τοὺς ὑπὲρ τῶν δυσκολιῶν κόπους. Ἐὰν ἐγὼ εἶχον δύναμιν, ἵνα ἀναβιβάσω ὑμᾶς εἰς τὸν οὐρανόν, καὶ δείξω ὑμῖν ὅσα ἀγαθὰ περιμένουσιν ἐκεῖ τοὺς ἁγίους, ἴσως ἔπαυεν ὁ καθεὶς τὰς προφάσεις, καὶ ἐφρόντιζεν ἵνα καθαρίσῃ ἑαυτὸν ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, ἴσως ἐκοπίαζεν ὁ καθεὶς προθύμως, ἵνα ἐπιτελέσῃ ἁγιωσύνην ἐν φόβῳ Θεοῦ, ὅπως ἂν ἀπολαύσῃ τῶν αἰωνίων ἐκείνων ἀγαθῶν. Ἡ κατοικία τῆς ἐπουρανίου πόλεως Ἱερουσαλὴμ ἕτοιμός ἐστιν ὑπὲρ τῶν ἁγίων· εἰς τὴν πόλιν ἐκείνην οὐδὲ δάκρυον βλέπεις, οὐδὲ στεναγμὸν ἀκούεις, οὐδὲ αἰσθάνεσαι, τί ἐστιν ἡ λύπη· ἐκεῖ χαρά, ἀλλ' οὐχ ὡς ἡ χαρὰ τοῦ κόσμου τούτου, ἥτις πολλάκις μεταβάλλεται εἰς λύπην, ἀλλὰ χαρά, « Ἣν οὐδεὶς » αἴρει (3)· διότι ἐκείνη ἐστὶν ἡ χαρὰ τῶν δούλων τοῦ Κυρίου. Ἐκεῖ φῶς· ἀλλ' οὐχ ὡς τοῦτο τὸ φῶς, ὃ διαδέχεται τὸ σκότος, ἀλλὰ φῶς ἀνέσπερον καὶ ἄσβεστον (4). διότι « Νὺξ οὐκ ἔσται ἐκεῖ, καὶ χρείαν οὐκ ἔχουσι » λύχνου, καὶ φωτὸς ἡλίου, ὅτι Κύριος ὁ » Θεὸς φωτίζει αὐτούς » (5). ἐκεῖ δόξα, ἀλλ' οὐχ ὡς ἡ ἐγκόσμιος δόξα, ἣν φθονοῦσιν οἱ φθονεροί, καὶ ἐπιβουλεύουσιν οἱ ἐπίβουλοι, καὶ μαραίνει ὁ καιρός, καὶ ἁρπάζει ὁ θάνατος· ἀλλὰ δόξα ἀνεπίφθονος, ἀνεπιβούλευτος, ἀμάραντος, ἀναφαίρετος, δόξα βασιλικὴ καὶ αἰώνιος· διότι « Βασιλεύουσιν οἱ ἅγιοι » εἰς τοὺς αἰῶνας τῶν αἰώνων ». Ἀδελφοί, τὰ ἀγαθὰ τῆς πόλεως ἐκείνης « Ὀφθαλμὸς » οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρ- » δίαν ἀνθρώπου οὐκ ἀνέβη « (6). Διὰ τοῦτο γλῶσσα ἀνθρώπου οὐ δύναται περιγράψαι αὐτά· ἐὰν δὲ ὁ Σωτὴρ τοῦ κόσμου, ὁ Ἰησοῦς, ὁ δι' ἡμᾶς τοὺς ἀνθρώπους, καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν σταυρὸν ὑπομείνας καὶ θάνατον, καταξιώσῃ ἡμᾶς διὰ τὸ ἄπειρον αὐτοῦ ἔλεος τῆς τούτων ἀπολαύσεως, τότε ἐκβοήσομεν τὰ λόγια τοῦ προφητάνακτος· « Καθάπερ ἠκούσαμεν, οὕτω καὶ εἴδομεν » ἐν πόλει Κυρίου τῶν δυνάμεων, ἐν πόλει » τοῦ Θεοῦ ἡμῶν, ὁ Θεὸς ἐθεμελίωσεν αὐ- » τὴν εἰς τὸν αἰῶνα » (7).

(1) Λουκ. 13. (2) Αὐτ. 14. (3) Ἰωάν. 16, 22. (4) Ματθ. 25, 21. (5) Ἀποκ. 22, 5. (6) Α'. Κορ. 2, 9. (7) Ψαλ. 47, 8.

ΤΕΛΟΣ ΤΟΥ ΠΡΩΤΟΥ ΤΟΜΟΥ.

# ΠΙΝΑΞ

## ΤΩΝ ΕΜΠΕΡΙΕΧΟΜΕΝΩΝ.

Σελὶς

ΕΡΜΗΝΕΙΑ εἰς τὰς πράξεις τῶν Ἀποστόλων, τὰς ἀναγινωσκομένας τῇ Κυριακῇ τοῦ Πάσχα. . . . . 1
Ὁμιλία περὶ τῆς Χριστοῦ ἀναστάσεως. . . . . 11
Ἑρμηνεία εἰς τὰς πράξεις τῶν Ἀποστόλων, τὰς ἀναγινωσκομένας τῇ Κυριακῇ τοῦ Ἀντιπάσχα. . . . . 17
Ὁμιλία περὶ θείου καὶ δαιμονικοῦ καὶ ἀδιακρίτου ζήλου. . . . . 21
Ἑρμηνεία εἰς τὰς πράξεις τῶν Ἀποστόλων. τὰς ἀναγινωσκομένας τῇ Κυριακῇ τῶν Μυροφόρων. . . . . 27
Ὁμιλία περὶ ἀνεξικακίας. . . . . 33
Ἑρμηνεία εἰς τὰς πράξεις τῶν Ἀποστόλων, τὰς ἀναγινωσκομένας τῇ Κυριακῇ τοῦ Παραλύτου. . . . . 39
Ὁμιλία περὶ τοῦ, ὅτι μεγάλη τῆς ἐλεημοσύνης ἡ δύναμις. . . . . 44
Ἑρμηνεία εἰς τὰς πράξεις τῶν Ἀποστόλων, τὰς ἀναγινωσκομένας τῇ Κυριακῇ τῆς Σαμαρείτιδος. . . . . 48
Ὁμιλία περὶ τοῦ, τί δηλοῖ τὸ ὄνομα Χριστιανός. . . . . 56
Ἑρμηνεία εἰς τὰς πράξεις τῶν Ἀποστόλων, τὰς ἀναγινωσκομένας τῇ Κυριακῇ τοῦ Τυφλοῦ. . . . . 61
Ὁμιλία περὶ τῶν ἀναγόντων εἰς τὰ κριτήρια, καὶ περὶ τῶν κριτῶν. . . . . 68
Ἑρμηνεία εἰς τὰς πράξεις τῶν Ἀποστόλων, τὰς ἀναγνιωσκομένας τῇ Κυριακῇ τῶν Πατέρων τῆς Α'. Συνόδου. . . . . 73
Ὁμιλία περὶ τοῦ τῶν ἐκκλησιαστικῶν προεστώτων χρέους. . . . . 80
Ἑρμηνεία εἰς τὰς πράξεις τῶν Ἀποστόλων, τὰς ἀναγινωσκομένας τῇ Κυριακῇ τῆς Πεντηκοστῆς. . . . . 85
Ὁμιλία περὶ πίστεως. . . . . 91
Ἑρμηνεία εἰς τὴν πρὸς Ἑβραίους ἐπιστολὴν τοῦ Παύλου, τὴν ἀναγινωσκομένην τῇ Α'. Κυριακῇ. . . . . 96
Ὁμιλία περὶ τοῦ, ὅτι ἕκαστος ἔχει προκείμενον ἴδιον ἀγῶνα, καὶ περὶ τοῦ, πῶς δύναται τοῦτον διανύσαι ἀξιοπρεπῶς. . . . . 103
Ἑρμηνεία εἰς τὴν πρὸς Ῥωμαίους ἐπιστολὴν τοῦ Παύλου, τὴν ἀναγινωσκομένην τῇ Β'. Κυριακῇ. . . . . 108
Ὁμιλία περὶ τοῦ, ὅτι τα λόγια τοῦ Παύλου στηρίζουσι τοὺς ἐναρέτους καὶ ποιοῦσιν ἀναπολογήτους τοὺς ἁμαρτωλούς. . . . . 112
Ἑρμηνεία εἰς τὴν πρὸς Ῥωμαίους ἐπιστολὴν τοῦ Παύλου, τὴν ἀναγινωσκομένην τῇ Γ'. Κυριακῇ. . . . . 118

Σελίς
Ὁμιλία περὶ τοῦ, ὅτι ἡ πίστις χωρὶς τῶν ἀγαθῶν ἔργων ἐστὶν ἀνωφελής. . . . . 123
Ἑρμηνεία εἰς τὴν πρὸς Ῥωμαίους ἐπιστολὴν τοῦ Παύλου, τὴν ἀναγινωσκομένην τῇ Δ΄. Κυριακῇ. . . . . 129
Ὁμιλία περὶ τοῦ, ὅτι καὶ ὁ ἁγιασμὸς τῶν δικαίων, καὶ ἡ αἰσχύνη τῶν ἁμαρτωλῶν ὁρατά εἰσι καί αἰσθητά. . . . . 133
Ἑρμηνεία εἰς τὴν πρὸς Ῥωμαίους ἐπιστολὴν τοῦ Παύλου, τὴν ἀναγινωσκομένην τῇ Ε΄. Κυριακῇ. . . . . 138
Ὁμιλία περὶ τοῦ, πόση ἡ δύναμις τῆς εἰς Χριστὸν πίστεως, καὶ πόσον εὔλογος ἡ κτῆσις αὐτῆς, ἐξ οὗ καὶ ἀναπολόγητος γίνεται ὁ τῶν θείων ἐντολῶν παραβάτης. . . . 143
Ἑρμηνεία εἰς τὴν πρὸς Ῥωμαίους ἐπιστολὴν τοῦ Παύλου, τὴν ἀναγινωσκομένην τῇ ΣΤ΄. Κυριακῇ. . . . . 148
Ὁμιλία περὶ τῆς κατὰ φύσιν, καὶ τῆς κατὰ χάριν ἀρετῆς. . . . . 154
Ἑρμηνεία εἰς τὴν πρὸς Ῥωμαίους ἐπιστολὴν τοῦ Παύλου, τὴν ἀναγινωσκομένην τῇ Ζ΄. Κυριακῇ. . . . . 159
Ὁμιλία περὶ ὁμονοίας. . . . . 164
Ἑρμηνεία εἰς τὴν Α΄. πρὸς Κορινθίους ἐπιστολὴν του Παύλου, τὴν ἀναγινωσκομένην τῇ Η΄. Κυριακῇ. . . . . 169
Ὁμιλία περὶ τοῦ, τίνα τὰ πείθοντα, ὅτι ἡ εἰς Χριστὸν πίστις ἐστὶν ἀληθὴς καὶ θεοπαράδοτος. . . . . 174
Ἑρμηνεία εἰς τὴν Α΄. πρὸς Ῥωμαίους ἐπιστολὴν τοῦ Παύλου, τὴν ἀναγινωσκομένην τῇ Θ΄. Κυριακῇ. . . . . 180
Ὁμιλία περὶ τοῦ πλασθέντος καθαρτηρίου πυρός. . . . . 185
Ἑρμηνεία εἰς τὴν Α΄. πρὸς Κορινθίους ἐπιστολὴν τοῦ Παύλου, τὴν ἀναγινωσκομένην τῇ Ι΄. Κυριακῇ. . . . . 192
Ὁμιλία εἰς τὸ ῥητόν, Μιμηταί μου γίνεσθε. . . . . 196
Ἑρμηνεία εἰς τὴν Α΄. πρὸς Κορινθίους ἐπιστολὴν τοῦ Παύλου, τὴν ἀναγινωσκομένην τῇ ΙΑ΄. Κυριακῇ. . . . . 201
Ὁμιλία περὶ τοῦ κατὰ Θεὸν ζήλου. . . . . 208
Ἑρμηνεία εἰς τὴν Α΄. πρὸς Κορινθίους ἐπιστολὴν τοῦ Παύλου, τὴν ἀναγινωσκομένην τῇ ΙΒ΄. Κυριακῇ. . . . . 214
Ὁμιλία κατὰ τῶν ἐν ταῖς καθ' ἡμᾶς ἡμέραις ἀπίστων. . . . . 219
Ἑρμηνεία εἰς τὴν Α΄. πρὸς Κορινθίους ἐπιστολὴν τοῦ Παύλου, τὴν ἀναγινωσκομένην τῇ ΙΓ΄. Κυριακῇ. . . . . 228
Ὁμιλία περὶ τῆς εὐλαβείας καὶ περιποιήσεως, τῆς χρεωστουμένης τοῖς ἐναρέτοις ἀνθρώποις. . . . . 234
Ἑρμηνεία εἰς τὴν Β΄. πρὸς Κορινθίους ἐπιστολὴν τον Παύλου, τὴν ἀναγινωσκομένην τῇ ΙΔ΄. Κυριακῇ. . . . . 240
Ὁμιλία περὶ κατανύξεως. . . . . 244
Ἑρμηνεία εἰς τὴν Β΄. πρὸς Κορινθίους ἐπιστολὴν τοῦ Παύλου, τὴν ἀναγινωσκομένην τῇ ΙΕ΄. Κυριακῇ. . . . . 250
Ὁμιλία περὶ τοῦ, μὴ φοβεῖσθαι τὸν ἀγῶνα τῆς ἀρετῆς. . . . . 255
Ἑρμηνεία εἰς τὴν Β΄. πρὸς Κορινθίους ἐπιστολὴν τοῦ Παύλου, τὴν ἀναγινωσκομένην τῇ ΙΣΤ΄. Κυριακῇ. . . . . 261



Σελίς
Ὁμιλία περὶ τοῦ, ὅτι καὶ αἱ εὐτυχίαι, καὶ αἱ δυστυχίαι γίνονται ὄργανα ἀρετῆς. . . 266
Ἑρμηνεία εἰς τὴν Β΄. πρὸς Κορινθίους ἐπιστολὴν τοῦ Παύλου, τὴν ἀναγινωσκομένην τῇ ΙΖ΄. Κυριακῇ. . . . . 272
Ὁμιλία περὶ τοῦ, ὅτι πάντες χρεωστοῦμεν γενέσθαι ἅγιοι, καὶ περὶ τοῦ, πῶς τοιοῦτοι γινόμεθα. . . . . 275

[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]

[illegible]
[illegible]
[illegible]
[illegible]

ΝΙΚΗΦΟΡΟΥ ΘΕΟΤΟΚΟΥ

# ΚΥΡΙΑΚΟΔΡΟΜΙΟΝ

ΕΙΣ ΤΑΣ ΠΡΑΞΕΙΣ ΤΩΝ ΑΠΟΣΤΟΛΩΝ.

# ΝΙΚΗΦΟΡΟΥ ΘΕΟΤΟΚΟΥ

ΤΟΥ ΑΣΤΡΑΧΑΝΙΟΥ ΚΑΙ ΣΤΑΥΡΟΥΠΟΛΕΩΣ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ

# ΚΥΡΙΑΚΟΔΡΟΜΙΟΝ,

ΗΤΟΙ

Ἑρμηνεία καὶ μετ' αὐτὴν ἠθικὴ ὁμιλία εἰς τὰς τῶν Ἀποστόλων Πράξεις, τὰς ἐν ταῖς ἁγίαις τῶν ὀρθοδόξων χριστιανῶν ἐκκλησίαις ἀναγινωσκομένας κατὰ τὰς ἀπὸ τοῦ Πάσχα μέχρι τῆς Πεντηκοστῆς κυριακάς, καὶ εἰς τὰς τοῦ Ἀποστόλου Παύλου ἐπιστολάς, τὰς ἀναγινωσκομένας κατὰ τὰς λοιπὰς κυριακὰς τοῦ ὅλου ἐνιαυτοῦ.

**ΕΚΔΟΣΙΣ ΤΡΙΤΗ,**

Ὑπὸ τῶν τοῦ ἀοιδίμου ΝΙΚΟΛΑΟΥ Π. ΖΩΣΙΜΑ εὐγενεστάτων καὶ εὐσεβεστάτων γενικῶν ἐπιτρόπων, τῶν ἐν Μόσχᾳ, κυρίων

**ΑΝΤΩΝΙΟΥ Π. ΚΟΜΙΖΟΠΟΥΛΟΥ, ΜΙΧΑΗΛ Ι. ΜΠΟΣΤΑΝΤΖΟΓΛΟΥ**
Καὶ **ΤΡΙΑΝΤΑΦΥΛΛΟΥ Δ. ΚΡΙΤΖΟΥ,**


Ἑλλήνων πολιτῶν Νίζνης, ἵνα διανεμηθῇ δωρεὰν εἰς τὰς ἁγίας τῶν ὀρθοδόξων ἐκκλησίας, κατ' ἐνδιάθηκον αὐτοῦ ἐντολήν.

ΤΟΜΟΣ ΔΕΥΤΕΡΟΣ.



**ΕΝ ΑΘΗΝΑΙΣ,**
ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ ΣΤΥΛΙΑΝΟΥ Κ. ΒΛΑΣΤΟΥ.
ΚΑΤΑ ΤΗΝ ΟΔΟΝ ΕΡΜΟΥ, ΑΡΙΘ. 212.

**1854**



# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΗΝ ΔΕΥΤΕΡΑΝ ΠΡΟΣ

## ΚΟΡΙΝΘΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

### ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗι ΙΗʹ. ΚΥΡΙΑΚΗι.

ΟΣΟΙ τῶν ἐν τῇ Ἰουδαίᾳ κατοικούντων Ἑβραίων ἐπίστευσαν εἰς τὸν Ἰησοῦν Χριστόν, πολλὰ καὶ ἀνείκαστα ὑπέμειναν παθήματα ὑπὸ τῶν μὴ πιστευσάντων ὁμογενῶν αὐτῶν· « Ἀναμιμνήσκεσθε δέ, ἔγραφε » πρὸς αὐτοὺς ὁ θεῖος Παῦλος, τὰς πρότε» ρον ἡμέρας, ἐν αἷς φωτισθέντες, πολλὴν » ἄθλησιν ὑπεμείνατε παθημάτων » (1). Μεταξὺ δὲ τῶν ἄλλων κακοποιήσεων καὶ τὰ ὑπάρχοντα αὐτῶν ἁρπάσαντες οἱ ἄπιστοι, κατέστησαν αὐτοὺς πένητας· « Καὶ γάρ, » λέγει ὁ αὐτὸς Παῦλος, τοῖς δεσμοῖς μου » συνεπαθήσατε, καὶ τὴν ἁρπαγὴν τῶν ὑ» παρχόντων ὑμῶν μετὰ χαρᾶς προσεδέξα» σθε » (2). Ἐκ τούτου καὶ οἱ ἐν Ἀντιοχείᾳ μαθηταί, καὶ οἱ ἐν Μακεδονίᾳ καὶ Ἀχαΐᾳ (3), ἔστελλον βοηθήματα πρὸς τοὺς κατοικοῦντας τὴν Ἰουδαίαν πτωχούς (4). Ἐφρόντιζε δὲ περὶ τῶν τοιούτων πτωχῶν ἐξόχως ὁ Παῦλος, παραγγελίαν λαβὼν περὶ τούτου ὑπὸ τῶν Ἀποστόλων Ἰακώβου καὶ Πέτρου καὶ Ἰωάννου· διὸ ἔγραφε περὶ ταύτης τῆς ἐλεημοσύνης καὶ πρὸς τοὺς Κορινθίους (5)· καὶ διὰ μὲν τῆς πρώτης πρὸς αὐτοὺς ἐπιστολῆς αὐτοῦ διέταξε τὸν τρόπον τῆς συνάξεως τῆς πρὸς τοὺς ἐν Ἱεροσολύμοις πτωχοὺς πεμφθησομένης ἐλεημοσύνης· « Περὶ » δὲ τῆς λογίας, εἶπε, τῆς εἰς τοὺς ἁγίους, » ὥσπερ διέταξα ταῖς ἐκκλησίαις τῆς Γα» λατίας, οὕτω καὶ ὑμεῖς ποιήσατε. Κατὰ » μίαν σαββάτων ἕκαστος ὑμῶν παρ' ἑαυ» τῷ τιθέτω, θησαυρίζων ὅ,τι ἂν εὐοδῶται, » ἵνα μή, ὅταν ἔλθω, τότε λογίαι γίνων» ται » (6). Διὰ δὲ τῆς δευτέρας πρὸς τοὺς αὐτοὺς ἐπιστολῆς αὐτοῦ ἐδίδαξε τοὺς κανόνας τῆς ἐλεημοσύνης, καὶ ἐφανέρωσε, ποίους μισθοὺς λαμβάνουσιν οἱ ἐλεήμονες· τοῦτο δὲ περιέχει τὸ σήμερον ἀναγνωσθὲν τῆς ἐπιστολῆς μέρος· ὅθεν ὅστις προσεκτικῶς ἀκούσῃ τὴν τούτου ἑρμηνείαν, ἐκεῖνος μετ' ἀκριβείας μανθάνει, ποία ἐστὶν ἡ πρὸς τὸν Θεὸν εὐπρόσδεκτος ἐλεημοσύνη.

(1) Ἑβρ. 10, 32. (2) Αὐτ. 34. (3) Πράξ. 11, 29. (4) Ῥωμ. 20, 15. (5) Γαλ. 2, 9, 10.
(6) Αʹ. Κορ. 15, 1, 2.

*Ἀδελφοί, ὁ σπείρων φειδομένως, φειδομένως καὶ θερίσει· καὶ ὁ σπείρων ἐπ' εὐλογίαις, ἐπ' εὐλογίαις καὶ θερίσει* (1).

Τοῦ σπόρου καὶ τῆς ἐλεημοσύνης τὰ ἰδιώματα πολλὴν ἔχουσι τὴν ὁμοιότητα· καθὼς σπείρεις τὸν σπόρον εἰς τὴν γῆν, οὕτω βάλλεις ἔλεος εἰς τὰς χεῖρας τοῦ πτωχοῦ· καὶ καθὼς σπείρεις κόκκον ἕνα, καὶ θερίζεις πολλούς, οὕτως ἓν δηνάριον δίδως εἰς τὸν πτωχόν, καὶ λαμβάνεις ἑκατόν· ὁ σπόρος, ἐὰν μείνῃ ἄσπαρτος, οὐδένα φέρει καρπόν, ἐὰν δὲ σπαρθῇ εἰς τὴν γῆν, ποιεῖ καρπὸν πολυπλάσιον· ὁ πλοῦτος, ἐὰν μείνῃ ἀμετάδοτος, γίνεται ἄκαρπος, ἐὰν δὲ μεταδοθῇ τοῖς πτωχοῖς, καρποφορεῖ καρπὸν ἀπειροπλάσιον· διότι δίδομεν τῷ πτωχῷ χαλκόν, καὶ λαμβάνομεν βασιλείαν οὐρανῶν. Ἐπειδὴ οὖν τόσην ὁμοιότητα ἔχουσι τοῦ σπόρου καὶ τῆς ἐλεημοσύνης τὰ ἰδιώματα, διὰ τοῦτο ὁ θεῖος Ἀπόστολος, ἵνα πείσῃ πάντας πρὸς πλουσιοπάροχον ἐλεημοσύνην, ἐλάλησε μεταφορικῶς, εἰπὼν « Ὁ σπείρων », ἀντὶ τοῦ, ὁ ἐλεῶν· καὶ τὸ μὲν « Φειδομένως » σημαίνει τὸ ὀλίγον· τὸ δὲ « Ἐπ' εὐλογίαις », τὸ πολύ· ὅστις, λέγει, σπείρει ὀλίγον, θερίζει ὀλίγον· ὅστις δὲ σπείρει πολύ, ἐκεῖνος θερίζει πολύ, ἤγουν, ὅστις ἐλεεῖ ὀλίγον, λαμβάνει μισθὸν ὀλίγον· ὅστις δὲ ἐλεεῖ πλουσιοπαρόχως, ἐκεῖνος λαμβάνει πλουσιοπάροχον μισθαποδοσίαν. Ἵνα δὲ μηδεὶς νομίσῃ, ὅτι ὁ Θεὸς ἐπιβλέπει εἰς μόνην τὴν ποσότητα τῆς ἐλεημοσύνης, οὐχὶ δὲ καὶ εἰς τὴν ψυχικὴν διάθεσιν τοῦ ἐλεοῦντος, διορίζει τοὺς κανόνας τῆς ἐλεημοσύνης τῆς εἰς τὸν Θεὸν εὐπροσδέκτου, λέγων·

*Ἕκαστος καθὼς προαιρεῖται τῇ καρδίᾳ· μὴ ἐκ λύπης, ἢ ἐξ ἀνάγκης. ἱλαρὸν γὰρ δότην ἀγαπᾷ ὁ Θεός* (2).

Οἱ ὀλιγόπιστοι καὶ οἱ φιλάργυροι λυποῦνται, ὅταν ἐλεῶσι τοὺς πτωχούς· οἱ μὲν ὀλιγόπιστοι, ἐπειδὴ φοβοῦνται μὴ καταντήσωσιν εἰς τὰς ἀνάγκας τῆς πτωχείας· οἱ δὲ φυλάργυροι, ἐπειδὴ βλέπουσιν, ὅτι διὰ τῆς δόσεως ἐλαττοῦται τὸ ἠγαπημένον αὐτοῖς ἀργύριον· οἱ αἰσχυντηλοὶ δὲ καὶ οἱ δοῦλοι ἐξ ἀνάγκης ἐλεοῦσιν· οἱ μὲν αἰσχυντηλοί, ἐντρεπόμενοι τοὺς ζητοῦντας τὴν ἐλεημοσύνην, καὶ ὑπὸ τῆς ἐντροπῆς ἀναγκαζόμενοι· οἱ δὲ δοῦλοι, ὑπὸ τῆς ἐξουσίας τῶν κυρίων αὐτῶν βιαζόμενοι. Βλέπε δέ, ποίους κανόνας διορίζει περὶ τῆς ἐλεημοσύνης, καὶ περὶ τῆς διδομένης ποσότητος· μὴ ἐλεῇς, λέγει, λυπούμενος, ἢ ἀναγκαζόμενος, ἀλλὰ δός, ὅσον προαιρεῖται ἡ καρδία σου· διότι ἐκεῖνον τὸν ἐλεήμονα ἀγαπᾷ ὁ Θεός, ὅστις μετὰ εὐθυμίας καὶ χαρᾶς δίδωσι τὴν ἐλεημοσύνην.

*Δυνατὸς δὲ ὁ Θεὸς πᾶσαν χάριν περισσεῦσαι εἰς ὑμᾶς· ἵνα ἐν παντὶ πάντοτε πᾶσαν αὐτάρκειαν ἔχοντες περισσεύητε εἰς πᾶν ἔργον ἀγαθόν* (3).

Ἰδοὺ τὰ ὑπὲρ τῆςἐ λεημοσύνης ἀνταποδόματα τοῦ Θεοῦ πᾶσα χάρις, ἤγουν πᾶν χάρισμα θεῖον, καὶ σωματικὸν καὶ πνευματικόν· καὶ σωματικὸν μέν ἐστιν ἡ αὐτάρκεια· πνευματικὸν δέ, τὸ περίσσευμα καὶ ὁ πολυπλασιασμὸς τῶν καλῶν ἔργων. Μὴ διστάζητε, λέγει, ὦ ἐλεήμονες, ὅσοι πλουσίως ἐλεεῖτε τοὺς πτωχούς, μὴ δὲ φοβεῖσθε πτωχείαν· διότι ὁ Θεὸς παντοδύναμος ὤν,

(1) Β'. Κορ. 9, 6. (2) Αὐτ. 9, 7. (3) Αὐτ. 9, 8.



δύναται δοῦναι εἰς ὑμᾶς πάντα τὰ χαρίσματα ἐκ περισσοῦ· ἵνα ἔχοντες «Ἐν παντί », ἤγουν εἰς πᾶσαν ὑπόθεσιν καὶ περίστασιν, πάντοτε πάντα, ὅσα εἰσὶν ἀρκετὰ πρὸς τὰς χρείας ὑμῶν, πολυπλασιάζητε πάσας τὰς ἀρετὰς ὑμῶν. Ἐκ τούτων δὲ τῶν ἀποστολικῶν λόγων· « Ἵνα ἐν παντὶ πάντοτε πᾶσαν αὐτάρκειαν ἔχοντες, περισσεύητε εἰς πᾶν ἔργον ἀγαθόν », φανερόν ἐστιν, ὅτι ὁ Θεὸς διὰ τοῦτο δίδωσιν ἡμῖν ἐκ περισσοῦ τὰ ἐπίγεια ἀγαθά, ἵνα δι' αὐτῶν πολυπλασιάζωμεν τὰ καλὰ ἡμῶν ἔργα· ὅσον οὖν περισσότερα ἀγαθὰ ἔχεις, τόσον περισσότερον χρεωστεῖς ποιῆσαι καὶ ἔργα ἀγαθὰ περισσότερα· ἐπιβεβαιοῖ δὲ τὸν λόγον αὐτοῦ ὁ θεῖος Ἀπόστολος διὰ τῆς Θείας Γραφῆς, λέγων·

*Καθὼς γέγραπται· ἐσκόρπισεν, ἔδωκε τοῖς πένησιν· ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα* (1).

Ὁ λόγος οὗτος ἐγράφη ἐν τοῖς τοῦ προφητάνακτος Δαβὶδ ψαλμοῖς· καὶ τὸ μὲν « Ἐσκόρπισε » (2), σημαίνει τὸ μετέδωκε πλουσιοπαρόχως εἰς πολλούς· δικαιοσύνην δὲ ὁ ψαλμῳδὸς ὠνόμασε τὴν ἀρετήν, ἢ καὶ αὐτὴν τὴν ἐλεημοσύνην· καθότι δικαιοσύνην ποιεῖ, ὅστις ἔχων μεταδίδωσι τῷ μὴ ἔχοντι· οὐκ ἐκλείπει δὲ ἡ ἐλεημοσύνη, ἀλλὰ μένει καὶ εἰς τὸν παρόντα καὶ εἰς τὸν μέλλοντα αἰῶνα· εἰς μὲν τὸν παρόντα, διὰ τῆς ἀλληλοδιαδόχου φήμης καὶ τῆς ἐγγράφου ἱστορίας· καθὼς μένει ἕως τῆς σήμερον ἡ πανένδοξος φήμη τῆς φιλοξενίας τοῦ Ἀβραάμ (3), καὶ τῶν πολλῶν ἐλεημοσυνῶν τοῦ Κορνηλίου (4), καὶ τοῦ πρὸς τὰς χήρας ἐλέους τῆς Ταβιθά (5)· εἰς δὲ τὸν μέλλοντα αἰῶνα μένει, ἐπειδὴ οἱ ἐλεήμονες ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως τίθενται εἰς τὰ δεξιὰ τοῦ κριτοῦ, καὶ ἀκούουσι τὴν μακαρίζουσαν αὐτοὺς φωνήν, καὶ κληρονόμοι γίνονται τῆς αἰωνίου δόξης τοῦ Θεοῦ. Τὰ δὲ ἐξῆς ἀποσολικὰ λόγια εὐχετικὰ καὶ παραινετικά εἰσιν.

*Ὁ δὲ ἐπιχορηγῶν σπέρμα τῷ σπείροντι, καὶ ἄρτον εἰς βρῶσιν χορηγήσαι, καὶ πλυθύναι τὸν σπόρον ὑμῶν, καὶ αὐξήσαι τὰ γεννήματα τῆς δικαιοσύνης ὑμῶν* (6).

Καθὼς ἐξ ἀρχῆς μεταφορικῶς ἐλάλησεν ὁ Ἀπόστολος περὶ ἐλεημοσύνης, οὕτω διὰ μεταφορᾶς ἐξέθετο καὶ τὰ τελευταῖα περὶ ἐλεημοσύνης λόγια, ἤγουν τὴν πρὸς ἐλεήμονας εὐχήν. Καὶ τὸ μὲν σπέρμα καὶ ὁ σπόρος σημαίνουσι τὰ ὑπὸ τοῦ Θεοῦ διδόμενα ἡμῖν ἀγαθά, τὸ χρυσίον, τὸ ἀργύριον, τὰ ἐνδύματα, τὰς τροφάς, καὶ ὅσα ἄλλα δίδομεν εἰς τοὺς πτωχούς· ὁ δὲ σπείρων σημαίνει τὸν ἐλεοῦντα· τὰ δὲ γεννήματα τῆς δικαιοσύνης, τοὺς καρπούς, ἤγουν τὴν ὠφέλειαν, τὴν προξενουμένην ὑπὸ τῆς ἐλεημοσύνης. Διὰ τούτων δὲ τῶν μεταφορικῶν λόγων εὔχεται ὁ θεόληπτος Παῦλος ἐπ' ὀνόματι τῶν Κορινθίων καὶ πάντας τοὺς ἄλλους ἐλεήμονας, λέγων « ὁ Θεὸς ὁ ἐπιχορηγῶν σπέρμα τῷ σπείροντι », τουτέστιν, ὁ Θεός, ὅστις δίδωσι τὰ ἀγαθὰ αὐτοῦ εἰς πάντα ἄνθρωπον ἐλεήμονα, αὐτὸς δώσοι εἰς ὑμᾶς. «Καὶ ἄρτον εἰς βρῶσιν» ἤγουν, πάντα τὰ πρὸς τροφὴν ἐπιτήδεια, καὶ πληθύνοι τὰ ἀγαθὰ ὑ-

(1) Β'. Κορ. 9, 9. (2) Ψαλ. 111. (3) Γεν. 18. (4) Πράξ. 10, 2. (5) Αὐτ. 9, 39.
(6) Β'. Κορ. 9, 10.

μῶν, καὶ αὐξήσοι τὰς τῆς ἐλεημοσύνης ὑμῶν ἐνθέους καρποφορίας.

*Ἐν παντὶ πλουτιζόμενοι εἰς πᾶσαν ἁπλότητα, ἥτις κατεργάζεται δι' ἡμῶν εὐχαριστίαν τῷ Θεῷ* (1).

Ὅστις οὐδὲ περιεργάζεται, οὐδὲ ζυγοστατεῖ διὰ κοσμικῶν διαλογισμῶν τὴν ποσότητα τῆς διδομένης ἐλεημοσύνης, ἀλλὰ μετὰ πνευματικῆς ἁπλότητος δίδωσιν εἰς τοὺς πτωχοὺς τὸ ἔλεος, ἐκεῖνος ἐλεεῖ πλουσιοπαρόχως· ταύτην δὲ τὴν ἁπλότητα, ὡς ἀναγκαίαν διὰ τὴν πλουσίαν μετάδοσιν τῆς ἐλεημόσύνης παρήγγειλεν ὁ Παῦλος καὶ διὰ τῆς πρὸς Ῥωμαίους ἐπιστολῆς αὐτοῦ λέγων· « Ὁ μεταδιδοὺς ἐν ἁπλότη- » τι » (2). Ἐπειδὴ δὲ αὐτὸς παρεκάλει τοὺς Κορινθίους, ἵνα πλουσιοπαρόχως ἐλεήσωσι τοὺς ἐν Ἱεροσολύμοις πτωχούς, γράφων πρὸς αὐτούς· « Ὁ σπείρων ἐπ' εὐ- » λογίαις, ἐπ' εὐλογίαις καὶ θερίσει » (3)· διὰ τοῦτο καὶ εὔχεται, ἵνα « Ἐν παντὶ » πλουτιζόμενοι »· ἤγουν, ἵνα κατὰ πάντα, καὶ κατὰ τὴν ἀγαθότητα τῆς ψυχῆς, καὶ κατὰ τοῦ σώματος πλούσιοι γενόμενοι, ἐλεήσωσι μετὰ πάσης ἁπλότητος, τουτέστι, μετὰ πάσης δαψιλείας καὶ πλουσιότητος. Αὐτὴ δέ, λέγει, ἡ πλουσία ἐλεημοσύνη ὑμῶν γίνεται αἴτιος, ἵνα καὶ ἡμεῖς εὐχαριστήσωμεν τῷ Θεῷ. « Ἥτις κατερ- » γάζεται δι' ἡμῶν εὐχαριςίαν τῷ Θεῷ ». Ἀλλὰ πῶς τοῦτο ἐγίνετο; Βλέπων ὁ Παῦλος, ὁ τῆς ἐλεημοσύνης προτροπεύς, τοὺς πτωχοὺς διὰ τῆς ἐλεημοσύνης παρηγορουμένους, ἔτι δὲ καὶ αὐτοὺς τοὺς Κορινθίους ὑπακούοντας εἰς τὴν εὐαγγελικὴν παραγγελίαν αὐτοῦ, καὶ προθύμους καὶ εἰς αὐτὸ τὸ κατόρθωμα, προσέφερεν ὑπὲρ τῆς ἀρετῆς τούτου τὴν πρὸς τὸν Θεὸν εὐχαριςίαν. « Ὅτι » ἡ διακονία, λέγει, τῆς λειτουργίας ταύτης » οὐ μόνον ἐστὶ προσαναπληροῦσα τὰ ὑςε- » ρήματα τῶν ἁγίων, ἀλλὰ καὶ περισσεύ- » ουσα διὰ πολλῶν εὐχαριστιῶν τῷ Θεῷ· » διὰ τῆς δοκιμῆς τῆς διακονίας ταύτης » δοξάζοντες τὸν Θεὸν ἐπὶ τῇ ὑποταγῇ » τῆς ὁμολογίας ὑμῶν εἰς τὸ εὐαγγέλιον » τοῦ Χριστοῦ, καὶ ἁπλότητι τῆς κοινω- » νίας εἰς αὐτοὺς καὶ εἰς πάντας » (4).

(1) Β'. Κορ. 9, 11. (2) Ῥωμ. 12. 8. (3) Β'. Κορ. 9, 6. (4) Β'. Κορ. 9, 12, 13.



# ΟΜΙΛΙΑ

ΜΕΤΑ ΤΗΝ ΔΕΥΤΕΡΑΝ ΠΡΟΣ

## ΚΟΡΙΝΘΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗ͂Ι ΙΗ'. ΚΥΡΙΑΚΗ͂Ι.

ΤΟΣΑΙ εἰσὶν αἱ τῶν ἁγίων γραφῶν νομοθεσίαι περὶ τῆς ἐλεημοσύνης, ὥστε οὐδείς ποτε τῶν πιστῶν ἐδίστασεν, ὅτι Θεοῦ νομοθεσία ἐστὶν ἡ ἐλεημοσύνη, ὅτι αὐτή ἐςιν ἀρετὴ πολλὰ ἀρεστὴ εἰς τὸν Θεόν, καὶ ὅτι δι' αὐτὴν λαμβάνομεν καὶ ἐν τῇ γῇ καὶ ἐν τῷ οὐρανῷ μεγάλας ἀνταποδόσεις· ἐκ τούτου, ἐξαιρουμένων μόνον τινῶν ἀνθρώπων, ἢ πολλὰ ἀσπλάγχνων, ἢ καθ' ὑπερβολὴν φιλαργύρων, πάντες οἱ λοιποί, ἄλλος μὲν πολύ, ἄλλος δὲ ὀλίγον, ἐλεοῦσι τοὺς πτωχούς. Ταῦτα βλέπων ὁ ἐχθρὸς τῆς ψυχῆς ἡμῶν, καὶ πεπληροφορημένος ὤν, ὅτι ἡ ἐλεημοσύνη φέρει πάντα τὰ ἀγαθά, καὶ πρόξενος γίνεται τῆς ἡμῶν σωτηρίας, φθονεῖ καὶ κατατήκεται· ὅθεν ἀγωνίζεται μὲν κατὰ πάντα τρόπον, ἵνα παντελῶς ἐμποδίσῃ τοὺς χριστιανοὺς ἀπὸ τοῦ ἔργου τῆς ἐλεημοσύνης, βλέπων δέ, ὅτι ὡς ἐπὶ τὸ πλεῖστον ματαιοῦνται οἱ τοιοῦτοι ἀγῶνες αὐτοῦ, καὶ ὅτι οἱ μὲν χριστιανοὶ ἐλεοῦσιν, αὐτὸς δὲ μένει κατῃσχυμένος καὶ νενικημένος, τεχνεύεται ἄλλα τεχνάσματα δόλια καὶ πανοῦργα, ἵνα, ὅταν μὴ δυνηθῇ ἐμποδίσαι ἐξ ὁλοκλήρου τῆς ἐλεημοσύνης τὴν μετάδοσιν, κἂν ἁρπάσῃ ἀπ' αὐτῆς τὴν εὐωδίαν τῆς ἀρετῆς, καὶ γεμίσῃ αὐτὴν δυσωδίας καὶ ῥυπαρότητος.

Κλίσιν ἔχει πᾶς ἄνθρωπος εἰς τῆς φιλοδοξίας τὸ πάθος, τοῦτο δὲ τὸ πάθος πρῶτον τῶν ἄλλων ἐνεργεῖ πρὸς τοὺς ἀνθρώπους· ἐκ τούτου βλέπομεν, ὅτι καὶ αὐτὰ τὰ νήπια τιμώμενα μέν, χαίρουσι· περιφρονούμενα δέ, λυποῦνται· ἐπειδὴ δὲ πάντες τιμῶσι καὶ ἐπαινοῦσι τοὺς ἐλεήμονας, ὁ σατανᾶς ῥίπτει τὰ βέλη αὐτοῦ εἰς τὸν νοῦν αὐτῶν, καὶ ἐξάπτει ἔνδον τῆς καρδίας αὐτῶν τῆς φιλοδοξίας τὸ πάθος· ἐκ τούτου τινὲς πλανώμενοι, ἐλεοῦσι τοὺς πτωχούς, ἵνα δοξασθῶσιν ὑπὸ τῶν ἀνθρώπων· ἀλλὰ ταῦτα τὰ βέλη αὐτοῦ συνέτριψεν ὁ Σωτὴρ τοῦ κόσμου διὰ τῆς ἐπουρανίου αὐτοῦ διδασκαλίας· « Προ- » σέχετε, εἶπε, τὴν ἐλεημοσύνην ὑμῶν μὴ » ποιεῖν ἔμπροσθεν τῶν ἀνθρώπων· εἰδὲ μή- » γε, μισθὸν οὐκ ἔχετε παρὰ τῷ πατρὶ » ὑμῶν τῷ ἐν τοῖς οὐρανοῖς » (1). Ὁ δὲ θεόφρων Παῦλος διὰ τῆς διδασκαλίας, ἣν σήμερον ἠκούσαμεν, ἐφανέρωσεν ἡμῖν ἔτι ἄλλας δύω δαιμονικὰς παγίδας κατὰ τῶν ἐλεημόνων ἡτοιμασμένας, ἤγουν τὴν λύπην καὶ τὴν ἀνάγκην· ἔδειξε δέ, διὰ τίνος τρόπου δυνάμεθα συντρίψαι αὐτάς, εἰπών· ποιείτω

(1) Ματθ. 6, 1.

ἐλεημοσύνην « Ἕκαστος καθὼς προαιρεῖ-
» ται τῇ καρδίᾳ, μὴ ἐκ λύπης ἢ ἐξ ἀνάγ-
» κης· ἱλαρὸν γὰρ δότην ἀγαπᾷ ὁ Θεός» (1).
Ὅταν βλέπῃς τὸν πτωχόν, καὶ στοχα-
ζόμενος τὴν ἀνάγκην καὶ τὴν στενοχωρίαν
αὐτοῦ, λυπεῖσαι, λυπούμενος δέ, βοηθεῖς αὐ-
τῷ, ὅσον δύνασαι, τότε ἡ λύπη σου ἐςὶ θυ-
γάτηρ τῆς ἀγάπης, ἐστὶν ἀρετή, εὐσπλαγ-
χνία ἐστίν, ὁμοία τῇ τοῦ Σαμαρείτου, ὅςις,
ἰδὼν τὸν περιπεσόντα εἰς τοὺς λῃστὰς καὶ
τετραυματισμένον, « Ἐσπλαγχνίσθη, καὶ
» προσελθών, κατέδησε τὰ τραύματα αὐ-
» τοῦ, ἐπιχέων ἔλαιον καὶ οἶνον » (2). Οὐ
περὶ ταύτης δὲ τῆς λύπης ἐλάλησεν ὁ θεῖος
Ἀπόστολος, ὅταν παρέδωκε τοὺς περὶ τῆς
ἐλεημοσύνης κανόνας· διότι ἡ τοιαύτη λύπη
ἐστὶν ἁγία καὶ σωτηριώδης· περὶ ἐκείνης δὲ
τῆς λύπης εἶπε τό, « Μὴ ἐκ λύπης », ἥτις
μολύνει τῆς ἐλεημοσύνης τὴν θυσίαν. Ἐλεεῖς
ἐνίοτε τὸν πτωχὸν πλουσιοπαρόχως· ἔπειτα
ὁ ἐχθρός σου φέρει εὐθὺς εἰς τὸν νοῦν σου
τοὺς λογισμοὺς τῆς πτωχείας, καὶ βάλλει
εἰς τὴν καρδίαν σου τῆς πτωχικῆς κατα-
στάσεως τοὺς φόβους· δός, λέγει σοι, σήμε-
ρον, καὶ δὸς αὔριον, καταντᾷς τέλος πάν-
των εἰς τὴν ἐσχάτην πτωχείαν· ἐκ τούτου
μετανοεῖς διὰ τὴν δόσιν τῆς ἐλεημοσύνης
σου, καὶ τόσον λυπεῖσαι, ὅτι ἔδωκας, ὥςε
ἐὰν ἔλειπεν ἡ ἐντροπὴ τοῦ κόσμου, ἐκινδύ-
νευες ζητῆσαι, ἵνα ἐπιστρέψῃ σοι ὁ πτω-
χὸς ὅσα αὐτῷ ἔδωκας. Ταύτην τὴν λύπην
ἐξώρισεν ὁ Ἀπόστολος ἐκ τῆς ἐλεημοσύνης,
ἐξώρισε δὲ αὐτήν, εἰπών· « Μὴ ἐκ λύπης »,
ἐπειδὴ ἡ τοιαύτη λύπη ἐστὶ γέννημα τῆς
ἀπιστίας. Ἐὰν ἐπίστευες, ὅτι, « Ὅλην
» τὴν ἡμέραν ἐλεεῖ καὶ δανείζει ὁ δίκαιος,
» καὶ τὸ σπέρμα αὐτοῦ εἰς εὐλογίαν ἔ-
» σται » (3)· ἐὰν ἐπίστευες, ὅτι « Δανείζει
» Θεῷ ὁ ἐλεῶν πτωχόν, κατὰ δὲ τὸ δόμα
» αὐτοῦ ἀνταποδώσει αὐτῷ » (4)· καὶ ὅτι
οἱ ἐλεοῦντες λαμβάνουσιν ἑκατονταπλάσια
εἰς τὴν γῆν, καὶ βασιλείαν αἰώνιον εἰς τὸν
οὐρανόν (5)· οὐχὶ λύπη, ἀλλὰ χαρὰ μεγάλη
σφόδρα ἤρχετο εἰς τὴν καρδίαν σου, ὅταν
ἠλέεις τοὺς πτωχούς· ἐπειδὴ δὲ διστάζεις
καὶ ὀλιγοπιστεῖς, διὰ τοῦτο λυπεῖσαι· ἡ δὲ
τοιαύτη λύπη μαραίνει τὸ ἄνθος, καὶ σκορ-
πίζει τὴν εὐωδίαν, καὶ φθείρει τῆς ἐλεημο-
σύνης τὸ κάλλος καὶ τὴν λαμπρότητα. Ὅ-
θεν ἀποστρέφει ἀπ' αὐτῆς ὁ Θεὸς τὸ θεῖον
αὐτοῦ πρόσωπον.

Ἄλλην δὲ παγίδα ἑτοιμάζει ὁ σατανᾶς
τὴν ἀνάγκην, ἵνα δι' αὐτῆς παγιδεύσῃ τοὺς
ἐλεοῦντας. Πολλάκις ἀναγκάζει ἡμᾶς, ἵνα
ἐλεήσωμεν, ἡ ἐντροπή, πολλάκις δὲ ἡ ἐνό-
χλησις· ὅθεν ἄλλοτε μὲν ἐλεοῦμεν, ἵνα φύ-
γωμεν τὴν ἐντροπήν, τὴν προξενουμένην
ἡμῖν ὑπὸ τοῦ προσώπου τοῦ ζητοῦντος τὴν
ἐλεημοσύνην, ἄλλοτε δέ, ἵνα ἐλευθερωθῶμεν
ἀπὸ τῆς ἐνοχλήσεως τοῦ πτωχοῦ, ὅστις
ζητεῖ καὶ κραυγάζει καὶ παρακαλεῖ. Ἡ
τοιαύτη δὲ ἐλεημοσύνη οὐκ ἔστιν εὐπρό-
σδεκτος τῷ Θεῷ· διότι, ὅταν ἐλεῶμεν ἀναγ-
καζόμενοι ὑπὸ τῆς ἐντροπῆς, τότε ποιοῦμεν
ἀδικίαν μεγάλην· καθότι εὐλαβούμεθα τὸ
πρόσωπον τῶν ἀνθρώπων περισσότερον τοῦ
προσώπου τοῦ Ἰησοῦ Χριστοῦ· ὅταν ἔρχη-
ται ὁ πτωχὸς ἐνώπιόν σου, τότε ὁ Χριστὸς
παρίσταται ἔμπροσθέν σου· ὅ,τι δὲ δώσεις
εἰς τὸν πτωχόν, δίδως αὐτὸ εἰς τὸν Ἰησοῦν
Χριστόν· «Ἀμὴν λέγω ὑμῖν, ἐφ' ὅσον ἐποι-
» ήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν
» ἐλαχίστων, ἐμοὶ ἐποιήσατε » (6). Ὅταν
οὖν ποιῶμεν ἐλεημοσύνην οὐχὶ δι' ἀγάπην

(1) Β'. Κορ. 9, 7. (2) Λουκ. 10, 33, 34. (3) Ψαλ. 36, 6. (4) Παροιμ. 19, 17. (5) Μάρκ. 10, 80.
(6) Ματθ. 25, 40.



Χριστοῦ, ἀλλὰ διὰ τὴν ἐντροπὴν τῶν ἀν-
θρώπων τότε εὐλαβούμεθα τοὺς βλέποντας,
ἢ ἀκούοντας, ἢ μεσιτεύοντας ἀνθρώπους
περισσότερον αὐτοῦ τοῦ Ἰησοῦ Χριστοῦ.
Βλέπετε, πόσην ἀδικίαν ποιεῖ, ὅστις ἐλεεῖ
ὑπὸ ἐντροπῆς βιαζόμενος· ὅταν δὲ ἐλεῶμεν,
ἵνα ἐλευθερωθῶμεν ἀπὸ τῆς ἐνοχλήσεως
τοῦ ὄπισθεν ἡμῶν κραυγάζοντος πτωχοῦ,
τότε παραβαίνομεν τὴν ἐντολὴν τὴν δευ-
τέραν, τουτέστιν, ἀγαπῶμεν ἑαυτοὺς πε-
ρισσότερον τοῦ πλησίον· διότι ἐλεοῦμεν
αὐτόν, οὐχ ἵνα θεραπεύσωμεν τὴν δυστυ-
χίαν αὐτοῦ, ἀλλ' ἵνα ἀπαλλάξωμεν ἑαυτοὺς
ἀπὸ τῆς ἐνοχλήσεως. Πῶς οὖν δύναται ἀ-
ρεστὴ εἶναι εἰς τὸν Θεὸν ἡ ἐλεημοσύνη, ἡ
μιαινομένη ὑπὸ τῆς ἀδικίας, καὶ μολυνο-
μένη διὰ τῆς παραβάσεως τῆς θείας αὐτοῦ
ἐντολῆς· διὰ τοῦτον οὖν τὸν λόγον ἐνομο-
θέτησεν ὁ θεηγόρος Ἀπόστολος, ἵνα μὴ ἐξ
ἀνάγκης ποιῶμεν ἐλεημοσύνην.

Ἀλλὰ διὰ τί, λέγεις, τόση λεπτολογία
εἰς τῆς ἐλεημοσύνης τὸ ἔργον; Σκοπὸς τῆς
ἐλεημοσύνης ἐστὶν ἡ παρηγορία καὶ ἡ κυ-
βέρνησις τοῦ πτωχοῦ· ὅταν οὖν ἐγὼ δώσω
ἐλεημοσύνην, κἂν δι' ἐντροπήν, κἂν διὰ
τὴν ἀπαλλαγὴν τῆς ἐνοχλήσεως δώσω,
κἂν λυπηθῶ κατὰ τὴν δόσιν, ὁ σκοπὸς τῆς
ἐλεημοσύνης ἐπληρώθη· διότι ὁ πτωχός,
λαβὼν τὸ δοθὲν αὐτῷ, παρηγορεῖται, καὶ
ἀπαντᾷ τὴν ἰδίαν ἀνάγκην. Τόση, καὶ ἔτι
πολλῷ περισσοτέρα ἀκριβολογία πρέπει εἰς
τὸ ἔργον τῆς ἐλεημοσύνης· διότι ἡ ἐλεημο-
σύνη ἐστὶ δῶρον, ὑπὸ τοῦ Θεοῦ ζητούμε-
νον παρ' ἡμῶν, καὶ ἀρεστὸν εἰς αὐτὸν ὑπὲρ
πᾶσαν ἄλλην θυσίαν· « Πορευθέντες δέ,
» εἶπεν αὐτός, μάθετε, τί ἐστιν· ἔλεον θέ-
» λω, καὶ οὐ θυσίαν » (1). Ἀληθῶς τοῦ Θεοῦ
εἰσι πάντα τὰ ἀγαθά, καὶ ὁ Θεὸς ἔδωκεν
ἡμῖν ὅσα ἔχομεν, καὶ οὐδὲ χρείαν ἔχει δώρου
ὁ δοτὴρ τῶν δώρων· πλὴν διὰ τὴν ἄμετρον
αὐτοῦ ἀγαθότητα καὶ φιλανθρωπίαν, εἴ
τι ἂν δώσωμεν τῶν πτωχῶν, λογίζεται
αὐτὸ ὡς δῶρον ἐξ ἡμῶν πρὸς αὐτὸν προσ-
φερόμενον· « Ἐφ' ὅσον ἐποιήσατε, λέγει,
» ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχί-
» στων, ἐμοὶ ἐποιήσατε » (2). Εἰπέ μοι οὖν,
ὅταν μέλλῃς προσαγαγεῖν δῶρον εἰς τὸν
ἐπίγειον βασιλέα, οὐ λεπτολογεῖς πρότερον
καὶ τὴν ποσότητα, καὶ τὴν ποιότητα, καὶ
τὴν τιμὴν τοῦ δώρου, καὶ τὸ σκεῦος, ἐν ᾧ
βάλλεις αὐτό, καὶ τὸ ἔνδυμα, δι' οὗ μέλ-
λεις ἐνδυθῆναι, ἵνα παρασταθῇς ἐνώπιον
τοῦ βασιλέως, ἢ λαμβάνεις ἁπλῶς καὶ ὡς
ἔτυχεν, εἴτι ἂν τύχῃ ἔμπροσθέν σου καὶ βα-
λὼν αὐτὸ εἰς ὁποιονδήποτε εὐτελὲς σκεῦος,
ἔρχεσαι ἐνώπιον τοῦ βασιλέως, ἄλουτος
καὶ ῥερυπωμένος, καὶ ῥίπτεις αὐτὸ ἔμ-
προσθεν αὐτοῦ; Ἐὰν ποιήσῃς τὸ δεύτε-
ρον, οὐδεμία ἀμφιβολία ἐςίν, ὅτι ἀντὶ χά-
ριτος καὶ ἐλέους εὑρίσκεις τὴν βασιλικὴν
ὀργὴν καὶ ἀγανάκτησιν· ἔπειτα λέγεις, ὅτι
διὰ τὸ δῶρον τὸ προσφερόμενον εἰς τὸν
βασιλέα τὸν ἐπουράνιον, τὸν βασιλέα τῶν
βασιλευόντων, καὶ κύριον τῶν κυριευόντων,
τὸν δημιουργὸν καὶ ἐξουσιαστὴν πάσης τῆς
ὁρατῆς καὶ ἀοράτου κτίσεως, περιττὴ ἐστιν
ἡ λεπτολογία;

Ἀλλ' ὁ σκοπός, λέγεις, τῆς ἐλεημοσύνης
πληροῦται. Ποῖος σκοπός; Ὡς φαίνεται,
οὐδὲ αὐτὸν τὸν πρῶτον καὶ κύριον καὶ καθ'
αὑτὸ σκοπὸν τῆς ἐλεημοσύνης γινώσκεις· ὁ
Θεὸς οὐκ ἔχει χρείαν τῆς χειρός σου διὰ
τὴν παρηγορίαν καὶ κυβέρνησιν τοῦ πτω-
χοῦ· διότι αὐτὸς ἀνοίγει τὴν χεῖρα αὐτοῦ,

(1) Ματθ. 9, 13. (2) Αὐτ. 25, 40.

καὶ ἐμπιπλᾷ « Πᾶν ζῶον εὐδοκίας » (1). Αὐτὸς παντοδύναμος ὢν καὶ παντεξούσιος, δύναται ἐν μιᾷ καιροῦ στιγμῇ καταπλουτίσαι πάντας τοὺς πτωχούς· ὅθεν ὁ κύριος καὶ καθ' αὑτὸ σκοπὸς τῆς ἐλεημοσύνης οὐκ ἔστιν ἡ παρηγορία καὶ ἡ κυβέρνησις τῶν πτωχῶν, ἀλλ' ὁ προηγούμενος σκοπὸς αὐτῆς ἐστιν, ἵνα δι' αὐτῆς ἡμεῖς δείξαντες τὴν πρὸς τὸν Θεὸν εὐγνωμοσύνην ἡμῶν, καὶ τὴν πρὸς τὸν πλησίον ἀγάπην, καὶ τὴν πιστὴν καὶ φρόνιμον οἰκονομίαν τῶν ἀγαθῶν, ὧν ἔδωκεν ἡμῖν, κληρονομήσωμεν τὴν αἰώνιον τοῦ Θεοῦ βασιλείαν (2)· ἐπειδὴ δὲ καὶ ἡ εὐγνωμοσύνη, καὶ ἡ ἀγάπη, καὶ ἡ πιστὴ καὶ φρόνιμος οἰκονομία εἰσὶν ἔργα τῆς προαιρέσεως, διὰ τοῦτο εἶπεν ὁ θεσπέσιος Παῦλος· « Ἕκαστος καθὼς προαιρεῖται τῇ καρδίᾳ » (3)· διὰ τοῦτο εἶπε «Μὴ ἐκ λύπης, ἢ ἐξ ἀνάγκης »· διὰ τοῦτο εἶπεν, « Ἱλαρὸν γὰρ δότην ἀγαπᾷ ὁ Θεός ».

Πῶς οὖν ἐγὼ ἐκπληρῶ τῆς ἐλεημοσύνης τὸν σκοπόν, ὅταν ἡ καρδία μου οὐκ ἔχῃ τῆς ἐλεημοσύνης τὴν προαίρεσιν, τουτέστιν, ὅταν οὐκ εὐσπλαγχνίζωμαι τὸν πτωχόν, ἀλλ' ἀναγκάζομαι ὑπὸ τῆς ἐντροπῆς, ἢ βιάζωμαι ὑπὸ τῆς ἐνοχλήσεως, ἵνα ἐλεήσω αὐτόν; Ἡ ἱλαρότης οὐδὲ εἰς τὴν χεῖρα ἵσαται, οὐδὲ εἰς τὸ δῶρον, ἀλλ' εἰς τὴν καρδίαν τοῦ ἀνθρώπου κάθηται. Πῶς οὖν γίνομαι δότης ἱλαρός, ὅταν ἐλεῶ, καὶ λυποῦμαι διὰ τὴν δόσιν, ὅταν ἐλεῶ, καὶ ἀγανακτῶ διὰ τὴν βιάζουσάν με ἐντροπὴν ἢ ἐνόχλησιν; Ὁ Θεὸς ἀγαπᾷ τὸν δότην τὸν ἱλαρόν· ὅταν δὲ ἐλεῶ, καὶ θλίβομαι, ἐλεῶ καὶ ὀργίζομαι, τότε οὐκ εἰμὶ δότης ἱλαρός, ἀλλὰ δότης λυπηρὸς καὶ ὀργίλος. Ποία οὖν ἐλπίς, ὅτι ἐπιτυγχάνω τῆς ἀγάπης τοῦ Θεοῦ πρὸς ἀνταπόδοσιν τοῦ δώρου μου; ποῖον δέ ἐστι τὸ δῶρόν μου, ὅταν ἀντὶ τῆς ὡραιότητος τῆς εὐγνωμοσύνης ἐμφαίνῃ τὴν ἀσχημοσύνην τῆς ἀγνωμοσύνης μου, καὶ ἀντὶ τῆς εὐωδίας τῆς ἀγάπης καπνίζῃ τὸν καπνὸν τῆς σκληρότητός μου, καὶ ἀντὶ τῆς εὐπρεπείας τῆς διακρίσεως παῤῥησιάζῃ τὸ ἄπρεπον τῆς ἀδιακρισίας μου, καὶ ἀντὶ τοῦ φωτὸς τῆς ἱλαρότητος ἔχῃ τὸ σκότος τῆς λύπης μου καὶ τῆς ἀνάγκης, ἥτις ἐβίασέ με, ἵνα ἐλεήσω; Ὁ Θεὸς θέλει τὰ πρὸς αὐτὸν προσφερόμενα ἄμωμα, ἤγουν ἄμωμα τέλεια, ἐκλεκτά. «Καὶ προσάξει, εἶπεν, ἡ συναγωγὴ μόσχον ἐκ βοῶν ἄμωμον» (4). Ὁ Θεὸς θέλει, ἵνα μετὰ πολλῆς διακρίσεως προσφέρωμεν αὐτῷ τὰ δῶρα τῶν θυσιῶν ἡμῶν. « Καὶ πᾶν δῶρον ὑμῶν ἁλὶ ἁλισθήσεται » (5). Διὰ τοῦτο τὰ δῶρα τὰ μεμπτὰ καὶ ἀδιάκριτα οὐδὲ ἀρεστά εἰσιν εἰς αὐτόν, οὐδὲ εὐπρόσδεκτα.

Δύω ἀδελφοὶ τῶν ἐν τῷ κόσμῳ πρώτων ἀνθρώπων, ὁ Κάϊν καὶ ὁ Ἄβελ, προσέφερον τῷ Θεῷ θυσίαν ἐκ τοῦ καρποῦ τῶν κόπων αὐτῶν· ὁ μὲν Κάϊν, ὡς γεωργός, προσέφερεν αὐτῷ ἀπὸ τῶν καρπῶν τῆς γῆς· ὁ δὲ Ἄβελ, ὡς ποιμὴν προβάτων, προσέφερε πρόβατα ἐκ τῆς ποίμνης αὐτοῦ· ὁ δὲ Θεὸς ἐπὶ μὲν τὸν Ἄβελ ἐπέβλεψεν ἱλέῳ ὄμματι, εὐαρεστηθεὶς ἐπὶ τοῖς δώροις τῆς θυσίας αὐτοῦ· τὸν δὲ Κάϊν καὶ τὰς θυσίας αὐτοῦ παρέβλεψε· « Καὶ ἐπεῖδεν ὁ Θεὸς ἐπὶ Ἄβελ καὶ ἐπὶ τοῖς δώροις αὐτοῦ· ἐπὶ δὲ Κάϊν καὶ ἐπὶ ταῖς θυσίαις αὐτοῦ οὐ προσέσχε » (6). Ἀλλὰ διὰ ποῖον λόγον; θυσία ἦν τοῦ Κάϊν, καθὼς καὶ τοῦ Ἄβελ· ὁ Κάϊν, ὡς γεωργός, εἶχε καρπούς· ὁ Ἄβελ, ὡς ποιμήν, εἶχε πρόβατα· ὅθεν καθεὶς προ-

(1) Ψαλ. 144, 16. (2) Λουκ. 12, 42. (3) Β'. Κορ. 9, 7. (4, Λουκ. 4, 14. (5) Λευΐτ. 2, 13.
(6) Γεν. 4, 4, 5.



σέφερε τῷ θεῷ ἐκεῖνο, ὅπερ εἶχε. Διατί οὖν ἡ μὲν θυσία τοῦ Κάϊν ἀπρόσδεκτος, ἡ δὲ τοῦ Ἄβελ εὐπρόσδεκτος; Μήπως τὰ πρόβατα ἦσαν ἀρεστότερα εἰς τὸν Θεὸν ὑπὲρ τοὺς καρπούς; Ἀλλὰ καὶ τὰ πρόβατα καὶ οἱ καρποὶ καὶ τὰ πάντα εἰσὶ τοῦ Θεοῦ ποιήματα, καὶ εἰσὶ καλὰ λίαν· « Καὶ εἶδεν ὁ Θεὸς τὰ πάντα, ὅσα ἐποίησε· καὶ ἰδοὺ καλὰ λίαν (1). Μήπως χρείαν εἶχεν ὁ Θεὸς τῶν προβάτων μᾶλλον, ἢ τῶν καρπῶν; Ἀλλὰ ποίαν χρείαν ἔχει ἐκεῖνος, οὗ «Ἐν τῇ χειρὶ αὐτοῦ τὰ πέρατα τῆς γῆς καὶ τὰ ὕψη τῶν ὀρέων » (2). Ἐκεῖνος, ὅστις ἐποίησε τὴν θάλασσαν, αἱ δὲ χεῖρες αὐτοῦ τὴν ξηρὰν ἔπλασαν; Τίς οὖν ὁ λόγος ταύτης τῆς ὑποδοχῆς καὶ ἀποστροφῆς; Τοῦ Ἄβελ ἡ θυσία εἶχε τὸ ἅλας τῆς διακρίσεως, ἡ δὲ θυσία τοῦ Κάϊν ἦν ἄναλος, ἤγουν ἀδιάκριτος· ὁ Ἄβελ ἐξελέξατο « Ἀπὸ τῶν πρωτοτόκων τῶν προβάτων αὐτοῦ, καὶ ἀπὸ τῶν στεάτων αὐτῶν » (3), τουτέστι τὰ ἐκλεκτότερα, ὧν εἶχεν· ὁ δὲ Κάϊν λαβὼν ἀδιακρίτως, ὡς ἔτυχε, τοὺς καρποὺς τῆς γῆς, ἐτόλμησε προσαγαγεῖν αὐτοὺς τῷ Θεῷ· καὶ οἱ δύω θυσίαν προσέφερον εἰς τὸν Θεόν, ἀλλ' ὁ μὲν Ἄβελ μετὰ τῆς πρεπούσης διακρίσεως, ὁ δὲ Κάϊν ἀδιακρίτως. Τοῦτο, ὅπερ λέγω, φανερόν ἐστιν ἐκ τῶν κατὰ τοῦ Κάϊν ἐλεγκτικῶν λόγων τοῦ Θεοῦ· « Οὐκ ἂν ὀρθῶς προσενέγκῃς, εἶπε πρὸς αὐτὸν ὁ Θεός, ὀρθῶς δὲ μὴ διέλῃς, ἥμαρτες; (4) Κἂν καλῶς, λέγει, προσέφερες τὴν θυσίαν σου, καθότι πρὸς ἐμὲ αὐτὴν προσήγαγες, ὅμως ἥμαρτες, καθότι οὐ διέκρινας ὁποῖα ἦσαν τὰ προσφερόμενα· ὀρθὸν τὸ δῶρόν σου, ὡς πρὸς ἐμὲ προσφερόμενον· ἀλλ' ἀδιάκριτον, καθὸ οὐκ ἐκλελεγμένον· διὰ τοῦτο οὐ δέχομαι αὐτό, ἀλλ' ἐπιστρέφω σοι τοῦτο εἰς τὰ ὀπίσω, ἔστω τὸ δῶρόν σου ὑπὸ τὴν ἐξουσίαν σου. « Πρὸς σὲ ἡ ἀποστροφὴ αὐτοῦ, καὶ σὺ ἄρξεις αὐτοῦ » (5).

Παράδειγμα τοῦτο φοβερὸν διὰ τὸ ἔργον τῆς ἐλεημοσύνης· δῶρόν ἐστιν ἡ ἐλεημοσύνη σου, θυσία ἐστὶν ἡ ἐλεημοσύνη σου, τῷ Θεῷ προσφερομένη· ἀλλ' ὅταν ἐλεῇς, οὐ καθὼς προαιρεῖται ἡ καρδία σου, ἀλλὰ καθὼς ἀναγκάζει σε ἡ ἐντροπή σου· ὅταν ἐλεῇς οὐχὶ μετὰ ἱλαρότητος καὶ χαρᾶς, ἀλλὰ μετὰ σκυθρωπότητος καὶ λύπης, τότε, κἂν ὀρθῶς προσφέρῃς, ἐπειδὴ ὅμως οὐκ ὀρθῶς διέλεις, ἤγουν οὐ διακρίνεις καλῶς τὰς περὶ τῆς ἐλεημοσύνης παραγγελίας τοῦ Θεοῦ, ἁμαρτάνεις. Ἐλεημοσύνη ἐστὶν ἀληθῶς ἡ ἐλεημοσύνη σου, εἰς τὸν Θεὸν ἀναφερομένη· πλὴν ἐπειδὴ οὐ διέκρινας, ὅτι ὁ πανυπερτέλειος Θεὸς ἐπιβλέπει εἰς τὴν προαίρεσίν σου, ἐπειδὴ οὐ προσέφερες αὐτὴν αὐτοπροαιρέτως ἀλλ' ἀναγκαστικῶς, ἐπειδὴ οὐ προσέφερες αὐτὴν μετὰ ἱλαρότητος καὶ εὐθυμίας, ἀλλὰ μετὰ στενοχωρίας καὶ λύπης, διὰ τοῦτο ἥμαρτες, διὰ τοῦτο λέγει καὶ πρὸς σὲ ὁ Θεός, καθὼς καὶ πρὸς τὸν Κάϊν εἶπε· « Πρὸς σὲ ἡ ἀποστροφὴ αὐτοῦ καὶ σὺ ἄρξεις αὐτοῦ » (6).

Ἀδελφοί μου χριστιανοί, τὸ καλὸν οὐκ ἔστι καλόν, ὅταν οὐ καλῶς γίνηται· τὸ καλὸν τῆς ἐλεημοσύνης τότε ὑπερβαίνει πάντα τὰ καλά, ὅταν πράττωμεν αὐτὸ καλῶς, ἤγουν καθὼς θέλει ὁ Θεός. Προσέχετε οὖν, καὶ ἔχετε πάντοτε πρὸ τῶν ὀφθαλμῶν ὑμῶν τὴν διδασκαλίαν τοῦ θεοῤῥήμονος Παύλου· προσέχετε, ὅταν ποιῆτε ἐλεημοσύνην, ἵνα πρῶτον ἡ καρδία ὑμῶν εὐσπλαγχνισθῇ τὸν πτωχόν, καὶ προαιρεθῇ παρηγορῆσαι

(1) Γεν. 1, 31. (2) Ψαλ. 94, 4. (3) Γεν. 4, 4. (4) Αὐτ. 7. (5) Αὐτ. (6) Αὐτ.

αὐτόν, ἔπειτα δέ, ἵνα μετὰ πάσης ἱλαρότητος καὶ χαρᾶς ἁπλώσαντες τὰς χεῖρας ὑμῶν, ἁγιάσητε αὐτὰς διὰ τῆς μεταδόσεως τῶν ὑπὸ τοῦ Θεοῦ δοθέντων ὑμῖν ἀγαθῶν. Ἡ ἐλεημοσύνη, ἥτις ἐξέρχεται ἐκ τῆς εὐσπλαγχνικῆς προαιρέσεως καὶ τοῦ ἐλέους τῆς καρδίας, καὶ περιχαρῶς τίθεται εἰς τῶν πτωχῶν τὰς χεῖρας, ἐστὶ θυμίαμα ἐκλεκτόν, καὶ θυσία ὁλόκαυτος, ἀναβαίνουσα εἰς τὸν θρόνον τοῦ ὑψίστου· αὐτή ἐστι λουτρόν, καθαρίζον πάσας τὰς ἁμαρτίας ἡμῶν, ὡς ἐδίδαξεν ἡμᾶς ὁ Κύριος, εἰπών· « Πλὴν τὰ ἐνόντα δότε ἐλεημοσύνην· καὶ ἰδοὺ πάντα καθαρὰ ὑμῖν ἔσται « (1). Αὐτή ἐστιν ἡ πηγή, ἐξ ἧς ἀναβλύζουσι πάντα τὰ ἀγαθά· αὐτή ἐστιν ἡ κλείς, ἡ ἀνοίγουσα τοῦ παραδείσου τὴν θύραν· ὅμως ἀνάγκη ἐστίν, ἵνα ἐλεῇ « Ἕκαστος καθὼς προαιρεῖται τῇ καρδίᾳ· μὴ ἐκ λύπης ἢ ἐξ ἀνάγκης· ἱλαρὸν γὰρ δότην ἀγαπᾷ ὁ Θεός » (2).

# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΗΝ ΔΕΥΤΕΡΑΝ ΠΡΟΣ

## ΚΟΡΙΝΘΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

### ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗι ΙΘ'. ΚΥΡΙΑΚΗι.

ΑΝΔΡΕΣ ἦσαν οἱ ψευδαπόςολοι (3), οἵτινες ἐσχηματίζοντο καὶ ὑπεκρίνοντο, ὅτι ἦσαν Ἀπόςολοι τοῦ Χριςοῦ, ἵνα κηρύττοντες τὴν εἰς Χριστὸν πίστιν, σπείρωσι δολίως εἰς τὰς ψυχὰς τῶν πιστῶν τὰ πονηρὰ ζιζάνια τῶν διεςραμμένων αὐτῶν δογμάτων. Γινώσκοντες δέ, ὅτι, ἐὰν καταργήσωσι τὴν περὶ τοῦ Παύλου ὑπόληψιν καὶ τὸ σέβας τῶν πιςῶν, εὐοδοῦται τὸ διεφθαρμένον αὐτῶν κήρυγμα, καὶ ἐξαλείφονται τῆς ἀληθείας τὰ σπέρματα, τὰ ὑπ' αὐτοῦ σπαρέντα, ἔῤῥαπτον κατ' αὐτοῦ πᾶν εἶδος κατηγορίας τε καὶ συκοφαντίας, ἀγωνιζόμενοι καταπεῖσαι πάντας, ὅτι οὐκ ἔστιν Ἀπόστολος τοῦ Ἰησοῦ Χριστοῦ, ἀλλ' ἀπατεὼν καὶ πλάνος. Ἐπειδὴ δὲ κατενόησεν ὁ τοῦ Θεοῦ ἄνθρωπος, ὁ Παῦλος, ὅτι ἀνάγκη ἐστίν, ἵνα ἀπαντήσας εἰς τὰς κατηγορίας αὐτῶν, ἀποδείξῃ, ὅτι ἐστὶν ἀληθινὸς Ἀπόστολος, ὅπως μὴ ἀπατηθῶσιν ὑπ' αὐτῶν οἱ πιστεύσαντες καὶ ἀθετήσαντες τὴν εὐαγγελικὴν ἀλήθειαν, ςερηθῶσι τῆς αἰωνίου σωτηρίας· καὶ ἐγνώρισεν, ὅτι ἡ σύστασις αὐτοῦ ἐγίνετο σύστασις καὶ στήριγμα τῆς ἀληθινῆς πίςεως· διὰ τοῦτο ἠναγκάσθη, καὶ μὴ θέλων, περιγράψαι πρὸς τοὺς Κορινθίους, ὅπου οἱ ψευδαπόστολοι ἐδίδασκον (4), καὶ τὸ γένος, καὶ τοὺς προγόνους, καὶ τὸ ἐπάγγελμα, καὶ τοὺς κόπους, καὶ τοὺς ἀγῶνας, καὶ τοὺς κινδύνους, καὶ τοὺς διωγμούς, καὶ τὰ λοιπὰ αὐτοῦ παθήματα. Ἵνα δὲ ἐξ ὁλοκλήρου πληροφορήσῃ αὐτοὺς περὶ τῶν κατ' αὐτόν,

(1) Λουκ. 11, 41. (2) Β'. Κορ. 9, 7. (3) Αὐτ. 11, 13. (4) Αὐτ. 11, 21,



ἠναγκάσθη φανερῶσαι καὶ τὰ θαυμασιώτατα αὐτοῦ χαρίσματα, ἤγουν τὰς ἀποκαλύψεις, ἐξόχως δὲ τὴν ὀπτασίαν, ἣν εἶδε μὲν πρὸ ἐτῶν δεκατεσσάρων, ἔκρυψε δὲ ἕως τότε καὶ ἐσιώπησεν. Ἐπειδὴ δὲ ταῦτα ἔπαινοι αὐτοῦ ἦσαν καὶ ἐγκώμια, διὰ τοῦτο μετὰ τοσαύτης σοφίας καὶ ταπεινοφροσύνης συνέμιξε καὶ συνεκέρασε τὴν τούτων διήγησιν, ὥστε, κἂν φαίνηται, ὅτι αὐτὸς ἑαυτὸν ἐπαινεῖ, πᾶς ὅμως, ὁ ταῦτα ἀκούων, θαυμάζει, καὶ οὐ μόνον πείθεται, ὅτι οὐκ εἰσὶ περιαυτολογίας λόγια, ἀλλὰ καὶ τιτρώσκεται ἡ καρδία αὐτοῦ ὑπὸ τῆς γλυκύτητος τοῦ θείου ἔρωτος. Ἐὰν προσηλώσητε τὸν νοῦν πρὸς κατανόησιν τῶν σήμερον ἀναγνωσθέντων λόγων τῆς ἐπιστολῆς αὐτοῦ, λαμβάνετε περὶ τούτου τελείαν τὴν πληροφορίαν.

*Ἀδελφοὶ ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ οἶδεν, ὁ ὢν εὐλογητὸς εἰς τοὺς αἰῶνας, ὅτι οὐ ψεύδομαι* (1).

Ἐπειδὴ καὶ πρότερον διηγήθη, καὶ πάλιν ἔμελλε διηγηθῆναι πράγματα μεγάλα καὶ δυσκολοπίστευτα, ἐξόχως τὴν ὀπτασίαν αὐτοῦ, φοβούμενος, μήπως οἱ ταῦτα ἀκούοντες, οὐ πιστεύσωσιν αὐτῷ, ἐπικαλεῖται μάρτυρα τὸν Θεόν, ὅστις τὰ πάντα εἰδώς, ἐγίνωσκε καὶ τοῦτο, ἤγουν τό, ὅτι οὐ ψεύδεται, ἀλλὰ λέγει ἀλήθειαν. Θεὸν δὲ εἶπε καὶ Πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐπειδὴ ὁ Ἰησοῦς Χριστὸς καὶ ἄνθρωπός ἐστι τέλειος, καὶ Θεὸς τέλειος· καὶ καθὸ μὲν ἄνθρωπος, Θεὸς αὐτοῦ ἐστιν ὁ Θεός, καθὼς καὶ πάντων τῶν ἄλλων ἀνθρώπων· καθὸ δὲ Θεός, πατὴρ αὐτοῦ ἐστιν ὁ Θεός, ὡς πρὸ πάντων τῶν αἰώνων αὐτὸν γεννήσας. Βλέπε δέ, μετὰ πόσης εὐλαβείας ἐπεκαλέσατο μάρτυρα τὸν Θεόν· ἐπειδὴ ἐξεφώνησε τοῦ Θεοῦ τὸ ὄνομα, εἶπεν εὐθύς· « Ὁ ὢν εὐλογητὸς εἰς τοὺς αἰῶνας ». Ὁ Θεός, λέγει, ὅστις ἐστὶν αἰνετὸς καὶ δεδοξασμένος εἰς τοὺς ἀπεράντους αἰῶνας· τοιουτοτρόπως δὲ προετοιμάσας τὰς ψυχὰς τῶν ἀκουόντων, ἵνα πιστεύσωσιν εἰς τὰ ὑπ' αὐτοῦ λεγόμενα, ἄρχεται τῆς διηγήσεως οὕτως.

*Ἐν Δαμασκῷ ὁ ἐθνάρχης Ἀρέτα τοῦ βασιλέως ἐφρούρει τὴν Δαμασκηνῶν πόλιν, πιάσαι με θέλων. Καὶ διὰ θυρίδος ἐν σαργάνῃ ἐχαλάσθην διὰ τοῦ τείχους, καὶ ἐξέφυγον τὰς χεῖρας αὐτοῦ* (2).

Βασιλεὺς ἦν ὁ Ἀρέτας τῆς Ἀραβίας, καὶ πενθερὸς τοῦ Ἡρώδου Ἀντίπα τοῦ τετράρχου (3)· ἐπειδὴ δὲ τότε ἡ Συροφοινίκη, ἡ μητρόπολιν ἔχουσα τὴν Δαμασκόν, ὑπέκειτο εἰς τὴν Ἀραβίαν, διὰ τοῦτο ὁ Ἀρέτας ἔστελλεν εἰς τὴν Δαμασκὸν ἄρχοντα τοῦ ἔθνους ἐκείνου καὶ διοικητήν· τοῦτον δὲ τὸν ἄρχοντα ὠνόμαζον ἐθνάρχην. Αὐτὸς οὖν ὁ ἐθνάρχης ἔβαλλε φύλακας εἰς τὴν πόλιν τῆς Δαμασκοῦ, θέλων πιάσαι τὸν Παῦλον (4)· ὅστις τεθεὶς ἐν σαργάνῃ, ἤγουν ἔνδον σπυρίδος, ἢ καλάθου, ἢ δεθεὶς σχοινίῳ (ταῦτα τὰ τρία σημαινόμενα ἔχει ἡ σαργάνη), κατεβιβάσθη διὰ τῆς θυρίδος, τῆς ἐν τῷ τείχει τῆς πόλεως, καὶ οὕτως ἐξέφυγε τοῦ ἐθνάρχου τὰς χεῖρας, ἤγουν ἐσώθη τοῦ θανατηφόρου κινδύνου. Ταῦτα μετὰ συντομίας διηγήθη ὁ Παῦλος, σιωπήσας καὶ τό, πότε συνέβη εἰς αὐτὸν οὗτος ὁ κίνδυνος, καὶ τό, διὰ τί ἐζήτει πιάσαι αὐτὸν ὁ ἐθνάρχης,

(1) Β'. Κορ. 11, 31. (2) Β'. Κορ. 11, 32. 33. (3) Ἰωσ. 6'. 18. περὶ Ἰουδ. Ἀρχ. (4) Ἰουστῖν. ἐν Διαλ. κατὰ Τρυφ καὶ Τερτουλ. ἐν λογ. 3. κατὰ Μάρχ.

καὶ τίνες ἦσαν οἱ διὰ τῆς σαργάνης αὐτὸν καταβιβάσαντες· ἱστόρησε δὲ ταῦτα ὁ θεηγόρος Λουκᾶς (1). Ἐκ δὲ τῆς ἱστορίας αὐτοῦ μανθάνομεν, ὅτι, ὅταν ὁ Παῦλος ἐλθὼν εἰς τὴν Δαμασκόν, καὶ βαπτισθεὶς ἐκεῖ ὑπὸ τοῦ Ἀνανίου, ἐκήρυττε τὸν Ἰησοῦν Χριστὸν υἱὸν Θεοῦ, καὶ ἐπεστόμιζε τοὺς ἐκεῖ Ἰουδαίους, τότε αὐτοὶ ἐβουλεύσαντο φονεῦσαι αὐτόν· καὶ παρετήρουν μὲν αὐτοὶ τὰς θύρας τῆς πόλεως ἡμέρας τε καὶ νυκτός, ἔπεισαν δέ, ὡς φαίνεται ἐκ τῶν λόγων τοῦ Παύλου, καὶ τὸν ἐθνάρχην, ἵνα στήσῃ φύλακας εἰς τὰς θύρας τῆς πόλεως, ὅπως πιάσας τὸν Παῦλον, παραδῷ αὐτὸν εἰς θάνατον· οἱ δὲ ἐν Δαμασκῷ μαθηταὶ τοῦ Χριστοῦ φυγαδεύσαντες αὐτὸν διὰ τῆς σαργάνης, ἐλύτρωσαν τοῦ κινδύνου. Τίνα δὲ σκοπὸν εἶχεν ὁ Παῦλος, τοῦτο τὸ συμβὰν διηγούμενος; Ἐπειδὴ προλαβὸν ἱστόρησε γενικῶς τὰ παθήματα καὶ τοὺς κινδύνους αὐτοῦ, εἰπών· « Κινδύνοις ποταμῶν, κινδύνοις λῃστῶν, » κινδύνοις ἐκ γένους, κινδύνοις ἐξ ἐθνῶν, » κινδύνοις ἐν πόλει, κινδύνοις ἐν ἐρημίᾳ, » κινδύνοις ἐν θαλάσσῃ, κινδύνοις ἐν ψευδα» δέλφοις » (2)· διηγήθη εἰδικώτερον ἕνα τῶν κινδύνων αὐτοῦ, ἵνα καὶ περὶ τῶν λοιπῶν πιστώσῃ τοὺς ἀκούοντας. Σὺ δὲ σημείωσον, ὅτι, ἐπειδὴ εὗρε τρόπον τοῦ φυγεῖν τὸν κίνδυνον, ἔφυγεν αὐτὸν κατὰ τὴν παραγγελίαν τοῦ διδασκάλου αὐτοῦ, ὅστις εἶπεν· « Ὅταν δὲ διώκωσιν ὑμᾶς ἐν τῇ πόλει ταύτῃ, φεύγεται εἰς ἄλλην » (3). Ἄκουσον δὲ καὶ τὸ πῶς προοιμιάζει, μέλλων δηλοποιῆσαι τὴν ὀπτασίαν καὶ τὴν ἀποκάλυψιν, ἣν ὁ Θεὸς εἰς αὐτὸν ἀπεκάλυψε.

*Καυχᾶσθαι δὴ οὐ συμφέρει μοι· ἐλεύσομαι γὰρ εἰς ὀπτασίας καὶ ἀποκαλύψεις Κυρίου* (4).

Ἀληθῶς ἡ καύχησις οὐ συμφέρει εἰς τὴν ψυχὴν τοῦ ἀνθρώπου, ἐπειδὴ αὐτή ἐστι καρπὸς τῆς ὑπερηφανείας· ἀλλ' ἐπειδὴ οὐ συμφέρει, διὰ τί ὁ Παῦλος ἐκαυχήθη, τοὺς ἀγῶνας καὶ τὰς ὀπτασίας καὶ τὰς ἀποκαλύψεις αὐτοῦ καθιστορήσας; Διαφέρει καύχησις καυχήσεως, καθὼς διαφέρει καὶ προσευχὴ προσευχῆς, καὶ ἐλεημοσύνη ἐλεημοσύνης, καὶ νηστεία νηστείας· ἐὰν προσεύχωμαι, ἢ ἐλεῶ, ἢ νηστεύω δι' ἀγάπην Θεοῦ, ἡ προσευχὴ καὶ ἡ ἐλεημοσύνη καὶ ἡ νηστεία ὠφελοῦσι τὴν ψυχήν μου· ἐὰν δὲ ταῦτα ποιῶ, ἵνα δοξασθῶ ὑπὸ τῶν ἀνθρώπων, οὐδεμίαν ἐξ αὐτῶν λαμβάνω ὠφέλειαν. Ταῦτα ἐκπεφασμένως ἐδίδαξεν ὁ μονογενὴς υἱὸς τοῦ Θεοῦ ὅτε ἐλάλησε περὶ ἐλεημοσύνης καὶ προσευχῆς καὶ νησείας (5). Ταῦτα δὲ ἁρμόζουσι καὶ εἰς τὴν καύχησιν· ὅστις καυχᾶται, ἵνα δοξασθῇ ὑπὸ τῶν ἀνθρώπων, ἐκεῖνον ἡ καύχησις οὐ συμφέρει, διότι ἐστὶ φιλοδοξία καὶ ὑπερηφάνεια· περὶ ταύτης δὲ τῆς καυχήσεως ἔλεγεν ὁ Παῦλος· « Καυχᾶσθαι δὴ » οὐ συμφέρει μοι ». Ὅστις δὲ καυχᾶται, ἵνα ὠφελήσῃ τὸν πλησίον αὐτοῦ, ἐκεῖνον ἡ καύχησις ὠφελεῖ, ἐπειδή ἐστιν ἀγάπη τοῦ πλησίον· τοιαύτη δὲ ἦν τοῦ Παύλου ἡ καύχησις, ἡ ἀγάπη δηλονότι τοῦ πλησίον. Οἱ ψευδαπόστολοι μυρίας πλέκοντες κατὰ τοῦ Παύλου κατηγορίας, ἐσμίκρυνον τὴν δύναμιν τῆς εὐαγγελικῆς ἀληθείας, τῆς ὑπ' αὐτοῦ κηρυττομένης· ὅθεν αὐτὸς διηγούμενος τοὺς ἀγῶνας καὶ τὰς ὀπτασίας καὶ ἀποκαλύψεις αὐτοῦ, ἐξουδένει μὲν τὰς κατ' αὐτοῦ συκοφαντίας, ηὔξανε δὲ τὴν ὑπόληψιν τοῦ Εὐαγ-

(1) Πράξ. 9, 24, 25. (2) Β'. Κορ. 11, 26. (3) Ματθ. 10, 23. (4) Β'. Κορ. 12, 1. (5) Ματθ. 6, 2, 5, 16.



γελικοῦ κηρύγματος, καὶ θεραπεύων τὴν πλάνην τῶν ὑπὸ τῶν ψευδαποστόλων διαφθαρέντων, ἐστήριζεν εἰς τὰς καρδίας αὐτῶν τὸν λόγον τῆς ἀληθείας. Καὶ τότε δέ, καὶ τὴν σήμερον, καὶ ἕως τῆς συντελείας ὠφελοῦνται πάντες οἱ εὐσεβεῖς, οἱ ἀκούοντες τὰ κατορθώματα καὶ τὰ θεῖα τοῦ Παύλου χαρίσματα. Βλέπε δέ, ὅτι εἰπών· « Ἐλεύ» σομαι γὰρ εἰς ὀπτασίας καὶ ἀποκαλύψεις » Κυρίου »· ἐφανέρωσεν, ὅτι οὐ μόνον μίαν ὀπτασίαν εἶδε καὶ ἀποκάλυψιν, αὐτὴν δηλονότι, ἣν καθιστόρησεν, ἀλλὰ καὶ ἄλλας πολλάς, ὡς ἐβεβαίωσε καὶ διὰ τούτου τοῦ λόγου· « Καὶ τῇ ὑπερβολῇ τῶν ἀποκαλύ» ψεων » (1). Ἔχει δὲ ἡ ἀποκάλυψις περισσότερόν τι τῆς ὀπτασίας (2)· διὰ μὲν τῆς ὀπτασίας βλέπουσι μόνον οἱ ἅγιοι τὰ παριστάμενα αὐτοῖς· ἢ τὸν παλαιὸν τῶν ἡμερῶν ἐπὶ θρόνου καθήμενον, ὡς εἶδεν αὐτὸν ὁ προφήτης Δανιήλ, ἢ « Τοὺς οὐρανοὺς ἀ» νεῳγμένους καὶ τὸν υἱὸν τοῦ ἀνθρώπου ἐκ » δεξιῶν ἑστῶτα τοῦ Θεοῦ » (3), ὡς εἶδεν αὐτὸν ὁ πρωτομάρτυς Στέφανος (4), ἢ ἄλλα ὅμοια· διὰ δὲ τῆς ἀποκαλύψεως οὐ μόνον βλέπουσι τὰ παριστάμενα, ἀλλὰ καὶ μανθάνουσι τὰ ἀγνοούμενα. Τοιαύτη ἦν ἡ ἀποκάλυψις ἣν εἶδεν ὁ Ἡσαΐας, « Τοῦ ἐνιαυτοῦ » οὗ ἀπέθανεν Ὀζίας ὁ βασιλεύς »· διότι δι' αὐτῆς ἔμαθε τὸ μυστήριον τῆς θείας ἐνανθρωπήσεως, καὶ τὴν ἄφεσιν τῶν ἁμαρτιῶν, ἣν λαμβάνομεν διὰ τῆς μεταλήψεως τῆς θείας εὐχαριστίας· τοιαύτη καὶ ἡ ἀποκάλυψις, ἣν εἶδεν ὁ Εὐαγγελιστὴς Ἰωάννης « Ἐν τῇ κυριακῇ ἡμέρᾳ », δι' ἧς ἔμαθε τὰ μέλλοντα γενέσθαι. Ἀποκάλυψις δὲ φαίνεται καὶ ἡ ὑπὸ τοῦ Παύλου ἱστορουμένη, καθότι δι' αὐτῆς « Ἤκουσεν ἄῤῥημα ῥήματα, » ἃ οὐκ ἐξὸν ἀνθρώπῳ λαλῆσαι » (5). Ἄρχεται δὲ τῆς περὶ αὐτῆς διηγήσεως οὕτως·

*Οἶδα ἄνθρωπον ἐν Χριστῷ πρὸ ἐτῶν δεκατεσσάρων, (εἴτε ἐν σώματι, οὐκ οἶδα· εἴτε ἐκτὸς τοῦ σώματος, οὐκ οἶδα· ὁ Θεὸς εἶδεν·) ἁρπαγέντα τὸν τοιοῦτον ἕως τρίτου οὐρανοῦ* (6).

Ὁ Παῦλος ἡρπάγη ἕως τρίτου οὐρανοῦ, αὐτὸς ἡρπάγη εἰς τὸν παράδεισον, αὐτὸς ἤκουσε τὰ ἄῤῥητα ῥήματα, ὡς ἐπιβεβαιοῦσι ταῦτα τὰ προειρημένα ὑπ' αὐτοῦ λόγια· « Καυχᾶσθαι δὴ οὐ συμφέρει μοι· ἐλεύσο» μαι γὰρ εἰς ὀπτασίας καὶ ἀποκαλύψεις » Κυρίου » (7). Μετεσχημάτισε δὲ τὸν λόγον εἰς τρίτον πρόσωπον, ὥσπερ ἂν εἰ ἄλλος τις ἦν ὁ ἁρπαγείς, ἵνα ὁ λόγος αὐτοῦ μηδὲ ἴχνος ἔχῃ ὑπερηφανείας· « Οἶδα, λέ» γει, ἄνθρωπον ἐν Χριστῷ », ἤγουν ἄνθρωπον, πιστεύοντα εἰς τὸν Χριστόν, ἢ ἄνθρωπον, ὅστις τῇ δυνάμει τοῦ Χριστοῦ ἡρπάγει ἕως τρίτου οὐρανοῦ. Εἰπὼν δέ, ὅτι πρὸ ἐτῶν δεκατεσσάρων οἶδε τὸν τοιοῦτον ἄνθρωπον ἁρπαγέντα, ἐφανέρωσεν, ὅτι δεκατέσσαρα ἔτη ἐσιώπησε ταύτην τὴν ἀποκάλυψιν, τότε δὲ μόνον ἐκοινολόγησεν αὐτήν, ὅτε ἐγνώρισεν, ὅτι δι' αὐτῆς δύναται ἐλευθερῶσαι τοὺς πιστοὺς ἀπὸ τῆς τῶν ψευδαποστόλων πλάνης. Σημείωσαι δέ, ὅτι τρεῖς οὐρανοὺς ἀναφέρει ἡ θεία γραφή· τὸν οὐρανόν, ἐν ᾧ ἵπτανται τὰ πετεινά, διότι λέγει· « Τὰ πετεινὰ τοῦ οὐρανοῦ » (8). Οὗτος δὲ ὁ οὐρανός ἐστιν ὁ ἀήρ, εἴτουν ἡ καλουμένη ἀτμοσφαίρα· τὸν οὐρανὸν τὸν καλούμενον στερέωμα, τὸ « Διαχωρίζον ἀνα» μέσον ὕδατος καὶ ὕδατος » (9), ἤγουν τὸ

(1) Β'. Κορ. 12, 7. (2) Θεοφύλ. Αὐτ. (3) Δαν. 7, 9. (4) Πράξ. 7, 56. (5) Β'. Κορ. 12, 4. (6) Αὐτ. 12, 2. (7) Αὐτ. 1. (8) Ψαλ. 8, 8. (9) Γεν. 1, 6.

διαχωρίζον τὸ ὕδωρ τὸ ὑλικὸν ἀπὸ τοῦ ὕδατος τοῦ ἀΰλου, τουτέστι τῶν ἀγγελικῶν ταγμάτων· διότι καὶ τὸ στερέωμα ὠνόμασεν ὁ Θεὸς οὐρανόν· « Καὶ ἐκάλεσε, λέγει, » ὁ Θεὸς τὸ στερέωμα οὐρανόν » (1). Καὶ τὸν τρίτον οὐρανόν, ὅστις ἐστὶν ὁ οὐρανὸς τοῦ οὐρανοῦ, ἐν ᾧ κατοικεῖ ὁ Θεός, ὡς μαρτυρεῖ ὁ Δαβίδ, λέγων· « Ψάλατε τῷ Θεῷ » τῷ ἐπιβεβηκότι ἐπὶ τὸν οὐρανὸν τοῦ οὐ» ρανοῦ κατὰ ἀνατολάς (2)· Ὁ οὐρανὸς τοῦ » οὐρανοῦ τῷ Κυρίῳ, τὴν δὲ γῆν ἔδωκε τοῖς » υἱοῖς τῶν ἀνθρώπων » (3). Κἂν δὲ τό « Ἕως τρίτου οὐρανοῦ »· σημαίνῃ κατὰ τὴν σημασίαν τῶν λέξεων, ὅτι ὁ Παῦλος οὐκ εἰσέβη εἰς τὸν τρίτον οὐρανόν, ἀλλ' ἔςη εἰς τοῦ τρίτου οὐρανοῦ τὰ μεθόρια· ἐπειδὴ ὅμως κατωτέρω λέγει, « Ὅτι ἡρπάγη εἰς » τὸν παράδεισον » (4)· ἤγουν εἰς τὸν τόπον τῆς θείας δόξης, πιθανὸν φαίνεται, ὅτι καὶ αὐτὸ τό, « Ἕως τρίτου οὐρανοῦ », τὸν αὐτὸν σημαίνει τόπον. Ἡρπάγη δέ, εἶπε, καὶ οὐχὶ ἀνέβη, ἵνα καὶ τὸ ταχὺ καὶ παράδοξον φανερώσῃ τῆς εἰς τοσοῦτον ὕψος ἀναβάσεως. Ἀλλ' ἆρά γε « Ἐν σώματι », » τουτέστιν ἡ ψυχὴ σὺν τῷ σώματι αὐτοῦ ἡρπάγη, « ἢ ἐκτὸς τοῦ σώματος », ἤγουν μόνη ἡ ψυχή, τὸ δὲ σῶμα ἔμεινεν εἰς τὴν γῆν; Ἐπειδὴ ὁ Παῦλος ὡμολόγησεν, ὅτι οὐδὲ αὐτός, ἀλλὰ μόνος ὁ Θεὸς τοῦτο οἶδε, πῶς ἡμεῖς δυνάμεθα τοῦτο μαθεῖν, ἑπομένως περιττὸν τὸ περὶ τούτου ἐξετάζειν· τοῦτο δὲ οἴδαμεν, ὅτι παρὰ τῷ παντοδυνάμῳ Θεῷ δυνατά εἰσιν ἐπίσης καὶ τὰ δύο.

*Καὶ οἶδα τὸν τοιοῦτον ἄνθρωπον (εἴτε ἐν σώματι, εἴτε ἐκτὸς τοῦ σώματος, οὐκ οἶδα· ὁ Θεὸς οἶδεν·) Ὅτι ἡρπάγη εἰς τὸν παράδεισον, καὶ ἤκουσεν ἄῤῥητα ῥήματα, ἃ οὐκ ἐξὸν ἀνθρώπῳ λαλῆσαι* (5).

Τὰ αὐτὰ καὶ πρὸ τούτων εἶπεν· ἐπανέλαβε δὲ τὰ αὐτά, ἵνα ἐπιβεβαιώσῃ τὴν τούτων ἀλήθειαν. Ἀκούων δὲ « Ὅτι ἡρπάγη » εἰς τὸν παράδεισον » (6), μὴ νομίσῃς, ὅτι περὶ τοῦ ἐπιγείου παραδείσου λαλεῖ, ὅπου « ὁ Θεὸς ἔθετο τὸν ἄνθρωπον, ὃν ἔπλασε ». Διότι « ὁ Θεὸς ἐφύτευσε τὸν παράδεισον » οὐκ ἐν τῷ οὐρανῷ, ἀλλ' ἐπὶ τῆς γῆς, « ἐν » Ἐδὲμ κατ' ἀνατολάς » (7), Ἐπειδὴ δὲ ὁ Παῦλος ἀνωτέρω εἶπεν· Ὅτι ἡρπάγη ἕως τρίτου οὐρανοῦ, οὐδεμίαν ἀκολουθίαν ἔχει ὁ λόγος αὐτοῦ, ἐὰν νοήσωμεν, ὅτι ἐκεῖθεν, ἤγουν ἐκ τοῦ οὐρανοῦ ἡρπάγη πάλιν εἰς τὴν γῆν, ὅπου ὁ παράδεισος, ἐκεῖ δέ, καὶ οὐχὶ εἰς τὸν οὐρανὸν ἤκουσε τὰ ἄῤῥητα ῥήματα. Τί οὖν ἐσήμαινεν ὁ Παῦλος εἰπών· « Ὅτι » ἡρπάγη εἰς τὸν παράδεισον; » τὸν τόπον ἐσήμανεν, ἐν ᾧ κατοικεῖ καὶ κατ' ἐξοχὴν δοξάζεται ὁ Θεός, καθὼς καὶ ὁ Κύριος Ἰησοῦς, ὅταν εἶπε πρὸς τὸν ἐν σταυρῷ κρεμάμενον λῃστήν· « Ἀμὴν λέγω σοι, σήμε» ρον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ » (8). Ἐκεῖ οὖν εἰς τὰ ἀγαπητὰ σκηνώματα τοῦ Κυρίου ἡρπάγη ὁ Παῦλος, καὶ ἐκεῖ ἤκουσε τὰ ἄῤῥητα ῥήματα. Ἀλλὰ ποῖα ἆρά γε ἦσαν τὰ τοιαῦτα ῥήματα, ἆρά γε οἱ λατρευτικοὶ καὶ παναρμόνιοι ὕμνοι τῶν ἐπουρανίων ἀσωμάτων δυνάμεων; ἆρά γε αἱ εὐχαριστήριοι καὶ μελωδικαὶ δοξολογίαι τῶν πνευμάτων, τῶν ἀπ' αἰῶνος δικαίων καὶ ἁγίων, ἆράγε αἱ ἀποκαλύψεις καὶ ἑρμηνεῖαι τῶν ἀκαταλήπτων τοῦ Θεοῦ μυστηρίων; Ἀλλὰ τίς δύναται εἰπεῖν ποῖα, ὅταν

(1) Γεν. 1, 2. (2) Ψαλ. 67. 34. (3) Ψαλ. 113, 24. (4) Β'. Κορ. 12, 4. (5) Β'. Κορ. 12, 3, 4, 9.
(6) Β'. Κορ. 12, 2. (7) Γεν. 2, 8. (8) Λουκ. 23, 43.



αὐτὸς ὁ Παῦλος ὁ ταῦτα ἀκούσας, ἐμαρτύρησεν, ὅτι εἰσὶν ἄῤῥητα, ἤγουν ἄλεκτα καὶ ἀνέκφραστα; τίς δύναται λαλῆσαι περὶ αὐτῶν, ὅταν αὐτὸς ὡμολόγησεν, ὅτι ἄνθρωπος οὐ δύναται λαλῆσαι περὶ αὐτῶν; « Ἃ » οὐκ ἐξὸν ἀνθρώπῳ λαλῆσαι ».

*Ὑπὲρ τοῦ τοιούτου καυχήσομαι· ὑπὲρ δὲ ἐμαυτοῦ οὐ καυχήσομαι, εἰ μὴ ἐν ταῖς ἀσθενείαις μου* (1).

Ὑπὲρ τοῦ τοιούτου ἀνθρώπου, λέγει, τοῦ καταξιωθέντος ἀναβῆναι ἕως τρίτου οὐρανοῦ, καὶ εἰσελθεῖν εἰς τὸν παράδεισον, καὶ ἀκοῦσαι ἄῤῥητα ῥήματα, ὑπὲρ τοῦ τοιούτου ἐγὼ καυχήσομαι· ἀλλὰ ἄλλος μὲν ἔλαβε τὴν χάριν ταύτην, αὐτὸς δὲ ἔμελλε καυχηθῆναι; Ποῖον λόγον ἔχει τοῦτο; Καὶ τοῦτο ἀποδεικνύει, ὅτι αὐτός, καὶ οὐχὶ ἄλλος ἠξιώθη τῶν τοιούτων μεγάλων τοῦ Θεοῦ χαρισμάτων, ὑπὲρ ὧν ἔμελλε καυχηθῆναι· ταπεινοφρονῶν δὲ ὁ τρισμακάριος, μετεμόρφωσε τὸν λόγον εἰς ἄλλο πρόσωπον· διότι ἀληθῶς πολλὴν ἐπίδειξιν καὶ ὑπερηφανείας ἔμφασιν εἶχεν ὁ λόγος αὐτοῦ, ἐὰν ἔλεγεν· ἐγὼ ἡρπάγην ἕως τρίτου οὐρανοῦ, ἐγὼ ἡρπάγην εἰς τὸν παράδεισον, καὶ ἤκουσα ἄῤῥητα ῥήματα, ὅθεν ὑπὲρ τούτου καυχῶμαι. Διὰ τοῦτο οὖν μετασχηματίσας τὸν λόγον εἰς τρίτον πρόσωπον, συνέτριψε τὴν δύναμιν τῆς ἐπιδείξεως καὶ τῆς ἐπάρσεως, καθὼς καὶ ὁ ἐπιστήθιος Ἰωάννης, ὅταν εἶπεν· « Ἐπιστραφεὶς δὲ ὁ Πέτρος, » βλέπει τὸν μαθητήν, ὃν ἠγάπα ὁ Ἰησοῦς, » ἀκολουθοῦντα, ὃς καὶ ἀνέπεσεν ἐν τῷ » δείπνῳ ἐπὶ τὸ στῆθος αὐτοῦ (2). Ἀλλὰ διὰ τί λέγει, ὅτι ὑπὲρ ἑαυτοῦ οὐ καυχήσεται, εἰ μὴ ἐν ταῖς ἀσθενείαις αὐτοῦ « Ὑπὲρ δὲ » ἐμαυτοῦ οὐ καυχήσομαι, εἰ μὴ ἐν ταῖς » ἀσθενείαις μου; » Ποῖαί εἰσιν αἱ ἀσθένειαι ὑπὲρ ὧν καυχήσεται; καὶ διὰ τί ἔμελλε καυχᾶσθαι ἐν αὐταῖς; Ἀσθένειαι μέν εἰσιν αἱ ἀδυναμίαι τῆς ἀνθρωπίνης φύσεως· διότι ἀδύνατός ἐστι τοῦ ἀνθρώπου ἡ φύσις πρὸς τὰ τῆς ἀρετῆς κατορθώματα, καὶ οὐδὲν ἀγαθὸν δύναται ποιῆσαι χωρὶς τῆς τοῦ Θεοῦ βοηθείας· « Χωρὶς ἐμοῦ οὐ δύνασθε » ποιεῖν οὐδέν » (3). Διὰ ποῖον δὲ λόγον ἔμελλε καυχᾶσθαι ἐν αὐταῖς, ἐφανέρωσε, λέγων· « Ἥδιστα οὖν μᾶλλον καυχήσομαι » ἐν ταῖς ἀσθενείαις μου, ἵνα ἐπισκηνώσῃ » ἐπ' ἐμὲ ἡ δύναμις τοῦ Χριστοῦ » (4). Εἰς ἐκεῖνον, ὅστις ταπεινοφρόνως καυχώμενος κηρύττει τὴν ἀδυναμίαν καὶ ἀσθένειαν αὐτοῦ, ἔρχεται τοῦ Χριστοῦ ἡ δύναμις, καὶ ἐν αὐτῷ ἐνοικοῦσα, ἐργάζεται δι' αὐτοῦ τὰ μεγάλα καὶ θαυμαςὰ ἔργα· διὰ τοῦτο οὖν ἔμελλε καυχᾶσθαι ὁ Παῦλος ἐν ταῖς ἀσθενείαις τῆς φύσεως, ἵνα δηλονότι κατασκηνώσῃ ἐπ' αὐτὸν τοῦ Ἰησοῦ Χριςοῦ ἡ δύναμις.

*Ἐὰν γὰρ θελήσω καυχήσασθαι, οὐκ ἔσομαι ἄφρων· ἀλήθειαν γὰρ ἐρῶ· φείδομαι δέ, μή τις εἰς ἐμὲ λογίσηται ὑπὲρ ὃ βλέπει με, ἢ ἀκούει τι ἐξ ἐμοῦ* (5).

Ἀνάγει τὸν λόγον εἰς τὰς ἀποκαλύψεις· σὺ δὲ σημείωσον, ὅτι τό, « Ἐὰν θελήσω » καυχήσασθαι » δηλωτικόν ἐστιν, ὅτι ἔργῳ καὶ ἀληθείᾳ οὐκ ἐκαυχᾶτο ὁ τοῦ Θεοῦ ἄνθρωπος· διὰ τοῦτο δὲ καὶ ἀνωτέρω οὐκ εἶπεν, ὑπὲρ τοῦ τοιούτου ἐκαυχήθην ἢ καυχῶμαι, ἀλλὰ καυχήσομαι, ἤγουν μέλλω καυχηθῆναι, ἐὰν θελήσω· καὶ ὅστις μὲν καυχᾶται ἐπὶ ψεύδεσιν, ἤγουν καυχᾶται ἐπὶ

(1) Β'. Κορ. 12, 5. (2) Ἰωάν. 21, 20. (3) Αὐτ. 15, 5; (4) Β'. Κορ. 12, 9. (5) Αὐτ. 12, 6.

πλούτῳ, πτωχὸς ὤν, ἢ ἐπὶ σοφίᾳ, γράμματα μὴ μεμαθηκώς, ἐκεῖνός ἐστιν ἄφρων καὶ μωρός· ὅστις δὲ καυχᾶται ἐπὶ ἀληθείᾳ, τουτέστι δι' ὅσα πράγματα τῇ ἀληθείᾳ ἔχει, ἐκεῖνος, καθότι καυχᾶται ὑπὲρ πραγμάτων ἀληθινῶν, οὐκ ἔστι μωρός, κἂν οὐ συμφέρῃ αὐτῷ ἡ καύχησις. Ἐὰν οὖν ὁ Παῦλος ἤθελε καυχηθῆναι ὑπὲρ τῶν ἀποκαλύψεων, οὐκ ἦν ἄφρων, καθότι ἐκαυχᾶτο ὑπὲρ ἀληθινῶν πραγμάτων· οὐκ ἐκαυχᾶτο ὅμως, ἐπειδὴ ἐφοβεῖτο, μήπως οἱ ἀκούοντες τὰ περὶ τῶν ἀποκαλύψεων αὐτοῦ διηγήματα, νομίσωσιν αὐτὸν ἀνώτερον ἀνθρώπου, καὶ θελήσωσι θεοποιῆσαι αὐτόν, καθὼς οἱ ἐν Λύστροις, ὅτε ἐθεράπευσε τὸν ἐκ κοιλίας μητρὸς χωλόν (1).

**Καὶ** *τῇ ὑπερβολῇ τῶν ἀποκαλύψεων ἵνα μὴ ὑπεραίρωμαι, ἐδόθη μοι σκόλοψ τῇ σαρκί, ἄγγελος σατᾶν, ἵνα με κολαφίζῃ, ἵνα μὴ ὑπεραίρωμαι* (2).

Ἀκούεις; Τῇ ὑπερβολῇ τῶν ἀποκαλύψεων, λέγει· ἡ δὲ ὑπερβολὴ νοεῖται ἢ κατὰ τὸν ἀριθμόν, ἤγουν τὸ πολὺ πλῆθος τῶν ἀποκαλύψεων, ἢ κατὰ τὸ μέγεθος, τουτέστι κατὰ τὸ ὕψος καὶ τὸ μεγαλεῖον τῶν ἀποκαλυπτομένων πραγμάτων, ἢ καὶ κατὰ τὰ δύω ὁμοῦ· ἐξ αὐτῶν δὲ τῶν ἀποκαλύψεων γνωσταί εἰσιν αἱ ἑξῆς. Ἡ ὅρασις, ἣν εἶδεν ὁ Παῦλος, ὅτε ἐπορεύετο εἰς τὴν Δαμασκόν (3)· « Τὸ ὅραμα διὰ τῆς νυκτός », ὅτε κατέβη εἰς τὴν Τρωάδα (4)· Ἡ ὀπτασία τοῦ Κυρίου. « Δι' ὁράματος ἐν νυκτί », ὅτε διέτριβεν εἰς τὴν Κόρινθον (5). Ἡ ὀπτασία τοῦ ἁγίου Πνεύματος, ἡ διαμαρτυρήσασα ὅτι περιμένουσιν αὐτὸν δεσμὰ καὶ θλίψεις (6). Ἡ ἀποκάλυψις, ὅτε προσηύχετο ἐν τῷ ἱερῷ, καὶ ἐγένετο ἐν ἐκστάσει (7). Ἡ ὀπτασία τοῦ Κυρίου, ὅστις ἐθάῤῥυνεν αὐτὸν κατὰ τοὺς ὑπὸ τῶν Ἰουδαίων ἑτοιμασθέντας κατ' αὐτοῦ θανατηφόρους κινδύνους (8). Ἡ ὅρασις τοῦ ἀγγέλου, ὅτε ἐκινδύνευεν ἐν τῇ θαλάσσῃ (9)· καὶ ἡ σήμερον ἀναγνωσθεῖσα ἕως τρίτου οὐρανοῦ ἀνάβασις αὐτοῦ καὶ τῶν ἀῤῥήτων ῥημάτων ἡ ἀκρόασις. Περὶ δὲ τοῦ σκόλοπος τῆς σαρκὸς καὶ τοῦ ἀγγέλου σατᾶν τινὲς μὲν λέγουσιν, ὅτι διὰ τούτων τῶν ὀνομάτων ἐφανέρωσε τὴν ὠταλγίαν ἢ τὴν κεφαλαλγίαν, τὴν ὑπὸ συνεργείας τοῦ δαίμονος προξενουμένην αὐτῷ (10). Ἀλλ' οὗτοι οὐδεμίαν ἔχουσι περὶ τούτου ἀπόδειξιν. Τινὲς δὲ λέγουσιν, ὅτι ὁ σκόλοψ καὶ ὁ ἄγγελος σατᾶν δηλοῦσι τὰ πολλὰ καὶ βαρέα τοῦ σώματος βασανιστήρια· ἄλλοι, τὰς ἀσθενείας· ἄλλοι, τοὺς πειρασμούς, τὰς ὕβρεις, τὰς ἀνάγκας, τὰς τῶν ἐχθρῶν ἐπαναστάσεις. Ἀλλ' οὗτοι διερμηνεύουσι γενικῶς καὶ πληθυντικῶς τὰ ὑπὸ τοῦ Παύλου εἰδικῶς καὶ ἑνικῶς εἰρημένα. Ἄλλοι τὴν σαρκικὴν ἐπιθυμίαν λογίζονται σκόλοπα καὶ ἄγγελον σατᾶν. Ἀλλ' οὗτοι πρῶτον μὲν ἐλέγχονται ὑπὸ τοῦ ὀρθοῦ λόγου (11)· διότι ὁ Παῦλος λέγει, ὅτι σκόλοψ τῆς σαρκὸς καὶ ὁ ἄγγελος σατᾶν ἐδόθη αὐτῷ, ἵνα μὴ ὑπεραίρηται, ἤγουν ἵνα μὴ ὑπερηφανεύηται. Ἐὰν οὖν ὁ σκόλοψ τῆς σαρκός, καὶ ὁ ἄγγελος σατᾶν σημαίνωσι τὴν ἐπιθυμίαν τῆς σαρκός, φανερόν ἐστιν, ὅτι ὁ Θεὸς ἐθεράπευε τὸ πάθος διὰ τοῦ πάθους, τὴν ὑπερηφάνειαν διὰ τῆς σαρκικῆς ἐπιθυμίας, ὅπερ ἐστὶ τὸ ἁμάρτημα δι' ἄλλου ἁμαρτήματος. Τίς δὲ οὐ βλέπει, πόσον ἄτοπον καὶ παράλογόν ἐστι τοῦτο; Δεύτερον δὲ ἐλέγχονται ὑπ'

(1) Πράξ. 14, 13. (2) Β', Κορ. 12, 7. (3) Πράξ. 9, 3. (4) Αὐτ. 16, 9. (5) Αὐτ. 18, 9. (6) Αὐτ. 20, 23. (7) Αὐτ. 22, 17. (8) Αὐτ. 23. 11. (9) Αὐτ. 27, 23. (10) Τερτουλ. περὶ Σεμνότ. καὶ Ἱερων. ἐν κ. 4. τῆς πρὸς Γαλ. Κυπρ. περὶ θνητ. Θεοφύλ. αὐτ. Θεοδώριτ. αὐτ. (11) Αὐγουσ. λ. 2 εἰς τὸν 58. Ψαλ. καὶ β. 3. κ. 7. κατὰ τῆς 2 ἐπις. Πελαγ. καὶ Ἱερών. πρὸς Εὐςοχ. περὶ φυλακ. τῆς παρθ.



αὐτοῦ τοῦ Παύλου, ὅστις μεγαλοφώνως κηρύττει λέγων· « Χριστῷ συνεσταύρωμαι· » ζῶ δὲ οὐκ ἔτι ἐγώ, ζῇ δὲ ἐν ἐμοὶ Χριςός· » ὃ δὲ νῦν ζῶ ἐν σαρκί, ἐν πίστει ζῶ τῇ τοῦ » υἱοῦ τοῦ Θεοῦ » (1). Πῶς οὖν εἰς τὸν συνεσταυρωμένον τῷ Χριστῷ ἐχώρει ἐπιθυμία σαρκική; πῶς ὁ μὴ ζῶν, ἀλλὰ νεκρὸς κατὰ τὰς ἐπιθυμίας τῆς σαρκός, ἐκολαφίζετο ὑπ' αὐτῶν; ὅπου κατοικεῖ ὁ Χριστὸς ἡ αὐτοκαθαρότης, ἐκεῖθεν φυγαδεύεται πᾶσα ἀκάθαρτος ἐπιθυμία. Ἀκούσατε ἄλλην ἑρμηνείαν, ἥτις ἔχει βάσιν τὴν γνώμην ἐκείνου τοῦ θαυμασίου ἀνδρός, ὅστις περισσότερον πάντων εὐλαβήθη τὸν Παῦλον, καὶ περισσότερον πάντων ἐκοπίασεν, ἵνα κατανοήσῃ καὶ διερμηνεύσῃ τὰς ἐπιςολὰς αὐτοῦ (2). Σκόλοψ ἐστὶ πᾶν ξύλον, ἔχον ὀξύτατον τὸ ἕτερον τῶν ἄκρων αὐτοῦ· σκόλοψ δὲ λέγεται καὶ ὁ σταυρός, τὸ βασανιστικώτατον ὄργανον· σκόλοψ δὲ, εἶπεν ὁ Παῦλος, ἐδόθη μοι, ἵνα φανερώσῃ τὴν ὀξυτάτην καὶ πληκτικωτάτην ὀδύνην· σκόλοψ δὲ τῇ σαρκί, εἶπεν, ἵνα δηλοποιήσῃ, ὅτι οὐ μόνον ἡ ψυχή, ἀλλὰ καὶ ἡ σὰρξ ᾐσθάνετο τῆς τοιαύτης ὀδύνης τὴν βάσανον. Σατᾶν δὲ σημαίνει κατὰ τὴν ἑβραϊκὴν διάλεκτον τὸν ἐπίβουλον καὶ ἀντικείμενον· ὅθεν ἄγγελος σατᾶν ἐστιν ὑπηρέτης τοῦ ἐπιβούλου καὶ ἐχθροῦ, ἤγουν τοῦ διαβόλου· ὑπηρέτης δὲ τοῦ διαβόλου γίνεται ὅστις ἐμποδίζει τὴν σωτηρίαν τοῦ ἀνθρώπου· ἄγγελον οὖν Σατᾶν ὠνόμασε πάντα ἄνθρωπον ἐναντιούμενον καὶ ἐμποδίζοντα τὸ σωτήριον κήρυγμα τῆς πίστεως, ἐξόχως δὲ τὸν Ἀλέξανδρον τὸν Χαλκέα (3), ὅστις πολλὰ κακὰ ἐποίησεν αὐτῷ, καὶ καθ' ὑπερβολὴν ἠναντιοῦτο εἰς τὸ εὐαγγελικὸν κήρυγμα· αὐτὸς ἐγίνετο σκόλοψ, ἤγουν ὀδύνη καὶ πόνος καὶ σταυρὸς εἰς τὴν καρδίαν αὐτοῦ, ἐπειδὴ οὐδὲν ἕτερον τοσοῦτον ἐπεθύμει ὁ παμμακάριστος, ὅσον τὴν ἔκτασιν καὶ τὸν πολυπλασιασμὸν τῆς εἰς Χριστὸν πίστεως. Ἐπειδὴ δὲ ἡ μὲν ἀπόλαυσις τῶν ποθουμένων ἐπαίρει τὴν καρδίαν, ἡ δὲ τούτων ἀποτυχία ταπεινοῖ τὰ φρονήματα· εὐκόλως δὲ εἰς τὸν καιρὸν τῆς χαρᾶς καὶ εὐτυχίας προχωροῦσι τῆς ὑπερηφανείας οἱ λογισμοί, εἰς δὲ τὸν καιρὸν τῆς θλίψεως καὶ τῆς δυστυχίας φεύγει πᾶσα ἔπαρσις, καὶ ἔρχεται ἡ μετριοφροσύνη καὶ ἡ ταπείνωσις· διὰ τοῦτο ἔλεγεν, ὅτι ἐδόθη αὐτῷ ὁ σκόλοψ, ὁ ἄγγελος Σατᾶν, ἵνα κολαφίζῃ αὐτόν, ἵνα μὴ ὑπεραίρηται, τὴν ὑπερβολὴν ἀναλογιζόμενος τῶν ἀποκαλύψεων. Ἡ ὑπερβολὴ τῶν ἀποκαλύψεων ἀνεβίβαζε τὸν νοῦν αὐτοῦ εἰς τὰ ὑπερήφανα φρονήματα· ὁ Ἀλέξανδρος ἐμποδίζων τὸ εὐαγγελικὸν κήρυγμα καὶ καταθλίβων αὐτόν, κατεβίβαζε τὴν καρδίαν αὐτοῦ εἰς τῆς ταπεινοφροσύνης τὰ διανοήματα.

*Ὑπὲρ τούτου τρὶς τὸν Κύριον παρεκάλεσα, ἵνα ἀποστῇ ἀπ' ἐμοῦ. Καὶ εἴρηκέ με· ἀρκεῖ σοι ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται· ἥδιστα οὖν μᾶλλον καυχήσομαι ἐν ταῖς ἀσθενείαις μου, ἵνα ἐπισκηνώσῃ ἐπ' ἐμὲ ἡ δύναμις τοῦ Χριστοῦ* (4).

Μετὰ τὴν τρίτην δέησιν εἰσήκουσεν αὐτοῦ ὁ τρισυπόστατος Θεός, καὶ ἀπεκρίθη πρὸς αὐτόν, λέγων· ἀρκετή ἐστι πρὸς βοήθειάν σου κατὰ τῶν ἐχθρῶν τοῦ εὐαγγελι-

(1) Γαλ. 2, 20. (2) Ορ. Χρυσ. Αὐτ. (3) Β'. Τιμ. 4, 14, 15. (4) Β'. Κορ. 12, 8, 9.

κοῦ κηρύγματος ἡ δοθεῖσά σοι χάρις μου· δι' αὐτῆς λαλεῖς γλώσσας, ἰατρεύεις ἀσθενεῖς, διώκεις δαιμόνια, ἀνιστᾷς νεκρούς· αὕτη ἡ χάρις ἀρκεῖ σοι· « Ἀρκεῖ σοι ἡ χά- » ρις μου ». Μὴ ζητῇς, ἵνα ἀποστήσω ἀπὸ σοῦ τοὺς διώκτας τῆς πίστεως· ἐὰν οὐδεὶς ἐναντιῶται εἰς τὸ κήρυγμα, σὺ δὲ ὑπάρχῃς ἰσχυρὸς καὶ κραταιὸς ἐν πλούτῳ καὶ δυνάμει καὶ ἐξουσίᾳ, οὐδεὶς νομίζει τὸ κήρυγμα τῆς πίστεως ἔργον τῆς δυνάμεώς μου· ὅσον δὲ σὺ μὲν ὑπάρχεις ἀσθενέστερος, οἱ δὲ διῶκται δυνατώτεροι, ἡ δὲ πίστις ἐφαπλοῦται, καὶ ὁ ἀριθμὸς τῶν πιστευόντων πολυπλασιάζεται, τοσοῦτον παῤῥησιάζεται τῆς δυνάμεώς μου ἡ τελειότης. « Ἡ » γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται ». Ὅπου φύσεως ἀδυναμία, ἐκεῖ ἐπιλάμπει τῆς δυνάμεώς μου τὸ ὑπερτέλειον κράτος. Ταῦτα δὲ ἀκούσας ὁ θεόκλητος Παῦλος, οὐ μόνον ἔπαυσε τὴν ὑπὲρ τῆς ἀπαλλαγῆς τῶν ἐναντίων δέησιν, ἀλλὰ καὶ πλήρης ἡδονῆς ἐκαυχᾶτο περισσότερον ἐν ταῖς ἀσθενείαις αὐτοῦ· « Ἥδιστα οὖν μᾶλλον καυχήσομαι » ἐν ταῖς ἀσθενείαις μου ». Ἐπειδή, λέγει, ἐν αὐταῖς ταῖς ἀδυναμίαις μου φανεροῦται ἡ τελειότης τῆς δυνάμεως τοῦ Θεοῦ, διὰ τοῦτο ἐγὼ μετὰ μεγίστης ἡδονῆς καυχήσομαι περὶ τοῦ, ὅτι εἰμὶ ἀσθενὴς καὶ ἀδύνατος. « Ἵνα ἐπισκηνώσῃ ἐπ' ἐμὲ ἡ δύνα- » μις τοῦ Χριστοῦ »· τουτέστιν, ἵνα ἐνδυναμώσῃ με ὁ Ἰησοῦς Χριστὸς πρὸς ἐκπλήρωσιν τοῦ ἀποστολικοῦ μου ἐπαγγέλματος.

# ΟΜΙΛΙΑ

### ΜΕΤΑ ΤΗΝ ΔΕΥΤΕΡΑΝ ΠΡΟΣ

## ΚΟΡΙΝΘΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

### ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗι ΙΘ'. ΚΥΡΙΑΚΗι.

Ὁ πανσεβέστατος Ἀπόστολος Παῦλος συλλογιζόμενος, ὅτι οἱ μὲν διῶκται τοῦ εὐαγγελικοῦ κηρύγματος ἐμποδίζουσι τὸν πολυπλασιασμὸν τῆς πίςεως, αὐτὸς δὲ οὐκ ἔχει δύναμιν, ἵνα καταργήσῃ αὐτούς, τόσην θλίψιν ὑπὲρ τούτου ᾐσθάνετο, ὥστε τρὶς παρεκάλεσε τὸν Κύριον, ἵνα ἐλευθερώσῃ αὐτόν· « Ὑπὲρ τούτου τρὶς τὸν Κύριον παρε- » κάλεσα, ἵνα ἀποστῇ ἀπ' ἐμοῦ » (1). Ὅταν δὲ ἐπληροφορήθη, ὅτι τοῦτό ἐστι τὸ θέλημα τοῦ Θεοῦ, καθότι ὅπου ἀσθενεῖ καὶ ἀδυνατεῖ ἡ φύσις, ἐκεῖ φανεροῦται ἡ τελειότης τῆς θείας δυνάμεως, τότε μετέβαλε τὴν θλίψιν εἰς ἡδονήν, τότε μετὰ χαρᾶς ἐκαυχᾶτο, ὅτι ἐστὶν ἀσθενὴς καὶ ἀδύνατος· « Ἥδιστα » οὖν μᾶλλον καυχήσομαι ἐν ταῖς ἀσθε- » νείαις μου » (2). Τότε ἀρεστὰ ἐγένοντο εἰς αὐτὸν πάντα, ὅσα ἔπασχεν ὑπὸ τῶν ἐχθρῶν τοῦ Εὐαγγελίου· « Διὸ εὐδοκῶ, ἔλε- » γεν, ἐν ἀσθενείαις, ἐν ὕβρεσιν, ἐν ἀνάγ-

(1) Β'. Κορ. 12, 8. (2) Αὐτ. 9.



» καις, ἐν διωγμοῖς, ἐν στενοχωρίαις ὑπὲρ » Χριστοῦ » (1). Τότε μεγαλοφώνως ἐκήρυττεν, ὅτι, ὅταν κατὰ φύσιν ἀσθενῇ, τότε κατὰ χάριν δυνατός ἐστιν· « Ὅταν γὰρ » ἀσθενῶ, τότε δυνατός εἰμι ». Τί δὲ διδάσκει ἡμᾶς τοῦτο τὸ ἅγιον τοῦ Παύλου παράδειγμα; Αὐτό, ἀγαπητοί μου ἀδελφοί, διδάσκει, ποῖόν ἐστι τὸ βάλσαμον, τὸ ἰατρεῦον πᾶσαν θλίψιν καὶ ὀδύνην· πάντες χρείαν ἔχομεν τούτου τοῦ ἐπουρανίου βαλσάμου, ἐπειδὴ οὐδείς ἐστιν ἀμέτοχος τῶν ἐν τῷ κόσμῳ θλίψεων, πάντες δὲ πυκνὰ πίνομεν τὰ πικρὰ τῶν θλίψεων ποτήρια, « Ἐν τῷ κόσμῳ θλίψιν ἕξετε » (2). Ἀλλὰ ποῖόν ἐστι τὸ τοιοῦτον θεραπευτικὸν βάλσαμον; ἐκεῖνό ἐστιν, ὅπερ μετέβαλε τὸν σκόλοπα τοῦ Παύλου εἰς ἡδονήν. Τί ἐθεράπευσε τὴν ὑπερβολικὴν λύπην τοῦ Παύλου; Οὐδὲν ἄλλο, εἰ μὴ ἡ πληροφορία, ὅτι κατὰ θείαν θέλησιν ἔπασχεν. Ἐὰν οὖν καὶ ἡμεῖς πληροφορηθῶμεν, ὅτι πᾶσα δυστυχία καὶ ὀδύνη ἐκ Θεοῦ ἐστιν, αὐτὴ ἡ πληροφορία γίνεται βάλσαμον θεραπευτικὸν πάσης ὀδύνης καὶ θλίψεως.

Ἀλλ' ὅταν ἐγώ, λέγεις, βλέπω, ὅτι κατήντησα εἰς τὴν ἐσχάτην πτωχείαν, ἐπειδὴ οἱ λησταὶ ἥρπασαν πάντα τὰ ὑπάρχοντά μου· ἢ ὅτι κατεστάθην ἰδιώτης καὶ χυδαῖος, ἐπειδὴ οἱ φθονεροὶ ἐστέρησάν με τῆς ἀξίας μου· ἢ ὅτι ἠσθένησα βαρέως, ἐπειδὴ ἡ δυσκρασία τοῦ ἀέρος ἔβλαψε τὴν ὑγείαν μου· τότε πόθεν δύναμαι πληροφορηθῆναι, ὅτι ἡ θλίψις μου ἐπῆλθέ μοι ἐκ χειρὸς Κυρίου. Πόθεν; ἐκ τῆς πίστεώς σου· οὐ πιστεύεις, ὅτι ὁ Θεὸς μετέρχεται ὡς ὄργανα τῆς παντοδυνάμου αὐτοῦ θελήσεως καὶ τοὺς ἀνθρώπους καὶ τὰ στοιχεῖα, καθὼς μετῆλθε τὸν Φαραὼ καὶ τὸν ἀέρα, καὶ τὸ ὕδωρ, καὶ τὸ πῦρ, καὶ τὴν γῆν ἐν τῇ Αἰγύπτῳ εἰς τὸν καιρὸν τοῦ Μωϋσέως; Οὐ πιστεύεις ὅτι « Θεὸς μέγας Κύριος, καὶ βασιλεὺς μέγας » ἐπὶ πᾶσαν τὴν γῆν· Ὅτι ἐν τῇ χειρὶ αὐ- » τοῦ τὰ πέρατα τῆς γῆς, καὶ τὰ ὕψη τῶν » ὀρέων αὐτοῦ εἰσιν. Ὅτι αὐτοῦ ἐστιν ἡ » θάλασσα, καὶ αὐτὸς ἐποίησεν αὐτήν, καὶ » τὴν ξηρὰν αἱ χεῖρες αὐτοῦ ἔπλασαν » (3); Οὐχ ὁμολογεῖς, ὅτι « Κύριος θανατοῖ καὶ » ζωογονεῖ, κατάγει εἰς ᾅδου καὶ ἀνάγει. » Κύριος πτωχίζει καὶ πλουτίζει, ταπεινοῖ » καὶ ἀνυψοῖ· ἀνιστᾷ ἀπὸ γῆς πένητα, » καὶ ἀπὸ κοπρίας ἐγείρει πτωχόν, καθίσαι » μετὰ δυναστῶν λαοῦ, καὶ θρόνου δόξης » κατακληρονομεῖν αὐτόν » (4); Οὐκ ἀκούεις τὸν Κύριόν σου, ὅστις εἰπών· « Ὑμῶν » δὲ καὶ αἱ τρίχες τῆς κεφαλῆς πᾶσαι ἠριθ- » μημέναι εἰσίν » (5)· ἐφανέρωσε διὰ τούτου, ὅτι πάντα τὰ καθ' ἡμᾶς, καὶ αὐτὰ δηλονότι τὰ μικρότατα αὐτὸς διευθύνει, καὶ οἷς οἶδε κρίμασι διατάσσει καὶ διορίζει; ἐὰν πιστεύῃς, ὅτι ἐστὶ Θεὸς ἀναγκάζεσαι πιστεῦσαι, ὅτι περὶ πάντων προνοεῖ, διότι, ἐὰν μὴ περὶ πάντων προνοῇ, οὐ προνοεῖ, ἢ καθότι οὐ δύναται, ἢ καθότι οὐ θέλει, τὸ πρῶτόν ἐστιν ἀδυναμία· τὸ δεύτερον κακία· καὶ τὰ δύω δέ εἰσι πάθη ἀπέχοντα ἀπὸ τῆς ἀπαθεστάτης καὶ παντοδυνάμου καὶ πανυπερτελείου φύσεως τῆς θεότητος περισσότερον, ἢ ὁ οὐρανὸς ἀπὸ τῆς γῆς. Βλέπεις οὖν, ὅτι ἐὰν πιστεύῃς, ὅτι ἐστὶ Θεός, ἔχεις πληροφορίαν, ὅτι καὶ ἡ συμφορὰ καὶ ἡ λύπη καὶ ἡ ἀσθένεια, καὶ εἴτι ἄλλο πάσχεις, ἐκ Θεοῦ ἐστιν.

Ἐπειδὴ οὖν πάντες οἱ πιστοὶ τοιαύτην ἔχομεν πληροφορίαν, ἀκούσατε πῶς ἐκ τῆς

(1) Β'. Κορ. 10. (2) Ἰωάν. 16, 33. (3) Ψαλ. 94, 3.—5. (4) Α'. Βασ. 1, 6,—8. (5) Ματθ. 10, 30.

πληροφορίας ταύτης προέρχεται τῶν θλίψεων ἡ παρηγορία. Πολλά εἰσι τοῦ Θεοῦ τὰ ὀνόματα, ἐπίσημον δὲ μεταξὺ τούτων καὶ πανένδοξον τὸ ὄνομα πατήρ· τοῦτο τὸ ὄνομα ὡς δηλωτικὸν τῆς ἀγάπης καὶ εὐσπλαγχνίας αὐτοῦ, τόσον ἀρεστόν ἐςιν εἰς αὐτόν, ὥστε οὐ μόνον ηὐδόκησεν, ἵνα γραφῇ εἰς πάμπολλα μέρη τῶν ἁγίων αὐτοῦ Γραφῶν, ἀλλὰ καὶ διέταξεν, ἵνα, ὅταν προσευχώμεθα, ὀνομάζωμεν αὐτὸν πατέρα. « Οὕτως οὖν, εἶπε, προσεύχεσθε ὑμεῖς· Πάτερ ὑμῶν, ὁ ἐν τοῖς οὐρανοῖς » (1). Ἐπειδὴ οὖν καὶ λέγεται, καὶ ἔστι πατὴρ ἡμῶν ὁ Θεός, ἀκόλουθόν ἐστιν, ὅτι καὶ ἡ ἐξ αὐτοῦ πεμπομένη ἡμῖν τιμωρία πατρική ἐστιν, ἤγουν συμφέρουσα καὶ ὠφέλιμος· διότι ποῖος πατὴρ παιδεύει τὸν υἱὸν αὐτοῦ οὐχ ἵνα ὠφελήσῃ, ἀλλ' ἵνα βλάψῃ αὐτόν; ἐπειδή, λέγω, πατήρ ἐστι, καὶ πατὴρ τοσοῦτον φιλότεκνος, ὥστε τόσην ἀγάπην ἔχει πρὸς τὰ τέκνα αὐτοῦ, ὅσην οὐδεὶς ἄλλος. « Μείζονα ταύτης ἀγάπην οὐδεὶς ἔχει, ἵνα τις » τὴν ψυχὴν αὐτοῦ θῇ ὑπὲρ τῶν φίλων » αὐτοῦ » (2)· φανερόν ἐστιν, ὅτι καὶ αὐτὴ ἡ ἐξ αὐτοῦ παίδευσις ἀγάπη ἐστίν, ἔλεός ἐστι καὶ εὐεργεσία· παιδεύει, ἵνα ἐμποδίσῃ τὴν βλάβην· « Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ » (3). Παιδεύει, ἵνα διορθώσῃ· « Καὶ ἡ παιδεία Κυρίου ἀνοίγει μου τὰ » ὦτα. ἐγὼ δὲ οὐκ ἀπειθῶ, οὐδὲ ἀντιλέγω » (4). Παιδεύει, ἵνα ἐλεήσῃ, « Ἐπισκέψομαι ἐν ῥάβδῳ τὰς ἀνομίας αὐτῶν, » καὶ ἐν μάστιξι τὰς ἀδικίας αὐτῶν· τὸ δὲ » ἔλεός μου οὐ μὴ διασκεδάσω ἀπ' αὐτῶν » (5). Παιδεύει, ἵνα δοκιμάσῃ καὶ δοξάσῃ· « Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς » (6). Παιδεύει ὀλίγον, ἵνα εὐεργετήσῃ πολύ· « Καὶ ὀλίγα » παιδευθέντες, μεγάλα εὐεργετηθήσονται » (7). Ἐὰν τὸ χρυσίον εἶχεν αἴσθησιν καὶ φωνήν, ἐκραύγαζεν ἀναμφιβόλως, καὶ ἔλεγε πρὸς τὸν χρυσοχόον· βάλε με εἰς τὸ χωνευτήριον, καὶ φλόγιζέ με· διότι ὅσον με φλογίζεις, τόσον με καθαρίζεις.

Στενοχωρούμεθα ἀληθῶς, ὅταν καταπίνωμεν τὰ ἰατρικά, καὶ ναυτιῶμεν καὶ πάσχομεν· τρέμομεν ἀληθῶς καὶ ὀδυνώμεθα, ὅταν ὁ χειροῦργος ἐκτείνῃ τὴν χεῖρα αὐτοῦ, ἵνα κόψῃ τὸ σεσηπὸς ἡμῶν μέλος· ὅμως ἐπειδὴ πιστεύομεν, ὅτι αὐτὰ διώκουσι τὸν θάνατον, καὶ φέρουσι τὴν ζωήν, καταπαύουσι τῆς ἀῤῥωστίας τοὺς πόνους, καὶ προξενοῦσι τῆς ὑγείας τὴν ἡδονήν, οὐ μόνον ὑποφέρομεν καὶ τῶν ἰατρικῶν τὴν ἐνόχλησιν, καὶ τῆς διατομῆς τοὺς φόβους, ἀλλὰ καὶ ζητοῦμεν αὐτὰ παρὰ τῶν ἰατρῶν καὶ εὐχαριστοῦμεν αὐτοῖς λόγῳ τε καὶ ἔργῳ· πολλῷ μᾶλλον ὅστις πεπληροφορημένος ἐστίν, ὅτι ὁ Θεὸς διὰ τῆς συμφορᾶς ἐμποδίζει τὰ βλάπτοντα τὴν ψυχὴν αὐτοῦ, καὶ ἐπιστρέφει αὐτὸν ἀπὸ τῆς ὁδοῦ τῆς ἀπωλείας, καὶ ἐπιχέει θεραπευτικὸν ἔλεος ἐπὶ τὰς πληγὰς τῶν ἁμαρτιῶν αὐτοῦ, καὶ παιδεύει αὐτὸν πρὸς καιρὸν ὀλίγον, ἵνα ἀναπαύσῃ καὶ εὐεργετήσῃ αὐτὸν εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἐκεῖνος οὐ μόνον αἰσθάνεται ἐλάφρυνσιν τῶν πόνων καὶ παρηγορίαν τῶν θλίψεων, ἀλλὰ καὶ εὐαρεστεῖται καὶ καθηδύνεται ἐν αὐτοῖς, καθὼς ὁ θεόληπτος Παῦλος.

Ἡ ἄγνοια τῶν μελλόντων γενέσθαι αὐξάνει τὴν ἐν ταῖς συμφοραῖς θλίψιν· ἐπειδὴ

(1) Ματθ. 6, 9. (2) Ἰωάν. 15, 13. (3) Σοφ. 4, 11. (4) Ἡσ. 50, 5. (5) Ψαλ. 88, 32, 33, 34.
(6) Σοφ. 3, 6. (7) Αὐτ. 5.



οὐ βλέπομεν, οὐδὲ γινώσκομεν ὅσα πολλάκις συμβαίνουσιν εἰς τὸν μέλλοντα καιρόν, διὰ τοῦτο ὑπερβαλλόντως λυπούμεθα, ὅταν πίπτωμεν εἰς συμφορὰς καὶ δυστυχίας. Διὰ τί θλίβεσαι τόσον πολλά; διότι ἐστερήθης τοῦ πλούτου σου; ἀλλ' ἐὰν ἔβλεπες, ὅτι ὁ πλοῦτός σου ἔμελλε καταποντίσαι σε εἰς ἀσωτείας, αἵτινες ἔφθειρον τὴν ὑγείαν σου, καὶ ἐσμίκρυνον τὰς ἡμέρας τῆς ζωῆς σου, ἡ λύπη σου ἐξηλείφετο· διότι προέκρινες τὴν ὑγείαν καὶ τὴν ζωὴν τῆς ἀῤῥωστίας καὶ τοῦ θανάτου. Διὰ τί λυπεῖσαι; διότι ἐγυμνώθης τῆς ἀξίας καὶ τῆς ἐξουσίας σου; ἀλλ', ἐὰν ἔβλεπες, ὅτι ἡ ἀξία καὶ ἡ ἐξουσία σου ἔμελλον κατακρημνίσαι σε εἰς ἀδικίας καὶ ἁρπαγὰς καὶ καταδυναστείας, ἐξ ὧν περιέπιπτες εἰς τὰς κατακρίσεις καὶ τιμωρίας τῶν πολιτικῶν νόμων, ἡ λύπη σου ἔφευγε· διότι προέκρινες τὸν ἰδιωτικὸν βίον τῆς αἰσχύνης καὶ τιμωρίας. Διὰ τί κλαίεις πικρῶς, διότι ἀπέθανεν ὁ μονογενής σου υἱός, καὶ ἐγκατελείφθης ἄτεκνος; ἀλλ', ἐὰν προέβλεπες, ὅτι ὁ υἱός σου ἔμελλε γενέσθαι φθορεὺς τῶν ὑπαρχόντων σου, ἢ προδότης τῆς τιμῆς σου, ἢ κλέπτης, ἢ λῃστής, τότε ἡ λύπη οὐχ εὕρισκε τόπον εἰς τὴν καρδίαν σου· διότι προέκρινες τὴν ἀτεκνίαν μᾶλλον, ἢ τὰ τοσαῦτα κακά. Διατί κραυγάζεις καὶ ὀδύρεσαι, καὶ γογγύζεις; διὰ τοὺς πόνους τῆς ἀσθενείας σου; ἀλλ', ἐὰν προεγνώριζες, πόσα κακὰ ἔμελλε προξενῆσαί σοι ἡ ὑγεία, ἐδίωκες καὶ τὰς κραυγὰς καὶ τοὺς ὀδυρμοὺς καὶ τὸν γογγυσμόν σου· διότι προέκρινες ἓν κακὸν μᾶλλον, ἢ ἄλλα πολλὰ καὶ θλιβερώτερα. Γίνεται οὖν ἡ θλίψις ὑπερβολικὴ ἐν ταῖς συμφοραῖς, ἐπειδὴ οὐκ ἐσμὲν οὐδὲ προορατικοί, οὐδὲ προγνωστικοὶ τῶν μελλόντων· ἀλλὰ κἂν οὐδὲ βλέπωμεν, οὐδὲ προγνωρίζωμεν τὰ μέλλοντα, ἔχομεν ὅμως τὴν πίστιν, ἥτις κατευνάζει τὴν θλίψιν, καὶ φέρει τὴν παρηγορίαν εἰς τὸν ἄνθρωπον· προσκάλεσον εἰς τὸν καιρὸν τῆς συμφορᾶς σου τὴν πίςιν, καὶ ἄκουσον ὅσα αὐτή σε διδάσκει· αὐτὴ λέγει σοι, ὅτι τὰ πάντα ἐκ Θεοῦ, καὶ χωρὶς τοῦ Θεοῦ οὐδέν· αὐτὴ λέγει σοι, ὅτι ὁ Θεός, ὡς πατὴρ ὑπὲρ πάντας τοὺς πατέρας φιλοστοργότατος, πρὸς τὸ συμφέρον ἡμῶν ἀποστέλλει πρὸς ἡμᾶς τὰς συμφορὰς καὶ τὰς ἀσθενείας· αὐτὴ λέγει σοι, ὅτι ἡ μικρὰ καὶ πρόσκαιρος τιμωρία προξενεῖ σοι ἀπέραντον δόξαν καὶ αἰώνιον βασιλείαν. Ἐὰν πιστεύσῃς καὶ πληροφορηθῇς, ὅτι ταῦτά εἰσιν ἀληθῆ, βέβαια, ἀναντίῤῥητα, ἡ τοιαύτη πληροφορία γίνεται ἀντιφάρμακον πάσης θλίψεως· αὐτὴ σπογγίζει τὰ δάκρυα τῶν ὀφθαλμῶν, γλυκαίνει τῆς ἀῤῥωστίας τοὺς πόνους, διασκεδάζει τὴν ζάλην τῆς ψυχῆς, φέρει γαλήνην καὶ χαρὰν εἰς τὴν καρδίαν.

Πολλὰς καὶ μεγάλας θλίψεις ἐδοκίμασεν ὁ προφητάναξ Δαβίδ· καθ' ὑπερβολὴν ἐστενοχώρησαν αὐτὸν οἱ ἄδικοι διωγμοὶ τοῦ Σαούλ· ἐτραυμάτισε τὴν καρδίαν αὐτοῦ ὁ ἄωρος θάνατος τοῦ ἐκ τῆς Βηρσαβεὲ γεννηθέντος αὐτῷ παιδίου· ἐλύπησαν αὐτὸν οἱ συχνοὶ πόλεμοι τῶν ἐχθρῶν αὐτοῦ· κατέθλιψεν αὐτὸν ἡ καταδρομὴ τοῦ υἱοῦ αὐτοῦ Ἀβεσσαλώμ, καὶ ὁ ἐλεεινὸς αὐτοῦ θάνατος ἔφερεν εἰς αὐτὸν βαθεῖς ἀναστεναγμοὺς καὶ πικρὰ δάκρυα· ἔστρεφε τὸν νοῦν αὐτοῦ ἐν τῷ καιρῷ τῶν συμφορῶν ἔνθεν κἀκεῖθεν, ἵνα εὕρῃ παρηγορίαν, πλὴν ματαίως ἐκοπίαζε, διότι ἡ ψυχὴ αὐτοῦ οὐδεμίαν ἐδέχετο πα-

ραμυθίαν· « Ἀπηνήνατο, ἔλεγε, παρακληθῆναι ἡ ψυχή μου » (1). Ἀλλ' ἐνθυμήθη, λέγει, τὸν Θεὸν « Ἐμνήσθην τοῦ Θεοῦ ». Τί τοῦτο σημαίνει; αὐτὸς πάντοτε εἶχεν ἐν τῇ μνήμῃ αὐτοῦ τὸν Θεόν· διὰ τί οὖν λέγει, ὅτι τότε ἐμνήσθη τοῦ Θεοῦ, ὅτε ἡ ψυχὴ αὐτοῦ οὐκ ἐδέχετο παρηγορίαν; Διότι τότε, ἐν τῷ καιρῷ τῆς θλίψεως αὐτοῦ, ἐξηρεύνησεν ἀκριβέστερον τὰ ὑπὸ τοῦ Θεοῦ οἰκονομούμενα διὰ τῶν θλίψεων· « Ἐν ἡμέρᾳ θλίψεώς μου, λέγει, τὸν Θεὸν ἐξεζήτησα » (2). Ἐρευνήσας δέ, ἐπληροφορήθη, ὅτι ὁ Θεὸς ἀπέστειλεν αὐτῷ τὰς θλίψεις, ὅτι ὁ Θεός ἐστι πανάγαθος πατήρ, ὅτι ὁ Θεός, ὁ βλέπων τὰ μέλλοντα, καθὼς καὶ τὰ παρόντα, οἰκονομεῖ πρὸς τὸ συμφέρον ἡμῶν τὰ πάντα· ἡ τοιαύτη δὲ πληροφορία οὐκ ἠπάτησεν αὐτόν, ἀλλ' ἐποίησεν ἔργον θαυμάσιον· « Ἐν ἡμέρᾳ θλίψεώς μου τὸν Θεὸν ἐξεζήτησα, ταῖς χερσί μου νυκτὸς ἐναντίον αὐτοῦ, καὶ οὐκ ἠπατήθην ». Ἐξεῤῥίζωσε δηλαδὴ τὴν θλίψιν, καὶ ἔφερεν εἰς τὴν καρδίαν αὐτοῦ τὴν ἀγαλλίασιν· διὸ μετὰ πολλῆς εὐφροσύνης ἐκραύγαζεν· « Ἐμνήσθην τοῦ Θεοῦ, καὶ εὐφράνθην ».

Ποῖος ἄλλος ἄνθρωπος εἰς τὸν κόσμον ἐδοκίμασεν ἢ ἐλεεινοτέρας συμφοράς, ἢ βεβαιοτέρας ἀνάγκας, ἢ θλιβερωτέρας ὀδύνας ἐκείνων, ὅσας ἐδοκίμασεν εἰς ἕνα καὶ τὸν αὐτὸν καιρὸν ὁ πολύαθλος Ἰώβ; Πλούσιος ἦν ἐκεῖνος, πολύτεκνος, « Εὐγενὴς τῶν ἀφ' ἡλίου ἀνατολῶν » (3), ἔνδοξος, ὑγιής· ἅμα δέ, τουτέστιν ἀπὸ μιᾶς ἡμέρας ἕως ἄλλης ἐγένετο πάμπτωχος, ἄτεκνος, ἰδιώτης, ἀσθενὴς καὶ κατατετραυματισμένος « Ἀπὸ ποδῶν ἕως κεφαλῆς » (4). Εἰς τοιαύτην δὲ κατάστασιν κατήντησεν, ὥστε « Ἐκάθητο ἐπὶ κοπρίας ἔξω τῆς πόλεως, καὶ ἔλαβεν ὄστρακον, ἵνα τὸν ἰχῶρα ξέῃ τῶν πληγῶν αὐτοῦ ». Ἦλθον καὶ οἱ φίλοι αὐτοῦ πρὸς αὐτὸν οὐχὶ πρὸς παρηγορίαν, ἀλλ' εἰς προσθήκην τοῦ πόνου τῆς καρδίας αὐτοῦ· διότι αὐτοὶ ἐλθόντες πρὸς αὐτόν, ἤλεγχον αὐτὸν αὐστηρῶς, καὶ ἐξωνείδιζον αὐτὸν ὡς ὑποκριτὴν καὶ παράνομον· καὶ αὐτὴ δὲ ἡ γυνὴ αὐτοῦ ἐπεσώρευε θλίψιν ἐπὶ τὰς θλίψεις αὐτοῦ, καὶ ἄλγος ἐπὶ τὰ ἄλγη αὐτοῦ, πειράζουσα καὶ προτρέπουσα αὐτόν, ἵνα βλασφημήσῃ. Ποῖον δὲ βάλσαμον εὕρηκεν ὁ πανάριστος εἰς τοσαύτας θλίψεις; ποῖον ἔμπλαστρον εἰς τοσαύτας πληγάς; ἐσυλλογίσθη ὁ παμμακάριστος, ὅτι ταῦτα πάντα ἐκ Θεοῦ εἰσι, καὶ ὅτι ὁ Θεὸς οὕτως ηὐδόκησεν· ὅθεν ἔλεγεν· « Ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτως ἐγένετο » (5). Ἡ τοιαύτη δὲ πληροφορία ἔφερεν εἰς τὴν ψυχὴν αὐτοῦ τὴν ἀνδρίαν, τὴν καρτερότητα, τὴν ὑπομονήν, καὶ εἰς τὸ στόμα αὐτοῦ τὴν πρὸς τὸν Θεὸν εὐχαριστίαν· « Ὡς τὸ Κυρίῳ ἔδοξεν, ἐβόα, οὕτως ἐγένετο· εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ». Ὢ λόγια σεβάσμια, ἅγια, ψυχοσωτήρια· λόγια παρηγορητικά, ἰαματικά, χάριτος θείας πεπληρωμένα.

Θεὲ καὶ Κύριε τῶν δυνάμεων, καὶ πάσης κτίσεως δημιουργέ, « Πᾶσα δόσις ἀγαθὴ καὶ πᾶν δώρημα τέλειον ἄνωθέν ἐστι καταβαῖνον ἀπὸ σοῦ τοῦ πατρὸς τῶν φώτων » (6), δὸς ἡμῖν τοῦτο τὸ δώρημα, ἵνα, ὅταν βασανίζωσιν ἡμᾶς τῆς ἀσθενείας οἱ πόνοι, ἢ τυραννῇ ἡμᾶς τῶν συμφορῶν ἡ θλίψις, μὴ βλέπωμεν κάτω εἰς τὴν γῆν, ὡς τὰ ἄλογα ζῶα, ἀλλ' ὡς λογικοὶ ἄνθρωποι αἴρωμεν ἄνω εἰς τὸν οὐρανὸν τὰ ὄμματα· ἀξίωσον ἡμᾶς, ἵνα μνημονεύωμεν, ὅτι σὺ

(1) Ψαλ. 76, 3. (2) Αὐτ. 2. (3) Ἰὼβ. 1, 3. (4) Αὐτ. 2, 7, 8. (5) Αὐτ. 1, 11. (6) Ἰακ. 1, 17.



εἶ ὁ πατὴρ ἡμῶν, ὅστις τοσοῦτον ἠγάπησας ἡμᾶς, ὥστε τὸν μονογενῆ σου Υἱὸν ἔδωκας ὑπὲρ τῆς σωτηρίας ἡμῶν (1)· καὶ ὅτι σὺ ἐξαποστέλλεις καὶ τὴν εὐτυχίαν καὶ τὴν δυστυχίαν, καὶ τὴν ὑγείαν καὶ τὴν ἀσθένειαν, πληροφόρησον τὸν νοῦν ἡμῶν, ὅτι πρὸς τὸ συμφέρον ἡμῶν ἀποστέλλεις τὰς διαφόρους θλίψεις· καὶ ὅτι πλήττεις, ἵνα ἰατρεύσῃς, παιδεύεις, ἵνα ἐλεήσῃς· τιμωρεῖς, ἵνα δοξάσῃς· θὲς εἰς τὸν νοῦν ἡμῶν τὸ νόημα, ὅπερ ἐνόησεν ὁ μακάριος Ἰώβ, ὅταν διὰ τῶν τοσούτων θλίψεων τὴν ὑπομονὴν αὐτοῦ ἐδοκίμαζες· βάλε εἰς τὴν ψυχὴν ἡμῶν τὴν ἔννοιαν τῶν λόγων τῆς θείας προσευχῆς, ἣν ὁ μονογενής σου Υἱὸς ἡμᾶς ἐδίδαξε.

Μακάριος, ἀδελφοί, ἐκεῖνος ὁ ἄνθρωπος, ὅστις εἰς πᾶσαν θλίψιν αὐτοῦ καὶ φρονεῖ καὶ λέγει τὰ ἅγια τοῦ Ἰὼβ λόγια· « Ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτως ἐγένετο· εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον » (2). Μακάριος ἐκεῖνος ὁ ἄνθρωπος, ὅστις εἰς πᾶσαν θλιβερὰν αὐτοῦ περίστασιν καὶ φρονεῖ καὶ λέγει τὰ θεῖα καὶ σωτήρια τῆς δεσποτικῆς προσευχῆς ῥήματα· « Γεννηθήτω τὸ θέλημά σου ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς » (3).

# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΗΝ ΠΡΟΣ

# ΓΑΛΑΤΑΣ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗι Κ'. ΚΥΡΙΑΚΗι.

ΠΡΟΓΟΝΟΙ τῶν Γαλατῶν, πρὸς οὓς ὁ θεσπέσιος Παῦλος τὴν ἐπιστολὴν αὐτοῦ ἔπεμψεν, ἦσαν οἱ Γάλλοι (4). Αὐτοὶ τὴν Ἑλλάδα διελθόντες, καὶ διὰ τῆς ὁδηγίας τοῦ ἀρχιστρατήγου αὐτῶν Βρούνου εἰς τὴν Μικρὰν Ἀσίαν καταντήσαντες, κατῴκησαν εἰς τὸν μεταξὺ Καππαδοκίας καὶ Φρυγίας τόπον (5), Γαλατίαν αὐτὸν ὀνομάσαντες (6). Τούτους δὲ τοὺς Γαλάτας πρῶτος ὁ Παῦλος ἐδίδαξε τὸ Εὐαγγέλιον, δὶς διὰ τῆς Γαλατίας διελθών (7)· πρῶτον μέν, ὅτε ἐξελθὼν ἐκ τῆς Λύστρας διεπορεύετο τὰς πόλεις (8)· δεύτερον δέ, ὅταν ἀναχωρήσας ἀπὸ τῆς Ἀντιοχείας, « Διήρχετο τὴν Γαλατικὴν χώραν καὶ τὴν Φρυγίαν ». Μαρτυρεῖ δὲ ὁ Παῦλος, ὅτι οἱ Γαλάται μετὰ πολλῆς εὐλαβείας καὶ περιποιήσεως ὑπεδέχθησαν αὐτόν, ὅτε ἦλθε πρὸς αὐτούς· « Ὡς ἄγγελον Θεοῦ ἐδέξασθέ με, ὡς Χριστὸν Ἰησοῦν. Μαρτυρῶ γὰρ ὑμῖν, ὅτι εἰ δυνατόν, τοὺς ὀφθαλμοὺς ὑμῶν ἐξορύξαντες ἂν ἐδώκατέ μοι » (9). Μετὰ δὲ ταῦτα ἐλθόντες εἰς τὴν Γαλατίαν ἄνθρωποι ταραξίαι, καὶ τῆς εὐαγγελικῆς διδασκαλίας φθορεῖς, ἐκ τῆς φατρίας ἐκείνων, οἵτινες ἠνάγκαζον τοὺς ἐξ ἐθνῶν πιστεύοντας, ἵνα

(1) Ἰωάν. 3, 6. (2) Ἰὼβ 1, 21. (3) Ματθ. 6, 10. (4) Αἰβ. β. 38. (5) Ἰουστ. β'. 25. (6) Γαλ. 4, 13.
(7) Πράξ. 16, 6. (8) Αὐτ. 18, 23. (9) Γαλ. 4, 14, 15.

περιτέμνωνται, ἔπεισαν πολλοὺς τῶν Γαλατῶν, ὅτι ἡ τοῦ ἑϐραϊκοῦ νόμου περιτομή ἐστιν ἀναγκαία πρὸς τὴν σωτηρίαν. Τοῦτο δὲ μαθὼν ὁ Παῦλος ἔγραψε τὴν πρὸς αὐτοὺς ἐπιςολήν, δέσμιος ὢν ἐν Ῥώμῃ, ὡς φανεροῦσι ταῦτα τὰ ἐν τῷ τέλει ταύτης τῆς ἐπιστολῆς αὐτοῦ λόγια· « Τοῦ λοιποῦ κόπους μοι » μηδεὶς παρεχέτω· ἐγὼ γὰρ τὰ στίγματα » τοῦ Κυρίου Ἰησοῦ ἐν τῷ σώματί μου βα» ςάζω » (1)· δι' αὐτῆς δὲ καὶ ἐνουθέτησε καὶ ἤλεγξεν αὐτούς, καὶ διηρμήνευσε τὰ τῆς Γραφῆς, καὶ διὰ πολλῶν ἀποδείξεων ἀπέδειξεν, ὅτι οὐχὶ τὰ τοῦ νόμου ἔργα, ἀλλ' ἡ εἰς Χριςὸν πίστις δικαιοῖ τὸν ἄνθρωπον (2)· καὶ ὅτι, ἐὰν περιτέμνωνται, οὐδὲν ὠφελήσει αὐτοὺς ἡ τοῦ Κυρίου Ἰησοῦ ἐνανθρώπησις (3). Ἐπειδὴ δὲ ἐκεῖνοι οἱ ἀπατεῶνες, ἵνα εὐκολώτερον πλανήσωσι τοὺς Γαλάτας, κατηγόρουν τὸν Παῦλον, ὡς ἐκ ταύτης τῆς ἐπιστολῆς συμπεραίνεται, λέγοντες, ὅτι αὐτὸς οὐδὲ εἶδεν, οὐδὲ ἤκουσε τὸν Ἰησοῦν Χριστόν, οὐδὲ ἐδιδάχθη, οὐδὲ ἀπεστάλη παρ' αὐτοῦ, καθὼς ὁ Πέτρος καὶ ὁ Ἰάκωβος καὶ ὁ Ἰωάννης, καὶ οἱ λοιποὶ Ἀπόστολοι, ἀλλ' ἐστὶ μαθητὴς τῶν μαθητῶν τοῦ Χριστοῦ· διὰ τοῦτο ἠναγκάσθη εὐθὺς εἰς τὰς ἀρχὰς τῆς ἐπιστολῆς αὐτοῦ ἱστορῆσαι τό, ὅτι καὶ τὸν Ἰησοῦν Χριστὸν εἶδεν, ὑπ' αὐτοῦ δὲ καὶ ἐδιδάχθη, καὶ ἐπέμφθη, ἵνα κηρύξῃ τὸ Εὐαγγέλιον (4)· καὶ ὅτι πρὶν ἢ ἔλθῃ εἰς τὰ Ἱεροσόλυμα, ἐδίδαξε τὴν πίστιν εἰς τὴν Ἀραβίαν καὶ εἰς τὴν Δαμασκόν· μόνον δὲ μετὰ τρία ἔτη, ἐξότου ἐπίστευσεν, ἦλθεν εἰς τὴν Ἱερουσαλήμ, οὐχ ἵνα διδαχθῇ ἐκεῖ τὰ τῆς πίστεως, ἀλλ' ἵνα ἱστορήσῃ τὸν Πέτρον, καὶ ὅτι οὐδένα ἄλλον τῶν Ἀποστόλων εἶδεν, εἰ μὴ τὸν Ἰάκωβον τὸν ἀδελφὸν τοῦ Κυρίου. Ταύτην τὴν ἀπολογίαν αὐτοῦ περιέχει ἡ σήμερον ἀναγνωσθεῖσα περικοπὴ ταύτης τῆς ἐπιστολῆς αὐτοῦ, ἀρχομένη οὕτως·

*Ἀδελφοί, γνωρίζω ὑμῖν τὸ Εὐαγγέλιον, τὸ Εὐαγγελισθὲν ὑπ' ἐμοῦ, ὅτι οὐκ ἔστι κατὰ ἄνθρωπον. Οὐδὲ γὰρ ἐγὼ παρὰ ἀνθρώπου παρέλαβον αὐτό, οὔτε ἐδιδάχθην· ἀλλὰ δι' ἀποκαλύψεως Ἰησοῦ Χριστοῦ* (5).

Προλαβόν, ἤγουν ἐν αὐτῇ τῇ ἀρχῇ τῆς ἐπιστολῆς αὐτοῦ εἶπεν, ὅτι ἐστὶν Ἀπόστολος, οὐκ ἀπ' ἀνθρώπων ἀπεσταλμένος, οὐδὲ δι' ἀνθρώπου διωρισμένος πρὸς τὸ κήρυγμα, ἀλλὰ δι' αὐτοῦ τοῦ Ἰησοῦ Χριστοῦ. « Παῦ» λος Ἀπόστολος οὐκ ἀπ' ἀνθρώπων, οὐδὲ » δι' ἀνθρώπου, ἀλλὰ διὰ Ἰησοῦ Χρι» στοῦ » (6). Ἔπειτα προβάς, λέγει· δηλοποιῶ ὑμῖν, ὦ Γαλάται, ὅτι τὸ Εὐαγγέλιον, ὅπερ ἐγὼ ἐκήρυξα « Οὐκ ἔστι κατὰ » ἄνθρωπον », ἤγουν οὐδὲ ἀνθρώπου ἔργον ἐστίν, οὐδὲ ἀνθρώπων νοήματα περιέχει· ἀλλὰ ποία τοῦ λόγου τούτου ἡ ἀπόδειξις; διότι, λέγει, ἐγὼ οὐδέ παρέλαβον, οὐδὲ ἐδιδάχθην αὐτὸ ὑπὸ ἀνθρώπου, « Ἀλλὰ δι' » ἀποκαλύψεως Ἰησοῦ Χριστοῦ ». Τοῦτο δὲ σημαίνει, ὅτι αὐτὸς ὁ Ἰησοῦς Χριστὸς ἐμφανισθείς, εἰς αὐτὸν παρέδωκε καὶ ἐδίδαξεν αὐτὸν τὸ Εὐαγγέλιον. Ταῦτα δέ εἰσιν ἡ πρότασις τῆς ἀπαντήσεως τῶν λόγων ἐκείνων τῶν ἀπατεώνων, οἵτινες ἐπλάνουν τοὺς Γαλάτας φλυαροῦντες καὶ λέγοντες, ὅτι ὁ Παῦλος παρέλαβε καὶ ἐδιδάχθη τὰ τῆς πίστεως παρὰ ἀνθρώπων, οὐχὶ δὲ παρὰ

(1) Γαλ. 6, 17. (2) Αὐτ. 2, 16. (3) Αὐτ. 5. (4) Αὐτ· 1, 11, κτ. (5) Αὐτ. 1, 11, 12.
(6) Αὐτ. 1, 1.



τοῦ Ἰησοῦ Χριστοῦ, καθὼς ὁ Πέτρος καὶ οἱ λοιποὶ Ἀπόστολοι. Ταύτης δὲ τῆς προτάσεως ἐπιφέρει τὴν ἀπόδειξιν, λέγων·

*Ἠκούσατε γὰρ τὴν ἐμὴν ἀναστροφήν ποτε ἐν τῷ ἰουδαϊσμῷ, ὅτι καθ' ὑπερβολὴν ἐδίωκον τὴν ἐκκλησίαν τοῦ Θεοῦ, καὶ ἐπόρθουν αὐτήν· Καὶ προέκοπτον ἐν τῷ ἰουδαϊσμῷ ὑπὲρ πολλοὺς συνηλικιώτας ἐν τῷ γένει μου, περισσοτέρως ζηλωτὴς ὑπάρχων τῶν πατρικῶν μου παραδόσεων* (1).

Τόσον ἐπίσημοι καὶ περιβόητοι ἦσαν οἱ κατὰ τῶν χριστιανῶν διωγμοὶ τοῦ Παύλου, πρὶν ἢ πιστεύσῃ εἰς τὸν Χριστόν, ὥςε ὁ τοῦ Χριστοῦ μαθητὴς Ἀνανίας, ὁ ἐν τῇ Δαμασκῷ εὑρισκόμενος, ὅτε εἶπεν αὐτῷ ὁ δεσπότης Χριστός, ἵνα βαπτίσῃ τὸν Παῦλον, ἐδίστασε, καὶ ἀποκριθεὶς εἶπε· « Κύ» ριε, ἀκήκοα ἀπὸ πολῶν περὶ τοῦ ἀνδρὸς » τούτου, ὅσα κακὰ ἐποίησε τοῖς ἁγίοις σου » ἐν Ἱερουσαλήμ. Καὶ ὧδε ἔχει ἐξουσίαν » παρὰ τῶν ἀρχιερέων δῆσαι πάντας τοὺς » ἐπικαλουμένους τὸ ὄνομά σου » (2). Κἂν οὖν πολὺ ἦν τὸ μεταξὺ τῆς Παλαιστίνης καὶ Γαλατίας διάστημα, ἐπειδὴ ὅμως πολλοὶ καὶ ἐξάκουστοι ἦσαν οἱ ῥηθέντες διωγμοί, ἔφθασεν ἡ τούτων φήμη καὶ εἰς αὐτὴν τὴν Γαλατίαν. Τοῦτο οὖν γινώσκων ὁ Παῦλος, ἔγραφε πρὸς τοὺς Γαλάτας, λέγων· ὑμεῖς, ὦ Γαλάται, « ἠκούσατε τὴν » ἐμὴν ἀναςροφήν ποτε ἐν τῷ ἰουδαϊσμῷ », ἤγουν ἠκούσατε τὸ πρότερόν μου πολίτευμα, ἠκούσατε κατὰ τίνα τρόπον ἐγὼ ἐπολιτευόμην, ὅτε ἤμην προσηλωμένος εἰς τὰς παραδόσεις τῆς ἰουδαϊκῆς πίστεως· ἠκούσατε, ὅτι ἐγὼ ὑπερβαλλόντως « Ἐδίωκον » τὴν ἐκκλησίαν τοῦ Θεοῦ », τουτέστι τοὺς εἰς Χριστὸν πιστεύοντας· « καὶ ἐπόρθουν » αὐτήν »· ἤγουν κατέφθειρον καὶ ἐξηφάνιζον αὐτούς· ἐπειδὴ δὲ ἤμην ζηλωτὴς τῶν ὑπὸ τῶν πατέρων μου παραδοθεισῶν μοι παραδόσεων, ἡ προκοπή μου ἐν τῇ ἰουδαϊκῇ πίστει ὑπερέβαινε τὴν προκοπὴν πολλῶν ὁμογενῶν μου, καὶ τὴν αὐτὴν ἐχόντων ἡλικίαν, ἣν ἐγὼ εἶχον. Πόσον δὲ ζηλωτὴς ἦν ὁ Παῦλος ὑπὲρ τοῦ ἰουδαϊσμοῦ, ἐμφαντικῶς ἱςόρησεν ὁ θεηγόρος Λουκᾶς, εἰπών· « Σαῦ» λος δὲ ἐλυμαίνετο τὴν ἐκκλησίαν, κατὰ » τοὺς οἴκους εἰσπορευόμενος, σύρων τε ἅμα » ἄνδρας καὶ γυναῖκας, παρεδίδου εἰς φυ» λακήν (3). Ὁ δὲ Σαῦλος ἔτι ἐμπνέων ἀ» πειλῆς καὶ φόνου εἰς τοὺς μαθητὰς τοῦ » Κυρίου, προσελθὼν τῷ ἀρχιερεῖ, ἠτήσατο » παρ' αὐτοῦ ἐπιστολὰς εἰς Δαμασκὸν πρὸς » τὰς συναγωγάς, ὅπως, ἐάν τινας εὕρῃ » τῆς ὁδοῦ ὄντας ἄνδρας τε καὶ γυναῖκας, » δεδεμένους ἀγάγῃ εἰς Ἱερουσαλήμ » (4). Ἀλλὰ πῶς διὰ τούτων τῶν λόγων ἀπέδειξεν ὁ Παῦλος, ὅτι δι' ἀποκαλύψεως ἐδιδάχθη τὸ Εὐαγγέλιον; Αὐτὸς ἡτοίμασε καὶ παρέθηκε τὴν ὕλην τῆς ἀποδείξεως, ἀφῆκε δὲ τὸν καθένα, ἵνα ἐπιφέρῃ τὸ συμπέρασμα. Ὁ καθ' ὑπερβολὴν διώκων καὶ ἐξαφανίζων τοὺς χριστιανούς, γίνεται Ἀπόςολος καὶ πρόμαχος τῆς ἐκκλησίας τοῦ Ἰησοῦ Χριστοῦ· ὁ ὑπὲρ πάντας τοὺς τότε Ἰουδαίους ζηλωτὴς τῶν ἰουδαϊκῶν παραδόσεων, ὁ ὑπὲρ πάντας τοὺς τότε Ἰουδαίους ὑπερασπιζόμενος τοὺς ἰουδαϊκοὺς νόμους, γίνεται διδάσκαλος τοῦ Εὐαγγελίου, καὶ κηρύττει πανταχοῦ, ὅτι κατηργήθησαν τὰ ἰουδαϊκὰ παρατηρήματα. Τί ἐστι τοῦτο; πόθεν ἡ

(1) Γαλ. 1, 13, 14. (2) Πράξ. 9, 13, 14. (3) Αὐτ. 8, 3. (4) Αὐτ. 9, 1, 2.

τοιαύτη παραδοξοτάτη μεταβολὴ ἀπὸ μιᾶς καιροῦ στιγμῆς εἰς ἄλλην; πόθεν ἐκεῖνος, ὅστις ὡς ἄγριον θηρίον « Ἐμπνέων ἀπει» λῆς καὶ φόνου εἰς τοὺς μαθητὰς τοῦ Κυ» ρίου (1), ἐπορεύετο εἰς τὴν Δαμασκόν, ἵνα ἐξαφανίσῃ πάντας τοὺς χριστιανούς, μεταβάλλει εἰς τὸν δρόμον βουλὴν καὶ γνώμην, καὶ ἐλθὼν εἰς τὴν Δαμασκὸν ἥμερος, ὡς ἀρνίον, πίπτει εἰς τοὺς πόδας τοῦ Ἀνανίου, καὶ βαπτίζεται ὑπ' αὐτοῦ (2); Πόθεν ὁ ἀγνοῶν τὰ μυστήρια τῆς πίστεως, εὐθὺς μετὰ τὸ βάπτισμα γίνεται διδάσκαλος, καὶ κηρύττει αὐτὰ ἐκεῖ εἰς τὴν Δαμασκόν, ἔπειτα καὶ εἰς τὴν Ἀραβίαν; Πόθεν ἡ τοιαύτη ἀκατανόητος μεταβολή; πόθεν ἡ τοσαύτη καὶ τοιαύτη γνῶσις τῶν μυστηρίων τῆς πίστεως; « Αὕτη ἡ ἀλλοίωσις τῆς δε» ξιᾶς τοῦ ὑψίστου » (3). Αὐτὸς οὖν ὁ Θεός, ὅστις μετέβαλε τὴν βουλὴν αὐτοῦ ἀπὸ τῆς πλάνης πρὸς τὴν ἀλήθειαν, αὐτὸς ἀπεκάλυψεν εἰς αὐτὸν τὸ Εὐαγγέλιον, ἤγουν πάντα τὰ δόγματα καὶ τοὺς νόμους τῆς χριστιανικῆς πίστεως· ἐπιβεβαιοῦσι ταῦτα καὶ τὰ ἀκόλουθα τοῦ Παύλου λόγια.

*Ὅτε δὲ εὐδόκησεν ὁ Θεός, ὁ ἀφορίσας με ἐκ κοιλίας μητρός μου, καὶ καλέσας διὰ τῆς χάριτος αὐτοῦ, Ἀποκαλύψαι τὸν Υἱὸν αὐτοῦ ἐν ἐμοί, ἵνα εὐαγγελίζωμαι αὐτὸν ἐν τοῖς ἔθνεσιν, εὐθέως οὐ προσανεθέμην σαρκὶ καὶ αἵματι* (4).

Πότε ἀπεκάλυψεν ὁ Θεὸς τὸν Υἱὸν αὐτοῦ εἰς τὸν Παῦλον; Ὅτε ὁ Παῦλος ἐπορεύετο εἰς τὴν Δαμασκόν, ἵνα σύρῃ τοὺς χριστιανοὺς δεδεμένους εἰς τὴν Ἱερουσαλήμ. Τότε, ὅτε « Ἐξαίφνης περιήστραψεν αὐτὸν φῶς » ἀπὸ τοῦ οὐρανοῦ· καὶ πεσὼν ἐπὶ τὴν γῆν, » ἤκουσε φωνὴν λέγουσαν αὐτῷ· Σαούλ, » Σαούλ, τί με διώκεις; Εἶπε δέ· τίς εἶ, » Κύριε; ὁ δὲ Κύριος εἶπεν αὐτῷ· Ἐγώ εἰμι » Ἰησοῦς, ὃν σὺ διώκεις » (5). Ταύτην δὲ τὴν ἀποκάλυψιν οὐ μόνον ὁ ἱερὸς Λουκᾶς ἱστόρησεν, ἀλλὰ καὶ αὐτὸς ὁ Παῦλος διηγήσατο εἰς τὴν Ἱερουσαλὴμ ἐνώπιον τοῦ χιλιάρχου καὶ παντὸς τοῦ λαοῦ (6), ἔτι δὲ καὶ εἰς τὴν Καισάρειαν ἔμπροσθεν τοῦ βασιλέως Ἀγρίππα καὶ τοῦ ἡγεμόνος Φήσου, καὶ πάντων τῶν ἐκεῖ περιεστώτων (7)· Ἐν αὐτῇ δὲ τῇ ἀποκαλύψει προεχείρισεν αὐτὸν ὁ Θεὸς Ἀπόστολον καὶ Εὐαγγελιστὴν τῶν ἐθνῶν, εἰπὼν πρὸς αὐτόν· « Εἰς τοῦτο γὰρ » ὤφθην σοι, προχειρίσασθέ σε ὑπηρέτην » ὧν τε εἶδες, ὧν τε ὀφθήσομαί σοι· ἐξαιρού» μενός σε ἐκ τοῦ λαοῦ καὶ τῶν ἐθνῶν, » εἰς οὓς νῦν σε ἀποστέλλω » (8) Πρὸς τούτοις δὲ καὶ ὅτε ἀπεκαλύφθη αὐτῷ ὁ Χριστὸς εἰς τὴν Ἱερουσαλὴμ ἐν τῷ ἱερῷ, ὅταν προσευχόμενος ἐγένετο ἐν ἐκστάσει· διότι καὶ τότε εἶπεν αὐτῷ ὁ Ἰησοῦς Χριςός· « Πορεύου, ὅτι ἐγὼ εἰς ἔθνη μακρὰν ἐξαπο» στελῶ σε » (9)· Ἐπειδὴ οὖν ὁ Χριστὸς ἀπέςειλεν αὐτὸν διδάξαι τὰ ἔθνη, καὶ προεχείρισεν αὐτὸν ὑπηρέτην, ἤγουν κήρυκα ὧν τε εἶδε καὶ ἔμελλεν ἰδεῖν κατὰ ἀποκάλυψιν, φανερόν ἐστιν, ὅτι αὐτὸς ὁ Ἰησοῦς Χριςὸς ἐδίδαξεν αὐτὸν τὸ Εὐαγγέλιον, ὃ ἔμελλε κηρύττειν καὶ διδάσκειν. Τὰ γενόμενα δὲ τότε ἐν ταύταις ταῖς ἀποκαλύψεσι μετὰ συντομίας καὶ πάσης ταπεινοφροσύνης ἔγραψε πρὸς τοὺς Γαλάτας, ἀναφέρων τὸ ὅλον οὐχὶ εἰς τὴν ἀξιότητα καὶ ἀρετὴν αὐτοῦ, ἀλλ' εἰς τὴν ἀγαθότητα καὶ εἰς τὴν χάριν τοῦ

(1) Πράξ. 9, 1. (2) Αὐτ. 18. (3) Ψαλ. 76, 10. (4) Γαλ. 1, 15, 16. (5) Πράξ. 9, 3, 4, 5.
(6) Πράξ. 22. (7) Αὐτ. 26. (8) Αὐτ. 26, 17. (9) Αὐτ. 22, 21.



Θεοῦ. « Ὅτε δέ, λέγει, εὐδόκησεν ὁ Θεός », ἤγουν ὅτε ἐξ ἰδίας ἀγαθότητος ἠθέλησεν ὁ Θεός, (ὅστις ἐκ κοιλίας μητρός μου διώρισέ με, καὶ διὰ τῆς χάριτος αὐτοῦ ἐκάλεσέ με εἰς τὸ ἀποστολικὸν ἐπάγγελμα), ἵνα φανερώσῃ εἰς ἐμὲ τὸν Υἱὸν αὐτοῦ, τότε ἐγὼ « Οὐ προσανεθέμην σαρκὶ καὶ αἵματι », οὐ προσεκολλήθην δηλονότι, οὐδὲ ἀφιέρωσα τὴν ἐμὴν ἐλπίδα εἰς συγγενεῖς καὶ φίλους, οὐδὲ εἰς ὁμογενεῖς καὶ συμπολίτας, ἀλλὰ καταλιπὼν τὰ πάντα, ἔτρεξα κηρύττων τὴν πίστιν. Οὗτος δὲ ὁ λόγος, « Οὐ προ» σανεθέμην σαρκὶ καὶ αἵματι », ἔχει καὶ τὴν ἑξῆς ἔννοιαν· οὐ προσεκολλήθην, οὐδὲ ἀφιέρωσα ἐμαυτὸν εἰς ἀνθρώπους, ἤγουν εἰς τοὺς Ἀποστόλους, ἵνα διδαχθῶ ὑπ' αὐτῶν τὰ περὶ πίστεως, ἐπειδὴ ἐδιδάχθην αὐτὰ ὑπ' αὐτοῦ τοῦ Ἰησοῦ Χριστοῦ. Βλέπε δέ, ὅτι τοῦτο τὸ νόημα κατάλληλόν ἐστιν εἰς τὰ ἀκόλουθα.

**Οὐδὲ** *ἀνῆλθον εἰς Ἱεροσόλυμα πρὸς τοὺς πρὸ ἐμοῦ Ἀποστόλους· ἀλλ' ἀπῆλθον εἰς Ἀραβίαν, καὶ πάλιν ὑπέστρεψα εἰς Δαμασκόν* (1).

Τετράκις ἦλθεν ὁ Παῦλος εἰς τὰ Ἱεροσόλυμα· πρῶτον μέν, ὅταν παρέστησεν αὐτὸν ὁ Βαρνάβας ἐνώπιον τῶν Ἀποστόλων (2)· δεύτερον δέ, ὅταν οἱ Ἀντιοχεῖς ἀπέστειλαν αὐτὸν μετὰ τοῦ Βαρνάβα, ἵνα φέρῃ τὴν ὑπ' αὐτῶν συναχθεῖσαν ἐλεημοσύνην πρὸς τοὺς κατοικοῦντας τὴν Ἰουδαίαν (3)· τρίτον, ὅταν ἡ κατὰ τὴν Ἀντιόχειαν ἐκκλησία διέταξεν, ἵνα αὐτός τε καὶ ὁ Βαρνάβας, καί τινες ἄλλοι ἐξ αὐτῶν, ἐλθόντες εἰς τὴν Ἱερουσαλήμ, ἐρωτήσωσι τοὺς Ἀποστόλους καὶ πρεσβυτέρους περὶ τοῦ ζητήματος τῆς περιτομῆς (4)· τέταρτον, ὅτε διὰ τῆς συμβουλῆς τῶν πρεσβυτέρων ἁγνισθείς, εἰσέβη εἰς τὸ ἱερόν· Πῶς οὖν λέγει· « Οὐδὲ ἀνῆλθον εἰς » Ἱεροσόλυμα πρὸς τοὺς πρὸ ἐμοῦ Ἀποςό» λους (5); Εἶπε προλαβόν· « Εὐθέως οὐ » προσανεθέμην »· τοῦτο δὲ τό, « Εὐθέως » λαμβάνεται ἀπὸ κοινοῦ, ἤγουν ἀναφέρεται καὶ εἰς τὰ κατώτερα· « Οὐδὲ ἀνῆλθον εὐ» θέως εἰς Ἱεροσόλυμα »· Ἀληθῶς δὲ οὐκ ἦλθεν εἰς Ἱεροσόλυμα εὐθὺς τότε, ὅταν εἶδε τὴν πρώτην ἀποκάλυψιν, ἀλλ' ἀπῆλθεν εὐθὺς εἰς τὴν Ἀραβίαν, ἵνα κηρύξῃ ἐκεῖ τὸ Εὐαγγέλιον, ἔπειτα πάλιν ἐπέστρεψεν εἰς τὴν Δαμασκόν· ἐκεῖθεν δὲ διὰ τὴν ἐπιβουλὴν τῶν Ἰουδαίων φυγὼν νυκτὸς διὰ τοῦ τείχους ἐν σπυρίδι, ἦλθεν εἰς τὴν Ἱερουσαλήμ, ὅπου ὁ Βαρνάβας παρέστησεν αὐτὸν πρὸς τοὺς Ἀποστόλους (6). Ὅστις ἀναγινώσκει τὸ ἔννατον κεφάλαιον τῶν πράξεων τῶν Ἀποστόλων, νομίζει, ὅτι ὁ Παῦλος εὐθὺς μετὰ τὸ βάπτισμα φυγὼν ἐκ τῆς Δαμασκοῦ διὰ τὴν ἐπιβουλὴν τῶν Ἰουδαίων, ἦλθεν εἰς Ἱεροσόλυμα, καὶ παρέστη ἐνώπιον τῶν Ἀποστόλων· ἀλλὰ τοῦτο συμβαίνει, ἐπειδὴ ὁ Λουκᾶς εἴτε τῇ συντομίᾳ προσέχων, εἴτε ἀγνοῶν τὴν ἐν τῇ Ἀραβίᾳ ἐπιδημίαν τοῦ Παύλου, καὶ τὰ ἐν αὐτῇ ὑπ' αὐτοῦ κατορθωθέντα, ἐσιώπησε τὴν ἀπὸ τῆς Δαμασκοῦ εἰς τὴν Ἀραβίαν ἔλευσιν αὐτοῦ, καὶ τὴν ἀπ' αὐτῆς ἐπιστροφὴν αὐτοῦ εἰς τὴν Δαμασκόν. Σημείωσαι δέ, ὅτι οὐκ ἐξ ὑπερηφανείας εἶπεν ὁ Παῦλος, ὅτι οὐκ ἦλθεν εἰς τὰ Ἱεροσόλυμα πρὸς τοὺς πρὸ αὐτοῦ Ἀποστόλους, συλλογιζόμενος, ὅτι οὐδεμίαν χρείαν εἶχεν ὡς ἀνώτερος αὐτῶν (7)· διότι πῶς ὑπερηφανεύετο ὁ λέγων καὶ γράφων ὅτι ἐστὶν ἔκτρωμα (8), καὶ ὅτι καθ' ὑπερβολὴν

(1) Γαλ. 1, 17. (2) Πράξ. 9, 28. (3) Αὐτ. 11, 30. (4) Αὐτ. 15, 2. (5) Αὐτ. 21, 29.
(6) Αὐτ. 9, 25. 27. (7) Α'. Κορ. 15, 8. (8) Γαλ. 1, 13.

ἐδίωξε τὴν ἐκκλησίαν τοῦ Θεοῦ (1); ἢ πῶς ἐνόμιζεν ἑαυτὸν ἀνώτερον τῶν Ἀποστόλων ἐκεῖνος, ὅστις ἔλεγεν « Ἐγὼ γάρ εἰμι ὁ ἐλάχιστος τῶν Ἀποστόλων· ὃς οὐκ εἰμὶ ἱκανὸς καλεῖσθαι Ἀπόστολος » (2)· καὶ ὠνόμαζε τὸν Ἰάκωβον καὶ τὸν Πέτρον καὶ τὸν Ἰωάννην στύλους; Εἶπε δὲ ταῦτα, ἵνα δείξῃ, ὅτι οὐχὶ οἱ Ἀπόστολοι, ἀλλ' αὐτὸς ὁ Ἰησοῦς Χριστὸς ἐδίδαξεν αὐτὸν τὰ τῆς πίστεως· καὶ διὰ τούτου ἐξαλείψῃ τὴν κατηγορίαν τῶν ψευδαποστόλων, οἵτινες ἐπλάνουν πολλούς, λέγοντες, ὅτι ὁ Παῦλος ἐδιδάχθη ὑπὸ τῶν Ἀποστόλων, καὶ οὐχὶ ὑπὸ τοῦ Ἰησοῦ Χριστοῦ, καθὼς οἱ Ἀπόστολοι. Ὅτι δὲ εὐλαβεῖτο καὶ ἐσέβετο τοὺς Ἀποστόλους, μαρτυροῦσι τὰ ἑξῆς.

*Ἔπειτα μετὰ ἔτη τρία ἀνῆλθον εἰς Ἱεροσόλυμα ἱστορῆσαι Πέτρον· καὶ ἐπέμεινα πρὸς αὐτὸν ἡμέρας δεκαπέντε* (3).

Μετὰ ἔτη τρία, ἀπὸ τοῦ καιροῦ δηλονότι τῆς εἰς Χριστὸν ἐπιστροφῆς αὐτοῦ ἀνέβη εἰς τὰ Ἱεροσόλυμα· ἀνέβη δέ, οὐχ ἵνα διδαχθῇ τὰ τῆς πίστεως ὑπὸ τοῦ Πέτρου· ἐπειδὴ αὐτὸς ἦν διδάσκαλος τῆς πίστεως, ὑπὸ τοῦ Ἰησοῦ Χριςοῦ προκεχειρισμένος καὶ τρία ἔτη προλαβὸν ἐδίδασκε τὸ Εὐαγγέλιον, ἀλλ' ἵνα ἱςορήσῃ τὸν Πέτρον, ἤγουν, ἵνα ἴδῃ καὶ παρατηρήσῃ τὸ πολίτευμα, τὰ ἔργα, τὰ θαύματα τοῦ κορυφαίου τῶν Ἀποστόλων Πέτρου. Ἐπέμεινε δὲ πρὸς αὐτὸν ἡμέρας δεκαπέντε· καὶ ἡ μὲν ἔλευσις τοῦ Παύλου εἰς τὰ Ἱεροσόλυμα ἐπίτηδες διὰ τὸν Πέτρον δηλοποιεῖ τὴν εὐλαβητικὴν ὑπόληψιν καὶ τὸ σέβας τοῦ Παύλου τὸ πρὸς τὸν Πέτρον· ἡ δὲ δεκαπενθήμερος διαμονὴ μετ' αὐτοῦ τὴν μεταξὺ ἀλλήλων ἀδελφικὴν ἀγάπην καὶ συμφωνίαν. Πρὸς τούτοις ἡ μὲν ἔλευσις ἐξαλείφει τὴν περὶ τῆς ὑψηλοφροσύνης τοῦ Παύλου ὑποψίαν· ἡ δὲ δεκαπενθήμερος διαμονὴ πληροφορεῖ, ὅτι οὐκ ἐξ ἐχθροπαθείας, ἀλλ' ἐξ ἀγάπης, καὶ ὑπὲρ τῆς κοινῆς ὠφελείας ἤλεγξε κατὰ πρόσωπον ἐνώπιον πάντων τὸν Πέτρον ὁ Παῦλος (4).

*Ἕτερον δὲ τῶν Ἀποστόλων οὐκ εἶδον, εἰμὴ Ἰάκωβον τὸν ἀδελφὸν τοῦ Κυρίου* (5).

Μὴ νομίσῃς, ὅτι οὐδέποτε εἶδεν ὁ Παῦλος ἄλλον Ἀπόστολον, εἰμὴ τὸν Ἰάκωβον τὸν ἀδελφὸν τοῦ Κυρίου· διότι αὐτὸς εἶδε τοὺς Ἀποστόλους, καὶ ὅταν παρέστησεν αὐτὸν ὁ Βαρνάβας ἐνώπιον αὐτῶν· « Καὶ ἦν μετ' » αὐτῶν εἰσπορευόμενος καὶ ἐκπορευόμενος » ἐν Ἱερουσαλήμ, καὶ παρρησιαζόμενος ἐν » ὀνόματι τοῦ Κυρίου Ἰησοῦ » (6). Καὶ ὅταν παρεδέχθησαν αὐτόν τε καὶ τὸν Βαρνάβαν ἡ ἐκκλησία καὶ οἱ Ἀπόσολοι καὶ οἱ πρεσβύτεροι (7)· καὶ ὅταν ὁ Ἰάκωβος καὶ ὁ Κηφᾶς καὶ ὁ Ἰωάννης « Ἔδωκαν αὐτῷ δεξιάς, καὶ » Βαρνάβᾳ κοινωνίας » (8). Ἐπειδὴ δὲ πολλάκις ἦλθεν ὁ Παῦλος εἰς τὰ Ἱεροσόλυμα, οὐκ οἴδαμεν ἀσφαλῶς, πότε ἄλλον τῶν Ἀποστόλων οὐκ εἶδε πλὴν τοῦ Ἰακώβου τοῦ ἀδελφοῦ τοῦ Κυρίου· ὅταν δὲ ἀναχωρήσας ἀπὸ τῆς Μιλήτου ἦλθεν εἰς τὴν Ἱερουσαλήμ, τότε φαίνεται, ὅτι ὁ μὲν Ἰάκωβος, ὡς ψηφισθεὶς τῆς πόλεως ἐκείνης ἐπίσκοπος, ἦν μόνος ἐκεῖ, οἱ δὲ λοιποὶ Ἀπόστολοι ἦσαν διεσπαρμένοι εἰς διάφορα τοῦ κόσμου μέρη, κηρύττοντες τὸ Εὐαγγέλιον· διότι περὶ ταύτης τῆς εἰς τὴν Ἱερουσαλὴμ

(1) Α'. Κορ. 15, 9. (2) Γαλ. 2, 9. (3) Γαλ. 1, 18. (4) Αὐτ. 2, 14. (5) Αὐτ. 1, 19. (6) Πράξ. 9, 28. (7) Αὐτ. 15, 4. (8) Γαλ. 2, 9.



ἐλεύσεως αὐτοῦ λέγει ὁ ἱερὸς Λουκᾶς· « Τῇ » δὲ ἐπιούσῃ εἰσῄει ὁ Παῦλος σὺν ἡμῖν πρὸς » Ἰάκωβον, πάντες τε παρεγένοντο οἱ πρε» σβύτεροι » (1). Μήπως οὖν τότε ὁ Παῦλος « Ἕτερον τῶν Ἀποστόλων οὐκ εἶδεν » ἐκεῖ, εἰ μὴ Ἰάκωβον τὸν ἀδελφὸν τοῦ » Κυρίου; » Περὶ δὲ τῆς τοῦ Ἰακώβου ἀδελφότητος, τινὲς μὲν λέγουσιν, ὅτι ὁ Ἰάκωβος ἦν ἀδελφὸς τοῦ Κυρίου, καθὸ ἦν υἱὸς τοῦ Ἰωσήφ, τοῦ λεγομένου πατρὸς τοῦ Ἰησοῦ Χριστοῦ (2)· ἦσαν δὲ ὁ Ἰωσὴφ καὶ ὁ Κλωπᾶς ἀδελφοί· ἐπειδὴ δὲ ὁ Κλωπᾶς ἀπέθανεν ἄτεκνος, ἐπεγάμβρευσεν ὁ Ἰωσὴφ κατὰ τὴν τοῦ ἑβραϊκοῦ νόμου διάταξιν τὴν γυναῖκα αὐτοῦ, μεθ' ἧς ἐγέννησε τὸν Ἰάκωβον καὶ τὴν Μαρίαν, ἥτις ἐλέγετο ἀδελφὴ τῆς μητρὸς τοῦ Κυρίου· καθότι ὁ Ἰωσὴφ τόπον πατρὸς ἐπεῖχεν ὡς πρὸς τὴν ἀειπάρθενον Θεοτόκον. Ἄλλοι δὲ λέγουσιν, ὅτι ὁ Ἰάκωβος ἀνεψιὸς ἦν τοῦ Ἰησοῦ Χριστοῦ, γεγεννημένος ἐκ τοῦ Κλωπᾶ καὶ τῆς γυναικὸς αὐτοῦ Μαρίας, τῆς ἀδελφῆς τῆς Θεοτόκου (3)· κατ' ἐκεῖνον δὲ τὸν καιρὸν ἀδελφοὺς ὠνόμαζον καὶ τοὺς ἀνεψιοὺς οἱ Ἰουδαῖοι. Ἀλλ' ἴσως οὐδὲν ἐμποδίζει, ἵνα νοήσωμεν, ὅτι ὁ μὲν Ἰωσήφ, πρὶν ἢ μνηστευθῇ τὴν ὑπεραγίαν Θεοτόκον, ἐγέννησε μετὰ τῆς γυναικὸς αὐτοῦ οὐ μόνον τὸν Ἰάκωβον, ἀλλὰ καὶ τὸν Ἰωσῆ καὶ τὸν Σίμωνα καὶ τὸν Ἰούδαν, ἔτι δὲ καὶ θυγατέρας (4)· καὶ ὅτι πάντες οὗτοι ἐλέγοντο ἀδελφοὶ καὶ ἀδελφαὶ τοῦ Ἰησοῦ Χριστοῦ, καθὼς καὶ ὁ Ἰωσὴφ πατὴρ αὐτοῦ· πρὸς τούτοις δέ, ὅτι ἡ Μαρία ἡ τοῦ Κλωπᾶ, γυνὴ ἦν τοῦ Κλωπᾶ, καὶ ἀδελφὴ ὁμοπάτριος, οὐχὶ δὲ ὁμομήτριος τῆς Θεοτόκου(5),ὡς γεγεννημένη μὲν ὑπὸ τοῦ Ἰωακείμ, οὐχὶ δὲ καὶ ὑπὸ τῆς Ἄννης, ἀλλ' ὑπὸ ἄλλης προλαβούσης γυναικὸς αὐτοῦ.

# ΟΜΙΛΙΑ

ΜΕΤΑ ΤΗΝ ΠΡΟΣ

## ΓΑΛΑΤΑΣ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗι Κ'. ΚΥΡΙΑΚΗι.

ὍΣΑ σήμερον ἠκούσαμεν ἀναγνωσθέντα ἐκ τῆς πρὸς Γαλάτας ἐπιστολῆς τοῦ θεοφόρου Παύλου, αὐτά εἰσιν ἡ ἀπολογία αὐτοῦ κατ' ἐκείνων, οἵτινες ἐσυκοφάντουν αὐτόν, καὶ διὰ τῆς τοιαύτης συκοφαντίας ἔβλαπτον τὰς ψυχὰς τῶν εἰς Χριστὸν πιστευόντων. Καὶ πρῶτον μὲν παρατηροῦντες ταύτην τὴν ἀπολογίαν αὐτοῦ, βλέπομεν, ὅτι αὕτη πολλὰ διαφέρει τοῦ τρόπου, δι' οὗ ἡμεῖς ἀπολογούμεθα κατὰ τῶν συκοφαντούντων ἡμᾶς· δεύτερον δὲ ἐρευνῶντες, τίς ἐστιν ὁ πρῶτος τῆς συκοφαντίας εὑρετής, ποία ἡ πηγή, ἐξ ἧς αὕτη ἀναβλύζει, ποῖα ἔργα αὕτη ἐκτελεῖ, εὑρίσκομεν, ὅτι ἡ συκοφαντία

(1) Πράξ. 21, 18. (2) Θεοφυλ. αὐτ. ὅρα καὶ τὸν Χρυσ. αὐτ. (3) Θεοδώρητ. αὐτ. (4) Ματθ. 13, 25. (5) Ἰωάν. 19, 26.

ἐστὶν ἀληθῶς τὸ μέγα καὶ φρικτὸν ἁμάρτημα. Ἐπειδὴ δὲ καὶ συκοφάνται πολλοὶ εἰς τὸν κόσμον, καὶ πολλοί εἰσιν οἱ κακῶς κατὰ τῶν συκοφαντούντων ἀπολογούμενοι, ψυχωφελές ἐστιν, ἵνα περὶ τούτων σήμερον λαλήσωμεν, ἐλπίζοντες, ὅτι τῇ τοῦ Θεοῦ δυνάμει ὁ λόγος διδάξει τὸν τρόπον τῆς κατὰ τῶν συκοφαντῶν ἀπολογίας, καὶ τὴν τελείαν ἀποχὴν τοῦ φοβερωτάτου τῆς συκοφαντίας ἁμαρτήματος.

Πῶς ἡμεῖς ἀπολογούμεθα, ὅταν ἀκούωμεν τὴν καθ' ἡμῶν συκοφαντίαν; Θεατρίζομεν τὰ τῶν συκοφαντησάντων ἡμᾶς ἐλαττώματα, ἢ ὑβρίζομεν αὐτοὺς δι' ἀπρεπῶν ὕβρεων, ἢ καταρώμεθα αὐτοὺς φοβερὰς κατάρας, ἢ φοβερίζομεν αὐτοὺς αὐστηρὰς τιμωρίας, ἢ ὁρκιζόμεθα φρικτοὺς ὅρκους, ἢ ἀντισυκοφαντοῦμεν αὐτοὺς συκοφαντήματα, βαρύτερα τῶν ὑπ' αὐτῶν καθ' ἡμῶν ἐκφωνηθέντων. Πολλάκις δὲ ταῦτα πάντα ὁμοῦ ἀκοντίζομεν κατ' αὐτῶν, μάλιστα, ὅταν ἀνάψῃ ἐν ἡμῖν ὁ θυμός, καὶ ἐκκαυθῇ ἡ ὀργή, καὶ ὑπερπερισσεύσῃ ἡ ἀγανάκτησις. Νομίζομεν δέ, ὅτι τοιουτοτρόπως ἀπολογούμενοι, πλύνομεν τῆς συκοφαντίας τὴν ἀτιμίαν, καὶ βλάπτομεν τοὺς συκοφαντήσαντας. Πεπλανημένοι ἡμεῖς, οἵτινες ποιοῦμεν τὰ κακά, ἵνα ἐξ αὐτῶν τρυγήσωμεν τὰ καλά· ἀνόητοι ἡμεῖς, οἵτινες ἐπιχειροῦμεν ἰατρεῦσαι τὸ κακὸν διὰ τοῦ κακοῦ· ἄθλιοι ἡμεῖς, οἵτινες οὐχ ὑπακούομεν εἰς τὴν ἀποστολικὴν ἐντολήν, τὴν λέγουσαν· « Μὴ νικῶ ὑπὸ τοῦ κακοῦ· ἀλλὰ νίκα » ἐν τῷ ἀγαθῷ τὸ κακόν » (1). Ἡμεῖς ἐλπίζομεν, ὅτι οἱ ἀκούοντες τὴν τοιαύτην ἡμῶν ἀπολογίαν, δικαιολογοῦσι μὲν ἡμᾶς, κατακρίνουσι δὲ τοὺς συκοφάντας· πολλάκις ὅμως συμβαίνει τὸ ἐναντίον, μάλιστα ὅταν οἱ ἀκούοντες τύχωσιν ἄνθρωποι διακριτικοὶ καὶ φρόνιμοι· διότι, ὅταν αὐτοὶ ἀκούωσιν ἡμᾶς κατηγοροῦντας, ὑβρίζοντας, καταρωμένους, φοβερίζοντας, ὁρκομοτοῦντας, καὶ βλέπωσιν ἡμᾶς φλογιζομένους ὑπὸ τῆς ὀργῆς, καὶ ἐκμαινομένους ὑπὸ τοῦ θυμοῦ, συμπεραίνουσιν, ὅτι ἐσμὲν ἄνθρωποι φιλοκατήγοροι, ὑβρισταί, ὀργίλοι, θυμώδεις, ἐμπαθεῖς, ἑνὶ λόγῳ, ἄνθρωποι κακοήθεις, καὶ διεστραμμένοι· ὅθεν ἢ ἀπιστοῦσιν ὅλως εἰς ὅσα ἡμεῖς λέγομεν, ἢ διστάζουσι περὶ τῆς τούτων ἀληθείας.

Ἀλλὰ τί ποιητέον, λέγεις εἰς τοιαύτην περίστασιν; Πρέπον ἆρά γε ἐστίν, ἵνα ἐπαινέσω, καὶ εὐχηθῶ, καὶ εὐλογήσω τὸν συκοφάντην μου; ἢ πρέπον ἐστίν, ἵνα κλείσω τὸ στόμα μου, καὶ βάλω θύραν περιοχῆς περὶ τὰ χείλη μου, καὶ ὑποφέρω τὴν ἐκ τῆς συκοφαντίας βλάβην; Ἐὰν ποιήσῃς τὸ πρῶτον, οὐαὶ εἰς τὸν συκοφάντην σου· διότι τότε οἱ ἔπαινοι καὶ αἱ εὐχαὶ καὶ αἱ εὐλογίαι σου γίνονται ἄνθρακες, ἐπὶ τὴν κεφαλὴν αὐτοῦ ἐπισωρευόμενοι· ἐπιβεβαιοῖ σε περὶ τούτου ὁ θεῖος Ἀπόστολος· « Ἐὰν » πεινᾷ, λέγει, ὁ ἐχθρός σου, ψώμιζε αὐτόν, » ἐὰν διψᾷ, πότιζε αὐτόν· τοῦτο γὰρ ποιῶν, » ἄνθρακας πυρὸς σωρεύσεις ἐπὶ τὴν κεφαλὴν » αὐτοῦ » (2). Ἐὰν δὲ τελέσῃς τὸ δεύτερον, γίνεσαι πανευτυχής· διότι τότε ὁ Θεὸς ἀναλαμβάνει τὴν φροντίδα τῆς κατὰ τοῦ συκοφάντου σου ἐκδικήσεως· « Γέγραπται » γάρ· ἐμοὶ ἐκδίκησις· ἐγὼ ἀνταποδώσω, » λέγει Κύριος » (3). Τότε ὁ παντοδύναμος Θεὸς διὰ τῶν τρόπων, οὓς αὐτὸς οἶδε, σὺ δὲ οὐ γινώσκεις, οὐ μόνον διαφυλάττει σε ἀπὸ τῆς βλάβης τῆς συκοφαντίας, ἀλλὰ

(1) Ῥωμ. 12, 21. (2) Αὐτ. 12, 20. (3) Αὐτ. 19.



καὶ εἰς τὸν συκοφάντην ἀποδίδωσι τὴν πρέπουσαν αὐτῷ τιμωρίαν· « Ἐμοὶ ἐκδίκησις· » ἐγὼ ἀνταποδώσω, λέγει Κύριος ». Αὐτὸς τότε τὸν μὲν συκοφάντην παιδεύει, σὲ δὲ τὸν συκοφαντούμενον μακαρίζει· « Μακά» ριοί ἐςε, λέγει, ὅταν ὀνειδίσωσιν ὑμᾶς, καὶ » διώξωσι, καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα » καθ' ὑμῶν, ψευδόμενοι ἕνεκεν ἐμοῦ » (1).

Ἀλλ' ἐὰν σιωπήσωμεν, λέγετε, οἱ τὴν συκοφαντίαν ἀκούοντες νομίζουσιν, ὅτι οὐκ ἀπολογούμεθα, ἐπειδὴ οὐκ ἔχομεν ἀπολογίας λόγον, καὶ ἑπομένως πείθονται, ὅτι ἀλήθειά εἰσι τὰ καθ' ἡμῶν λεγόμενα, καὶ οὐχὶ συκοφαντία. Ἀληθῶς, τοῦτο ἐνδέχεται, πλὴν ἐνδεχόμενόν ἐστι καὶ τὸ ἐναντίον, ἤγουν, τό, ὅτι οἱ ἀκούοντες τὴν συκοφαντίαν, καὶ βλέποντες ἐν ἡμῖν τὴν ἀρετὴν τῆς ὑπομονῆς τῆς πρᾳότητος, τῆς ἀνεξικακίας, πεισθῶσιν, ὅτι συκοφαντία καὶ οὐχὶ ἀλήθειά εἰσι τὰ καθ' ἡμῶν λεγόμενα. Πλὴν ἔξω ἐξ ὑποθέσεως ἀληθὲς τὸ πρῶτον· ἀπολογήθητε οὖν κατὰ τῆς συκοφαντίας· ἡ ἀπολογία οὐκ ἔστιν ἁμαρτία· διότι καὶ οἱ ἅγιοι, καὶ αὐτὸς ὁ ἅγιος τῶν ἁγίων, συκοφαντούμενοι ἀπελογήθησαν· ἀπολογήθητε οὖν, ἀλλ' οὐχὶ κατηγοροῦντες καὶ ὑβρίζοντες, οὐδὲ καταρώμενοι καὶ φοβερίζοντες, οὐδὲ ὁρκομοτοῦντες καὶ ἀντισυκοφαντοῦντες· ἀπολογήθητε, ἀλλὰ μὴ μετὰ θυμοῦ καὶ ὀργῆς καὶ κραυγῆς· ἀλλὰ καθὼς ἀπεκρίνοντο οἱ ἅγιοι, ἤγουν παριστάντες καὶ ἐκφράζοντες τοὺς λόγους, τοὺς ἀποδεικνύοντας, ὅτι ἐστὲ ἀθῶοι καὶ καθαροὶ τῆς συκοφαντίας.

Τί εἶπεν ὁ Ἰωσὴφ πρὸς τὸν ἀρχιοινοχόον τοῦ Φαραώ, ὅταν διηγούμενος αὐτῷ τὴν ἐκ τῆς συκοφαντίας ἀκολουθήσασαν αὐτῷ συμφοράν, παρεκάλει αὐτόν, ἵνα μεσιτεύσῃ πρὸς τὸν Φαραὼ ὑπὲρ τῆς ἐλευθερίας αὐτοῦ; Ἐθεάτρισε τὴν ἀναίσχυντον ἀσέλγειαν τῆς Αἰγυπτίας; ἢ κατηγόρησε τὴν ἀπάνθρωπον ἀσπλαγχνίαν αὐτῆς; ἢ κατηράσατο αὐτήν; ἢ ὠργίσθη, ἐνθυμηθεὶς τὴν συκοφαντίαν αὐτῆς; Οὐδὲν τούτων ἐποίησεν, ἀλλὰ μετὰ πάσης πρᾳότητος εἶπεν· ἔκλεψάν με ἐκ τῆς γῆς τῶν Ἑβραίων· ὧδε δὲ εἰς τὴν Αἴγυπτον οὐδὲν κακὸν ἐποίησα, καὶ ὅμως κατέκλεισάν με εἰς ταύτην τὴν ὑπόγαιον φυλακήν· « Ὅτι κλοπῇ ἐκλάπην » ἐκ γῆς Ἑβραίων· καὶ ὧδε οὐκ ἐποίησα » οὐδέν, ἀλλ' ἐνέβαλόν με εἰς τὸν λάκκον » τοῦτον » (2). Ἰδοὺ πῶς οὗτος ὁ ἅγιος ἄνθρωπος καθιστόρησε τὰ περὶ τῆς κατ' αὐτοῦ συκοφαντίας· ἐδικαιολόγησε μὲν ἑαυτόν, οὐδένα δὲ κατέκρινε.

Πῶς ἀπελογήθη ὁ Παῦλος ἐναντίον εἰς τὴν συκοφαντίαν τῶν ψευδαποστόλων; Ἐκεῖνοι μὲν ἐσυκοφάντησαν αὐτόν, λέγοντες, ὅτι οὐκ ἔστιν Ἀπόστολος· αὐτὸς δὲ ἀπέδειξεν, ὅτι ἐστὶν Ἀπόστολος, ὑπ' αὐτοῦ τοῦ Ἰησοῦ Χριστοῦ διδαχθεὶς τὰ τῆς πίστεως, καὶ ὑπ' αὐτοῦ πεμφθεὶς πρὸς τὸ κηρύξαι τὸ Εὐαγγέλιον (3). Ἐκεῖνοι ἐσυκοφάντουν αὐτὸν λέγόντες, ὅτι οὐκ ἔστιν Ἀπόστολος, ἵνα πείσωσι τοὺς Γαλάτας, ὅτι ἡ περιτομή ἐστιν ἀναγκαία πρὸς τὴν σωτηρίαν· αὐτὸς ἀπέδειξεν, ὅτι ὅστις περιτέμνεται, ἐκεῖνος οὐδὲν ὠφελεῖται ἐκ τῆς εἰς Χριςὸν πίςεως (4).

Ἀγαπητοί μου χριςιανοί, « Χριςὸς ἔπα» θεν ὑπὲρ ὑμῶν, ὑμῖν ὑπολιμπάνων ὑπο» γραμμόν, ἵνα ἐπακολουθήσητε τοῖς ἴχνε» σιν αὐτοῦ » (5). Αὐτὸς ἔδωκεν ἡμῖν παράδειγμα διδακτικὸν τῆς ἀπολογίας κατὰ τῶν συκοφαντούντων ἡμᾶς. Πῶς ἀπελογήθη αὐτὸς πρὸς τοὺς Ἰουδαίους, τοὺς συκοφαν-

(1) Ματθ. 5, 11. (2) Γεν. 40, 15. (3) Γαλ. 1, 12, 16. (4) Αὐτ. 5, 2. (5) Πέτρ. 2, 21.

τοῦντας αὐτόν, καὶ λέγοντας κατὰ πρόσωπον αὐτοῦ, ὅτι ἐστὶ Σαμαρείτης καὶ δαιμονιζόμενος; « Ἐγώ, ἀπεκρίθη, δαιμόνιον οὐκ ἔχω, ἀλλὰ τιμῶ τὸν πατέρα μου, καὶ ὑμεῖς ἀτιμάζετέ με. Ἐγὼ δὲ οὐ ζητῶ τὴν δόξαν μου· ἔστιν ὁ ζητῶν καὶ κρίνων » (1). Ὅταν δὲ πάλιν ἐσυκοφάντησαν αὐτὸν οἱ Φαρισαῖοι καὶ οἱ γραμματεῖς, λέγοντες, ὅτι ἐν τῷ ἄρχοντι τῶν δαιμονίων ἐκβάλλει τὰ δαιμόνια, τότε μετὰ ἐπιχειρήματος ἀποδεικτικοῦ τῆς συκοφαντίας αὐτῶν ἀπεκρίθη, λέγων· « Πᾶσα βασιλεία μερισθεῖσα καθ' ἑαυτῆς, ἐρημοῦται· καὶ πᾶσα πόλις ἢ οἰκία μερισθεῖσα καθ' ἑαυτῆς, οὐ ςαθήσεται· καὶ εἰ ὁ Σατανᾶς τὸν Σατανᾶν ἐκβάλλει, ἐφ' ἑαυτὸν ἐμερίσθη· πῶς οὖν σταθήσεται ἡ βασιλεία αὐτοῦ; Καὶ εἰ ἐγὼ ἐν Βεελζεβοὺλ ἐκβάλλω τὰ δαιμόνια, οἱ υἱοὶ ὑμῶν ἐν τίνι ἐκβάλλουσι; διὰ τοῦτο αὐτοὶ ὑμῶν ἔσονται κριταί » (2). Ὅταν οὖν τοιουτοτρόπως ἀποκρίνησθε πρὸς τοὺς συκοφαντοῦντας ὑμᾶς, ἤγουν μηδὲ βλασφημοῦντες, μηδὲ κατηγοροῦντες αὐτούς, ἀλλὰ μετὰ πάσης πρᾳότητος προβάλλοντες τὰ ἐπιχειρήματα τὰ ἀποδεικτικὰ τῆς συκοφαντίας, τότε οὐ μόνον οὐδόλως ἁμαρτάνετε, ἀλλὰ καὶ τοὺς συκοφάντας ἐπιστομίζετε, καὶ τὴν συκοφαντίαν ἐξαλείφετε, καὶ τοὺς ἀκούοντας ὠφελεῖτε. Σημειώσατε δέ, ὅτι ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς οὐκ ἀπεκρίθη πάντοτε εἰς τὰς κατ' αὐτοῦ συκοφαντίας, ἀλλ' ἐνίοτε παντελῶς ἐσιώπησεν. Ὅταν οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι ἔπλεκον κατ' αὐτοῦ συκοφαντιώδεις κατηγορίας ἐνώπιον τοῦ Πιλάτου, τότε αὐτὸς οὐδὲν ἀπεκρίθη· καὶ ὁ μὲν Πιλάτος ἔλεγε πρὸς αὐτόν· « Οὐκ ἀκούεις πόσα σου καταμαρτυροῦσιν; Ὁ δὲ Ἰησοῦς οὐκ ἀπεκρίθη αὐτῷ πρὸς οὐδὲ ἓν ῥῆμα· ὥστε θαυμάζειν τὸν ἡγεμόνα λίαν » (3). Ἀλλὰ τί ἐθαύμαζεν ὁ Πιλάτος; Καὶ τί ἄλλο εἰμὴ τὴν ὑπομονὴν καὶ τὴν ἀνεξικακίαν τοῦ Ἰησοῦ Χριστοῦ; παράδειγμα καὶ τοῦτο, διδάσκον ἡμᾶς, ὅτι, κᾂν σιωπῶμεν, ὅταν συκοφαντῶσιν ἡμᾶς, ἡ σιωπὴ ἡμῶν ἐςιν ἰσχυρὰ ἀπόκρισις, κινοῦσα τοὺς ὁρῶντας εἰς θάμβος καὶ εὐλάβειαν τῆς ἡμῶν πρᾳότητος καὶ μεγαλοψυχίας.

Συκοφάνται πανάθλιοι, ἔρχομαι καὶ πρὸς ὑμᾶς, ὑμεῖς δὲ μετὰ προσοχῆς ἀκούσατε. Ἡ συκοφαντία ἐστὶ λόγος ψευδής, ἐπίτηδες πρὸς τὸ βλάψαι πεπλασμένος καὶ κατεσκευασμένος· βλάπτει δὲ ἡ συκοφαντία τὸν συκοφάντην, καὶ τὸν συκοφαντούμενον, καὶ τὸν ἀκροατὴν τῆς συκοφαντίας, ὅταν πιστεύσῃ εἰς τοῦ συκοφάντου τὰ λόγια. Πρῶτος εὑρετὴς τῆς συκοφαντίας ἐστιν ὁ διάβολος, πρῶτος συκοφαντηθεὶς ἐστὶν ὁ Θεός, πρῶτος πιστεύσας εἰς τὴν συκοφαντίαν ἐςὶν ὁ ἄνθρωπος. Ὁ διάβολος τολμήσας, ἐσυκοφάντησε τὸν Θεὸν ὡς ψεύστην, καὶ φθονερόν, καὶ ἐπίβουλον· ὁ Θεὸς εἶπεν εἰς τοὺς πρωτοπλάστους, ἵνα μὴ φάγωσιν ἀπὸ τοῦ ξύλου τοῦ γινώσκειν καλὸν καὶ πονηρόν, ἵνα μὴ ἀποθάνωσιν· « Οὐ φάγεσθε, εἶπεν, ἀπ' αὐτοῦ· ᾗ δ' ἂν ἡμέρᾳ φάγητε, θανάτῳ ἀποθανεῖσθε » (4). Ὁ δὲ διάβολος συκοφαντήσας τὸν Θεόν, εἶπεν, ὅτι αὐτὸς ἀπηγόρευσε τὴν βρῶσιν τοῦ ξύλου, οὐχ ἵνα ἀποθάνωσιν, ἀλλ' ἵνα μὴ κατασταθῶσι θεοί. « Οὐ θανάτῳ ἀποθανεῖσθε· ᾔδει γὰρ ὁ Θεός, ὅτι ᾗ ἂν ἡμέρᾳ φάγητε ἀπ' αὐτοῦ, διανοιχθήσονται ὑμῶν οἱ ὀφθαλμοί, καὶ ἔσεσθε ὡς θεοί, γινώσκοντες καλὸν καὶ πονηρόν » (5). Οἱ πρωτόπλαστοι πιστεύ-

(1) Ἰωάν. 8, 49, 50. (2) Ματθ. 12, 25, 27. (3) Ματθ. 27, 12, 14. (4) Γεν. 2, 17.
(5) Γεν. 3, 4, 5.



σαντες εἰς τὴν διαβολικὴν συκοφαντίαν, ἔφαγον ἀπὸ τοῦ ἀπηγορευμένου ξύλου.

Εἰς τὸν συκοφαντηθέντα Θεὸν οὐδεμίαν βλάβην προεξένησεν ἡ συκοφαντία διὰ τὸ τῆς ὑπερουσίου θεότητος ἀπαθὲς καὶ πανυπερτέλειον, καὶ πάσης βλάβης ἀνεπίδεκτον· ἔβλαψεν ὅμως τὸν συκοφάντην διάβολον, καὶ τὸν ἄνθρωπον, τὸν εἰς τὴν συκοφαντίαν πιστεύσαντα, διότι ὅσας τιμωρίας ἐπεσώρευσεν ὁ Θεὸς εἰς τὸ ὄργανον τῆς συκοφαντίας, ἤγουν εἰς τὸν ὄφιν τὸν αἰσθητόν, ἐκεῖναι ἀνάγονται εἰς τὸν αὐτουργὸν τῆς συκοφαντίας τὸν ὄφιν τὸν νοητόν, τουτέστι τὸν διάβολον· « Ὅτι ἐποίησας τοῦτο, εἶπεν ὁ Θεός », ἤγουν ἐπειδὴ ἔπλασας ταύτην τὴν συκοφαντίαν, « Ἐπικατάρατος σύ » (1). Βλέπε δέ, ὅτι, ὅταν ὁ διάβολος ὑπερηφανευθείς, εἶπεν· « Ἀναβήσομαι ἐπάνω τῶν νεφῶν, ἔσομαι ὅμοιος τῷ ὑψίστῳ » (2), τότε ἔῤῥιψε μὲν αὐτὸν ὁ Θεὸς ἀπὸ τοῦ οὐρανοῦ ὡς ἀστραπήν, πλὴν οὐ κατηράσατο αὐτόν· ὅταν δὲ τολμήσας, ἐσυκοφάντησε, τότε ἐξεφώνησε κατ' αὐτοῦ τὴν κατάραν· « Ὅτι ἐποίησας τοῦτο ἐπικατάρατος σύ ». Ἐὰν δὲ ἀλληγορήσῃς τὰς κατάρας, ὅσας ἔδωκεν ὁ Θεὸς εἰς τὸν ὄφιν τὸν αἰσθητόν, βλέπεις αὐτὰς μετὰ τὴν ἔνσαρκον οἰκονομίαν τοῦ Υἱοῦ τοῦ Θεοῦ ἐκπληρωθείσας εἰς τὸν ὄφιν τὸν νοητόν, τὸν Σατανᾶν δηλονότι, τὸν εὑρετὴν τῆς συκοφαντίας· διότι αὐτὸς καὶ πάντων τῶν κτηνῶν ἐγένετο ἀλογώτερος, ὅταν ἐπεχείρησε πειράξαι τὸν δεύτερον ἄνθρωπον τὸν ἐξ οὐρανοῦ, τὸν Κύριον Ἰησοῦν (3)· καὶ πάντων τῶν θηρίων τῆς γῆς θηριωδέστερος, ὅταν ἀφιέρωσε πάσας τὰς δυνάμεις αὐτοῦ, ἵνα σταυρωθῇ καὶ ἀποθάνῃ ὁ ἀναμάρτητος Υἱὸς τοῦ Θεοῦ. Ὄρθιος ἐφέρετο πρὸ τῆς ἐνσάρκου οἰκονομίας ὡς θεὸς λατρευόμενος, καὶ ζώσῃ φωνῇ διὰ τῶν εἰδώλων λαλῶν, ἐπλάνα τοὺς ἀνθρώπους· μετὰ δὲ τὴν ἔνσαρκον οἰκονομίαν ἐπὶ τῷ στήθει καὶ τῇ κοιλίᾳ πορεύεται, ἤγουν κάτω πεπτωκὼς ὡς ἀδύνατος καὶ ὑποκεκρυμμένος, ὡς ὁ λέων ἐν τῇ μάνδρᾳ αὐτοῦ ἐνεδρεύει, ἵνα ἁρπάσῃ, ἐὰν δυνηθῇ, οὐχὶ τὸν πλούσιον ἐν ἀρεταῖς, ἀλλὰ τὸν πτωχεύοντα τῶν καλῶν ἔργων. Γῆν δὲ τρώγει ἔκτοτε πάσας τὰς ἡμέρας τῆς ἐν τῷ κόσμῳ διατριβῆς αὐτοῦ, τουτέςιν ἐκείνους μόνους διαφθείρει, τοὺς εἰς τὰ γήϊνα προσηλωμένους (4), καὶ τὴν εἰκόνα φοροῦντας τοῦ χοϊκοῦ οὐχὶ δὲ τοὺς εἰς τὰ οὐράνια βλέποντας, καὶ τὴν εἰκόνα φοροῦντας τοῦ ἐπουρανίου. Καὶ πρῶτον μὲν ὡς φίλος πρὸς τοὺς πρωτοπλάστους ἐπλησίασεν, ἔπειτα δὲ ἔχθραν ἔθηκεν ὁ Θεάνθρωπος μεταξὺ αὐτοῦ καὶ τῶν ἀπογόνων αὐτῶν, ἀνακηρύξας αὐτὸν ἐχθρὸν τοῦ ἀνθρωπίνου γένους, καὶ δοὺς ἐξουσίαν εἰς τοὺς πιστούς, ἵνα καταπατῶσι τὴν κεφαλὴν αὐτοῦ, ἤγουν τὴν δύναμιν αὐτοῦ, καὶ ὑποτάξας αὐτὸν ὑπὸ τὴν πτέρναν αὐτῶν, ὅπερ ἐστίν, ἐξουδενώσας πάσας τὰς δυνάμεις αὐτοῦ. Ταῦτα δὲ ἐσήμανεν ὁ Κύριος, ὅταν εἶπεν· « Ἰδοὺ δίδωμι ὑμῖν τὴν ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ » (5). Τοιουτοτρόπως ἐπαίδευσεν ὁ Θεὸς τὸν συκοφάντην.

Στρέψον δὲ τοὺς ὀφθαλμούς σου καὶ πρὸς τὸν ἄνθρωπον, τὸν πιςεύσαντα εἰς τὴν συκοφαντίαν, καὶ παραβάντα τοῦ Θεοῦ τὴν ἐντολὴν τὴν σωτήριον· ςερεῖται αὐτὸς τῆς θείας χάριτος, καὶ ἐξορίζεται ἐκ τοῦ παραδείσου τῆς τρυφῆς εἰς τὴν γῆν· ἡ δὲ γῆ ἐπικατάρατος ἐν τοῖς ἔργοις τοῦ ἀνθρώπου (6) ἐν

(1) Γεν. 14. (2) Ἠσ. 14, 14. Λοὺκ. 10, 18. (3) Α'. Κορ. 15, 47. (4) Αὐτ. 15, 49.
(5) Λουκ. 10, 19. (6) Γεν. 3, 17.

αὐτῇ θλίψεις, ἐν αὐτῇ ἄκανθαι καὶ τρίβολοι, ἐν αὐτῇ ἱδρῶτες, ἐν αὐτῇ φθορά· « Ὅτι γῆ » εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ » (1). Ταῦτα δὲ βλέπομεν ἄχρι τῆς σήμερον ἐνεργούμενα· ἐκεῖ θλίψεις διὰ τὴν ἀκαρπίαν τῆς γῆς, ὧδε στεναγμοὶ διὰ τὴν δυσκρασίαν τοῦ ἀέρος· εἰς τοῦτο τὸ μέρος τῆς γῆς σεισμοί, εἰς ἐκεῖνο πυρκαϊαί, εἰς τὸ ἄλλο καταποντισμοὶ ποταμῶν καὶ θαλάσσης· ἐκεῖνος καταβρέχει τὸ πρόσωπον αὐτοῦ ἐν ἱδρῶτι διὰ τὸν ἐπιούσιον ἄρτον· οὗτος ὀλολύζει διὰ τοὺς δριμυτάτους πόνους τῆς ἀσθενείας· ὁ ἄλλος κλαίει διὰ τῶν φιλτάτων συγγενῶν τὴν στέρησιν· πᾶς ἄνθρωπος τέλος πάντων ἀποθνήσκει, διαλύεται, γίνεται γῆ τὸ σῶμα αὐτοῦ, ὥσπερ ἦν καὶ πρὸ τῆς πλάσεως· «Ὅτι γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ». Ταῦτα προεξένησε τότε ἡ συκοφαντία.

Διαφέρουσι δὲ ἀληθῶς τῆς τότε συκοφαντίας αἱ περιστάσεις τῶν περιστάσεων τῆς σήμερον κατασκευαζομένης· διότι τὴν σήμερον ὁ συκοφάντης οὐκ ἔστιν εὑρετὴς τῆς συκοφαντίας, ἀλλὰ μαθητὴς καὶ μιμητὴς τοῦ εὑρετοῦ αὐτῆς, ἤγουν τοῦ διαβόλου. Ὁ συκοφάντης τὴν σήμερον οὐ συκοφαντεῖ τὸν Θεόν, ὡς ὁ πρωτοσυκοφάντης, ἀλλὰ τὴν εἰκόνα τοῦ Θεοῦ, τουτέστι τὸν ἄνθρωπον· πλὴν ὁ μὲν πρωτοσυκοφάντης οὐδόλως ἠδυνήθη βλάψαι τὸν ὑπ' αὐτοῦ συκοφαντηθέντα θεόν, οἱ δὲ μαθηταὶ αὐτοῦ ἀπερίγραπτον προξενοῦσι βλάβην εἰς τοὺς συκοφαντουμένους. Ποσάκις ἡ συκοφαντία ἐχώρισε τοὺς νομίμους γάμους, καὶ ἐμάκρυνεν ἀπ' ἀλλήλων τοὺς πλησιεστάτους συγγενεῖς; ποσάκις ἔχθρευσε τοὺς ἠγαπημένους φίλους, καὶ ἔφθειρε τὴν τιμὴν τῶν τιμίων ἀνθρώπων; ποσάκις ἀδίκως κατέστησε πένητας τοὺς πλουσίους, καὶ παρέδωκεν εἰς θάνατον τοὺς ἀθώους; Καὶ αὐτοὶ δὲ οἱ ἅγιοι καὶ δίκαιοι συκοφαντηθέντες, ὑπέμειναν πολλὰ παθήματα, καὶ ἐγεύθησαν θανατηφόρους πικρότητας. Μαρτυρεῖ τοῦτο ὁ πατριάρχης Ἰωσήφ, καὶ ὁ Ἀπόστολος Παῦλος, καὶ ὁ μέγας Ἀθανάσιος, καὶ ὁ θεῖος Χρυσόστομος, καὶ ἄλλοι μύριοι μυρίων. Βλάπτουσι δὲ τὴν σήμερον οἱ συκοφάνται καὶ τοὺς ἀκροατὰς αὐτῶν, ἐὰν πιστεύσωσιν εἰς αὐτούς, καθὼς ἔβλαψεν ὁ αὐτουργὸς τῆς συκοφαντίας τοὺς δύο πρωτοπλάστους, τοὺς πιστεύσαντας εἰς τὴν ὑπ' αὐτοῦ πλασθεῖσαν συκοφαντίαν.

Βλέπε δέ, πόσους βαθμοὺς βάρους ἔχει τῆς συκοφαντίας ἡ ἁμαρτία· ἡ συκοφαντία ἐστὶ θυγάτηρ τοῦ μίσους ἢ τοῦ φθόνου· τὸν μισούμενον ἢ τὸν φθονούμενον συκοφαντοῦμεν, οὐχὶ δὲ τὸν ἀγαπώμενον· τὸ δὲ μῖσος καὶ ὁ φθόνος εἰσὶ στέρησις τῆς ἀγάπης, καθὼς καὶ τὸ σκότος στέρησις τοῦ φωτός· ὅταν οὖν συκοφαντῶ, τότε οὐκ ἔχω ἀγάπην· ὅταν δὲ οὐκ ἀγαπῶ τὸν πλησίον μου ὡς ἐμαυτόν, τότε, κἂν μὴ μισῶ, μηδὲ φθονῶ αὐτόν, ἁμαρτάνω ὅμως, ἐπειδὴ παραβαίνω τὴν ἐντολὴν τὴν δευτέραν (2). οὗτός ἐστιν ὁ πρῶτος βαθμὸς τοῦ ἁμαρτήματος τῆς συκοφαντίας. Ὅταν δὲ μισῶ ἢ φθονῶ τὸν πλησίον μου, πλὴν οὐ βλάπτω αὐτὸν πραγματικῶς τότε ἁμαρτάνω περισσότερον, ἢ ὅταν μόνον οὐκ ἀγαπῶ αὐτόν· τοῦτο δέ ἐστι βαθμὸς δεύτερος. Ὅταν δὲ οὐ μόνον οὐκ ἀγαπῶ, οὐ μόνον μισῶ καὶ φθονῶ, ἀλλὰ καὶ βλάπτω αὐτόν, τότε ἁμαρτάνω πολὺ περισσότερον· τοῦτο δέ ἐστι βαθμὸς τρίτος. Ἐὰν κατακρίνω τὰ σφάλματα, ὅσα τῇ ἀληθείᾳ ἔχει ὁ ἀδελφός μου, ἁμαρτάνω (1)· ἐὰν δὲ κατακρίνω αὐτὸν διὰ τὰ

(1) Γεν. 3, 19. (2 Ματθ. 22, 39.



σφάλματα, ὅσα αὐτὸς μὲν οὐκ ἔχει, ἐγὼ δὲ ἔπλασα αὐτά, ἵνα αὐτὸν βλάψω, φανερόν ἐστιν, ὅτι ἁμαρτάνω πολὺ περισσότερον· τοῦτό ἐστι βαθμὸς τέταρτος. Ἐὰν ἁμαρτάνω, ὅταν ἀργολογῶ, ἤγουν ὅταν λαλῶ λόγια μηδὲ ὠφέλιμα, μηδὲ βλαπτικά, πόσον περισσότερον ἁμαρτάνω, ὅταν λαλῶ λόγια συκοφαντικά, πρόξενα πάσης συμφορᾶς καὶ βλάβης, τοῦτο δέ ἐστι βαθμὸς βάρους πέμπτος. Ὁ πρῶτος μόνον βαθμὸς ἀρκεῖ πρὸς παράστασιν τοῦ ἐξαισίου βάρους τοῦ ἁμαρτήματος τῆς συκοφαντίας (2)· καθότι ἡ στέρησις τῆς ἀγάπης ἐστὶν ἀναίρεσις ὅλης τῆς εὐαγγελικῆς διδασκαλίας· διότι ἡ ἀγάπη ἐστὶ τὸ πλήρωμα τοῦ νόμου· χωρὶς δὲ ἀγάπης οὐδεὶς δύναται σωθῆναι (3)· Ἐὰν δὲ συνάψῃς καὶ τοὺς ἄλλους βαθμοὺς τοῦ βάρους, πόσον γίνεται τὸ βάρος τῆς συκοφαντίας;

Ὑμεῖς μέν, ὦ συκοφάνται, διὰ τῆς συκοφαντίας βλάπτετε τοὺς πλησίον ὑμῶν, προξενοῦντες αὐτοῖς μυρίας συμφορὰς καὶ δυστυχίας, βλέποντες δέ, ὅτι οὐδεμίαν λαμβάνετε τιμωρίαν, νομίζετε ἴσως, ὅτι ἡ συκοφαντία ἢ οὐκ ἔστιν ὅλως ἁμαρτία, ἢ ἐςιν ἁμαρτία πολλὰ ἐλαφρὰ καὶ συγγνωστή· οὐαὶ ὑμῖν· διότι « Θησαυρίζετε ὀργὴν ἐν » ἡμέρᾳ ὀργῆς » (4). Ἔρχεται ἡμέρα, ἡ φοβερὰ ἡμέρα τῆς ἀνταποδόσεως· τότε σαλπίζουσιν αἱ ἀγγελικαὶ σάλπιγγες, καὶ ὁ κριτὴς κάθηται ἐπὶ θρόνου κρίσεως, καὶ οἱ ἀπ' αἰῶνος ἄνθρωποι ἀναστάντες ἐκ νεκρῶν παρίστανται ἐνώπιον αὐτοῦ, καὶ τὰ βιβλία τῶν πράξεων ἀνοίγονται, καὶ τὰ κρυπτὰ τῶν ἀνθρώπων δημοσιεύονται· τότε εἰς ἐκεῖνο τὸ πάνδημον καὶ φρικτὸν κριτήριον παρίστανται, ὦ συκοφάντα, ἐνώπιόν σου καὶ ἡ χήρα, ἣν ἠδίκησας διὰ τῆς συκοφαντίας σου, καὶ ὁ ὀρφανός, ὃν ἐγύμνωσας διὰ τῆς δολιότητος τῆς γλώσσης σου, καὶ ὁ τίμιος ἄνθρωπος, ὃν συκοφαντήσας κατέστησας ἄτιμον, καὶ ὁ ἱερωμένος, ὃν ἡ ἐπίπλαστος καὶ ψευδὴς κατηγορία τοῦ στόματός σου ἐστέρησε τῆς πρεπούσης αὐτῷ εὐλαβείας, καὶ ὁ δίκαιος καὶ ἅγιος, ὁ δεδιωγμένος, κατατεθλιμμένος ὑπὸ τῶν συκοφαντιῶν σου· τότε δὲ ὁ κριτὴς παρίστησιν ἔμπροσθεν τοῦ προσώπου σου τὸ πλῆθος τῶν ἀνομιῶν τῆς συκοφαντίας σου, ὀνειδίζων καὶ κατεξελέγχων σε. Ὦ, καὶ τίς ὑποστήσεται τότε τὸν φοβερώτατον ἅμα καὶ δικαιότατον ἔλεγχον τοῦ ἐπὶ θρόνου τῆς κρίσεως καθημένου; « Τὸ στόμα σου, λέγει » αὐτός, ἐπλεόνασε κακίαν, καὶ ἡ γλῶσσά » σου περιέπλεκε δολιότητας. Καθήμενος » κατὰ τοῦ ἀδελφοῦ σου κατελάλεις, καὶ » κατὰ τοῦ υἱοῦ τῆς μητρός σου ἐτίθης » σκάνδαλον » (5). Καὶ σὺ μὲν ταῦτα ἔπραττες· ἐγὼ δὲ μακροθυμῶν, οὐκ ἐπαίδευσά σε, ἀλλ' ἐσίγησα· σὺ δὲ παρανόμως ἐστοχάσθης, ὅτι σιωπῶ, ἐπειδή εἰμι ὅμοιός σοι· « Ταῦτα ἐποίησας, καὶ ἐσίγησα, ὑπέ» βαλες ἀνομίαν, ὅτι ἔσομαί σοι ὅμοιος. » Νῦν οὖν ἐλέγξω σε καὶ παραστήσω κατὰ » πρόσωπόν σου τὰς ἁμαρτίας σου (6). Ὦ, ποία ὥρα τότε; ὤ, ποῖος τότε ἀπελπισμός, ὅταν ὁ δίκαιος κριτὴς ἐκφωνήσῃ τὴν ἀπόφασιν τῆς αἰωνίου κολάσεως; τίς δύναται τότε ἐλευθερῶσαι ἡμᾶς; κατανοήσατε ταῦτα, ὦ ἄνθρωποι, ὅσοι μὴ ἐνθυμούμενοι τὸ φοβερὸν τοῦ Θεοῦ κριτήριον, συκοφαντεῖτε τοὺς ἀδελφοὺς ὑμῶν· κατανοήσατε ταῦτα, καὶ ἀπέχετε ἀπὸ τῆς μεγάλης τῆς συκο-

(1) Ματθ. 7, 1. (2) Αὐτ. 12, 39. (3) Ῥωμ. 13, 10. (4) Αὐτ. 2, 5. (5) Ψαλμ. 49, 19, 20. (6) Αὐτ. 21.

φαντίας ἀνομίας, μήποτε ἁρπάσῃ ὑμᾶς ὁ θάνατος ἀμετανοήτους· διότι τότε οὐδεὶς δύναται ἐλευθερῶσαι ἡμᾶς ἀπὸ τῆς αἰωνίου καταδίκης· « Σύνετε δὴ ταῦτα οἱ ἐπιλαν- » θανόμενοι τοῦ Θεοῦ, μήποτε ἁρπάσῃ, » καὶ μὴ ᾖ ὁ ῥυόμενος » (1).

# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΗΝ ΠΡΟΣ

# ΓΑΛΑΤΑΣ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ Τῌ͂ ΚΑʹ. ΚΥΡΙΑΚῌ͂.

ΟΤΑΝ ἀναβιβάζω τὸν νοῦν μου ἐπάνω εἰς τὸ ὄρος τὸ Σινᾶ, ἀκούω καὶ βλέπω ἐκεῖ πράγματα φοβερὰ καὶ ἐξαίσια· ἀκούω ἐκεῖ Θεοῦ πρόσταγμα κηρύττον, ἵνα πρὸ τριῶν ἡμερῶν καθαρισθῶσι καὶ προετοιμάσωσιν ἑαυτοὺς οἱ Ἰσραηλῖται (2)· ἀκούω φοβερισμοὺς μεγάλους, ἵνα μηδεὶς ἀναβῇ, μηδὲ κἂν πλησιάσῃ εἰς τὸ ὄρος· ἀκούω φωνὰς σάλπιγγος ἰσχυρὰς σφόδρα· βλέπω ἀστραπὰς καὶ νεφέλην γνοφώδη· βλέπω ὅλον τὸ ὄρος καπνιζόμενον καπνῷ ὡσεὶ καμίνου· τοῦτο οὐκ ἔστι θαυμαστόν· διότι ὁ Θεὸς κατέβη ἐκεῖ ἵνα ἐγχειρίσῃ τοὺς θείους αὐτοῦ νόμους εἰς τὸ γένος τῶν ἀνθρώπων· θαυμάζω δὲ καὶ ἐξίσταμαι, ὅταν ἀκούω τὸν θεηγόρον Παῦλον διδάσκοντα, ὅτι οὐδεὶς ἐξ ἔργων νόμου δικαιωθήσεται. Πῶς ὁ Θεὸς καταβαίνει εἰς τὸ Σινᾶ ὄρος, ἵνα ἀκουσθῇ ἡ νομοθεσία αὐτοῦ εἰς πᾶσαν τὴν οἰκουμένην, ἔπειτα ἡ νομοθεσία οὐ δικαιοῖ; Πῶς; ὁ Θεὸς διὰ τοιαύτης παρατάξεως παραδίδωσι νόμους, οἵτινες οὐκ ἠδύναντο δικαιῶσαι τοὺς ἀνθρώπους ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν; Τίς ὁ λόγος τούτου τοῦ παραδόξου ἀκούσματος; Ἐφανέρωσε τὸν περὶ τούτου λόγον ὁ θεόφρων Παῦλος διὰ τῆς σήμερον ἀναγνωσθείσης ἐπιστολῆς αὐτοῦ, πλὴν τοσοῦτον συντόμως, ὥςε φαίνεται, ὅτι δογματικῶς μᾶλλον, ἢ ἀποδεικτικῶς ἐλάλησεν· ἡμεῖς διὰ τῆς ἑρμηνείας σπουδάσωμεν, ὅσον ἡμῖν δυνατόν, σαφηνίσαι τὸν λόγον ταύτης τῆς ἐπουρανίου αὐτοῦ διδασκαλίας.

*Ἀδελφοί, εἰδότες, ὅτι οὐ δικαιοῦται ἄνθρωπος ἐξ ἔργων νόμου, ἐὰν μὴ διὰ πίστεως Ἰησοῦ Χριστοῦ· καὶ ἡμεῖς εἰς Χριστὸν Ἰησοῦν ἐπιστεύσαμεν, ἵνα δικαιωθῶμεν ἐκ πίστεως Χριστοῦ, καὶ οὐκ ἐξ ἔργων νόμου· διότι οὐ δικαιωθήσεται ἐξ ἔργων νόμου πᾶσα σάρξ* (3).

Ἵνα κατανοήσῃς ἀκριβῶς τὰ προκείμενα τοῦ Παύλου λόγια, σημείωσον, ὅτι δικαίωσιν μὲν λέγει τὴν τελείαν ἀθώωσιν οὐ μόνον

(1) Ψαλμ. 49, 22. (2) Ἐξ. 19. (3) Γαλ. 2, 16.



πάσης προαιρετικῆς, ἀλλὰ καὶ αὐτῆς τῆς προπατορικῆς ἁμαρτίας, δι' ἧς πάντες κατεστάθημεν ἁμαρτωλοί (1), καὶ τὴν ἁγιωσύνην, δι' ἧς ὁ ἄνθρωπος γίνεται ἄξιος τῆς οὐρανίου βασιλείας· ἔργα δὲ νόμου λέγει τὰ περὶ τοῦ σαββάτου καὶ τῆς περιτομῆς, καὶ τὰ περὶ τῶν λεπρῶν, καὶ γονοῤῥοιῶν καὶ ῥαντισμῶν, καὶ ψηλαφήσεων νεκρῶν, καὶ τὰ τὰ τούτοις ὅμοια παραγγέλματα. Ταῦτα δὲ οὐκ ἠδύναντο δικαιῶσαι τὸν ἄνθρωπον, πρῶτον μέν, ἐπειδὴ ἦσαν ψιλὰ σύμβολα τῶν ὑπὸ τοῦ Ἰησοῦ Χριστοῦ νομοθετησομένων σωτηριωδῶν ἔργων· δεύτερον δέ, ἐπειδὴ οὐδεὶς ἠδύνατο καθαρίσαι τὸν ἄνθρωπον ἀπὸ πάσης ἁμαρτίας, εἰμὴ μόνη ἡ θυσία τοῦ αἵματος τοῦ Ἰησοῦ Χριστοῦ. Αὐτὸ μόνον τὸ πανάγιον αἷμα τοῦ σωτῆρος, τὸ ἐν τῷ σταυρῷ ἐκχυθέν, ἐκαθάρισεν ἡμᾶς ἀπὸ πάσης ἁμαρτίας, καὶ ἐδικαίωσε, καὶ ἡγίασε, καὶ κατέστησεν ἀξίους τῆς θείας βασιλείας (2). Ἀλλ' ἐπειδὴ τοῦ νόμου τὰ ἔργα οὐκ ἠδύναντο δικαιῶσαι τὸν ἄνθρωπον, διότι ὁ Θεὸς οὐ μόνον ἔδωκε τὸν νόμον, καὶ διέταξε τὰ τοῦ νόμου ἔργα, ἀλλὰ καὶ κατάραν ὥρισε κατὰ τῶν παραβαινόντων αὐτά, εἰπών· « Ἐπικατάρατος πᾶς ἄνθρω- » πος, ὃς οὐκ ἐμμένει ἐν πᾶσι τοῖς λόγοις » τοῦ νόμου τούτου ποιῆσαι αὐτούς » (3). Τὸν νόμον ἔδωκεν ὁ Θεὸς ὡς παιδαγωγόν, ἵνα ὁδηγήσῃ πρὸς τὴν εἰς Χριστὸν πίστιν, ἐξ ἧς δικαιούμεθα. « Ὥστε ὁ νόμος παι- » δαγωγὸς ἡμῶν γέγονεν εἰς Χριστόν, ἔλε- » γεν ὁ Παῦλος, ἵνα ἐκ πίςεως δικαιωθῶ- » μεν » (4). Ἀληθῶς δὲ ὁ νόμος θαυμασίως ὁδηγεῖ πρὸς τὴν εἰς Χριστὸν πίστιν· διότι δι' αὐτοῦ πρὸς τοῖς ἄλλοις λαλεῖ ὁ Θεὸς περὶ τοῦ Ἰησοῦ Χριστοῦ σαφέστατα, λέγων· « Προφήτην ἀναστήσω αὐτοῖς ἐκ τῶν » ἀδελφῶν αὐτῶν, ὥσπερ σέ· καὶ δώσω τὰ » ῥήματα ἐν τῷ στόματι αὐτοῦ, καὶ λα- » λήσει αὐτοῖς καθ' ὅ,τι ἂν ἐντείλωμαι αὐ- » τῷ. Καὶ ὁ ἄνθρωπος, ὃς ἐὰν μὴ ἀκού- » σῃ ὅσα ἂν λαλήσῃ ὁ προφήτης ἐκεῖνος » ἐπὶ τῷ ὀνόματί μου, ἐγὼ ἐκδικήσω ἐξ » αὐτοῦ » (5). Διὰ τοῦτο δὲ καὶ αὐτὸς ὁ Σωτὴρ ἔλεγεν· « Εἰ ἐπιστεύετε Μωσῇ, » ἐπιστεύετε ἂν ἐμοί· περὶ γὰρ ἐμοῦ ἐκεῖ- » νος ἔγραψε » (6). Καὶ παῤῥησίᾳ δὲ ἐδίδασκε, λέγων· « Ἐγὼ ἐξ ἐμαυτοῦ οὐκ » ἐλάλησα· ἀλλ' ὁ πέμψας με πατήρ, αὐ- » τός μοι ἐντολὴν ἔδωκε, τί εἴπω, καὶ τί » λαλήσω » (7). Διέταξε δὲ ὁ Θεὸς μετὰ φοβερισμῶν τὴν διατήρησιν τῶν τοῦ νόμου ἔργων, ἐπειδὴ αὐτὰ ἦσαν τύποι τῶν νομοθετημάτων τοῦ Ἰησοῦ Χριςοῦ, ὅθεν δι' αὐτῶν προεμάνθανον οἱ ἄνθρωποι τὰ ὑπὸ τοῦ Ἰησοῦ Χριστοῦ διδαχθησόμενα, καὶ τὴν χρεωςουμένην εἰς αὐτὰ ὑπακοὴν καὶ εὐλάβειαν. Ἀλλ' ἐπειδή, λέγεις, τὰ ἔργα τοῦ νόμου οὐ δικαιοῦσι τὸν ἄνθρωπον, ἀλλὰ μόνη ἡ εἰς Χριστὸν πίστις, πῶς οἱ πρὸ νόμου, καὶ αὐτοὶ δὲ οἱ ἐν νόμῳ δίκαιοι ἐδικαιώθησαν; Αὐτοὶ ἐδικαιώθησαν οὐχὶ διὰ τῶν ἔργων τοῦ νόμου, ἀλλὰ διὰ τῆς εἰς Χριστὸν πίστεως, προϊδόντες αὐτὸν διὰ τῶν φωτισμῶν τοῦ παναγίου Πνεύματος, καὶ προκαταγγείλαντες αὐτὸν διὰ συμβόλων καὶ αἰνιγμάτων καὶ τύπων καὶ προφητικῶν λόγων· περιέμενον δὲ αὐτοὶ καὶ τὴν τούτου ἔλευσιν, ἵνα λάβωσι τὴν τελείαν τῆς δικαιώσεως καὶ ἀντιμισθίας ἀπόλαυσιν (8). Ταῦτα οὖν εἰδὼς ὁ θεόπνευστος Ἀπόστολος, ἔλεγε θαρσαλέως· ἐπειδὴ γινώσκομεν, ὅτι οὐχὶ τὰ ἔργα τὰ ὑπὸ τοῦ νόμου νομοθετηθέντα, ἀλλ' ἡ εἰς

(1) Ῥωμ. 5, 19. (2) Αʹ. Ἰωάν. 1, 7. (3) Δευτ. 27, 26. (4) Γαλ. 3, 24. (5) Δευτ. 19, 18, 19. (6) Ἰωάν. 5, 46. (7) Αὐτ. 12, 49. (8) Ἑβρ. 11, 39, 40.

τὸν Χριστὸν πίστις ποιεῖ τὸν ἄνθρωπον δίκαιον καὶ ἅγιον, διὰ τοῦτο καὶ ἡμεῖς ἐπιστεύσαμεν εἰς τὸν Ἰησοῦν Χριστόν, ἵνα οὐχὶ ἐκ τῶν νομικῶν ἔργων, ἀλλὰ διὰ τῆς εἰς αὐτὸν πίστεως δικαιωθῶμεν· διότι οὐδεὶς δικαιοῦται ἐκ τῶν ἔργων τοῦ νόμου. Σημείωσαι δέ, ὅτι πίστιν λέγει οὐχὶ τὴν γυμνὴν τῶν καλῶν ἔργων· διότι αὐτή ἐστι νεκρὰ καὶ ἀνενέργητος· ἀλλὰ τὴν δι' ἀγάπης ἐνεργουμένην (1), ὡς πρὸς τοὺς αὐτοὺς Γαλάτας ἔγραφε, λέγων· « Ἐν Χριστῷ » Ἰησοῦ οὔτε περιτομή τι ἰσχύει, οὔτε ἀ» κροβυστία, ἀλλὰ πίστις, δι' ἀγάπης ἐ» νεργουμένη » (2). Μετὰ δὲ ταῦτα ἐπιφέρει τὴν ἀπόδειξιν τῆς ἀδυναμίας τῶν νομικῶν ἔργων, λέγων·

*Εἰ δὲ ζητοῦντες δικαιωθῆναι ἐν Χριστῷ, εὑρέθημεν καὶ αὐτοὶ ἁμαρτωλοί, ἆρα Χριστὸς ἁμαρτίας διάκονος; μὴ γένοιτο. Εἰ γὰρ ἃ κατέλυσα, ταῦτα πάλιν οἰκοδομῶ, παραβάτην ἐμαυτὸν συνίστημι* (3).

Ἡ ἀπόδειξις προχωρεῖ διὰ τῆς ἀτόπου ἐπαγωγῆς. Ἐὰν ἡμεῖς, λέγει, οἵτινες ζητοῦμεν τὴν δικαίωσιν καὶ τὴν ἁγιωσύνην οὐκ ἐκ τῶν ἔργων τοῦ νόμου, ἀλλὰ τῆς εἰς Χριστὸν πίστεως, ἐκ τούτου ἁμαρτάνομεν· ἆρά γε οὐκ ἀκολουθεῖ καὶ συμπεραίνεται ἐκ τούτου, ὅτι ὁ Χριστός ἐστι διάκονος τῆς μαρτίας, ἤγουν ὑπηρέτης καὶ πρόξενος τῆς ἁμαρτίας; « Μὴ γένοιτο ». Ἄπαγε τοῦ ἀτοπήματος· βλέπεις πῶς διὰ τούτου τοῦ φοβερωτάτου ἀτόπου ἀναγκάζει τοὺς Ἰουδαΐζοντας, ὁμολογῆσαι, ὅτι οὐκ ἐκ τῶν νομικῶν ἔργων, ἀλλὰ διὰ τῆς εἰς Χριστὸν πίστεως δικαιοῦται ὁ ἄνθρωπος; ἐπαύξει ἔτι περισσότερον τὴν δύναμιν τῆς ἀποδείξεως, λέγων· Ἐὰν ἐγὼ πάλιν οἰκοδομῶ ὅσα κατήργησα, γίνομαι παραβάτης, τουτέστι πταίστης καὶ ἁμαρτωλός. Ποῖα δέ εἰσι τὰ ὑπ' αὐτοῦ καταργηθέντα; Τὰ τοῦ νόμου· ταῦτα δὲ οὐ μόνον αὐτός, κἂν ὡς ἐκ προσώπου αὐτοῦ σχηματίζει τὸν λόγον, ἀλλὰ καὶ οἱ λοιποὶ Ἀπόστολοι καὶ οἱ πρεσβύτεροι ἐξ ἁγίου Πνεύματος φωτισθέντες κατήργησαν, ὁροθετήσαντες, ἵνα οἱ εἰς Χριστὸν πιςεύοντες μηδὲ περιτέμνωνται, μηδὲ τὰ λοιπὰ τοῦ νόμου φυλάττωσι παρατηρήματα· διὸ καὶ ἔγραψαν πρὸς τοὺς Ἀντιοχεῖς· « Ἔδοξε » γὰρ τῷ ἁγίῳ Πνεύματι καὶ ἡμῖν, μηδὲν » πλέον ἐπιτίθεσθαι ὑμῖν βάρος πλὴν τῶν » ἐπάναγκες τούτων· Ἀπέχεσθαι εἰδωλο» θύτων καὶ αἵματος καὶ πνικτοῦ καὶ πορ» νείας· ἐξ ὧν διατηροῦντες ἑαυτούς, εὖ » πράξετε » (4). Ὅστις οὖν μετὰ ταύτην τὴν θείαν καὶ ἀποστολικὴν ἀπόφασιν, τὴν καταργήσασαν τὰ νομικὰ παραγγέλματα, ἐφύλαττε τὰ τοῦ νόμου, ἐκεῖνος ἐγίνετο παραβάτης τῆς ἐντολῆς τοῦ παναγίου Πνεύματος. Παρατήρησον δέ, μετὰ πόσης συνέσεως καὶ σοφίας ὁ πάνσοφος Παῦλος ἀνέστρεψεν ἐπὶ τὰς κεφαλὰς τῶν ἰουδαϊζόντων τὴν κατηγορίαν τῆς παραβάσεως· ἐκεῖνοι ἔλεγον, ὅτι οἱ ἀθετοῦντες τὰ τοῦ νόμου εἰσὶ παραβάται· αὐτὸς δὲ ἀπέδειξεν, ὅτι παραβάται γίνονται οἱ τὰ τοῦ νόμου φυλάττοντες· ἐπιστηρίζει δὲ τὴν ἀπόδειξιν καὶ διὰ τῶν ἑξῆς λόγων·

*Ἐγὼ γὰρ διὰ νόμου νόμῳ ἀπέθανον, ἵνα Θεῷ ζήσω* (5).

(1) Ἰακ. 2, 17. (2) Γαλ. 5, 6. (3) Αὐτ. 2, 17, 18. (4) Πράξ. 15, 28, 29. (5) Γαλ. 2, 19.



« Ἐγώ », λέγει « διὰ νόμου », ἤγουν διὰ τῆς διδασκαλίας τοῦ νόμου, « νόμῳ ἀ» πέθανον », κατέστησα δηλονότι ἐμαυτὸν νεκρὸν καὶ ἄπρακτον πρὸς τὰ ἔργα τοῦ νόμου, ὅπερ ἐστίν, ὁ νόμος ἐδίδαξέ με, ἵνα ἐγκαταλείψω τὰ ἔργα αὐτοῦ. Ἀλλὰ τίνι τρόπῳ ἐδίδαξεν αὐτὸν ὁ νόμος τοῦτο τὸ μάθημα; Ὁ νόμος εἶπεν, ὅτι ὁ Θεὸς ἀναστήσει προφήτην, καὶ ὅτι πρέπον ἐστίν, ἵνα ἀκούσωμεν τὴν διδασκαλίαν αὐτοῦ· « Προ» φήτην ἐκ τῶν ἀδελφῶν σου, ὡς ἐμέ, ἀ» ναστήσει σοι Κύριος ὁ Θεός σου· αὐτοῦ » ἀκούσεσθε » (1). Τούτου οὖν τοῦ προφήτου, ὅστις ἐστὶν ὁ Ἰησοῦς Χριστός, τὴν διδασκαλίαν ἀκούσας ὁ Παῦλος, ἐγκατέλιπε τὰ συμβολικὰ τοῦ νόμου ἔργα. « Νόμῳ, » λέγει, ἀπέθανον, ἵνα Θεῷ ζήσω », τουτέςιν, ἐγκατέλιπον τὰ σκιώδη τοῦ νόμου ἔργα, ἵνα ἀφιερώσω ὅλην τὴν ζωήν μου εἰς τὴν ἀληθινὴν τοῦ Θεοῦ λατρείαν· διὰ τοῦτο δέ·

*Χριστῷ συνεσταύρωμαι· ζῶ δέ, οὐκ ἔτι ἐγώ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός· ὃ δὲ νῦν ζῶ ἐν σαρκί, ἐν πίστει ζῶ τῇ τοῦ Υἱοῦ τοῦ Θεοῦ, τοῦ ἀγαπήσαντός με, καὶ παραδόντος ἑαυτὸν ὑπὲρ ἐμοῦ* (2).

Ἐκεῖνος συσταυροῦται τῷ Χριστῷ, ὅστις δι' ἀγάπην αὐτοῦ ὑπωπιάζει τὸ σῶμα καὶ δουλαγωγεῖ (3), καταδαμάζει τὴν σάρκα « σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις, » αἴρει τὸν σταυρὸν αὐτοῦ » (4), ἤγουν ὑπομένει πᾶσαν θλίψιν καὶ στενοχωρίαν, καὶ ἀκολουθεῖ ὀπίσω τοῦ Ἰησοῦ Χριστοῦ. Ἐπειδὴ δὲ ὁ παμμακάριστος Παῦλος ταῦτα πάντα ἐποίησε, διὰ τοῦτο λέγει « Χριστῷ » συνεσταύρωμαι· ζῶ δὲ οὐκ ἔτι ἐγώ », τουτέστιν, οὐκέτι ζῶ ἐγὼ κατὰ τὸν παλαιὸν ἄνθρωπον τὸν φθειρόμενον κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης (5), οὐ ζῶ τὴν ζωὴν τὴν ἐμπαθῆ καὶ πεπλανημένην, διώκων καὶ βλασφημῶν τὸν Ἰησοῦν Χριστόν (6)· « Ζῇ δὲ ἐν » ἐμοὶ ὁ Χριστός ». ἐνεργεῖ δηλαδὴ καὶ δεσπόζει ἐν ἐμοὶ ὁ Χριστός· οὐδὲν ἐγὼ ποιῶ τῶν μὴ ἀρεστῶν αὐτῷ, ἀλλ' ὅλη μου ἡ ζωὴ καὶ τὸ πολίτευμα ὑπ' αὐτοῦ εὐθύνεται « Ὃ » δὲ νῦν ζῶ ἐν σαρκί, ἐν πίστει ζῶ, τῇ τοῦ » Υἱοῦ τοῦ Θεοῦ ». Καὶ καθ' ὃ δὲ ζῶ ἐν σώματι, καθ' ὃ ζῶ ταύτην τὴν θνητὴν ζωήν, βλέπω διὰ παντὸς τὴν ἀθάνατον ζωήν, καὶ πρὸς αὐτὴν διευθύνομαι διὰ τῆς πίστεως τοῦ Υἱοῦ τοῦ Θεοῦ, ὅστις ἠγάπησέ με καὶ παρέδωκεν ἑαυτὸν εἰς θάνατον ὑπὲρ τῆς σωτηρίας μου, « τοῦ ἀγαπήσαντός με, καὶ » παραδόντος ἑαυτὸν ὑπὲρ ἐμοῦ ». Βλέπε δέ, πῶς διὰ τούτου τοῦ λόγου οἰκειοποιεῖται τὸ κοινόν, διδάσκων, ὅτι πᾶς ἄνθρωπος χρέος ἔχει, ἵνα τόσην εὐχαριστίαν προσφέρῃ εἰς τὸν Ἰησοῦν Χριστόν, ὅσην προσέφερεν, ἐὰν αὐτὸν μόνον ἠγάπα, καὶ μόνον ὑπὲρ τῆς σωτηρίας αὐτοῦ παρέδιδεν ἑαυτὸν εἰς θάνατον.

(1) Δευτ. 18, 15. (2) Γαλ. 2, 20. (3) Α'. Κορ. 9, 27. (4) Γαλ. 5, 24. Ματθ. 16, 24.
(5) Ἐφ. 4, 22, (6) Α'. Τιμ. 1, 13.

# ΟΜΙΛΙΑ

ΜΕΤΑ ΤΗΝ ΠΡΟΣ

# ΓΑΛΑΤΑΣ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

## ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗι ΚΑ'. ΚΥΡΙΑΚΗι.

ΠΑΡΑΚΑΛΕΙ ἡμᾶς ὁ θεοφόρος Ἀπόστολος Παῦλος, ἵνα μιμηθῶμεν αὐτόν, καθὼς αὐτὸς μιμητὴς ἐγένετο τοῦ Ἰησοῦ Χριστοῦ. « Μιμηταί μου γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ » (1). Ἡμεῖς δὲ ἀκούοντες αὐτὸν λέγοντα, ὅτι συνεσταυρώθη τῷ Χριστῷ· « Χριστῷ συνεσταύρωμαι » (2), φρίττομεν ἀναλογιζόμενοι τὴν δυσκολίαν τοῦ ἔργου, καὶ ἀπελπιζόμεθα, πειθόμενοι, ὅτι σταυροῦ βάρος οὐ δυνάμεθα βαστάσαι. κἂν δὲ πεπληροφορημένοι ἐσμέν, ὅτι ὁ σταυρὸς οὐδὲν ἄλλο σημαίνει, εἰ μὴ τῶν σαρκικῶν ἐπιθυμιῶν τὴν νέκρωσιν καὶ τῆς ἀρετῆς τὴν κατόρθωσιν, καὶ τοῦτο ὅμως πολλὰ φοβίζει, ἐπειδὴ στοχαζόμεθα, ὅτι τὰ μὲν σαρκικὰ πάθη εἰσὶ κατὰ φύσιν, ἡ δὲ νέκρωσις αὐτῶν καὶ ἡ ἀρετή εἰσι πράγματα ὑπὲρ φύσιν· καὶ τίς δύναται, λέγουσι σχεδὸν πάντες, ἀπονεκρῶσαι ἐκείνας τὰς ἐπιθυμίας καὶ ὁρμάς, αἵτινες ἀναβλύζουσιν ἐκ τῆς φύσεως, ὡς τὸ ὕδωρ ἐκ τῶν πηγῶν, καὶ ἀναβλαστάνουσιν ἐξ αὐτῆς, ὡς ἐκ τῆς γῆς ὁ χόρτος; Ὅστις οὖν ἀποδείξει, ὅτι ἡ ἀρετή ἐστι κατὰ φύσιν, παρὰ φύσιν δὲ ἡ κακία, ἐκεῖνος ἐπιστομίζει τοὺς τὰ τοιαῦτα λέγοντας, καὶ πείθει, ὅτι πᾶς ἄνθρωπος δύναται, ἐὰν τῇ ἀληθείᾳ θέλῃ, μιμητὴς γενέσθαι τοῦ Παύλου, καὶ τῷ Χριστῷ συσταυρωθῆναι, καθὼς ἐκεῖνος· ἡμεῖς προβάλλομεν τὰς περὶ τούτου ἀποδείξεις ἐκ τῶν λόγων τοῦ Θεοῦ, ἐκ τῶν παραδειγμάτων τῶν ἐναρέτων ἀνθρώπων, καὶ ἐκ τῶν ἰδιωμάτων τῆς ἀνθρωπίνης φύσεως, ἐλπίζοντες ὅτι διὰ τοῦ φωτισμοῦ τῆς θείας χάριτος ἐλευθερωθέντες ἀπὸ τῆς τοιαύτης πλάνης, περιπατήσετε προθύμως τῆς σωτηρίου ἀρετῆς τὸν ἔνθεον δρόμον.

« Εἶδεν ὁ Θεός, λέγει ἡ Θεία Γραφή, » τὰ πάντα ὅσα ἐποίησε· καὶ ἰδοὺ καλὰ » λίαν » (3). Ἀκούεις; Τὰ πάντα· ἤγουν πάντα τὰ ποιήματα αὐτοῦ οὐ μόνον εἰσὶ καλά, ἀλλὰ καὶ καλὰ λίαν. Τίς δὲ ἐγνώρισε καὶ ἐβεβαίωσε τοῦτο; Ὁ ἔχων ἄπειρον τὴν γνῶσιν, καὶ τὴν σοφίαν, καὶ τὴν ἐπιστήμην, καὶ τὴν τελειότητα, αὐτὸς δηλονότι ὁ Θεός, ὅστις « Εἶπε καὶ ἐγεννήθησαν » (4), ἐνετείλατο καὶ ἐκτίσθησαν πάντα τὰ ὁρατὰ καὶ ἀόρατα· ἓν δὲ τῶν ἐπισημοτέρων κτισμάτων αὐτοῦ ἐστιν ὁ ἄνθρωπος· καὶ αὐτὸς οὖν ἐστι καλῶς λίαν. Ἀλλὰ κατὰ τί καλός; κατὰ τὴν κατασκευὴν καὶ συμμετρίαν καὶ τοὺς χαρακτῆρας τοῦ σώματος;

(1) Ά. Κορ. 4, 16, καὶ 11, 1. (2) Γαλ. 2, 20. (3) Γεν. 1, 31. (4) Ψαλμ. 148, 5.



Ναί, καὶ κατὰ τοῦτο καλός· πλὴν καλὸς λίαν κατὰ τὰ ἰδιώματα καὶ τὰς διαθέσεις, καὶ τὰς δυνάμεις τῆς ψυχῆς, καλὸς λίαν, ἄκακος τὸν νοῦν, ἁπλοῦς τὸν λογισμόν, ἀγαθὸς τὴν ψυχήν, φρόνιμος, μέτριος, ἐπιεικής, δίκαιος, εὔσπλαγχνος· τοῦτο κυρίως σημαίνει τό, καλὸς λίαν, περὶ τοῦ ἀνθρώπου λεγόμενον· διότι οὐδὲν ἄλλο καλὸν ἐν τῷ ἀνθρώπῳ μεῖζον τῆς ἀρετῆς· ὅστις οὖν ἀρνεῖται, ὅτι ὁ ἄνθρωπος ἐπλάσθη ἀγαθός, καὶ ἔχει κατὰ φύσιν τῆς ἀρετῆς τὰς δυνάμεις, ἐκεῖνος ἀντιλέγει εἰς τὸν λόγον τοῦ Θεοῦ, τὸν εἰπόντα· « Καὶ εἶδεν ὁ Θεὸς τὰ » πάντα, ὅσα ἐποίησε· καὶ ἰδοὺ καλὰ » λίαν » (1). Ὅστις δὲ ἀντιλέγει εἰς τοῦτον τὸν λόγον, ἐκεῖνος ἢ τὴν ὅρασιν τοῦ Θεοῦ κρίνει σφαλεράν, ἢ τὸν λόγον τῆς Θείας Γραφῆς ψευδῆ· ἄτοπα δὲ ταῦτα καὶ βλάσφημα.

Ναί, λέγεις, ἀληθῶς, ὁ ἄνθρωπος ἐπλάσθη ἀγαθός, πλὴν ἡ ἁμαρτία ἔφθειρε τὰς τῆς ἀγαθότητος φυσικὰς αὐτοῦ δυνάμεις, καὶ ἐφύτευσεν εἰς τὴν φύσιν αὐτοῦ τῆς πονηρίας τὰς διαθέσεις. διὰ τοῦτο δὲ ὁ Θεός, ὅστις πρὸ τῆς ἁμαρτίας τοῦ προπάτορος εἶπε γενικῶς περὶ πάντων τῶν κτισμάτων τό, « Καὶ ἰδοὺ καλὰ λίαν », ὁ αὐτὸς Θεὸς μετὰ τὴν ἁμαρτίαν τοῦ πρωτοπλάστου εἶπεν εἰδικῶς περὶ τοῦ ἀνθρώπου· « Ὅτι » ἔγκειται ἡ διάνοια τοῦ ἀνθρώπου ἐπιμε- » λῶς ἐπὶ τὰ πονηρὰ ἐκ νεότητος αὐτοῦ » (2). Οὐδεὶς ἀρνεῖται, ὅτι ἡ ἁμαρτία ἔσπειρεν εἰς τὸν ἄνθρωπον τὴν διάθεσιν καὶ κλίσιν εἰς τὸ κακόν· πλὴν σημείωσον, ὅτι ὁ Θεὸς οὐκ εἶπεν, ὅτι ἔγκειται ἡ φύσις, ἀλλ' ἔγκειται ἡ διάνοια τοῦ ἀνθρώπου ἐπὶ τὰ πονηρά· ἵνα διὰ τούτου φανερώσῃ, ὅτι τὰ διανοήματα ἐφθάρησαν μετὰ τὴν ἁμαρτίαν, οὐχὶ δὲ αἱ δυνάμεις τῆς φύσεως. αἱ ἐργαζόμεναι τὰ ἀγαθά· ἐπιβεβαιοῖ δὲ τοῦτο ὁ Ἐκκλησιαστής, λέγων· « Πλὴν ἴδε τοῦτο εὗ- » ρον, ὃ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον εὐ- » θῆ· καὶ αὐτοὶ ἐζήτησαν λογισμοὺς πολ- » λούς » (3). Ἡ ἁμαρτία ἐποίησεν εἰς τὴν διάνοιαν τοῦ ἀνθρώπου ἐκεῖνο, ὅπερ ποιεῖ ἡ ἀσθένεια εἰς τὸ σῶμα αὐτοῦ· ἡ ἀσθένεια, παραδείγματος χάριν, ὁ πυρετὸς κινεῖ βιαίως τὸ αἷμα, φέρει κεφαλαλγίαν, ξηραίνει τὸ στόμα, μαραίνει τῆς τροφῆς τὴν ὄρεξιν, πλὴν οὐκ ἐξαφανίζει παντελῶς, ἀλλὰ ποιεῖ ἀσθενεῖς καὶ ἀδυνάτους τὰς τῆς ὑγείας δυνάμεις· ἐὰν ἐξηφάνιζεν αὐτὰς παντελῶς, οὐδὲ ἰατρός, οὐδὲ βοτάνη, οὐδὲ φλεβοτομία, οὐδὲ ἄλλο τι ἐθεράπευε τὴν ἀσθένειαν, ἐνεκροῦτο δὲ τὸ σῶμα, καὶ διελύετο εἰς γῆν. Ἄτακτον κίνησιν ἔδωκεν ἡ ἁμαρτία τοῦ προπάτορος εἰς τὴν διάνοιαν ἡμῶν, κατετάραξε τὰ εὐθῆ νοήματα διὰ τῶν πολλῶν λογισμῶν, ἐξήρανε τοὺς θεοφιλεῖς λογισμούς, ἐφυγάδευσε τῆς ἀρετῆς τὴν ἐνθύμησιν, ἐξενεύρισε, πλὴν οὐκ ἐξεῤῥίζωσε τὰς δυνάμεις τῆς φύσεως, δι' ὧν κατορθοῦται ἡ ἀρετή· διότι, ἐὰν ἐξήλειφεν αὐτὰς παντελῶς, οὐδέποτε οὐδὲ ἐφαίνετο, οὐδὲ ἠκούετο εἰς τὸν κόσμον οὐδὲ ἀρετή, οὐδὲ ἄνθρωπος ἐνάρετος· ἡμεῖς δὲ βλέπομεν ἀνθρώπους, οἵτινες κατώρθωσαν ἀρετῆς ἔργα, ὑπὸ τοῦ φυσικοῦ λόγου ὁδηγούμενοι.

Τίς ἐδίδαξε τὸν Ἄβελ τὴν ἀρετὴν τῆς εὐλαβείας καὶ εὐγνωμοσύνης, ἐξ ἧς ὁδηγηθείς, προσέφερεν εἰς τὸν Θεὸν τὴν θυσίαν τῶν πρωτοτόκων αὐτοῦ προβάτων, καὶ τῶν στεάτων αὐτῶν (4); Τίς ἐδίδαξε τὸν Ἐνώχ, ἵνα ποιήσῃ τὰ ἀρεστὰ εἰς τὸν Θεὸν (5); Τίς

(1) Γεν. 1, 31. (2) Αὐτ. 8, 21. (3) Ἐκκλ, 7, 29. (4) Γεν. 4, 4. (5) Αὐτ. 5, 24.

ἐδίδαξε τὸν Νῶε, τὴν δικαιοσύνην καὶ τὴν τελειότητα τῆς ἀρετῆς (1), τοὺς δὲ δύω υἱοὺς αὐτοῦ, τὸν Σὴμ καὶ τὸν Ἰάφεθ, τὴν πατρικὴν τιμὴν καὶ τὸ σέβας, ἐξ ὧν χειραγωγούμενοι, « Ἐπορεύθησαν ὀπισθοφανῶς, » καὶ συνεκάλυψαν τὴν γύμνωσιν τοῦ πα» τρὸς αὐτῶν » (2); Τίς ἐδίδαξε τὸν Ἀβραὰμ τόσην ὑπακοὴν εἰς τὸν Θεόν, τόσην ἀγάπην εἰς τὸν πλησίον, τόσην προθυμίαν εἰς πᾶν ἔργον ἀγαθόν; ὁ νόμος; ἀλλ' ὁ νόμος ἐδόθη μετὰ ταῦτα, ἤγουν εἰς τὸν καιρὸν τοῦ Μωϋσέως· ὁ Θεός, λέγεις, ὅστις ἐπαῤῥησιάζετο ἐνώπιον αὐτῶν, καὶ ἐλάλει πρὸς αὐτούς, αὐτὸς ἐδίδασκεν αὐτοὺς τὰ περὶ τῆς ἀρετῆς. Ἀλλ', ἐὰν ὁ Θεός, ὁ δημιουργὸς τῶν ἀνθρώπων, ὁ δικαιότατος καὶ φιλανθρωπότατος, ἐδίδασκε καὶ ἐζήτει παρ' αὐτῶν τὴν ἀρετήν, τοῦτό ἐστιν ἰσχυρὰ ἀπόδειξις, ὅτι, ἐπειδὴ αὐτὸς ἐφύτευσεν εἰς τὴν φύσιν αὐτῶν τὰς δυνάμεις, δι' ὧν αὐτοὶ ἠδύναντο ἐκτελέσαι τῆς ἀρετῆς τὰ ἔργα, διὰ τοῦτο ἐδίδασκε καὶ ἐζήτει παρ' αὐτῶν τὴν ἀρετήν.

Βλέπε δὲ καὶ τὰ ἀνθρώπινα ἰδιώματα, τὰ ἀποδεικνύοντα, ὅτι ὁ ἄνθρωπος ἔχει κατὰ φύσιν τῆς ἀρετῆς τὰ σπέρματα. Πᾶς ἄνθρωπος, ὅταν μὲν πράττῃ τὴν ἀρετήν, ἔχει θάῤῥος, οὐδόλως αἰσχύνεται, χαίρει τῇ ψυχῇ· ὅταν δὲ ἐκτελῇ τὴν ἁμαρτίαν, φοβεῖται, ἐντρέπεται, λυπεῖται. Ὁ Ἀδὰμ πρὸ τῆς ἁμαρτίας ἀφόβως περιπατεῖ εἰς τὸν παράδεισον, οὐδόλως ἐντρέπεται διὰ τὴν γύμνωσιν αὐτοῦ, χαίρει ἀπολαμβάνων τῆς τοῦ παραδείσου τρυφῆς· μετὰ τὴν ἁμαρτίαν φόβος ἐμπίπτει εἰς τὴν καρδίαν αὐτοῦ· ὅθεν κρύπτεται· ἐντροπὴ καλύπτει τὸ πρόσωπον αὐτοῦ, ὅθεν ῥάπτει τῆς συκῆς τὰ φύλλα, ἵνα σκεπασθῇ (3)· λύπην ἀπαραμύθητον φέρει εἰς τὴν ψυχὴν αὐτοῦ ἡ αἴσθησις τῆς ἐλεεινῆς αὐτοῦ καταστάσεως. Ταῦτα ἕως τὴν σήμερον ἀκολουθοῦσι καὶ εἰς ἡμᾶς· ὅταν πράττῃς τὴν ἀρετήν, ἔχεις μεγαλοψυχίαν, πρόσωπον ἀνερυθρίαστον, χαρὰν ψυχικήν· ὅταν δὲ ποιῇς τὴν ἁμαρτίαν, κἂν κρυφίως ἁμαρτάνῃς, ὅμως αἰσθάνεσαι φόβον καὶ ἐντροπὴν καὶ λύπην. Πᾶς ἄνθρωπος τιμᾷ καὶ εὐλαβεῖται τὴν ἀρετὴν καὶ τὸν ἐνάρετον, κἂν ἐχθρὸς αὐτοῦ τύχῃ· ἔτρεχεν εἰς τὰ ὄρη καὶ εἰς τὰ σπήλαια καὶ εἰς τοὺς δρυμῶνας ὁ Σαούλ, ἵνα θανατώσῃ τὸν Δαβίδ· ἀλλ' ὅταν εἶδε τὴν ἀνεξικακίαν τῆς καρδίας αὐτοῦ, τότε ἐξεβόησεν· « Ἡ φωνή σου αὕτη » τέκνον Δαβίδ » (4); Τότε ὕψωσε τὴν φωνὴν αὐτοῦ, καὶ ἔκλαυσε, καὶ εἶπε· « δίκαιος » σὺ ὑπὲρ ἐμέ, ὅτι σὺ ἀνταπέδωκάς μοι » ἀγαθά, ἐγὼ δὲ ἀνταπέδωκά σοι κακά ». Ἀληθῶς, ἀρετὴν ἀνδρὸς εἶδε θαυμάζειν καὶ πολέμιος· καὶ αὐτοῦ τοῦ ἐχθροῦ ἡ ἀρετὴ καὶ τὸ μῖσος ψυχραίνει, καὶ τὴν ἔχθραν μαραίνει, καὶ μεταβάλλει τὴν ἐχθρικὴν διάθεσιν τῆς καρδίας εἰς εὐλάβειαν καὶ ἐπιείκειαν· πᾶς ἄνθρωπος, ἐὰν ἀκούσῃ μόνον, ὅτι ὁ δεῖνα ἄνθρωπός ἐστι φιλάγαθος, δίκαιος, σώφρων, ἐλεήμων, εὐεργετικός, αἰσθάνεται ἐν τῇ καρδίᾳ αὐτοῦ κλίσιν εὐλαβείας καὶ ἀγάπης πρὸς ἐκεῖνον τὸν ἐνάρετον ἄνθρωπον, κἂν οὐδὲ ἐγνώρισεν, οὐδὲ εἶδεν αὐτόν· τὸ ἐναντίον δὲ συμβαίνει, ὅταν ἀκούσωμεν περί τινος ἀνθρώπου, ὅτι ἐστὶ πονηρός, ἄδικος, ἄσωτος, ἄσπλαγχνος, ἀμετάδοτος, τότε κἂν ἀγνώριστος ὁ ἄνθρωπος ἐκεῖνος, ἔρχεται εἰς τὴν καρδίαν ἡμῶν ἀποστροφὴ κατ' αὐτοῦ καὶ μῖσος· πόθεν οὖν, εἰπέ μοι, ταῦτα γίνονται;

Ἐκ τῆς ἀνατροφῆς, λέγεις, ταῦτα γί-

(1) Γεν. 6, 9. (2) Αὐτ. 9, 23. (3) Αὐτ. 3, 7, 8. (4) Α'. Βασ. 24, 16, 17.



νονται, ἐκ τῆς διδασκαλίας τῆς πίστεως, ἐκ τῆς ἀκροάσεως τῶν νόμων· παιδιόθεν ἀκούομεν, ὅτι ἡ ἀρετή ἐστι πρᾶγμα τίμιον, καὶ ὠφέλιμον, ἡ δὲ κακία ἄτιμον καὶ βλαβερόν· καὶ ὅτι ὁ Θεὸς διὰ πολλῶν δωρεῶν ἀνταμείβει τοὺς ἐναρέτους καὶ διὰ μεγάλων τιμωριῶν παιδεύει τοὺς ἁμαρτάνοντας· ἐκ ταύτης δὲ τῆς προκαταλήψεως γεννᾶται εἰς τὴν καρδίαν ἡμῶν ἡ τιμὴ καὶ ἡ ἀγάπη τῆς ἀρετῆς, καὶ ἡ ἀτιμία καὶ ἀποστροφὴ τῆς κακίας. Ἀλλὰ πόθεν τὰ ἔθνη τὰ βάρβαρα, τὰ ἄπιστα, τὰ ἄνομα, μισοῦσι τὸν φόνον, παιδεύουσι τὴν ἀδικίαν, τιμῶσι τοὺς γονεῖς, προσφέρουσιν εὐχαριστίαν εἰς τοὺς εὐεργέτας; Πόθεν οἱ εἰδωλολάτραι, οἱ λατρεύοντες θεοὺς ἅρπαγας, μοιχούς, ἀδικητάς, φονεῖς, ἐπαίδευον μὲν αὐστηρῶς τὴν ἁρπαγὴν καὶ τὴν μοιχείαν καὶ τὴν ἀδικίαν καὶ τὸν φόνον, ἐσέβοντο δὲ τοὺς ἐγκρατεῖς καὶ σώφρονας καὶ φιλοδικαίους καὶ εὐεργετικοὺς ἀνθρώπους; βλέπομεν εἰς αὐτοὺς πρᾶγμα ἀληθῶς παράδοξον· ἡ μὲν χεὶρ αὐτῶν προσέφερε θυσίαν εἰς τὸν Δία, τὸν ἁρπάσαντα τὴν ἐξουσίαν τοῦ Κρόνου, τοῦ πατρὸς αὐτοῦ· ἡ δὲ καρδία αὐτῶν ἐτίμα καὶ ἐσέβετο τοὺς γονεῖς· ἡ χεὶρ αὐτῶν προσέφερε θυμίαμα εἰς τὴν θεὰν τῆς ἀσελγείας τὴν Ἀφροδίτην· ἡ δὲ καρδία αὐτῶν ἐτίμα τοὺς σώφρονας· ἐλάτρευον καὶ ἐσέβοντο τὸν Διόνυσον, τὸν θεὸν τῆς μέθης, καὶ ἀπεστρέφοντο τοὺς μεθύοντας, καὶ ἐτίμων τοὺς νήφοντας· παράδοξον ἀληθῶς τοῦτο τὸ φαινόμενον, λύει δὲ τὴν τούτου ἀπορίαν ὁ πανένδοξος Παῦλος, λέγων, ὅτι τὰ ἔθνη ὑπὸ τοῦ φωτὸς τῆς φύσεως ὁδηγούμενα ποιοῦσι τὰ ἔργα τοῦ θείου νόμου· « Ὅταν γὰρ ἔθνη τὰ μὴ νόμον » ἔχοντα, φύσει τὰ τοῦ νόμου ποιῇ, οὗτοι » νόμον μὴ ἔχοντες, ἑαυτοῖς εἰσι νόμος » (1). Αὐτοὶ λέγει, ἀποδεικνύουσιν, ὅτι ὁ νόμος τοῦ Θεοῦ ἐστι γεγραμμένος ἐν ταῖς καρδίαις αὐτῶν, καὶ ὅτι οἱ λογισμοὶ τοῦ νοὸς αὐτῶν κατηγοροῦσι μὲν τὴν κακίαν, ἀπολογοῦνται δὲ ὑπερασπιζόμενοι τὴν ἀρετήν· « Οἵτινες ἐνδείκνυνται τὸ ἔργον τοῦ » νόμου γραπτὸν ἐν ταῖς καρδίαις αὐτῶν, » καὶ μεταξὺ ἀλλήλων τῶν λογισμῶν κα» τηγορούντων ἢ καὶ ἀπολογουμένων » (2). Ὁ νόμος τῆς ἁμαρτίας, ὁ ἐν τοῖς μέλεσιν αὐτῶν (3) φυτευθεὶς ὑπὸ τῆς παραβάσεως τοῦ πρωτοπλάστου, σκοτίζων αὐτούς, ἔπειθεν, ἵνα λατρεύωσι τῇ κτίσει παρὰ τὸν κτίσαντα, θεοὺς σεβόμενοι ῥυπαροὺς καὶ ἐμπαθεστάτους· ἐπειδὴ δὲ ἀμεταμέλητά εἰσι «Τὰ χαρίσματα καὶ ἡ κλῆσις τοῦ Θεοῦ» (4), κἂν ἐσκοτίζοντο ὑπὸ τοῦ νόμου τῆς ἁμαρτίας, ὅμως τοῦ νοὸς ὁ νόμος, ἤγουν ἡ λογικὴ δύναμις τῆς ἀνθρωπίνης φύσεως, ὡδήγει αὐτοὺς πρὸς τὴν διάκρισιν τοῦ ἀγαθοῦ καὶ καὶ κακοῦ, καί ἔπειθεν αὐτούς, ἵνα τιμῶσι τὴν ἀρετήν, καὶ ἀποστρέφωνται τὴν κακίαν.

Ἀλλ' ἐὰν ἡ φύσις, λέγεις, διδάσκῃ καὶ ὁδηγῇ πρὸς τὴν ἀποστροφὴν ἀπὸ τῆς κακίας, καὶ πρὸς τὴν κατόρθωσιν τῆς ἀρετῆς, τίς ἡ χρεία τῶν θείων νόμων; χρεία μεγάλη, μᾶλλον δὲ ἀνάγκη ἐστὶν ἄφευκτος· διότι εἰς τὴν πληγὴν τῆς προπατορικῆς ἁμαρτίας προσετέθησαν καὶ τὰ τραύματα τῶν προαιρετικῶν ἁμαρτημάτων πληγὴ ἐπάνω εἰς τὴν πληγήν, ἐξ οὗ πολλὰ ἠσθένησεν ἡ φύσις· καὶ ἠγωνίζετο μέν, ἵνα ὁδηγήσῃ τὸν ἄνθρωπον πρὸς τὸ ἀγαθόν, ἀλλ', ἐπειδὴ ἦν πολλὰ ἀσθενής, οὐδὲν ἠδύνατο ἐκτελέσαι μετὰ τῆς πρεπούσης τελειότητος· ἐκ τούτου φανερόν ἐστιν, ὅτι ἀνάγκην βοηθείας ἀπερίγραπτον

(1) Ῥωμ. 2, 14. (2) Αὐτ. 15. (3) Αὐτ. 7, 23. (4) Αὐτ. 11, 29.

εἶχεν ἡ φύσις. Ὁ πολυεύσπλαγχνος οὖν Θεός, ὁ καθ᾽ ὑπερβολὴν ἀγαπῶν τὸν ἄνθρωπον, ἐλεήσας αὐτόν, ἐπέθετο δύναμιν εἰς τὴν ἀδυναμίαν, τὴν δύναμιν τοῦ νόμου εἰς τὴν ἀδυναμίαν τῆς φύσεως, ἵν᾽ ὑπ᾽ αὐτοῦ βοηθούμενος ὁ ἄνθρωπος, ποιῇ τέλεια τοῦ Θεοῦ τὰ ἔργα· διὰ τοῦτο ἐδόθη ὁ νόμος λέγει ὁ προφήτης Ἡσαΐας, διὰ βοήθειαν τοῦ ἀνθρώπου· « Νόμον γὰρ ἔδωκεν » εἰς βοήθειαν » (1). Φωτίζει μὲν ὁ νοῦς πρὸς τὴν διάκρισιν τοῦ καλοῦ καὶ τοῦ κακοῦ, ἀλλὰ τὸ φῶς αὐτοῦ ἐστιν ὀλίγον, ἀραιόν, ἀσθενές· προστίθησιν ὁ Θεὸς εἰς τὸ φυσικὸν φῶς τὸ πολὺ καὶ πυκνὸν καὶ δυνατὸν φῶς τῶν θείων αὐτοῦ νόμων· « Λύχνος » τοῖς ποσί μου ὁ νόμος σου καὶ φῶς ταῖς » τρίβοις μου » (2)· « διότι φῶς τὰ προ» στάγματά σου ἐπὶ τῆς γῆς » (3). Τοῦτο δὲ τὸ φῶς, τὸ σύνθετον ἐκ τοῦ φυσικοῦ φωτὸς καὶ τοῦ φωτὸς τοῦ νομικοῦ, φωτίζει τὸν ἄνθρωπον εἰς τὴν τελείαν διάκρισιν τοῦ ἀγαθοῦ καὶ τοῦ κακοῦ. « Νόμον γὰρ ἔδωκεν » εἰς βοήθειαν ». Κινεῖ ἡ λογικὴ δύναμις πρὸς τὴν φυγὴν τῆς ἁμαρτίας καὶ τὴν κατόρθωσιν τῶν καλῶν ἔργων, πλὴν ἡ δύναμις τῆς κινήσεώς ἐστιν ἀσθενής, λαμβάνει δὲ τόνον ἡ χαυνότης αὐτῆς ὑπὸ τῆς φωνῆς τοῦ νόμου· διὸ αὐτὴ ἡ σύνθετος δύναμις ἐκ τῆς δυνάμεως τῆς φύσεως καὶ τῆς τοῦ θείου νόμου φωνῆς, ἐνισχύει τὸν ἄνθρωπον πρὸς τὴν ἀποστροφὴν τῆς ἁμαρτίας, καὶ τὴν ἐργασίαν τῶν ἀγαθῶν πράξεων· « Νόμον » γὰρ ἔδωκεν εἰς βοήθειαν ». Ὅταν μόνη ἡ συνείδησίς μου ἔνδοθεν λέγῃ μοι, φύγε τὴν ἁμαρτίαν, κατόρθωσον τὴν ἀρετήν· εὐκόλως καταφρονῶ τὴν συμβουλὴν αὐτῆς· ἀλλ᾽, ὅταν ἀκούω καὶ ἔξωθεν τὴν φωνὴν τοῦ νόμου Κυρίου τοῦ Θεοῦ μου, κραυγάζουσαν· « Ἔκκλινον ἀπὸ κακοῦ καὶ ποίησον ἀγα» θόν » (4)· τότε εὐκολώτερον πείθομαι· ἐὰν δὲ καταπεισθῶ, ἔρχεται εὐθὺς ἐπ᾽ ἐμοὶ τοῦ Θεοῦ ἡ χάρις, ἥτις ἐνδυναμοῖ με, ἵνα ἀπέχω ἀπὸ παντὸς κακοῦ, καὶ ἐργάζωμαι τὸ ἀγαθόν. Ταῦτα τὰ τρία, ἡ συνείδησις, ὁ νόμος, ἡ χάρις, ποιοῦσι τὸν ἄνθρωπον τροπαιοφόρον νικητὴν τῆς ἁμαρτίας, καὶ ὑπερένδοξον ἐργάτην τῶν μεγάλων τῆς ἀρετῆς κατορθωμάτων.

Ἐπιβεβαιοῖ ταῦτα τῶν πραγμάτων ἡ ἀλήθεια· οἱ ἐθνικοὶ φιλόσοφοι ὑπὸ τοῦ φωτὸς τῆς φύσεως ὁδηγούμενοι, πολλὰς ἀρετὰς κατώρθωσαν· ἀκτημοσύνην, ἄσκησιν, ἐγκράτειαν, φρόνησιν, δικαιοσύνην· πλὴν ἀτελεῖς ἦσαν αἱ ἀρεταὶ αὐτῶν, μεμολυσμέναι ὑπὸ τοῦ ῥύπου τῆς φιλοδοξίας, κεκαπνισμέναι ὑπὸ τοῦ καπνοῦ τῆς ὑπερηφανείας, μεμελανωμέναι ὑπὸ τοῦ σκοτεινοῦ πνεύματος τῆς ὑποκρίσεως. Ἔρριψεν ὁ Κράτης πᾶσαν τὴν περιουσίαν αὐτοῦ εἰς τὴν θάλασσαν, ἵνα κατασταθῇ ἀκτήμων· ἔπειτα ὅμως περιερχόμενος ἔνθεν κἀκεῖθεν, ἐκραύγαζεν, ὁ Κράτης ἠλευθέρωσε τὸν Κράτητα (5)· ἠλευθέρωσεν ἑαυτὸν ἀπὸ τῆς πλεονεξίας, καὶ ἐγένετο δοῦλος τῆς φιλοδοξίας. Ὁ Διογένης κατῴκησεν εἰς τὸν πίθον, καὶ ἐν καιρῷ μὲν θέρους κατεκυλίετο ἐπὶ ἄμμου ζεστῆς, τὸν δὲ χειμῶνα ἐνηγκάλιζεν ἀνδριάντας κεχιονισμένους· μετὰ τοῦ τρίβωνος, δι᾽ οὗ περιπάτει ἐνδεδυμένος τὴν ἡμέραν, μετὰ τοῦ αὐτοῦ ἐσκεπάζετο καὶ τὴν νύκτα· πλὴν ἔπειτα κατεπάτει παῤῥησίᾳ τὰ στρώματα, κραυγάζων καὶ λέγων· « Πατῶ τὸν Πλάτωνος τύφον », ἤγουν τὴν ὑπερηφάνειαν τοῦ Πλάτωνος· ὁ δὲ Πλάτων

(1) Ἡσ. 8, 20. (2) Ψαλμ. 118, 105. (3) Ἡσ. 26, 9, (4) Ψαλμ. 33, 14. (5) Ὅρα Λαέρτ.



παρὼν ἐκεῖ, εὐστόχως ἀπεκρίθη πρὸς αὐτόν· « Ἑτέρῳ γε τύφῳ », τουτέστι, πατεῖς τὴν ἐμὴν ὑπερηφάνειαν δι᾽ ἄλλης ὑπερηφανείας, κεκρυμμένης ἐν τῇ ψυχῇ σου· ποικιλοτρόπως ἐταλαιπώρει τὸ ἄθλιον αὐτοῦ σῶμα, πλὴν ἀναφανδὸν εἰς τὸ μέσον τῆς ἀγορᾶς ἐποίει τῆς ἀσελγείας τὰ αἰσχρὰ ἔργα. Φρόνιμος, ἐγκρατής, φιλοδίκαιος ὁ Σωκράτης, πλὴν ἔφθειρε τοὺς νέους, καὶ ὑπεκρίνετο, ὅτι δαιμόνιον λαλεῖ μετ᾽ αὐτοῦ, καὶ ὁδηγεῖ αὐτόν. Ἐὰν παραβάλλῃς ταύτας τὰς ἀρετὰς μετὰ τῶν ἀρετῶν τῶν ἀνθρώπων, τῶν ὁδηγηθέντων ὑπὸ τοῦ φωτὸς τῶν θείων νόμων, βλέπεις πόσον ἀτελής ἐστιν ἡ ἀρετὴ ἐκείνων, συγκρινομένη μετὰ τῆς τούτων ἀρετῆς· παρατήρησον τὴν εἰς τὰς χεῖρας τῶν πτωχῶν διανομὴν τῆς πλουσιωτάτης περιουσίας τοῦ Ξενοφῶντος, καὶ τῶν μυριάδων λιτρῶν τοῦ χρυσίου τῆς Ῥωμαίας Μελάνης, ἅμα δὲ καὶ τὴν εἰς τοὺς ἐρήμους τόπους φυγὴν αὐτῶν, ἵνα μὴ δοξάζωνται ὑπὸ τοῦ κόσμου· παρατήρησον τὴν ἄσκησιν τοῦ Παύλου τοῦ Θηβαίου, καὶ τῶν λοιπῶν ἀναχωρητῶν, τῶν πορευθέντων εἰς βαθείας ἐρήμους, ἵνα φύγωσι τῶν ἀνθρώπων τοὺς ἐπαίνους· παρατήρησον τοὺς ὑψηλοὺς καὶ θαυμασιωτάτους ἀγῶνας τοῦ Παύλου καὶ τῶν λοιπῶν Ἀποστόλων, ἀγῶνας, οἵτινες ἕνα καὶ μόνον σκοπὸν εἶχον, τὴν ὠφέλειαν καὶ τὴν αἰώνιον σωτηρίαν τῶν ἀνθρώπων. Ἐκ ταύτης τῆς παρατηρήσεως καὶ παραθέσεως βλέπεις καὶ διακρίνεις, ὅτι ἔχει μὲν τῶν ἀνθρώπων ἡ φύσις τῆς ἀρετῆς τὰ σπέρματα, πλὴν ὁ καρπὸς αὐτῶν ἐστιν ἀτελὴς διὰ τὴν ἀσθένειαν τῆς φύσεως, ὡς ὁ καρπὸς τῆς ξηρᾶς καὶ ἀγεωργήτου γῆς· καθὼς δὲ ἡ γῆ, καλλιεργουμένη ὑπὸ τῶν γεωργῶν, καὶ λιπαινομένη ὑπὸ τῆς κοπρίας, καρποφορεῖ καρπὸν τελειότερον· οὕτω καὶ τῶν ἀνθρώπων ἡ φύσις, φωτιζομένη ὑπὸ τῶν θείων νόμων, καὶ ἐνδυναμουμένη ὑπὸ τῆς θείας χάριτος, ποιεῖ τελειοτέραν τὴν τῶν καλῶν ἔργων καρποφορίαν.

Τίς ὁ σκοπὸς τῶν λόγων τούτων; Σκοπὸς αὐτῶν ἐστιν ἀποδεῖξαι, ὅτι παραλόγως προφασίζονται ὅσοι λέγουσιν, ὅτι ἡ ἀρετὴ ἀντιφέρεται εἰς τὰ ἰδιώματα τῆς φύσεως, καὶ ὅτι ἡμεῖς οἱ πιστοί, ἐὰν μὴ πολιτευώμεθα ἐναρέτως, ἀλλὰ τρέχωμεν τῆς ἁμαρτίας τοὺς κρημνούς, ἐσμὲν ἀναπολόγητοι, καὶ περισσοτέρας καταδίκης ἄξιοι, ἤπερ οἱ ἄνομοι, ἤγουν ἐκεῖνοι οἱ ἄνθρωποι, οἵτινες οὐδὲ ἐγνώρισαν, οὐδὲ ἤκουσαν τὴν τοῦ Θεοῦ νομοθεσίαν· διότι οἱ ἄνομοι φωτίζονται ὑπὸ μόνου τοῦ φωτὸς τῆς φύσεως, ἡμεῖς δὲ συμβοηθούμεθα καὶ ὑπὸ τῆς τοῦ θείου Εὐαγγελίου νομοθεσίας· ἐὰν δὲ κλίνῃ ἡ θέλησις ἡμῶν πρὸς ὑπακοὴν τῶν νόμων, ἔχομεν καὶ ἰσχυρὰν συνεργὸν τοῦ Θεοῦ τὴν χάριν. Ποίαν οὖν ἀπολογίαν ἔχομεν ἐν ἐκείνῃ τῇ φοβερᾷ ἡμέρᾳ, ὅταν ὁ δίκαιος κριτὴς ζητῇ λόγον ὑπὲρ τῶν πράξεων ἡμῶν, λέγων· « Πῶς » εἰσῆλθες ὧδε, μὴ ἔχων ἔνδυμα γάμου » (1); Ὁ ἄνομος ἔχει ἀπολογίαν τὴν ἄγνοιαν τοῦ νόμου καὶ τὴν ἀδυναμίαν τῆς φύσεως· τί δὲ ἀποκριθήσεται ὁ πιστὸς πρὸς τὸν κριτήν, ὅταν λέγῃ πρὸς αὐτόν· διὰ τί οὐκ ἐφύλαξας τὰς ἐντολάς μου, ἀλλὰ παρέβης αὐτάς; Διὰ τί οὐκ ἠγάπησας τὸν πλησίον σου, ἀλλὰ παντὶ τρόπῳ ἔβλαψας; Διὰ τί ἀντὶ ἀγάπης μῖσος, ἀντὶ σωφροσύνης ἀσέλγειαν, ἀντὶ ταπεινοφροσύνης ὑπερηφάνειαν, ἀντὶ ἐλεημοσύνης ἀσπλαγχνίαν, ἀντὶ δικαιοσύνης ἔπραξας ἀδικίαν; Διὰ τί οὐδὲ τὰ ἀρε-

(1) Ματθ. 22, 12.

στά μοι ἡτοίμασας, οὐδὲ τὸ θέλημά μου ἐποίησας; εἶχες ὁδηγὸν τὴν φύσιν, εἶχες συμβοηθὸν τὸν νόμον, εἶχες συνεργὸν τὴν χάριν. Τρισάθλιοι ἡμεῖς· οὐδεμίαν ἔχομεν ἀπολογίαν· οὐαὶ ἡμῖν· ἡ ἀπόφασις τοῦ Θεοῦ ἐγένετο καὶ ἐξεφωνήθη· « Ἐκεῖνος δὲ ὁ δοῦ-» λος, εἶπεν ὁ Κύριος, ὁ γνοὺς τὸ θέλημα » τοῦ Κυρίου αὐτοῦ, καὶ μὴ ἑτοιμάσας, » μηδὲ ποιήσας πρὸς τὸ θέλημα αὐτοῦ, δα-» ρήσεται πολλάς· ὁ δὲ μὴ γνούς, ποιήσας » δὲ ἄξια πληγῶν, δαρήσεται ὀλίγας » (1).

# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΗΝ ΠΡΟΣ

## ΓΑΛΑΤΑΣ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗι ΚΒʹ. ΚΥΡΙΑΚΗι.

ΟΣΟΙ Ἰουδαῖοι παχυλοὶ ἦσαν κατὰ τὸν νοῦν, μὴ διακρίνοντες τὰς τοῦ νόμου ἐντολὰς ἀπὸ τῶν ἐν αὐτῷ συμβόλων, ἐνόμιζον, ὅτι καὶ αἱ ἐντολαὶ καὶ τὰ σύμβολά εἰσι ὅτι διὰ τοῦ τοιούτου κηρύγματος φεύγουσι τοὺς διωγμοὺς τῶν ἀπίστων Ἰουδαίων· ἡ τούτων διδασκαλία φθάσασα καὶ ἕως τῶν Γαλατῶν, διέφθειρεν ἐξ αὐτῶν πολλούς· διό



τέμνονται κατὰ τὸ ἰουδαϊκὸν ἔθος. Ἡ δὲ κατανόησις καρπός ἐστι τῆς προσεκτικῆς ἀκροάσεως τῆς ἑρμηνείας· καὶ ἡμεῖς μὲν προβάλλομεν τὴν ἑρμηνείαν, ὑμεῖς δὲ ἀκούσατε ταύτην μετὰ προσοχῆς, ἵνα κατανοήσαντες τὰ ἑρμηνευθέντα, τρυγήσητε τοὺς καρποὺς τῆς γνώσεως.

*Ἀδελφοί, ἴδετε πηλίκοις ὑμῖν γράμμασιν ἔγραψα τῇ ἐμῇ χειρί* (1).

Τί σημαίνει τό, « Πηλίκοις γράμμα-» σι » (2); Τινὲς μὲν λέγουσιν, ὅτι σημαίνει μεγάλα γράμματα· τινὲς δέ, γράμματα δύσμορφα, καθότι ὁ Παῦλος οὐκ ἦν καλλιγράφος (3). Ἄλλοι δὲ λέγουσιν, ὅτι σημαίνει τὸ πολύστιχον τῆς ἐπιστολῆς, καὶ ἄλλοι, τῶν νοημάτων τὸ ὕψος· « Ἔγραψα λέγει τῇ » ἐμῇ χειρί ». Τὰς μὲν ἄλλας ἐπιστολὰς αὐτοῦ ὑπηγόρευεν, ἄλλος δὲ ἔγραφε· τοῦτο δὲ φανερόν ἐστιν ἐκ τούτων τῶν λόγων.
». χέως σαλευθῆναι ὑμᾶς ἀπὸ τοῦ νοός, μήτε » θροεῖσθαι, μήτε διὰ πνεύματος, μήτε διὰ » λόγου, μήτε δι' ἐπιςολῆς ὡς δι' ἡμῶν » (8). Ὅτι δὲ τὴν πρὸς Γαλάτας ἐπιστολὴν τῇ ἰδίᾳ αὐτοῦ χειρὶ ἔγραψεν, οὐδεμία ἐστὶν ἀμφιβολία· καί τινες μὲν λέγουσιν, ὅτι ὅλην τὴν ἐπιστολὴν δι' ἰδίας χειρὸς ἔγραψε· τινὲς δὲ τὰ ἀπὸ τοῦ, ἴδετε πηλίκοις, ἕως τέλους (9). Ὁμοίως δὲ ἰδιοχείρως ἔγραψε καὶ τὴν πρὸς τὸν Φιλήμονα ἐπιστολήν (10)· διότι καὶ ἐν αὐτῇ ἀναγινώσκομεν τό, « Ἐγὼ Παῦλος » ἔγραψα τῇ ἐμῇ χειρί» (11). Τοῦτο δὲ συνέβη εἴτ' ἐπειδὴ οὐκ εἶχε τότε ἕτοιμον γραφέα, εἴτ' ἐπειδὴ ἤθελεν ἰσχυροποιῆσαι περισσότερον τὰ γραφόμενα· ὅθεν καὶ ἔλεγε. Βλέπετε, ὅτι διὰ τῆς ἰδίας μου χειρὸς ἔγραψα ὑμῖν ταῦτα, κἂν μὴ καλλιγράφω, ἀλλὰ δύσμορφα σχηματίζω γράμματα.

*Ὅσοι θέλουσιν εὐπροσωπῆσαι ἐν σαρκί, οὗτοι ἀναγκάζουσιν ὑμᾶς πε-*

θρησκείαν, καὶ πράττωσι τὰ τοῦ νόμου αὐτῶν ἔθιμα (1)· ὅσοι οὖν περιετέμνοντο, ἐκεῖνοι ἐλογίζοντο Ἰουδαῖοι, κἂν ἐπίστευον εἰς τὸν Ἰησοῦν Χριστόν· καθότι ἡ περιτομὴ ἦν ἐπίσημον σημεῖον καὶ ἀπόδειξις τοῦ ἰουδαϊσμοῦ· διὸ οἱ ψευδαπόςολοι, οἱ τοὺς Γαλάτας πλανῶντες, θέλοντες φυγεῖν τοὺς διωγμούς, ἠνάγκαζον τοὺς πιστούς, ἵνα περιτέμνωνται· διότι οἱ βλέποντες αὐτοὺς Ἰουδαῖοί τε καὶ ἐθνικοὶ οὐ μόνον φυλάττοντας τὴν περιτομήν, ἀλλὰ καὶ τοὺς ἄλλους ἀναγκάζοντας περιτέμνεσθαι, οὐδόλως ἐδίωκον αὐτούς.

*Οὐδὲ γὰρ οἱ περιτεμνόμενοι αὐτοὶ νόμον φυλάσσουσιν· ἀλλὰ θέλουσιν ὑμᾶς περιτέμνεσθαι, ἵνα ἐν τῇ ὑμετέρᾳ σαρκὶ καυχήσωνται (2).*

Διά τί οὐδὲ αὐτοὶ οἱ περιτεμνόμενοι φυλάττουσι τὸν νόμον; Διότι ὅστις περιτέμνεται, ἐκεῖνος χρεωστεῖ, ἵνα φυλάξῃ ὅλον τὸν νόμον. « Μαρτύρομαι δὲ πάλιν, οὕτως » ἔγραφε πρὸς τοὺς αὐτοὺς Γαλάτας ὁ » Παῦλος, παντὶ ἀνθρώπῳ περιτεμνομένῳ, » ὅτι ὀφειλέτης ἐστὶν ὅλον τὸν νόμον ποιῆ» σαι » (3). Αὐτοὶ δέ, λέγει, οἱ διδάσκαλοι ὑμῶν οἱ περιτεμνόμενοι, μόνην τὴν περιτομὴν ἐκπληροῦσιν, ἀναγκάζοντες καὶ ὑμᾶς περιτέμνεσθαι· περὶ δὲ τῆς ἐκπληρώσεως τῶν ἄλλων νομικῶν παρατηρημάτων οὐδεμίαν ἔχουσι φροντίδα. Τοῦτο δὲ μόνον θέλουσιν, ἵνα δηλονότι καὶ ὑμεῖς περιτέμνησθε, « ἵνα καυχῶνται ἐν τῇ ὑμετέρᾳ σαρ» κί », Ἤγουν διὰ τὴν περιτομὴν τῆς σαρκὸς ὑμῶν, κηρύττοντες, ὅτι ἔπεισαν ὑμᾶς περιτμηθῆναι, καὶ ἑπομένως φεύγωσι τοὺς διωγμοὺς τῶν ἐθνικῶν διὰ τοὺς ὅρους τῶν τῆς Ῥώμης αὐτοκρατόρων, καὶ τῶν Ἰουδαίων διὰ τὴν πρὸς τὴν περιτομὴν εὐλάβειαν· καὶ οἱ μὲν ψευδαπόστολοι ἐκαυχῶντο, καθότι ἔπειθον τοὺς πιστούς, ἵνα περιτέμνωνται· ἄκουσον δὲ ἐν τίνι ἐκαυχᾶτο ὁ ἀληθὴς τοῦ Θεοῦ Ἀπόστολος.

*Ἐμοὶ δὲ μὴ γένοιτο καυχᾶσθαι εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· δι' οὗ ἐμοὶ κόσμος ἐσταύρωται, κἀγὼ τῷ κόσμῳ (4).*

Καυχάσθωσαν, λέγει, οἱ ψευδαπόςολοι, ὅτι ἔπεισαν ὑμᾶς περιτμηθῆναι· εἰς ἐμὲ δὲ μὴ δώσοι ὁ Κύριος, ἵνα καυχῶμαι ἄλλην καύχησιν, εἰ μὴ τὴν τοῦ σταυροῦ· ἐν τῷ σταυρῷ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐγὼ καυχῶμαι, ἐπειδὴ ὁ Χριστὸς κατεδέξατο σταυρωθῆναι ὑπὲρ τῆς σωτηρίας μου, ἐπειδὴ ὁ σταυρὸς τοῦ Χριστοῦ ἠλευθέρωσέ με ἀπὸ τῆς τυραννίας τοῦ διαβόλου, καὶ κατέστησέ με κληρονόμον τῆς αἰωνίου αὐτοῦ βασιλείας. Διὰ τῆς δυνάμεως δὲ αὐτοῦ τοῦ σταυροῦ ὁ κόσμος ἐστὶν ἐν ἐμοὶ ἐσταυρωμένος, καὶ ἐγὼ δέ εἰμι ἐσταυρωμένος τῷ κόσμῳ· ἀλλὰ πῶς τοῦτο; Ὅστις οὐδὲ τοὺς διωγμοὺς τῶν ἐθνικῶν, οὐδὲ τὰς καταδρομὰς τῶν Ἰουδαίων φοβεῖται, ὅστις τὴν σωματικὴν ἀνάπαυσιν, τὴν ἐκ τῶν ἀνθρώπων ὑπόληψιν, τὴν τοῦ κόσμου τιμὴν καὶ δόξαν, ἑνὶ δὲ λόγῳ πάντα τὰ ἐγκόσμια λογίζεται σκύβαλα, ἵνα Χριστὸν κερδήσῃ· ὅστις εὐδοκεῖ « Ἐν ἀσθενείαις, ἐν ὕβρεσιν, ἐν ἀνάγ» καις, ἐν διωγμοῖς, ἐν στενοχωρίαις ὑπὲρ » Χριστοῦ » (5), καθὼς ὁ ὑπὸ τῆς χάριτος τοῦ σταυροῦ ἐνδυναμούμενος· εἰς ἐκεῖνον οὐδὲν δύναται ποιῆσαι ὁ κόσμος, ἀλλ' ὡς

(1) ὅρα τὸν Ἱερών. αὐτ. (2) Γαλ. 6, 13. (3) Αὐτ. 5, 3. (4) Αὐτ. 6, 14. (5) Φιλιπ. 3, 8. Β'. Κορ. 12 10.



πρὸς αὐτὸν ἐστὶν ἐσταυρωμένος, ἤγουν νεκρὸς καὶ ἀνενέργητος· κατὰ τοῦτον δὲ τὸν τρόπον ὁ κόσμος ἦν ἐσταυρωμένος τῷ Παύλῳ· διὸ καὶ ἔλεγεν αὐτός· « Ἐμοὶ κόσμος » ἐσταύρωται ». Ὅστις δὲ ὑπὸ τοῦ κόσμου διωκόμενος, ὑβριζόμενος, περιφρονούμενος, ὡς περικάθαρμα καὶ ὡς περίψημα πάντων νομιζόμενος (1), μεγαλοψύχως καὶ περιχαρῶς ὑπομένει, ὡς ὁ ὑπὸ τῆς δυνάμεως τοῦ σταυροῦ ἐνισχυόμενος Παῦλος· ἐκεῖνον ὁ κόσμος λογίζεται ὡς ἐσταυρωμένον, ἤγουν ὡς νεκρὸν καὶ ἀκίνητον· τοῦτο δέ ἐςι τό, « Δι' » οὗ ἐμοὶ κόσμος ἐσταύρωται, κἀγὼ τῷ κό» σμῳ ».

*Ἐν γὰρ Χριστῷ Ἰησοῦ οὔτε περιτομή τι ἰσχύει, οὔτε ἀκροβυστία ἀλλὰ καινὴ κτίσις (2).*

Τί ἐστιν ἡ καινὴ κτίσις; Οἱ εἰς Χριστὸν πιστεύσαντες, ἀποτίθενται ἐν τῷ ἁγίῳ βαπτίσματι « Τὸν παλαιὸν ἄνθρωπον, τὸν » φθειρόμενον κατὰ τὰς ἐπιθυμίας τῆς ἀ» πάτης » (3), ἀνακαινίζονται δὲ τῷ πνεύματι τοῦ νοὸς αὐτῶν, καὶ ἐνδύονται « Τὸν » καινὸν ἄνθρωπον, τὸν κατὰ Θεὸν κτι» σθέντα ἐν δικαιοσύνῃ καὶ ἰσότητι τῆς ἀ» ληθείας ». Ταῦτα ἐδίδασκε τοὺς Ἐφεσίους ὁ θεηγόρος Παῦλος, ἔγραφε δὲ καὶ πρὸς τοὺς Κορινθίους· « Ὥστε εἴτις ἐν Χριστῷ, καινὴ » κτίσις, τὰ ἀρχαῖα παρῆλθον, ἰδοὺ γέγονε » καινὰ τὰ πάντα » (4). Ταῦτα διδάσκουσιν, ὅτι καινὴ κτίσις ἐςὶν ἡ ἀποβολὴ τῆς παλαιᾶς σαρκικῆς καὶ πεπλανημένης πολιτείας, καὶ οἰκοδομὴ ζωῆς νέας πνευματικῆς καὶ εὐαγγελικῆς κατὰ μίμησιν τοῦ Ἰησοῦ Χριστοῦ· ὅθεν λέγει ὁ πανεύφημος Ἀπόστολος, ὅτι οὐδεμίαν δύναμιν ἔχει, οὐδὲν δύναται κατορθῶσαι οὔτε ἡ περιτομή, οὔτε ἡ ἀκροβυστία, ἀλλ' ἡ εὐαγγελικὴ ζωὴ τῇ τοῦ Χριστοῦ δυνάμει δύναται σῶσαι τὸν ἄνθρωπον. Κἂν περιτετμημένος ὑπάρχῃς, κἂν ἀπερίτμητος, τοῦτο οὐδὲν ἰσχύει. Ἐὰν δέ, πιστεύσας εἰς τὸν Ἰησοῦν Χριστόν, ἀποβάλῃς τὸν παλαιὸν ἄνθρωπον τῆς ἁμαρτίας, ἐνδυθῇς δὲ τὸν νέον τῆς ἀρετῆς, ὁ τοιοῦτος ἀνακαινισμὸς τῇ τοῦ Χριστοῦ χάριτι προξενεῖ σοι τὴν αἰώνιον σωτηρίαν.

*Καὶ ὅσοι τῷ κανόνι τούτῳ στοιχήσουσιν, εἰρήνη ἐπ' αὐτοὺς καὶ ἔλεος, καὶ ἐπὶ τὸν Ἰσραὴλ τοῦ Θεοῦ (5).*

Κανόνα λέγει τοὺς ὅρους ταύτης τῆς διδασκαλίας αὐτοῦ, δι' ἧς ἐφανέρωσεν, ὅτι οὐδὲ ἡ περιτομή, οὐδὲ ἡ ἀκροβυστία, ἀλλ' ὁ διὰ τῆς εἰς Χριστὸν πίστεως ἀνακαινισμὸς ὠφελεῖ καὶ σώζει τὸν ἄνθρωπον· καὶ διὰ μὲν τοῦ, « Ἐπ' αὐτοὺς » δηλοποιεῖ τοὺς ἐξ ἐθνῶν πιστεύσαντας· διὰ δὲ τοῦ, « Ἐπὶ » τὸν Ἰσραὴλ τοῦ Θεοῦ », τοὺς ἐκ τοῦ Ἰσραηλιτικοῦ γένους πιστεύσαντας, καὶ διὰ τῆς πίστεως τέκνα Θεοῦ γενομένους. Ἐπεύχεται δὲ καὶ εἰς τοὺς ἐθνικούς, καὶ εἰς τοὺς Ἰσραηλίτας τοὺς πιστούς, καὶ κατὰ τὸν ὅρον τῆς διδασκαλίας αὐτοῦ περιπατοῦντας, τὴν εἰρήνην καὶ τὸ ἔλεος τοῦ Θεοῦ. Ὅσοι, λέγει, ἐκ τῶν ἐθνῶν πιστεύσαντες, περιπατήσωσι κατὰ τὸν κανόνα ταύτης τῆς διδασκαλίας μου, ἔστω ἡ εἰρήνη καὶ τὸ ἔλεος τοῦ Θεοῦ μετ' αὐτῶν, ὁμοίως καὶ μετὰ τῶν Ἰσραηλιτῶν, τῶν διὰ τῆς πίστεως οἰκειωθέντων τῷ Θεῷ.

(1) Α'. Κορ. 4, 13. (2) Γαλ. 6, 15. (3) Ἐφεσ. 4, 22,—25. (4) Β'. Κορ. 5, 17. (5) Γαλ. 6, 16.
(6) Αὐτ. 6, 17, 18.

*Τοῦ λοιποῦ, κόπους μοι μηδεὶς παρεχέτω· ἐγὼ γὰρ τὰ στίγματα τοῦ* **Κυρίου** *Ἰησοῦ ἐν τῷ σώματί μου βαστάζω.* **Ἡ** *χάρις τοῦ* **Κυρίου** *ἡμῶν Ἰησοῦ* **Χριστοῦ** *μετὰ τοῦ πνεύματος ὑμῶν, ἀδελφοί· ἀμήν* (1).

Ἆρά γε ἐξ ἀμελείας ἀποβάλλει τοὺς κόπους; ἆρά γε ἐκ τοῦ βάρους καὶ τῆς ὀδύνης τῶν πληγῶν ἀτονίσας, οὐ δύναται κόπους βαστάζειν, καὶ διὰ τοῦτο αὐτοὺς ἀπωθεῖται; Μὴ γένοιτο. Πῶς; ὁ ζήλου πνέων καὶ ἀγάπης, ἠδύνατο νικηθῆναι ὑπὸ τῆς ἀμελείας; ἢ πῶς ἠτόνισεν ὁ ἐν τοῖς παθήμασιν αὐτοῦ χαίρων (2); Παρήγγειλεν ὁ παμμακάριστος, ἵνα μηδεὶς ἐμβάλλῃ αὐτὸν εἰς κόπους περὶ τοῦ ζητήματος τῆς περιτομῆς, ὅπως ἐπιστηρίξῃ τὸν κανόνα τῆς διδασκαλίας αὐτοῦ, καὶ πληροφορήσῃ, ὅτι ἡ τοιαύτη διδασκαλία οὐδεμίαν μεταβολὴν ἐπιδέχεται, κἂν μυρίους προξενήσωσιν αὐτῷ κόπους. Καθὼς δὲ οἱ ϛρατιῶται πρὸς ἀπόδειξιν τῆς πιστῆς αὐτῶν ὑπηρεσίας προβάλλουσι τὰ δείγματα τῶν ἐν τῷ σώματι αὐτῶν τραυμάτων, οὕτω καὶ αὐτὸς πρὸς βεβαίωσιν τῆς ἀληθείας τοῦ κηρύγματος προβάλλει τὰ ἐν τῷ σώματι αὐτοῦ ϛίγματα, ἤγουν τὰ σημεῖα τῶν πληγῶν, ὅσας ὑπέμεινε, κηρύττων τὴν εἰς Χριστὸν πίστιν· λέγει δὲ πρὸς αὐτοὺς διὰ τῶν προκειμένων λόγων· ἔχετε, ὦ Γαλάται, τὰ σημεῖα τῶν μωλώπων τοῦ σώματός μου μαρτυρίαν ἀρκετὴν καὶ ἀπόδειξιν βεβαίαν περὶ τοῦ, ὅτι καὶ ἐκήρυξα καὶ ἔγραψα ὑμῖν πᾶσαν τὴν ἀλήθειαν· εὐλαβήθητε οὖν ταῦτα τὰ ὑπὲρ τῆς ἀγάπης τοῦ Κυρίου Ἰησοῦ στίγματά μου, μηδεὶς δὲ ἀμφιβαλλέτω εἰς τὸ ἑξῆς, μηδὲ ἐνοχλείτω με, ἐλπίζων μεταβολὴν εἰς ὅσα ἐδίδαξα. Ταῦτα δὲ εἰπών, δι' εὐχῆς κατὰ τὸ σύνηθες αὐτῷ ἐπισφραγίζει τὴν πρὸς αὐτοὺς ἐπιστολήν, δεόμενος, ἵνα ἡ χάρις τοῦ Θεοῦ ἐλθοῦσα ἐπὶ τὴν ψυχὴν αὐτῶν, στηρίξῃ αὐτοὺς ἐπὶ τὴν ἀλήθειαν τῶν ὑπ' αὐτοῦ διδαχθέντων. « Ἡ χάρις, λέγει, τοῦ Κυρίου » ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ τοῦ πνεύματος ὑμῶν, ἀδελφοί· ἀμήν.

(1) Γαλ. 6, 17, 18. (2) Κολ. 1, 24.



# ΟΜΙΛΙΑ

ΜΕΤΑ ΤΗΝ ΠΡΟΣ

# ΓΑΛΑΤΑΣ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗι ΚΒ' ΚΥΡΙΑΚΗι.

Ἡ σήμερον ἀναγνωσθεῖσα διδασκαλία τοῦ θεορρήμονος Παύλου ἀνακαλύπτει μίαν ἁμαρτίαν, ἀγνώριστον εἰς πολλούς, κἂν αὐτὴ ὡς πηγὴ ἀναβλύζῃ νάμα θανατηφόρον πολλῶν καὶ μεγάλων ἁμαρτημάτων. Γνωστόν ἐστιν εἰς ὅσους ἀναγινώσκουσι τὰ ἱερὰ βιβλία, πόσα σκάνδαλα, πόσας ταραχάς, καὶ πόσην φθορὰν προεξένησαν εἰς τὴν ἐκκλησίαν τοῦ Χριστοῦ ὅσοι ἐδίδασκον, ὅτι ἀνάγκη ἐστίν, ἵνα περιτέμνωνται οἱ εἰς Χριστὸν πιστεύσαντες· οὗτοι οἱ ψευδαπόστολοι καὶ κακοδιδάσκαλοι ἁπλώσαντες τὴν ψυχοφθόρον αὐτῶν πλάνην εἰς πολλὰς πόλεις καὶ τόπους καὶ ἐπαρχίας, ἔσυραν πολλοὺς ἀπὸ τῆς εὐαγγελικῆς ἀληθείας εἰς θρησκείαν ἀλλόκοτον, ἥτις οὐδὲ ἰουδαϊκή ἐστιν, οὐδὲ χριστιανική· ἐτάραξαν δὲ διὰ τούτου τοὺς Ἀποστόλους, ἐσκανδάλισαν τοὺς μαθητάς, ἔσχισαν τοὺς πιστοὺς εἰς δύο κόμματα εὐθὺς εἰς τὴν ἀρχὴν τῆς συστάσεως τῆς ἐκκλησίας· ταύτην δὲ τὴν ζάλην οὐκ ἠδυνήθη καταπαῦσαι οὐδὲ αὐτὴ ἡ ἀποστολικὴ σύνοδος, κἂν δι' αὐτῆς τὸ πανάγιον πνεῦμα καὶ ἔκρινε, καὶ ἀπεφάσισεν, ὅτι ἡ περιτομή ἐστι περιττὸν βάρος (1). Ἐρευνῶ πρῶτον, τίνες ἦσαν οἱ πρῶτοι διδάσκαλοι τούτου τοῦ παραλόγου ἔργου· βλέπω δέ, ὅτι ἦσαν ἄνθρωποι Ἰουδαῖοι· αὐτοὶ πρῶτοι ἐξελθόντες ἀπὸ τῆς Ἰουδαίας, καὶ ἐλθόντες εἰς τὴν Ἀντιόχειαν, ἐδίδασκον τοὺς εἰς Χριστὸν πιστεύσαντας, λέγοντες, ὅτι, ἐὰν μὴ περιτμηθῶσι κατὰ τὴν μωσαϊκὴν συνήθειαν, οὐ δύνανται σωθῆναι· «Καί » τινες, λέγει ὁ ἱερὸς Λουκᾶς, κατελθόντες « ἀπὸ τῆς Ἰουδαίας, ἐδίδασκον τοὺς ἀδελ» φούς, ὅτι ἐὰν μὴ περιτέμνησθε τῷ ἔθει » Μωσέως, οὐ δύνασθε σωθῆναι » (2). Οὐ μόνον δὲ Ἰουδαῖοι ἦσαν οὗτοι, ἀλλὰ καὶ ἐκ τῆς αἱρέσεως τῶν Φαρισαίων, ἤγουν Φαρισαῖοι, ὡς μαρτυρεῖ ὁ αὐτὸς Ἀπόστολος λέγων· « Ἐξανέστησαν δέ τινες τῶν ἀπὸ » τῆς αἱρέσεως τῶν Φαρισαίων πεπιστευ» κότες, λέγοντες, Ὅτι δεῖ περιτέμνειν αὐ» τούς, παραγγέλλειν τε τηρεῖν τὸν νόμον » Μωσέως » (3). Ἐξετάζω δεύτερον, πόθεν οὗτοι παρακινηθέντες, ἐδίδασκον τὴν περιτομήν, κἂν ἐπίστευσαν εἰς τὸν Ἰησοῦν Χριστόν. Βλέπω δέ, ὅτι οἱ Φαρισαῖοι ἦσαν ἀνθρωπάρεσκοι· διότι ἐποίουν πάντα τὰ ἔργα αὐτῶν « Πρὸς τὸ θεαθῆναι τοῖς ἀν» θρώποις » (4). Γνωρίσαντες οὖν αὐτοί, ὅτι καὶ τοῖς Ἰουδαίοις ἤρεσεν ἡ περιτομὴ

(1) Πράξ. 15, 28. (2) Αὐτ. 1. (3) Αὐτ. 5. (4) Ματθ. 23, 5.

διὰ τὸν μωσαϊκὸν νόμον, καὶ οἱ ἐθνικοὶ οὐκ ἐδίωκον τους περιτετμημένους διὰ τὰ θεσπίσματα τῶν Ῥωμαίων αὐτοκρατόρων, ἐκήρυττον τὴν περιτομήν, ἵνα ἀρέσκοντες εἰς αὐτούς, φεύγωσι μὲν τοὺς διωγμούς, κερδαίνωσι δὲ τὴν τιμὴν καὶ ἀνάπαυσιν. Εὐλογοφανῶς οὖν συμπεραίνω, ὅτι ἡ ἀνθρωπαρέσκεια προεξένησε τὰ τοσαῦτα μεγάλα κακά· ἐπιβεβαιοῖ τοῦτο τὸ συμπέρασμα ὁ θεῖος Ἀπόστολος Παῦλος, λέγων· « Ὅσοι » θέλουσιν εὐπροσωπῆσαι ἐν σαρκί » (1), ἤγουν ἀρεστοὶ γενέσθαι εἰς τοὺς ἀνθρώπους, « Οὗτοι ἀναγκάζουσιν ὑμᾶς περιτέμνεσθαι ». Ἡ αυτὴ ἀνθρωπαρέσκεια, ἡ προξενήσασα τότε τόσην βλάβην καὶ διαφθοράν, κατακρημνίζει ἄχρι τῆς σήμερον τοὺς ἀνθρώπους εἰς πολλὰ καὶ μεγάλα ἁμαρτήματα.

Σχεδὸν πᾶς ἄνθρωπος ἀνεπαισθήτως φέρεται πρὸς τὸ ζητεῖν τὸ ἴδιον συμφέρον· συλλογιζόμενος δέ, ὅτι διὰ τῆς ἀγάπης καὶ προστασίας τῶν ἀνθρώπων ἀπολαμβάνει τῶν ποθουμένων πραγμάτων, ἀγωνίζεται παντὶ τρόπῳ, ἵνα φανῇ εἰς αὐτοὺς εὐάρεςος· ὑπακούει, κολακεύει, δουλεύει, τρέχει εἰς τὰ τούτων θελήματα κἂν δίκαια, κἂν ἄδικα, κἂν νόμιμα ὑπάρχωσι, κἂν ἄνομα· ἡ δὲ φιλαυτία τόσον σκοτίζει τὸν νοῦν αὐτοῦ, ὥστε οὐδὲ γνωρίζει, ὅτι ἐστὶν ἀνθρωπάρεσκος, οὐδὲ αἰσθάνεται, πόσον βλάπτει τὴν ψυχὴν αὐτοῦ ἡ ἀνθρωπαρέσκεια· ἐκ τούτου πολλὰ ὀλίγοι εὑρίσκονται καθαροὶ τούτου τοῦ πάθους· τρέφεται δὲ τὸ πάθος τοῦτο, καὶ αὐξάνει, καὶ ςηρίζεται ὑπ' ἄλλων παθῶν· ὁ φόβος, ἡ ἐντροπή, ἡ φιλοδοξία, ἡ ἐπιθυμία τῆς τῶν ἀρεςῶν ἀπολαύσεως, εἰσὶν οἱ προτροπεῖς καὶ οἱ τροφοὶ καὶ τὰ στηρίγματα τῆς ἀνθρωπαρεσκείας.

Ὅταν ὁ Θεάνθρωπος Ἰησοῦς ἐφώτισε τὸν ἐκ γενετῆς τυφλόν, τότε οἱ προεςῶτες τῶν Ἰουδαίων προσκαλέσαντες τοὺς γονεῖς αὐτοῦ, ἠρώτησαν αὐτοὺς δύω ἐρωτήματα· πρῶτον, ἐὰν ἐκεῖνος ἦν ὁ υἱὸς αὐτῶν, ὅςις, ὡς αὐτοὶ ἔλεγον, ἐγεννήθη τυφλός. « Οὗτός » ἐστιν ὁ υἱὸς ὑμῶν, ὃν ὑμεῖς λέγετε, ὅτι » τυφλὸς ἐγεννήθη » (2); Δεύτερον, τίνι τρόπῳ ἔλαβε τὸ φῶς τῶν ὀφθαλμῶν αὐτοῦ· « Πῶς οὖν ἄρτι βλέπει »; Αὐτοὶ δὲ εἰς μὲν τὸ πρῶτον ἐρώτημα ἀποκριθέντες, εἶπον πᾶσαν τὴν ἀλήθειαν· « Οἴδαμεν, εἶπον, » ὅτι οὗτός ἐστιν ὁ υἱὸς ὑμῶν, καὶ ὅτι τυ» φλὸς ἐγεννήθη » (3). Εἰς δὲ τὸ δεύτερον οὐκ ἠθέλησαν εἰπεῖν τὴν ἀλήθειαν, ἀλλ' ἔκρυψαν αὐτήν, εἰπόντες· « Αὐτὸς ἡλικίαν » ἔχει, αὐτὸν ἐρωτήσατε » (4). Ἀλλὰ διὰ τί οἱ τάλανες οὐκ ἐφανέρωσαν, ποῖος ἦν ὁ θαυματουργὸς καὶ εὐεργέτης, ὁ φωτίσας τοῦ τυφλοῦ υἱοῦ αὐτῶν τὰ ὄμματα; διὰ τί ἀπεκρίθησαν τοιουτοτρόπως; « Ταῦτα εἶπον οἱ » γονεῖς αὐτοῦ λέγει ὁ Εὐαγγελιστής, ὅτι » ἐφοβοῦντο τοὺς Ἰουδαίους » (5). Ἐφοβοῦντο, ἐπειδή, ἐὰν ἀπεκρίνοντο, ὅτι ὁ Ἰησοῦς Χριςὸς ἐφώτισεν αὐτόν, παρώργιζον αὐτοὺς καθ' ὑπερβολήν· ὁ δὲ φόβος ἐγέννησε τὴν ἀνθρωπαρέσκειαν, ἥτις ἔπεισεν αὐτούς, ἵνα εὐαρεστήσωσι τῶν Ἰουδαίων τῇ γνώμῃ, καὶ σιωπήσωσι τῆς ἀληθείας τὴν φανέρωσιν. Ποσάκις ἡμεῖς ἐρωτώμενοι ὑπὸ ἀξιωματικῶν ἀνθρώπων, γνωρίσαντες, ὅτι, ἐὰν φανερώσωμεν τὴν ἀλήθειαν, παραπικραίνομεν αὐτούς, φοβούμεθα τὴν τούτων ἀγανάκτησιν, ὁ δὲ φόβος φέρει τὴν ἀνθρωπαρέσκειαν, ἥτις πείθει ἡμᾶς, καθὼς καὶ τοὺς γονεῖς τοῦ τυφλοῦ, ἵνα σιωπήσαντες τὴν ἀλήθειαν, εὐαρεστήσωμεν εἰς τοὺς ἐρωτῶντας; Ποσά-

(1) Γαλ. 6, 12. (2) Ἰωάν. 9, 19. (3) Αὐτ. 20. (4) Αὐτ. 21. (5) Αὐτ. 22.



κις ἡ ἀλήθεια τοῦ στόματος ἡμῶν δύναται ἐλευθερῶσαι τὸν ἀθῷον ἀπὸ τῆς καταδίκης, ἢ τὸν ἀτιμαζόμενον ἀπὸ τῆς συκοφαντίας, ἢ τὸν ὀρφανὸν καὶ τὴν χήραν ἀπὸ τῆς ἀδικίας τοῦ δυνάστου, ἡμεῖς δέ, ἵνα ἀρέσωμεν τοῖς ἀνθρώποις, σιωπῶμεν τὴν ἀλήθειαν, καὶ βλάπτομεν διὰ τῆς σιωπῆς ἡμῶν τὸν πλησίον;

Μὴ νομίσητε δέ, ὅτι πίπτουσιν εἰς τοιαύτας ἁμαρτίας μόνοι οἱ ἰδιῶται καὶ χυδαῖοι ἄνθρωποι διὰ τὸν φόβον τῶν μεγιστάνων καὶ ἀρχόντων· διότι καὶ αὐτοὶ οἱ προεστῶτες καὶ ἄρχοντες ὑπὸ τῆς ἀνθρωπαρεσκείας νικώμενοι, εἰς παρόμοια καταποντίζονται τῆς ἀνομίας βάραθρα. Πολλοὶ ἐκ τῶν ἀρχόντων τῶν Ἰουδαίων ἐπίστευσαν εἰς τὸν Ἰησοῦν Χριστόν, ἀλλ' ἐσιώπων τὴν τῆς πίσεως αὐτῶν ὁμολογίαν. Διὰ τί τοῦτο; Αὐτοὶ ἦσαν ἄρχοντες, πλούσιοι, ἀξιωματικοί· τίνα οὖν ἐφοβοῦντο, ἢ ποῖον ἐντρέποντο; (1) « Διὰ » τοὺς Φαρισαίους οὐχ ὡμολόγουν, ἵνα μὴ » ἀποσυνάγωγοι γένωνται » (2). Οἱ Φαρισαῖοι ἀπεφάσισαν, ἵνα, ὅστις ὁμολογήσει, ὅτι ὁ Ἰησοῦς ἐστιν ὁ προσδοκώμενος Χριστός, διωχθῇ ἐκ τῆς συναγωγῆς· οὗτοι οὖν οἱ ἄρχοντες μὴ ὑποφέροντες ταύτην τὴν ἐντροπὴν καὶ ἀτιμίαν, ἐσιώπων τῆς πίστεως αὐτῶν τὴν ὁμολογίαν· ἔστερξαν ποιῆσαι τὸ ἀρεστὸν εἰς τοὺς Φαρισαίους, καὶ οὐχὶ τὸ εὐάρεστον εἰς τὸν Θεόν· προέκριναν τὴν δόξαν τῶν ἀνθρώπων τῆς δόξης τοῦ Θεοῦ· « Ἠγάπησαν γάρ, λέγει ὁ θεῖος » Εὐαγγελιστής, τὴν δόξαν τῶν ἀνθρώπων » μᾶλλον, ἤπερ τὴν δόξαν τοῦ Θεοῦ » (3). Ὤ, καὶ εἰς πόσα ςόματα ἀρχόντων καὶ ἀξιωματικῶν καὶ προεςώτων βάλλει κημὸν καὶ χαλινὸν ἡ ἀνθρωπαρέσκεια· ὤ, καὶ πόσοι, ἵνα μὴ παροργίσωσι τοὺς ἀνθρώπους, ὅπερ ἐστίν, ἵνα ἀρέσωσιν εἰς τοὺς ἀνθρώπους, σιωπῶσι τὴν ὁμολογίαν τῶν δογμάτων τῆς πίστεως, τὴν νουθεσίαν εἰς τοὺς ἀτάκτους, τὸν ἔλεγχον εἰς τοὺς ἁμαρτάνοντας, τοὺς φοβερισμοὺς εἰς τοὺς παραβάτας τῶν νόμων; πόσοι κλείουσι τὸ στόμα, ὅτε ἡ ἀνάγκη ἐπιζητεῖ, ἵνα πλατύνωσιν αὐτό, καὶ λαλήσωσι τὴν ἀλήθειαν τῆς πίστεως, καὶ τῶν νόμων τὴν δικαιοσύνην; Δυστυχεῖς καὶ πανάθλιοι, σπουδάζουσιν ἀρέσαι τοῖς ἀνθρώποις, καὶ ἀγαπῶσι τὴν δόξαν τῶν ἀνθρώπων μᾶλλον ἤπερ τὴν δόξαν τοῦ Θεοῦ.

Ἀκούσατε καὶ ἄλλο πολλῷ βαρύτερον· ὁ κριτής, ὅταν κάθηται ἐπὶ τῆς καθέδρας τοῦ κριτηρίου, τότε παρίστησι τοῦ Θεοῦ τὸ πρόσωπον· διὰ τοῦτο ὁ Θεὸς ἐξώρισεν ἐκ τῶν κριτηρίων πᾶσαν ἀνθρωπίνην προσπάθειαν, καὶ πᾶσαν φιλοπροσωπίαν, καὶ ἀνθρωπαρέσκειαν· διὰ τοῦτο εἶπεν· ὅτι ἡ κρίσις τοῦ Θεοῦ ἐςιν « Οὐκ ἐπιγνώσῃ, εἶπεν ὁ » Θεός, πρόσωπον ἐν κρίσει, κατὰ τὸν μι» κρὸν καὶ κατὰ τὸν μέγαν κρινεῖς, οὐ μὴ » ὑποστείλῃ πρόσωπον ἀνθρώπου, ὅτι ἡ » κρίσις τοῦ Θεοῦ ἐςι » (4). Καὶ ὅμως ἡ ἀνθρωπαρέσκεια ἔρχεται καὶ εἰς τὰ κριτήρια. Φέρουσιν οἱ Ἰουδαῖοι τὸν Ἰησοῦν Χριστὸν δεδεμένον εἰς τὸ κριτήριον τοῦ Πιλάτου· κάθηται δὲ ὁ Πιλάτος ἐπὶ τῆς καθέδρας τοῦ κριτηρίου, ἵνα κρίνῃ τὸν Ἰησοῦν· καὶ τὰ μὲν πρῶτα τῆς κρίσεως ἔργα ἦσαν καλὰ καὶ δίκαια. Ἐξήτασε τὸν Ἰησοῦν Χριςόν, ἐγνώρισεν, ὅτι διὰ φθόνον παρέδωκαν αὐτὸν οἱ Ἰουδαῖοι εἰς τὸ κριτήριον αὐτοῦ (5), ὡμολόγησε παῤῥησίᾳ, ὅτι ὁ Ἰησοῦς οὐδὲν κακὸν ἐποίησε· « Τί γάρ, ἔλεγε, κακὸν ἐ» ποίησεν; » (6) Εἶπε φανερά, ὅτι οὐχ εὐ-

(1) Ἰωάν. 12, 42. (2) Αὐτ. 9, 22. (3) Αὐτ. 12, 43. (4) Δευτ. 1, 17. (5) Μάρκ. 15, 11.
(6) Αὐτ. 14.

ρίσκει ἐν αὐτῷ αἴτιον θανάτου, ἢ τιμωρίας· « Οὐδὲν εὑρίσκω αἴτιον ἐν τῷ ἀνθρώπῳ τούτῳ » (1). Ἔπειτα ἀπέλυσε τὸν Βαραββᾶν τὸν ἀρχιληστήν, ἔδειρε δὲ διὰ φραγγελίου τὸν ἀναμάρτητον Ἰησοῦν, καὶ παρέδωκεν αὐτὸν ἵνα σταυρωθῇ. Ἆ, παράνομε καὶ παράλογε, ἐγνώρισας, ὅτι διὰ φθόνον παρέδωκαν αὐτόν· ὡμολόγησας, ὅτι οὐδὲν κακὸν ἐποίησεν· εἶπες, ὅτι οὐχ εὕρηκας ἐν αὐτῷ σφάλμα· ἔπειτα δέρεις, καὶ παραδίδως αὐτὸν εἰς σταυρικὸν θάνατον; πόθεν ἡ τοιαύτη παράλογος ἀπόφασις; πόθεν ἡ τοιαύτη ἀλλόκοτος μεταβολή; Ἐκ τῆς ἀνθρωπαρεσκείας, ἀδελφοί· ἡ ἀνθρωπαρέσκεια ἐλθοῦσα εἰς τὴν καρδίαν αὐτοῦ, καὶ τὰς φρένας αὐτοῦ ἐτάραξε, καὶ τὸν νοῦν αὐτοῦ κατεσκότισεν· « Ὁ δὲ Πιλάτος, λέγει ὁ Εὐαγγελιστὴς Μάρκος, βουλόμενος τῷ ὄχλῳ τὸ ἱκανὸν ποιῆσαι, ἀπέλυσεν αὐτοῖς τὸν Βαραββᾶν, καὶ παρέδωκε τὸν Ἰησοῦν, φραγγελώσας, ἵνα ϛαυρωθῇ » (2). Ἀκούεις; Βουλόμενος, λέγει, τῷ ὄχλῳ « τὸ ἱκανὸν ποιῆσαι », ἤγουν θέλων εὐαρεστῆσαι εἰς τὸ πλῆθος, ἐποίησε τὴν ἀδικωτάτην κρίσιν· ὁ λαὸς πεισθεὶς ὑπὸ τῶν ἀρχιερέων, ἐζήτησεν, ἵνα ἀπολύσῃ τὸν Βαραββᾶν, ἐκραύγαζε δὲ περισσοτέρως, ἵνα σταυρώσῃ τὸν Ἰησοῦν· « Οἱ δὲ περισσοτέρως ἔκραξαν· σταύρωσον αὐτόν » (3)· Τότε ὁ Πιλάτος νικηθεὶς ὑπὸ τῆς ἀνθρωπαρεσκείας, καὶ ποιήσας τὸ ἀρεστὸν εἰς τὸν λαόν, μετέβαλε τὴν δικαίαν κρίσιν εἰς ἄδικον ἀπόφασιν, καὶ τὸν μὲν λῃστὴν ἀπέλυσε, τὸν δὲ δίκαιον ἐσταύρωσε. Πόσοι ἆρά γε Πιλάτοι καὶ εἰς τὰς καθ' ἡμᾶς ἡμέρας; Πόσοι γνωρίζουσι, τίς ἐστιν ὁ ἀθῷος, καὶ τίς ὁ πταίστης· τίς ἐστιν ὁ δίκαιος, καὶ τίς ὁ ἄδικος· καὶ ὅμως, ἵνα εὐαρεστήσωσιν εἰς τοὺς συγγενεῖς, ἢ εἰς τοὺς φίλους, ἢ εἰς τοὺς μεσίτας, ἀπολύουσι τὸν Βαραββᾶν, καὶ σταυροῦσι τὸν Ἰησοῦν, τουτέστι δικαιολογοῦσι τὸν πταίστην καὶ ἀδικητήν· καὶ παιδεύουσι τὸν ἀθῷον καὶ δίκαιον;

Ἀκούσατε καὶ τὸ ἔτι παραδοξότερον. Τολμᾷ ἡ ἀνθρωπαρέσκεια καὶ ἀναβαίνει καὶ ἐπ' αὐτοὺς τοὺς βασιλικοὺς θρόνους, καὶ εἰσέρχεται καὶ εἰς αὐτὰς τῶν βασιλέων τὰς καρδίας. Ὁ βασιλεὺς ὁ Ἡρώδης ἐκακοποίησέ τινας τῶν εἰς Χριστὸν πιστευόντων, ἐθανάτωσε δὲ καὶ τὸν Ἰάκωβον, τὸν ἀδελφὸν τοῦ Ἰωάννου « Ἐν φόνῳ μαχαίρας » (4). ἔργα ἦσαν ταῦτα τοῦ ἀκρατήτου αὐτοῦ θυμοῦ, καὶ τῆς ἀλόγου αὐτοῦ ὁρμῆς. Ἀφ' οὗ δὲ ἡσύχασαν ταῦτα τὰ ἄγρια πάθη, τότε ἐξανέστη κατ' αὐτοῦ καὶ τὸ τῆς ἀνθρωπαρεσκείας ἀλωπεκῶδες πάθος. Μαθὼν αὐτός, ὅτι ταῦτα τὰ ἄδικα καὶ παράνομα ἔργα εἰσὶν ἀρεστὰ εἰς τοὺς Ἰουδαίους, ἵνα φανῇ ἀρεστὸς εἰς αὐτούς, προσέθετο ἀνομίαν ἐπὶ ταῖς ἀνομίαις, καὶ ἀδικίαν ἐπὶ ταῖς ἀδικίαις· πιάσας δηλονότι τὸν κορυφαῖον τῶν Ἀποστόλων Πέτρον, ἔβαλεν αὐτὸν εἰς τὴν φυλακήν, ἁλύσεσι δεδεμένον, καὶ ὑπὸ πολλῶν στρατιωτῶν φυλαττόμενον, ἵνα, ὅταν παρέλθωσιν αἱ ἡμέραι τοῦ Πάσχα, φονεύσῃ αὐτὸν ἐνώπιον παντὸς τοῦ λαοῦ· « Καὶ ἰδών, λέγει ἡ ἱερὰ ἱστορία, ὅτι ἀρεστόν ἐστι τοῖς Ἰουδαίοις, προσέθετο συλλαβεῖν καὶ Πέτρον· ὃν καὶ πιάσας, ἔθετο εἰς φυλακήν, παραδοὺς τέσσαρσι τετραδίοις ϛρατιωτῶν φυλάσσειν αὐτόν· βουλόμενος μετὰ τὸ πάσχα ἀναγαγεῖν αὐτὸν τῷ λαῷ » (5). Τοῦτό ἐστι παράδειγμα φανερόν, διδάσκον καὶ αὐτοὺς τοὺς βασιλεῖς, καὶ διεγεῖρον τὴν

(1) Λουκ. 23, 4. (2) Μάρκ. 15, 15. (3) Αὐτ. 14. (4) Πράξ. 12, 1, 2. (5) Αὐτ. 3, 4.



προσοχὴν αὐτῶν, ἵνα μή, θέλοντες ἀρέσαι τοῖς ἀνθρώποις, παροργίζωσι τὸν Θεὸν διὰ τῆς τῶν νόμων παραβάσεως.

Ἠκούσατε, ἀγαπητοί μου ἀδελφοί, ἕως ποῦ προχωρεῖ τῆς ἀνθρωπαρεσκείας τὸ βδελυρὸν πάθος; ἠκούσατε, ὅτι γίνονται ἀνθρωπάρεσκοι οὐ μόνον οἱ ὑπήκοοι καὶ ἰδιῶται καὶ χυδαῖοι, ἀλλὰ καὶ αὐτοὶ οἱ ἄρχοντες, καὶ οἱ ἀξιωματικοί, καὶ οἱ βασιλεῖς; ἠκούσατε, πόσα φοβερὰ ἁμαρτήματα προξενεῖ ἡ ἀνθρωπαρέσκεια; Ναί, λέγετε, ἠκούσαμεν, ἀλλ' οὗτος ὁ λόγος ἐστὶ πολλὰ σκληρός· διότι αὐτὸς διδάσκει, ἵνα μὴ φανῶμεν ἀρεστοὶ εἰς τὸν προστάτην ἡμῶν, καὶ μὴ ποιήσωμεν τὸ ἀρεστὸν εἰς ἐκεῖνον, ἐξ οὗ ἐλπίζομεν βοήθειαν, καὶ μὴ σπουδάσωμεν ἀρέσαι εἰς τοὺς ἀνθρώπους· ἐὰν δὲ ταῦτα ποιήσωμεν, πῶς δυνάμεθα ζῆσαι εἰς τὸν κόσμον, καὶ πολιτευθῆναι μετὰ τῶν ἀνθρώπων; ἀνάγκη ἐστίν, ἵνα φύγωμεν ἐκ τοῦ κόσμου, καὶ κατοικήσωμεν εἰς τὰς ἐρήμους. Οὐδεὶς οὐδὲ λόγος, οὐδὲ νόμος διορίζει, ἵνα ταῦτα πράξητε· μάλιστα τὰ ἐναντία διδάσκει ὁ θεόπνευστος Παῦλος, λέγων· « Προνοούμενοι καλὰ οὐ μόνον ἐνώπιον Κυρίου, ἀλλὰ καὶ ἐνώπιον ἀνθρώπων· προνοούμενοι καλὰ ἐνώπιον πάντων ἀνθρώπων » (1). Οὐ μόνον δὲ διὰ λόγου ταῦτα ἐδίδαξεν, ἀλλὰ διὰ τῶν ἔργων ἔδειξεν, ὅτι παντὶ τρόπῳ ἠγωνίσθη, ἵνα εὐαρεστήσῃ τοῖς ἀνθρώποις· « Καὶ ἐγενόμην, λέγει, τοῖς Ἰουδαίοις, ὡς Ἰουδαῖος, ἵνα τοὺς Ἰουδαίους κερδήσω· τοῖς ὑπὸ νόμον ὡς ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον κερδήσω· τοῖς ἀνόμοις ὡς ἄνομος (μὴ ὢν ἄνομος Θεῷ, ἀλλ' ἔννομος Χριστῷ), ἵνα κερδήσω ἀνόμους· ἐγενόμην τοῖς ἀσθενέσιν ὡς ἀσθενής, ἵνα τοὺς ἀσθενεῖς κερδήσω· τοῖς πᾶσι γέγονα τὰ πάντα, ἵνα πάντως τινὰς σώσω » (2). Ἰδοὺ ἄνθρωπος ἀνθρωπάρεσκος. Σημείωσον τὸν σκοπὸν τῆς ἀνθρωπαρεσκείας αὐτοῦ· ἵνα κερδήσω, λέγει, ἵνα πάντως τινὰς σώσω· κατ' αὐτὸν δὲ τὸν σκοπὸν γίνου καὶ σὺ ἀνθρωπάρεσκος· ἄρεσον ὅσον θέλεις, καὶ εὐαρέστει ὅσον δύνασαι, καὶ ποίει πάντα τὰ ἀρεστὰ οὐ μόνον εἰς τοὺς προστάτας καὶ εὐεργέτας σου, ἀλλὰ καὶ εἰς τοὺς διώκτας καὶ ἀδικητάς σου· οὐ μόνον εἰς τοὺς συγγενεῖς καὶ φίλους σου, ἀλλὰ καὶ εἰς τοὺς ἀλλοτρίους καὶ ἐχθρούς σου· πλὴν ἄρεσον εἰς αὐτούς, οὐχ ἵνα ζημιώσῃς, ἀλλ' ἵνα κερδήσῃς· οὐχ ἵνα ἀπολέσῃς, ἀλλ' ἵνα σώσῃς καὶ ἐκείνους, καὶ τὴν ψυχήν σου.

Γίνου εὐάρεϛος εἰς τοὺς ἀνθρώπους, ὅσον θέλεις, πλὴν μὴ παραβῇς τοῦ Θεοῦ τὴν ἐντολήν, ἵνα φανῇς ἀρεστὸς εἰς τοὺς ἀνθρώπους. Ὅταν σ' ἐρωτῶσιν, ἀποκρινόμενος, μὴ λαλήσῃς ψεῦδος, ἵνα δειχθῇς εἰς τὸν συγγενῆ σου εὐάρεστος· ὅταν προσκαλῶσί σε εἰς μαρτυρίαν, μὴ ψευδομαρτυρήσῃς πρὸς εὐαρέστησιν τοῦ προστάτου σου· εἰς τὰς συναναστροφὰς μὴ κρύπτῃς τὴν ὀρθοδοξίαν τῆς πίστεώς σου, καὶ τὴν ἀλήθειαν τῶν νόμων πρὸς ἀρέσκειαν τῶν ἐκεῖ εὑρεθέντων ἀπίστων· εἰς τὰς συμβουλὰς καὶ νουθεσίας μὴ σιωπᾷς τὴν ὠφέλιμον συμβουλὴν καὶ τὴν πρέπουσαν νουθεσίαν, φοβούμενος, μὴ παροργίσῃς τοὺς ἀκούοντας. Ἐὰν κάθησαι εἰς τὸ κριτήριον, μὴ κρίνῃς ἄδικα, διὰ εὐαρέστησιν τοῦ εὐεργέτου σου· μὴ ἀδικήσῃς τὸν ὀρφανόν, μὴ βλάψῃς τὴν χήραν διὰ τὴν συστολὴν ἢ τὸν φόβον τῶν ἀδικησάντων αὐτοὺς ἀρχόντων· ἑνὶ λόγῳ,

(1) Βʹ. Κορ. 8, 21. Ῥωμ. 12, 17. (2) Αʹ. Κορ. 9, 20—22.

εἰς πᾶσαν ὑπόθεσιν μὴ καταφρονήσῃς τὸν νόμον τοῦ Θεοῦ, ἵνα εὐαρεστήσῃς τοῖς ἀνθρώποις.

Ὦ πόσον πεπλανημένοι εἰσὶν ἐκεῖνοι, οἵτινες προτιμῶσι τὸ πλάσμα περισσότερον τοῦ πλάσματος, σπουδάζοντες εὐαρεστῆσαι οὐχὶ τὸν Θεόν, ἀλλὰ τοὺς ἀνθρώπους. Διὰ τί πεποίθαμεν « Ἐπ' ἄρχοντας, ἐπὶ » υἱοὺς ἀνθρωπων, οἷς οὐκ ἔςι σωτηρία; » (1) Οἱ υἱοὶ τῶν ἀνθρώπων εἰσὶν ἀσθενεῖς καὶ ἀδύνατοι, εὐκόλως μεταβάλλουσι γνώμην, πολλάκις κρίνουσιν ἄδικα, καθ' ἡμέραν φαίνονται ἀχάριστοι, συχνῶς ἀθετοῦσι τὴν ἑαυτῶν ὑπόσχεσιν· οἱ ἄνθρωποι τέλος πάντων εἰσὶ φθαρτοὶ καὶ πρόσκαιροι· σήμερον φαίνονται, καὶ κινοῦνται, καὶ ἐνεργοῦσιν, αὔριον γίνονται χῶμα ἀναίσθητον, καὶ ἀκίνητον, καὶ ἀνενέργητον. Διὰ τί οὐκ ἀφιεροῦμεν πᾶσαν τὴν ἀγάπην καὶ ἐλπίδα καὶ προσοχὴν ἡμῶν εἰς τὴν εὐαρέστησιν τοῦ Θεοῦ, ὅστις ἐποίησε « Τὸν οὐρανὸν καὶ τὴν » γῆν καὶ τὴν θάλασσαν καὶ πάντα τὰ » ἐν αὐτοῖς; » (2) Αὐτὸς φυλάττει ἀλήθειαν εἰς τὸν αἰῶνα, ἐκδικεῖ τοὺς ἀδικουμένους, δίδωσι τροφὴν εἰς τοὺς πεινῶντας. Ὅταν ἀφιερώσῃς τὴν καρδίαν σου εἰς αὐτόν, ἐαν ὑπάρχῃς δυστυχής, λύει τοὺς δεσμοὺς τῶν συμφορῶν σου· « Κύριος λύει πεπεδημέ» νους »· ἐὰν ὡς τυφλὸς οὐ γνωρίζῃς τὸ συμφέρον σου, αὐτὸς φωτίζει τὰ τυφλά σου ὄμματα πρὸς κατανόησιν τῆς εὐτυχίας σου· « Κύριος σοφοῖ τυφλούς » (3)· ἐὰν πέσῃς εἰς τῆς ἁμαρτίας τὰ βάραθρα, αὐτὸς διεγείρει σε· « Κύριος ἀνορθοῖ κατερραγ» μένους »· ἐὰν περιπατῇς τῆς δικαιοσύνης τὸν δρόμον, αὐτός σε ἀγαπᾷ· « Κύριος » ἀγαπᾷ δικαίους ». Ἐὰν προσέλθῃς πρὸς αὐτὸν μετὰ πίστεως καὶ εὐλαβείας, αὐτός σε διαφυλάττει ὑπὸ τὴν σκέπην τῶν θείων αὐτοῦ πτερύγων· « Κύριος φυλάσσει τοὺς » προσηλύτους » (4). Αὐτός ἐστι πατὴρ τοῦ ὀρφανοῦ, αὐτός ἐστιν ἀντιλήπτωρ τῆς χήρας· « Ὀρφανὸν καὶ χήραν ἀναλήψεται ». Αὐτὸς ἐξαφανίζει τὰ ἐπιτηδεύματα τῶν πονηρῶν, τῶν κατὰ σοῦ ἐγειρομένων· « Καὶ » ὁδὸν ἁμαρτωλῶν ἀφανιεῖ ». Ὁ Θεὸς τῆς Σιών, αὐτός ἐστιν ὁ βασιλεύς σου, ὁ Κύριός σου, ὁ Θεός σου, ὁ ἀθάνατος, ὁ βασιλεύων εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, εἰς γενεὰν καὶ γενεάν· « Βασιλεύσει Κύριος εἰς τὸν » αἰῶνα, ὁ Θεός σου Σιών, εἰς γενεὰν καὶ » γενεάν » (5). Διὰ τί οὖν οὐκ ἀγωνιζόμεθα μετὰ πασῶν τῶν δυνάμεων ἡμῶν, ἵνα ἀρέσωμεν εἰς αὐτόν, ἀλλὰ σπουδάζομεν, ὅσον δυνάμεθα, ἵνα εὐαρεστήσωμεν εἰς τὰς πονηρὰς τῶν ἀνθρώπων ἐπιθυμίας;

Ἀδελφοί, μνημονεύετε τὸν λόγον τοῦ Κυρίου, ὅστις εἶπεν· « Οὐδεὶς δύναται δυσὶ » κυρίοις δουλεύειν· ἢ γὰρ τὸν ἕνα μισήσει, » καὶ τὸν ἕτερον ἀγαπήσει· ἢ ἑνὸς ἀνθέξε» ται, καὶ τοῦ ἑτέρου καταφρονήσει » (6). Ἀδελφοί, μὴ πλανᾶσθε, οὐ δύνασθε ἀρέσκειν καὶ εἰς τοὺς πονηροὺς ἀνθρώπους, καὶ εἰς τὸν πανάγαθον Θεόν. « Οὐ δύνασθε Θεῷ » δουλεύειν, καὶ μαμμωνᾷ ». Τοῦτο αὐτὸ ἐδίδαξε καὶ ὁ θεσπέσιος Παῦλος, εἰπών· « Εἰ γὰρ ἔτι ἀνθρώποις ἤρεσκον, Χριστοῦ » δοῦλος οὐκ ἂν ἤμην » (7).

(1) Ψαλμ. 145, 3. (2) Αὐτ. 6, 7. (3) Αὐτ. 8. (4) Αὐτ. 9. (5) Αὐτ. 10. (6) Ματθ. 6, 24. (7) Γαλ. 1, 10.



# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΗΝ ΠΡΟΣ

## ΕΦΕΣΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗ͂Ι ΚΓ΄. ΚΥΡΙΑΚΗ͂Ι.

Ἡ μὲν Ἔφεσος μητρόπολις ἦν τῆς Μικρᾶς Ἀσίας· οἱ δὲ ἐν αὐτῇ κατοικοῦντες, ἐξαιρουμένων τινῶν Ἰουδαίων, ἦσαν εἰδωλολάτραι, καθ' ὑπερβολὴν τιμῶντες τὴν ψευδοθεὰν τὴν Ἀρτέμιδα, ἐξ οὗ καὶ τὸν ἐκεῖ περίφημον βωμὸν ἐπὶ τῷ ὀνόματι αὐτῆς ᾠκοδόμησαν. Πρῶτος δὲ εἰς τὴν Ἔφεσον ἐκήρυξε τὸν εὐαγγελικὸν λόγον ὁ θεηγόρος Παῦλος, δὶς ἐκεῖ ἐλθών (1)· πρῶτον μέν, ὅτε ὀλίγον καιρὸν ἐκεῖ διέτριψε, κἂν παρεκάλουν αὐτὸν οἱ πιστεύσαντες, ἵνα μείνῃ πρὸς αὐτοὺς « Πλείονα χρόνον » (2)· δεύτερον δέ, ὅτε χρονοτριβήσας ἐκεῖ « Ἔτη δύο », ἥπλωσε τὸν λόγον τοῦ Κυρίου Ἰησοῦ εἰς πᾶσαν τὴν Ἀσίαν, καὶ ἐποίησε τὰ πολλὰ καὶ μεγάλα θαύματα (3). Τότε δὲ πολλοὶ ἐπίστευσαν, καὶ πρὸς αὐτὸν ἤρχοντο ἐξομολογούμενοι καὶ ἀναγγέλλοντες τὰς πράξεις αὐτῶν. Πολλοὶ δὲ τοσοῦτον πλῆθος μαγικῶν βιβλίων ἔκαυσαν, ὥστε ἀναλογισθεῖσα ἡ τιμὴ αὐτῶν, εὑρέθη πέντε μυριάδες ἀργυρίου. Ἔγραψε δὲ τὴν πρὸς αὐτοὺς ἐπιστολὴν ὁ Παῦλος, δέσμιος ὢν ἐν Ῥώμῃ. Ἐπειδὴ δὲ καλῶς προκατηχημένοι ἦσαν εἰς τὴν εἰς Χριστὸν πίστιν οἱ Ἐφέσιοι, καὶ ἑπομένως στερεωτέρας πνευματικῆς τροφῆς ἐπιδεκτικοί, διὰ τοῦτο ἐπλήρωσε τὴν πρὸς αὐτοὺς ἐπιστολὴν βαθυτέρων νοημάτων καὶ δογμάτων πίστεως, καὶ ἠθικῆς ἐπουρανίου διδασκαλίας. Τὸ δὲ σήμερον ἀναγνωσθὲν μέρος αὐτῆς περιέχει δύο μαθήματα παραστατικὰ τῶν θεμελίων τῆς εὐαγγελικῆς πίστεως, τὴν ἀγάπην δηλαδὴ τοῦ Θεοῦ πρὸς τοὺς ἀνθρώπους, καὶ τὴν διὰ τῆς θείας χάριτος σωτηρίαν. Διὰ τοῦτο, ὅστις προσηλώσει τὸν νοῦν αὐτοῦ πρὸς κατανόησιν τῆς ἑρμηνείας τῶν ἀναγνωσθέντων λόγων, ἐκεῖνος φωτίζει τὴν ψυχὴν αὐτοῦ, καὶ ὁδηγεῖται πρὸς τὴν μακαρίαν ὁδὸν τῆς σωτηρίας.

Ἀδελφοί, ὁ Θεὸς πλούσιος ὢν ἐν ἐλέει, διὰ τὴν πολλὴν ἀγάπην αὐτοῦ, ἣν ἠγάπησεν ἡμᾶς, καὶ ὄντας ἡμᾶς νεκροὺς τοῖς παραπτώμασι, συνεζωοποίησε τῷ Χριστῷ· (χάριτί ἐστε σεσωσμένοι) καὶ συνήγειρε, καὶ συνεκάθισεν ἐν τοῖς ἐπουρανίοις ἐν Χριστῷ Ἰησοῦ (4).

Πλούσιος ὁ Θεὸς ἐν ἐλέει, ἤγουν πολὺ καὶ ἄμετρον ἔχει τὸ ἔλεος. Ἐπειδὴ δὲ τὸ

(1) Θεοδώρ. εἰς τὸν Προλ. τῆς πρὸς Ἐφεσ. (2) Πράξ. 18. 20. (3) Αὐτ. 19, 10. καὶ 18, 19. (4) Ἐφεσ. 2, 4. 5, 6.

ἔλεος καὶ ἡ ἀγάπη εἰσὶν ἀλληλένδετα, ὅπου δὲ πολὺ τὸ ἔλεος, ἐκεῖ πολλὴ καὶ ἡ ἀγάπη, διὰ τοῦτο πολλὴ καὶ ἡ ἀγάπη, δι᾿ ἧς ὁ Θεὸς ἡμᾶς ἠγάπησε. Ποία δὲ ἡ ἀπόδειξις τῆς πολλῆς πρὸς ἡμᾶς τοῦ Θεοῦ ἀγάπης; Ἡ ἁμαρτία τοῦ προπάτορος, καὶ τὰ προαιρετικὰ ἁμαρτήματα ἐνέκρωσαν τὰς δυνάμεις τῆς θεογνωσίας καὶ ἀρετῆς. Κἂν δὲ νεκροὶ ἦσαν οἱ ἄνθρωποι διὰ τὰ παραπτώματα αὐτῶν, ὅμως συνεζωοποίησεν αὐτοὺς ὁ Θεὸς διὰ τῆς ἀναστάσεως τοῦ Ἰησοῦ Χριστοῦ. Πῶς συνεζωοποίησε; « Καὶ ἡμᾶς νεκροὺς ὄντας ἐν τοῖς παραπτώμασι καὶ τῇ ἀκροβυστίᾳ τῆς σαρκὸς ἡμῶν, συνεζωοποίησε σὺν αὐτῷ, χαρισάμενος ἡμῖν πάντα τὰ παραπτώματα » (1). Ἰδοὺ τό, πῶς συνεζωοποίησε, χαρισάμενος ἡμῖν πάντα τὰ παραπτώματα, ὅπερ ἐστί, διὰ τῆς ἀφέσεως τῶν ἁμαρτιῶν. Ἡ ἁμαρτία ἐνέκρωσε τὴν ψυχήν, ὁ Ἰησοῦς Χριστὸς ἔλυσε τὴν ἁμαρτίαν· διὸ ἡμεῖς ἐζωοποιήθημεν· « Εἰ γὰρ τῷ τοῦ ἑνὸς παραπτώματι ὁ θάνατος ἐβασίλευσε διὰ τοῦ ἑνός, πολλῷ μᾶλλον οἱ τὴν περισσείαν τῆς χάριτος καὶ τῆς δικαιοσύνης λαμβάνοντες, ἐν ζωῇ βασιλεύσουσι διὰ τοῦ ἑνὸς Ἰησοῦ Χριςοῦ » (2). Οὐκ εἶπε δὲ ἐζωοποίησεν, ἀλλὰ συνεζωοποίησεν, ἵνα φανερώσῃ, ὅτι, ὅταν ἀνέστη ὁ Χριστὸς ἐκ νεκρῶν, καὶ ἀνέζησε, τότε ἡμεῖς λαβόντες τὴν τελείαν ἄφεσιν τῶν παραπτωμάτων ἡμῶν, ἐζωοποιήθημεν σὺν τῷ ἀναστάντι Χριστῷ· διὰ τοῦτο δὲ εἶπε καὶ τό, Συνήγειρεν, ἵνα ἐπιβεβαιώσῃ, ὅτι διὰ τῆς ἐκ νεκρῶν ἐγέρσεως τοῦ Ἰησοῦ Χριστοῦ ἠγέρθημεν καὶ ἡμεῖς σὺν αὐτῷ· αὐτὸς μὲν ἠγέρθη ἐκ τοῦ μνήματος, ἡμεῖς δὲ ἐκ τοῦ βυθοῦ τῆς ἁμαρτίας· αὐτὸς ἀνέλαβε τὴν ζωήν, ἡμεῖς δὲ τὴν σωτηρίαν. Οὐ μόνον δὲ συνεζωοποίησε καὶ συνήγειρεν, ἀλλὰ « Καὶ συνεκάθισε, λέγει, ἐν τοῖς ἐπουρανίοις ἐν Χριστῷ Ἰησοῦ ». Ποῖον δὲ νόημα ἔχουσι ταῦτα τὰ λόγια; Καθὼς πᾶσα ἡ τῶν ἀνθρώπων φύσις ἐν τῷ πρώτῳ ἀνθρώπῳ τῷ Ἀδάμ, τῷ ἐκ γῆς χοϊκῷ, οὕτω καὶ ἐν τῷ δευτέρῳ τῷ Κυρίῳ, τῷ ἐξ οὐρανοῦ. Ἐπειδὴ δὲ « Οἷος ὁ χοϊκός, τοιοῦτοι καὶ οἱ χοϊκοί· καὶ οἷος ὁ ἐπουράνιος, τοιοῦτοι καὶ οἱ ἐπουράνιοι » (3)· ὁ δὲ ἐπουράνιος « ἐκάθισεν ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγαλωσύνης ἐν τοῖς οὐρανοῖς » (4), φανερόν ἐστιν, ὅτι καὶ ἡμεῖς ἐν τῷ Χριστῷ θεωρούμενοι, συνεκαθίσαμεν ἐν τοῖς ἐπουρανίοις, κληρονόμοι γενόμενοι τῆς αὐτοῦ βασιλείας. Τοῦτο οὖν ἐστιν ἡ ἀπόδειξις τῆς πολλῆς τοῦ Θεοῦ πρὸς ἡμᾶς ἀγάπης, τό, ὅτι ἀφῆκε τὰ παραπτώματα ἡμῶν, καὶ συνεζωοποίησε, καὶ συνήγειρε, καὶ συνεκάθισεν ἡμᾶς ἐν τοῖς ἐπουρανίοις ἐν Χριστῷ Ἰησοῦ. Σημείωσον δέ, πῶς διὰ τούτων τῶν λόγων « Χάριτί ἐστε σεσωσμένοι », ἐδίδαξεν ὁ θεῖος Ἀπόστολος, ὅτι καὶ τὴν σωτηρίαν καὶ τὴν οὐράνιον δόξαν ἐλάβομεν οὐ διὰ τὰ ἔργα ἡμῶν, ἀλλὰ δωρεάν· τοῦτο δὲ αὐτὸ ἔγραφε καὶ πρὸς τὸν Τίτον· « Οὐκ ἐξ ἔργων, ἔλεγε, τῶν ἐν δικαιοσύνῃ, ὧν ἐποιήσαμεν ἡμεῖς, ἀλλὰ κατὰ τὸν αὐτοῦ ἔλεον ἔσωσεν ἡμᾶς » (5). Γίνεται δὲ σαφεστέρα ἡ ἔννοια τῶν προκειμένων ἀποστολικῶν λόγων, ἐὰν ἐκφράσῃς αὐτὰ οὕτω· κἂν ἡμεῖς διὰ τὰ παραπτώματα ἡμῶν ἤμεθα νεκροὶ κατὰ τὰς πνευματικὰς δυνάμεις, ὅμως ὁ Θεός, ὁ ἄμετρον ἔχων τὸ ἔλεος διὰ τὴν πρὸς ἡμᾶς πολλὴν αὐτοῦ ἀγάπην, ἐζωοποίησεν ἡμᾶς σὺν τῷ Ἰησοῦ Χριστῷ, (Θεοῦ δὲ χάριτι, τουτέστιν

(1) Κολ. 2, 13. (2) Ῥωμ. 5, 17. (3) Ά. Κορ. 15, 48. (4) Ἑβρ. 8, 1. (5) Τίτ. 3, 5.



ἐλέει καὶ φιλανθρωπίᾳ ἐστὲ σεσωσμένοι, ὦ Ἐφέσιοι), καὶ συνήγειρε καὶ συνεκάθισεν ἐν τοῖς ἐπουρανίοις ἐν αὐτῷ τῷ Ἰησοῦ Χριςῷ.

*Ἵνα ἐνδείξηται ἐν τοῖς αἰῶσι τοῖς ἐπερχομένοις τὸν ὑπερβάλλοντα πλοῦτον τῆς χάριτος αὐτοῦ ἐν χρηστότητι ἐφ᾿ ἡμᾶς ἐν Χριστῷ Ἰησοῦ* (1).

Αἰῶνας ἐπερχομένους λέγει τὸν μέλλοντα αἰῶνα, τὸν μετὰ τὴν κοινὴν ἀνάστασιν καὶ τὴν τελευταίαν τοῦ Θεοῦ ἀπόφασιν περὶ ἑνὸς ἑκάστου τῶν ἀνθρώπων· τότε δὲ φανερωθήσεται ὁ ὑπερβάλλων πλοῦτος τοῦ θείου αὐτοῦ χαρίσματος. Διότι εἰς τοῦτον μὲν τὸν πρόσκαιρον αἰῶνα μόνοι οἱ πιστοί, καὶ αὐτοὶ δὲ « Δι᾿ ἐσόπτρου ἐν αἰνίγματι » (2) βλέποντες διὰ τῆς πίστεως τὰ ἀγαθά, « ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν » (3), πείθονται, ὅτι ὑπερβολικόν ἐστι τὸ ὑπὸ Θεοῦ δοθὲν χάρισμα τοῖς ἀνθρώποις διὰ Ἰησοῦ Χριστοῦ, καταξιώσαντος, αὐτοὺς ἵνα ζωοποιηθῶσι σὺν τῷ Χριστῷ, καὶ συνεγερθῶσι, καὶ συγκαθίσωσιν ἐν τοῖς ἐπουρανίοις· εἰς δὲ τὸν αἰῶνα τὸν μέλλοντα, ὅτε « Οἱ δίκαιοι ἐκλάμψουσιν ὡς ὁ ἥλιος » (4), καὶ συμβασιλεύσουσι μετὰ τοῦ Ἰησοῦ Χριστοῦ, τότε οὐ μόνον εἰς τοὺς πιστούς, ἀλλὰ καὶ τοὺς ἀπίστους ὁρατὸς γίνεται ὁ ὑπερβολικὸς πλοῦτος τῆς χάριτος τοῦ Θεοῦ, τότε καὶ πιστοὶ καὶ ἄπιστοι, βλέποντες τὴν δόξαν τῶν δικαίων, διακρίνουσι καθαρῶς τὴν ὑπερβολὴν τοῦ χαρίσματος, τοῦ ὑπὸ Θεοῦ δοθέντος εἰς τοὺς εἰς Χριστὸν πιστεύσαντας. Τοῦτο δέ ἐστιν, ὃ λέγει ὁ θεόπνευστος Ἀπόστολος· συνεζωοποίησεν ἡμᾶς ὁ Θεὸς καὶ συνήγειρε καὶ συνεκάθισεν ἐν τοῖς ἐπουρανίοις, ἵνα κατὰ τὴν φυσικὴν αὐτοῦ χρηστότητα δείξῃ ἐν τῷ μέλλοντι αἰῶνι ἐφ᾿ ἡμᾶς τοὺς εἰς Χριττὸν πιστεύσαντας τὸν ἄμετρον πλοῦτον τῆς χάριτος αὐτοῦ. Τὸ αὐτὸ δὲ ἐκήρυξε καὶ εἰς τὴν ἀρχὴν ταύτης τῆς ἐπιστολῆς, εἰπών· « Προορίσας ἡμᾶς εἰς υἱοθεσίαν διὰ Ἰησοῦ Χριστοῦ εἰς αὐτόν, κατὰ τὴν εὐδοκίαν τοῦ θελήματος αὐτοῦ· εἰς ἔπαινον δόξης τῆς χάριτος αὐτοῦ, ἐν ᾗ ἐχαρίτωσεν ἡμᾶς ἐν τῷ ἠγαπημένῳ » (5).

*Τῇ γὰρ χάριτί ἐστε σεσωσμένοι διὰ τῆς πίστεως· καὶ τοῦτο οὐκ ἐξ ὑμῶν· Θεοῦ τὸ δῶρον· οὐκ ἐξ ἔργων, ἵνα μήτις καυχήσητε* (6).

Ἡ χάρις καὶ ἡ πίστις εἰσὶ τὰ δύο ὄργανα τῆς σωτηρίας· « Τῇ γὰρ χάριτί ἐστε σεσωσμένοι διὰ τῆς πίστεως », τουτέστι διὰ τῆς πίστεως καὶ τῆς χάριτος ἀπολαμβάνομεν τὴν αἰώνιον σωτηρίαν. « Καὶ τοῦτο οὐκ ἐξ ὑμῶν ». Ὅτι τὸ μέν, οὐκ ἐξ ὑμῶν, σημαίνει τό, οὐκ ἐκ τῶν ἔργων ὑμῶν, ἐφανέρωσεν ὁ Ἀπόστολος, εἰπών, « Οὐκ ἐξ ἔργων »· τὸ δέ, Καὶ τοῦτο, ἀνάγεται εἰς τό, Σεσωσμένοι οὕτω. Καὶ τοῦτο, ἤγουν καὶ αὐτὴ ἡ σωτηρία ὑμῶν Θεοῦ δῶρόν ἐςι, καὶ οὐκ ἀμοιβὴ τῶν ἔργων· ἀνάγεται δὲ καὶ εἰς τό, « Τῇ χάριτι διὰ τῆς πίστεως », διότι οὐδὲ ἡ χάρις δίδοται διὰ τὰ ἔργα, οὐδὲ ἡ πίστις προέρχεται ἐκ τῶν ἔργων. Ἡ χάρις οὐ δίδοται διὰ τὰ ἔργα, διότι, ἐὰν ἐδίδετο διὰ τὰ ἔργα, οὐκ ἦν χάρις, ἀλλ᾿ ἀμοιβή· « Εἰ δὲ ἐξ ἔργων, οὐκέτι ἐστὶ χάρις » (7). Ἡ πίστις οὐ προέρχεται ἐκ τῶν ἔργων· διότι οὐδεὶς δύναται πιστεῦσαι, ἐὰν

(1) Ἐφεσ. 2, 7. (2) Α'. Κορ. 13, 12. (3) Αὐτ. 2, 9. (4) Ματθ. 13, 43. (5) Ἐφεσ, 1, 5, 6.
(6) Αὐτ. 2, 8, 9. (7) Ῥωμ. 11, 6.

μὴ φωτίσῃ καὶ ὁδηγήσῃ αὐτὸν ὁ Θεός· « Οὐδείς, εἶπεν ὁ Κύριος, δύναται ἐλθεῖν » πρός με, ἐὰν μὴ ὁ Πατὴρ, ὁ πέμψας με » ἑλκύσῃ αὐτόν » (1). Οὐδὲ ἡ πίστις δέ, ἀλλ' οὐδὲ ἡ χάρις, οὐδὲ ἡ σωτηρία δίδοται διὰ τὰ ἔργα (2)· διότι, ἐὰν ταῦτα ἐλαμβάνομεν διὰ τὰ ἔργα ἡμῶν, εἴχομεν ἀφορμὴν καυχήσεως· μηδόλως δὲ στοχαζόμενοι, ὅτι κἂν μεγάλα, καὶ θαυμαστὰ τὰ ἔργα ἡμῶν, οὐκ εἰσὶν ὅμως ἄξια τῆς θείας βασιλείας, ἐκαυχώμεθα ὡς λαβόντες τὰς θείας εὐεργεσίας δι' ἀμοιβὴν τῶν καλῶν ἡμῶν ἔργων, καὶ οὐχ ὡς δῶρον ἐκ τοῦ θείου ἐλέους, καὶ τῆς θείας φιλανθρωπίας προερχόμενον· ὅτι δὲ τοῦτο τὸ φρόνημα ἄδικόν ἐστι καὶ παράλογον, διδάσκουσιν οἱ ἑξῆς ἀποστολικοὶ λόγοι.

*Αὐτοῦ γάρ ἐσμεν ποίημα, κτισθέντες ἐν Χριστῷ Ἰησοῦ ἐπὶ ἔργοις ἀγαθοῖς, οἷς προητοίμασεν ὁ Θεός, ἵνα ἐν αὐτοῖς περιπατήσωμεν* (3).

Καὶ ἐὰν ὡς ἀνταπόδοσις τῶν ἔργων ἡμῶν ἐδίδοτο εἰς ἡμᾶς ἡ σωτηρία, οὐδὲ οὕτως εἶχε τόπον ἡ καύχησις. Ἀλλὰ διὰ τί; « Αὐτοῦ γάρ, λέγει ἐσμὲν ποίημα ». Ἰσχυρὸς οὗτος ὁ λόγος· ἐὰν τὸ σκεῦος εἶχε φωνήν, καὶ ἐκαυχᾶτο ἐπὶ τῇ ὡραιότητι αὐτοῦ, εἶχεν ἄρα λόγον ἡ τοιαύτη καύχησις; οὐδαμῶς. Ἡ καύχησις ἁρμόζει οὐχὶ εἰς τὸ σκεῦος, ἀλλ' εἰς τὸν τεχνίτην, ὅστις μετὰ τεχνικῆς ἐπιτηδειότητος κατεσκεύασεν αὐτό. Ἐπειδὴ οὖν ἡμεῖς ἐσμὲν ποίημα Θεοῦ, παράλογόν ἐστιν, ἵνα καυχώμεθα ὑπὲρ τῶν καλῶν ἡμῶν ἔργων. Ἡ καύχησις καὶ ἡ δόξα καὶ ἡ τιμὴ πρέπει οὐχὶ εἰς ἡμᾶς, ἀλλ' εἰς τὸν Θεόν, τὸν ποιητὴν ἡμῶν, ὅστις ἔπλασεν ἡμᾶς ἱκανοὺς καὶ ἐπιτηδείους πρὸς τῆς ἀρετῆς τὴν κατόρθωσιν· « Κτισθέντες » ἐν Χριστῷ Ἰησοῦ ἐπὶ ἔργοις ἀγαθοῖς ». Ἰδοὺ καὶ ἄλλος λόγος, ὅστις ἰσχυροποιεῖ τὸν πρῶτον· τό, « Κτισθέντες ἐν Χριστῷ Ἰη» σοῦ », σημαίνει τὴν ἀνάπλασιν ἡμῶν, τὴν διὰ τῆς ἐνανθρωπήσεως τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ. Ἐπειδὴ οὖν οὐ μόνον ἀπ' ἀρχῆς ἔπλασεν ἡμᾶς ὁ Θεὸς ἐπιτηδείους πρὸς τὴν ἀρετήν, ἀλλὰ καὶ ἀσθενήσαντας διὰ τὴν ἁμαρτίαν ἀνέπλασε διὰ τῆς χάριτος τοῦ ἁγίου βαπτίσματος, καὶ ἐνεδυνάμωσεν ἡμᾶς διὰ τῆς δωρεᾶς τοῦ παναγίου Πνεύματος πρὸς τὴν ἐργασίαν τῶν ἀγαθῶν πράξεων, εἰς αὐτὸν καὶ οὐχὶ εἰς ἡμᾶς πρέπει ὁ ὑπὲρ τῆς ἀρετῆς ἔπαινος. « Οἷς προ» ητοίμασεν ὁ Θεός, ἵνα ἐν αὐτοῖς περι» πατήσωμεν ». Ἰδοὺ καὶ τρίτος λόγος. Ἐπειδὴ δὲ ὁ Θεὸς καὶ διὰ τοῦ προφητικοῦ κηρύγματος, καὶ διὰ τῆς εὐαγγελικῆς διδασκαλίας ἐδίδαξε καὶ ἔδειξε, ποῖά εἰσι τὰ καλὰ ἔργα, καὶ διὰ πολλῶν ἁγίων παραδειγμάτων προητοίμασε τῆς ἀρετῆς τὴν ὁδόν, διὰ τοῦτο εἰς αὐτόν, καὶ οὐχὶ εἰς ἡμᾶς πρέπει ἡ ὑπὲρ τῶν καλῶν ἔργων δόξα καὶ τιμὴ καὶ ὑμνολογία.

(1) Ἰωαν. 6. 44. (2) Ῥωμ. 8, 18. (3) Ἐφεσ. 2, 10.



# ΟΜΙΛΙΑ

ΜΕΤΑ ΤΗΝ ΠΡΟΣ

## ΕΦΕΣΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗι ΚΓ' ΚΥΡΙΑΚΗι.

ΒΛΕΠΕ τὴν θεόπνευστον σοφίαν τοῦ θεοφόρου Παύλου· ἐπειδὴ εἶπεν, ὅτι διὰ τῆς πίστεως καὶ χάριτός ἐσμεν σεσωσμένοι. « Τῇ γὰρ χάριτί ἐστε σεσωσμένοι διὰ τῆς » πίστεως » (1)· ἵνα μηδεὶς πλανηθῇ καὶ νομίσῃ, ὅτι δι' αὐτῶν μόνον δυνάμεθα σωθῆναι, κἂν μὴ πράττωμεν τὴν ἀρετήν, ἐδίδαξεν, ὅτι διὰ τοῦτο καὶ ἐπλάσθημεν καὶ ἀνεπλάσθημεν, ἵνα ἐργαζώμεθα τὰ καλὰ ἔργα· « Αὐτοῦ γάρ ἐσμεν ποίημα, εἶπε, » κτισθέντες ἐν Χριστῷ Ἰησοῦ ἐπὶ ἔργοις » ἀγαθοῖς » (2). Διὰ τούτων δὲ τῶν λόγων ἔδειξεν ἄφευκτον τῆς ἐργασίας τῶν ἀρετῶν τὸ χρέος. Ἀκούσατε, πόσον ἀναμφίβολα καὶ βέβαιά εἰσι ταῦτα τὰ ἀποσολικὰ λόγια.

Εἰς πᾶν κτίσμα ὥρισεν ὁ Θεὸς ἴδιον ἔργον, φυτεύσας εἰς τὴν τούτου φύσιν ἐκείνας τὰς δυνάμεις, ὅσαι ἦσαν ἀναγκαῖαι πρὸς τὴν τούτου ἐκπλήρωσιν· εἰς μὲν τὴν γῆν ὥρισεν ὁ Θεός, ἵνα βλαστάνῃ « Βοτάνην » χόρτου καὶ ξύλον κάρπιμον ποιοῦν καρ» πόν » (3)· εἰς δὲ τοὺς φωστῆρας, ἤγουν εἰς τὸν ἥλιον, εἰς τὴν σελήνην, εἰς τοὺς ἀστέρας, ἵνα πέμπωσι φῶς ἐπὶ τῆς γῆς (4)· εἰς πάντα τὰ ζῶα, ἵνα αὐξάνωσι καὶ πληθύνωνται καὶ διαμένωσιν ὑπὸ τὴν ἐξουσίαν τοῦ ἀνθρώπου (5)· εἰς τὸ ὕδωρ, ἵνα ποτίζῃ « Πᾶν τὸ πρόσωπον τῆς γῆς » (6)· εἰς τὸν ἀέρα, ἵνα παρέχῃ ἀναπνοήν. Ποῖον δὲ ἔργον ὥρισεν ὁ Θεὸς εἰς τὸν ἄνθρωπον, ὃν κατ' εἰκόνα αὐτοῦ ἔπλασε, καὶ κατέστησεν ἄρχοντα πάσης τῆς ὁρατῆς κτίσεως; οὐδὲν ἄλλο, εἰ μὴ τὴν ἐργασίαν τῆς ἀρετῆς, δοὺς αὐτῷ καὶ τὰς δυνάμεις, τὰς πρὸς τὴν κατόρθωσιν αὐτῆς ἀναγκαίας. Τοῦτο διδάσκει ἡμᾶς ἡ Θεία Γραφή, τοῦτο αὐτὸ καὶ τὰ βλεπόμενα πράγματα· « Καὶ ἔλαβε, λέγει » ὁ ἱερὸς λόγος, Κύριος ὁ Θεός, τὸν ἄνθρω» πον, ὃν ἔπλασε, καὶ ἔθετο αὐτὸν ἐν τῷ » παραδείσῳ τῆς τρυφῆς, ἐργάζεσθαι αὐ» τὸν καὶ φυλάττειν » (7). Ἐὰν τὰ λόγια ταῦτα νοήσῃς μόνον κατὰ τὸ γράμμα, πολλὰς συναντᾷς δυσκολίας· διότι ὁ παράδεισος τῆς τρυφῆς, ἀναλλοίωτος ὢν τότε, οὐδεμίαν εἶχε χρείαν τῆς τοῦ ἀνθρώπου ἐργασίας, ἀλλ' οὐδὲ φυλακῆς εἶχε χρείαν, ἐπειδὴ τότε οὐδὲ κλέπται ἦσαν, οὐδὲ ἐπίβουλοι, οὐδὲ φθορεῖς· λύονται δὲ αἱ δυσκολίαι, ἐὰν νοήσῃς ἀναγωγικῶς, ὅτι καὶ ἡ ἐργασία καὶ ἡ φυλακὴ τοῦ παραδείσου τῆς τρυφῆς τὴν φυλακὴν σημαίνει καὶ τὴν ἐργασίαν τῆς θείας ἐντολῆς, ἤγουν τῆς ἀρετῆς. Ἀλλὰ

(1) Ἐφεσ. 2, 8. (2) Αὐτ. 2, 10. (3) Γεν. 1, 11. (4) Αὐτ. 17. (5) Αὐτ. 28. (6) Αὐτ. 2, 6. (7) Αὐτ. 15.

καὶ ὁρατῶς βλέπομεν, ὅτι ἐκ πάντων τῶν
ἐπιγείων κτισμάτων μόνος ὁ ἄνθρωπος ἔχει
τῆς ἀρετῆς τὰς δυνάμεις, καί, ὅταν θέλῃ,
ἐργάζεται τὰ ἐνάρετα κατορθώματα. Ποῖον
ἄλλο ἐπίγειον κτίσμα λατρεύει τῷ Θεῷ, ἢ
φυλάττει δικαιοσύνην, ἢ δεικνύει ἑκούσιον
ἐγκράτειαν, ἢ αὐτοθελήτως δεσπόζει τῶν
ἰδίων παθῶν, ἢ πράττει ἄλλην τινὰ ἀρετήν;

Εἰς πᾶν κτίσμα ὥρισεν ὁ Θεὸς ἴδιον ἔρ-
γον, καὶ πᾶν κτίσμα ἀπὸ καταβολῆς κό-
σμου ἕως τῆς σήμερον ἡμέρας μετὰ πάσης
ἀκριβείας ἐκπληροῖ τὸ ἔργον αὐτοῦ· ὅθεν ὁ
ἅγιος προφήτης δοξολογῶν τὸν ποιητὴν τοῦ
παντός, ἔψαλλεν· « Αἰνεῖτε τὸν Κύριον ἐκ
» τῆς γῆς, δράκοντες καὶ πᾶσαι ἄβυσσοι·
» πῦρ χάλαζα, χιών, κρύσταλλος, πνεῦμα
» καταιγίδος, τὰ ποιοῦντα τὸν λόγον αὐ-
» τοῦ» (1). Μόνος ὁ ἄνθρωπος ἐξ ἀρχῆς μετὰ
τὴν πλάσιν αὐτοῦ ἐγκατέλειπε τὸ ἴδιον ἔρ-
γον, ἀκούσας τὴν συμβουλὴν τοῦ διαβόλου,
καὶ φαντασθείς, γενέσθαι Θεός, ἐκ τούτου
ἔπεσεν εἰς βάραθρον ἐλεεινὸν καὶ ἐξαίσιον.
Ἡ ἁμαρτία ἐνέδυσεν αὐτὸν τοὺς δερματί-
νους χιτῶνας, ἤγουν τὴν παχυλωτέραν
καὶ θνητὴν σάρκα· ἐσκότισε τὸν νοῦν αὐ-
τοῦ, καὶ ἔκλινε τὴν καρδίαν αὐτοῦ εἰς πάν-
τα τὰ ψυχοφθόρα πάθη· διὸ καὶ ἐῤῥέθη
περὶ αὐτοῦ· « Ἔγκειται ἡ διάνοια τοῦ ἀν-
» θρώπου ἐπιμελῶς ἐπὶ τὰ πονηρὰ ἐκ νεό-
» τητος αὐτοῦ » (2). Κατέστησεν αὐτὸν δοῦ-
λον τοῦ διαβόλου· ὅθεν «Ἄρχων τοῦ κόσμου
» τούτου » (3) ὁ διάβολος ὠνομάσθη· ἐποί-
ησεν αὐτὸν ὅλον σαρκικόν· διὸ καὶ ἀνεχώ-
ρησε τὸ πνεῦμα τοῦ Θεοῦ ἀπ' αὐτοῦ· «Καὶ
» εἶπε Κύριος ὁ Θεός, οὐ μὴ καταμείνῃ τὸ
» πνεῦμά μου ἐν τοῖς ἀνθρώποις τούτοις εἰς
» τὸν αἰῶνα, διὰ τὸ εἶναι αὐτοὺς σάρ-
» κας » (4). Ἑνὶ λόγῳ, ἡ ἁμαρτία ἠλλοίω-
σε καὶ αὐτὰ τὰ ἰδιώματα τῆς φύσεως αὐτοῦ·
« Ἄνθρωπος ἐν τιμῇ ὤν, οὐ συνῆκε, πα-
» ρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις,
» καὶ ὡμοιώθη αὐτοῖς » (5). Οὐδὲ ὁ νόμος,
οὐδὲ οἱ προφῆται, οὐδὲ πάντες οἱ δίκαιοι,
οὐδὲ οἱ ἄγγελοι ἠδύναντο ἀναστῆσαι αὐτὸν
ἀπὸ τῆς τοιαύτης ἐλεεινῆς πτώσεως. Τοῦ-
το κατόρθωμα μόνης τῆς ἀπείρου τοῦ Θεοῦ
εὐσπλαγχνίας· μόνος ὁ μονογενὴς Υἱὸς καὶ
Λόγος τοῦ Θεοῦ ἐκ τῶν κόλπων τοῦ πατρὸς
εἰς τὴν μήτραν τῆς παρθένου μητρὸς κατα-
βὰς καὶ σαρκωθείς, καὶ δεύτερος ἄνθρωπος
γενόμενος, ἀνεκαίνισε καὶ ἀνέκτισε καὶ ἀνέ-
στησε τὴν πεπτωκυῖαν ἀνθρώπινον φύσιν.
Αὐτὸς διὰ τῆς ἐκ νεκρῶν ἀναστάσεως αὐ-
τοῦ συνανέστησε, καὶ ἄφθαρτα ἐποίησε τὰ
τῶν ἀνθρώπων σώματα· αὐτὸς διὰ τῆς ἐ-
πουρανίου αὐτοῦ διδασκαλίας ὡδήγησε τὸν
νοῦν τῶν ἀνθρώπων πρὸς τὴν λατρείαν τῆς
ὁμοουσίου καὶ τρισυποστάτου θεότητος, καὶ
ἔστρεψε τὴν καρδίαν αὐτῶν πρὸς τὴν ἐπι-
θυμίαν τῶν ἐνθέων κατορθωμάτων· αὐτὸς
διὰ μὲν τῆς παντοδυναμίας αὐτοῦ ἔδωκε
τοῖς ἀνθρώποις τὴν ἐξουσίαν κατὰ τῆς δυ-
ναστείας τοῦ διαβόλου, εἰπών· « Ἰδοὺ δί-
» δωμι ὑμῖν τὴν ἐξουσίαν τοῦ πατεῖν ἐπά-
» νω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν
» τὴν δύναμιν τοῦ ἐχθροῦ· καὶ οὐδὲν ὑμᾶς
» οὐ μὴ ἀδικήσῃ » (6)· διὰ δὲ τοῦ θείου αὐ-
τοῦ ἐμφυσήματος ἀνεκαίνισε καὶ ἀνέπλασεν
ὅλον τὸν ἄνθρωπον, δοὺς εἰς αὐτὸν τὸ πνεῦ-
μα τοῦ Θεοῦ, ἐξ οὗ ἐγυμνώθη διὰ τὴν ἁ-
μαρτίαν· « Καὶ τοῦτο εἰπών, ἐνεφύσησε,
» καὶ λέγει αὐτοῖς· λάβετε Πνεῦμα ἅγιον» (7).
Ἐὰν παραβάλῃς τὸν λόγον, ὃν εἶπεν ὁ Θε-
ός, ὅταν ἔπλασε τὸν ἄνθρωπον, ἤγουν τό,

(1) Ψαλ. 148, 7, 8. (2) Γεν. 8, 21. (3) Ἰωάν. 12, 31. (4) Γεν. 6. 3. (5) Ψαλ. 45, 12.
(6) Λουκ. 10, 19. (7) Ἰωάν. 20, 22.



« Καὶ ἔλαβε Κύριος ὁ Θεὸς τὸν ἄνθρωπον,
» ὃν ἔπλασε, καὶ ἔθετο αὐτὸν ἐν τῷ παρα-
» δείσῳ τῆς τρυφῆς ἐργάζεσθαι αὐτὸν καὶ
φυλάττειν » (1), μετὰ τοῦ λόγου, ὃν εἶπεν ὁ
θεηγόρος Παῦλος, ἀφ' οὗ ὁ Χριστὸς ἡμᾶς
ἀνέπλασεν, ἤγουν μετὰ τοῦ, « Κτισθέντες
» ἐν Χριστῷ Ἰησοῦ ἐπὶ ἔργοις ἀγαθοῖς » (2),
βλέπεις, ὅτι εἷς καὶ ὁ αὐτὸς σκοπὸς καὶ τῆς
πλάσεως καὶ τῆς ἀναπλάσεως ἡμῶν· βλέ-
πεις, ὅτι δι' ἓν καὶ τὸ αὐτὸ τέλος καὶ ἐπλά-
σθημεν ὑπὸ τοῦ Θεοῦ, καὶ ἀνεπλάσθημεν
ὑπὸ τοῦ μονογενοῦς Υἱοῦ αὐτοῦ, τουτέστι
διὰ τὴν ἐργασίαν τῶν ἀγαθῶν πράξεων.

Ἐπειδὴ οὖν ὁ Θεὸς καὶ ἔπλασε καὶ ἀνέ-
πλασεν ἡμᾶς διὰ τὸ αὐτὸ τέλος, ὅπερ ἐςί,
διὰ τὴν κατόρθωσιν τῆς ἀρετῆς, τίς οὐ
βλέπει, πόσον μέγα ἐστὶ τὸ ὑπὲρ αὐτῆς ἡ-
μέτερον χρέος; ἡ ἄγνοια τῶν νόμων τοῦ
Θεοῦ, καὶ ἡ ἀδυναμία τῆς φύσεως πρὸς τὴν
ἐκπλήρωσιν αὐτῶν εἰσὶ δύο αἰτιολογήματα,
σμικρύνοντα τοῦ χρέους τὸ βάρος. Περὶ
τῆς ἀγνοίας αὐτὸς ὁ Κύριος εἶπεν· « Ὁ δὲ
» μὴ γνούς, ποιήσας δὲ ἄξια πληγῶν, δα-
» ρήσεται ὀλίγας » (3). Ἡ ἄγνοια σμικρύνει
τὴν τιμωρίαν, ἐπειδὴ σμικρύνει τὸ χρέος·
τὸ δὲ τῆς ἀδυναμίας αἰτιολόγημα οὐκ ἀ-
πέῤῥιψεν ὁ Θεὸς ὡς μάταιον. Αὐτὸς προς-
τάσσει τὸν Μωϋσῆν, ἵνα ἐλθὼν εἰς τὴν Αἴ-
γυπτον, λυτρώσῃ τὸν λαὸν τοῦ Ἰσραὴλ ἀ-
πὸ τῆς δουλείας τοῦ Φαραώ· ὁ δὲ Μωϋσῆς
προβάλλει τὴν ἀδυναμίαν αὐτοῦ· « Καὶ εἶ-
» πε Μωσῆς πρὸς τὸν Θεόν· τίς εἰμι ἐγώ,
» ὅτι πορεύσομαι πρὸς Φαραώ, βασιλέα
» Αἰγύπτου, καὶ ὅτι ἐξάξω τοὺς υἱοὺς Ἰσ-
» ραὴλ ἐκ γῆς Αἰγύπτου; Ἰσχνόφωνος καὶ
» βραδύγλωσσος ἐγώ εἰμι» (4). Οὐκ ἐξουδέ-
νωσε δὲ ὁ Θεὸς τῆς ἀδυναμίας αὐτοῦ τὸ αἰ-
τιολόγημα, ἀλλ' ὑπεσχέθη τὴν θείαν αὐτοῦ
βοήθειαν· « Ὅτι ἔσομαι μετὰ σοῦ » (5),
εἶπεν· ὑπεσχέθη εἰς αὐτὸν καὶ στόμα καὶ
γλῶσσαν καὶ λόγον· « Ἐγώ, εἶπεν, ἀνοίξω
» τὸ στόμα σου, καὶ συμβιβάσω σε, ὃ μέλ-
» λεις λαλῆσαι » (6). Ἐὰν οὖν οὐδὲ τὴν
γνῶσιν εἴχομεν τῶν θείων νόμων, οὐδὲ τὰς
φυσικὰς πρὸς τὴν ἀρετὴν δυνάμεις, οὐδὲ
τῆς θείας χάριτος τὴν βοήθειαν, τότε καὶ
τὸ χρέος πρὸς τὴν τῶν καλῶν ἔργων ἐκ-
πλήρωσιν ὀλιγώτερον, καὶ ἡ ἀπολογία εὐ-
λογοφανής, καὶ ἡ τιμωρία διὰ τὴν τῶν νό-
μων παράβασιν ὀλιγωτέρα.

Ἀλλ' ἡμεῖς, ὦ χριστιανοί, καὶ τὴν γνῶ-
σιν ἔχομεν τῆς θείας νομοθεσίας καὶ τὰς
δυνάμεις τῆς φύσεως, καὶ τὴν βοήθειαν τῆς
τοῦ Θεοῦ χάριτος. Τοῦτο δὲ σημαίνουσι τοῦ
θεολήπτου Παύλου τὰ λόγια· « Κτισθέντες
» ἐν Χριστῷ Ἰησοῦ ἐπὶ ἔργοις ἀγαθοῖς, οἷς
» προητοίμασεν ὁ Θεός, ἵνα ἐν αὐτοῖς πε-
» ριπατήσωμεν » (7). Προητοίμασε διὰ τοῦ
εὐαγγελικοῦ κηρύγματος, προητοίμασε διὰ
τῶν φυσικῶν δυνάμεων, προητοίμασε διὰ
τῆς συνεργείας τῆς αὐτοῦ χάριτος. Ποῖος
ἀγνοεῖ τοὺς θείους νόμους; ποῖος οὐ διακρί-
νει τὸ καλὸν ἀπὸ τοῦ κακοῦ; ποῖος οὐ γνω-
ρίζει τὴν ἀρετὴν καὶ τὴν ἁμαρτίαν; τίς οὐ
βλέπει, ὅτι ἔχομεν τὴν δύναμιν τῆς ἀγά-
πης, ἵνα ἀγαπῶμεν τὸν Θεὸν καὶ τὸν πλη-
σίον; τὴν δύναμιν τῆς δικαιοσύνης, ἵνα μη-
δὲ ἑαυτούς, μηδὲ τοὺς ἄλλους ἀδικῶμεν;
τὴν δύναμιν τῆς σωφροσύνης, ἵνα σωφρο-
νῶμεν; τὴν δύναμιν τῆς ὑπακοῆς, ἵνα ὑ-
πακούωμεν; τὴν δύναμιν τῆς ταπεινοφρο-
σύνης, ἵνα μὴ νομίζωμεν ἑαυτοὺς ἀνωτέρους
τῶν ἄλλων; τὴν δύναμιν τῆς εὐσπλαγχνί-
ας, ἵνα ἐλεῶμεν τοὺς πτωχούς; Τίς οὐκ

(1) Γεν. 2, 15. (2) Ἐφ. 2, 10. (3) Λουκ. 12, 48. (4) Ἐξ. 3, 11. καὶ 4, 10. (5) Αὐτ. 3, 12. (6) Αὐτ. 4, 12.
(7) Ἐφεσ. 2, 10.

αἰσθάνεται, ὅτι ἔχει ἐν ἑαυτῷ τὰς δυνάμεις πρὸς τὴν τῆς ἀρετῆς κατόρθωσιν; ἢ τίς ἀκούων τὸν Θεόν, λέγοντα πρὸς τὸν Ἀπόστολον αὐτοῦ· « Ἀρκεῖ σοι ἡ χάρις μου· » ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦ» ται » (1)· καὶ αὐτὸν τὸν σωτῆρα τοῦ κόσμου, ὑποσχόμενον· « Καὶ ἰδοὺ ἐγὼ μεθ' » ὑμῶν εἰμι πάσας τὰς ἡμέρας, ἕως τῆς « συντελείας τοῦ αἰῶνος » (2)· τίς λέγω, ταῦτα ἀκούων, οὐ πιστεύει, ὅτι, ὅστις κλίνει εἰς τὴν ἐργασίαν τῆς ἀρετῆς, ἔχει τὴν παντοδύναμον χάριν ἐνισχύουσαν τὴν ἀδυναμίαν τῆς φύσεως; Ἐπειδὴ οὖν ἡ ἄγνοια λείπει, ἡ δὲ δύναμις πάρεστι, καὶ ἡ χάρις συνεργεῖ, τὸ χρέος ἡμῶν ἀναβαίνει εἰς τὴν ὑπερβολήν. Ποία οὖν ἡ ἀπολογία ἡμῶν, ὅταν παραβαίνωμεν τοῦ Θεοῦ τὰ προστάγματα;

Ὅταν δὲ κατανοήσῃς τὴν ὑπερβολὴν τούτου τοῦ χρέους, τότε λύεις τὴν ἀπορίαν τούτων τῶν λόγων τοῦ Κυρίου. Ὁ Κύριος εἶπεν· « Οὕτω καὶ ὑμεῖς, ὅταν ποιήσητε » πάντα τὰ διαταχθέντα ὑμῖν, λέγετε, ὅτι » δοῦλοι ἀχρεῖοί ἐσμεν » (3). Ἀλλὰ διὰ τί ἀφ' οὗ πράξωμεν πάντα τὰ προστάγματα τοῦ Θεοῦ, ἐσμὲν δοῦλοι ἀχρεῖοι; διότι, λέγει, ἐτελειώσαμεν ὅλον τὸ ἡμέτερον χρέος, ἐποιήσαμεν πάντα, ὅσα τὸ χρέος ἡμῶν ἐζήτει « Ὅτι ὃ ὠφείλομεν ποιῆσαι πεποιή» καμεν ». Ἀλλ' ὁ δοῦλος, ὅταν ποιῇ πάντα τὰ διορισθέντα εἰς αὐτόν, τότε οὐκ ἔςιν ἀχρεῖος, ἀλλὰ χρήσιμος καὶ πιστός, καὶ πολλῶν ἐπαίνων ἄξιος. Διὰ τί οὖν ἡμεῖς, καὶ ἀφοῦ τελέσωμεν πάντα τὰ θεῖα προστάγματα, ὅπερ ἐστί, καὶ ἀφ' οὗ ἐκπληρώσωμεν ὅλον τὸ χρέος ἡμῶν, ἐσμὲν δοῦλοι ἀχρεῖοι; οὐκ εἶπεν ὁ αὐτὸς Κύριος· « Ὑμεῖς, » φίλοι μου ἐστέ, ἐὰν ποιῆτε, ὅσα ἐγὼ ἐν» τέλλομαι ὑμῖν; » (4) Πῶς οὖν ὁ αὐτὸς λέγει, ὅτι ὅταν ποιήσωμεν ὅλα τὰ διαταχθέντα ἡμῖν, τότε ἐσμὲν δοῦλοι ἀχρεῖοι; Φίλοι καὶ δοῦλοί εἰσι δύο πράγματα ἀντιφερόμενα. Φίλοι ἀληθῶς, καὶ φίλοι ἠγαπημένοι τοῦ Θεοῦ εἰσιν οἱ ποιοῦντες τὸ θέλημα αὐτοῦ· « Ὑμεῖς φίλοι μου ἐστέ, ἐὰν ποιῆ» τε ὅσα ἐντέλλομαι ὑμῖν ». Οἱ αὐτοὶ δέ εἰσι καὶ δοῦλοι ἀχρεῖοι. Φίλους μὲν γνωρίζεις αὐτούς, ἐὰν στοχασθῇς τὴν ἀγαθότητα τῆς καρδίας αὐτῶν, καὶ τὴν ἄμετρον τοῦ Θεοῦ φιλανθρωπίαν· δούλους δὲ ἀχρείους, ἐὰν συλλογισθῇς τὸ ὕψος καὶ βάθος καὶ μεγαλεῖον τοῦ πρὸς τὸν Θεὸν αὐτῶν χρέους.

Βλέπε δὲ καὶ τοὺς τρόπους, ὅσους ὁ Θεὸς ἐπεχειρίσθη, ἵνα ὁδηγήσῃ ἡμᾶς πρὸς ἐκπλήρωσιν τούτου τοῦ ἀπαραιτήτου χρέους. Κατέβη εἰς τὸ Σινᾶ, καὶ ἔδωκεν ἐκεῖ ἐγγράφως τὰ θεῖα αὐτοῦ προστάγματα, ὑποσχεθεὶς εἰς μὲν τοὺς φυλάσσοντας αὐτὰ βραβεῖα μεγάλα, εἰς δὲ τοὺς ἀθετοῦντας, μεγάλας τιμωρίας· ἔπειτα « Πολυμερῶς » καὶ πολυτρόπως » (5) ἐλάλησε διὰ στόματος τῶν ἁγίων προφητῶν, διδάξας τὴν φυγὴν τῆς ἁμαρτίας καὶ τῆς ἀρετῆς τὴν κατόρθωσιν· « Ὅτε δὲ ἦλθε τὸ πλήρωμα » τοῦ χρόνου ἐξαπέςειλε τὸν Υἱὸν αὐτοῦ» (6) τῆς πιστεως ἀρχηγὸν καὶ τελειωτήν, διδάσκαλον καὶ τύπον καὶ ὑπογραμμὸν πάσης ἀρετῆς καὶ τελειότητος (7). Μετὰ δὲ τὴν εἰς οὐρανοὺς ἀνάληψιν αὐτοῦ ἀπέστειλε τοὺς θείους Ἀποστόλους, κηρύττοντας πανταχοῦ τὸν εὐαγγελικὸν λόγον, συνεργῶν αὐτοῖς καὶ ἐπιβεβαιῶν τὸ κήρυγμα αὐτῶν « Διὰ τῶν » ἐπακολουθούντων σημείων » (8).

Ἐπὶ πᾶσι τούτοις παρατήρησον τὴν εἰς

(1) Β'. Κορ. 12, 9. (2) Ματθ. 28, 20. (3) Λουκ. 17, 10. (4) Ἰωάν. 15, 14. (5) Ἑβρ. 1, 1.
(6) Γαλ. 4, 4. (7) Ἑβρ. 12, 2. (8) Μάρκ. 16, 20.



τοὺς νόμους τοῦ Θεοῦ τελείαν ὑπακοὴν πάντων τῶν κτισμάτων. Αὐτὴν ἔδωκεν ὁ Θεὸς εἰς πάντας τοὺς ἀνθρώπους παράδειγμα ἔμπρακτον, ζῶν καὶ ὁρώμενον ἀπ' ἀρχῆς κόσμου ἄχρι τῆς σήμερον. Αὐτὰ ἀπ' ἀρχῆς ἕως τοῦ νῦν ἀκαταπαύστως μετὰ πάσης ἀκριβείας ἐκπληροῦσι τὸν ἐν αὐτοῖς ἐντεθέντα νόμον, ποιοῦντα τὸ ἔργον, δι' ὃ καὶ ἐκτίσθησαν. Ἐὰν δ' ἐνίοτε ἠθέτησαν πρὸς καιρὸν τὸν ἐν αὐτοῖς νόμον, τοῦτο οὐκ ἦν παρακοή, ἀλλ' ὑπακοὴ εἰς τοῦ Θεοῦ τὸ πρόςταγμα· ἔπαυσεν ὁ ἥλιος καὶ ἡ σελήνη τὸ ἔργον τῆς φυσικῆς αὐτῶν κινήσεως, ἀλλὰ τοῦτο ἐποίησαν, ἐπειδὴ ὁ Θεὸς διὰ στόματος Ἰησοῦ τοῦ Ναυῆ εἶπε πρὸς αὐτά· « Στή» τω ὁ ἥλιος κατὰ Γαβαών, καὶ ἡ σελήνη » κατὰ φάραγγα Αἰλών » (1). Ἔβρεξαν αἱ νεφέλαι οὐχὶ ὕδωρ, ἀλλὰ πῦρ καὶ θεῖον· πλὴν τοῦτο ἐποίησαν, ἐπειδὴ ὁ Θεὸς οὕτως ἠθέλησε· « Καὶ Κύριος ἔβρεξεν ἐπὶ Σόδομα » καὶ Γόμοῤῥα θεῖον καὶ πῦρ παρὰ Κυρίου » ἐξ οὐρανοῦ » (2). Ἐσχίσθη ἡ Ἐρυθρὰ θάλασσα, καὶ ἐστάθη τὸ ὕδωρ αὐτῆς ὡς τεῖχος ἐκ δεξιῶν καὶ ἐξ εὐωνύμων· ἀλλὰ τοῦτο ἐγένετο, ἐπειδὴ κατὰ θεῖον πρόσταγμα « Ἐξέτεινεν ὁ Μωϋσῆς τὴν χεῖρα αὐτοῦ » ἐπὶ τὴν θάλασσαν· καὶ ἐσχίσθη τὸ ὕδωρ· » καὶ τὸ ὕδωρ αὐτῆς τεῖχος ἐκ δεξιῶν, καὶ » τεῖχος ἐξ εὐωνύμων » (3). Τὸ πῦρ ἔκαιε τὴν βάτον, καὶ οὐ κατέφλεγεν αὐτήν· τὸ πῦρ ἔκαιε καὶ ἐδρόσιζεν· ἔκαιε τοὺς περὶ τὴν κάμινον τῆς Βαβυλῶνος, καὶ ἐδρόσιζε τοὺς ἐν αὐτῇ τρεῖς παῖδας· πλὴν ταῦτα, καὶ ὅσα τοιαῦτα ἀκούετε, οὐκ εἰσὶν ἀνυποταξία τῶν κτισμάτων, ἀλλ' ὑπακοή τελεία εἰς τὴν θείαν νεῦσιν καὶ θέλησιν. Μόνος ὁ ἄνθρωπος, ὅςις χρεωστεῖ εἰς τὸν Θεὸν ὑπακοὴν περισσοτέραν πάντων τῶν ἄλλων κτισμάτων, ἄνευ θείας ἐντολῆς, μᾶλλον δὲ ἐναντίον τῆς ἐντολῆς, τοῦ Θεοῦ, οὐ μόνον παύει ἀπὸ τοῦ ἔργου αὐτοῦ, ἀλλὰ καὶ πράττει τὰ ἐναντία τοῦ ὁρισθέντος αὐτῷ ἔργου, ἤγουν ἀντὶ ἀρετῆς πράττει πᾶν εἶδος ἁμαρτίας.

Ἀλλὰ τοῦτο, λέγεις, γίνεται, ἐπειδὴ τὰ ἄλλα κτίσματα ἀναγκάζονται ὑπὸ τῶν ἐν αὐτοῖς δυνάμεων, ἵνα πράττωσι τὸ διορισθὲν αὐτοῖς ἔργον· ὁ δὲ ἄνθρωπος, ἐπειδὴ ἐπλάσθη αὐτεξούσιος, ὑπ' οὐδενὸς βιαζόμενος, κλίνει, ὅπου θέλει. Βλέπε ὅμως, ὅτι ὁ Θεὸς οὐκ ἔδωκεν εἰς τὸν ἄνθρωπον μόνον τὸ αὐτεξούσιον, ἀλλὰ συνώδευσεν αὐτό, καὶ ἥνωσε μετ' αὐτοῦ τὴν λογικὴν καὶ διακριτικὴν δύναμιν. Ἀληθῶς ἔπλασεν ὁ Θεὸς τὸν ἄνθρωπον αὐτεξούσιον, πλὴν ἔπλασεν αὐτὸν καὶ λογικὸν καὶ διακριτικόν. Ἔχεις τὸ αὐτεξούσιον, πλὴν ἔχεις καὶ τὸν λόγον καὶ τὴν διάκρισιν. Καὶ διὰ μὲν τῆς διακρίσεως διακρίνεις, ποῖόν ἐστι τὸ καλόν, καὶ ποῖον τὸ κακόν, καὶ γνωρίζεις, ὅτι τὸ καλόν ἐστιν ὠφέλιμον καὶ ἔνδοξον, τὸ δὲ κακὸν, βλαβερὸν καὶ ἄτιμον· ὁ δὲ λόγος πείθει σε, καὶ τρόπον τινὰ ἀναγκάζει σε, ἵνα φύγῃς τὴν ἁμαρτίαν, καὶ ποιήσῃς τὴν ἀρετήν. Ἀληθῶς τὰ λοιπὰ κτίσματα οὐκ ἔχουσι τὸ αὐτεξούσιον, πλὴν οὐκ ἔχουσιν οὐδὲ τὴν διάκρισιν οὐδὲ τὸν λόγον, ὁδηγοῦντα πρὸς τὴν ἐκπλήρωσιν τοῦ ἰδίου ἔργου· σὺ δὲ ἔχεις μὲν τὸ αὐτεξούσιον, ἔχεις ὅμως καὶ δύο ἀσβέστους λαμπάδας, τὸν λόγον καὶ τὴν διάκρισιν, δύο ἀκοιμήτους ὁδηγούς, οἵτινες φωτίζουσι καὶ ὁδηγοῦσί σε πρὸς τὴν τῶν καλῶν ἔργων ἐκλογήν. Ἔχεις δὲ πρὸς τούτοις καὶ διδάσκαλον ἔμπειρον τὴν συνείδησίν σου, ἥτις, ὅταν μὲν πράττῃς τὰ ἀγαθὰ ἔρ-

(1) Ἰησ. 10, 12. (2) Γεν. 19, 24. (3) Ἐξ. 14, 21, 22

γα, γεμίζει τὴν καρδίαν σου ἡσυχίας, τὸν νοῦν σου εἰρήνης, τὴν ψυχήν σου ἀγαλλιάσεως· ὅταν δὲ ποιῇς τὴν ἁμαρτίαν, τότε ἐλέγχει καὶ βασανίζει σε, πληροῦσα τὴν καρδίαν σου ταραχῆς, καὶ τὴν ψυχήν σου φόβου, καὶ τὸ πρόσωπόν σου ἐντροπῆς.

Κύριε Θεέ μου, σὺ ἔπλασάς με καὶ ἔθηκάς μοι ζωὴν καὶ πνοὴν καὶ ψυχὴν « Ἐπ' » ἔργοις ἀγαθοῖς »· σὺ ὑπὸ τῆς ἁμαρτίας συντριβέντα με ἀνέκτισας διὰ τοῦ ζωοποιοῦ αἵματος τοῦ μονογενοῦς σου Υἱοῦ, ἵνα ποιῶ τὸ θέλημά σου· ἔδωκας νόμον, ἀπέστειλας προφήτας, ἐκήρυξας Εὐαγγέλιον, ἀνέδειξας Ἀποστόλους, ἐχειροτόνησας διδασκάλους, ἵνα ἐγὼ πράττω τῆς ἀρετῆς τὰ ἔργα. Κύριε Θεέ μου, ἀνοίγω τὰ ὄμματα τοῦ σώματός μου, καὶ βλέπω, ὅτι πάντα τὰ κτίσματα μετὰ πάσης ἀκριβείας ὑποτάσσονται εἰς τοὺς νόμους, τοὺς ὑπὸ σοῦ ἐν αὐτοῖς ἐντεθέντας. Ἀνοίγω τὰ ὄμματα τῆς ψυχῆς μου, καὶ βλέπω, ὅτι ἐφύτευσας ἐν ἐμοὶ πάσας τὰς δυνάμεις, ὅσαι εἰσὶν ἀναγκαῖαι πρὸς κατόρθωσιν πάσης ἀγαθοεργίας. Ἡ διάκρισις, ὁ λόγος, ἡ συνείδησις πείθουσί με, ἵνα ποιῶ τὸ πανάγιόν σου θέλημα· τὰ νάματα τοῦ θείου λόγου σου καὶ τῆς ἁγίας σου χάριτος ποτίζουσί με « Ὡς τὸ ξύλον » τὸ πεφυτευμένον παρὰ τὰς διεξόδους τῶν » ὑδάτων » (1)· ἐγὼ δὲ ὁ πανάθλιος οὐ καρποφορῶ τὸν ζωηρὸν καρπὸν τῆς ἀρετῆς, ἀλλὰ βλαστάνω τὰς θανατηφόρους ἀκάνθας τῆς ἁμαρτίας. Οὐαί μοι· τί περιμένω;

Τί περιμένομεν, ὅσοι καταφρονοῦμεν καὶ νόμον, καὶ προφήτας, καὶ Εὐαγγέλιον, καὶ Ἀποστόλους, καὶ διδασκάλους, καὶ αὐτὴν τὴν σωματικὴν καὶ ψυχικὴν αἴσθησιν; τί περιμένομεν, ὅσοι ἐσβέσαμεν τὸ φῶς τῆς διακρίσεως, καὶ ἐξενευρίσαμεν τὴν δύναμιν τοῦ λόγου, καὶ γεγόναμεν ἀναίσθητοι εἰς τοὺς ἐλέγχους τῆς συνειδήσεως; Ἀγαπητοί μου ἀδελφοί, ἡ ἀπόφασις ἐξεφωνήθη· «Πᾶν » οὖν δένδρον μὴ ποιοῦν καρπὸν καλόν, ἐκκόπτεται, καὶ εἰς πῦρ βάλλεται » (2). Ὦ Κύριε τοῦ ἐλέους, σπλαγχνίσθητι, πάντα δύνασαι, οὐδέν σοι ἀδυνατεῖ, ἐκ σοῦ τὰ πάντα· δὸς μετάνοιαν, δὸς ἐπιστροφήν, δὸς κατάνυξιν, δὸς δάκρυα, δὸς τῶν καλῶν ἔργων τὴν καρποφορίαν, λύτρωσαι τὸ πλάσμα σου τῆς φοβερᾶς ἐκκοπῆς, καὶ τοῦ πυρὸς τοῦ αἰωνίου. Ἀμήν.

(1) Ψαλμ. 1, 3. (2) Ματθ. 3, 10.



# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΗΝ ΠΡΟΣ

# ΕΦΕΣΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗι ΚΔ'. ΚΥΡΙΑΚΗι.

ΔΥΟ μόναι θρησκεῖαι ἦσαν εἰς τὸν κόσμον, ὅτε ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, ἄνθρωπος γενόμενος, ἐκήρυξε τὴν εὐαγγελικὴν ἀλήθειαν· ἐκ τούτου εἰς δύο λαοὺς ἐμερίζοντο πάντες οἱ ἐπὶ γῆς ἄνθρωποι, εἰς τὸν ἰουδαϊκόν, καὶ εἰς τὸν τῶν εἰδωλολατρῶν, οἵτινες ἐθνικοὶ ἐλέγοντο. Οἱ Ἰουδαῖοι ἐπίστευον εἰς τὸν ἀληθινὸν Θεόν, ὅθεν καὶ λαὸς Θεοῦ ὠνομάσθησαν, καὶ πολλὰ χαρίσματα ἐκ Θεοῦ ἔλαβον. Ἠρίθμησε ταῦτα ὁ Παῦλος, λέγων· «Οἵτινές εἰσιν Ἰσραηλῖται, » ὧν ἡ υἱοθεσία καὶ ἡ δόξα, καὶ αἱ διαθῆκαι, καὶ ἡ νομοθεσία, καὶ ἡ λατρεία καὶ » αἱ ἐπαγγελίαι » (1). Οἱ δὲ ἐθνικοί, θεοποιοῦντες τὰ κτίσματα, ἐλάτρευον τοῖς εἰδώλοις, καὶ εἰς τοσαύτην τυφλότητα καὶ ἀναισθησίαν κατήντησαν, ὥστε ἐθυσίαζον « Τοὺς υἱοὺς αὐτῶν καὶ τὰς θυγατέρας αὐτῶν τοῖς δαιμονίοις » (2). Διὰ τοῦτο ἐστερημένοι ἦσαν παντὸς θείου χαρίσματος, καὶ ἀπὸ Θεοῦ πολλὰ μεμακρυσμένοι. Οὗτοι οἱ δύο λαοὶ διὰ τὴν διαφορὰν τῆς θρησκείας, τῶν νόμων, τῶν ἠθῶν, καὶ τῶν συνηθειῶν, κεχωρισμένοι ἦσαν ἀπ' ἀλλήλων, καὶ ἀντιφερόμενοι, ἄμοιροι δὲ καὶ τῆς αἰωνίου σωτηρίας· διότι οὐδὲ οἱ Ἰουδαῖοι ἠδύναντο σωθῆναι, ἐὰν μὴ ἐπίστευον εἰς τὸν ὑπ' αὐτῶν προσδοκώμενον Χριστόν· οὐδὲ οἱ ἐθνικοί, ἐὰν μὴ ἀφέντες τὴν ἰδίαν πλάνην, ἐπίστευον, ὅτι ὁ Χριστός ἐστιν ὁ ἀληθινὸς Θεός. Τούτους τοὺς δύο λαοὺς ἥνωσε καὶ ἔσωσεν ὁ Ἰησοῦς Χριστός. Οἱ Ἐφέσιοι, πρὸς οὓς ὁ θεσπέσιος Παῦλος ἔγραψεν, εἰδωλολάτραι ὄντες, ἐπίστευσαν εἰς τὸν Ἰησοῦν Χριστόν. Διὸ πρῶτον μὲν ἱστόρησεν, εἰς ποίαν κατάστασιν ἦσαν, ὅτε ἐλάτρευον τοῖς εἰδώλοις· « Ὅτι, ἦτε λέγει, ἐν τῷ » καιρῷ ἐκείνῳ χωρὶς Χριστοῦ, ἀπηλλοτριωμένοι τῆς πολιτείας τοῦ Ἰσραήλ, καὶ » ξένοι τῶν διαθηκῶν τῆς ἐπαγγελίας, ἐλπίδα μὴ ἔχοντες, καὶ ἄθεοι ἐν τῷ κόσμῳ » (3). Ἔπειτα εἶπε, ποίαν ἀπόλαυσιν ἔλαβον ἐκ τῆς εἰς Χριστὸν πίστεως· «Νυνὶ » δὲ ἐν Χριστῷ Ἰησοῦ ὑμεῖς οἱ ποτὲ ὄντες » μακράν, ἐγγὺς ἐγενήθητε ἐν τῷ αἵματι » τοῦ Χριστοῦ ». Μετὰ δὲ ταῦτα ἐπιφέρει εὐθὺς τό, « Αὐτὸς γάρ ἐςιν ἡ εἰρήνη ὑμῶν », καὶ τα λοιπά, ὅσα σήμερον ἀνεγνώσθησαν. Δι' αὐτῶν δὲ περιγράφει τὸν τρόπον τῆς ἑνώσεως καὶ σωτηρίας τῶν δύο λαῶν, λέγων.

(1) Ῥωμ. 9, 4. (2) Ψαλμ. 105, 37. (3) Ἐφεσ. 2, 12, 13.

*Ἀδελφοί, Χριστός ἐστιν ἡ εἰρήνη ἡμῶν, ὁ ποιήσας τὰ ἀμφότερα ἕν, καὶ τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσας* (1).

« Τὰ ἀμφότερά » εἰσιν οἱ δύο λαοί, ὁ ἰουδαϊκός, καὶ ὁ ἐθνικός· « Εἰρήνη δὲ ἡμῶν », ἤγουν ἡμῶν τῶν ἀνθρώπων, Ἰουδαίων δηλονότι καὶ ἐθνικῶν, ἐστὶν ὁ Χριστός· καθότι αὐτὸς εἰρήνευσε τὰ δύο ταῦτα ἀντιμαχόμενα ἔθνη, ἑνώσας αὐτὰ διὰ τῆς εἰς αὐτὸν πίστεως, καὶ ἓν γένος, τὸ χριστιανικόν, ἐξ αὐτῶν ἀναδείξας. Τίνι δὲ τρόπῳ κατώρθωσε τοῦτο; « Τὸ μεσότοιχον, λέγει, » τοῦ φραγμοῦ λύσας ». Ἵνα δὲ καταλάβῃς τοῦτο τὸ φραγμῶδες μεσότοιχον, νόησον πᾶσαν τὴν οἰκουμένην ὡς μίαν οἰκίαν, διῃρημένην διὰ τοίχου τινὸς εἰς δύο μέρη· καὶ εἰς μὲν τὸ ἓν μέρος κειμένους τοὺς Ἰουδαίους, εἰς δὲ τὸ ἕτερον, τοὺς ἐθνικούς. Ταῦτα οὕτω νοήσας, βλέπεις, ὅτι ὁ ἐν τῷ μέσῳ τοῖχος, ὁ διαχωρίζων τὸ ἰουδαϊκὸν γένος ἀπὸ τοῦ ἐθνικοῦ, ἐστὶ τὸ μεσότοιχον τοῦ φραγμοῦ. Ἐπειδὴ δὲ μεταφορικῶς ἐξέλαβεν ὁ Ἀπόστολος τὸ « Μεσότοιχον », διερμηνεύει αὐτό, λέγων·

*Τὴν ἔχθραν ἐν τῇ σαρκὶ αὐτοῦ, τὸν νόμον τῶν ἐντολῶν ἐν δόγμασι καταργήσας* (2).

Τὸ μεσότοιχον σημαίνει τὴν ἔχθραν, τὴν μεταξὺ τῶν Ἰουδαίων καὶ τῶν ἐθνικῶν· οἱ μὲν Ἰουδαῖοι ἐβδελύσσοντο τοὺς ἐθνικούς, ὡς ἀπίστους καὶ ἀκαθάρτους· οἱ δὲ ἐθνικοὶ ἀπεστρέφοντο τοὺς Ἰουδαίους, ὡς δεισιδαίμονας καὶ ἀκοινωνήτους. Ταύτην οὖν τὴν ἔχθραν ἔλυσεν ὁ Χριστὸς « Ἐν τῇ σαρκὶ » αὐτοῦ », ἤγουν διὰ τῆς ἑαυτοῦ ἐνανθρωπήσεως. Τίνι δὲ τρόπῳ ἔλυσεν αὐτήν; « Τὸν » νόμον, λέγει, τῶν ἐντολῶν ἐν δόγμασι » καταργήσας ». Ἀλλ' ὁ Χριστὸς οὐκ ἦλθε » Καταλῦσαι τὸν νόμον, ἢ τοὺς προφήτας, » ἀλλὰ πληρῶσαι ». Τίς ἐστιν οὖν οὗτος ὁ νόμος, ὃν ὁ Χριςὸς κατήργησε; Σημείωσαι, ὅτι οὐκ εἶπε, καταργήσας τὸν νόμον, ἀλλὰ « Καταργήσας, εἶπε, τὸν νόμον τῶν ἐν» τολῶν »· νόμον δὲ τῶν ἐντολῶν ὠνόμασε τὴν σαρκικὴν περιτομήν, τὰς τῶν ζώων θυσίας, τὴν νομικὴν ἱερωσύνην, πάσας τὰς σκιώδεις τελετάς, ὅσας ὁ μωσαϊκὸς νόμος ἐντελλόμενος, ἐγίνετο ἀβάστακτος, ὡς ἐμαρτύρησεν ὁ θεομακάριστος Πέτρος (3). Ταῦτα οὖν τὰ ποιοῦντα τὴν ἔχθραν μεταξὺ Ἰουδαίων καὶ ἐθνικῶν κατήργησεν ὁ Χριστός, οὐχὶ δὲ τὰς ἐντολὰς τοῦ Θεοῦ, αἵτινές εἰσιν αἰώνιοι. Κατήργησε ταῦτα ἐν δόγμασιν, ἤγουν διὰ τῶν εὐαγγελικῶν δογμάτων· τὴν μὲν σαρκικὴν περιτομήν, διὰ τοῦ θείου βαπτίσματος· τὴν δὲ τῶν ζώων θυσίαν, διὰ τῆς ἀναιμάκτου ἱερουργίας· τὴν δὲ τυπικὴν ἱερωσύνην, διὰ τῆς ἐν χάριτι ἱερατικῆς ἐξουσίας· τὰς δὲ συμβολικὰς τελετάς, διὰ τῆς ἐν πνεύματι ἀληθινῆς λατρείας. Ἄκουσον δὲ καὶ τό, διὰ ποῖον σκοπὸν εὐδόκησεν ὁ Θεάνθρωπος λῦσαι ταύτην τὴν ἔχθραν, καὶ συνάψαι εἰς ἓν τὰ δύο κεχωρισμένα γένη.

*Ἵνα τοὺς δύο κτίσῃ ἐν ἑαυτῷ εἰς ἕνα καινὸν ἄνθρωπον, ποιῶν εἰρήνην· καὶ ἀποκαταλλάξῃ τοὺς ἀμφοτέρους ἐν ἑνὶ σώματι τῷ Θεῷ διὰ τοῦ σταυροῦ, ἀποκτείνας τὴν ἔχθραν ἐν ἑαυτῷ* (4).

(1) Ἐφεσ. 2, 14. (2) Αὐτ. 15. (3) Πράξ. 15, 10. (1) Ἐφεσ. 2, 15, 16.



Τίς ἐστιν οὗτος ὁ καινὸς ἄνθρωπος; Ἡ ἀνθρώπινος φύσις ἐστὶ τοῦ Ἰησοῦ Χριστοῦ, ἡ ἐκ τῶν παναχράντων αἱμάτων τῆς ἀειπαρθένου Μαρίας πλασθεῖσα, καθὼς καὶ ἡ τοῦ Ἀδὰμ ἐκ τοῦ καθαροῦ χοὸς τῆς γῆς. « Ὁ πρῶτος ἄνθρωπος, ἐκ γῆς χοϊκός· ὁ » δεύτερος ἄνθρωπος, ὁ Κύριος ἐξ οὐρα» νοῦ » (1)· Καθὼς δὲ εἰς τὸν πρῶτον ἄνθρωπον, τὸν Ἀδάμ, ἐθεωρεῖτο σωματικῶς ἅπαν τῶν ἀνθρώπων τὸ γένος, οὕτω καὶ ἐν τῷ νέῳ Ἀδάμ, τῷ Ἰησοῦ Χριστῷ θεωροῦνται πάντες οἱ ἄνθρωποι πνευματικῶς. Καθὼς δὲ ὁ πρῶτος, παλαιὸς μὲν λέγεται, καθότι ἀπ' ἀρχῆς κόσμου ἐπλάσθη, φθειρόμενος δέ, ἐπειδὴ ἐφθάρη ὑπὸ τῆς ἁμαρτίας, φθείρει δὲ καὶ τοὺς κατ' αὐτὸν ζῶντας (2)· οὕτω καὶ ὁ δεύτερος, καινὸς μὲν λέγεται, ἐπειδὴ ἐγεννήθη, « Ὅτε ἦλθε τὸ πλήρωμα » τοῦ χρόνου » (3)· κατὰ Θεὸν δὲ κτισθείς, ἐπειδή ἐστιν ὅλος θεῖος καὶ οὐράνιος, τοιούτους δὲ ποιεῖ καὶ τοὺς κατ' αὐτὸν πολιτευομένους. Συνήνωσεν οὖν ὁ Χριστὸς πνευματικῶς ἐν αὐτῇ τῇ ἀνθρωπίνῃ αὐτοῦ φύσει « Τοὺς δύο », ἤγουν καὶ τὸν ἰουδαϊκὸν καὶ τὸν ἐθνικὸν λαόν, ἓν σῶμα συστήσας· διὰ τοῦτο ὁ θεηγόρος Παῦλος ἔλεγεν· « Οὐκ ἔνι » Ἰουδαῖος, οὐδὲ Ἕλλην· οὐκ ἔνι δοῦλος, » οὐδὲ ἐλεύθερος· οὐκ ἔνι ἄρσεν καὶ θῆλυ· » πάντες γὰρ ὑμεῖς εἷς ἐστε ἐν Χριστῷ » Ἰησοῦ (4). Ὑμεῖς δέ ἐστε σῶμα Χριστοῦ, » καὶ μέλη ἐκ μέρους » (5). Ἔλυσε δέ, λέγει, τὴν ἔχθραν ὁ Χριστός, τὴν μεταξὺ τούτων τῶν δύο ἀντιμαχομένων λαῶν, καὶ εἰρήνευσεν αὐτούς, « Ἵνα τοὺς δύο κτίσῃ » ἐν ἑαυτῷ », ἤγουν, ἵνα, διὰ τῆς προσληφθείσης σαρκὸς αὐτοῦ, ἀνακτίσῃ τούτους τοὺς δύο λαούς, καὶ καταστήσῃ αὐτοὺς ἕνα καινὸν ἄνθρωπον, ὅλον οὐράνιον καὶ θεῖον· « Καὶ ἵνα ἐν ἑνὶ σώματι διὰ τοῦ σταυροῦ », τουτέστιν, ἵνα διὰ τοῦ ἑνὸς σώματος αὐτοῦ, τοῦ ἐν τῷ σταυρῷ ἀναρτηθέντος, ἀποκαταλλάξῃ καὶ φιλιώσῃ αὐτοὺς μετὰ τοῦ Θεοῦ, « Ἀποκτείνας τὴν ἔχθραν ἐν ἑαυτῷ », λύσας δηλονότι διὰ τῆς ἐν τῷ ςαυρῷ θυσίας τοῦ παναχράντου αὐτοῦ σώματος καὶ αὐτὴν τὴν διὰ τὴν ἁμαρτίαν ἔχθραν, τὴν μεταξύ Θεοῦ καὶ ἀνθρώπων.

*Καὶ ἐλθὼν εὐηγγελίσατο εἰρήνην ὑμῖν τοῖς μακράν, καὶ τοῖς ἐγγύς· ὅτι δι' αὐτοῦ ἔχομεν τὴν προσαγωγὴν οἱ ἀμφότεροι ἐν ἑνὶ πνεύματι πρὸς τὸν πατέρα* (6).

Μακρὰν μὲν ἦσαν τῆς σωτηρίας οἱ ἐθνικοὶ διὰ τὴν ἀπιστίαν· ἐγγὺς δὲ οἱ Ἰουδαῖοι, διὰ τὴν θεογνωσίαν. Οὐκ ἄλλος δέ, οὐδὲ ἄνθρωπος, οὐδὲ ἄγγελος, ἀλλ' αὐτὸς ὁ τοῦ Θεοῦ Υἱὸς ἐλθὼν εἰς τὸν κόσμον, καὶ διὰ μὲν τῶν δογμάτων αὐτοῦ καταργήσας τὴν μεταξὺ τῶν δύο λαῶν ἔχθραν, διὰ δὲ τοῦ σταυρικοῦ αὐτοῦ θανάτου ἀποκτείνας τὴν ἔχθραν, τὴν μεταξὺ Θεοῦ καὶ ἀνθρώπων, ἐκήρυξε καὶ πρὸ τοῦ πάθους καὶ μετὰ τὴν ἀνάστασιν αὐτοῦ ἐπίσης καὶ εἰς τοὺς μεμακρυσμένους ἀπ' αὐτοῦ ἐθνικούς, καὶ εἰς τοὺς πλησίον αὐτοῦ Ἰουδαίους τῆς εἰρήνης τὰ εὐαγγέλια. Ταῦτα δὲ ἐκήρυξεν ὁ θεάνθρωπος, καθότι δι' αὐτοῦ « Οἱ ἀμφότεροι, » Ἰουδαῖοι δηλονότι ἅμα τε καὶ οἱ Ἕλλη» νες ἐν ἑνὶ πνεύματι ἔχομεν τὴν προσαγω» γὴν πρὸς τὸν πατέρα », ὅπερ ἐστί, μιᾶς καὶ τῆς αὐτῆς χάριτος τοῦ παναγίου Πνεύματος ἀξιωθέντες, προσφερόμεθα πρὸς τὸν

(1) Α'. Κορ. 15, 47. (2) Ἐφεσ. 4, 22, 24. (3) Γαλ. 4, 4. (4) Αὐτ. 3, 28. (5) Α'. Κορ. 12, 27.
(6) Ἐφεσ. 2, 17, 18.

Θεὸν καὶ πατέρα αὐτοῦ· δι' αὐτοῦ μόνου τοῦ Ἰησοῦ Χριστοῦ προσφερόμεθα πρὸς τὸν Θεὸν καὶ πατέρα, ὡς αὐτὸς ἐβεβαίωσεν εἰπών· « Οὐδεὶς ἔρχεται πρὸς τὸν πατέρα, εἰ μὴ δι' ἐμοῦ » (1). Ταῦτα δὲ εἰπὼν ὁ πνευματοῤῥήτωρ Ἀπόστολος, ἐπιφέρει τὸ εὐλογοφανέστατον συμπέρασμα. λέγων·

*Ἄρα οὐκ ἔτι ἐστὲ ξένοι καὶ πάροικοι, ἀλλὰ συμπολῖται τῶν ἁγίων καὶ οἰκεῖοι τοῦ Θεοῦ· ἐποικοδομηθέντες ἐπὶ τῷ θεμελίῳ τῶν Ἀποστόλων καὶ προφητῶν, ὄντος ἀκρογωνιαίου αὐτοῦ Ἰησοῦ Χριστοῦ* (2).

Ἀπεξενωμένοι ἀπὸ τοῦ Θεοῦ ἦσαν πάντες οἱ ἐθνικοί, καὶ πάροικοι εἰς τὰ τῆς πεπλανημένης αὐτῶν θρησκείας δόγματα, ὡς ἀκαταστατοῦντες, καὶ καθ' ἡμέραν νέους θεοὺς πλάττοντες. Ὅτε δὲ ἐπίστευσαν εἰς τὸν Ἰησοῦν Χριστόν, τότε ἐγένοντο «Συμπολῖται τῶν ἁγίων, καὶ οἰκεῖοι τοῦ Θεοῦ». Ἀλλὰ ποίας πόλεως, καὶ ποίων ἁγίων γεγόνασι συμπολῖται; Οὐδὲν σφάλλεις, ἐὰν πόλιν μὲν νοήσῃς τὴν πόλιν, τὴν μέλλουσαν, τὴν ἐπιζητουμένην, ἤγουν τὴν ἄνω Ἱερουσαλὴμ (3)· ἁγίους δέ, τοὺς πρὸ νόμου πατριάρχας, καὶ τοὺς ἐν νόμῳ προφήτας, καὶ τοὺς μετὰ τὴν εὐαγγελικὴν χάριν Ἀποστόλους καὶ λοιποὺς ἁγίους. Ὅμως ὁ ἀποστολικὸς λόγος ἀφορᾷ μᾶλλον εἰς τὴν πόλιν τοῦ Θεοῦ, ἣν εὐφραίνουσι τοῦ ποταμοῦ τὰ ὁρμήματα, ἤγουν εἰς τὴν Χριστοῦ ἐκκλησίαν, ὅπου ἅγιοί εἰσι πάντες οἱ εἰς Χριστὸν πιστεύοντες, ὡς ἡγιασμένοι διὰ τῆς πίστεως καὶ τοῦ θείου βαπτίσματος, καὶ τῆς ἐργασίας τῶν θεαρέστων πράξεων.

Διὰ τί δὲ πρὸ τῶν προφητῶν, τῶν προκηρυξάντων τὰ περὶ τοῦ Ἰησοῦ Χριστοῦ, ἔταξε τοὺς Ἀποστόλους; διότι διὰ τῶν Ἀποστόλων ἔμαθον τὰ ἔθνη τὴν εἰς Χριστὸν πίστιν (4)· εἶχον δὲ οἱ Ἀπόςολοι καὶ χάριν Θεοῦ πλείονα τῶν προφητῶν κατὰ τό, «Καὶ ἰδού, πλεῖον Ἰωνᾶ ὧδε » (5). Διὰ τί δὲ ἀλλαχοῦ μὲν ὠνόμασε τὸν Χριστὸν θεμέλιον, ἐν ἄλλοις δέ, κεφαλήν (6)· ἐνταῦθα δέ, ἀκρογωνιαῖον (7); διότι ἀληθῶς καὶ θεμέλιόν ἐστιν ὁ Χριστὸς τῆς ἀληθινῆς πίστεως, καὶ κεφαλὴ τοῦ σώματος τῆς ἐκκλησίας· ἐνταῦθα δὲ ἀκρογωνιαῖον αὐτὸν ὠνόμασεν, ἐπειδὴ ἀνωτέρω εἶπεν, ὅτι αὐτὸς ἥνωσε τοὺς δύο λαούς, καὶ ἐποίησεν αὐτοὺς ἕν. Τοῦτο δὲ ποιεῖ καὶ ὁ ἀκρογωνιαῖος λίθος, ὁ ἐν τῇ γωνίᾳ τῆς οἰκίας τιθέμενος, συνάπτει δηλαδὴ εἰς ἓν τοὺς δύο τοίχους τῆς οἰκίας. Ἄκουσον δὲ τὴν κατὰ σειρὰν ἔκφρασιν τῶν προκειμένων ἀποστολικῶν λόγων, οἵτινες ἐγράφησαν μὲν πρὸς τοὺς Ἐφεσίους, ἀνάγονται δὲ πρὸς πάντας τοὺς ἐξ ἐθνῶν πιστεύσαντας. Ἄρα, λέγει, ὦ Ἐφέσιοι, ἐπειδὴ εἰς τὸν Χριστὸν ἐπιστεύσατε, τοῦ λοιποῦ οὐκ ἐστὲ ξένοι τοῦ Θεοῦ, καὶ περιπλανώμενοι εἰς τὴν εἰδωλικὴν ἀκαταστασίαν· ἀλλ' εἰσελθόντες εἰς τὸν οἶκον τοῦ Θεοῦ, γεγόνατε συμμέτοχοι τῆς πολιτείας καὶ τῶν χαρισμάτων τῶν πιστῶν, καὶ φίλοι γνήσιοι τοῦ Θεοῦ. Ἔχετε νῦν οἰκίαν στερεάν, τὴν Χριστοῦ ἐκκλησίαν, τεθεμελιωμένην ἐπάνω εἰς τὸ θεμέλιον τῆς πίςεως, τῆς κηρυχθείσης μὲν ὑπὸ τῶν Ἀποστόλων, προκηρυχθείσης δὲ ὑπὸ τῶν προφητῶν· οἰκίαν, ἥτις ἔχει λίθον ἀκρογωνιαῖον τὸν Χριστόν, ὅστις ἥνωσε τοὺς δύο λαοὺς εἰς ἕν· αὐτός ἐστιν ὁ ἀκρογωνιαῖος λίθος.

(1) Ἰωάν. 14, 6. (2) Ἐφεσ. 2, 19, 20. (3) Ἑβρ. 13, 14. (4) ὅρ. Θεοδώριτ. (5) Ματθ. 12, 41. (6) Α'. Κορ. 3, 11. (7) Ἐφεσ. 1, 22.



*Ἐν ᾧ πᾶσα ἡ οἰκοδομὴ συναρμολογουμένη αὔξει εἰς ναὸν ἅγιον ἐν Κυρίῳ· ἐν ᾧ καὶ ὑμεῖς συνοικοδομεῖσθε εἰς κατοικητήριον τοῦ Θεοῦ ἐν πνεύματι* (1).

Ἐν αὐτῷ, λέγει, τῷ ἀκρογωνιαίῳ λίθῳ, τῷ Ἰησοῦ Χριστῷ, « Πᾶσα ἡ οἰκοδομή », ἤγουν πάντες οἱ πιστοὶ συναρμολογούμενοι, συναπτόμενοι δηλονότι ἁρμοδίως ὡς ἁρμοὶ καὶ μέλη τοῦ αὐτοῦ σώματος, αὔξουσι καὶ προκόπτουσιν « Ἐν Κυρίῳ », τουτέστι διὰ τῆς χάριτος τοῦ Κυρίου, καὶ γίνονται ναὸς ἅγιος καὶ ἄξιος τῆς κατοικίας τοῦ Θεοῦ. Ἐν αὐτῷ δὲ τῷ Χριστῷ καὶ ὑμεῖς, ὦ Ἐφέσιοι, συνάπτεσθε διὰ τῆς εἰς αὐτὸν πίστεως καὶ τῶν καλῶν ἔργων, ἵνα κατασταθῆτε πνευματικὸν τοῦ Θεοῦ κατοικητήριον. Βλέπε δέ, ὅτι ἐκεῖνοι αὔξουσι καὶ γίνονται ναὸς Θεοῦ, ὅσοι συναρμολογοῦνται μετὰ τοῦ Ἰησοῦ Χριστοῦ· ἐκεῖνοι δὲ συναρμολογοῦνται τῷ Χριστῷ, ὅσοι εἰς αὐτὸν πιστεύοντες, γίνονται διὰ τῶν ἀγαθῶν πράξεων θεῖα κατοικητήρια.

# ΟΜΙΛΙΑ

ΜΕΤΑ ΤΗΝ ΠΡΟΣ

## ΕΦΕΣΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗ͂: ΚΔ' ΚΥΡΙΑΚΗ͂:.

ΟΠΟΥ πάθη, ἐκεῖθεν φεύγει ἡ μακαρία εἰρήνη, κατοικεῖ δὲ ἐκεῖ, ὅπου ἐστὶν ἡ ἀπάθεια. Οἱ ἐμπαθεῖς ἄνθρωποι οὐδέποτε ἔχουσιν εἰρήνην, ἐπειδὴ ἀκαταπαύστως ἀνεμίζονται καὶ κυματοῦνται ὑπὸ τῆς τῶν παθῶν αὐτῶν ζάλης. Μόνος ὁ πανυπεραπαθέςατος καὶ πανυπεράγιος Θεὸς ἔχει τὴν ὑπερτελείαν εἰρήνην. Αὐτός ἐςιν ἡ αὐτοειρήνη, ἐπειδὴ αὐτός ἐςιν ἡ αὐτοαπάθεια· αὐτός ἐςιν «Ἄρχων εἰρήνης» (2), ὡς εἶπεν ὁ Ἡσαΐας, ἤγουν ἡ ἀρχὴ καὶ ἡ ῥίζα καὶ ἡ πηγὴ τῆς εἰρήνης. Ἐπειδὴ δὲ «Τῆς εἰρήνης αὐτοῦ οὐκ ἔςιν ὅριον», ἀλλ' ἔςιν ἀπεριόριςος καὶ ἀπέραντος, ἐκχέεται καὶ ἐφαπλοῦται ἡ εἰρήνη αὐτοῦ καὶ ἐπὶ τὸ γένος τῶν ἀνθρώπων. Ὁ μονογενὴς Υἱὸς αὐτοῦ ἐλθὼν εἰς τὸν κόσμον, ἐξέχεε τὴν εἰρήνην, εἰρηνοποιήσας διὰ τῆς ἐν τῷ σταυρῷ θυσίας αὐτοῦ τοὺς μακρὰν, καὶ τοὺς ἐγγύς, τοὺς δύο δηλαδὴ διαμαχομένους λαούς, τὸν ἐθνικὸν καὶ τὸν ἰουδαϊκόν, καὶ καταλλάξας καὶ φιλιώσας μετὰ τοῦ Θεοῦ ὅλον τῶν ἀνθρώπων τὸ γένος. Τοῦτο δέ, ἤγουν τό, ὅτι ὁ Χριστός ἐστιν ἡ εἰρήνη ἡμῶν, ἐν τῇ σήμερον ἀναγνωσθείσῃ ἐπιςολῇ αὐτοῦ, ὡς πρότασιν τοῦ λόγου αὐτοῦ προτείνας ὁ πάνσοφος Παῦλος, ἀπέδειξε σαφέστατα (3). Ἀληθῶς δὲ ὁ Χριστός ἐστιν ἡ εἰρήνη ἡμῶν· διότι αὐτός ἐστιν ὁ δοτὴρ τῆς

(1) Ἐφεσ. 2, 21, 22. (2) Ἡσ. 9, 6. (3) Ἐφεσ. 2, 14.

ἀληθινῆς εἰρήνης· αὐτὸς μόνος καὶ ἔδωκε, καὶ ἔτι ἐκχέει εἰς τὰς καρδίας ἡμῶν τῆς ἀληθινῆς εἰρήνης τὸ μέγα δῶρον. Ὑπόσχεται καὶ ὁ κόσμος εἰρήνην, πλὴν ἄλλη ἐστὶν ἡ εἰρήνη τοῦ κόσμου, καὶ ἄλλη ἡ εἰρήνη τοῦ Θεοῦ. Ἐδίδαξε τοῦτο φανερὰ ὁ Θεάνθρωπος, ὅταν ἔδωκε τὴν εἰρήνην αὐτοῦ εἰς τοὺς ἰδίους μαθητάς· διότι τότε εἶπε πρὸς αὐτούς· « Οὐ καθὼς ὁ κόσμος δίδωσιν, ἐγὼ » δίδωμι ὑμῖν » (1). Ἡ εἰρήνη τοῦ κόσμου οὐκ ἔστιν εἰρήνη, ἀλλὰ θόρυβος καὶ ταραχή· οὐκ ἔστιν εἰρήνη, ἀλλὰ φθορὰ καὶ ἀπώλεια. Ἀκούσατε, μετὰ πόσης ἀκριβείας ἀπέδειξε τοῦτο ὁ πανυπεράγαθος Θεός.

Ἡ πτωχεία, λέγει ὁ κόσμος, ἔχει στενοχωρίας, ἔχει ἀνάγκας, ἔχει θλίψεις· αὐτὰ δὲ ταράττουσι τὴν καρδίαν, καὶ ἁρπάζουσι τὴν ἡσυχίαν τοῦ ἀνθρώπου. Ἐὰν δὲ κατασταθῇς πλούσιος, τότε ποιεῖς, εἴτι θέλεις καὶ βούλεσαι· ὅθεν εἰρηνεύει ἡ καρδία σου, καὶ ἀναπαύεται ἡ ψυχή σου. Τοῦτο τοῦ κόσμου τὸ μάθημά ἐστι γλυκύ· διὸ ἡμεῖς ἀκούοντες αὐτό, πειθόμεθα, ὅτι εἰς τὸν πλοῦτον εὑρίσκομεν τὴν ζητουμένην εἰρήνην καὶ ἀνάπαυσιν. Ὁ δὲ πανοικτίρμων Θεός, ἵνα φανερώσῃ, πόσον ἀπατηλή ἐστιν ἡ τοιαύτη τοῦ κόσμου διδασκαλία, παρέστησεν ἡμῖν διὰ τοῦ Εὐαγγελίου αὐτοῦ τὴν κατάστασιν ἑνὸς ἀνθρώπου πλουσίου.

« Ἀνθρώπου τινός, εἶπε, πλουσίου εὐφό- » ρησεν ἡ χώρα » (2). Αὐτὸς ὁ ἄνθρωπος ἦν πλούσιος· ἐπειδὴ δὲ ἐκαρποφόρησεν ἡ γῆ αὐτοῦ, ἐγένετο πλουσιώτερος. Τί οὖν προεξένησεν αὐτῷ ὁ πολὺς πλοῦτος; ἆρά γε ἔφερεν εἰς αὐτὸν ἡσυχίαν; οὐχί· διαλογισμοὺς ἔφερεν εἰς αὐτὸν πολλούς· « Καὶ διε- » λογίζετο, λέγει, ἐν ἑαυτῷ » (4)· ἆρά γε ἔφερεν ἀνάπαυσιν; οὐχί· ἀπορίαν ἔφερε μεγάλην· « Τί ποιήσω, ἔλεγεν, ὅτι οὐκ ἔχω, » ποῦ συνάξω τοὺς καρπούς μου; » Τί ποιήσω, λέγει, καθὼς καὶ ὁ πτωχός· στενοχωρεῖται, καὶ οὐκ ἔχω, λέγει, καθὼς καὶ ὁ πένης· αὐτὸς ἀπορεῖ ἐκ τῆς εὐπορίας, ὁ πτωχὸς ἐκ τῆς ἀπορίας· αὐτὸς διὰ τὴν προσθήκην τοῦ πλούτου, ὁ πτωχὸς διὰ τὴν προσθήκην τῆς πτωχείας. Αὐτὸς ὅμως εὗρε τὴν λύσιν τῆς ἀπορίας αὐτοῦ· « Τοῦτο ποιήσω, εἶπε· κα- » θελῶ μου τὰς ἀποθήκας, καὶ μείζονας οἰ- » κοδομήσω· καὶ συνάξω ἐκεῖ πάντα τὰ » γεννήματά μου καὶ τ' ἀγαθά μου » (4). Ἀλλ' ἡ καθαίρεσις καὶ ἡ οἰκοδομὴ τῶν ἀποθηκῶν, ἡ σύναξις καὶ ἡ ἀπόθεσις τῶν γεννημάτων, καὶ τῶν ἄλλων ἀγαθῶν, οὐκἔςιν ἀνάπαυσις, ἀλλὰ φροντίς· οὐκ ἔστιν ἡσυχία καρδίας, ἀλλὰ ταραχή· τέλος πάντων εὑρίσκει τὴν ἀνάπαυσιν καὶ τὴν εἰρήνην· ἀλλὰ ποῦ; οὐχὶ εἰς τὰ πράγματα, ἀλλ' εἰς τὴν φαντασίαν αὐτοῦ· εὑρίσκει τὴν ἡσυχίαν οὐχὶ εἰς τὸν παρόντα καιρόν, τὸν ὑπὸ τὴν ἐξουσίαν αὐτοῦ, ἀλλ' εἰς τὸν μέλλοντα, τὸν ἄδηλον καὶ μηδόλως ὑπ' αὐτοῦ ἐξουσιαζόμενον· « Καὶ ἐρῶ, λέγει, τῇ ψυχῇ μου· ψυχή, ἔ- » χεις πολλὰ ἀγαθὰ κείμενα εἰς ἔτη πολλά· » ἀναπαύου, φάγε, πίε, εὐφραίνου » (5). Ἀλλὰ πότε αὐτὴ ἡ ἀνάπαυσις καὶ ἡ εὐφροσύνη; Τότε, ἀφ' οὗ καθέλῃ τὰς ἀποθήκας, καὶ οἰκοδομήσῃ μείζονας· τότε, ἀφ' οὗ συνάξῃ ἐκεῖ πάντα τὰ γεννήματα καὶ τὰ ἀγαθὰ αὐτοῦ. Ἀλλ'ἆρά γε ἦλθέ ποτε ἐκεῖνος ὁ καιρός, ὃν αὐτὸς περιέμενεν; οὐχί· διότι ἐκείνην τὴν νύκτα, ἐν ᾗ ταῦτα διελογίζετο, ἐθέρισε τὴν ζωὴν αὐτοῦ τοῦ θανάτου τὸ θέριστρον. « Ἄφρον, εἶπε πρὸς αὐτὸν ὁ Κύ- » ριος, ταύτῃ τῇ νυκτὶ τὴν ψυχήν σου ἀ-

(1) Ἰωάν. 14, 27. (2) Λουκ. 12, 16. (3) Αὐτ. 17. (4) Αὐτ. 18. (5) Αὐτ. 19.



» παιτοῦσιν ἀπὸ σοῦ· ἃ δὲ ἡτοίμασας, τίνι » ἔσται; » (1) Οὐδέποτε οὖν ἀπήλαυσεν ὁ ἄθλιος τὴν ἡσυχίαν καὶ εἰρήνην, τὴν παρὰ τοῦ πλούτου ἐλπιζομένην, ἀλλὰ διελθὼν ὅλον τὸν βίον αὐτοῦ ἐν φροντίσιν, ἐν κόποις, ἐν ταραχαῖς, ἐν θορύβοις, ἐτελεύτησε δι' αἰφνιδίου θανάτου. Τοιαῦτα συμβαίνουσιν, εἶπεν ὁ Κύριος, εἰς ἐκεῖνον, ὅστις ζητεῖ τὸν πλοῦτον δι' ἰδίαν ἀνάπαυσιν, καὶ οὐκ ἔχει τὸν κατὰ Θεὸν πλοῦτον, ἤγουν τὴν ἀρετήν· « Οὕτως ὁ θησαυρίζων ἑαυτῷ, καὶ μὴ εἰς » Θεὸν πλουτῶν » (1). Ὁ δὲ θεῖος Ἀπόστο- » λος Παῦλος ἐπαριθμῶν τὰ κακά, εἰς ὅσα περιπίπτουσιν οἱ ὑπακούοντες εἰς τὴν συμβουλὴν τοῦ κόσμου, καὶ θέλοντες πλουτῆσαι, ἵνα ἀπολαύσωσιν ἡσυχίας καὶ ἀνέσεως, πείθει τοὺς ἀναγινώσκοντας, ὅτι ἀπατηλή ἐστιν ἡ τοῦ κόσμου διδασκαλία· « Οἱ δὲ βουλόμενοι πλουτεῖν, λέγει, ἐμπί- » πτουσιν εἰς πειρασμὸν καὶ παγίδα, καὶ » ἐπιθυμίας πολλὰς ἀνοήτους καὶ βλαβε- » ράς, αἵτινες βυθίζουσι τοὺς ἀνθρώπους εἰς » ὄλεθρον καὶ ἀπώλειαν » (3).

Βλέπομεν δὲ ἡμεῖς καθ' ἑκάστην ἡμέραν ἔμπροσθεν τῶν ὀφθαλμῶν ἡμῶν τὴν ἀλήθειαν τῶν λόγων καὶ τοῦ Ἰησοῦ Χριστοῦ καὶ τοῦ Παύλου. Βλέπομεν τοὺς φιλοπλούτους πλουτοῦντας, καὶ μηδέποτε χορταζομένους, ἀλλὰ ἡμέραν τε καὶ νύκτα διαλογιζομένους περὶ τοῦ, πῶς δύνανται συνάξαι πλοῦτον, καὶ πολυπλασιάσαι τοὺς θησαυροὺς αὐτῶν. Βλέπομεν αὐτοὺς καθαιροῦντας καὶ τὰς ἀποθήκας καὶ τὰς οἰκίας αὐτῶν, καὶ οἰκοδομοῦντας εὐρυχωροτέρας. Ἀκούομεν αὐτοὺς λέγοντας, ἀφ' οὗ ποιήσω τοῦτο, καὶ οἰκοδομήσω ἐκεῖνο, καὶ τελειώσω τὸ ἄλλο, τότε ἡσυχάσω καὶ ἀναπαυθήσομαι. Ακούομεν αὐτοὺς λαλοῦντας περὶ ἡσυχίας καὶ ἀνέσεως, μηδέποτε δὲ αὐτῆς ἀπολαμβάνοντας, ἀλλ' ἡμέραν παρ' ἡμέραν τὸν καιρὸν ἀναβάλλοντας, ἕως οὗ ἐλθὼν ὁ θάνατος, ἁρπάζει αὐτοὺς ἐν αὐταῖς ταῖς φροντίσι καὶ μερίμναις καὶ ταραχαῖς τῆς φιλοπλουτίας· πόσους δὲ βλέπομεν διὰ τὴν κτῆσιν τοῦ πλούτου πίπτοντας εἰς τὸν πειρασμὸν τῆς φιλονεικίας καὶ ἀλληλομαχίας καὶ ἔχθρας, καὶ παγιδευομένους ὑπὸ τῶν παγίδων τοῦ δόλου, τοῦ ψεύδους, τῆς ἀπάτης, τῆς ἀδικίας, καὶ ἐπιορκίας, καὶ ἐπιθυμοῦντας ἀνοήτως πράγματα βλαβερά, καταποντίζοντα αὐτοὺς εἰς τῆς ψυχῆς τὸν ὄλεθρον καὶ τὴν ἀπώλειαν; ταῦτά εἰσιν οἱ καρποὶ τῶν μαθημάτων τοῦ κόσμου. Ταύτην τὴν ἄνεσιν καὶ εἰρήνην προξενεῖ ὁ πλοῦτος εἰς τοὺς παρ' αὐτοῦ ζητοῦντας αὐτήν.

Ἐν ὅσῳ ἐγκρατεύεσαι, λέγει ὁ κόσμος, ἐμποδίζων τὴν ἐκπλήρωσιν τῆς ἐπιθυμίας σου, αὐτὴ κραταιοῦται καὶ ἐξάπτεται, ὅθεν ταράττει τὴν ἡσυχίαν σου, καὶ ἐξαφανίζει τὴν ἀνάπαυσίν σου. Ἀπόλαυσον τὰς ἡδονὰς τῆς ἐπιθυμίας σου, ἵνα ἡσυχάσῃς, καὶ ἀναπαυθῇς, καὶ εἰρηνεύσῃς. Τοῦτό ἐστι μάθημα ἡδονικώτατον εἰς τὴν σάρκα· ὅθεν πολλοὶ μετὰ χαρᾶς τοῦτο ἀκούουσι· δέλεαρ ἐστὶ γλυκύτατον καὶ ἐφελκυστικώτατον· ὅθεν πολλοὶ ὑπ' αὐτοῦ ἕλκονται καὶ δελεάζονται. Ὁ δὲ πολυεύσπλαγχνος Θεὸς παρέστησεν ἡμῖν τὰ συμβάντα εἰς ἐκεῖνον τὸν ἄνθρωπον, ὅστις ἔλυσε τὰ δεσμὰ τῆς ἐγκρατείας, καὶ συνέτριψε τῶν ἐπιθυμιῶν αὐτοῦ τὸν χαλινόν· οὗτος δέ ἐστιν ὁ Ἄσωτος υἱός. Γνωστὴ δέ ἐστι τοῖς πᾶσιν ἡ τούτου ἱστορία· αὐτὸς παραλαβὼν τὸ μέρος τῆς πατρικῆς αὐτοῦ περιουσίας, ἀνεχώρησεν

(1) Λουκ. 12, 20, (2) Αὐτ. 21. (3) Α'. Τιμ. 6, 9.

« Εἰς χώραν μακράν » (1), ἵνα ἐκεῖ ὡς ἀγνώριστος μετὰ πάσης ἐλευθερίας ἐκπληροῖ πάσας τὰς τῆς σαρκὸς αὐτοῦ ἐπιθυμίας· πολυφαγίαι, πολυποσίαι, χοροί, ψάλται, μουσικοί, πόρναι, καὶ ὅσα ἄλλα ἐζήτει ἡ σαρκικὴ αὐτοῦ ἐπιθυμία, ταῦτα ἀπελάμβανε καθ' ἑκάστην ἡμέραν· τοῦτο σημαίνουσι· ταῦτα τὰ λόγια· « Διεσκόρπισε τὴν οὐσίαν αὐτοῦ ζῶν ἀσώτως ». Ποίαν δὲ ἄνεσιν ἐκ τούτων εὗρεν; ποίαν ἡσυχίαν, ἢ ποίαν εἰρήνην; ὅταν εἰς τὴν οἰκίαν τοῦ πατρὸς αὐτοῦ ἔζη ἐγκρατῶς καὶ σωφρόνως, τότε ἦν δεσπότης· ὅταν δὲ ἐγένετο ἀκρατὴς καὶ ἄσωτος, τότε κατεστάθη δοῦλος καὶ χοιροβοσκός· διότι ὁ δεσπότης αὐτοῦ « Ἔπεμψεν αὐτὸν εἰς τοὺς ἀγροὺς αὐτοῦ βόσκειν χοίρους » (2). Ὅταν ἐνίκα τὰς ἐπιθυμίας αὐτοῦ, εἶχεν αὐτάρκως πάντα πρὸς τὴν χρείαν· ὅταν δὲ ἔπραξε τῆς ἀσωτείας τὰ ἔργα, « Ἐπεθύμει γεμίσαι τὴν κοιλίαν αὐτοῦ ἀπὸ τῶν κερατίων, ὧν ἤσθιον οἱ χοῖροι· καὶ οὐδεὶς ἐδίδου αὐτῷ » (3)· διὸ στενάζων, ἔλεγε· « Πόσοι μίσθιοι τοῦ πατρός μου περισσεύουσιν ἄρτων, ἐγὼ δὲ λιμῷ ἀπόλλυμαι; » Ἀκούετε κατάστασιν; ἀκούετε ἡσυχίαν; ἀκούετε εἰρήνην; πολλὰ τοιαῦτα παραδείγματα βλέπομεν πάντες καθ' ἑκάστην ἡμέραν. Τοιαύτη δέ ἐστιν ἡ ἄνεσις καὶ ἡ εἰρήνη ἣν δίδωσιν ὁ κόσμος.

Ἀδελφοί, ὅστις ζητεῖ εἰρήνην παρὰ τοῦ κόσμου, « ὅμοιός ἐστιν ἀνθρώπῳ, ὅστις ζητεῖ συλλέξαι σῦκα ἐξ ἀκανθῶν, Καὶ τρυγῆσαι σταφυλὴν ἐκ τῆς βάτου (4). Ὁ κόσμος ὅλος ἐν τῷ πονηρῷ κεῖται » (5). Ἡ δὲ πονηρία ἐστὶ ταραχὴ καὶ ζάλη καὶ θόρυβος, ὅθεν τὰ ἐγκόσμια πράγματα οὐδὲ ἀναπαύουσιν, οὐδὲ εἰρηνεύουσι· μόνος ὁ Θεός, ὁ ἄρχων τῆς εἰρήνης, ἐξαποστέλλει αὐτὴν διὰ τὴν ἑαυτοῦ φιλανθρωπίαν εἰς τὰς καρδίας τῶν ἀνθρώπων. Ἀλλ' ἆρά γε πῶς γίνεται ἡ τοιαύτη ἀποστολή; Δι' ἀγγέλων (6), καθὼς ἀπέστειλεν αὐτὴν εἰς πᾶσαν τὴν γῆν, ὅταν ὁ μονογενὴς Υἱὸς αὐτοῦ ἐγεννήθη; ἢ διὰ λόγου, καθὼς αὐτὸς ἔδωκεν αὐτὴν εἰς τὴν ἁμαρτωλὸν γυναῖκα, ὁμοίως καὶ εἰς τὴν αἱμοῤῥοοῦσαν, εἰπών· « Πορεύου εἰς εἰρήνην; » (7) Καὶ εἰς τοὺς ἁγίους αὐτοῦ μαθητάς, ὅταν πρὸ μὲν τοῦ πάθους εἶπεν· « Εἰρήνην ἀφίημι ὑμῖν, εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν » (8). Μετὰ δὲ τὴν ἀνάστασιν, εἰπών· « Εἰρήνη ὑμῖν; » (9) Ἦ ἆρά γε διὰ τῶν μαθητῶν αὐτοῦ κατὰ τὴν παραγγελίαν, ἣν ἔδωκεν αὐτοῖς, ὅταν εἶπεν· « Εἰς ἣν δ' ἂν οἰκίαν εἰσέρχησθε, πρῶτον λέγετε· εἰρήνη τῷ οἴκῳ τούτῳ; » (10) ἢ διὰ στόματος τῶν διαδόχων αὐτῶν, ὅταν λέγωσιν· « Εἰρήνη πᾶσιν ». Ἀληθῶς καὶ διὰ τούτων μεταδίδωσιν ὁ Θεὸς εἰς τοὺς ἀνθρώπους τὸ μέγα τῆς εἰρήνης χάρισμα· πλὴν καὶ ἄλλον τρόπον ἐδίδαξε, δι' οὗ ἀπολαμβάνομεν τὴν εἰρήνην, τρόπον καθολικώτερον καὶ ἐνεργητικώτερον, φανερώσας αὐτὸν διὰ στόματος τοῦ ἁγίου προφητάνακτος Δαβίδ· « Εἰρήνη πολλή, εἶπεν αὐτός, τοῖς ἀγαπῶσι τὸν νόμον σου, καὶ οὐκ ἔστιν αὐτοῖς σκάνδαλον » (11). Φανερὸν δέ ἐστιν, ὅτι, ὅστις ἀγαπᾷ τὸν νόμον τοῦ Θεοῦ· ἐκεῖνος ἀγαπᾷ τὸν Θεόν· ἐκεῖνος δὲ ἀγαπᾷ τὸν Θεόν, ὅστις φυλάττει τὰς ἐντολὰς αὐτοῦ, « Ὁ ἔχων τὰς ἐντολάς μου, εἶπεν ὁ Κύριος, καὶ τηρῶν αὐτάς, ἐκεῖνός ἐςιν ὁ ἀγαπῶν με » (12). Τοῦτο οὖν σημαίνουσι τοῦ ἁγίου προφήτου τὰ λόγια· Εἰρήνη πολλὴ εἰς τοὺς μὴ ἁμαρτάνοντας, ἀλλὰ

(1) Λουκ. 15, 13. (2) Αὐτ. 15. (3) Αὐτ. 16, 17. (4) Αὐτ. 6, 44. (5) Α'. Ἰωάν. 5, 19. (6) Λουκ. 2, 14. (7) Αὐτ. 7, 50. καὶ 8, 48. (8) Ἰωάν. 14, 27. (9) Αὐτ. 20, 19. (10) Λουκ. 10, 5. (11) Ψαλμ. 118, 165. (12) Ἰωάν. 14, 21.



φυλάττοντας τοὺς θείους νόμους. Οὐκ ἔστιν αὐτοῖς σκάνδαλον· οὐδὲν δηλονότι τῶν ἐν τῷ κόσμῳ δύναται ταράξαι ἢ ἐνοχλῆσαι τὴν εἰρηνικὴν καὶ γαληνιαίαν τῆς ψυχῆς αὐτῶν κατάστασιν.

Ἀληθῶς δέ, ἐν ὅσῳ ἀπέχομεν ἀπὸ τῆς ἀκαθαρσίας τῶν ἁμαρτιῶν, καὶ διαμένομεν στερεοὶ εἰς τῆς ἀρετῆς τὴν καθαρότητα, ἡ εἰρήνη τοῦ Θεοῦ κατοικεῖ ἐν ταῖς καρδίαις ἡμῶν· ὅταν δὲ ἡ ἁμαρτία βορβορώσῃ τὴν ψυχήν, τότε εὐθὺς φεύγει ἀφ' ἡμῶν ἡ εἰρήνη, καὶ ἔρχεται ἡ ταραχή· ἀναχωρεῖ τῆς συνειδήσεως ἡ ἡσυχία, καὶ εἰσέρχεται εἰς τὴν καρδίαν ἡμῶν τῆς ἁμαρτίας ὁ θόρυβος· ἵνα δὲ περὶ τούτου πληροφορηθῆτε, ἀναβῆτε νοερῶς εἰς τὸν οὐρανόν, καὶ παρατηρήσατε τὰ ἅγια φῶτα, τὰ δεύτερα μετὰ τὸ ὑπεράρχιον φῶς τῆς θεότητος, τὰς ἀγγελικὰς λέγω ταξιαρχίας· ἐκεῖ βλέπετε τὴν βασιλείαν τῆς εἰρήνης. Πάντα ἐκεῖνα τὰ ἄϋλα πνεύματα, ἀτάραχα καὶ εἰρηνικὰ καὶ ἥσυχα, ἀφιερωμένα εἰς τὴν λατρείαν τῆς ὑπερουσίου ἑνιαίας καὶ τρισυποστάτου θεότητος, ὁμοθυμαδὸν ἐν μιᾷ νοήσει καὶ βουλῇ καὶ φωνῇ ψάλλουσι διαπαντὸς καὶ βοῶσι καὶ λέγουσιν « Ἅγιος ἅγιος ἅγιος Κύριος σαβαώθ, πλήρης πᾶσα ἡ γῆ τῆς δόξης αὐτοῦ » (1). Ἐκεῖ ἀληθῶς βασιλεύει ἡ εἰρήνη τοῦ Θεοῦ· πλὴν ἕως πότε; ἕως οὗ βασιλεύει ἡ ἀναμαρτησία. Ἀλλὰ φεῦ, οὐαί· εἰσέρχεται ἐκεῖ, οὐδεὶς οἶδέ πως, τῆς ὑπερηφανείας ἡ ἁμαρτία· ὑπερηφανεύεται ὁ ἑωσφόρος, καὶ λέγει ἐν τῇ διανοίᾳ αὐτοῦ· « Ἀναβήσομαι ἐπάνω τῶν νεφῶν, ἔσομαι ὅμοιος τῷ ὑψίςῳ » (2). Τοῦτο τὸ ἁμάρτημα ἐδίωξε τὴν εἰρήνην, καὶ ἔφερε τὴν σύγχυσιν καὶ τὴν ταραχήν· σχίζονται εὐθὺς εἰς δύω μέρη τὰ ἀγγελικὰ τάγματα· τὸ μὲν διαμένει ἀσάλευτον εἰς τὴν ἀρετήν, καὶ ἑπομένως στερεὸν εἰς τὴν εἰρήνην· τὸ δὲ σαλεύεται, καὶ ἀκολουθεῖ τὰ ὑπερήφανα διανοήματα τοῦ ἑωσφόρου, ὅθεν συγχέεται, θορυβεῖται, πίπτει ἐκ τοῦ οὐρανοῦ εἰς τὴν γῆν. « Πῶς ἔπεσεν ἐκ τοῦ οὐρανοῦ ὁ ἑωσφόρος, ὁ πρωῒ ἀνατέλλων; συνετρίβη εἰς τὴν γῆν ὁ ἀποστέλλων πρὸς πάντα τὰ ἔθνη » (3). Ἔπεσεν εὐθὺς ὡς ἀστραπή. « Ἐθεώρουν τὸν σατανᾶν, ὡς ἀςραπήν, ἐκ τοῦ οὐρανοῦ πεσόντα » (4).

Καταβιβάσατε νῦν τὸν νοῦν ὑμῶν ἀπὸ τοῦ οὐρανοῦ εἰς τὸν παράδεισον, καὶ ἐνατενίσατε εἰς τὸν προπάτορα ὑμῶν· αὐτὸς ἐκεῖ ἔχει τὴν εἰρήνην, εἰρήνην βαθεῖαν ἐκ τῆς ἐνοχλήσεως τῶν παθῶν, εἰρήνην τελείαν μετὰ τῆς ἰδίας συνειδήσεως, εἰρήνην μετὰ τοῦ Θεοῦ. Ἀλλὰ πείθεται εἰς τὴν συμβουλὴν τῆς προμήτορος, τῆς ὑπὸ τοῦ ὄφεως ἀπατηθείσης, γεύεται τοῦ ἀπηγορευμένου καρποῦ, καὶ παραβὰς τὴν ἐντολὴν τὴν ἔνθεον, ἁμαρτάνει τῆς παρακοῆς τὴν ἁμαρτίαν. Μόλις δὲ αὐτὸς σὺν τῇ προμήτορι ἔπραξαν τὴν ἁμαρτίαν, καὶ ἰδοὺ εὐθὺς ἐγείρεται κατ' αὐτῶν τῶν παθῶν ὁ πόλεμος· περικυκλοῖ αὐτοὺς ἡ ἐντροπή· « Καὶ διηνοίχθησαν οἱ ὀφθαλμοὶ τῶν δύω, καὶ ἔγνωσαν, ὅτι γυμνοὶ ἦσαν· καὶ ἔῤῥαψαν φύλλα συκῆς, καὶ ἐποίησαν ἑαυτοῖς περιζώματα » (5). Κατακυριεύει αὐτοὺς ὁ φόβος, καὶ ὁ βαρύτατος τῆς συνειδήσεως ἔλεγχος. « Καὶ ἤκουσαν τῆς φωνῆς Κυρίου τοῦ Θεοῦ περιπατοῦντος ἐν τῷ παραδείσῳ τὸ δειλινόν· καὶ ἐκρύβησαν ὅ,τε Ἀδὰμ καὶ ἡ γυνὴ αὐτοῦ ἀπὸ προσώπου Κυρίου τοῦ Θεοῦ ἐν μέσῳ τοῦ ξύλου τοῦ παραδείσου » (6).

(1) Ἡσ. 6. 3. (2) Αὐτ. Ἡσ. 14. 14. (3) Αὐτ. 12. (4) Λουκ. 10, 18. (5) Γεν. 3, 7. (6) Αὐτ. 8.

Εὐθὺς ἡ μετὰ τοῦ Θεοῦ εἰρήνη μετεβλήθη εἰς ἔχθραν. Ἐκ τούτου δὲ ἡ ἐξορία ἐκ τοῦ παραδείσου, ἐκ τούτου ἡ βλάστησις τῶν ἀκανθῶν καὶ τριβόλων, ἐκ τούτου τῶν θηρίων ὁ φόβος, ἐκ τούτου οἱ ἱδρῶτες τοῦ προσώπου, ἐκ τούτου πάντα τὰ θλιβερά, καὶ ὁ ὀδυνηρὸς βίος καὶ ὁ θάνατος καὶ ἡ διαφθορά. Τὰ παθήματα τῶν πρωτοπλάστων, τὰ μετὰ τὴν παράβασιν τῆς θείας ἐντολῆς, πάσχομεν καὶ ἡμεῖς, ὅταν πίπτωμεν εἰς τῆς ἁμαρτίας τὸ βάραθρον· ὅταν ἁμαρτάνω, ἐντροπὴ καλύπτει τὸ πρόσωπόν μου, φόβος εἰσέρχεται εἰς τὴν καρδίαν μου, ἔλεγχος συνειδήσεως βασανίζει τὴν ψυχήν μου, λύπη σκοτεινὴ καὶ ὀδυνηρὰ περικαταλαμβάνει με. Αἰσθάνομαι τότε εὐθὺς, ὅτι παρώργισα τὸν Θεόν, ἔφυγε δὲ ἀπ' ἐμοῦ ἡ θεία αὐτοῦ χάρις· ἐπειδὴ δὲ ἐγκαταλείπει με τότε τοῦ Θεοῦ ἡ εἰρήνη, κἂν μυρίας ἔχω τρυφὰς καὶ ἀναπαύσεις, οὐδὲ ἡσυχίαν ἔχω, οὐδὲ ἄνεσιν εὑρίσκω. Ἐπιβεβαιοῦσιν ὅσα λέγω τὰ μετὰ τὴν ἁμαρτίαν λόγια τοῦ Δαβίδ. Ἐν μέσῳ τῆς βασιλικῆς δόξης καὶ τῶν ἐξ αὐτῆς τιμῶν καὶ ἀναπαύσεων εὑρίσκετο αὐτὸς μετὰ τὴν ἁμαρτίαν, καὶ ὅμως παῤῥησίᾳ ἔλεγεν· «Οὐκ ἔστιν εἰ» ρήνη ἐν τοῖς ὀστέοις μου ἀπὸ προσώπου » τῶν ἁμαρτιῶν μου· Ὅτι αἱ ἀνομίαι μου » ὑπερῆραν τὴν κεφαλήν μου ὡσεὶ φορτίον » βαρὺ ἐβαρύνθησαν ἐπ' ἐμέ. Ἐταλαιπώ» ρησα καὶ κατεκάμφθην ἕως τέλους, ὅλην » τὴν ἡμέραν σκυθρωπάζων ἐπορευόμην » (1).

Ἐπειδὴ δὲ ἐγώ, ἄμοιρος ὢν τῶν θείων ἀρετῶν, οὐ δύναμαι παραστῆσαι τὴν εἰρηναίαν κατάστασιν τῶν ἐναρέτων ἀνθρώπων, προσκαλῶ τοὺς δικαίους, ἵνα αὐτοὶ τὰ ἑαυτῶν περιγράψωσιν. Ἄνθρωποι ἅγιοι καὶ Θεοῦ φίλοι, ἵνα πληροφορηθῶμεν, ὅτι ὑμεῖς ἀπολαμβάνετε τὴν εἰρήνην τῶν πρωτοπλάστων τὴν πρὸ τῆς παραβάσεως, ἱστορήσατε ἡμῖν, πόσον εὐπαῤῥησίαστόν ἐστιν τὸ ἅγιον ὑμῶν πρόσωπον, πόση ἀφοβία ἐνοικεῖ εἰς τὴν καθαρὰν ὑμῶν καρδίαν, πόσον νεκρὰ καὶ ἐσταυρωμένα εἰσὶν ἐν ὑμῖν τὰ πάθη, πόσην ἡσυχίαν ἔχει ἡ ἐγρήγορος ὑμῶν συνείδησις, καὶ πόσης πνευματικῆς χαρᾶς αἰσθάνεται ἡ θεοφιλὴς ὑμῶν ψυχή. Φανερώσατε ἡμῖν, ὦ ἄνθρωποι πανσέβαστοι, πόσης γλυκύτητος καὶ θείας εὐφροσύνης ἀπολαμβάνετε, ὅταν ποιῆτε τῆς ἀρετῆς τὰ ἔργα. Παῦλε ἀπόστολε, σκεῦος ἐκλογῆς, ἄνθρωπε ἐπουράνιε, σὺ εἰπὲ καὶ μαρτύρησον παῤῥησίᾳ ὅτι καὶ ἐν τῷ μέσῳ τῶν ὑπὲρ Χριστοῦ διωγμῶν, καὶ ἐν τῇ ἀκμῇ τῶν κινδύνων, καὶ ἐν τῇ δριμύτητι τῶν βασάνων ἀπελάμβανες τῆς μακαρίας τοῦ Θεοῦ εἰρήνης, καὶ χαίρων τῇ καρδίᾳ ἐκραύγαζες μεγαλοφώνως· « Χαίρω ἐν τοῖς παθήμασί » μου » (2).

Μάτην οὖν, ἀδελφοί μου, πλανώμεθα, ζητοῦντες τὴν εἰρήνην καὶ τὴν ἐξ αὐτῆς ἀνάπαυσιν ἐν τῷ πλούτῳ, ἐν ταῖς τρυφαῖς, ἐν τοῖς ἀξιώμασι, καὶ ἐν τοῖς ἀγαθοῖς τοῦ κόσμου τούτου. Ὁ Ἰησοῦς Χριστός ἐστιν ὁ εἰρηνοποιὸς καὶ εἰρήναρχος, αὐτὸς δίδωσι τὴν εἰρήνην εἰς πάντας, πλὴν εἰς ἐκείνους μόνον μένει ἡ εἰρήνη, ὅσοι εἰσὶν αὐτῆς ἄξιοι. Τοῦτο ἐδίδαξεν αὐτὸς ὁ Κύριος τοὺς ἰδίους αὐτοῦ μαθητάς, ὅταν ἀπέστελλεν αὐτοὺς ἐπὶ τὸ κήρυγμα· εἰς ὁποίαν οἰκίαν, εἶπεν, εἰσέρχεσθε, πρῶτον δίδοτε τὴν ἐμὴν εἰρήνην, λέγοντες· « Εἰρήνη τῷ οἴκῳ τούτῳ. » Καὶ ἐὰν μὲν ᾖ ἐκεῖ υἱὸς εἰρήνης, ἐπανα» παύσεται ἐπ' αὐτὸν ἡ εἰρήνη ὑμῶν. εἰ δὲ

(1) Ψαλμ. 37, 4, 5, 7. (2) Κολ. 1, 24.



» μήγε, ἐφ' ὑμᾶς ἀνακάμψει » (1). Ἀκούετε διδασκαλίαν, φρίκης γέμουσαν; Ὁ Ἰησοῦς Χριστός ἐστιν ὁ εἰρηνοδότης, αὐτὸς διὰ στόματος τῶν ἱερέων αὐτοῦ δίδωσιν εἰς πάντας τὴν θείαν αὐτοῦ εἰρήνην, καθὼς καὶ « Τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ πονηροὺς » καὶ ἀγαθούς » (2). Πλὴν καθὼς τὸ φῶς τοῦ ἡλίου οὐκ ἐνεργεῖ εἰς τοὺς ὀφθαλμοὺς τῶν τυφλῶν, οὕτως ἡ εἰρήνη τοῦ Θεοῦ οὐ διαμένει εἰς τὰς καρδίας τῶν πονηρῶν· ἐὰν οὖν θέλῃς τὴν εἰρήνην, γίνου υἱὸς τῆς εἰρήνης, ἤγουν θεοφιλὴς καὶ ἐνάρετος καὶ ἄξιος τοιούτου ἐπουρανίου μύρου. Ἐὰν καταστaθῆς τοιοῦτος, ἐπαναπαύεται ἐπὶ σὲ ἡ εἰρήνη· « Καὶ ἐὰν μὲν ᾖ ἐκεῖ υἱὸς εἰρήνης ἐπανα» παύσεται ἐπ' αὐτὸν ἡ εἰρήνη ὑμῶν». Ἐὰν δὲ κατάκεισαι εἰς τὴν ἀκαθαρσίαν τῆς ἁμαρτίας σου, καὶ ὑπάρχῃς ἀνάξιος τῆς ὑποδοχῆς τῆς ἁγίας αὐτῆς χάριτος, μὴ ἐλπίζῃς εἰρήνην, διότι αὐτὴ μὲν φεύγει ἀπὸ σοῦ, σὺ δὲ μένεις ἐν τῇ ταραχῇ καὶ τῷ θορύβῳ καὶ τῇ συγχύσει τῶν παθῶν σου. Μὴ γένοιτο τοῦτο ἐφ' ὑμᾶς· « Αὐτὸς δὲ ὁ Κύ» ριος τῆς εἰρήνης δώῃ ὑμῖν τὴν εἰρήνην διὰ » παντὸς ἐν παντὶ τρόπῳ, ὁ Κύριος μετὰ » πάντων ὑμῶν » (3). Ἀμήν.

# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΗΝ ΠΡΟΣ

## ΕΦΕΣΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗι ΚΕʹ. ΚΥΡΙΑΚΗι.

ΤΩΝ μὲν εἰδωλολατρῶν ἡ ἀνοησία πολλοὺς ἐφαντάσθη θεούς, τῶν δὲ αἱρετικῶν ἡ ὑπερηφάνεια πολλὰ ἔπλασε πίστεως συστήματα, τῶν δὲ σχισματικῶν τὸ πεῖσμα πολλὰ ἐσύστησεν ἐκκλησιῶν κόμματα. Ταῦτα πάντα καταργεῖ ἡ σήμερον ἀναγνωσθεῖσα ἐπιστολὴ τοῦ θεοπνεύστου Παύλου, κηρύττουσα, ὅτι εἷς μόνος ἐστὶν ὁ ἀληθινὸς Θεός, μία μόνη ἡ ὀρθόδοξος πίστις, ἓν μόνον τὸ σωτηριῶδες βάπτισμα. Συνάγεται δὲ ὡς συμπέρασμα τούτων τῶν θείων δογμάτων τό, ὅτι ἀνάγκη ἐστίν, ἵνα καὶ πάντες οἱ πιστοὶ σπουδάζωσι φυλάττειν τὴν ἑνότητα τοῦ πνεύματος· ὁ Παῦλος ὅμως διὰ τῆς θεόθεν δοθείσης αὐτῷ σοφίας ἐσχημάτισε τὸν λόγον αὐτοῦ οὕτως· ἔδειξε πρῶτον τὰς ἀρετάς, δι' ὧν φυλάττεται ἡ πνευματικὴ τῶν πιστῶν ἕνωσις, ἔπειτα παρήγγειλε τὴν ὑπὲρ ταύτης τῆς ἑνώσεως χρεωστουμένην σπουδήν, μετὰ δὲ ταῦτα εἶπε τό, « Εἷς Κύριος, μία πίστις, ἓν βάπτι» σμα » (4)· Ὥσπερ ἂν εἰ ἔλεγε, σπουδάζετε φυλάττειν τὴν ἑνότητα τοῦ πνεύματος, ἐπειδὴ εἷς ἐστιν ὁ Θεός, μία ἡ πίστις, ἓν τὸ βάπτισμα. Ταῦτα δὲ τὰ τῆς διδασκαλίας αὐτοῦ σύντομα λόγια περιέχουσι καὶ

(1) Λουκ. 10, 5, 6. (2) Ματθ. 5, 45. (3) Κολ. 3, 16. (4) Ἐφεσ. 4, 5.

τὰ συστατικὰ τῆς πίστεως δόγματα, καὶ τὸν θεμελιώδη τῆς ἠθικῆς πολιτείας κανόνα· διὰ τοῦτό εἰσι δύο μαθήματα ἐπίσης ἀναγκαῖα διὰ τὴν σωτηρίαν· διὸ προσηλώσατε τὸν νοῦν εἰς τὴν κατανόησιν τῆς τούτων ἑρμηνείας, ἵνα καρποφορήσητε τῆς εὐσεβείας καὶ ἀρετῆς τὸν καρπὸν τὸν σωτήριον.

*Ἀδελφοί, παρακαλῶ ὑμᾶς ἐγὼ ὁ δέσμιος ἐν Κυρίῳ ἀξίως περιπατῆσαι τῆς κλήσεως ἧς ἐκλήθητε* (1).

Δεδεμένος ἦν ὁ Παῦλος ἐν Ῥώμῃ, ὅτε ταῦτα ἔγραφε πρὸς τοὺς Ἐφεσίους· ὑπέφερε δὲ τὰ δεσμὰ ὑπὲρ τῆς ἀγάπης τοῦ Ἰησοῦ Χριστοῦ, καὶ τῆς σωτηρίας τῶν ἐθνῶν, ἐξ ὧν ἦσαν καὶ οἱ Ἐφέσιοι· διὸ καὶ ἔλεγε πρὸς τοὺς αὐτοὺς Ἐφεσίους· « Τούτου χάριν ἐγὼ » Παῦλος ὁ δέσμιος τοῦ Χριστοῦ Ἰησοῦ » ὑπὲρ ὑμῶν τῶν ἐθνῶν » (2). Διὰ τοῦτο δὲ ἀναφέρει τὰ δεσμὰ αὐτοῦ, ἵνα δυσωπήσῃ αὐτοὺς καὶ προτρέψῃ πρὸς τὴν ἐκπλήρωσιν τῆς διδασκαλίας αὐτοῦ· ἀληθῶς δὲ ἰσχὺν ἔχει εἰς τὰς καρδίας ὑμῶν ὁ λόγος τοῦ ὑπὲρ ὑμῶν πάσχοντος· ἐγώ, λέγει, ὅστις εἰμὶ ἐν φυλακῇ δεδεμένος διὰ τὴν ἀγάπην τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ, παρακαλῶ ὑμᾶς, ἵνα περιπατήσητε ἀξίως τῆς κλήσεως, ἧς ἐκλήθητε, τουτέστιν ἵνα, πολιτευθῆτε καὶ ποιήσητε ἔργα ἄξια τῆς κλήσεως. Τίς δέ ἐστιν ἡ κλῆσις; Ὁ Θεὸς ἐκάλεσεν αὐτοὺς διὰ τῶν Ἀποστόλων, ἵνα πιστεύσαντες εἰς τὸν Ἰησοῦν Χριστόν, κατασταθῶσιν « Υἱοὶ Θεοῦ » καὶ σῶμα Χριςοῦ, καὶ μέλη ἐκ μέρους » (3). Ὅθεν χρείαν εἶχον πολλῆς σπουδῆς καὶ προσοχῆς, ἵνα φανῶσιν ἄξιοι τῆς τοιαύτης προσκλήσεως· ἐπειδὴ δὲ ἡ βάσις τοῦ ἀξίου τῆς προσκλήσεως πολιτεύματός ἐστιν ἡ μεταξὺ ἀλήλλων συμφωνία καὶ ἡ τελεία ὁμόνοια καὶ ἕνωσις, διὰ ποῦτο παραγγέλλει εἰς αὐτούς, ἵνα φυλάξωσιν ἐκείνας τὰς ἀρετάς, ὅσαι διώκουσι μὲν τὰς ἀλληλομαχίας καὶ τὰ σκάνδαλα, φέρουσι δὲ τὴν συμφωνίαν εἰς τὸ χριστιανικὸν πλήρωμα.

*Μετὰ πάσης ταπεινοφροσύνης καὶ πρᾳότητος, μετὰ μακροθομίας, ἀνεχόμενοι ἀλλήλων ἐν ἀγάπῃ* (4).

Ἐπειδὴ ἡ ταπεινοφροσύνη, ἡ πρᾳότης, ἡ μακροθυμία, ἡ ἀνοχή, θυγατέρες εἰσὶ τῆς ἀγάπης, διὰ τοῦτο εἶπεν, « Ἐν ἀγάπῃ ». Ἀληθῶς δὲ ὅστις ἔχει ἐν τῇ καρδίᾳ αὐτοῦ τὴν μεγάλην ἀρετὴν τῆς ἀγάπης, ἐκεῖνος οὐ φρονεῖ, ὅτι ἐστὶν ἀνώτερος τῶν ἄλλων, ἀλλὰ λογίζεται, ὅτι ἐστὶ τῶν ἄλλων ἔσχατος· οὐκ ὀργίζεται κατὰ τῶν ἀδελφῶν, ἀλλ' ἔχει πρᾶον τὸ πνεῦμα αὐτοῦ· οὐ ζητεῖ ἐκδίκησιν κατὰ τοῦ πλησίον, ἀλλὰ περιμένει τὴν τούτου διόρθωσιν· οὐκ ἀγανακτεῖ, ἀλλ' ὑποφέρει τῶν ἀνθρώπων τὰ ἀσθενήματα. Τὸ δέ, « Μετὰ πάσης », τελειότητα σημαίνει· Περιπατεῖτε, λέγει, ἤγουν πολιτεύεσθε μετὰ τελείας ταπεινοφροσύνης καὶ πρᾳότητος, καὶ μετὰ μακροθυμίας, ὑποφέροντες μετ' ἀγάπης τὰ ἀλλήλων ἐλαττώματα. Ἄκουσον δὲ καὶ τὸν σκοπὸν τῆς τοιαύτης παραγγελίας.

*Σπουδάζοντες τηρεῖν τὴν ἑνότητα τοῦ πνεύματος ἐν τῷ συνδέσμῳ τῆς εἰρήνης* (5).

Τί ἐστιν ἡ ἑνότης τοῦ πνεύματος; Ἡ

(1) Ἐφεσ. 4, 1. (2) Αὐτ. 3. 1. (3) Α. Κορ. 12 27. (4) Ἐφεσ. 4, 2. (5) Αὐτ. 4. 3.



συμφωνία ἐστὶ τῶν πιστῶν εἰς τὰ τῆς πίστεως, καὶ ἡ μεταξὺ ἀλλήλων ἀγάπη, καὶ ἡ τελεία ὁμόνοια. Περὶ ταύτης δὲ τῆς ἑνότητος παρεκάλεσεν ὁ Ἰησοῦς Χριστὸς ὡς ἄνθρωπος τὸν Θεὸν καὶ πατέρα αὐτοῦ· « Οὐ περὶ τούτων δὲ ἐρωτῶ μόνον, εἶπεν, » ἀλλὰ καὶ περὶ τῶν πιστευόντων διὰ τοῦ » λόγου αὐτῶν εἰς ἐμέ· ἵνα πάντες ἓν ὦσι, » καθὼς σύ, Πάτερ, ἐν ἐμοί, κἀγὼ ἐν » σοί, ἵνα καὶ αὐτοὶ ἐν ἡμῖν ἓν ὦσι » (1). Τότε δὲ ἐπληρώθη τοῦ Κυρίου Ἰησοῦ ἡ δέησις, ὅτε τὸ πνεῦμα τῆς ἀληθείας ὡδήγησεν αὐτοὺς εἰς πᾶσαν τὴν ἀλήθειαν (2). Ὅθεν εὐθὺς « Τοῦ πλήθους τῶν πιστευσάν» των ἦν ἡ καρδία καὶ ἡ ψυχὴ μία » (3). Ἐπειδὴ οὖν διὰ τῆς χάριτος καὶ ὁδηγίας τοῦ παναγίου Πνεύματος ὁμογνώμονες καὶ ὁμόψυχοι γεγόνασιν ἄνθρωποι διαφόρων γενῶν καὶ γλωσσῶν καὶ ἠθῶν, διὰ τοῦτο ἑνότητα τοῦ πνεύματος, ὡς ἔργον τοῦ ἁγίου Πνεύματος, ταύτην τὴν ὁμοψυχίαν καὶ ἕνωσιν ὠνόμασεν ὁ θεσπέσιος Παῦλος, παραγγείλας εἰς τοὺς πιστεύοντας, ἵνα μετὰ πάσης σπουδῆς καὶ προθυμίας διαφυλάττωσιν αὐτὴν « Ἐν τῷ συνδέσμῳ τῆς εἰρήνης ». Ἀκούεις; Ἡ εἰρήνη ἐστὶν ὁ δεσμός, ὁ κρατῶν συνηνωμένα τὰ τῶν πιστῶν φρονήματα. Ἐν ὅσῳ αὐτὴ διαμένει εἰς τὰς καρδίας αὐτῶν, αὐτοί εἰσιν ὁμόφρονες καὶ ὁμογνώμονες καὶ φύλακες τῆς ἑνότητος τοῦ πνεύματος· ἐὰν δὲ λυθῇ τῆς εἰρήνης ὁ δεσμός. σχίζεται ἡ ὁμοφροσύνη καὶ διαιρεῖται ἡ ὁμογνωμοσύνη, καὶ διαλύεται τοῦ πνεύματος ἡ ἑνότης. Ἵνα δὲ ἔτι μᾶλλον πείσῃ πάντας ὁ Ἀπόστολος πρὸς τὴν διατήρησιν ταύτης τῆς ἑνότητος, προβάλλει ὅσα συμβοηθοῦσιν ἡμᾶς, ἵνα αὐτὴν διαφυλάττωμεν.

*Ἓν σῶμα καὶ ἓν πνεῦμα, καθὼς καὶ ἐκλήθητε ἐν μιᾷ ἐλπίδι τῆς κλήσεως ὑμῶν* (4).

Πρῶτον μὲν αὐτὴ ἡ πνευματικὴ ἕνωσις καθ' ἑαυτὴν ἐπιστηρίζει τοὺς πιστούς, ἵνα διαμένωσιν ἡνωμένοι. Ἓν σῶμα, λέγει, καὶ ἓν πνεῦμά ἐστε πάντες οἱ πιστοί. Ἓν σῶμα, καθότι μεταλαμβάνοντες τοῦ αὐτοῦ ἄρτου τῆς θείας εὐχαριστίας, ὅστις ἐστὶ τοῦ Ἰησοῦ Χριστοῦ τὸ σῶμα, συναπτόμεθα καὶ συνενούμεθα μετ' αὐτοῦ εἰς ἓν πνευματικὸν σῶμα· « Ὅτι εἷς ἄρτος, ἓν σῶμα οἱ » πολλοί ἐσμεν » (5)· οἱ γὰρ πάντες « ἐκ » τοῦ ἑνὸς ἄρτου μετέχωμεν »· διὸ καὶ σῶμα Χριστοῦ ἐσμεν· « Ὑμεῖς δέ ἐστε σῶμα » Χριστοῦ καὶ μέλη ἐκ μέρους » (6). Ἓν πνεῦμα δέ εἰσι πάντες οἱ πιστοί, ἢ καθότι ἓν καὶ τὸ αὐτὸ φρονεῖ περὶ Θεοῦ πάντων τῶν πιστῶν ἡ ψυχή, ἢ καθότι ὑπὸ ἑνὸς καὶ τοῦ αὐτοῦ παναγίου Πνεύματος πάντες οἱ πιστοὶ καὶ φωτίζονται, καὶ τελειοῦνται, καὶ συνάπτονται. Δεύτερον δὲ στήριγμα τῆς ἑνώσεώς ἐστιν ἡ μία καὶ ἡ αὐτὴ ἐλπίς· « Καθὼς καὶ ἐκλήθητε, λέγει, ἐν μιᾷ ἐλπί» δι τῆς κλήσεως ὑμῶν ». Ἓν σῶμα, λέγει, ἐστέ, καὶ ἓν πνεῦμα, καθὼς καὶ ὁ διὰ τοῦ κηρύγματος τῶν Ἀποστόλων καλέσας ἡμᾶς Θεὸς μίαν ἐλπίδα ἔβαλεν εἰς τὰς καρδίας ἡμῶν, τὴν ἐλπίδα δηλονότι τῆς αἰωνίου μακαριότητος, ἥτις ἰσχυροποεῖ τὴν ἕνωσιν.

*Εἷς Κύριος, μία πίστις, ἓν βάπτισμα· εἷς Θεὸς καὶ πατὴρ πάντων, ὁ ἐπὶ πάντων, καὶ διὰ πάντων, καὶ ἐν πᾶσιν ὑμῖν* (7).

(1) Ἰωάν. 17, 20, 21. (2) Αὐτ. 16, 13. (3) Πράξ. 4, 32. (4) Ἐφεσ. 4, 4. (5) Α. Κορ. 10, 17. (6) Αὐτ. 12, 27. (7) Ἐφεσ. 4, 5, 6.

Εἷς ἐστιν ὁ Κύριος καὶ δεσπότης τῶν ἁπάντων ὁ Ἰησοῦς Χριστός, ὁ λαβὼν πᾶσαν ἐξουσίαν « ἐν οὐρανῷ καὶ ἐπὶ γῆς » (1). Μία μόνη ἐστὶν ἡ ἀληθὴς καὶ σωτήριος πίστις, ἐκείνη δηλονότι, ἣν ὁ Ἰησοῦς Χριςὸς ἐδίδαξε, καὶ οἱ θεοφόροι Ἀπόστολοι ἐκήρυξαν, καὶ οἱ ἅγιοι μάρτυρες ὡμολόγησαν, καὶ οἱ θεῖοι πατέρες ἐστήριξαν. Ἓν τὸ βάπτισμα τὸ ἀληθινὸν καὶ τέλειον, τὸ καθαῖρον τὰ ἁμαρτήματα, καὶ ἁγιάζον τὰς ψυχάς, καὶ υἱοὺς Θεοῦ ἀποδεικνῦον τοὺς ἀνθρώπους, τὸ βάπτισμα τὸ δι' ὕδατος καὶ Πνεύματος, καὶ διὰ τῆς ὀρθοδόξου ὁμολογίας ἐν τῇ τῶν ὀρθοδόξων ἐκκλησίᾳ ἱερουργούμενον καὶ τελειούμενον. Εἷς ἐστιν ὁ Θεὸς κοινὸς πάντων τῶν ἀνθρώπων πατήρ (2), « Ὁ ἐπὶ πάντων », ἤγουν ὁ ἔχων τὴν ἐξουσίαν καὶ κυριότητα πάντων τῶν κτισμάτων « Καὶ διὰ πάντων », τουτέστιν, ἐνεργῶν διὰ πάντων, καὶ προνοῶν ὑπὲρ πάντων· « Καὶ ἐν πᾶσιν ὑμῖν », ὅπερ ἐσί, κατοικῶν ἐν πᾶσι, κατὰ τό, « Ἐνοικήσω » ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω· καὶ ἔσο» μαι αὐτῶν Θεός, καὶ αὐτοὶ ἔσονταί μοι » λαός » (2). Βλέπε δέ, ὅτι ὁ μὲν σοφὸς Σολομών, προκαταγγέλλων τὰ περὶ τῆς τοῦ Χριστοῦ ἐκκλησίας, εἶπεν· « Ἡ σοφία ᾠκο» δόμησεν ἑαυτῇ οἶκον, καὶ ὑπήρεισε στύ» λους ἑπτά » (4)· ὁ δὲ πανεύφημος Παῦλος ἐδίδαξε, τίνες εἰσὶν οὗτοι οἱ ἑπτὰ στῦλοι, οἱ βαστάζοντες καὶ στηρίζοντες τὸ σύστημα τῆς τῶν πιστῶν ἑνώσεως, ἤγουν τῆς ἐκκλησίας· πρῶτός ἐστι τὸ ἓν σῶμα· δεύτερος, τὸ ἓν πνεῦμα· τρίτος, ἡ μία ἐλπίς· τέταρτος, ὁ εἷς Κύριος· πέμπτος ἡ μία πίστις· ἕκτος, τὸ ἓν βάπτισμα· ἕβδομος, ὁ εἷς Θεός, ὁ πατήρ, καὶ ἐξουσιαστής, καὶ προνοητής, καὶ κατοικῶν ἐν ἡμῖν. Καὶ ὁ ἀριθμὸς δὲ τῶν στύλων μυστηριώδης ἐστί, καὶ ἡ τούτων δύναμις ἰσχυρά· διὰ τοῦτο οὐαὶ εἰς ἐκείνους, οἵτινες ἢ διὰ πονηρῶν σοφισμάτων, ὡς οἱ ἄπιστοι· ἢ δι' ἀλλοκότων δογμάτων, ὡς οἱ αἱρετικοί· ἢ διὰ πεισμονικῶν δεισιδαιμονιῶν, ὡς οἱ σχισματικοί· ἢ διὰ νόμων ἐναντίων τῆς τοῦ Θεοῦ νομοθεσίας, ὡς οἱ ἄνομοι νόμοθέται, τολμῶσι συντρίψαι τούτους τοὺς ἑπτὰ στύλους, καὶ καταργῆσαι ττύτην τὴν θεοκατασκεύαςον ἕνωσιν. Προβλέπων δὲ ὁ τοῦ Θεοῦ Ἀπόςολος τὴν κατὰ ταύτης τῆς ἑνώσεως ἔνστασιν, λύει αὐτὴν θαυμασίως λέγων·

*Ἑνὶ δὲ ἑκάστῳ ἡμῶν ἐδόθη ἡ χάρις κατὰ τὸ μέτρον τῆς δωρεᾶς τοῦ Χριστοῦ* (5).

Ἀλλὰ πῶς ἵσταται τὸ ἓν σῶμα, καὶ τὸ ἓν πνεῦμα, καὶ ἡ μία ἐλπίς, καὶ τὰ λοιπά, ὅταν τόση ἀνισότης ὑπάρχῃ μεταξὺ τῶν ἀνθρώπων; ἐκεῖνός ἐστι πλούσιος, οὗτος δὲ πένης· ἐκεῖνος ἄρχων, οὗτος ἰδιώτης· ἐκεῖνος σοφός, οὗτος ἀμαθής· ἄλλος ἐστὶν ἀπόστολος, ἄλλος, προφήτης, ἄλλος, διδάσκαλος, ἄλλος, θαυματουργός, ἄλλος, ἰατρός, ἄλλος πολύγλωσσος, καθὼς αὐτὸς ὁ Παῦλος ἐβεβαίωσε (6)· πῶς οὖν δύναται διαφυλαχθῆναι ἡ ἑνότης ἐν τῷ μέσῳ τοσαύτης ἀνισότητος; Ταύτην μὲν τὴν ἀπορίαν σιωπᾷ ὁ Ἀπόστολος, προβάλλει δὲ τὴν λύσιν αὐτῆς, λέγων· ἐδόθη εἰς τὸν καθένα ἡμῶν τὸ χάρισμα κατὰ τὸ μέτρον τῆς δωρεᾶς τοῦ Χριστοῦ. Μετρεῖ δὲ ὁ Θεὸς τὸ μέγεθος τοῦ δώρου κατ' ἀναλογίαν τῆς δυνάμεως τοῦ λαμβάνοντος αὐτό· « Καὶ ᾧ μὲν ἔδω» κεν, εἶπεν ὁ Κύριος, πέντε τάλαντα, ᾧ » δέ, δύω, ᾧ δέ, ἕν· ἑκάστῳ κατὰ τὴν » ἰδίαν δύναμιν » (1). Ἀλλὰ τοῦτό ἐστι, λέγεις, ἡ λύσις τῆς ἀπορίας; Ναί, τοῦτο, διότι κατὰ ταύτην τὴν διδασκαλίαν αἱ τοιαῦται ἀνισότητες οὐδὲ κατὰ τύχην συμβαίνουσιν, οὐδὲ ἐκ τῆς φύσεως προέρχονται, ἀλλ' « Ἑνὶ ἑκάστῳ ἡμῶν ἐδόθη ἡ χάρις, » κατὰ τὸ μέτρον τῆς δωρεᾶς τοῦ Χρι» στοῦ ». Ἐπειδὴ οὖν αἱ ἀνισότητες δῶρά εἰσι Θεοῦ, αὐτὰ οὐ καταργοῦσιν, ἀλλὰ συνιστῶσι τὴν ἑνότητα, τὴν ὑπὸ Θεοῦ κατασκευασθεῖσαν· διὰ τί οὖν σὺ λέγεις, ὅτι ταῦτα διαλύουσι τοὺς δεσμοὺς τῆς ἑνότητος; οὐχ ὁρᾷς τὴν διαφορὰν τῶν δυνάμεων, τῶν ἐν τοῖς μέλεσι τοῦ σώματος ἡμῶν; Ὁ ὀφθαλμὸς βλέπει, τὰ ὦτα ἀκούουσι, τὸ στόμα λαλεῖ, αἱ χεῖρες ἐργοχειροῦσιν, οἱ πόδες περιπατοῦσι· καὶ ὅμως ἡ διαφορὰ τῶν δυνάμεων, τῶν ἐν τοῖς μέλεσιν ἡμῶν, οὐ διαφθείρει, ἀλλὰ περιθάλπει τοὺς συνδέσμους τῆς ἑνότητος τοῦ σώματος. Κατὰ τὸν αὐτὸν τρόπον καὶ ἡ διαφορὰ τῶν χαρισμάτων τῶν μελῶν τοῦ σώματος τῆς ἐκκλησίας οὐ καταργεῖ, ἀλλὰ ςηρίζει τοὺς πνευματικοὺς συνδέσμους τῆς ἑνότητος τοῦ σώματος τῆς ἐκκλησίας, ἥτις ἐστὶ τῶν πιστῶν τὸ πλήρωμα· « Ἀδελφὸς » ὑπ' ἀδελφοῦ βοηθούμενος, ὡς πόλις ὀχυ» ρὰ καὶ ὑψηλή, ἰσχύει δὲ ὥσπερ τεθεμε» λιωμένον βασίλειον » (2).

(1) Ματθ. 28, 18. (2) Θεοδώρητ. Αὐτ. (3) Λευϊτ. 26, 12. Β'. Κορ. 6, 16. (4) Παροιμ., 9, 1.
(5) Εφεσ. 4, 7. (6) Α'. Κορ. 12, 29, 30.



(1) Ματθ. 25 15. (2) Παροιμ. 18, 19.

# ΟΜΙΛΙΑ

ΜΕΤΑ ΤΗΝ ΠΡΟΣ

# ΕΦΕΣΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗι ΚΕ'. ΚΥΡΙΑΚΗι.

Ὅτι ἡ μεταξὺ τῶν ἀνθρώπων συμφωνία ἐστὶν ἡ πηγὴ πάσης εὐτυχίας, καὶ τῆς αἰωνίου σωτηρίας ἡ πρόξενος, τόσον φανερόν ἐστι καὶ βέβαιον, ὥστε οὐδεμιᾶς ἀποδείξεως ἔχει χρείαν. Αὐτὴ διαφυλάττει στερεὸν τῆς πολιτείας τὸ σύςημα, ἀσάλευτον τὴν σύστασιν παντὸς οἴκου, ἀσκανδάλιςον τῆς ἐκκλησίας τὸ πλήρωμα, βεβαίαν πάσης ψυχῆς τὴν σωτηρίαν· πλὴν ἡ τοιαύτη ἀρετή, ὅσον ἐστὶ μεγάλη καὶ ἀναγκαία, τόσον ἐστὶ δυσκατόρθωτος καὶ δυσκολοφύλακτος· ὅσα πρόσωπα ἀνθρώπων, τόσαι εἰσὶ καὶ αἱ γνῶμαι· διαφέρουσι δὲ ἀλλήλων αἱ γνῶμαι, καθὼς καὶ τῶν προσώπων οἱ χαρακτῆρες. Ἐκ τούτου συμβαίνει, ὅτι τὸ αὐτὸ πρᾶγμα οὐκ ἔστιν ἐπίσης εἰς πάντας ἀρεστόν· ἀλλ' εἰς τοῦτον μὲν ἀρέσκει, εἰς ἐκεῖνον δὲ ἀπαρέσκει· ἐκ τούτου συμβαίνει, ὅτι ἐκεῖνο, ὃ σὺ θαυμάζεις, εἰς τὸν ἄλλον προξενεῖ γέλωτα· τοῦτο δὲ φέρει μεγάλην δυσ-

(1) Ματθ. 25 15. (2) Παροιμ. 18, 19.

κολίαν πρὸς τὴν σύστασιν τῆς μεταξὺ τῶν ἀνθρώπων συμφωνίας· αὐξάνει δὲ ἡ τοιαύτη δυσκολία κατ' ἀναλογίαν τοῦ ἀριθμοῦ τῶν ἀνθρώπων, ὅσον δηλαδὴ περισσότεροί εἰσιν οἱ ἄνθρωποι, τόσον μεγαλητέρα ἐστὶν ἡ δυσκολία τῆς συστάσεως τῆς μεταξὺ αὐτῶν συμφωνίας. Ἐὰν αἱ γνῶμαι τῶν ἀνθρώπων ἦσαν ἀμετάβλητοι, ἀφ' οὗ ἐγίνοντο σύμφωνοι, ἐπέμενον διὰ παντὸς συμπεφωνημένοι· ἀλλ' αἱ γνῶμαι τῶν ἀνθρώπων ἀκαταπαύστως μεταβάλλονται· ἄλλο ἐπιθυμῶ καὶ θέλω σήμερον, καὶ ἄλλο μετ' ὀλίγας ἡμέρας· πολλάκις δὲ ἄλλο τὸ πρωΐ, και ἄλλο τὸ ἑσπέρας· ὅθεν κἂν σήμερον συμφωνήσωσιν οἱ ἄνθρωποι, αὔριον μεταβάλλοντες γνώμην, γίνονται ἀσύμφωνοι καὶ ἀντιμαχόμενοι. Ποῖον οὖν πρᾶγμα δύναται ἀντιπολεμῆσαι τῆς ἑνώσεως τὰ ἐμπόδια, καὶ τοὺς συνδέσμους αὐτῆς συσφίγξαι; οὐδείς, πλὴν τοῦ θεοφωτίστου Παύλου, ἐφανέρωσε τὸν τρόπον· αὐτός διὰ τῆς σήμερον ἀναγνωσθείσης ἐπιστολῆς αὐτοῦ ἐδίδαξε τὸν τρόπον· «Ἀνεχόμενοι, εἶπεν, ἀλ» λήλων ἐν ἀγάπῃ» (1). Ἡ ἀνοχὴ οὖν ἐστιν ἡ μήτηρ τῆς ἑνότητος καὶ ὁ φύλαξ· ἐδίδαξε δὲ ἀλλαχοῦ σαφέστερον, τί σημαίνει ἡ ἀνοχή, εἰπών· «Ἀλλήλων τὰ βάρη βαςάζετε, » καὶ οὕτως ἀναπληρώσατε τὸν νόμον τοῦ » Χριστοῦ» (2). Ὅτε μετ' ἀγάπης ὑποφέρομεν τὰ ἐλαττώματα ἀλλήλων, τότε καὶ συνίςαται καὶ διαμένει ἡ μεταξὺ ἡμῶν ἕνωσις· ὅθεν ὅπου ἀνοχή, ἐκεῖ καὶ ἕνωσις· ὅπου δὲ λείπει ἡ ἀνοχή, ἐκεῖθεν φεύγει ἡ ἑνότης.

Ἐπειδὴ οὐδεὶς ἄνθρωπος εἰς τὸν κόσμον χωρὶς ἐλαττώματος, οὐδείς ἐστιν ἐλεύθερος παντὸς σφάλματος· « Τίς γὰρ καθαρὸς ἀπὸ » ῥύπου; ἀλλ' οὐδείς, εἶπεν ὁ δίκαιος Ἰώβ, » ἐὰν καὶ μία ἡμέρα ὁ βίος αὐτοῦ ἐπὶ τῆς » γῆς » (3)· διὰ τοῦτο, ἐὰν ὁ εἷς ὑποφέρῃ τὸ ἐλάττωμα καὶ τὴν ἀσθένειαν τοῦ ἄλλου, σώζεται ἡ συμφωνία καὶ ἡ ἕνωσις· ἐὰν δὲ ὁ εἷς οὐδὲ τὸ ἐλάττωμα βαστάζῃ, οὐδὲ τὴν ἀσθένειαν τοῦ ἄλλου ὑποφέρῃ, ἐξ ἀνάγκης ἀκολουθεῖ ἡ λύσις τῆς συμφωνίας καὶ τῆς ἑνότητος ὁ χωρισμός. Ὅταν σὺ μὲν ὑποφέρῃς τὸν θυμόν μου, ἐγὼ δὲ τὴν ὀκνηρίαν σου, τότε καὶ συναναστρεφόμεθα, καὶ συμπραγματευόμεθα, καὶ συγκατοικοῦμεν, καὶ μετὰ εἰρήνης καὶ ἀγάπης ὁμοῦ συζῶμεν· ἐὰν δὲ οὐδὲ σὺ ὑποφέρῃς τοῦ θυμοειδοῦς ἤθους μου τὰ ἔργα, οὐδ' ἐγὼ βαστάζω τὴν ἐκ τῆς ὀκνηρίας σου ζημίαν, ἐξ ἀνάγκης φεύγομεν ἀλλήλους, καὶ ἀποχωριζόμεθα.

Τί ἐχώρισε τὸν Ἀβραὰμ ἀπὸ τοῦ ἠγαπημένου ἀνεψιοῦ αὐτοῦ Λώτ; τὸ σφάλμα τῶν ποιμένων· αὐτοὶ ἐμάχοντο μεταξὺ ἀλλήλων διὰ τὴν στενότητα τοῦ τόπου, ἐν ᾧ ἐποίμαινον τὰ πρόβατα τῶν κυρίων αὐτῶν. Ἐὰν ὁ Ἀβραὰμ καὶ ὁ Λὼτ ἐβάσταζον καρτερικῶς τὴν ἀλληλομαχίαν τῶν ποιμένων, οὐκ ἔλεγεν ὁ Ἀβραὰμ πρὸς τὸν Λώτ· «Δια» χωρίσθητι ἀπ' ἐμοῦ, εἰ σὺ εἰς ἀριστερά, » ἐγὼ εἰς δεξιά· εἰ δὲ σὺ εἰς δεξιά, ἐγὼ εἰς » ἀριστερά » (4). Ἐὰν αὐτοὶ ὑπέφερον τὴν τῶν ποιμένων αὐτῶν ἀδιακρισίαν, οὐκ ἐχωρίζοντο ἀπ' ἀλλήλων, ἀλλ' ἔμενον ἡνωμένοι, καθὼς καὶ πρότερον. Ἐὰν ἡ Σάῤῥα ὑπέφερε τὴν ὑπερηφάνειαν τῆς Ἄγαρ, οὐδὲ πρὸς τὸν Ἀβραὰμ προσεκλαίετο, λέγουσα· « Ἀδικοῦμαι ἐκ σοῦ » (5), οὐδὲ τὴν Ἄγαρ ἐδίωκεν ἐκ τῆς οἰκίας τοῦ Ἀβραάμ, ἀλλ' ἔμενε συγκατοικοῦσα μετ' αὐτῆς ἐν εἰρήνῃ, καθὼς καὶ πρὶν ἢ ὑπερηφανευθῇ. Ὁ Ἰσμαὴλ παίζει μετὰ τοῦ Ἰσαάκ, ἡ δὲ Σάῤῥα οὐχ

(1) Ἐφεσ. 4, 2. (2) Γαλ. 6, 2. (3) Ἰὼβ 14, 4, 5. (4) Γεν. 13, 9. (5) Αὐτ. 16, 5.



ὑποφέρει τὴν τούτου αὐθάδειαν, ἀλλὰ λέγει πρὸς τὸν Ἀβραάμ· « Ἔκβαλε τὴν παιδί» σκην ταύτην καὶ τὸν υἱὸν αὐτῆς » (1)· ἐὰν ἡ Σάῤῥα ἐβάσταζε τὴν παιδαριώδη τόλμαν τοῦ Ἰσμαήλ, τίς ἀμφιβάλλει, ὅτι αὐτὸς ἔμενε τότε ἐν τῇ οἰκίᾳ τοῦ πατρὸς αὐτοῦ; Ἐὰν δὲ παρατηρήσῃς καὶ τὸν παροξυσμόν, ὅστις ἐχώρισεν ἀπ' ἀλλήλων τοὺς συνοδοποιροῦντας καὶ ἠγαπημένους κήρυκας τοῦ Εὐαγγελίου, τὸν Παῦλον λέγω καὶ τὸν Βαρνάβαν, βλέπεις ὅτι ἡ παραχώρησις τῆς ἀνοχῆς ἐστι τὸ αἴτιον καὶ τοῦ παροξυσμοῦ καὶ τοῦ χωρισμοῦ· ἡ μὲν ἀγαθότης τοῦ Βαρνάβα παρέβλεπε τὴν ἀνυποταξίαν τοῦ Μάρκου, ὁ δὲ ζῆλος τοῦ Παύλου οὐχ ὑπέφερεν αὐτήν, ἀλλὰ προέκρινεν, ἵνα χωρισθῇ ἀπὸ τοῦ Βαρνάβα, παραλάβῃ δὲ τὸν Σίλαν, ἵνα μετ' αὐτοῦ διέλθῃ « Τὴν Συρίαν » καὶ Κιλικίαν » (2).

Ἀλλὰ τίς ἡ χρεία παραδειγμάτων παλαιῶν καὶ μὴ βλεπομένων, ἀλλ' ἀναγινωσκομένων; περὶ τούτου, ὅπου ἂν στρέψῃς τὰ ὄμματα, ἐκεῖ βλέπεις τὴν ἀπόδειξιν. Ἐνατένισον εἰς τὴν ἐκκλησίαν· ὅταν τῆς ἐκκλησίας οἱ ποιμένες ὑποφέρωσι τὰ σφάλματα τοῦ λαοῦ, καθὼς ὁ γεωργὸς τοῦ Εὐαγγελίου τῆς συκῆς τὴν ἀκαρπίαν (3)· καὶ ἐλέγχωσιν αὐτοὺς μετὰ πρᾳότητος, καθὼς ἐκεῖνος μεθ' ὑπομονῆς ἔσκαπτε τὴν συκῆν τὴν ἄκαρπον· καὶ μετ' ἐπιμελείας νουθετῶσι καὶ συμβουλεύωσιν αὐτούς, καθὼς ἐκεῖνος ἔβαλε περὶ αὐτὴν τὴν κοπρίαν· ὁ δὲ λαὸς μηδὲ κατακρίνων, μηδὲ περιεργαζόμενος τὰ τῶν ποιμένων ἐλαττώματα, φυλάττει κατὰ τὴν ἐντολὴν τοῦ Κυρίου πάντα, ὅσα αὐτοὶ διδάσκουσι (4)· τότε βλέπεις εἰς τὴν ἐκκλησίαν ἐκείνην τὸν σύνδεσμον τῆς εἰρήνης καὶ τὴν ἑνότητα τοῦ πνεύματος· ἐκεῖ βλέπεις τὴν πίστιν καὶ τὴν εὐλάβειαν, τὴν φυλακὴν τῶν θείων νόμων, καὶ τὴν διατήρησιν τῶν πατρικῶν κανόνων καὶ διατάξεων· ἐκεῖ βλέπεις τοὺς ὡραιοτάτους καὶ σωτηρίους τῆς ἀγάπης καρπούς, καὶ τό, « Ἓν σῶμα καὶ ἓν πνεῦμα » (5) κατὰ τὴν τοῦ Παύλου διδασκαλίαν. Ὅταν δὲ λείψῃ ἀπὸ τῆς ἐκκλησίας ἡ ἀμοιβαία τῆς ἀνοχῆς ἀρετή, καὶ νομίζηται τὸ κάρφος, τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ, δοκός, καὶ διϋλίζηται ὁ κώνωψ (6)· ὅταν οἱ μὲν ποιμένες οὐδόλως μακροθυμῶσιν εἰς τὰ σφάλματα τοῦ λαοῦ, οὐδὲ δέωνται τοῦ Κυρίου, ὡς ὁ καλὸς γεωργὸς παρεκάλει ὑπὲρ τῆς ἀκάρπου συκῆς, λέγων· « Κύριε, ἄφες αὐτὴν καὶ τοῦτο » τὸ ἔτος, ἕως ὅτου σκάψω περὶ αὐτήν, » καὶ βάλω κοπρίαν (7)· ὁ δὲ λαός, μηδόλως παραβλέπων οὐδὲ τὰ μικρότατα τῶν ποιμένων ἀσθενήματα, περισύρῃ καὶ κατακρίνῃ αὐτούς· ὢ πόσα κακὰ τότε εἰς τὴν ἐκκλησίαν, ἀνυποταξίαι, μῖσος, σκάνδαλα, ἀλληλομαχίαι· οἱ ποιμένες ἀποστρέφονται τὰ πρόβατα, τὰ πρόβατα φεύγουσι τοὺς ποιμένας, λύονται τῆς εἰρήνης οἱ σύνδεσμοι, συντρίβεται ἡ ἑνότης τοῦ ἑνὸς σώματος καὶ τοῦ πνεύματος.

Εἴσελθε εἰς ὁποίαν θέλεις πόλιν· ἐὰν εἰς αὐτὴν βλέπῃς, ὅτι οἱ ἄρχοντες βαστάζωσι τῶν ὑπηκόων τὰ βάρη, οἱ δὲ ὑπήκοοι τῶν ἀρχόντων τὰ ἐλαττώματα· οἱ ἀξιωματικοὶ τῶν ἰδιωτῶν τὴν αὐθάδειαν, καὶ οἱ ἰδιῶται τῶν ἀξιωματικῶν τὴν ὑπερηφάνειαν· οἱ πλούσιοι τῶν πτωχῶν τὴν ἐνόχλησιν, καὶ οἱ πτωχοὶ τὴν ἐκ τῶν πλουσίων περιφρόνησιν· ἑνὶ λόγῳ, ἐὰν βλέπῃς ἐκεῖ, ὅτι ἕκαστος βαστάζει τοῦ ἄλλου τὸ παράπτωμα· ἐκεῖ

(1) Γεν. 21, 10. (2) Πράξ. 15, 41. (3) Λουκ. 13, 8. (4) Ματθ. 23, 3. (5) Ἐφεσ. 4, 4.
(6) Ματθ. 7. 3. Ματθ. 23, 24. (7) Λουκ. 13, 8.

κατοικεῖ ἡ εἰρήνη καὶ ἡ ὁμόνοια, ἐν αὐτῇ τῇ πόλει εὐοδοῦνται πάντα τὰ εἰς τὴν κοινότητα συμφέροντα, ἐν αὐτῇ προκόπτει πᾶν καλὸν ἐπιχείρημα, ἐν αὐτῇ ἀκμάζει καὶ ἀνθεῖ πᾶν εἶδος εὐτυχίας. Εἴσελθε εἰς ὁποίαν οἰκίαν θέλῃς· ἐὰν ἐκεῖ ὑποφέρῃ ὁ ἀνὴρ τῆς γυναικὸς τὴν ἀδυναμίαν, ἡ δὲ γυνή, τοῦ ἀνδρὸς τὸ ἐλάττωμα· οἱ γονεῖς τὴν ἀκαταστασίαν τῆς νεότητος τῶν τέκνων, τὰ δὲ τέκνα, τῶν γονέων τὰ ἀσθενήματα· ἡ πενθερά, τῆς νύμφης τὴν ἔπαρσιν, ἡ δὲ νύμφη, τῆς πενθερᾶς τὸ εὐάφορμον· ὁ δεσπότης, τῶν δούλων τὴν ἀμέλειαν, οἱ δὲ δοῦλοι, τοῦ δεσπότου τὴν αὐστηρότητα· εἰς ἐκεῖνον τὸν οἶκον εὑρίσκεται ἡ μεταξὺ ἀλλήλων συμφωνία, καὶ τῆς εἰρήνης καὶ ἀγάπης ἡ χάρις; καὶ ἡ εὔτακτος τοῦ οἴκου διοίκησις καὶ συντήρησις. Ἐὰν δὲ λείψῃ ἡ ἀνοχὴ ἀπὸ τῶν πόλεων, ἐὰν ὁ πολίτης οὐχ ὑποφέρῃ τοῦ συμπολίτου αὐτοῦ τὸ ἐλάττωμα· πόση δυστυχία ἀκολουθεῖ εἰς τὰς πόλεις ; πόση ἀσυμφωνία μεταξὺ τῶν πολιτῶν ; πόσα σκάνδαλα ; πόσαι ἀλληλομαχίαι ; πόση φθορὰ εἰς τὰ κοινὰ πράγματα; ἐὰν λείψῃ ἡ ἀνοχὴ ἀπὸ τῆς οἰκίας, ἐὰν ὁ οἰκιακὸς οὐ βαστάζῃ τὸ βάρος τοῦ οἰκιακοῦ αὐτοῦ· πόση διχόνοια εἰς τὸν οἶκον ἐκεῖνον, καὶ πόση πικρία ; ἐξ ἧς χωρίζονται πολλάκις οἱ συγγενεῖς ἀπὸ τῶν συγγενῶν, καὶ οἱ ἀδελφοὶ ἀπὸ τῶν ἀδελφῶν, καὶ οἱ γονεῖς ἀπὸ τῶν τέκνων· αἱ τοιαῦται δὲ ἀσυμφωνίαι καὶ διχόνοιαι οὐ μόνον διαμερίζουσιν, ἀλλὰ καὶ ἐρημοῦσι καὶ τὰς οἰκίας καὶ τὰς πόλεις καὶ αὐτὰς τὰς βασιλείας· « Πᾶσα βασιλεία μερισθεῖσα καθ' ἑαυτῆς, » ἐρημοῦται· καὶ πᾶσα πόλις ἢ οἰκία με» ρισθεῖσα καθ' ἑαυτῆς, οὐ σταθήσεται» (1).

Ἀκούσατε ὅμως, ἀδελφοί, πρᾶγμα παράδοξον καὶ ἀξιοσημείωτον· αἱ κακίαι κατοικοῦσι πολλὰ πλησίον, καὶ εἰς αὐτὰ τὰ πρόθυρα, ἵν' οὕτως εἴπω, τῶν ἀρετῶν· ἔχει δὲ πᾶσα ἀρετὴ ἴδια ὁροθέσια· ὅθεν, ὅταν αὐτὰ ὑπερβῇς, πίπτεις εἰς τὴν κακίαν τὴν πλησίον τῆς ὑπὸ σοῦ κατορθουμένης ἀρετῆς· παραδείγματος χάριν, ὅταν μετὰ ὑπερβολικῆς αὐστηρότητος λεπτολογῇς τὴν δικαιοσύνην, εὐκόλως πίπτεις εἰς τῆς ἀσπλαγχνίας τὸν βόθρον· διὰ τοῦτο δὲ εἶπεν ὁ Ἐκκλησιαστής· « Μὴ γίνου δίκαιος πολύ » (2). Ὅταν δὲ ὑπερβαίνῃς τοὺς ὅρους τῆς εὐσπλαγχνίας, εὐκόλως κρημνίζεσαι εἰς τῆς ἀδικοκρισίας τὸ βάραθρον· διὰ τοῦτο δὲ ὁ προφητάναξ συνάπτων τὴν δικαιοσύνην μετὰ τοῦ ἐλέους, ἔψαλλεν· « Ἔλεος καὶ κρίσιν » ᾄσομαί σοι, Κύριε » (3). Τοῦτο συμβαίνει, φεῦ τῆς δυστυχίας! καὶ εἰς τὴν μεγάλην ἀρετὴν τῆς ἀνοχῆς· αὐτὴ ἔχει ὅρια· ὅθεν, ὅταν ὑπερπηδήσωμεν αὐτά, καταποντιζόμεθα εἰς τὴν ἄβυσσον τοῦ ὀλεθρίου τῆς ἀδιαφορίας ἁμαρτήματος.

Τῆς ἀνοχῆς τὸ ὁροθέσιόν ἐστιν ἡ ἀγάπη, οὐχ' ἡ ἀγάπη ἡ σαρκικὴ καὶ κοσμική, ἀλλ' ἡ πνευματικὴ καὶ εὐαγγελική· ὁ Παῦλος ὅστις ἐδίδαξε τὴν ἀνοχήν, αὐτὸς διέθετο καὶ τῆς ἀνοχῆς τοὺς ὅρους· « Ἀνεχόμε» νοι, εἶπεν, ἀλλήλων ἐν ἀγάπῃ » (4). Ὅταν βλέπῃς καὶ διακρίνῃς, ὅτι ἡ ἀνοχὴ ὠφελεῖ τὸν πλησίον σου, βάσταζε τότε τὰ ἀσθενήματα καὶ τὰ ἐλαττώματα αὐτοῦ καρτερικῶς καὶ γενναιοφρόνως· διότι ἡ τοιαύτη ἀνοχή ἐστιν ἀρετή, πολλῶν ἀγαθῶν καὶ τῆς αἰωνίου σωτηρίας πρόξενος. Ἐὰν δὲ γνωρίζῃς, ὅτι ἡ ἀνοχὴ βλάπτει τὸν ἀδελφόν σου, οὐδόλως δὲ φροντίζῃς, ἀλλὰ

(1) Ματθ. 12, 25. (2) Ἐκκλ. 7, 16. (3) Ψαλμ. 100, 1. (4) Ἐφεσ. 4, 2.



παραβλέπῃς τὰ τούτου σφάλματα, τότε ἡ ἀνοχὴ οὐκ ἔστιν ἀρετή, ἀλλ' ἁμαρτία μεγάλη· αὐτή ἐστιν ἡ ἀδιαφορία, ἥτις ἐστὶν ἔλλειψις τῆς ἀγάπης, καὶ ἐπομένως πολλῶν καὶ μεγάλων κακῶν πηγὴ καὶ μήτηρ.

Ἡ ἀδιαφορία ἄλλοτε μὲν γεννᾶται ἐκ τῆς ἀμελείας, ἄλλοτε δὲ ἐκ τῆς φιλαυτίας· ἄλλοτε μὲν γεννῶσιν αὐτὴν οἱ κοσμικοὶ ϛοχασμοί, ἄλλοτε δὲ ἡ σαρκικὴ ἀγάπη· βλέπω τὸν ἀδελφόν μου ἁμαρτάνοντα, ἔχω δὲ καὶ δύναμιν καὶ δικαίωμα, ἵνα νουθετήσω αὐτόν, ἀλλ' ἡ ἀμέλεια κλείει τὸ στόμα μου, καὶ ἁρπάζει τὴν νουθεσίαν ἀπὸ τῆς γλώσσης μου· βλέπω τὸν ἀδελφόν μου ἁμαρτάνοντα, ἔχω δὲ καὶ δύναμιν καὶ δικαίωμα, ἵνα ἐλέγξω αὐτόν, ἀλλ' ἡ φιλαυτία βάλλει θύραν περιοχῆς περὶ τὰ χείλη μου, πείθουσά με, ὅτι ἐκεῖνος ἐλεγχθείς, προξενεῖ μοι πολλὴν ταραχὴν καὶ ἐνόχλησιν· βλέπω τὸν ἀδελφόν μου ἁμαρτάνοντα, καὶ ἔχω δικαίωμα καὶ ἐξουσίαν, ἵνα ἐμποδίσω αὐτόν, ἀλλ' ἔρχονται οἱ πολιτικοὶ στοχασμοί, λέγοντες, μὴ ποιήσῃς τοῦτο, διότι παροργίζεται, καὶ γίνεται ἐχθρὸς ἀντὶ φίλου· ἢ ἔρχεται ἡ σαρκικὴ ἀγάπη, λέγουσα, μὴ ἐμποδίσῃς αὐτόν, διότι προξενεῖς εἰς αὐτὸν πικρίαν καὶ θλίψιν· ταῦτα δὲ κρατοῦσι δεδεμένας τὰς χεῖράς μου, καὶ ὡς τυφλὸς καὶ κωφὸς καὶ ἀναίσθητος οὐδὲ βλέπω, οὐδὲ ἀκούω, οὐδὲ αἰσθάνομαι, πόσα κακὰ προέρχονται ἐκ τῆς ἀδιαφορίας μου.

Τίς δὲ δύναται παραστῆσαι, ὁποῖα καὶ πόσα ἁμαρτήματα προξενεῖ ἡ ἀδιαφορία ; ὅταν οἱ προεστῶτες τῆς ἐκκλησίας, οἱ ἔχοντες ἀποστολικὴν ἐντολήν, ἵνα τιμῶσι μὲν τοὺς τῶν καλῶν ἔργων προστάτας, καὶ μάλιστα τοὺς κοπιῶντας « Ἐν λόγῳ καὶ δι» δασκαλίᾳ » (1)· ἐλέγχωσι δὲ τοὺς ἁμαρτάνοντας, καὶ ἐπιφέρωσι τὰ ἐπιτίμια, καὶ παρακαλῶσιν αὐτοὺς « Ἐν πάσῃ μακροθυ» μίᾳ καὶ διδαχῇ » (2), ὡς μὲν ἀναίσθητοι οὐδεμίαν τιμὴν προσφέρωσιν εἰς τοὺς ἐναρέτους ἀνθρώπους· ὡς δὲ ἄλαλοι οὐδέποτε οὐδὲ ἐλέγχωσιν, οὐδὲ νουθετῶσι τοὺς ποιοῦντας τὰ ἔργα τῆς ἁμαρτίας· πόσον ἀμελεῖται τότε ἡ ἀρετή, πόσον πολυπλασιάζεται ἡ ἁμαρτία, ὅταν ὁ λύκος, ἤγουν ὁ ἄπιϛος, ἢ ὁ αἱρετικός, ἢ ὁ κεχωρισμένος τῆς ἐκκλησίας, εἰσέρχηται εἰς τὴν αὐλὴν τῶν λογικῶν προβάτων, οἱ δὲ ποιμένες οὐδὲ τὰ πρόβατα ἐπιστηρίζωσιν εἰς τὴν εὐσέβειαν, οὐδὲ τοῦ λύκου τὰς ἐπιβουλὰς ἐμποδίζωσιν, ἀλλὰ μετὰ τῆς αὐτῆς ἀδιαφορίας βλέπωσι καὶ τὸν λύκον καὶ τὰ πρόβατα· πόσα πρόβατα τότε ἁρπάζονται, πόσα σκορπίζονται, πόση φθορὰ καὶ ἀπώλεια γίνεται εἰς τὰς τῶν πιστευόντων ψυχάς. Ὅταν τοῦ Θεοῦ οἱ διάκονοι, ἤγουν οἱ βασιλεῖς, καὶ οἱ ἄρχοντες, καὶ οἱ ἐξουσιασταί (3), οὐκ ὀργίζωνται ἐναντίον εἰς τοὺς πράττοντας τῆς ἀνομίας τὰ ἔργα, ἀλλὰ φορῶσι τὴν μάχαιραν ἀργὴν καὶ ματαίαν, καὶ μετὰ τοῦ αὐτοῦ ἱλαροῦ ὄμματος βλέπωσι καὶ τοὺς ἀγαθοὺς καὶ τοὺς πονηρούς· τότε φεύγει τῆς ἁμαρτίας ὁ φόβος, φεύγει ἡ ἐντροπὴ καὶ ἡ συστολή, ἀναισχυντοῦσιν οἱ ἄνομοι, θριαμβεύει ἡ ἁμαρτία, ὑπερπληθύνονται πάντα τὰ κακά· ὅταν οἱ γονεῖς οὐδόλως φροντίζωσι περὶ τῆς διορθώσεως τῶν ἁμαρτημάτων τῶν ἰδίων τέκνων, πόσον αὐξάνει τότε ἐν τῷ οἴκῳ αὐτῶν ἡ ἀνομία, καὶ ἡ ἁμαρτία, καὶ ἡ διαφθορά ;

Γνωστὰ καὶ φανερά εἰσι τὰ πολλὰ καὶ μεγάλα ἁμαρτήματα τὰ ἐκ τῆς ἀδιαφο-

(1) Α'. Τιμ. 5, 17. 20. (2) Β'. Τιμ. 5, 2. (3) Ῥωμ. 13, 4.

ρίας προερχόμενα· καὶ ὅμως τινὲς νομίζουσιν, ὅτι ἡ ἀδιαφορία οὐκ ἔστιν ἁμαρτία, ἐπειδὴ οὐδὲ ἐντολή, οὐδὲ νόμος αὐτὴν ἐμποδίζει· ἄ, « Μάταιοι οἱ υἱοὶ τῶν ἀνθρώπων, ψευδεῖς οἱ υἱοὶ τῶν ἀνθρώπων ἐν ζυγοῖς » (1). Καὶ τί ἄλλο ἐστὶν ἡ ἀδιαφορία, εἰμὴ παντελὴς ἀθέτησις τῆς δευτέρας ἐντολῆς τοῦ Θεοῦ, ἤγουν τῆς τοῦ πλησίον ἀγάπης; Τίς ἐστιν ἐκεῖνος ὁ ἄνθρωπος, ὅστις ἀγαπᾷ τὸν πλησίον αὐτοῦ ὡς ἑαυτόν, ἔπειτα βλέπων αὐτὸν δυστυχοῦντα, ἢ δυσυχίαν κοσμικήν, ἢ συμφορὰν ψυχικήν, καὶ δυνάμενος βοηθῆσαι αὐτῷ, διαμένει ἀκίνητος καὶ ἀναίσθητος, παραβλέπων τὴν τούτου ἀπώλειαν; ἀνοίξατε τὴν θείαν Γραφήν, καὶ ἴδετε ἐκεῖ τὴν δικαιοτάτην κρίσιν τοῦ Θεοῦ κτὰ τῶν ἀδιαφορούντων. Ὁ Ἠλὶ ὁ ἱερεὺς μετὰ πάσης προσοχῆς καὶ εὐλαβείας ἐπλήρωσε τὸ ἱερατικὸν αὐτοῦ ἐπάγγελμα, καὶ μετὰ πάσης δικαιοσύνης ἔκρινε τὸν λαὸν τοῦ Ἰσραήλ· ὅμως οἱ υἱοὶ αὐτοῦ, ὁ Ὀφνί, καὶ Φινεές, κατεφρόνουν τὸν Θεόν, ἁρπάζοντες βιαίως, πρὶν ἢ προσενεχθῇ ἡ θυσία, τὰ ἐκλεκτότερα μέρη τοῦ κρέατος τῶν ζώων τῶν θυσιαζομένων τῷ Θεῷ. Ὁ δὲ Ἠλὶ ταῦτα ἀκούων οὐδὲ ὡς προεστὼς τῶν ἱερέων ἐμπόδισε τὴν ἀνομίαν, οὐδὲ ὡς κριτὴς τοῦ λαοῦ ἐπαίδευσε τοὺς ἀνομοῦντας, οὐδὲ ὡς πατὴρ διώρθωσε τοὺς ἁμαρτάνοντας υἱοὺς αὐτοῦ· εἴτε δὲ ὑπὸ τῆς ἀμελείας νικώμενος, εἴτε ὑπὸ τῆς πατρικῆς ἀγάπης τυφλούμενος, τοῦτο μόνον ἔλεγε πρὸς τοὺς υἱοὺς αὐτοῦ· « Μὴ τέκνα, ὅτι οὐκ ἀγαθὴ ἡ ἀκοή, ἣν ἐγὼ ἀκούω· μὴ ποιεῖτε οὕτως, ὅτι οὐκ ἀγαθαὶ αἱ ἀκοαὶ ἃς ἐγὼ ἀκούω τοῦ μὴ δουλεύειν λαὸν Θεῷ » (2). Ἀκούσατε δὲ τὴν περὶ τούτου δικαιοτάτην τοῦ Θεοῦ ἀπόφασιν· πρῶτον μὲν ἐλέγχει ὁ Θεὸς τὸν Ἠλί, ὥσπερ ἂν εἰ αὐτὸς ἔπραττε ταύτην τὴν ἁμαρτίαν· « Ἵνα τί, εἶπε πρὸς αὐτόν, ἐπέβλεψας ἐπὶ τὸ θυμίαμά μου ἀναιδεῖ ὀφθαλμῷ; καὶ ἐδόξασας τοὺς υἱούς σου ὑπὲρ ἐμὲ ἐνευλογεῖσθαι ἀπαρχῆς πάσης θυσίας τοῦ Ἰσραὴλ ἔμπροσθέν μου; » (3) Ἔπειτα ἐφανέρωσεν εἰς αὐτὸν τὴν τιμωρίαν, δι᾽ ἧς ἔμελλεν αὐτὸν παιδεῦσαι· «Καὶ τοῦτό σοι, εἶπε, τὸ σημεῖον, ὃ ἥξει ἐπὶ τοὺς δύο υἱούς σου, Ὀφνὶ καὶ Φινεές, ἐν μιᾷ ἡμέρᾳ ἀποθανοῦται ἀμφότεροι » (4)· τοῦτο δὲ καὶ ἐγένετο, διότι εἰς μίαν καὶ τὴν αὐτὴν ἡμέραν ἐφονεύθησαν οἱ δύο υἱοὶ αὐτοῦ ὑπὸ τῶν ἀλλοφύλων· τοῦτο δὲ ἀκούσας ὁ γέρων Ἠλί, ἔπεσεν ἀπὸ τοῦ δίφρου ἐν ᾧ ἐκάθητο, καὶ συντρίψας τὸν νῶτον αὐτοῦ, ἀπέθανε. « Καὶ ἔπεσεν ἀπὸ τοῦ δίφρου ὀπισθίως ἐχόμενος τῆς πύλης, καὶ συνετρίβη ὁ νῶτος αὐτοῦ, καὶ ἀπέθανεν, ὅτι πρεσβύτης ὁ ἄνθρωπος καὶ βαρύς, καὶ αὐτὸς ἔκρινε τὸν Ἰσραὴλ εἴκοσιν ἔτη» (5).

Παράδειγμα τοῦτο φοβερόν· ἐκ τούτου καθεὶς βλέπει, ὅτι, ὅστις ἔχει μὲν δικαίωμα καὶ ἐξουσίαν πρὸς τὸ ἐμποδίσαι τοὺς ἁμαρτάνοντας, αὐτὸς δὲ οὐκ ἀγωνίζεται παντὶ τρόπῳ, ἵνα στήσῃ τῆς ἀνομίας τὸ ῥεῦμα, κἂν ἔχῃ πίστιν, κἂν ἔχῃ ἀρετήν, κἂν ἐκπληροῖ θεοπρεπῶς τὸ ἐπάγγελμα αὐτοῦ, ἐλέγχεται ὅμως ὑπὸ τοῦ Θεοῦ, καὶ παιδεύεται, ὡς καὶ αὐτοὶ οἱ ἁμαρτάνοντες. Προεστῶτες ἐκκλησιαστικοί, βασιλεῖς τῆς γῆς, ἄρχοντες κοσμικοί, οἰκοδεσπόται, πατέρες, μητέρες, ἄνθρωποι πάντες, ὅσοι δύνασθε ἐμποδίσαι τὸ κακόν, καὶ οὐκ ἐμποδίζετε αὐτό, ἀλλὰ παραβλέπετε, καὶ σιωπᾶτε, καὶ κοιμᾶσθε, μνημονεύετε διὰ παντὸς τὸ φο-

(1) Ψαλ. 61, 9. (2) Α'. Βασ. 2, 24. (3) Αὐτ. 29. (4) Αὐτ. 34. (5) Αὐτ. 4, 18.



βερώτατον τοῦ Ἠλὶ παράδειγμα· βαστάζετε τῶν ἀδυνάτων τὰ ἀσθενήματα, ἐπειδὴ τοῦτό ἐστι χρέος ἀπαραίτητον, ἐπειδὴ τοῦτό ἐστιν ἔργον ὠφέλιμον καὶ σωτήριον· « Ὀφείλομεν ἡμεῖς οἱ δυνατοὶ τὰ ἀσθενήματα τῶν ἀδυνάτων βαστάζειν » (1)· πλὴν βαστάζετε αὐτά, οὐχ ἵνα ἀρέσητε ἑαυτοῖς, ἀλλ᾽ ἵνα ὠφελήσητε τοὺς ἀδυνάτους· « Ὀφείλομεν ἡμεῖς οἱ δυνατοὶ τὰ ἀσθενήματα τῶν ἀδυνάτων βαστάζειν, καὶ μὴ ἑαυτοῖς ἀρέσκειν· ἕκαστος γὰρ ἡμῶν τῷ πλησίον ἀρεσκέτω εἰς τὸ ἀγαθὸν πρὸς οἰκοδομήν » (2). Τοιουτοτρόπως ἐβάσταζεν ὁ θεῖος Παῦλος τῶν ἀδυνάτων τὰ βάρη· « Ἐγενόμην, λέγει, τοῖς ἀσθενέσιν ὡς ἀσθενής, ἵνα τοὺς ἀσθενεῖς κερδήσω· τοῖς πᾶσι γέγονα τὰ πάντα, ἵνα πάντως τινὰς σώσω » (3). Φεύγετε δὲ τὴν ἀδιαφορίαν, ἥτις ἐστὶ πηγὴ πάσης ἁμαρτίας· ὁ διδάσκαλος τῆς ἀνοχῆς, αὐτὸς ἐδίδαξε καὶ τὴν φυγὴν τῆς ἀδιαφορίας· διότι αὐτὸς ἐφανέρωσεν, ὅτι ὁ κοσμικὸς ἄρχων ἐςὶ Θεοῦ ὑπηρέτης, προτρέπων πάντας πρὸς τὴν κατόρθωσιν τῶν καλῶν ἔργων, καὶ ὅτι διὰ τοῦτο βαστάζει τὴν μάχαιραν, ἵνα παιδεύῃ τοὺς τὰ παράνομα πράττοντας· « Θεοῦ γὰρ διάκονός ἐστί σοι, εἶπεν, εἰς τὸ ἀγαθόν· ἐὰν δὲ τὸ κακὸν ποιῇς φοβοῦ· οὐ γὰρ εἰκῇ τὴν μάχαιραν φορεῖ· Θεοῦ γὰρ διάκονός ἐστιν, ἔκδικος εἰς ὀργὴν τῷ τὸ κακὸν πράσσοντι » (4)· αὐτὸς ὁ θεόπνευστος ἐδίδαξε καὶ τῆς ἀδιαφορίας τὴν ἀποστροφήν, γράψας πρὸς μὲν τὸν Τῖτον· «Ταῦτα λάλει καὶ παρακάλει, καὶ ἔλεγχε μετὰ πάσης ἐπιταγῆς » (5)· πρὸς δὲ τὸν Τιμόθεον· «Τοὺς ἁμαρτάνοντας ἐνώπιον πάντων ἔλεγχε, ἵνα καὶ οἱ λοιποὶ φόβον ἔχωσι (6)· ἐπίστηθι εὐκαίρως, ἀκαίρως· ἔλεγξον, ἐπιτίμησον, παρακάλεσον ἐν πάσῃ μακροθυμίᾳ καὶ διδαχῇ (7). Βλέπετε οὖν, ἀδελφοί, πῶς ἀκριβῶς περιπατεῖτε· μὴ ὡς ἄσοφοι, ἀλλ᾽ ὡς σοφοί » (8). Ἄλλο πρᾶγμά ἐστιν ἡ ἀνοχή, καὶ ἄλλο ἡ ἀδιαφορία· ἡ ἀνοχή ἐστιν ἀρετὴ μεγάλη, ἡ ἀδιαφορία ἐςὶ πολλῶν ψυχῶν ἀπώλεια. Προσέχετε οὖν, ἵνα μή, μετερχόμενοι παραλόγως τὴν ἀνοχήν, κρημνισθῆτε εἰς τῆς ἀδιαφορίας τὸ βάραθρον. Βαστάζετε αλλήλων τὰ βάρη, ἵνα ἀλλήλους σώσητε. μὴ ἀδιαφορῆτε, ἵνα μὴ ἀλλήλους ἀπολέσητε.

(1) Ῥωμ. 15, 1. (2) Αὐτ· 2. (3) Α'. Κορ. 9, 22. (4) Ῥωμ. 13, 4. (5) Τίτ. 2, 15. (6) Α'. Τιμ. 5, 20. (7) Β'. Τιμ. 4, 2. (8) Ἐφεσ. 5, 15.

# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΗΝ ΠΡΟΣ

# ΕΦΕΣΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

## ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗι ΚΣΤ'. ΚΥΡΙΑΚΗι.

Τὸ Πνεῦμα τὸ ἅγιον, τὸ διὰ τῶν προφητῶν λαλῆσαν, οὐ μόνον τὰ περὶ τοῦ Ἰησοῦ Χριστοῦ προεῖπεν, ἀλλὰ καὶ τὰς τῆς ἠθικῆς τοῦ Εὐαγγελίου νομοθεσίας προκατήγγειλεν· ἐκ τούτου ἡ τελεία συμφωνία τῶν προφητικῶν καὶ ἀποστολικῶν διδαγμάτων. Βλέπομεν ταύτην καὶ μεταξὺ τῆς σήμερον ἀναγνωσθείσης ἀποστολικῆς ἐπιστολῆς, καὶ τῶν τοῦ προφητάνακτος Δαβὶδ διδακτικῶν λόγων· πλὴν ὁ Δαβίδ, ἐπειδὴ ψάλλων καὶ ὑμνολογῶν τὸν Θεόν, ἐνουθέτει τοὺς ἀνθρώπους, διὰ τοῦτο μετὰ μεγάλης συντομίας ἐξεφώνησε πάσης τῆς τοῦ Εὐαγγελίου ἠθικῆς τὰ θεμέλια· « Ἔκκλινον, εἶπεν, ἀπὸ » κακοῦ, καὶ ποίησον ἀγαθόν » (1). Ἀληθῶς δὲ ἐν τούτῳ θεμελιοῦται καὶ ἵσταται ἡ εὐαγγελικὴ νομοθεσία καὶ ἡ σωτηρία παντὸς πιστοῦ ἀνθρώπου, ἐν τῇ φυγῇ δηλονότι πάσης ἁμαρτίας, καὶ ἐν τῇ ἐργασίᾳ πάσης ἀρετῆς· οὐκ ἀρκεῖ πρὸς σωτηρίαν ἡ μόνη φυγὴ τῆς ἁμαρτίας, ἀλλ' ἀναγκαία ἐστὶ καὶ τῆς ἀρετῆς ἡ πρᾶξις· « Ἔκκλινον ἀπὸ » κακοῦ, καὶ ποίησον ἀγαθόν ». Τοῦτο εἶπεν ὁ προφήτης Δαβίδ· τοῦτ' αὐτὸ εἶπε καὶ ὁ Ἀπόστολος Παῦλος· πλήν, ἐπειδὴ αὐτὸς καθ' αὐτὸ ἐδίδασκε τοὺς Ἐφεσίους, δι' αὐτῶν δὲ πᾶσαν τὴν οἰκουμένην, τὰ ἠθικὰ τοῦ Εὐαγγελίου μαθήματα, πρῶτον μὲν φανερώσας ὀνομαστί, ποῖόν ἐστι τὸ κακόν, παρήγγειλεν, ἵνα παντελῶς ἀπέχωμεν ἀπ' αὐτοῦ· « Πορνεία δέ, εἶπε, καὶ πᾶσα ἀκα» θαρσία, ἢ πλεονεξία μηδὲ ὀνομαζέσθω ἐν » ὑμῖν, καθὼς πρέπει ἁγίοις » (2)· καὶ αἰσχρότης καί μωρολογία, ἢ εὐτραπελία, τὰ μὴ ἀνήκοντα· ἔπειτα δηλοποιήσας κατ' ὄνομα, ποῖόν ἐστι τὸ ἀγαθόν, ἤγουν τὰς γενικὰς ἀρετάς, τὴν ἀγαθωσύνην, τὴν δικαιοσύνην τὴν ἀλήθειαν, ἐδίδαξε τρόπῳ θαυμασίῳ τὴν ἀποστροφὴν τῆς ἁμαρτίας, καὶ τῶν ἀρετῶν τὴν πρᾶξιν. Ἡ ἑρμηνεία τῶν ἁγίων αὐτοῦ λόγων σαφηνίζει τὰ ἐν αὐτοῖς περιεχόμενα ἐπουράνια νοήματα. Ὅσοι οὖν ἐπιποθεῖτε τῆς ψυχικῆς ὑμῶν σωτηρίας τὴν ἀπόλαυσιν, προσηλώσατε τὴν μὲν ἀκοὴν πρὸς τὴν ἀκρόασιν, τὸν δὲ νοῦν πρὸς τὴν ταύτης κατανόησιν.

*Ἀδελφοί, ὡς τέκνα φωτὸς περιπατεῖτε* (3).

« Τέκνα φωτός », εἶπεν, ἀντὶ τοῦ, πεφωτισμένοι, καθὼς καὶ « Τέκνα φύσει ὀργῆς » (1), ἀντὶ τοῦ, ὠργισμένοι· ὁμοίας δὲ φράσεις εὑρίσκομεν καὶ εἰς τοὺς Εὐαγγελιστάς· « Υἱοὶ τοῦ πονηροῦ » (2), ἀντὶ τοῦ, πεπονηρευμένοι, καὶ « Υἱὸν γεέννης » (3), ἀντὶ τοῦ, εἰς τὴν γέενναν διωρισμένον· καί, « Ἵνα υἱοὶ φωτὸς γένησθε » (4), ἀντὶ τοῦ, ἵνα φωτισθῆτε· ἐπειδὴ δὲ ἀνωτέρω εἶπεν· « Ἦτε γάρ ποτε σκότος, νῦν δὲ φῶς ἐν » Κυρίῳ », διὰ τοῦτο προσέθηκε τό, « Ὡς τέκνα φωτὸς περιπατεῖτε » (5), Ὑπήρχετε, λέγει, πρότερον ἐσκοτισμένοι ὑπὸ τοῦ σκότους τῆς ἀπιστίας καὶ εἰδωλολατρείας; νῦν δὲ ἐφωτίσθητε διὰ τοῦ φωτὸς τῆς πίστεως καὶ χάριτος τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ· διὸ περιπατεῖτε μὴ ὡς ἐσκοτισμένοι, ἀλλ' ὡς πεφωτισμένοι. Ὁ μὲν ἐσκοτισμένος ὑπὸ τοῦ ἐν τῷ ἀέρι αἰσθητοῦ σκότους πίπτει εἰς κρημνοὺς καὶ βάραθρα· ὁ δὲ ἐσκοτισμένος ὑπὸ τοῦ νοητοῦ σκότους τῆς ἀπιστίας, πίπτει εἰς ἀνομίας καὶ ἀδικίας· ὁμοίως ὁ μὲν πεφωτισμένος ὑπὸ τοῦ ἐν τῷ ἀέρι ὑλικοῦ φωτὸς περιπατεῖ τὴν ὁδὸν αὐτοῦ ἀπροσπταίστως· ὁ δὲ πεφωτισμένος ὑπὸ τοῦ νοεροῦ φωτὸς τῆς χάριτος, περιπατεῖ τῆς ἀρετῆς τὸν δρόμον ἀναμαρτήτως· « Περιπατεῖτε οὖν », λέγει, ἤγουν κατορθώσατε τὰ καλὰ ἔργα, «ὡς τέκνα φωτός», τουτέστιν ὡς ὑπὸ τῆς πίστεως καὶ τῆς χάριτος πεφωτισμένοι.

*(Ὁ γὰρ καρπὸς τοῦ πνεύματος ἐν πάσῃ ἀγαθωσύνῃ καὶ δικαιοσύνῃ καὶ ἀληθείᾳ)* (6).

Ἐπειδὴ εἶπεν· « Ὡς τέκνα φωτὸς περι» πατεῖτε » (7), δηλοποιεῖ ὡς ἐν παρενθέσει ποῖά εἰσι τὰ ἔργα τῶν ὑπὸ τοῦ παναγίου Πνεύματος φωτισθέντων, ὀνομάζων αὐτὸν καρπὸν τοῦ πνεύματος, ἐπειδὴ διὰ τῆς χάριτος αὐτοῦ κατορθοῦσιν αὐτὰ οἱ ἄνθρωποι. Καὶ ὅτε μὲν ἔγραφε πρὸς τοὺς Γαλάτας, ἐπηρίθμησεν ἐννέα τοὺς καρποὺς τοῦ ἁγίου Πνεύματος· « Ὁ δὲ καρπὸς τοῦ Πνεύμα» τος, εἶπεν, ἐστὶν ἀγάπη, χαρά, εἰρήνη, » μακροθυμία, χρηστότης, ἀγαθωσύνη, πί» στις, πρᾳότης, ἐγκράτεια » (8)· Πρὸς δὲ τοὺς Ἐφεσίους γράφων, συνέστειλε τοὺς καρποὺς εἰς τρεῖς μόνους· « Ἐν πάσῃ ἀγα» θωσύνῃ, καὶ δικαιοσύνῃ, καὶ ἀληθείᾳ ». Καὶ πρῶτον μὲν σημείωσον τὴν σχέσιν τοῦ ἀριθμοῦ τρία πρὸς τὸν ἐννέα· ἐκ τοῦ τρία γίνεται ὁ ἐννέα, καὶ ὁ τρία δὲ ῥίζα ἐστὶ τοῦ ἐννέα· δεύτερον δὲ παρατήρησον, ὅτι εἰς τοὺς τρεῖς καρπούς, προσέθηκε τό, « Ἐν πάσῃ », ἵνα φανερώσῃ, ὅτι ἐν τῇ τελειότητι τούτων τῶν τριῶν μεγάλων ἀρετῶν περιέχονται καὶ αἱ λοιπαί· διότι, ὅταν πολιτευώμεθα « Ἐν πάσῃ ἀγαθωσύνῃ », ἀγαθοποιοῦντες καὶ φίλους καὶ ἐχθρούς· καὶ « ἐν πάσῃ δικαιοσύνῃ », μὴ ἀδικοῦντες μηδὲ ἑαυτοὺς διὰ τῆς ἁμαρτίας, μηδὲ τὸν πλησίον διὰ τῆς ἀδικοκρισίας καὶ δυναστείας· καὶ «ἐν πάσῃ ἀληθείᾳ», λαλοῦντες τὴν ἀλήθειαν τῆς πίςεως, καὶ ἀληθεύοντες ἐν παντὶ λόγῳ καὶ ἔργῳ· τότε καὶ ἀγαπῶμεν, καὶ χαίρομεν, καὶ εἰρηνεύομεν, καὶ μακροθυμοῦμεν, καὶ ἐσμὲν καὶ καλοὶ καὶ ἀγαθοί, καὶ πιστοί, καὶ πρᾷοι, καὶ ἐγκρατεῖς.

*Δοκιμάζοντες, τί ἐστιν εὐάρεστον τῷ Κυρίῳ* (9).

Ἰδοὺ ὁ τρόπος, δι' οὗ περιπατοῦμεν ὡς τέκνα φωτός· ἡ δοκιμή ἐστι τῶν ἔργων τῶν ἀρεστῶν εἰς τὸν Θεόν· πολιτευόμεθα ὡς πεφωτισμένοι διὰ τῆς δοκιμῆς, τουτέστι δο-

(1) Ψαλμ. 33, 14. (2) Ἐφεσ. 5, 3, 4. (3) Αὐτ. 5, 8.



(1) Ἐφεσ. 2, 3. (2) Ματθ. 13, 38. (3) Αὐτ. 23, 15. (4) Ἰωάν. 12, 36. (5) Ἐφεσ. 5, 8. (6) Αὐτ. 5, 9. (7) Αὐτ. 5, 8. (8) Γαλ. 5, 22. (9) Ἐφεσ. 5, 10.

κιμάζοντες, ποῖον ἔργον ἐστὶν ἀρεστὸν τῷ Θεῷ, ἵνα ἐκτελέσωμεν αὐτό. Ἀλλὰ πῶς δύναμαι, λέγεις, ποιῆσαι τοιαύτην δοκιμήν; Ἐξερεύνησον καὶ μάθε, ποῖά εἰσι τὰ ἔργα, τὰ ἀπὸ τοῦ Θεοῦ διὰ τῶν θείων Γραφῶν νομοθετηθέντα, καὶ τὰ ὑπὸ τῶν ἁγίων Ἀποστόλων ἐγγράφως ἢ ἀγράφως παραδοθέντα, καὶ ὑπὸ τῆς ὀρθοδόξου ἐκκλησίας διδαχθέντα· αὐτὰ δέ εἰσι τὰ εὐάρεστα τῷ Κυρίῳ· διὸ ἐν αὐτοῖς στήριξον τοὺς πόδας σου, καὶ αὐτὰ κράτει· « Στήκετε, οὕτω διδάσκει ὁ τοῦ Θεοῦ Ἀπόστολος, καὶ κρατεῖτε τὰς παραδόσεις, ἃς ἐδιδάχθητε, εἴτε διὰ λόγου, εἴτε δι' ἐπιστολῆς ἡμῶν » (1)· τὰ δὲ ἄλλα, ὅσα εἰσὶ τῶν ἀνθρώπων ἐφευρέματα, καὶ τούτοις ἀντιφερόμενα, φεῦγε, λέγει, ὁ αὐτὸς Ἀπόστολος, ὡς « βεβήλους καὶ γραώδεις μύθους » (2).

*Καὶ μὴ συγκοινωνεῖτε τοῖς ἔργοις τοῖς ἀκάρποις τοῦ σκότους, μᾶλλον δὲ καὶ ἐλέγχετε. Τὰ γὰρ κρυφῇ γινόμενα ὑπ' αὐτῶν, αἰσχρόν ἐστι καὶ λέγειν* (3).

Ἄκαρπα ἔργα τοῦ σκότους εἰσὶν αἱ ἁμαρτίαι, ὡς ὁ αὐτὸς Παῦλος ἀλλαχοῦ διηρμήνευσεν, εἰπών· « Μηδὲ κοινώνει ἁμαρτίαις ἀλλοτρίαις » (4). Ἄκαρπα δέ εἰσι τῆς ἁμαρτίας τὰ ἔργα, ἐπειδὴ οὐδὲν ἄλλο καρποφοροῦσιν, εἰ μὴ τὴν αἰσχύνην καὶ τὸν θάνατον· « Τίνα οὖν καρπὸν εἴχετε τότε, ἔγραφε πρὸς τοὺς Ῥωμαίους ὁ Παῦλος, ἐφ' οἷς νῦν ἐπαισχύνεσθε; τὸ γὰρ τέλος ἐκείνων, θάνατος· τὰ γὰρ ὀψώνια τῆς ἁμαρτίας, θάνατος » (5). Πότε δὲ οὐ συγκοινωνῶ τοῖς ἔργοις τοῖς ἀκάρποις τοῦ σκότους; ὅταν οὐδὲ δι' ἔργου συμβοηθῶ τὸν ἁμαρτάνοντα, ἵνα πράξῃ τὴν ἁμαρτίαν, ἢ ἵνα ἐπιμένῃ εἰς αὐτήν, οὐδὲ διὰ λόγου προτρέπω, ἢ συμβουλεύω αὐτόν, ἵνα ἁμαρτήσῃ, ἢ ἵνα ἐπιμένῃ εἰς τὴν ἁμαρτίαν· πολλῷ δὲ μᾶλλον οὐ συγκοινωνῶ, ὅταν ἀγωνίζωμαι παντὶ τρόπῳ, ἵνα ἐμποδίσω αὐτὸν ἀπὸ τῆς ἁμαρτίας· οὐκ ἀρκεῖ δὲ πρὸς τὴν ψυχικὴν σωτηρίαν, ἐὰν μόνον οὐ συγκοινωνῶ ἀλλοτρίαις ἁμαρτίαις· διότι, ὅταν οὐ γίνωμαι συγκοινωνὸς τῆς ἁμαρτίας, τότε ἐκκλίνω μόνον ἀπὸ τοῦ κακοῦ· ἀνάγκη δέ ἐστιν, ἵνα ποιήσω καὶ τὸ ἀγαθόν· διὰ τοῦτο εἶπε· « Μᾶλλον δὲ καὶ ἐλέγχετε ». Ὁ ἔλεγχος τῆς ἁμαρτίας ἐστὶ πρᾶξις ἔργου ἀγαθοῦ. Ἀλλὰ πῶς δύναται, λέγεις, ὁ ἰδιώτης ἄνθρωπος ἐλέγξαι τὴν ἁμαρτίαν τοῦ ἀξιωματικοῦ καὶ ἄρχοντος; Πολλοὶ καὶ διάφοροί εἰσι τῶν ἐλέγχων οἱ τρόποι· πολλάκις ἐπαινοῦντες ἐλέγχομεν· καὶ αὐτὴ δὲ μόνη ἡ ἐπίδειξις τῆς ἀποστροφῆς τῆς ἁμαρτίας ἔλεγχός ἐστι τοῦ ἁμαρτάνοντος. Διὰ τί δὲ χρεωστοῦμεν, ἵνα οὐ μόνον ἀπέχωμεν ἀπὸ τῆς συγκοινωνίας τῶν ἁμαρτημάτων, ἀλλὰ καὶ ἵνα ἐλέγχωμεν αὐτά; Διότι τόσον βλαβερὰ καὶ ὀλέθριά εἰσι τὰ ἁμαρτήματα, καὶ αὐτὰ δηλονότι τὰ κρυφίως γινόμενα ὑπ' αὐτῶν τῶν ἁμαρτανόντων, ὥστε καὶ τὰ τούτων ὀνόματα αἰσχρά εἰσι, καὶ αἰσχρότητος πληροῦσι τὸ στόμα· διὰ τοῦτο καὶ παρήγγειλεν ὁ τοῦ Θεοῦ Ἀπόστολος, ἵνα μηδόλως ὀνομάζωνται (6). Ἰδοὺ δὲ καὶ ἄλλος ἰσχυρότερος λόγος, δι' ὃν πρέπον ἐστίν, ἵνα ἐλέγχωμεν τὴν ἁμαρτίαν.

*Τὰ δὲ πάντα ἐλεγχόμενα ὑπὸ τοῦ φωτὸς φανεροῦται· πᾶν γὰρ τὸ φανερούμενον, φῶς ἐστι* (7).

« Φῶς ἐν Κυρίῳ » (8) ὠνόμασεν ὁ θεῖος

(1) Β'. Θεσ. 2, 15. (2) Α'. Τιμ. 4, 7. (3) Ἐφεσ. 5, 11, 12. (4) Α'. Τιμ. 5, 22. (5) Ῥωμ. 6, 21, 23.
(6) Ἐφεσ. 5, 3. (7) Αὐτ. 5, 13. (8) Αὐτ. 5, 8.



Ἀπόστολος τοὺς Ἐφεσίους, ὡς φωτισθέντας ὑπὸ τῆς θείας χάριτος. Πᾶσα δὲ αἵρεσις, πᾶσα ἁμαρτία, πᾶν σφάλμα, ἐν ὅσῳ κρύπτεται, οὐδέποτε διορθοῦται· ὅτε δὲ ὑπὸ τοῦ φωτός, ἤγουν ὑπὸ τοῦ πεφωτισμένου καὶ ἐναρέτου ἀνθρώπου ἐλεγχόμενον φανεροῦται, τότε προκύπτει ἡ ἐλπὶς τῆς διορθώσεως· διὸ ὁ Παῦλος, γράφων πρὸς τὸν Τιμόθεον περὶ τῆς παιδείας τῶν ἁμαρτανόντων, ἔλεγε· « Μήποτε δῷ αὐτοῖς ὁ Θεὸς μετάνοιαν εἰς ἐπίγνωσιν ἀληθείας » (1). Ἡ ἁμαρτία γίνεται κρυφίως· « Τὰ γὰρ κρυφῇ γινόμενα » (2), εἶπε, διὰ τὸν φόβον καὶ τὴν ἐντροπήν· πᾶν δὲ ἔργον φανερῶς γινόμενόν ἐστι φῶς, ἤγουν ἀρετή· « Πᾶν γὰρ τὸ φανερούμενον, φῶς ἐστιν ». Ὅταν οὖν ἡ ἁμαρτία φανερωθῇ καὶ ἐλεγχθῇ, τότε ὁ ἁμαρτάνων διὰ τῆς μετανοίας γίνεται φῶς, τουτέστιν, ἐργάζεται τὴν ἀρετήν· μάρτυς τούτου ὁ Δαβίδ· αὐτὸς ἥμαρτε κρυφίως· ὁ Νάθαν ἐφανέρωσε καὶ ἤλεγξε τὴν ἁμαρτίαν αὐτοῦ, εἰπών· « Ὅτι σὺ ἐποίησας κρυβῇ, κἀγὼ ποιήσω τὸ ῥῆμα τοῦτο ἐναντίον παντὸς Ἰσραήλ, καὶ ἀπέναντι τοῦ ἡλίου τούτου » (3)· ὁ δὲ Δαβὶδ διὰ τῆς μετανοίας ἔφυγε τῆς ἁμαρτίας τὸ σκότος, καὶ ἦλθεν εἰς τῆς ἀρετῆς τὸ φῶς· τοῦτο αὐτὸ δὲ ἐπιβεβαιοῦται καὶ καὶ διὰ τῶν ἑξῆς.

*Διὸ λέγει· ἔγειραι ὁ καθεύδων, καὶ ἀνάστα ἐκ τῶν νεκρῶν, καὶ ἐπιφαύσει σοι ὁ Χριστός* (4).

Τίς λέγει ταῦτα; Ῥητῶς ἐν ταῖς Θείαις Γραφαῖς ταῦτα οὐχ εὑρίσκονται· τινὲς μὲν εἶπον, ὅτι ἐκ τῶν λεγομένων ἀποκρύφων βιβλίων τοῦ προφήτου Ἱερεμίου ἐλήφθησαν (5)· ἄλλοι δὲ ἐκ ψαλμοῦ τινων συγγραφέων, οἵτινες θείας χάριτος ἀξιωθέντες, ψαλμοὺς συνέγραψαν, περὶ ὧν ὁ Ἀπόστολος Παῦλος εἶπεν· « ἕκαστος ὑμῶν ψαλμὸν ἔχει » (6). Πιθανότερον ὅμως φαίνεται, ὅτι ἡ ἔννοια ἐλήφθη μὲν ἐκ τούτων τῶν προφητικῶν λόγων τοῦ Ἡσαΐου· « Ὁ λαὸς ὁ πορευόμενος ἐν σκότει, ἴδετε φῶς μέγα· οἱ κατοικοῦντες ἐν χώρᾳ καὶ σκιᾷ θανάτου φῶς λάμψει ἐφ' ὑμᾶς » (7)· μετεσχηματίσθη δὲ ὑπὸ τοῦ Ἀποστόλου Παύλου, καθὼς καὶ ἄλλαι τινὲς προφητικαὶ ῥήσεις μετεσχηματίσθησαν ὑπὸ τῶν ἁγίων Εὐαγγελιστῶν (8). Καὶ καθεύδοντα μὲν λέγει τὸν ἁμαρτωλόν (9), ὡς ἀργὸν καὶ ἀνενέργητον πρὸς τὰ καλὰ ἔργα (10). συντεταγμένον δὲ μετὰ τῶν νεκρῶν (11), ὡς ἔχοντα νενεκρωμένην τὴν ψυχὴν αὐτοῦ ὑπὸ τῆς ἁμαρτίας. Εἰς μετάνοιαν δὲ προτρέπει ὁ λόγος τὸν ἁμαρτωλόν· ἔγειραι, λέγει ὁ κοιμώμενος τῆς ἁμαρτίας τὸν ὕπνον, καὶ ἀνάστα ἐκ τῶν νεκρῶν ἔργων αὐτῆς· οὗτός ἐστιν ὁ ἔλεγχος τῆς ἁμαρτίας. Βλέπε δέ, πῶς μετὰ τὸν ἔλεγχον καὶ τὴν ὑποτιθεμένην συντριβὴν τῆς καρδίας ὑπόσχεται τῆς χάριτος τὸ φῶς· « Καὶ ἐπιφαύσει σοι », λέγει ὁ Χριστός. Ἰδοὺ δέ, πῶς διὰ τοῦ ἐλέγχου γίνεται ὁ πρότερον ἁμαρτωλὸς καὶ σκοτεινός, δίκαιος καὶ φωτεινὸς διὰ τοῦ φωτὸς τῆς χάριτος τοῦ Ἰησοῦ Χριστοῦ.

*Βλέπετε οὖν, πῶς ἀκριβῶς περιπατεῖτε· μὴ ὡς ἄσοφοι, ἀλλ' ὡς σοφοί· ἐξαγοραζόμενοι τὸν καιρόν, ὅτι αἱ ἡμέραι πονηραί εἰσι* (12).

Μέτρον ἐστὶν ὁ καιρός, δι' οὗ μετροῦμεν τὴν παράτασιν τῆς διαρκείας τῶν πραγμάτων· διὰ τοῦτο οὐδὲ πωλεῖται, οὐδὲ ἀγο-

(1) Β'. Τιμ. 2. 25. (2) Ἐφεσ. 5, 12. (3) Β'. Βασ. 12, 12. (4) Ἐφεσ. 5, 14. (5) Γεώργ. ὁ Σύγγ. ὅρ. τὸν Θεοδῶρ. Αὐτ.
(6) Α'. Κορ. 14.26. (7) Ἡσ. 9, 2. (8) Ματθ. 2,15. (9) Ὠσ. 11,1. Ματθ. 27,9. (10) Ἱερ. 32, 9. (11) Ζαχ. 1,12,13. (12) Ἐφ. 5,15,16.

ράζεται, οὐδὲ ἐξαγοράζεται· ὁμοίως δὲ αἱ ἡμέραι, μέρος οὖσαι τοῦ καιροῦ, οὐδὲ πονηραί εἰσιν, οὐδὲ ἀπονήρευτοι· φανερὸν οὖν ἐστιν, ὅτι μεταφορικῶς ἐξέλαβεν αὐτὰ ὁ τοῦ Θεοῦ Ἀπόςολος. Τί δὲ σημαίνει τό, « Ἐ» ξαγοραζόμενοι τὸν καιρόν, ὅτι αἱ ἡμέραι » πονηραί εἰσι;» Τὰ αὐτὰ ἔγραψε καὶ πρὸς τοὺς Κολοσσαεῖς, λέγων· « Ἐν σοφίᾳ πε» ριπατεῖτε πρὸς τοὺς ἔξω, τὸν καιρὸν ἐξα» γοραζόμενοι. Ὁ λόγος ὑμῶν πάντοτε ἐν » χάριτι, ἅλατι ἠρτυμένος, εἰδέναι πῶς δεῖ » ὑμᾶς ἑνὶ ἑκάστῳ ἀποκρίνεσθαι » (1). Ταῦτα δὲ σαφηνίζουσι τῶν προκειμένων λόγων τὸ νόημα· διότι, δι' αὐτῶν φαίνεται, ὅτι τό, « Ἐξαγοραζόμενοι τὸν καιρόν », σημαίνει τό, ὅτι ἀνάγκη ἐστίν, ἵνα μετὰ πάσης σοφίας καὶ φρονήσεως ἀποκρίνωνται πρὸς τοὺς ἔξω, ἤγουν πρὸς τοὺς ἀπίστους, καὶ πρὸς πάντα ἄνθρωπον, στοχαζόμενοι τὰς τοῦ τότε καιροῦ κινδυνώδεις περιστάσεις. « Ὅτι αἱ ἡμέραι πονηραί εἰσιν », αἱ παροῦσαι ἡμέραι δηλονότι πεπληρωμέναι εἰσὶ θλίψεων καὶ ἐπιβουλῶν καὶ κινδύνων. Ἀλλὰ καὶ ἡ ἑξῆς ἔννοια φαίνεται ἁρμοδία εἰς τὰ προκείμενα ἀποστολικὰ λόγια· ὅταν τὴν χθὲς ἐκαθίσαμεν ἀργοί, σήμερον δὲ ἐποιήσαμεν ἔργον διπλάσιον τοῦ συνήθους, τότε λέγομεν, ὅτι σήμερον ἐξηγοράσαμεν τὸν καιρόν, ὃν χθὲς ἀπωλέσαμεν· ἡμέρας δὲ πονηρὰς λέγομεν ἐκείνας, ἐν αἷς συμβαίνουσι θλίψεις καὶ συμφοραί. Μήπως οὖν ὁ Ἀπόστολος ἐκλαβὼν τό, Ἐξαγοραζόμενοι τὸν καιρόν, κατὰ ταύτην τὴν χρῆσιν; εἶπε· ποιήσατε νῦν ἔργα ἀγαθά, διπλάσια τῶν ἔργων, ὧν οὐκ ἐποιήσατε πρότερον, ὅτε ἐλατρεύετε τοῖς εἰδώλοις, στοχαζόμενοι, ὅτι αἱ παροῦσαι ἡμέραι πλήρεις εἰσὶ θανατηφόρων κινδύνων. Πρὸς τούτοις ἐπειδὴ τό, ἐξαγοράζω, σημαίνει παρὰ τῇ Θείᾳ Γραφῇ καὶ τό, πραγματεύομαι, ὡς φανερόν ἐστιν ἐκ τούτων τῶν λόγων, ὧν ὁ Ναβουχοδονόσορ εἶπε πρὸς τοὺς μάγους· «Ἐπ' ἀληθείας »οἶδα ἐγώ, ὅτι καιρὸν ὑμεῖς ἐξαγοράζετε» (2). διὰ τοῦτο καὶ τὸ ἑξῆς νόημα συνάγεται ἐκ τῆς προκειμένης ῥήσεως· πολιτεύεσθε μὴ ὡς ἄσοφοι, ἀλλ' ὡς σοφοί, διαπραγματευόμενοι τὸν καιρόν, γενναίως ὑποφέροντες πάσας τὰς τοῦ καιροῦ τούτου δυναστείας, καὶ πάντα παραδίδοντες, ἵνα τὴν εἰς Χριστὸν πίστιν διαφυλάξητε (3)· διότι ἐν ταύταις ταῖς ἡμέραις πᾶν εἶδος καταδυναςείας τολμῶσιν οἱ τύραννοι.

*Διὰ τοῦτο μὴ γίνεσθε ἄφρονες, ἀλλὰ συνιέντες, τί τὸ θέλημα τοῦ Κυρίου* (4).

Ἐκ τούτου μανθάνομεν, τίς ἐστιν ὁ ἄφρων, ἤγουν ὁ μωρός, ἐπομένως δέ, καὶ τίς ἐςιν ὁ φρόνιμος. Ἄφρων ἐςὶν ἐκεῖνος ὁ ἄνθρωπος, ὅςις οὐ γνωρίζει τὸ θέλημα τοῦ Κυρίου αὐτοῦ· ἐκεῖνον τὸν πλούσιον ἀνεκήρυξεν ὁ Θεὸς ἄφρονα. ὅστις μὴ γνωρίζων, ὅτι τὸ θέλημα τοῦ Κυρίου ἐστίν, ἵνα μὴ θησαυρίζωμεν « Θησαυροὺς ἐπὶ τῆς γῆς » (5), ἐμελέτα οἰκοδομῆσαι μείζονας ἀποθήκας, ἵνα συνάξῃ τοὺς θησαυροὺς αὐτοῦ ἐκεῖ· « Ἄ» φρον, εἶπε πρὸς αὐτὸν ὁ Θεός, ταύτῃ τῇ » νυκτὶ τὴν ψυχήν σου ἀπαιτοῦσιν ἀπὸ » σοῦ· ἃ δὲ ἡτοίμασας, τίνι ἔσται; » (6) Φρόνιμος δέ ἐστιν ἐκεῖνος, ὅστις γνωρίζων τοῦ Κυρίου τὸ θέλημα, ἐλεεῖ τοὺς πένητας· ὅθεν φρονίμους ὠνόμασεν ὁ Κύριος ἐκείνας τὰς πέντε παρθένους, αἵτινες ἔλαβον ἔλαιον » ἐν τοῖς ἀγγείοις αὐτῶν μετὰ τῶν λαμπά-

(1) Κολ. 4, 5, 6. (2) Δαν. 2, 8. (3) ὅρ. Θεοδώριτ. καὶ Θεοφύλ. (4) Ἐφεσ. 5, 17. (5) Ματθ. 6, 19. (6) Λουκ. 12, 20.



» δων αὐτῶν » (1)· ὁμοίως καὶ τὸν δοῦλον ἐκεῖνον, ὅστις διεμέριζε τὰς τροφὰς ἐν τῷ πρέποντι καιρῷ. Αὕτη δέ ἐστιν ἡ ἀληθινὴ καὶ σωτήριος φρόνησις, ἡ πρακτικὴ γνῶσις τοῦ θείου θελήματος, ἥτις προξενεῖ τὴν αἰώνιον μακαριότητα· « Μακάριος ὁ δοῦλος » ἐκεῖνος, εἶπεν ὁ Κύριος περὶ τοῦ φρονί» μου δούλου, ὃν ἐλθὼν ὁ κύριος αὐτοῦ, εὑ» σει ποιοῦντα οὕτως » (2).

*Καὶ μὴ μεθύσκεσθε οἴνῳ, ἐν ᾧ ἐστιν ἀσωτεία, ἀλλὰ πληροῦσθε ἐν πνεύματι* (3).

Διὰ τί μετὰ τὴν παραγγελίαν τῆς φρονήσεως παραγγέλλει εὐθὺς τὴν ἀποχὴν τῆς μέθης; διότι ἡ μέθη ἐξάγει τὸν ἄνθρωπον ἐκ τῶν φρενῶν αὐτοῦ, καὶ ποιεῖ αὐτὸν μωρὸν καὶ ἄφρονα. Κἂν δὲ πολλὰ εἴδη ποτῶν ποιῶσι τὴν μέθην, ὁ Ἀπόστολος ὅμως ἀνέφερε τὸν οἶνον ποιητὴν αὐτῆς, καθότι πρῶτος εἰς τὸν κόσμον ἐμεθύσθη ὁ Νῶε διὰ τοῦ οἴνου· λέγει δέ· ἐν ᾧ, ἤγουν ἐν τῷ οἴνῳ, » ἐστὶν ἀσωτεία »· ἐπειδὴ οἱ μεμεθυσμένοι πράττουσι πᾶν εἶδος ἀσωτείας, τουτέστι, πᾶσαν ἀτοπίαν καὶ αἰσχρότητα. Βλέπε δέ, πῶς ἀντικαθιστᾷ πλήρωσιν ἀντὶ πληρώσεως· « Ἀλλὰ πληροῦσθε, λέγει, ἐν πνεύ» ματι »· τὴν πλήρωσιν τῶν χαρισμάτων τοῦ ἁγίου Πνεύματος, ἀντὶ τῆς πληρώσεως τοῦ οἴνου, τὴν ὠφέλιμον δηλαδὴ καὶ σωτήριον, ἀντὶ τῆς βλαβερᾶς καὶ ὀλεθρίου.

*Λαλοῦντες ἑαυτοῖς ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς, ᾄδοντες καὶ ψάλλοντες ἐν τῇ καρδίᾳ ὑμῶν τῷ Κυρίῳ* (4).

Ἰδοὺ ὁ τρόπος, δι' οὗ πληρούμεθα τῆς χάριτος τοῦ παναγίου Πνεύματος· καὶ ψαλμοὺς μὲν λέγει τοὺς τοῦ προφητάνακτος Δαβίδ· ὕμνους δέ, τοὺς ὑπὸ τῶν ἁγίων ἀνδρῶν κατὰ τὰς διαφόρους περιστάσεις ἐκφωνουμένους. Περὶ τούτων τῶν ὕμνων ὁ μὲν Δαβὶδ εἶπεν· « Ἐν μέσῳ ἐκκλησίας ὑμνή» σω σε » (5)· ὁ δὲ Ματθαῖος περὶ τῶν Ἀποστόλων μετὰ τὴν μετάληψιν τοῦ μυστηρίου τῆς θείας εὐχαριστίας· « Ὑμνήσαν» τες, ἐξῆλθον εἰς τὸ ὄρος τῶν ἐλαιῶν » (6)· ὁ δὲ Λουκᾶς περὶ τοῦ Παύλου καὶ τοῦ Σίλα, ὅτε εὑρίσκοντο ἐν τῇ φυλακῇ. « Κατὰ » δὲ τὸ μεσονύκτιον Παῦλος καὶ Σίλας » προσευχόμενοι, ὕμνουν τὸν Θεόν » (7)· ᾠδὰς δὲ λέγει τὰς δύο ᾠδὰς τοῦ Μωϋσέως, καὶ τὴν τῆς Δεβώρας καὶ τοῦ Βαράκ, καὶ τὴν τοῦ Δαβίδ (8)· καλῶς δὲ εἶπε τό, καὶ ᾠδαῖς πνευματικαῖς· διότι εἰσὶ καὶ ᾠδαὶ σωματικαί, ὅσαι δηλονότι διεγείρουσιν αἰσχροὺς καὶ σαρκικοὺς ἔρωτας· καὶ τὸ μέν, « Λα» λοῦντες ἑαυτοῖς ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς », σημαίνει τό, διδάσκοντες καὶ νουθετοῦντες ἑαυτοὺς διὰ τῶν λόγων, τῶν περιεχομένων ἐν τοῖς ψαλμοῖς καὶ ὕμνοις καὶ ἐν ταῖς πνευματικαῖς ᾠδαῖς, ὡς καὶ πρὸς τοὺς Κολοσσαεῖς ἔγραφε, λέγων· « Διδάσκοντες καὶ νουθετοῦντες ἑαυ» τοὺς ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς πνευ» ματικαῖς » (9), διὰ δὲ τοῦ, « ᾄδοντες καὶ » ψάλλοντες ἐν τῇ καρδίᾳ ὑμῶν τῷ Κυ» ρίῳ », διδάσκει, ὅτι πρέπον ἐςίν, ἵνα μὴ μόνον διὰ τοῦ στόματος καὶ τῶν χειλέων ψάλλωμεν, ἀλλ' ἅμα καὶ διὰ τοῦ νοὸς καὶ τῆς ψυχῆς προσφέρωμεν εἰς τὸν Θεὸν τοὺς ὕμνους καὶ ψαλμοὺς καὶ τὰς ᾠδάς.

(1) Ματθ. 25, 4. (2) Αὐτ. 24, 46. (3) Ἐφεσ. 5, 6. (4) Αὐτ. 19. (5) Ψαλμ. 21, 22. (6) Ματθ. 26, 30. (7) Πράξ. 16, 25. (8) Ἐξ. 15, 1. Δευτ. 31, 22. Κριτ. 5, 12. Β'. Βασ. 22, 1. (9) Κολ. 3, 36.

# ΟΜΙΛΙΑ

ΜΕΤΑ ΤΗΝ ΠΡΟΣ

# ΕΦΕΣΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

## ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗ; ΚΣΤ'. ΚΥΡΙΑΚΗ;.

ΔΙΑΤΙ ἆρά γε ὁ θεηγόρος Παῦλος τόσον σύντομα ἐλάλησε περὶ τῆς μέθης; Παρήγγειλεν, ἵνα μὴ μεθυσκώμεθα οἴνῳ, ἐπειδή ἐστιν ἀσωτεία· « Μὴ μεθύσκεσθε, εἶπεν, » οἴνῳ, ἐν ᾧ ἐστιν ἀσωτεία». Ταῦτα δὲ εἰπών, ἔπαυσε παντελῶς τὸν περὶ μέθης λόγον. Μήπως ἡ μέθη ἐστὶν ἁμαρτία μικρά, καὶ διὰ τοῦτο ἐλάλησε περὶ αὐτῆς ὀλίγα; Οὐχί· αὐτή ἐστιν ἁμαρτία πολλὰ μεγάλη· διότι ὁ αὐτὸς Παῦλος γράφων πρὸς τοὺς Γαλάτας, συνηρίθμησε τὴν μέθην μετὰ τῶν φοβερῶν ἁμαρτημάτων, τῶν κλειόντων τὴν θύραν τῆς θείας βασιλείας εἰς τοὺς ταῦτα πράσσοντας· « Φανερὰ δέ ἐστιν, εἶπε, τὰ » ἔργα τῆς σαρκός· ἅτινά ἐστι μοιχεία, » πορνεία, ἀκαθαρσία, ἀσέλγεια, εἰδωλο» λατρεία, φαρμακεία, ἔχθραι, ἔρεις, ζῆλοι, » θυμοί, ἐριθεῖαι, διχοστασίαι, αἱρέσεις, φθό» νοι, φόνοι, μέθαι, κῶμοι, καὶ τὰ ὅμοια » τούτοις· ἃ προλέγω ὑμῖν, καθὼς καὶ προ» εῖπον, ὅτι οἱ τὰ τοιαῦτα πράσσοντες, βα» σιλείαν Θεοῦ οὐ κληρονομήσουσι»(1). Διὰ τί οὖν τόση συντομία καὶ ὀλιγολογία περὶ τῆς μεγάλης ταύτης ἁμαρτίας, ἥτις κλείει τὴν θύραν τῆς βασιλείας τῶν οὐρανῶν, καὶ ἑπομένως ἀπελπίζει παντελῶς τὸν ἄνθρωπον ἀπὸ τῆς ἀπολαύσεως τῆς αἰωνίου σωτηρίας; Μήπως κατὰ τοῦτο, καθ' ὃ δηλονότι τὰ περὶ αὐτῆς σύντομα λόγια περιέχουσι πάντα, ὅσα εἰσὶν ἀναγκαῖα πρὸς τὴν τῆς μέθης νομοθεσίαν τε καὶ διδασκαλίαν; Ναί, καὶ κατὰ τοῦτο, πλὴν πιθανώτερον φαίνεται, ὅτι μετῆλθε τὴν συντομίαν, ἐπειδὴ τόσον φανερὰ καὶ γνωστά εἰσι τὰ ἐκ τῆς μέθης κακά, ὥστε καθεὶς καὶ βλέπει, καὶ αἰσθάνεται αὐτά, ἑπομένως δὲ οὐδεμίαν ἔχει χρείαν διεξοδικῆς νουθεσίας· καὶ ὅμως αὐτὰ τὰ πράγματα δεικνύουσιν, ὅτι οἱ ἄνθρωποι βλέποντες τὰ μεγάλα τῆς μέθης κακά, ὡς τυφλοὶ οὐ βλέπουσιν αὐτά· καὶ αἰσθανόμενοι τὴν ἐξ αὐτῆς βλάβην, ὡς ἀναίσθητοι οὐκ αἰσθάνονται αὐτῆς. Καλὸν οὖν καὶ ὠφέλιμον, ἵνα περὶ αὐτῆς λαλήσωμεν σήμερον.

Ἐὰν ἀνοίξῃς τὴν θείαν Γραφήν, βλέπεις εὐθὺς εἰς τὰς ἀρχὰς τοῦ πρώτου βιβλίου αὐτῆς δύο φρικτὰ καὶ φοβερὰ παραδείγματα, ἀποδεικνύοντα, ὅτι καὶ αὐτοὶ οἱ ἐκλεκτοὶ δοῦλοι τοῦ Θεοῦ, ὅταν μεθυσθῶσι, ποιοῦσιν ἔργα ἄτοπα καὶ ἀλλόκοτα καὶ ἄνομα. Ἄνδρες δίκαιοι καὶ ἅγιοι ἦσαν ὁ Νῶε καὶ ὁ Λώτ, ὡς καὶ διὰ λόγου καὶ διὰ τῶν ἔρ-

(1) Γαλ. 5, 19—21.



γων περὶ αὐτῶν ἐμαρτύρησεν ὁ Θεός· περὶ μὲν τοῦ Νῶε εἶπε· « Νῶε ἄνθρωπος δίκαι» ος, τέλειος ὢν ἐν τῇ γενεᾷ αὐτοῦ, τῷ Θεῷ » εὐηρέστησε Νῶε » (1)· περὶ δὲ τοῦ Λώτ· « Ἰδοὺ ἐθαύμασά σου τὸ πρόσωπον καὶ ἐπὶ » τῷ ῥήματι τούτῳ τοῦ μὴ καταστρέψαι τὴν » πόλιν, περὶ ἧς ἐλάλησας » (2). Καὶ τὸν μὲν Νῶε ἐφύλαξεν ὁ Θεὸς ἀπὸ τοῦ παγκοσμίου κατακλυσμοῦ, καὶ κατέστησεν αὐτὸν δεύτερον πατέρα τοῦ τῶν ἀνθρώπων γένους· τὸν δὲ Λὼτ ἔσωσεν ἀπὸ τοῦ ἐμπρησμοῦ τῶν Σοδόμων, δι' ἀγγέλων χειραγωγήσας αὐτὸν εἰς τῆς σωτηρίας τὸ ὄρος. Ὅταν ὅμως ἐμέθυσαν, τότε ἡ μέθη μηδόλως εὐλαβηθεῖσα τὴν ἁγιότητα τῆς ψυχῆς αὐτῶν, κατέστησεν αὐτοὺς ἀναισθήτους πταίστας. Ὁ μὲν Νῶε κατέκειτο ἐν τῷ οἴκῳ αὐτοῦ γυμνός, καὶ τόσον ἐστερημένος αἰσθήσεως, ὥστε ὁ Χάμ, ὁ υἱὸς αὐτοῦ εἶδε τὴν ἄσεμνον αὐτοῦ γύμνωσιν· ὁ δὲ Σὴμ καὶ Ἰάφεθ λαβόντες τὸ ἱμάτιον, « Ἐπορεύθησαν ὀπισθοφανῶς, » καὶ συνεκάλυψαν τὴν γύμνωσιν τοῦ πα» τρὸς αὐτῶν » (3)· ὁ δὲ Λὼτ εἰς τόσην ἀναισθησίαν ἐβυθίσθη, ὥστε ἐγένετο αἱμομίκτης, μετὰ τῶν ἰδίων θυγατέρων συμμιγείς, καὶ μὴ διακρίνας, τί ποιεῖ. Καὶ συγγνωστοὶ μὲν οὗτοι οἱ δύο ἄνθρωποι διὰ τὰ τοιαῦτα παραπτώματα, ὁ μὲν Νῶε ἐπειδὴ πρῶτος « Ἐφύτευσεν ἀμπελῶνα », καὶ ἔπιεν οἶνον, ὅθεν οὐκ ἐγίνωσκεν οὐδὲ τὴν ἐκ τοῦ οἴνου μέθην, οὐδὲ τῆς μέθης τὰ ἀποτελέσματα· ὁ δὲ Λώτ, ἐπειδὴ ὑπὸ τῶν θυγατέρων πλανηθείς, ἐμέθυσε. Καὶ αὐτοὶ μὲν ταῦτα μόνα τὰ ἁμαρτήματα ἐποίησαν, ἐπειδὴ ἅπαξ καὶ μόνον ἐμέθυσαν.

Ἐὰν δὲ στρέψῃς τὰ ὄμματα πρὸς τοὺς μεθύσους, βλέπεις διάφορα καὶ πολυποίκιλα θεάματα, πάντα δὲ ἐλεεινὰ καὶ ἀξιοδάκρυτα· ἐπειδὴ τὰ πνευματώδη ποτὰ ἐνεργοῦσι κατὰ τὰς διαφόρους αὐτῶν ἰδιότητας, καὶ κατὰ τὰς διαφόρους καταστάσεις καὶ κράσεις τοῦ τῶν πολυποτῶν σώματος· διὰ τοῦτο, οὗτος μὲν μεμεθυσμένος ὤν, γελᾷ ἀτάκτως, κἂν μηδεμίαν ἔχῃ γέλωτος αἰτίαν· ἐκεῖνος δὲ κλαίει ἀπαρηγόρητα, κἂν μηδὲν λυπηρὸν αὐτὸν ἀναγκάζῃ· οὗτος κλονεῖ τὴν κεφαλήν, ὡς κλονεῖται ἡ ἀνεμώνη· ἐκείνου ἡ κεφαλὴ κλίνει ἐπὶ τὰ κάτω, καὶ κρέμαται, ὡς ἡ σταφυλὴ ἐκ τῆς ἀμπέλου· οὗτος ἐξερεύγεται θάλασσαν λόγων, μηδὲ σειρὰν ἐχόντων, μηδὲ σύνδεσμον, μηδὲ σύνταξιν, μηδὲ νόημα· ταὐτολογίαι εἰσὶ τὰ λόγια αὐτοῦ, καὶ ἀντιφάσεις, καὶ παραλογισμοὶ ἀλογώτεροι καὶ αὐτῶν τῶν ἐξερχομένων ἐκ τοῦ στόματος τῶν μωρῶν καὶ ἀφρόνων· ἐκεῖνος ὡς κωφὸς οὐκ ἀκούει, καὶ ὡς ἄλαλος, οὐ λαλεῖ· μόλις γρυλλύζει, ἢ κρώζει· ἐκεῖνος ἔχει πρόσωπον κατακόκκινον, ὀφθαλμοὺς σπινθηροβολοῦντας, στόμα ἀφρίζον, κραυγάζει ἄγρια, ὑβρίζει ἀναισχύντως, φοβερίζει παραλόγως, πλήττει ἀδίκως· θέαμά ἐστι φοβερόν, δαιμονιζόμενος φαίνεται, ἢ θηρίον ἀγριώτατον μᾶλλον, ἢ ἄνθρωπος· ὁ ἄλλος ἔχει πρόσωπον ὠχρόλευκον, ὀφθαλμοὺς νενεκρωμένους, γλῶσσαν παράλυτον, μέλη ἀκίνητα· νεκρός ἐστι μᾶλλον, ἢ ζῶν, ὡς νεκρὸν δὲ βαστάζοντες αὐτὸν οἱ φίλοι, φέρουσιν εἰς τὴν οἰκίαν αὐτοῦ θέαμα ἐλεεινόν, λύπην τῆς γυναικός, ὄνειδος τῶν τέκνων, αἰσχύνην τῶν συγγενῶν, καὶ τῶν ἐχθρῶν αὐτοῦ χαρὰν καὶ γέλωτα. Ἀληθῶς διάφορα ἀποτελέσματα ποιεῖ ἡ μέθη εἰς τοὺς μεθύσκοντας, πλὴν ἕν ἐστι κοινόν, ἡ βλάβη δηλαδὴ τῶν φρενῶν· διότι πᾶς

(1) Γεν. 6, 9. (2) Αὐτ. 19, 21. (3) Αὐτ. 9, 23.

μεμεθυσμένος ἀποδεικνύει φανερά, ὅτι ἡ μέθη καὶ τὴν μνήμην αὐτοῦ ἔφθειρε, καὶ τὸ διακριτικὸν ἔσϐεσε, καὶ τὸν νοῦν αὐτοῦ κατεσκότισεν.

Ἐκ τούτου ὁ μέθυσος πρὸς οὐδὲν ἔργον ἐστὶν ἐπιτήδειος· ἐὰν ἐμπιστευθῇς αὐτῷ λόγον ἢ ἔργον μυστικόν, τὸ μυστικόν σου γίνεται φανερόν, ἀφ' οὗ ἐκκενώσῃ τὰ ποτήρια· ἐὰν ἐγχειρίσῃς αὐτῷ τὸ ἀργύριόν σου, μετ' ὀλίγον ἀφιεροῖ αὐτὸ εἰς τὰ καπηλεῖα· ἀπατᾷς σεαυτόν, ἐὰν ἐλπίσῃς ἐξ αὐτοῦ ἔργον τεχνητὸν καλῶς κατεσκευασμένον· διότι τὰ τεχνητὰ ζητοῦσι νοῦν καὶ ὀφθαλμὸν καὶ χεῖρα· τοῦ δὲ μεθύσου ὁ μὲν νοῦς ἐστι τεταραγμένος, οἱ δὲ ὀφθαλμοὶ θολεροί, ἡ χεὶρ τρομαλέα· ἐὰν περιμένῃς ἀπ' αὐτοῦ ὑπηρεσίαν λανθάνεσαι· διότι αὐτός ἐστιν ὑπηρέτης καὶ δοῦλος ἄλλου δεσπότου, ἤγουν τῆς μέθης· « Οὐδεὶς δύναται δυσὶ κυρίοις δουλεύειν » (1). Πρὸς οὐδὲν ἔργον ἐπιτήδειός ἐστιν ὁ μέθυσος, οὐδὲ πρὸς μάθησιν, οὐδὲ πρὸς ὑπουργίαν βασιλικήν, οὐδὲ πρὸς διοίκησιν ἀξιωματικήν, οὐδὲ πρὸς ἐπάγγελμα στρατιωτικόν, οὐδὲ πρὸς πραγματείαν, οὐδὲ πρὸς τέχνην, οὐδὲ πρὸς οἰκονομίαν τοῦ ἰδίου αὐτοῦ οἴκου.

Ἐὰν δὲ ἐρευνήσωμεν τῶν μεθυσκόντων ποτῶν τὰ ἰδιώματα, βλέπομεν καὶ τὰς ἐξ αὐτῶν ἀναγκαίως ἀκολουθούσας ἀσθενείας τοῦ σώματος. Πάντα τὰ ποτά, ὅσα προξενοῦσι μέθην, πολλὰ περιέχουσι μερίδια θερμά, πνευματώδη, φλογιστικά· ὅταν οὖν πολλὴν ποσότητα ἐξ αὐτῶν πίνωμεν, τότε μέρος μὲν τῶν λεπτοτέρων αὐτῶν μεριδίων ἀναβαίνει εὐθὺς ὡς καπνὸς ἐπάνω εἰς τὸν ἐγκέφαλον, καὶ εἰσέρχεται εἰς τὸν μυελόν· μέρος δὲ μένει εἰς τὸν στόμαχον, καὶ μέρος διαδίδοται εἰς τὰς φλέβας, εἰς τὸ αἷμα, εἰς τὴν χολήν, εἰς τὸν πνεύμονα, εἰς τὸ ἧπαρ, εἰς τὴν καρδίαν, εἰς τὰ νεῦρα, εἰς τὰς ἶνας, εἰς τοὺς μυῶνας, εἰς τοὺς χόνδρους, εἰς τὸ κρέας, ἑνὶ λόγῳ, εἰς πάντα τὰ στεῤῥεὰ καὶ ῥευστά, καὶ εἰς πάντα τὰ μέρη καὶ μέλη τοῦ σώματος. Ἐπειδὴ δὲ τὰ τοιαῦτα μερίδια διὰ τὴν πολλὴν αὐτῶν λεπτότητα καὶ θερμότητά εἰσι πολλὰ δραστικὰ καὶ φλογερά, διὰ τοῦτο καὶ κλονοῦσι καὶ φλέγουσι πάντα τὰ μέρη καὶ μέλη τοῦ σώματος εἰς ὅσα εἰσέρχονται· ἐκ τούτου γεννῶνται αἱ κεφαλαλγίαι, καὶ οἱ κλόνοι τῆς κεφαλῆς καὶ αἱ σκοτοδινιάσεις, ἡ θόλωσις τῶν ὀφθαλμῶν, τοῦ στομάχου ἡ ναυτία καὶ οἱ ἐμετοί, τοῦ αἵματος ἡ ἔξαψις, τῶν ποδῶν καὶ τῶν χειρῶν ἡ ἀδυναμία. Ὅσοι δὲ πυκνῶς μετέρχονται τὰς τοιαύτας πολυποσίας, ἐκείνων τὰ μέλη, καταφλεγόμενα ὑπὸ τῶν καυστικῶν μεριδίων, ἀπολοῦσι τὰς ἐλαστικὰς αὐτῶν δυνάμεις, τὰς ἀντωθούσας καὶ διωκούσας τὰ ἐν αὐτοῖς εἰσερχόμενα ἑτεροειδῆ μερίδια· ἐκ τούτου δὲ ἀκολουθοῦσιν αἱ ὀφθαλμιάσεις, αἱ περιπνευμονίαι, αἱ στηθαλγίαι, αἱ φθίσεις, αἱ παραλυσίαι τῶν μελῶν, οἱ τρόμοι, οἱ ὕδρωπες, αἱ ἀποπληξίαι. Ταῦτα οὐκ εἰσὶ λόγια λαλούμενα, ἀλλὰ πράγματα βλεπόμενα· πόσους μεθύσους βλέπομεν σχεδὸν τυφλούς; πόσους στηθαλγοῦντας, ἢ φθισιῶντας; πόσους ἢ παραλυτικούς, ἢ τρέμοντας ὡς ὁ Καΐν; πόσους ὑδρωπικούς, καὶ πόσους δι' ἀποπληξίας ἀποθνήσκοντας αἰφνιδίως, ἐν τῷ μέσῳ ἐνίοτε τοῦ δρόμου.

Ἐὰν ἡ μέθη ἔφθειρε μόνον τὸ σῶμα, καὶ ἐσμίκρυνε μόνον τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν, πρόσκαιρος ἦν ἡ ἐξ αὐτῆς βλάβη.

(1) Ματθ, 6, 24.



Τὸ σῶμά ἐστι κατὰ φύσιν φθαρτόν, ὅθεν, κἂν μὴ διαφθαρῇ ὑπὸ τῆς μέθης, φθείρεται τέλος πάντων ὑπ' αὐτῆς τῆς πολυκαιρίας· ἡ ζωὴ ἔχει τέλος, διὸ κἂν μὴ ἀποθάνωμεν ὑπὸ τῶν ἀῤῥωστημάτων τῆς μέθης, ἀποθνήσκομεν ὅμως, ὑπὸ τοῦ γήρατος δαμασθέντες· « Τίς ἐστιν ἄνθρωπος, ὃς ζήσεται, καὶ οὐκ ὄψεται θάνατον; » (1) Ἀλλ' ἡ μέθη βλάπτει καὶ τὴν ψυχήν, καὶ ὑστερεῖ τῆς σωτηρίας, ἐπειδὴ κατακρημνίζει τὸν ἄνθρωπον εἰς πολλὰ καὶ βαρύτατα ἁμαρτήματα· εἰς ἀσελγείας ἀλλοκότους, εἰς ὅρκους παραλόγους, εἰς θυμοὺς ἀκρατήτους, εἰς ὕβρεις, εἰς πληγάς, εἰς φόνους, εἰς βλασφημίας, καὶ εἰς τὴν ἄρνησιν δὲ τῆς πίστεως κατεπόντισε πολλοὺς ἡ μέθη· ἀθάνατος οὖν καὶ ἀτελεύτητός ἐστι τῆς μέθης ἡ βλάβη· διότι τοὺς ἁμαρτάνοντας καὶ εἰς τὴν ἁμαρτίαν ἐπιμένοντας περιμένει τῆς αἰωνίου κολάσεως τὸ πῦρ· διὰ τοῦτο δὲ ὁ ἅγιος τοῦ Θεοῦ προφήτης ἐξεφώνησε τὸ οὐαὶ ἐναντίον τῶν μεθυόντων· « Οὐαί, εἶπεν, οἱ ἐγειρόμενοι τὸ πρωΐ » (2), καὶ τὸ σίκερα, ἤγουν τὰ μεθύσκοντα ποτά, διώκοντες, οἱ μένοντες τὸ ὀψέ· ὁ γὰρ οἶνος αὐτοὺς συγκαύσει ». Τὸ αὐτὸ δὲ οὐαὶ ἐβεβαίωσε κατ' αὐτῶν καὶ ὁ σοφώτατος Σολομών· « Τίνι οὐαί; εἶπε, τίνι θόρυβος; τίνι κρίσεις; τίνι δὲ ἀηδίαι καὶ λέσχαι; τίνι συντρίμματα διακενῆς; τίνος πελιδνοὶ οἱ ὀφθαλμοί; Οὐ τῶν ἐγχρονιζόντων ἐν οἴνοις, οὐ τῶν ἰχνευόντων ποῦ πότοι γίνονται; » (3)

Ἀλλ' ὁ Θεός, λέγεις, οὐ παρατηρεῖ τὰ τῶν μεθυόντων ἁμαρτήματα, ἐπειδὴ γνωρίζει, ὅτι οἱ μεμεθυσμένοι εἰσὶν ἔξω φρενῶν, ἑπομένως οὐδὲ παροργίζεται, οὐδὲ τιμωρεῖ αὐτοὺς διὰ τὰ τοιαῦτα ἁμαρτήματα· ἀδελφέ, πλανᾷς σεαυτόν· διότι συμβαίνει τὸ ἐναντίον· παροργίζεται δηλονότι ὁ Θεὸς κατὰ τῶν μεθυόντων καὶ παιδεύει αὐτοὺς αὐστηρῶς· ἀλλὰ διὰ τί; ἄκουσον, καὶ μάθε ἐκ τούτου τοῦ παραδείγματος. Ἐάν τις βασιλεὺς ἐνεχείριζέ σοι τὴν εἰκόνα αὐτοῦ, τὴν ὑπὸ τῶν ἰδίων αὐτοῦ χειρῶν ζωγραφηθεῖσαν, σὺ δὲ λαβὼν αὐτήν, διὰ μέλανος ἐπίτηδες ἐξήλειφες τοὺς βασιλικοὺς αὐτῆς χαρακτῆρας, πόσον ὠργίζετο κατὰ σοῦ, καὶ πόσον σὲ ἐπαίδευεν ὁ βασιλεὺς ἐκεῖνος; Ὁ βασιλεὺς τῶν βασιλευόντων, ὁ κύριος καὶ δημιουργὸς πάσης τῆς κτίσεως ἔθηκεν εἰς τὸν ἄνθρωπον τὴν εἰκόνα αὐτοῦ, τὴν διὰ τοῦ θείου αὐτοῦ ἐμφυσήματος πλασθεῖσαν· « Καὶ ἔπλασεν ὁ Θεὸς τὸν ἄνθρωπον χοῦν ἀπὸ τῆς γῆς· καὶ ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς, καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν » (4). Αὐτὴ δὲ ἡ πνοὴ τῆς ζωῆς, ἤγουν ἡ ψυχή ἐστιν ἡ εἰκὼν τοῦ Θεοῦ· τοῦτο δέ ἐστι τὸ ἀναγινωσκόμενον ἐν τῇ Θείᾳ Γραφῇ· « Καὶ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον » (5)· κατ' εἰκόνα Θεοῦ ἐποίησεν αὐτόν. Ὁ νοῦς εἰκονίζει τὸν Πατέρα, ὁ λόγος τὸν Υἱόν, ἡ θέλησις τὸ Πνεῦμα· ἡ κρίσις, ἡ πρόνοια, τὸ ἔλεος, ἡ πανταχοῦ παρουσία εἰσὶ χαρακτῆρες τῆς ὑπερουσίου θεότητος· τοὺς αὐτοὺς χαρακτῆρας ἔχει καὶ ἡ εἰκών, ἤγουν ἡ λογικὴ ψυχή· κρίνει ὁ Θεός, κρίνει καὶ ὁ ἄνθρωπος, πλὴν ὁ Θεὸς κρίνει πάντοτε κρίσιν δικαίαν, ἐπειδή ἐςιν ἀπαθής· ὁ δὲ ἄνθρωπος κρίνει πολλάκις κρίσιν ἄδικον, ἐπειδή ἐστιν ἐμπαθής· προνοεῖ ὁ Θεός, προνοεῖ καὶ ὁ ἄνθρωπος, πλὴν τοῦ μὲν Θεοῦ ἡ πρόνοιά ἐςιν ἄπταιστος, ἐπειδὴ ὁ Θεός ἐστιν ὑπερτέλειος. τοῦ δὲ ἀνθρώπου ἡ πρόνοια πολλάκις ἐστὶ

(1) Ψαλμ, 88, 48. (2) Ἠσ. 5. 11. (3) Παροιμ. 23, 29, 30. (4) Γεν. 2, 7. (5) Αὐτ. 1, 27.

σφαλερά, ἐπειδή ἐστιν ἀτελής· ἐλεεῖ ὁ Θεός, ἐλεεῖ καὶ ὁ ἄνθρωπος, πλὴν τοῦ μὲν Θεοῦ τὸ ἔλεός ἐςιν ἄμετρον, τοῦ δὲ ἀνθρώπου μεμετρημένον· πανταχοῦ παρὼν ὁ Θεός, πανταχοῦ ἔρχεται καὶ ὁ νοῦς τοῦ ἀνθρώπου, πλὴν ὁ Θεὸς κατὰ τὸν καιρόν ἐςι πανταχοῦ, ὡς ἄπειρος καὶ ἀπεριόριστος· ὁ δὲ νοῦς κατὰ διαφόρους καιροὺς εὑρίσκεται εἰς ἄλλο καὶ ἄλλο μέρος, ὡς πεπερασμένος καὶ περιοριστός. Ἀληθῶς ταράττει τὴν ψυχὴν ὁ θυμός, σκοτίζει αὐτὴν ἡ ὑπερηφάνεια, ἁρπάζει τὸ διακριτικὸν αὐτῆς ὁ σαρκικὸς ἔρως, καὶ ἐκνευρίζει τὰς δυνάμεις αὐτῆς πᾶν ἄλλο πάθος· ἡ μέθη ὅμως προξενεῖ ὑπερβάλλουσαν βλάβην εἰς τὴν ψυχὴν καὶ διαφθοράν· αὐτὴ φθείρει τὸν νοῦν, φθείρει τὸν λόγον, φθείρει τὴν θέλησιν· ὅθεν ὁ μεμεθυσμένος οὐδὲ νοεῖ ὀρθῶς, οὐδὲ λαλεῖ εὐτάκτως, οὐδὲ θέλει τὸ πρέπον, οὐδὲ διακρίνει τὰ πράγματα, οὐδὲ προνοεῖ περὶ τῶν μελλόντων, οὐδὲ δύναται προσηλῶσαι τὸν νοῦν αὐτοῦ εἰς θεωρίαν καὶ μελέτην. Πῶς οὖν, πιστεύεις, ὅτι οὐκ ὀργίζεται ὁ Θεὸς κατ' ἐκείνων, οἵτινες διὰ τῆς μέθης καταμελαίνουσι τὸ κάλλος τῆς εἰκόνος αὐτοῦ, καὶ ἐξαλείφουσι τοὺς θείους αὐτῆς χαρακτῆρας; Ὁ Θεὸς ἔπλασέ σε λογικόν, ἵνα εἰκονίζῃς τὴν ἑαυτοῦ θεότητα, σὺ δὲ διὰ τῆς μέθης γίνεσαι ἄλογος, καὶ αὐτῶν τῶν ἀλόγων χείρων, ἔπειτα λέγεις, ὅτι ὁ Θεὸς οὐ παροργίζεται, βλέπων σε μεμεθυσμένον;

Ὅστις ἁμαρτάνει ἐν ἀγνοίᾳ, ἤγουν ἁμαρτάνει, μὴ γνωρίζων, ὅτι τὸ ἔργον ὃ πράττει, ἐστὶν ἁμαρτία, μηδὲ ἰδών ποτε τὴν βλάβην, τὴν ἐξ ἐκείνης τῆς ἁμαρτίας, εἰς ἐκεῖνον ὁ Θεὸς γίνεται συγκαταβατικὸς καὶ συγγνώμων· «Ὁ δὲ μὴ γνούς, ποιήσας » δὲ ἄξια πληγῶν, δαρήσεται ὀλίγας » (1), εἶπεν ὁ Κύριος· τοῦτο δὲ τὸ ὀλίγον ἀνάλογόν ἐςι τῇ ἀγνοίᾳ· ὅσον δηλαδὴ περισσοτέρα ἡ ἄγνοια, τόσον ὀλιγωτέρα ἐστὶν ἡ τιμωρία. Ἐὰν οὖν οἱ μεθύοντες οὐδὲ ἐγίνωσκον, ὅτι ἡ μέθη ἐστὶν ἁμαρτία, οὐδὲ ἔβλεπον, πόσην βλάβην προξενεῖ, ἦσαν συγγνώμης ἄξιοι· ἀλλὰ τίς χριστιανὸς οὐκ ἀκούει καθ' ἑκάστην τὴν φωνὴν Κυρίου τοῦ Θεοῦ, κραυγάζουσαν· « Προσέχετε δὲ ἑαυτοῖς, μήποτε βαρυνθῶσιν ὑμῶν αἱ καρδίαι ἐν κραιπάλῃ καὶ μέθῃ; » (2) τίς οὐκ ἀκούει τὸ ἀποστολικὸν κήρυγμα τοῦ Παύλου· « Καὶ » μὴ μεθύσκεσθε οἴνῳ, ἐν ᾧ ἐστιν ἀσω- » τεία; » (3) τίς ἐστιν ἐκεῖνος ὁ ἄνθρωπος, ὅστις οὐ βλέπει τὴν φρενοληψίαν, τὰ συντρίμματα, τὴν αἰσχύνην, τὴν ἐλεεινὴν κατάστασιν τῶν μεθυόντων; Ἐπειδὴ οὖν ὁ μεθύων ἁμαρτάνει ἐν γνώσει, ἤγουν ἁμαρτάνει, καὶ τὴν ἁμαρτίαν γνωρίζων, καὶ τὴν ἐξ αὐτῆς βλάβην βλέπων, παιδευθήσεται αὐστηρῶς κατὰ τὴν ἀπόφασιν τοῦ Κυρίου, εἰπόντος· « Ἐκεῖνος δὲ ὁ δοῦλος ὁ » γνοὺς τὸ θέλημα τοῦ Κυρίου ἑαυτοῦ, καὶ » μὴ ἑτοιμάσας, μηδὲ ποιήσας πρὸς τὸ » θέλημα αὐτοῦ, δαρήσεται πολλάς » (4).

Τὸ αὐτὸ ἁμάρτημα γίνεται ἐλαφρότερον ἢ βαρύτερον κατὰ τὰς διαφόρους περιστάσεις· ὅταν ἁμαρτάνωμεν κρυφίως, τότε ἡ ἁμαρτία ἐστὶν ἐλαφροτέρα, ἐπειδὴ τότε οὐδένα ἄλλον, εἰ μὴ ἑαυτοὺς μόνον βλάπτομεν· ὅταν δὲ ἁμαρτάνωμεν φανερά, τότε ἡ ἁμαρτία γίνεται βαρυτάτη, ἐπειδὴ σκανδαλίζομεν καὶ βλάπτομεν καὶ πολλοὺς ἄλλους· καὶ πᾶς μὲν ἁμαρτωλὸς ἀγωνίζεται παντὶ τρόπῳ, ἵνα κρύψῃ τῆς ἁμαρτίας αὐτοῦ τὴν αἰσχύνην· κρυφίως κλέπτει ὁ κλέ-

(1) Λουκ. 12, 44. (2) Αὐτ. 21, 34. (3) Ἐφεσ. 5, 18. (4) Λουκ. 12, 47.



πτης, κρυφίως πορνεύει ὁ πόρνος, κρυφίως ἐπιβουλεύει ὁ ἐπίβουλος· ὁ δὲ μέθυσος μεθύσκεται παῤῥησίᾳ· ἔρχεται φανερὰ εἰς τὰς συναναστροφὰς τῶν μεθυόντων, φανερὰ προσκαλεῖ τοὺς φίλους καὶ συγκοινωνοὺς τῆς μέθης, φανερὰ ἐμβαίνει εἰς τὰ κοινὰ καπηλεῖα, ὅπου τῶν μεθυόντων τὸ πλῆθος, καὶ κάθηται ἐκεῖ ἀναισχύντως, καὶ πίνει ἐνώπιον πάντων ἀκορέστως, καὶ καταμεθύσκεται ἐλεεινῶς· ἀλλὰ καὶ τοῦτο πολλῆς παρατηρήσεως ἄξιον. Πᾶς μὲν ἁμαρτωλὸς δύναται, ὅταν προσέχῃ, κρύψαι ὁπωσδήποτε τὴν ἁμαρτίαν αὐτοῦ· κρύπτει ὁ φθονερὸς τὸν φθόνον, καὶ ὁ δολερὸς τὸν δόλον, κρύπτει ὁ ὑπερήφανος τὴν ὑπερηφάνειαν, καὶ ὁ μνησίκακος τὴν μνησικακίαν· ὁ δὲ μέθυσος, κἂν θέλῃ, κἂν προσέχῃ, οὐ δύναται κρύψαι τῆς ἰδίας μέθης τὴν αἰσχρότητα· μόλις ἐμέθυσε, καὶ εὐθὺς ἡ ἁμαρτία αὐτοῦ παῤῥησιάζεται· εὐθὺς βλέπουσιν οἱ περιεστῶτες, ὅτι ἐστὶ μεμεθυσμένος. Μόνη οὖν ἡ ἁμαρτία τῆς μέθης οὐ δύναται κρυβῆναι, ἀλλὰ καὶ γίνεται παῤῥησίᾳ, καὶ παῤῥησιάζεται ἐμφανέςατα. Τίς δὲ ἀγνοεῖ, πόσον σκανδαλίζει ἡ φανερὰ ἁμαρτία; τίς οὐκ οἶδεν, ὅτι τὸ σκάνδαλον πολυπλασιάζει τὴν ἁμαρτίαν; ἢ τίς οὐκ ἤκουσε τὴν κατὰ τοῦ σκανδαλίζοντος φοβερὰν τοῦ Θεοῦ ἀπόφασιν· «Ὃς δ' ἂν σκανδαλίσῃ ἕνα τῶν » μικρῶν τούτων, τῶν πιστευόντων εἰς ἐ- » μέ, συμφέρει αὐτῷ, ἵνα κρεμασθῇ μύλος » ὀνικὸς ἐπὶ τὸν τράχηλον αὐτοῦ, καὶ κα- » ταποντισθῇ ἐν τῷ πελάγει τῆς θαλάσ- » σης· πλὴν οὐαὶ τῷ ἀνθρώπῳ ἐκείνῳ, δι' » οὗ τὸ σκάνδαλον ἔρχεται » (1). Πόσους δὲ οὐ μόνον τῶν πιστῶν, ἀλλὰ καὶ αὐτῶν τῶν ἀπίστων σκανδαλίζει ὁ μεμεθυσμένος διὰ τῆς φανερᾶς αὐτοῦ ἁμαρτίας; Οἱ ἄπιστοι βλέποντες τοὺς πιστοὺς μεμεθυσμένους, καὶ ἐμέτοντας, καὶ κραυγάζοντας, καὶ ὑβρίζοντας, καὶ δέροντας καὶ πίπτοντας, καὶ συντριβομένους, μέμφονται τὴν ἀμώμητον τοῦ Χριστοῦ πίστιν· ὁποῖα τὰ ἔργα αὐτῶν, λέγουσι, τοιαύτη ἐστὶ καὶ ἡ τούτων πίστις. Διὰ τοὺς μεθύσους οὖν βλασφημεῖται ἡ τοῦ Χριστοῦ πίστις, τουτέςιν ὁ Χριστός· τοῦτο δέ ἐστι τὸ ὑπὸ τοῦ Ἀποςόλου λεγόμενον· « Τὸ γὰρ ὄνομα τοῦ Θεοῦ » δι' ὑμᾶς βλασφημεῖται ἐν τοῖς ἔθνεσι »(2). Φρίξατε οὖν, πανάθλιοι, ὅσοι ὑπὸ τοῦ θεοστυγοῦς πάθους τῆς μέθης κατακυριεύεσθε.

Οὐ παιδεύει, λέγεις, ὁ Θεὸς τοὺς μεθύοντας; Καὶ ποία ἄλλη ἢ βαρυτέρα, ἢ θλιβερωτέρα παίδευσις τῆς στερήσεως τῆς θείας βασιλείας; ταύτην τὴν παίδευσιν ὥρισεν ὁ Θεὸς κατὰ τῶν μεθυόντων· «Οὔτε κλέπται, » εἶπε διὰ στόματος τοῦ Ἀποςόλου αὐτοῦ, » οὔτε πλεονέκται, οὔτε μέθυσοι, οὐ λοίδο- » ροι, οὐχ ἅρπαγες βασιλείαν Θεοῦ οὐ κλη- » ρονομήσουσι» (3). Ποῦ δὲ νομίζεις, ὅτι καταντῶσιν οἱ ἀπόκληροι τῆς θείας βασιλείας; αὐτοὶ καταντῶσιν, ὅπου ὁ σκώληξ ὁ ἀκοίμητος, ὅπου τῶν ὀδόντων ὁ βρυγμὸς καὶ ὁ τάρταρος, ὅπου τὸ πῦρ τὸ αἰώνιον, τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ. Ἀλλὰ διὰ τί; διότι ὁ τοῦ Θεοῦ Υἱὸς ἐδίδαξεν, ὅτι οὐκ ἔστιν ἄλλη κατάστασις, εἰ μὴ δύο μόνον, ἡ ἀπόλαυσις τῆς θείας βασιλείας, καὶ ἡ καταδίκη τῆς αἰωνίου κολάσεως· ὅθεν ὅστις στερηθῇ τῆς πρώτης, καταντᾷ εἰς τὴν δευτέραν· « Καὶ ἀπελεύσον- » οὗτοι, εἶπεν ὁ Κύριος, εἰς κόλασιν αἰώ- » νιον· οἱ δὲ δίκαιοι, εἰς ζωὴν αἰώνιον » (4). Καὶ ταῦτα μέν εἰσιν ἀληθινὰ καὶ βέβαια,

(1) Ματθ. 18, 6, 7. (2) Ῥωμ. 2, 24. (3) Α'. Κορ. 6, 10. (4) Ματθ. 25, 46.

σὺ δὲ τολμᾷς καὶ λέγεις, ὅτι ὁ Θεὸς οὐ παιδεύει τοὺς μεθύοντας.

Γνωρίζω ἐγὼ καλῶς, πόθεν προέρχεται ἡ τοιαύτη τόλμη. Ὁ πληθυσμὸς τῆς μέθης κατέστησεν ἀναισθήτους τοὺς ἀνθρώπους, ὑπερεπλήθυνεν ὁ ἀριθμὸς τῶν μεθυόντων· ἐκ τούτου ἐσβέσθη ἡ ἐντροπὴ τῆς μέθης καὶ ἡ αἰσχύνη· ἐκ τούτου πᾶσα ἄλλη ἁμαρτία γίνεται ὁπωσδήποτε κρυφίως, ἡ δὲ μέθη ἀναφανδὸν καὶ πεπαῤῥησιασμένως· ἐκ τούτου ἔπαυσε καὶ τῆς συνειδήσεως ὁ ἔλεγχος· ὅθεν ὅσοι μεθύουσιν, οὐδόλως συλλογίζονται, ὅτι ἁμαρτάνουσιν, οὐδὲ διακρίνουσι, πόσον ὁ Θεὸς κατ' αὐτῶν ὀργίζεται; καὶ ποίαν τιμωρίαν κατ' αὐτῶν ἑτοιμάζει· ἐκ τούτου καὶ αὐτοὶ οἱ νήφοντες οὐδὲ μεγάλην λογίζονται τῆς μέθης τὴν αἰσχύνην, οὐδὲ βαρύτατον τῆς μέθης τὸ ἁμάρτημα· μετεβλήθη δὲ καὶ αὐτὸ τὸ ὄνομα τῆς μέθης· καὶ ἡ μὲν μέθη ὀνομάζεται εὐθυμία· οἱ δὲ μεμεθυσμένοι, εὔθυμοι. Ἄνθρωποι, μὴ πλανᾶσθε· «Θεὸς οὐ μυκτηρίζεται» (1). Ὁ Θεὸς οὐ κρίνει κατὰ τὰ διεφθαρμένα τῶν ἀνθρώπων βουλεύματα, οὐδὲ ἐπιβλέπει εἰς τὰς πονηρὰς τῶν ἀνθρώπων συνηθείας, ἀλλὰ κρίνει κατὰ τὴν ἀλήθειαν τῶν πραγμάτων, καὶ ἀποφασίζει κατὰ τοὺς αἰωνίους αὐτοῦ νόμους.

Ἄνθρωπε, μὴ πλανᾶσαι· ὁ πληθυσμὸς τῶν μεθυόντων οὐ σμικρύνει, ἀλλ' αὐξάνει τὴν θείαν ἀγανάκτησιν. Ὅταν ἐπὶ Νῶε ὑπερεπλήθυνεν ὁ ἀριθμὸς τῶν ἁμαρτανόντων, τότε ὁ Θεὸς κατεπόντισε τὸν κόσμον· ὅταν ἐπὶ Λὼτ ἐπλήθυναν τῶν Σοδομιτῶν αἱ ἀνομίαι, τότε ὁ Θεὸς κατέκαυσε τὰ Σόδομα. Ἄνθρωπε, μὴ πλανᾶσαι ὑπὸ τῶν ὀνομάτων· διότι τὰ ὀνόματα οὐ μεταβάλλουσι τὰ πράγματα· ἀλλ' ἄκουσον τὴν πανεύσπλαγχνον φωνὴν Κυρίου τοῦ Θεοῦ σου, ὅστις οὐρανόθεν προσκαλεῖ σε, λέγων· «Ἔγειραι, ὁ καθεύδων, καὶ ἀνάστα ἐκ τῶν νεκρῶν» (2)· ἔγειραι ἀπὸ τοῦ θανατηφόρου ὕπνου τῆς μέθης, καὶ ἀνάστα ἐκ τῶν νεκρῶν αὐτῆς ἔργων· ἔγειραι καὶ ἴδε, ὅτι ἡ μέθη ἐξαλείφει τοὺς ἐν σοὶ χαρακτῆρας τῆς εἰκόνος τοῦ Θεοῦ, καὶ ποιεῖ σε ἄλογον, καὶ τῶν ἀλόγων ζώων θηριωδέστερον· «Ἔγειραι, ὁ καθεύδων, καὶ ἀνάστα ἐκ τῶν νεκρῶν», καὶ ἴδε, ὅτι ἡ μέθη ἁρπάζει τὴν ὑπὸ Θεοῦ δοθεῖσάν σοι ἐπιτηδειότητα, καὶ ποιεῖ σε ἀδέξιον πρὸς πάντα καὶ ἀνεπιτήδειον· σκορπίζει τὰ ὑπάρχοντά σου, καὶ ἐγκαταλείπει σε γυμνὸν καὶ τετραχηλισμένον· ἀφανίζει τὴν τιμήν σου, καὶ ἀναδεικνύει σε ὄνειδος ἀνθρώπων, καὶ ἐξουδένημα λαοῦ· διαφθείρει τὴν ὑγείαν σου, καὶ προξενεῖ σοι πόνους καὶ ὀδύνας· φέρει καὶ τοῦ αἰφνιδίου θανάτου τὸ θέριστρον ἐπὶ τὸν τράχηλόν σου, καὶ θερίζει ἄωρον τὴν ζωήν σου· «Ἔγειραι ὁ καθεύδων, καὶ ἀνάστα ἐκ τῶν νεκρῶν», καὶ ἴδε, ὅτι ἡ μέθη στερεῖ σε τῆς ἐπουρανίου δόξης καὶ μακαριότητος, καὶ ἑτοιμάζει σοι τὸ πῦρ τὸ αἰώνιον. Μὴ φοβηθῇς τῆς συνηθείας τὴν δύναμιν· διότι, ἐὰν ἀποφασίσῃς ἀποστῆναι ἀπὸ τῆς μέθης καὶ φεύγῃς τῶν μεθυόντων τὰς συναναστροφάς, καὶ ἀποστρέφῃς τὰ ὄμματά σου ἀπὸ τῶν ποτηρίων τῆς πολυποσίας, καὶ ἀπομακρύνῃς ἑαυτὸν ἀπὸ τῶν καπηλείων καὶ ἀπὸ παντὸς ἄλλου τόπου, ἐν ᾧ οἱ πότοι γίνονται, ἔρχεται εὐθὺς ἐπὶ σοὶ ὁ παντοδύναμος φωτισμὸς τῆς θείας χάριτος, ὅστις ἐνισχύει σε κατὰ τῆς πονηρᾶς συνηθείας, καὶ δεικνύει σε νικητὴν καὶ τροπαιοῦχον κατὰ τῶν

(1) Γαλ. 6, 7. (2) Ἐφεσ. 5, 14.



πειρασμῶν τῆς μέθης· διότι αὐτὸς ὁ προσκαλῶν σε, ἵνα ἐγερθῇς ἀπὸ τοῦ ὕπνου τῆς μέθης, καὶ ἀναστηθῇς ἐκ τῶν νεκρῶν αὐτῆς ἔργων, αὐτὸς ὑπόσχεταί σοι τὸν παντοδύναμον φωτισμόν· «Ἔγειραι, λέγει, ὁ καθεύδων, καὶ ἀνάστα ἐκ τῶν νεκρῶν, καὶ ἐπιφαύσει σοι ὁ Χριστός. Τοῦ λοιποῦ, ἀγαπητοί μου ἐν Κυρίῳ, μὴ μεθύσκεσθε οἴνῳ, ἐν ᾧ ἐστιν ἀσωτεία, ἀλλὰ πληροῦσθε ἐν πνεύματι, λαλοῦντες ἑαυτοῖς ψαλμοῖς καὶ ὕμνοις, καὶ ᾠδαῖς πνευματικαῖς, ᾄδοντες καὶ ψάλλοντες ἐν τῇ καρδίᾳ ὑμῶν τῷ Κυρίῳ» (1).

# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΗΝ ΠΡΟΣ

## ΕΦΕΣΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗι ΚΖ'. ΚΥΡΙΑΚΗι.

ΩΣ πάνσοφος τῆς τοῦ πνευματικοῦ πολέμου τέχνης διδάσκαλος ὁ θεόπνευστος Παῦλος, διδάσκων τοὺς στρατιώτας τοῦ Χριστοῦ τὴν ἀντιπαράταξιν πρὸς τοὺς ἀοράτους αὐτῶν ἐχθρούς, προβάλλει νουθεσίας, κανόνας, εἰδήσεις, προτροπάς, καθοπλίζων ἅπαντας ἀπὸ κεφαλῆς ἕως ποδῶν· καὶ πρῶτον μὲν περιθαῤῥύνει αὐτούς, ἀναμιμνήσκων αὐτοῖς τὴν δύναμιν καὶ τὸ κράτος τοῦ συμμάχου καὶ συμβοηθοῦ αὐτῶν Κυρίου Ἰησοῦ Χριστοῦ· δεύτερον δέ, διεγείρει τὴν προσοχὴν αὐτῶν, δηλοποιῶν, ὁποῖοι καὶ πόσοι εἰσὶν οἱ πολεμοῦντες αὐτούς, καὶ ποίας ἔχουσι δυνάμεις καὶ μεθοδείας καὶ τέχνας· τρίτον, ἐκφράζει τοὺς κανόνας τῆς ἀναγκαίας ἑτοιμασίας πρὸς ἀπάντησιν τῶν τοιούτων πολεμίων· τέταρτον, ἐμφανίζει ποῖά εἰσι τὰ εἰς τὸν τοιοῦτον πόλεμον ἁρμόδια ὅπλα, καὶ ποῖα τούτων τῶν ὅπλων τὰ ἰσχυρότερα· πέμπτον, ὑποσχόμενος τὰς διὰ τούτων τῶν ὅπλων νίκας καὶ τὰ τρόπαια, προτρέπει, ἵνα δι' αὐτῶν πάντες καθοπλισθῶσι. Ταῦτα τὰ μαθήματα περιέχει ἡ σήμερον ἀναγνωσθεῖσα ἐπιστολὴ αὐτοῦ· μαθήματα δέ εἰσι ταῦτα τόσον ἀναγκαιότερα ἐκείνων, ὅσα μανθάνουσι τῶν ἐπιγείων βασιλέων οἱ στρατιῶται, ὅσον τιμιωτέρα ἐςὶν ἡ ψυχὴ τοῦ σώματος, καὶ ἡ αἰώνιος ζωὴ τῆς προσκαίρου, καὶ ἡ θεία μακαριότης τοῦ καπνοῦ τῆς ἀνθρωπίνης δόξης· ἀναγκαιοτέρα ἡ τούτων τῶν μαθημάτων γνῶσις ὑπὲρ τὴν κατανόησιν τῆς διδασκαλίας τῶν ἐπιγείων στρατιωτῶν· ἐπειδὴ αὐτοὶ πολεμοῦσιν ἐχθροὺς ὁρατοὺς καὶ ψηλαφητούς· οἱ δὲ οὐράνιοι στρατιῶται, ἀοράτους καὶ ἀναφεῖς· ὁ κατ' ἐκείνων πόλεμος παύει διὰ τῆς εἰρήνης· ὁ κατὰ τούτων πόλεμός ἐστιν ἀκατάπαυστος, ἐπειδὴ οὐκ ἐπιδέχεται εἰρήνην·

(1) Ἐφεσ. 5, 18, 19.

ἐκεῖνοι πολεμοῦσιν ὑπὲρ πραγμάτων κοσμικῶν καὶ ματαίων· οὗτοι, ὑπὲρ πραγμάτων ἐπουρανίων καὶ ἀθανάτων· ἐκεῖνοι πολεμοῦσιν, ἵνα λάβωσι βραβεῖον φθαρτὸν καὶ πρόσκαιρον· οὗτοι πολεμοῦσιν, ἵνα ἀπολαύσωσι βασιλείαν ἄφθαρτον καὶ αἰώνιον. Ταῦτα δὲ τὰ τοῦ πνευματικοῦ πολέμου ἀποστολικὰ μαθήματα χρείαν ἔχουσιν ἑρμηνείας· αὐτὴν οὖν ἡμεῖς προβάλλομεν· ὑμεῖς δὲ ὡς συγκατειλεγμένοι τοῖς τοῦ Χριστοῦ στρατιώταις μετὰ προσοχῆς ἀκούσατε αὐτήν, ἵνα κατανοήσαντες τοῦ Ἀποστόλου τὰ νοήματα, δυνηθῆτε νικῆσαι τοὺς νοητοὺς τῆς ψυχῆς ὑμῶν ἐχθρούς, καὶ οὕτως ἀξιωθῆτε τῶν διὰ τὴν τοιαύτην νίκην ὑπὸ Θεοῦ διδομένων βασιλικῶν τῆς θείας δόξης στεφάνων.

*Ἀδελφοί, ἐνδυναμοῦσθε ἐν Κυρίῳ καὶ ἐν τῷ κράτει τῆς ἰσχύος αὐτοῦ* (1).

Ἐκβάλλει τὸν φόβον ἐκ τῆς τῶν πιςῶν καρδίας, καὶ εἰσάγει εἰς αὐτὴν τὸ θάρσος καὶ τὴν ἀνδρείαν, ἐμφυτεύων τὴν ἐλπίδα τῆς κραταιᾶς δυνάμεως τοῦ Θεοῦ, τοῦ συμβοηθοῦντος αὐτοὺς ἐν τῷ καιρῷ τοῦ κατὰ τῶν ἐχθρῶν αὐτῶν πολέμου. « Ἐνδυναμοῦσθε », λέγει, ἤγουν ἀνδρίζεσθε, μεγαλοψυχεῖτε, « ἐν Κυρίῳ », ἐλπίζοντες εἰς τὸν Κύριον, « καὶ ἐν τῷ κράτει τῆς ἰσχύος αὐτοῦ », τουτέστιν εἰς τὴν ἰσχυροτάτην καὶ ἐξουσιαστικὴν αὐτοῦ δύναμιν.

*Ἐνδύσασθε τὴν πανοπλίαν τοῦ Θεοῦ, πρὸς τὸ δύνασθαι ὑμᾶς στῆναι πρὸς τὰς μεθοδείας τοῦ διαβόλου* (2).

Ἡ μὲν πανοπλία σημαίνει πάντα ὁμοῦ τὰ ὅπλα· μεθοδεῖαι δὲ τοῦ διαβόλου εἰσὶν οἱ μυρίοι ἀπατηλοὶ αὐτοῦ τρόποι, καὶ τὰ δολερὰ αὐτοῦ ἐπιτηδεύματα, ὅσα μετέρχεται, ἵνα πλανήσῃ τοὺς ἀνθρώπους· αὐτός, ἵνα ὑποσκελίσῃ αὐτούς, παρίσταται εἰς τὸν κόσμον καὶ ὡς προφήτης διὰ τῶν ψευδοπροφητῶν, καὶ ὡς Ἀπόςολος διὰ τῶν ψευδαποστόλων, καὶ ὡς ἄγγελος Θεοῦ, ἀναγγέλλων τὰ θελήματα αὐτοῦ ὡς θελήματα Θεοῦ, καὶ ἐνσπείρων τοὺς εἰς τὸν νοῦν τῶν ἀνθρώπων τοὺς λογισμοὺς τῆς κακίας, ἐσχηματισμένους ὡς νοήματα ἀρετῆς. Τοῦτο δέ ἐστι τὸ ῥηθὲν ὑπὸ τοῦ Ἀποστόλου· « Αὐτὸς γὰρ ὁ σατανᾶς μετασχηματίζεται εἰς ἄγγελον φωτός » (3). Σημείωσαι δέ, ὅτι τὸ ὄνομα διάβολος, ἤγουν συκοφάντης καὶ ἐπίβουλος, σημαίνει γενικῶς πᾶν πνεῦμα τῶν ἀποστατησάντων ἀπὸ τῆς ὑπακοῆς τοῦ Θεοῦ. Διάβολος δὲ ὠνομάσθη, ἐπειδὴ διέβαλε καὶ ἐσυκοφάντησε τὸν Θεὸν ὡς ψεύστην, καὶ ἐπεβούλευσε καὶ ἔτι ἐπιβουλεύει τὸ γένος τῶν ἀνθρώπων. Βλέπε, δὲ ὅτι οἱ μὲν ἐπίγειοι ἀρχιστράτηγοι οὐδὲ εἰς τὰς γυναῖκας, οὐδὲ εἰς τοὺς γέροντας, οὐδὲ εἰς τοὺς ἀσθενεῖς ἐγχειρίζουσιν ὅπλα· οὗτος δὲ ὁ ἐπουράνιος στρατάρχης οὐδένα ἐξαιρεῖ, ἀλλὰ πάντας ἀδιαφόρως ἐνδύει τὴν πανοπλίαν· φανερὸν δὲ τοῦτο, ἐπειδὴ ἀορίστως καὶ χωρίς τινος ἐξαιρέσεως εἶπεν· « Ἐνδύσασθε τὴν πανοπλίαν τοῦ Θεοῦ ». Τοῦτο δὲ οὕτως ὥρισεν, ἐπειδὴ πάντας χωρὶς ἐξαιρέσεως πολεμεῖ ὁ διάβολος, καὶ πάντες διὰ τῶν πνευματικῶν ὅπλων δύνανται ἀντιπολεμῆσαι αὐτόν. Ἀλλὰ διὰ τί εἰς τοῦτον τὸν πνευματικὸν πόλεμον οὐκ ἐξαρκοῦσιν οὐδὲ δύο, οὐδὲ τρία, οὐδὲ πολλὰ ὅπλα, ἀλλὰ πάντα τὰ ὅπλα εἰσὶν ἀναγκαῖα πρὸς ἀντιπαράταξιν τῶν μεθοδικῶν τοῦ διαβόλου ἐπιτηδευμάτων; ἰδοὺ ὁ λόγος.

(1) Ἐφεσ. 6, 10. (2) Αὐτ. 6, 11· (3) Β'. Κορ. 11, 14.



*Ὅτι οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις* (1).

« Πρὸς αἷμα καὶ σάρκα, εἶπεν », ἀντὶ τοῦ, πρὸς ἀνθρώπους, καθὼς καὶ ὁ Κύριος λαλῶν πρὸς τὸν Πέτρον· « Σὰρξ καὶ αἷμα, ἤγουν ἄνθρωπος οὐκ ἀπεκάλυψέ σοι, ἀλλ' ὁ πατήρ μου, ὁ ἐν τοῖς οὐρανοῖς » (2). Ἀρχαὶ δὲ καὶ ἐξουσίαι, καὶ κοσμοκράτορες τοῦ σκότους τοῦ αἰῶνος τούτου, καὶ πνευματικὰ τῆς πονηρίας εἰσὶ τῶν δαιμόνων τὰ πλήθη. Ἀλλὰ διὰ τί ὠνόμασεν αὐτὰ ἀρχὰς καὶ ἐξουσίας; ἢ διότι αὐτοί, πρὶν ἢ ἀποςατήσωσιν ἀπὸ τῆς ὑπακοῆς τοῦ Θεοῦ, συντεταγμένοι ἦσαν μετὰ τῶν ἀγγελικῶν ταγμάτων, τῶν οὕτως ὀνομαζομένων; (3) κατὰ τό, « Ἵνα γνωρισθῇ νῦν ταῖς ἀρχαῖς καὶ ταῖς ἐξουσίαις » (4)· καὶ κατὰ τό, « Εἴτε θρόνοι, εἴτε κυριότητες, εἴτε ἀρχαί, εἴτε ἐξουσίαι » (5)· ἢ διότι ἔχων καὶ ὁ διάβολος βασιλείαν, τὴν βασιλείαν δηλαδὴ τῆς κακίας καὶ τῆς κολάσεως, περὶ ἧς εἶπεν ὁ Κύριος· « Πῶς οὖν σταθήσεται ἡ βασιλεία αὐτοῦ; » (6) ἔχει ἑπομένως καὶ τάγματα ἐν τῇ βασιλείᾳ αὐτοῦ ἀρχῶν καὶ ἐξουσιῶν δαιμονικῶν. Βλέπε δέ, πῶς ἀντιδιαστέλλει αὐτοὺς ἀπὸ τῶν ἁγίων ἀγγελικῶν ταγμάτων, ὀνομάζων αὐτοὺς « Κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου », ὡς ἐξουσιαστὰς τῶν ἐν τῷ κόσμῳ πονηρῶν ἀνθρώπων, καὶ τῆς ἁμαρτίας, ἥτις ἐστὶ τὸ σκότος τοῦ παρόντος βίου· ἄρχοντα δὲ τοῦ κόσμου τούτου κατὰ ταύτην τὴν ἔννοιαν ὠνόμασε τὸν διάβολον καὶ αὐτὸς ὁ Θεάνθρωπος, εἰπών· « Νῦν ὁ ἄρχων τοῦ κόσμου τούτου ἐκβληθήσεται ἔξω » (7)· σκότος δὲ τὴν ἁμαρτίαν ἐκάλεσεν ὁ προφήτης Ἡσαΐας· « Ὁ λαός, εἶπεν, ὁ πορευόμενος ἐν σκότει, ἴδετε φῶς μέγα » (8)· πρὸς τούτοις δὲ καὶ « Πνευματικὰ τῆς πονηρίας », ἤγουν πνεύματα πονηρά, ὡς ἀρχηγοὺς τῆς πονηρίας, καὶ συνεργοὺς τῶν ἁμαρτημάτων ὠνόμασε τοὺς δαίμονας ὁ Παῦλος (9)· ἐν δὲ τῷ, « Ἐν τοῖς ἐπουρανίοις » ἔγραψε τήν, ἐν, πρόθεσιν ἀντὶ τῆς, ὑπέρ, ἢ τῆς, διά, τὸν σκοπὸν τούτου τοῦ πνευματικοῦ πολέμου σημαίνουσαν. Ἐνδυθῆτε, λέγει, πάντα τὰ πνευματικὰ ὅπλα, ἐπειδὴ οὐ παλαίομεν μετὰ ἀνθρώπων, οἵτινες καὶ ἀτονοῦσι καὶ φονεύονται, ἀλλὰ μετὰ πλήθους ἀρχῶν, ἐξουσιῶν, πονηρῶν πνευμάτων· ταῦτα δὲ οὐδὲ ἀτονοῦσιν, οὐδὲ ἀποθνήσκουσιν, ἀλλ' εἰσὶν ἀκαταδάμαστα καὶ ἀθάνατα· πολεμοῦμεν δὲ μετ' αὐτῶν « Ἐν τοῖς ἐπουρανίοις », ἤγουν ὑπὲρ τῶν ἐπουρανίων ἀγαθῶν· αὐτοὶ μὲν πολεμοῦσιν ἡμᾶς, ἵνα στερήσωσι τῶν ἐπουρανίων ἀγαθῶν, ἡμεῖς δὲ ἀντιπολεμοῦμεν αὐτούς, ἵνα ἀπολαύσωμεν τῆς τῶν ἀγαθῶν ἐκείνων δόξης καὶ μακαριότητος.

*Διὰ τοῦτο ἀναλάβετε τὴν πανοπλίαν τοῦ Θεοῦ, ἵνα δυνηθῆτε ἀντιστῆναι ἐν τῇ ἡμέρᾳ τῇ πονηρᾷ καὶ ἅπαντα κατεργασάμενοι στῆναι* (10).

Ἡμέραν πονηρὰν λέγει τῆς παρούσης ζωῆς τὸν καιρόν, καθότι ἐν αὐτῷ γίνονται αἱ πονηραὶ πράξεις· ἡμέραν δὲ εἶπε, καὶ οὐχὶ

(1) Ἐφεσ. 6, 12. (2) Ματθ. 16, 17. (3) Ὅρ. Θεοδώρ. Αὐτ. (4) Ἐφεσ. 3, 10. (5) Κολ. 1, 16. (6) Ματθ. 12. 26. (7) Ἰωάν. 12, 31. καὶ 14, 30. καὶ 16, 11. (8) Ἡσ. 9, 2. (9) Ὅρ. Οἰκ. καὶ Θεοφ. Αὐτ. (10) Ἐφεσ. 6, 13.

καιρόν, ἵνα τό βραχὺ καὶ ὀλιγοχρόνιον τοῦ βίου τούτου δείξῃ· ἀληθῶς δὲ τὰ χίλια ἔτη τούτου τοῦ βίου, συγκρινόμενα μετὰ τῆς αἰωνιότητος τοῦ μέλλοντος αἰῶνος, εἰσὶν « Ὡς ἡ ἡμέρα ἡ ἐχθές, ἥτις διῆλθεν » (1). ἅμα δὲ καὶ προθυμοποιήσῃ τοὺς τοῦ Χριστοῦ στρατιώτας, δεικνύων τὴν ὀλιγότητα τοῦ καιροῦ, ἐν ᾧ μέλλουσι πολεμῆσαι. Ἐπειδὴ δὲ οἱ ἐχθροί εἰσιν ἀρχαί, ἐξουσίαι, κοσμοκράτορες, πνεύματα πονηρίας, διὰ τοῦτο ἐπαναλαμβάνει τὴν περὶ τῆς πανοπλίας παραγγελίαν· ἀναλάβετε, λέγει, πάντα τὰ θεῖα ὅπλα, ἵνα δι' αὐτῶν δυνηθῆτε ἀντιπολεμῆσαι τοὺς τοιούτους ἐχθροὺς ἐν τῷ καιρῷ τῆς προσκαίρου ζωῆς ἡμῶν, καθ' ὃν συμβαίνουσιν αἱ πονηρίαι· « Καὶ » ἅπαντα κατεργασάμενοι », ἤγουν ὑποτάξαντες καὶ νικήσαντες ἅπαντα, τουτέςι καὶ τὰ πάθη, καὶ τὰς ἐπιθυμίας, καὶ τοὺς δαίμονας, στῆναι ἕως τέλους τῆς ζωῆς ἡμῶν ἐν τῇ αὐτῇ τῆς νίκης καταστάσει. Στῆναι δὲ εἶπεν, ἤγουν στερεωθῆναι, ἐπειδὴ πολλοὶ νικήσαντες πρότερον, ἐνικήθησαν καὶ ἐξέπεσον ὕστερον. Δηλοποιεῖ δὲ ὀνομαστί, ποία ἐστὶν ἡ τοῦ Θεοῦ πανοπλία, ἤγουν πάντα τὰ θεῖα ὅπλα, λέγων·

*Στῆτε οὖν περιζωσάμενοι τὴν ὀσφῦν ὑμῶν ἐν ἀληθείᾳ, καὶ ἐνδυσάμενοι τὸν θώρακα τῆς δικαιοσύνης. Καὶ ὑποδησάμενοι τοὺς πόδας ἐν ἑτοιμασίᾳ τοῦ Εὐαγγελίου τῆς εἰρήνης* (2).

Τὰ ὅπλα εἰσὶ πνευματικά, καὶ ὅμως ὁ θεόσοφος ἄνθρωπος προσήρμοσεν αὐτὰ θαυμασίως εἰς τὰ τῶν κοσμικῶν, τοῦ τότε καιροῦ μάλιστα, ςρατιωτῶν προφυλακτικὰ ὅπλα· « Στῆτε οὖν », λέγει. Πρῶτον μάθημα τῶν τακτικῶν τοῦ πολέμου μαθημάτων ἐστὶν ἡ ἐν ταῖς παρατάξεσιν ὀρθὴ στάσις. Ἀτελεσφόρητός ἐστιν ὁ στρατιώτης, ὁ μὴ ὀρθῶς ἱστάμενος, ἀλλ' ἀτάκτως ἐπικλινόμενος καὶ περικαμπτόμενος· εὐκόλως δὲ ὁ τοιοῦτος τραυματίζεται καὶ θανατοῦται ὑπὸ τῶν πολεμίων· τοῦτο συμβαίνει καὶ εἰς τὸν χριστιανὸν εἰς τὴν κατὰ τῶν δαιμόνων παράταξιν· ἐὰν μὴ διαμένῃ ὀρθός, ἤγουν ὀρθῶς φρονῶν τὰ περὶ τῆς πίστεως, καὶ ὀρθῶς πράττων τῆς ἀρετῆς τὰ ἔργα, ἀλλὰ κλίνει μὲν εἰς διεφθαρμένα δόγματα, περιστρέφεται δὲ πρὸς τὴν τοῦ κόσμου ματαιότητα, μετὰ πολλῆς εὐκολίας βλάπτουσι καὶ θανατοῦσι τὴν ψυχὴν αὐτοῦ τῆς πονηρίας τὰ πνεύματα. Εἰπὼν δὲ τό, « Στῆτε », ἐπάγει εὐθὺς τό, « Περιζωσά» μενοι τὴν ὀσφῦν ὑμῶν ἐν ἀληθείᾳ ». Καὶ περιζώννυνται μὲν οἱ ἐπίγειοι στρατιῶται ζώνας ὑλικάς, ἵνα καὶ τὰ ἐνδύματα αὐτῶν περισφίγγοντες, ἀπαρεμποδίστως τρέχωσι, καὶ τὴν ῥομφαίαν ἀπ' αὐτῶν κρεμῶσι, καὶ τὴν ὀσφῦν καλύπτοντες, ἀνεπιβούλευτον διαφυλάττωσι. Διὰ ποίας δὲ ζώνης παραγγέλλει ὁ Παῦλος, ἵνα περιζωσθῶμεν; Ἐν τῇ ὀσφύι εἰσὶν οἱ νεφροί, εἰς δὲ τοὺς νεφροὺς γεννᾶται τῶν σαρκικῶν ἐπιθυμιῶν ἡ ὕλη· διὰ τοῦτο ὁ προφήτης Δαβὶδ παρεκάλει τὸν Θεόν, λέγων· «Πύρωσον τοὺς νεφρούς μου καὶ τὴν » καρδίαν μου » (3), ἤγουν κατάφλεξον τὴν ἐν τοῖς νεφροῖς μου τῶν σαρκικῶν ἐπιθυμιῶν ὕλην, ἵνα μὴ ἐπιφέρῃ μιαρὰς ἐπιθυμίας εἰς τὴν καρδίαν μου. Ἡ σωφροσύνη οὖν ἐστιν ἡ ζώνη, ἣν ὁ Παῦλος παραγγέλλει, διδάσκων ἡμᾶς, ἵνα δι' αὐτῆς καθοπλισθῶμεν, καὶ γενώμεθα σώφρονες, πλὴν ἐν ἀληθείᾳ,

(1) Ψαλμ. 89, 4. (2) Ἐφεσ. 6, 14, 15. (3) Ψαλμ. 25, 2.



καὶ οὐ καθ' ὑπόκρισιν, τουτέστι, σώφρονες μὲν φαινόμενοι ἐνώπιον τῶν ἀνθρώπων, κρυφίως δὲ πράττοντες τῆς ἀσελγείας τὰ ἔργα· ἐν ἀληθείᾳ σώφρονες, ἤγουν μετὰ τελειότητος σωφρονοῦντες. Τότε δέ ἐσμεν ἀληθῶς σώφρονες, ὅταν οὐ μόνον ἀπέχωμεν ἀπὸ τῆς πράξεως τῶν σαρκικῶν ἁμαρτημάτων, ἀλλὰ καὶ ἀπὸ τῶν πονηρῶν ἐπιθυμιῶν τῆς ἀσελγείας· διότι οὐ μόνον ἡ πρᾶξις, ἀλλὰ καὶ ἡ ἐπιθυμία ἡ σαρκικὴ φθείρει τῆς ψυχῆς τὴν σωφροσύνην· « Ὅτι » πᾶς ὁ βλέπων γυναῖκα πρὸς τὸ ἐπιθυμῆ» σαι αὐτῆς, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ » καρδίᾳ αὐτοῦ » (1). Ἀλλὰ καὶ σιδηροῦν θώρακα, ἤγουν περιστήθιον κρεμῶσιν οἱ στρατιῶται πρὸς σκέπην τοῦ ἰδίου στήθους· ὁ δὲ Παῦλος ἀντὶ σιδηροῦ θώρακος, τῆς δικαιοσύνης τὸν θώρακα ἐνδύει τοὺς χριστιανούς, πρὸς ὑπεράσπισιν τῆς ἑαυτῶν καρδίας. Καθὼς δὲ τὰ ἠκονημένα βέλη, κρούοντα εἰς τὸν σιδηροῦν θώρακα, ἀμβλύνονται, καὶ πίπτουσι κάτω ἄπρακτα, οὕτω καὶ οἱ δαιμονικοὶ πειρασμοί, ὅταν προσβάλλωσιν εἰς καρδίαν, περιφρουρουμένην ὑπὸ τῆς δικαιοσύνης, ἀσθενοῦσι, καὶ γίνονται ἀργοὶ καὶ ἀνενέργητοι, μηδεμίαν βλάβην προξενοῦντες. Καὶ ὑποδήματα δὲ ἁρμόδια ἐνδύουσι τοὺς πόδας αὐτῶν οἱ στρατιῶται, ἵνα καὶ εἰς αὐτοὺς τοὺς ἀνωμάλους καὶ δυσβάτους τόπους εὐκόλως τρέχωσι· τοὺς δὲ πόδας ἡμῶν ὑποδέει ὁ Παῦλος « Ἐν ἑτοιμα» σίᾳ τοῦ εὐαγγελίου τῆς εἰρήνης ». Διὰ τούτων δὲ τῶν λόγων παραγγέλλει τὴν προθυμίαν εἰς πάντα τὰ τοῦ Εὐαγγελίου προστάγματα· διότι, καθὼς ὁ στρατιώτης, ὁ ἔχων καλῶς ὑποδεδεμένους τοὺς πόδας, τρέχει εὐκόλως εἰς πάντα τόπον, οὕτως ὁ προθυμοπεποιημένος χριστιανός, ὑπερπηδῶν πάντα τὰ ἐν τῷ δρόμῳ τῆς ἀρετῆς δαιμονικὰ σκάνδαλα, περιπατεῖ ἀπαρεμποδίστως τὴν ὁδὸν τῶν εὐαγγελικῶν νομοθετημάτων. Ἐπειδὴ δὲ περὶ πολέμου λαλεῖ, ἵνα μηδεὶς νομίσῃ, ὅτι κατὰ πάντων παραγγέλλει πόλεμον, εἶπε· « Τοῦ εὐαγγε» λίου τῆς εἰρήνης », φανερώσας διὰ τούτου, ὅτι τὸ Εὐαγγέλιον διδάσκει ἡμᾶς τὴν εἰρήνην μετὰ τοῦ Θεοῦ, καὶ μετὰ πάντων τῶν ἀνθρώπων· διὰ τὴν εἰρήνην δὲ τὴν αἰώνιον διδάσκει καὶ τὸν κατὰ τῶν παθῶν καὶ τῶν δαιμόνων πόλεμον. Σὺ δὲ σημείωσον ταῦτα τὰ τρία ὅπλα, τὴν σωφροσύνην δηλαδή, τὴν δικαιοσύνην, καὶ τὴν ὑπὲρ τῶν ἀγαθῶν ἔργων προθυμίαν· ὅπλα ἀληθῶς δυνατά· διότι, ὅστις περιφράξει τὰ ἴδια μέλη διὰ τῆς σωφροσύνης, καὶ καθοπλίσει τὸν νοῦν καὶ τὴν ψυχὴν αὐτοῦ διὰ τῆς δικαιοσύνης, καὶ ἐμφυτεύσει εἰς τὴν καρδίαν αὐτοῦ τὴν ὑπὲρ τῆς ἀρετῆς προθυμίαν, οὐδὲν κατ' αὐτοῦ δύνανται τοῦ διαβόλου αἱ μεθοδεῖαι. Ἄκουσον δέ, καὶ τό, ποῖόν ἐστι τὸ κραταιότερον καὶ ὑπέρτερον πάντων τῶν ἄλλων ὅπλων.

*Ἐπὶ πᾶσιν ἀναλαβόντες τὸν θυρεὸν τῆς πίστεως, ἐν ᾧ δυνήσεσθε πάντα τὰ βέλη τοῦ πονηροῦ τὰ πεπυρωμένα σβέσαι* (1).

Ὁ θυρεὸς ὅπλον ἐστί, δι' οὗ οἱ παλαιοὶ στρατιῶται ἐφυλάττοντο ἀβλαβεῖς ἀπὸ τῶν κατ' αὐτῶν ῥιπτομένων βελῶν, καὶ ἀπὸ τῶν λίθων, τῶν κατ' αὐτῶν ἐκσφενδονιζομένων ὑπὸ τῶν ἐχθρῶν. Βέλη δὲ πεπυρωμένα τοῦ πονηροῦ εἰσι τὰ φλογερὰ πάθη τοῦ θυμοῦ καὶ τῆς σαρκικῆς ἐπιθυμίας, τὰ

(1) Ματθ. 5, 28. (2) Ἐφεσ. 6, 16.

ὑπὸ τῶν δαιμόνων ἐξεγειρόμενα· θυρεὸν δὲ τῆς πίστεως λέγει αὐτὴν τὴν στερεὰν καὶ ἔνθερμον πίστιν. Παραγγέλλει δέ, ἵνα «Ἐπὶ πᾶσιν αὐτὴν ἀναλάβωμεν », καθότι δι' αὐτῆς δυνάμεθα σβέσαι πάντας τοὺς φλογώδεις τοῦ δαίμονος πειρασμούς. Ἐπὶ πᾶσι δὲ εἶπεν, ἤγουν κατ' ἐξοχήν, κατ' ἐξαίρετον λόγον, πρὸ πάντων τῶν ἄλλων ὅπλων πρέπον ἐστίν, ἵνα ἔχωμεν πίστιν ἔνθερμον, ἐπειδὴ αὐτὴ προκατασκευάζει καὶ διεγείρει ἡμᾶς πρὸς τὴν χρῆσιν καὶ τῶν λοιπῶν ὅπλων. Ὁ πιστός καὶ σωφρονεῖ, καὶ δικαιοπραγεῖ, καὶ προθυμεῖται πρὸς κατόρθωσιν παντὸς καλοῦ ἔργου, ἐπειδὴ πιστεύει, ὅτι ἐστὶ ζωὴ μέλλουσα αἰώνιος, καὶ περιμένει κρίσιν φοβερὰν καὶ ἀνταπόδοσιν, καὶ πεπεισμένος ἐστίν, ὅτι οἱ σώφρονες καὶ οἱ φιλοδίκαιοι καὶ οἱ προθύμως πράττοντες τὰ καλὰ ἔργα, λαμβάνουσι τὸν ἄφθαρτον στέφανον τῆς θείας μακαριότητος καὶ τῆς ἐπουρανίου βασιλείας τὴν κληρονομίαν· ὁ δὲ ἄπιστος, ὁ μηδὲν τούτων μηδὲ πιστεύων, μηδὲ περιμένων, μηδὲ δεχόμενος, οὐδὲ σωφροσύνην φυλάττει, οὐδὲ δικαιοσύνην ἐργάζεται, οὐδὲ φροντίζει ὅλως περὶ τῶν θείων ἀρετῶν, ἀλλὰ « Φάγωμεν, λέγει καὶ πίωμεν· αὔριον γὰρ ἀποθνήσκομεν » (1). Σημείωσαι δέ, ὅτι ἡ πίςις οὐ μόνον ἐγχειρίζει ἡμῖν τὰ ὅπλα τῶν προειρημένων ἀρετῶν, οὐ μόνον δίδωσιν ἡμῖν δύναμιν σβεςικὴν τῶν πεπυρωμένων τοῦ πονηροῦ βελῶν, ἀλλὰ ποιεῖ ἡμᾶς καὶ δεκτικοὺς ἄλλων ὅπλων, καθὼς διὰ τῶν ἑξῆς ἐφανέρωσεν ὁ θεῖος Ἀπόστολος.

*Καὶ τὴν περικεφαλαίαν τοῦ σωτηρίου δέξασθε, καὶ τὴν μάχαιραν τοῦ πνεύματος, ὅ ἐστι ῥῆμα Θεοῦ* (2).

Περικεφαλαία τοῦ σωτηρίου ἐστὶν ἡ ἐλπὶς τῆς σωτηρίας, ὡς ὁ αὐτὸς Ἀπόστολος ἐδίδαξε διὰ τῆς πρὸς τοὺς Θεσσαλονικεῖς ἐπιστολῆς· « Νήφωμεν, εἶπεν, ἐνδυσάμενοι θώρακα πίστεως καὶ ἀγάπης, καὶ περικεφαλαίαν, ἐλπίδα σωτηρίας » (3). Μάχαιρα δὲ τοῦ πνεύματός ἐστιν ὁ λόγος τοῦ Θεοῦ ὡς ὁ αὐτὸς Ἀπόστολος ἐβεβαίωσεν, εἰπών· « Καὶ τὴν μάχαιραν τοῦ πνεύματος, ὅ ἐστι ῥῆμα Θεοῦ ». Ἀληθῶς δὲ ὁ λόγος τοῦ Θεοῦ εἰσερχόμενος εἰς τὴν καρδίαν ἡμῶν, ὡς μάχαιρα κόπτει τῆς κακίας τὰς ἀκάνθας, καὶ προχωρῶν ἕως αὐτῶν τῶν ἐνδοτάτων τοῦ νοὸς λογισμῶν, καθαίρει τὰς πονηρὰς τῆς ψυχῆς διαθέσεις· « Ζῶν γὰρ ὁ λόγος τοῦ Θεοῦ, καὶ ἐνεργής, καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον, καὶ διϊκνούμενος ἄχρι μερισμοῦ ψυχῆς τε καὶ πνεύματος, ἁρμῶν τε καὶ μυελῶν, καὶ κριτικὸς ἐνθυμήσεων καὶ ἐννοιῶν καρδίας » (4). Ἐκ τῆς πίστεως γεννᾶται ἡ ἐλπίς· διότι ὁ μὲν πιστός, ἐπειδὴ πιστεύει εἰς ὅσα ἡ πίστις διδάσκει, ἐλπίζει τὴν ὑπὸ τῆς πίστεως διδασκομένην σωτηρίαν τῆς ψυχῆς· ὁ δὲ ἄπιστος, ἐπειδὴ οὐ πιστεύει εἰς τὰ ὑπὸ τῆς πίστεως διδασκόμενα, οὐδὲ ἔχει, οὐδὲ φαντάζεται σωτηρίας ἐλπίδα. Ἡ πίστις ποιεῖ ἐνεργητικὸν τὸν λόγον τοῦ Θεοῦ· ἐνεργεῖ δραστικώτατα εἰς τὴν ψυχὴν τοῦ πιστοῦ ὁ λόγος τοῦ Θεοῦ, ἐπειδὴ αὐτὸς πιστεύει, ὅτι ἐστὶ λόγος ἀληθινὸς τοῦ Θεοῦ τοῦ ἀληθινοῦ· οὐδεμίαν δὲ ἐνέργειαν ποιεῖ εἰς τὴν καρδίαν τοῦ ἀπίστου, ἐν ὅσῳ μένει ἄπιστος, ἐπειδὴ οὐδόλως πιστεύει, ὅτι ἐστὶ λόγος Θεοῦ ἀληθινός. Βλέπε οὖν τὴν ἀποστολικὴν σοφίαν καὶ ἀλήθειαν· εἶπε προλαβόν, ὅτι διὰ τῆς πί-

(1) Α'. Κορ. 15, 32. (2) Ἐφεσ. 6, 17. (3) Α'. Θεσ. 5, 8. (4) Ἑβρ. 4, 12.



στεως δυνάμεθα νικῆσαι πάντας τοὺς δαιμονικοὺς πειρασμούς, ἔπειτα προσέθετο καὶ ταύτην τὴν ἀλήθειαν, τουτέστιν, ὅτι τῇ δυνάμει τῆς πίστεως γινόμεθα ἐπιδεκτικοὶ καὶ τῆς ἐλπίδος τῆς σωτηρίας ἡμῶν, καὶ τῆς ἐν ἡμῖν ἐνεργείας τοῦ λόγου τοῦ Θεοῦ. Ἰδοὺ δὲ καὶ δύο ἕτερα ὅπλα, ὑπὸ τῆς πίστεως κατασκευαζόμενα, καὶ ἡμῖν ἐγχειριζόμενα, ἡ ἐλπὶς δηλαδὴ τῆς σωτηρίας καὶ ἡ ἐνέργεια τοῦ λόγου τοῦ Θεοῦ· ἀντιπολεμοῦμεν δὲ καὶ δι' αὐτῶν γενναιότατα τοὺς πολεμοῦντας ἡμᾶς ἀοράτους ἐχθρούς.

# ΟΜΙΛΙΑ

### ΜΕΤΑ ΤΗΝ ΠΡΟΣ

## ΕΦΕΣΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

### ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗι ΚΖ'. ΚΥΡΙΑΚΗι.

ΑΠΟ κεφαλῆς ἕως ποδῶν διὰ τῆς διδασκαλίας αὐτοῦ καθώπλισεν ἡμᾶς ὁ πάνσοφος Παῦλος κατὰ τῶν ἀοράτων ἐχθρῶν, τῶν ἀκαταπαύστως ἡμᾶς πολεμούντων· τὸν μὲν θυρεὸν ἔβαλεν ἔμπροσθεν πάντων τῶν μελῶν τοῦ σώματος, τὴν δὲ περικεφαλαίαν, εἰς τὴν κεφαλήν· τὸν θώρακα εἰς τὸ στῆθος· τὴν μάχαιραν τοῦ πνεύματος, εἰς τὴν καρδίαν· τὴν ζώνην, εἰς τὴν ὀσφῦν· τὰ ὑποδήματα, εἰς τοὺς πόδας· καὶ αὐτὴν δὲ τὴν ἐν ταῖς πολεμικαῖς παρατάξεσιν ἀναγκαίαν στάσιν ἐδίδαξεν, εἰπών· «Στῆτε οὖν » (1)· ἀλλά τίς δύναται δοῦναι εἰς τὰς χεῖρας ἡμῶν τὰ τοιαῦτα ἐπουράνια ὅπλα; ἄλλος οὐδείς, εἰ μὴ ὁ παντοδύναμος Θεός. Ἀλλὰ πότε ἐκχέει τοῦτο τὸ ἔλεος αὐτοῦ ἐφ' ἡμᾶς; διὰ τίνος τρόπου δίδωσιν ἡμῖν ταῦτα τὰ θεῖα ὅπλα; Ἀκούω τὸν θεομακάριστον Πέτρον παραγγέλλοντα τὴν ἐγρήγορσιν κατὰ τῶν τοῦ διαβόλου ἐπιβουλῶν· « Νήψατε, λέγει, γρηγορήσατε ὅτι ὁ ἀντίδικος ὑμῶν διάβολος, ὡς λέων ὠρυόμενος, περιπατεῖ, ζητῶν, τίνα καταπίῃ » (2). Ἐκ τούτου δὲ συμπεραίνω, ὅτι ὁ Θεός, ὅταν βλέπῃ ἡμᾶς γρηγοροῦντας διὰ τὴν σωτηρίαν ἡμῶν, τότε ἐγχειρίζει ἡμῖν τὰ ὅπλα, περὶ ὧν λαλεῖ ὁ Παῦλος. Ἐὰν στοχασθῇς προσεκτικῶς, καὶ παρατηρήσῃς μετ' ἀκριβείας τῆς ἐγρηγόρσεως τὰ ἰδιώματα, ὁμοίως καὶ τῆς νήψεως, ἥτις ἐγρήγορσιν σημαίνει, βλέπεις, ὅτι, ὅστις γρηγορεῖ ὑπὲρ τῆς σωτηρίας αὐτοῦ, ἐκεῖνος ὑπὸ Θεοῦ καθοπλίζεται μετὰ τῆς ὑπὸ τοῦ Παύλου καλουμένης πανοπλίας.

Τί ἄλλο εἰσὶ τὰ ὑπὸ τοῦ Παύλου ὀνομαζόμενα ὅπλα, εἰ μὴ αἱ θεῖαι καὶ μεγάλαι ἀρεταί; Ὁ θυρεός ἐστιν ἡ πίστις, ἡ περικεφαλαία ἐστὶν ἡ ἐλπίς, ὁ θώραξ ἐστὶν ἡ δικαιοσύνη, ἡ μάχαιρα τοῦ πνεύματός ἐςιν ἡ διδασκαλία τοῦ λόγου τοῦ Θεοῦ, ἡ ζώνη

(1) Ἐφεσ. 6, 14. (2) Α'. Πέτρ. 5, 8.

ἐστὶν ἡ σωφροσύνη, τὰ ὑποδήματά εἰσιν ἡ διά τὰ καλὰ ἔργα προθυμία, καὶ αὐτὴ δὲ ἡ στάσις τὸ ἀμετακίνητόν ἐστιν ἀπὸ τῶν ὀρθῶν δογμάτων τῆς πίστεως, καὶ ἡ ἐπιμονὴ εἰς τῆς ἀρετῆς τὴν ἐργασίαν. Βλέπε δέ, πῶς ἡ ἐγρήγορσις γίνεται τῶν ἀρετῶν πρόξενος. Ἡ ἐγρήγορσις σημαίνει ἀγρυπνίαν, προσοχήν, ἐπιμέλειαν, παρατήρησιν. Ὁ ἐγρήγορος οὖν ἄνθρωπος, ὅταν βλέπῃ τὰ κτίσματα, οὐ παραβλέπει αὐτά, ὡς ὁ νυσταλέος καὶ ἀμελής, ἀλλὰ μετὰ προσοχῆς μεγάλης παρατηρεῖ καὶ περιεργάζεται ὅσα εἰς αὐτὰ ἀνήκουσιν· ὑψοῖ τὰ ὄμματα εἰς τὸν οὐρανόν, καὶ βλέπων σώματα φωτοφόρα, παρατηρεῖ, ὅτι κατὰ τὸν ἀριθμόν εἰσιν ἄμετρα, κατὰ τὸ μέγεθος ἄνισα κατὰ τὴν μεταξὺ ἀλλήλων ἀπόστασιν ἀνισοδιάστατα, κατὰ τὴν φεγγοβολίαν καὶ τὴν τοῦ φωτὸς λαμπρότητα, ἀλλήλων διαφέροντα· καταβιβάζει τὰ ὄμματα εἰς τὴν γῆν, καὶ περιεργάζεται τὸ πολύμορφον τῶν πετεινῶν, τῶν ἐντόμων, τῶν τετραπόδων, τῶν ἑρπετῶν, τῶν χερσαίων, τῶν ἐνύδρων, τῶν ἀμφιβίων, τῶν ζωοφύτων· τὸ πολυποίκιλον τῶν χόρτων, τῶν θάμνων, τῶν δένδρων, τῶν ἀνθέων, τῶν καρπῶν, τῶν σπερμάτων· τὸ πολυειδὲς τῶν ὀρυκτῶν, τῶν πεπετρωμένων, τῶν κρυσταλλίνων, τῶν λίθων, τῶν μετάλλων, τῶν ἡμιμετάλλων· τὸν μετασχηματισμὸν τοῦ ὕδατος εἰς θαλάσσας, εἰς ποταμούς, εἰς φρέατα, εἰς πηγάς, εἰς λίμνας, εἰς χειμάῤῥους, εἰς βροχάς, εἰς χιόνα, εἰς χάλαζαν, εἰς δρόσον, εἰς πάχνην· παρατηρεῖ τῶν κτισμάτων τὰ ἰδιώματα τὰ κοινὰ καὶ τὰ ἴδια, τὰς τούτων κινήσεις, τὴν τούτων συνάφειαν καὶ τὸν σύνδεσμον, ἐξ οὗ ὁ σύμπας κόσμος συνίσταται, στρέφει τὰ ὄμματα εἰς τὸν ἄνθρωπον, καὶ περιεργαζόμενος τὴν τούτου λογικὴν δύναμιν, τὰ ἐπιτηδεύματα, τὴν τούτου ἐξουσίαν καὶ κυριότητα, διακρίνει ὅτι αὐτός ἐστι τὸ ἐξαίρετον πάντων τῶν ἐπιγείων κτισμάτων, αὐτός ἐστι τῶν ἐπιγείων ὁ βασιλεύς.

Ταῦτα παρατηρῶν ὁ ἐγρήγορος ἄνθρωπος, οὐκ ἐξίσταται, οὐδὲ ἀτονεῖ, οὐδὲ νυστάζει, ἀλλ' ἀκολουθῶν τὰς παρατηρήσεις, προάγει τὴν περιέργειαν αὐτοῦ περαιτέρω. Τίς ἐποίησε, λέγει, ταῦτα πάντα; Τίς ἔδωκε τὰ κοινὰ καὶ ἴδια ἰδιώματα εἰς τὰ κτίσματα; τίς ἔδωκεν εἰς τὸν ἥλιον δύο ἅμα κινήσεις, τὴν ἡμερήσιον, δι' ἧς φέρεται κυκλικῶς, καὶ τὴν ἐτήσιον, ἐξ ἧς ἐκκλίνων ἐκ τοῦ ἰδίου κύκλου φέρεται σπειροειδῶς; τίς κατὰ πᾶν τρίμηνον λέγει εἰς αὐτόν, παῦσον τὴν ἐπὶ τὰ ἔμπροσθεν φοράν σου, καὶ ἐπίστρεψον εἰς τὰ ὀπίσω· ὁ δέ, ὑπακούων καὶ ἐπιστρέφων, ποιεῖ τοὺς τέσσαρας καιροὺς τοῦ ἐνιαυτοῦ; τίς συνάγει καὶ ἐπιστρέφει εἰς αὐτὸν τὸ φῶς, τὸ ἐξ αὐτοῦ χεόμενον, καὶ πληροῦν τὸν μεταξὺ τοῦ οὐρανοῦ καὶ τῆς γῆς τόπον, ὥστε τοσούτους αἰῶνας οὐδὲ αὐτός, οὐδὲ τὸ φῶς αὐτοῦ ἐξέλιπεν, οὐδὲ ἠλαττώθη, οὐδὲ ἠσθένησε; τίς ἀναχαιτίζει τῆς θαλάσσης τὰ κύματα, καὶ συντρίβει τὴν φοβερὰν αὐτῶν ὁρμήν, ἵνα μὴ τὴν γῆν καλύψωσι; τίς εἶπεν αὐτῇ, ὡς λέγει ὁ Ἰώβ· « Μέχρι τούτου ἐλεύσῃ, καὶ οὐχ ὑπερβήσῃ, ἀλλ' ἐν σεαυτῇ συντριβήσεταί σου τὰ κύματα; » (1) τίς ἔδωκεν εἰς τὸν ἄνθρωπον τόσας γλώσσας, τόσας ἐπιστήμας, τόσας τέχνας, τόσην νόησιν, τόσην σοφίαν, τόσην ἐφεύρεσιν, ὥστε δι' αὐτῶν καὶ ὡς προνοητὴς προβλέπει, καὶ ὡς δημιουργὸς οἰκοδομεῖ, καὶ ὡς ἀγαθὸς ἀγαθοποιεῖ, καὶ

(1) Ἰὼβ 38, 11.



ὡς ἐξουσιαστὴς δεσπόζει τῶν ἐπιγείων κτισμάτων; τίς διαφυλάττει τόσους αἰῶνας ἀμετάβλητα καὶ ἀναλλοίωτα, τὰ ἰδιώματα παντὸς κτίσματος; Τὴν περιέργειαν ταύτην προάγει καὶ ἐπεκτείνει, ὅσον θέλει καὶ βούλεται· ἐκ ταύτης δὲ ἀναγκάζεται νοῆσαι καὶ συμπεράναι, ὅτι ἐστὶ ποιητὴς τούτων ἀόρατος, παντοδύναμος, πάνσοφος, προνοητικώτατος, πανυπερτέλειος. Ὅσον δὲ περισσότερον περιεργάζεται τῶν κτισμάτων τὸ πλῆθος, τὸ μέγεθος, τὸ κάλλος, τὴν ἀναλογίαν, τήν χρησιμότητα, τὴν μεταξὺ ἀλλήλων σχέσιν, τὸ τῶν ἰδιωμάτων αὐτῶν ἀμετάβλητον, τόσον περισσότερον μανθάνει τοῦ Θεοῦ τὴν μεγαλειότητα, τὴν δόξαν, τὰς ὑπερτελείους τελειότητας· διότι « Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, ποίη-
» σιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στε-
» ρέωμα· ἡμέρα τῇ ἡμέρᾳ ἐρεύγεται ῥῆμα,
» καὶ νὺξ νυκτὶ ἀναγγέλλει γνῶσιν » (1)· τὰ κτίσματα· « Οὐκ εἰσὶ λαλιαί, οὐδὲ λό-
» γοι, ὧν οὐχὶ ἀκούονται αἱ φωναὶ αὐ-
» τῶν » (2)· ἀλλ' εἰσὶ πράγματα ὁρατὰ καὶ αἰσθητά, λαλοῦντα εἰς τὰ πέρατα τῆς οἰκουμένης, καὶ ἀναγγέλλοντα πανταχοῦ τὴν ἄπειρον δύναμιν, καὶ τοὺς ὑπερτελείους τῆς θεότητος χαρακτῆρας ἐξ αὐτοῦ τοῦ καιροῦ, καθ' ὃν ἐκτίσθη ὁ κόσμος· « Τὰ γὰρ ἀόρα-
» τα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιή-
» μασι νοούμενα καθορᾶται, ἥ τε ἀΐδιος
» αὐτοῦ δύναμις καὶ θειότης » (3). Τοῦτο δὲ οὕτως ἐγένετο, ἵνα μηδεμίαν πρόφασιν ἀπιστίας ἔχωσιν οἱ ἄπιστοι· « Εἰς τὸ εἶναι
» αὐτοὺς ἀναπολογήτους ». Τὰ κτίσματα ἀφώνως μαρτυροῦσιν, ὅτι ἔχουσι ποιητὴν πανυπερτέλειον· ἡ δὲ τούτων μαρτυρία ἐςὶ « Μαρτυρία Κυρίου πιστή, σοφίζουσα νή-
» πια » (4). Ἀκούετε, τί μανθάνει, ὅστις ἀφιερώσει τὴν ἐγρήγορσιν αὐτοῦ οὐχὶ εἰς τὰ εὐτελῆ καὶ μάταια τοῦ κόσμου πράγματα, ἀλλ' εἰς τὰ μεγάλα καὶ ὑπερένδοξα τοῦ Θεοῦ ἔργα; βλέπετε, πῶς ἡ τοιαύτη ἐγρήγορσις ὁδηγεῖ ἡμᾶς εἰς τὴν μεγάλην καὶ θεμελιώδη ἀρετήν, εἰς τὴν πηγὴν τῶν ἀρετῶν, ἥτις ἐστὶν ἡ πρὸς τὸν Θεὸν πίστις; Καὶ μὴ θαυμάζετε· μηδὲ ἀπιστῆτε, ταῦτα ἀκούοντες, διότι καὶ ὁ Μελχισεδὲκ ὁ ἱερεὺς τοῦ Θεοῦ τοῦ Ὑψίστου (5), καὶ ὁ Ἀβραάμ, ὁ τοῦ Ἰησοῦ Χριστοῦ προπάτωρ, γρηγορήσαντες, καὶ τῶν ἀστέρων τὰς κινήσεις παρατηρήσαντες, καὶ περιεργασθέντες, ἐγνώρισαν τὸν ἀληθινὸν Θεόν, καὶ ἐπίστευσαν εἰς αὐτόν, κἂν εἰδωλολάτρας εἶχον πατέρας· μὴ θαυμάζητε, μηδὲ ἀπιστῆτε, διότι οἱ γρηγοροῦντες καὶ τοιουτοτρόπως τὰ κτίσματα περιεργαζόμενοι, φωτίζονται ὑπὸ τοῦ θείου φωτός· διὰ τοῦτο δὲ μακαρίζων αὐτοὺς ὁ προφητάναξ, ἔψαλλε· « Μακάριοι
» οἱ ἐξερευνῶντες τὰ μαρτύρια αὐτοῦ, ἐν
» ὅλῃ καρδίᾳ ἐκζητήσουσιν αὐτόν » (6).

Ἀφοῦ δὲ ὁ ἐγρήγορος ἄνθρωπος, τὴν εἰς Θεὸν πίστιν δεξάμενος, πιςεύσῃ, ὅτι πᾶσα τελειότης ἐν τῷ Θεῷ ἐστιν, ἑπομένως δὲ καὶ ἡ ἀγαθότης καὶ ἡ φιλανθρωπία, τότε πείθεται, ὅτι οὐκ ἐγκατέλιπεν ὁ Θεὸς τὸ ἐξαίρετον πάντων τῶν κτισμάτων, ἤγουν τὸν ἄνθρωπον, ἀπρονόητον καὶ ἄνομον, ἀλλὰ καθὼς ἔβαλεν εἰς πάντα τὰ κτίσματα ὅρους ἀμετατρέπτους, καὶ εἰς τὴν φύσιν ἑνὸς ἑκάστου ἀναλόγους, ἵνα μὴ ἀτάκτως φερόμενα, συγχέωσι τὴν τοῦ παντὸς εὐκοσμίαν, οὕτω καὶ εἰς τὸν ἄνθρωπον ὥρισε σωτηριώδεις νόμους κατ' ἀναλογίαν τῆς λογικῆς αὐτοῦ φύσεως, ἵνα μὴ κακῶς με-

(1) Ψαλμ. 18, 1, 2. (2) Αὐτ. 4. (3) Ῥωμ. 1, 20. (4) Ψαλμ. 18, 8. (5) Ὅρα Ἀθαν. ἱστορ. περὶ Μελχισεδ-
κα. Κεδρην. καὶ Ἰουδίθ. 5, 7, 8. (6) Ψαλμ. 118, 2.

τεργόμενος τῆς γνώμης αὐτοῦ τὸ ἐλεύθερον, διαφθείρῃ τοῦ ἀνθρωπίνου γένους τὴν εὐταξίαν. Ζητεῖ οὖν πανταχοῦ τὴν πρὸς τοὺς ἀνθρώπους θείαν νομοθεσίαν· περιεργάζεται τῶν φιλοσόφων τὰ συστήματα· ἀλλ' ἐν αὐτοῖς εὑρίσκει ὑπερβάλλουσαν ἀκαταστασίαν· βλέπει, ὅτι ὅσοι φιλόσοφοι, τόσα συστήματα, τὸ ἓν τοῦ ἑτέρου ἀναιρετικόν, πάντα δὲ ὑποθετικά, ἀναπόδεικτα, ἀτελῆ, ἀνάξια τῆς τοῦ Θεοῦ μεγαλειότητος καὶ δικαιοσύνης καὶ ἀγαθότητος. Παρατηρεῖ τὰς νομοθεσίας τινῶν πλάνων ἀνθρώπων, καὶ συναντᾷ ἐν αὐταῖς ἀδικίας αἰσχρουργίας, μωρολογίας, νοήματα ἀνάξια οὐ μόνον τοῦ ὑπερτελείου Θεοῦ, ἀλλὰ καὶ παντὸς λογικοῦ καὶ διακριτικοῦ ἀνθρώπου· ἀνοίγει τὰς Θείας Γραφὰς, καὶ περιεργαζόμενος ὅσα αὐταὶ διδάσκουσι περὶ πίστεως, ἐξίσταται ἀναγινώσκων ὀνόματα, εἰς τὸ ὑπεράρχιον Ὂν καταλληλότατα, νοήματα, διὰ τὸ ὕψος αὐτῶν ἐκπλήττοντα, χαρακτῆρας, εἰς μόνον τὸν ἀληθινὸν Θεὸν πρέποντας. Παρατηρῶν δὲ τοὺς ἐν αὐταῖς νόμους, βλέπει τὴν ἀλήθειαν καὶ τὴν δικαιοσύνην καὶ τὴν ἀγαθότητα καὶ τὴν ἁγιωσύνην· βλέπει, ὅτι οἱ νόμοι οὗτοι ἀναβιβάζουσι τὸν ἄνθρωπον εἰς τῆς τελειότητος τὴν κατάστασιν· ἑνὶ λόγῳ, βλέπει ἐν αὐταῖς ἐκεῖνον τὸν Θεόν, ὃν εἶδεν, ὡς ἐν κατόπτρῳ, ἐν τοῖς κτίσμασι· ταῦτα δὲ βλέπων, πείθεται ὅτι, ὅστις ἐδημιούργησ τὴν κτίσιν, ἐκεῖνος παρέδωκε καὶ τὰς Ἁγίας Γραφάς· πείθεται, καὶ ἐκφωνεῖ· εἷς καὶ ὁ αὐτός ἐστιν ὁ δημιουργὸς τοῦ κόσμου, καὶ ὁ ποιητὴς τῶν Ἁγίων Γραφῶν.

Ἐρευνᾷ οὖν τὰς Γραφὰς οὐχ ὡς ἀνθρώπων συγγράμματα, ἀλλ' ὡς τοῦ Θεοῦ λόγια· ἐν αὐταῖς δὲ ἀκούει τὸν ἀψευδέστατον Θεὸν ὑποσχόμενον καὶ λέγοντα· « Ὅτι ἐπ' » ἐμὲ ἤλπισε, καὶ ῥύσομαι αὐτόν· σκεπάσω αὐτόν, ὅτι ἔγνω τὸ ὄνομά μου· ἐπι» καλέσεται πρός με, καὶ εἰσακούσομαι » αὐτοῦ, μετ' αὐτοῦ εἰμι ἐν θλίψει, ἐξελοῦ» μαι αὐτόν, καὶ δοξάσω αὐτόν· μακρότη» τα ἡμερῶν ἐμπλήσω αὐτόν, καὶ δείξω » αὐτῷ τὸ σωτήριόν μου » (1). Ἡ ὑπόσχεσις αὕτη ἐνδύει αὐτὸν τὴν « περικεφαλαίαν » τοῦ σωτηρίου » (2)· τουτέστιν ἐνστάζει εἰς τὴν ψυχὴν αὐτοῦ τῆς σωτηρίας τὴν ἐλπίδα· εἰς αὐτὰ τὰ ἅγια βιβλία ἀναγινώσκων τὸ « δίκαιοι δὲ κληρονομήσουσι γῆν, » καὶ κατασκηνώσουσιν εἰς αἰῶνα αἰῶνος » ἐπ' αὐτῆς » (3)· Καὶ τό, « δίκαιος ὡς » φοίνιξ ἀνθήσει, ὡς ἡ κέδρος ἡ ἐν τῷ Λι» βάνῳ πληθυνθήσεται » (4)· θεωρῶν δὲ καὶ τὸν δικαιότατον Θεὸν εἰσάγοντα τοὺς δικαίους εἰς τὴν « ἀπὸ καταβολῆς κόσμου ἡ» τοιμασμένην ὑπὲρ αὐτῶν βασιλείαν (5), » ἐνδύεται τὸν θώρακα τῆς δικαιοσύνης (6)»· ἀποφασίζει δηλαδή, ἵνα δικαιοπραγῇ εἰς πάντα τὰ ἔργα αὐτοῦ· ἐν αὐτοῖς τοῖς τοῦ Θεοῦ βιβλίοις εὑρίσκει τὸ εὐαγγελικὸν πρόσταγμα· « Ἔστωσαν ὑμῶν αἱ ὀσφύες πε» ριεζωσμέναι » (7)· ἀκούει δὲ καὶ τὴν θείαν ἐντολήν· « οὐ μοιχεύσεις » (8) καὶ τῆς ἐντολῆς ταύτης τὴν τελειότητα, « Πᾶς ὁ » βλέπων γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐ» τῆς, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ » αὐτοῦ » (9)· ἔτι δὲ καὶ τὴν ἀπόφασιν κατὰ τῶν παραβαινόντων αὐτήν· « πόρ» νους δὲ καὶ μοιχοὺς κρινεῖ ὁ Θεός » (10)· βλέπει δὲ καὶ τὴν ἐλεεινὴν τοῦ ἀσώτου υἱοῦ κατάστασιν· ὅθεν περιζωννύων τὴν ὀσφῦν οὐ μόνον τοῦ σώματος, ἀλλὰ καὶ τῆς δια-

(1) Ψαλμ. 90, 14, 15, 16. (2) Ἐφεσ. 6, 17. (3) Ψαλμ. 36, 29. (4) Αὐτ. 91, 12. (5) Ματθ. 25, 34. (6) Ἐφεσ. 6, 14. (7) Λουκ. 12, 35. (8)) Ἐξ. 20, 13. (9) Ματθ. 5, 28. (10) Ἑβρ. 13, 4.



νοίας αὐτοῦ διὰ τῆς σωφροσύνης (1), ἀπέχει ἀπὸ παντὸς εἴδους σαρκικῆς ἁμαρτίας· ἀκούει ἐν ταῖς γραφαῖς τὸν Θεόν, λέγοντα· « οὕτως ἔσται τὸ ῥῆμά μου, ὃ ἐὰν ἐξέλθῃ » ἐκ τοῦ στόματός μου, οὐ μὴ ἀποστρα» φῇ πρός με κενόν, ἕως ἂν συντελεσθῇ » ὅσα ἠθέλησα, καὶ εὐοδώσω τὰς ὁδούς » σου, καὶ τὰ ἐντάλματά μου » (2). Θαυμάζων δὲ τὴν δύναμιν τοῦ Θεοῦ, ἀναδέχεται « τὴν μάχαιραν τοῦ πνεύματος » (3), τουτέστιν, ἀφιεροῦται εἰς τὴν ἀνάγνωσιν καὶ ἀκρόασιν τῶν λόγων τοῦ Θεοῦ· ἀναγινώσκει μὲν ἐν αὐταῖς τό, « Ἔστωσαν ὑμῶν » οἱ λύχνοι καιόμενοι » (4)· βλέπει δὲ καὶ τὴν καταδίκην τοῦ ὀκνηροῦ δούλου, τοῦ κρύψαντος τὸ τάλαντον (5), ἵνα οὖν μὴ καταδικασθῇ ὡς ἐκεῖνος, ὑποδύει τοὺς πόδας αὐτοῦ « Ἐν ἑτοιμασίᾳ τοῦ εὐαγγελίου τῆς » εἰρήνης » (6), ἤγουν ἀναλαμβάνων ζέουσαν προθυμίαν, τρέχει τῶν ἀρετῶν τὸν δρόμον. Παρατηρῶν δὲ καὶ ταῦτα τοῦ Θεοῦ τὰ λόγια· « Ὅστις δ' ἂν ἀρνήσηταί με » ἔμπροσθεν τῶν ἀνθρώπων, ἀρνήσομαι » αὐτὸν κἀγὼ ἔμπροσθεν τοῦ πατρός μου, » τοῦ ἐν οὐρανοῖς· ὁ δὲ ὑπομείνας εἰς » τέλος, οὗτος σωθήσεται » (7)· συμπεραίνει, ὅτι ταῦτα διδάσκουσι τό, « Στῆτε » οὖν » (8), τὴν σταθερὰν δηλονότι καὶ ἐπίμονον γνώμην ἐν τῇ ὁμολογίᾳ τῆς ἀληθείας τῶν ὀρθῶν τῆς πίστεως δογμάτων, καὶ τὸ ἀμετάβλητον τῆς προαιρέσεως εἰς τὰ τῆς ἀρετῆς κατορθώματα.

Βλέπετε οὖν, πόσον θαυμαστά εἰσι τῆς ἐγρηγόρσεως τὰ ἔργα· ἡ ἐγρήγορσις ὁδηγεῖ πρὸς τὴν πίστιν, ἡ πίστις ἀνοίγει τὰς Θείας Γραφάς, αἱ Θεῖαι Γραφαὶ ἐνδύουσιν ἡμᾶς τὴν πανοπλίαν τοῦ Θεοῦ, περὶ ἧς ἐλάλησεν ὁ Παῦλος (9), διὰ δὲ τῆς θείας πανοπλίας λαμβάνομεν τῆς νίκης τὰ τρόπαια κατὰ τῶν ἀοράτων ἐχθρῶν ἡμῶν, διὰ δὲ τὴν τοιαύτην νίκην δίδωσιν ἡμῖν ὁ Θεὸς βραβεῖον τὴν κληρονομίαν τῆς αἰωνίου αὐτοῦ βασιλείας. Μεγάλη ἀληθῶς καὶ ἀναγκαία πρὸς τὴν σωτηρίαν ὑμῶν ἡ ἀρετὴ τῆς ἐγρηγόρσεως· διὰ τοῦτο δὲ καὶ διὰ παραβολῶν, καὶ διὰ παραδειγμάτων, καὶ διὰ μακαρισμῶν, καὶ διὰ προστακτικῶν παραγγελμάτων ἐνομοθέτησεν αὐτὴν ὁ τοῦ κόσμου δημιουργὸς καὶ σωτήρ.

Διὰ τῆς παραβολῆς τῶν δέκα παρθένων ἔδειξεν ὁ Κύριος, πόσον ἀναγκαία ἐστὶ πρὸς τὴν σωτηρίαν ἡ ἐγρήγορσις. Πέντε, λέγει, ἐξ αὐτῶν τῶν παρθένων, ἦσαν φρόνιμοι καὶ πέντε μωραί (10). Ποίαν δὲ φρόνησιν βλέπομεν εἰς τὰς φρονίμους; τὴν προσοχὴν καὶ τὴν ἐπιμέλειαν. Ποίαν μωρίαν εἰς τὰς μωράς; τὴν ἀπροσεξίαν καὶ τὴν ἀμέλειαν· « Αἱ δὲ μωραὶ (διὰ τὴν ἀμέλειαν αὐτῶν), » λαβοῦσαι τὰς λαμπάδας ἑαυτῶν, οὐκ ἔ» λαβον μεθ' ἑαυτῶν ἔλαιον· αἱ δὲ φρόνιμοι » (ἐπιμεληθεῖσαι), ἔλαβον ἔλαιον ἐν τοῖς » ἀγγείοις αὐτῶν μετὰ τῶν λαμπάδων αὐ» τῶν » (11). Ἐν δὲ τῷ μέσῳ τῆς νυκτὸς ἦλθε, λέγει, ὁ νυμφίος, καὶ « αἱ μὲν ἕτοι» μοι », ἤγουν αἱ προσεκτικαὶ καὶ ἐγρήγοροι « εἰσῆλθον μετ' αὐτοῦ εἰς τοὺς γά» μους » (12)· εἰς δὲ τὰς λοιπάς, τὰς ἀμελεῖς καὶ ὀκνηράς, ἐκλείσθη τοῦ θείου νυμφῶνος ἡ θύρα, κἂν δὲ ἔκραζον δεόμεναι καὶ λέγουσαι· « Κύριε, Κύριε, ἄνοιξον ἡμῖν »· ἀπεκρίθη ὅμως εἰς αὐτὰς ὁ Κύριος· « Ἀμὴν » λέγω ὑμῖν οὐκ οἶδα ὑμᾶς » (13). Ἐβεβαίωσε δὲ ὁ Κύριος, ὅτι ἡ ἐγρήγορσις ἔσωσε τὰς πέντε φρονίμους, ἡ δὲ ἀμέλεια

(1) Ἐφεσ. 6, 14. (2) Ἡσ. 55, 11. (3) Ἐφεσ. 6, 17. (4) Λουκ. 12, 35. (5) Ματθ. 25, 28. (6) Ἐφεσ. 6, 15. (7) Ματθ. 10, 33. Αὐτ. 22. (8) Ἐφεσ. 6, 14. (9) Αὐτ. 6, 11. (10) Ματθ. 25, 2. (11) Αὐτ. 3, 4. (12) Αὐτ. 10. (13) Αὐτ. 11, 12.

ἐστέρησε τῆς θείας βασιλείας τὰς πέντε μωράς· διότι μετὰ τὴν διήγησιν ταύτης τῆς παραβολῆς ἐξεφώνησε ταῦτα τὰ ἐμφαντικὰ λόγια· « Γρηγορεῖτε οὖν, ὅτι οὐκ οἴδατε τὴν ἡμέραν, οὐδὲ τὴν ὥραν, ἐν ᾗ ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεται » (1). Τὸ αὐτὸ δὲ ἐδίδαξε διὰ τῆς παραβολῆς τοῦ γεωργοῦ· ἔσπειρε, λέγει, ὁ γεωργὸς « Καλὸν σπέρμα ἐν τῷ ἀγρῷ αὐτοῦ » (2)· ὅταν δὲ οἱ συγγεωργοὶ αὐτοῦ ἐκοιμῶντο, τότε ὁ ἐχθρὸς ἔσπειρε τὰ ζιζάνια μεταξὺ τοῦ σίτου· « Ἐν δὲ τῷ καθεύδειν τοὺς ἀνθρώπους, ἦλθεν αὐτοῦ ὁ ἐχθρός, καὶ ἔσπειρε ζιζάνια ἀνὰ μέσον τοῦ σίτου, καὶ ἀπῆλθεν » (3). Ἀκούετε, πότε ὁ ἐχθρὸς σπείρει τοὺς πονηροὺς λογισμοὺς εἰς τὰς ψυχὰς ἡμῶν; ὅταν κοιμώμεθα· « Ἐν δὲ τῷ καθεύδειν τοὺς ἀνθρώπους »· τί ἄλλο δέ ἐστιν οὗτος ὁ ὕπνος, εἰ μὴ τὸ ἐναντίον τῆς ἐγρηγόρσεως. Ὅταν οὖν οὐδὲ γρηγορῶμεν, οὐδὲ προσέχωμεν, τότε οἱ δαίμονες λαμβάνοντες χώραν, βλάπτουσι τὴν ψυχὴν ἡμῶν. Καὶ διὰ τοῦ παραδείγματος δὲ τοῦ οἰκοδεσπότου καὶ τοῦ κλέπτου ἐδίδαξεν ὁ Κύριος τῆς ἐγρηγόρσεως τὴν δύναμιν. Ἐὰν ὁ οἰκοδεσπότης ἐγνώριζε, ποίαν ὥραν ἔρχεται ὁ κλέπτης, ἠγρύπνει, λέγει, καὶ προσεῖχε, καὶ ἐνεμπόδιζεν αὐτόν, ἵνα μὴ διαφθείρῃ τὸν οἶκον αὐτοῦ· « Εἰ ᾔδει ὁ οἰκοδεσπότης, ποίᾳ φυλακῇ ὁ κλέπτης ἔρχεται, ἐγρηγόρησεν ἄν, καὶ οὐκ ἂν εἴασε διορυγῆναι τὴν οἰκίαν αὐτοῦ » (4). Ἀκούεις; « Ἐγρηγόρησεν ἄν, λέγει, καὶ οὐκ ἂν εἴασεν »· ὥστε ἡ ἐγρήγορσις ἐμποδίζει τοῦ κλέπτου τὴν βλάβην. Καθὼς οὖν, ὅταν ὁ οἰκοδεσπότης γρηγορῇ, ἐμποδίζει τὸν κλέπτην, ἵνα μὴ διορύξῃ τὴν οἰκίαν αὐτοῦ, οὕτω καὶ ὁ χριστιανός, ὅταν γρηγορῇ, ἐμποδίζει τὸν διάβολον, καὶ οὐκ ἀφίησιν αὐτὸν βλάψαι τὴν ψυχὴν αὐτοῦ· καθὼς δὲ ὁ οἰκοδεσπότης, ἐπειδὴ οὐ γνωρίζει, ποίαν ὥραν ἔρχεται ὁ κλέπτης διορύξαι τὴν οἰκίαν αὐτοῦ, ἀνάγκη ἐστίν, ἵνα διὰ παντὸς προσέχῃ, οὕτω καὶ ἡμεῖς, ἐπειδὴ οὐκ οἴδαμεν, πότε ὁ σατανᾶς ἔρχεται πειράξαι ἡμᾶς, ἀνάγκη ἐστίν, ἵνα πάντοτε γρηγορῶμεν· ἡμεῖς δὲ οὐ μόνον τοῦτο οὐκ οἴδαμεν, ἀλλ' οὐδὲ ποία ἐστὶν ἡ ὥρα τοῦ θανάτου ἡμῶν, οὐδὲ ποίαν ὥραν ὁ Κύριος ἔρχεται κρῖναι ζῶντας καὶ νεκρούς· διὰ τοῦτο πολλῷ μᾶλλον ἡμεῖς πρέπον ἐστίν, ἵνα ἀγρυπνῶμεν καὶ προσέχωμεν. Τοῦτο δὲ σημαίνουσι ταῦτα τὰ σωτηριώδη λόγια· « Διὰ τοῦτο καὶ ὑμεῖς γίνεσθε ἕτοιμοι· ὅτι ᾗ ὥρᾳ οὐ δοκεῖτε, ὁ Υἱὸς τοῦ ἀνθρώπου ἔρχεται » (5). Ἀκούσατε δὲ καὶ τὴν παραγγελίαν τοῦ Ἰησοῦ Χριστοῦ περὶ τῆς ἐγρηγόρσεως· γίνεσθε, λέγει, τόσον ἄγρυπνοι καὶ προσεκτικοί, ὅσον ἐκεῖνοι οἱ δοῦλοι, οἵτινες περιμένουσι τὸν κύριον αὐτῶν, ἵνα, ὅταν ἐπιστρέψας ἐκ τῶν γάμων, καὶ ἐλθών, κρούσῃ τὴν θύραν, εὐθὺς χωρίς τινος ἀναβολῆς ἀνοίξωσιν αὐτῷ. « Καὶ ὑμεῖς ὅμοιοι ἀνθρώποις, προσδεχομένοις τὸν κύριον ἑαυτῶν, πότε ἀναλύσῃ ἐκ τῶν γάμων, ἵνα, ἐλθόντος καὶ κρούσαντος, εὐθέως ἀνοίξωσιν αὐτῷ » (6). Ταῦτα δὲ εἰπών, ἐμακάρισε τοὺς οὕτω γρηγοροῦντας· « Μακάριοι, εἶπεν, οἱ δοῦλοι ἐκεῖνοι, οὓς ἐλθὼν ὁ Κύριος, εὑρήσει γρηγοροῦντας ».

Ἀγαπητοί μου χριστιανοί, ἐγὼ καλῶς γνωρίζω, ὅτι πάντες ἀπὸ μεγάλου ἕως μικροῦ γρηγοροῦμεν, καὶ ἐσμὲν δραστήριοι καὶ προσεκτικώτατοι· ἀλλὰ διὰ τί; διὰ

(1) Ματθ. 25, 13. (2) Αὐτ. 13, 24. (3) Αὐτ. 25. (4) Αὐτ. 24, 43. (5) Αὐτ. 44. (6) Λουκ. 12, 36, 37.



πράγματα μικρὰ καὶ εὐτελέστατα. Προσέχω καὶ παρατηρῶ μετὰ μεγάλης ἀκριβείας καὶ τὰ ἔργα καὶ τὰ λόγια, καὶ αὐτὰ τὰ νεύματα τοῦ ἐχθροῦ μου, ἵνα μὴ προξενήσῃ μηδὲ μικροτάτην βλάβην εἰς τὸ σῶμα, ἢ εἰς τὰ ὑπάρχοντα, ἢ εἰς τὴν τιμήν μου. Ὁ ἐχθρός μου ὁ σατανᾶς καθ' ἑκάστην ὥραν διὰ τῶν πονηρῶν αὐτοῦ λογισμῶν φθείρει τὸν νοῦν μου, πᾶσαν ὥραν ῥίπτει τὰ πεπυρωμένα αὐτοῦ βέλη, καὶ τραυματίζει τὴν ψυχήν μου, πᾶσαν ὥραν συνωθεῖ με εἰς τὰ ἁμαρτήματα, τὰ ποιοῦντά με ὄνειδος ἀνθρώπων, καὶ ἐξουθένημα λαοῦ· ἐγὼ δὲ ὡς κωφὸς καὶ τυφλὸς καὶ ἀναίσθητος οὐδὲ ἀκούω, οὐδὲ βλέπω, οὐδὲ αἰσθάνομαι, ἀλλὰ μεθ' ἡδονῆς ὑποδέχομαι τὰς αἰσχρὰς αὐτοῦ ἐνθυμήσεις, καὶ ἀνοίγω τὰς αἰσθήσεις μου, ἵνα εὐκόλως τραυματίζῃ με, καὶ τρέχω ὀπίσω εἰς τὰ θελήματα αὐτοῦ, ἵνα ὡς θέλει ὑποσκελίζῃ με· αὐτὸς μὲν βλάπτει με βλάβην ἀθάνατον, ἐγὼ δὲ κοιμῶμαι ἥσυχος τὸν ὕπνον τοῦ θανάτου μου. Πάντες μετὰ ἐπιμελείας προσέχομεν· ἀλλὰ διὰ τί; διὰ πράγματα εὐτελῆ, καὶ τῆς προσοχῆς ἡμῶν ἀνάξια· ἐκεῖνος γρηγορεῖ, ἵνα ἑτοιμάσῃ τροφὰς καὶ ποτά, οὐχὶ ὅσα ζητεῖ ἡ ἀνάγκη τοῦ σώματος, ἀλλ' ὅσα ἐγείρουσι τῆς πολυφαγίας καὶ πολυποσίας τὴν ὄρεξιν· ἐκεῖνος ἐπιμελεῖται, ἵνα κατασκευάσῃ ἐνδύματα, οὐχ ὅσα ἀναγκαῖά εἰσι πρὸς σκέπην καὶ περίθαλψιν τοῦ σώματος, ἀλλ' ὅσα καθ' ἑκάστην σχεδὸν ἡμέραν ἐπινοεῖ ἡ ματαιοφροσύνη τῶν ἀνθρώπων· ὁ ἄλλος ἀγρυπνεῖ, ἵνα οἰκοδομήσῃ οἶκον, οὐχὶ τὸν εἰς κατοίκησιν καὶ ἄνεσιν αὐτοῦ ἁρμόζοντα, ἀλλὰ τὸν πολυώροφον καὶ πολυτάλαντον, τὸν περιττὸν καὶ μάταιον, τὸν ὑπὸ τοῦ κόσμου θαυμαζόμενον. Πάντες προσέχομεν ἡμέρας καὶ νυκτός, καὶ μετὰ πάσης ἐγρηγόρσεως ἐπιμελούμεθα· ἀλλὰ διὰ τί; διὰ τὰ πράγματα τοῦ κόσμου, τὰ πρόσκαιρα καὶ ὀλιγοχρόνια, δι' ἐκεῖνα ὅσα σήμερον ἔχομεν, καὶ αὔριον ἡμεῖς μὲν ἀποθνήσκομεν, ἄλλοι δὲ κληρονομοῦσι. Πόσην προσοχὴν ἔχομεν, ἵνα συνάξωμεν ἀργύρια; πόσην ἐπιμέλειαν, ἵνα πολυπλασιάσωμεν τὰ ὑπάρχοντα; πόσην ἐγρήγορσιν, ἵνα προβιβασθῶμεν εἰς τὰ κοσμικὰ ἀξιώματα; πόσην παρατήρησιν, ἐνίοτε καὶ διὰ μίαν σπιθαμὴν γῆς, καὶ δι' ἕνα ὀβολόν, καὶ δι' ἓν σκύβαλον; ἀλλὰ διὰ τὴν σωτηρίαν τῆς ψυχῆς ἡμῶν, διὰ τὰ ἐπουράνια ἀγαθά, διὰ τὴν κληρονομίαν τῆς αἰωνίου βασιλείας τοῦ Θεοῦ οὐδεμία, οὐδὲ ἐπιμέλεια, οὐδὲ προσοχή, οὐδὲ ἐγρήγορσις· ἐκ τούτου γινόμεθα παίγνιον τοῦ διαβόλου, ἐκ τούτου περιπίπτομεν εἰς τόσας ἀδικίας καὶ ἀνομίας, ἐκ τούτου κοιμώμεθα ὡς ἀναίσθητοι ἐν ταῖς ἁμαρτίαις ἡμῶν, ἕως οὗ ἐλθὼν ὁ θάνατος, ἁρπάζῃ ἡμᾶς χωρὶς μετανοίας, χωρὶς ἐπιστροφῆς καὶ διορθώσεως.

Ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, ὁ πολυεύσπλαγχνος καὶ φιλανθρωπότατος, ὅςις γνωρίζει, πόσον ἀναγκαία ἐστὶν ἡ ἐγρήγορσις διὰ τὴν σωτηρίαν πάντων τῶν ἀνθρώπων, οὐ μόνον ἐλάλησε πολλὰ περὶ ἐγρηγόρσεως, ἀλλὰ καὶ διὰ τρόπου ἀσυνήθους τὰ περὶ αὐτῆς ἐνομοθέτησε· πάντα τὰ θεῖα αὐτοῦ προστάγματα κοινά εἰσιν, ὑπὲρ πάντων ἐκήρυξεν αὐτά, εἰς πάντας τοὺς ἀνθρώπους ἁρμόζουσιν· ὅταν ὅμως ἔδωκε τὴν ἐντολὴν τῆς ἐγρηγόρσεως, τότε εἶπε φανερά, ὅτι παραγγέλλει αὐτὴν εἰς πάντας τοὺς ἀνθρώπους, « ἃ δὲ ὑμῖν λέγω, πᾶσι λέγω· γρηγορεῖτε » (1).

(1) Μάρκ. 13, 37.

Ἄνθρωποι οὖν, ὅσοι εἰς τὸν Ἰησοῦν Χριστὸν πιστεύετε, ἀκούσατε, τί αὐτὸς λέγει πρὸς πάντας· « πᾶσι λέγω· γρηγορεῖτε ». Καὶ εἰς ὑμᾶς οὖν, ὦ βασιλεῖς καὶ ἡγεμόνες καὶ ἄρχοντες τῆς γῆς, λέγει ὁ Κύριος γρηγορεῖτε· ἐπειδὴ ὑμεῖς ἐξουσιάζετε καὶ διοικεῖτε πλῆθος ἀνθρώπων, εἰς ὑμᾶς περισσότερον ἁρμόζει τοῦ Κυρίου ἡ ἐντολή· διότι, ὅταν ὑμεῖς ἀγρυπνῆτε καὶ προσέχητε, τότε εὐτυχοῦσι καὶ σώζονται πάντες οἱ ὑπήκοοι ὑμῶν· ὅταν δὲ νυστάζητε καὶ ἀμελῆτε τὴν ὑπέρ τοῦ λαοῦ φροντίδα, τότε πάσχει καὶ δυστυχεῖ ὅλος ὁ ὑπήκοος λαός. Κριταί, ὅσοι καθήμενοι εἰς τὰ κριτήρια κρίνετε, καὶ εἰς ὑμᾶς λέγει ὁ Κύριος « γρηγορεῖτε » γρηγορεῖτε· παρατηροῦντες τοὺς νόμους, ζητοῦντες τὴν ἀλήθειαν, κρίνοντες δικαίαν κρίσιν· μὴ ἀμελῆτε, ἵνα μὴ ὑπὸ τῆς ἀμελείας ὑμῶν ἀναβάλλητε ἡ ἀπόφασις, καὶ ζημιῶνται οἱ κρινόμενοι· προσέχετε, ἵνα μὴ προχωρήσῃ εἰς τὴν αὐλὴν ὑμῶν ἡ δωροδοκία, καὶ ἵνα μηδὲ ἔχθρα, μηδὲ φιλία, μηδὲ θυμός, μηδὲ μεσιτεία θολώσῃ τὴν τοῦ νοὸς ὑμῶν διάκρισιν· προσέχετε, ἵνα μὴ εἰσέλθῃ εἰς τὴν κρίσιν ἡ ἀδικία· « ὅτι ἡ κρίσις » τοῦ Θεοῦ ἐστι » (1). « Πᾶσι », λέγω, εἶπεν ὁ Κύριος· καὶ εἰς ὑμᾶς, ὦ ἄνθρωποι, ὅσοι μετέρχεσθε τὰς πραγματείας ἢ τὰς τέχνας, λέγει ὁ Κύριος, γρηγορεῖτε, ἵνα μὴ εἰσέδῃ οὐδὲ ἀπάτη εἰς τὰ συναλάγματα, οὐδὲ ψεῦδος εἰς τὰ πωλούμενα καὶ ἀγοραζόμενα, οὐδὲ δολιότης οὐδὲ ἀμέλεια εἰς τὰ ἐργόχειρα· γρηγορεῖτε, ἵνα κρατεῖτε πάντοτε « Ζυγὰ δίκαια καὶ ϛαθμία δίκαια » (2). Νέοι, γρηγορεῖτε, ἵνα καταδαμάσητε τῆς νεότητος τὴν φλόγα· γέροντες γρηγορεῖτε, ἵνα μετὰ ὑπομονῆς βαστάζητε τοῦ γηρατείου τὰς ἀσθενείας· πατέρες καὶ μητέρες, μὴ ἀμελῆτε, ἀλλὰ γρηγορεῖτε, παιδαγωγοῦντες τὰ τέκνα ὑμῶν καὶ διὰ τοῦ καλοῦ παραδείγματος, καὶ διὰ τῆς ὀρθῆς συμβουλῆς, καὶ διὰ τῆς ῥάβδου, ὅταν ἡ χρεία τοῦτο ζητῇ· προσέχετε καὶ ἐπὶ τὰ ἔργα καὶ ἐπὶ τὰ λόγια καὶ ἐπὶ τὰς συναναστροφὰς τῶν τέκνων ὑμῶν, ἵνα διευθύνητε αὐτὰ εἰς τὸν φόβον τοῦ Θεοῦ καὶ εἰς τῆς ἀρετῆς τὸν δρόμον· ἐξόχως δὲ εἰς ὑμᾶς, ὦ ἐκκλησιαστικοὶ ποιμένες, παραγγέλλει ὁ Κύριος τὴν ἐγρήγορσιν· οὐαὶ ὑμῖν, ἐὰν ὑμεῖς κοιμᾶσθε, ὁ δὲ λύκος, ἤγουν ὁ ἄπιστος ἢ ὁ αἱρετικὸς ἁρπάζῃ καὶ σκορπίζῃ τὰ πρόβατα· οὐαὶ ὑμῖν, ἐὰν ὑμεῖς μὲν ἀμελῆτε, ὁ δὲ σατανᾶς διαφθείρῃ τὰς ψυχάς, ὑπὲρ ὧν Χριστὸς ἀπέθανεν· οὐαὶ ὑμῖν, διότι τὸ αἷμα αὐτῶν ἐκ τῶν χειρῶν ὑμῶν ἐκζητήσει ὁ Κύριος (3). Χριστιανοί, ὁποίας ἂν ἦσθε ἡλικίας, καταστάσεως, τάξεως, ἐπαγγέλματος, ἀκούσατε πάντες τὴν ἐντολὴν τοῦ Κυρίου Ἰησοῦ Χριϛοῦ, διότι εἰς πάντας λέγει, γρηγορεῖτε· μὴ νυστάζητε, ἀλλὰ διώκετε τοὺς πονηροὺς διαλογισμούς· μὴ ἀμελῆτε, ἀλλὰ καταδαμάζετε τὰς ψυχοφθόρους τῆς σαρκὸς ἐπιθυμίας· μὴ γίνεσθε ὀκνηροί, ἀλλὰ φεύγετε προθύμως τὴν ἀπατηλὴν τοῦ κόσμου ματαιότητα. Γρηγορεῖτε, καὶ τρέχετε σπουδαίως τῆς ἀρετῆς τὸν δρόμον· « Μακάριοι οἱ δοῦλοι ἐκεῖνοι, οὓς ἐλθὼν ὁ » Κύριος εὑρήσει γρηγοροῦντας » (4). Τὸ στόμα Κυρίου ἐλάλησε ταῦτα.

(1) Δευτ. 1, 17. (2) Αὐτ. 19, 36. (3) Ἰεζ. 3, 18. (4) Λουκ. 12, 37.



# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΗΝ ΠΡΟΣ

# ΚΟΛΟΣΣΑΕΙΣ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗι ΚΗʹ. ΚΥΡΙΑΚΗι.

ΑΙ Κολοσσαί, ἢ Κολασσαί, αἱ ὕστερον μετονομασθεῖσαι Χῶναι, ἦσαν πόλις ἐπίσημος τῆς Φρυγίας, κείμεναι μεταξὺ τῆς Ἱεραπόλεως καὶ τῆς Λαοδικείας, ἥτις ἦν πάσης τῆς ἐπαρχίας ἐκείνης μητρόπολις. Ἔγραψε δὲ πρὸς τοὺς κατοικοῦντας τὴν τῶν Κολοσσῶν πόλιν ὁ Παῦλος, δέσμιος ὢν ἐν Ῥώμῃ, ἀποστείλας πρὸς αὐτοὺς διὰ τοῦ Τυχικοῦ καὶ τοῦ Ὀνησίμου (1). Καί τινες μὲν λέγουσιν, ὅτι ὁ Παῦλος ἐκήρυξεν εἰς αὐτοὺς τὸ Εὐαγγέλιον (2), ὅτε διήρχετο τὴν Φρυγίαν καὶ τὴν Γαλατικὴν χώραν. Ἐπειδὴ ὅμως ἐν τῇ πρὸς αὐτοὺς ἐπιστολῇ γράφει (3), ὅτι ἤκουσε τὴν εἰς Χριστὸν αὐτῶν πίστιν, καὶ τὴν πρὸς τοὺς ἁγίους ἀγάπην αὐτῶν, πρὸς τούτοις δὲ συνέταξεν αὐτούς τε καὶ τοὺς Λαοδικεῖς μετὰ τῶν μὴ ἰδόντων τὸ πρόσωπον αὐτοῦ, λέγων· « Θέλω γὰρ » ὑμᾶς εἰδέναι, ἡλίκον ἀγῶνα ἔχω περὶ ὑμῶν » καὶ τῶν ἐν Λαοδικείᾳ, καὶ ὅσοι οὐχ ἑωράκασι τὸ πρόσωπόν μου ἐν σαρκί » (4) διὰ τοῦτο πιθανώτερον φαίνεται, ὅτι ἄλλος τις ἐδίδαξεν αὐτοὺς τὴν εἰς Χριστὸν πίστιν, ἴσως ὁ Ἐπαφρᾶς· διότι λέγει, ὅτι αὐτὸς ἐμαθήτευσεν αὐτούς, καὶ ἐχρημάτισε διάκονος ὑπὲρ αὐτῶν· « Καθὼς καὶ ἐμάθετε, » γράφει, ἀπὸ Ἐπαφρᾶ, τοῦ ἀγαπητοῦ » συνδούλου ἡμῶν, ὅς ἐστι πιστὸς ὑπὲρ » ὑμῶν διάκονος τοῦ Χριστοῦ » (5). Ἔγραψε δὲ πρὸς αὐτοὺς ὁ Παῦλος, ἐπειδὴ αὐτοὶ μὲν ἦσαν ἐθνικοί, αὐτὸς δὲ προεχειρίσθη τῶν ἐθνῶν διδάσκαλος (6)· καὶ ἐπειδὴ ἔμαθεν, ὅτι οἱ ψευδαπόστολοι ἐλθόντες καὶ πρὸς αὐτοὺς « Διὰ τῆς φιλοσοφίας καὶ κενῆς ἀ» πάτης » (7), ἐκήρυττον θρησκείαν ἀγγέλων, τουτέστιν, ἵνα σέβωνται τοὺς ἀγγέλους περισσότερον τοῦ πρέποντος, ἔτι δὲ καὶ φυλακὴν ἰουδαϊκῶν παρατηρήσεων. Περιέχει δὲ ἡ πρὸς αὐτοὺς ἐπιστολὴ πρῶτον μέν, δόγματα πίστεως ὑψηλότατα καὶ διδακτικὰ τῶν πρὸς τοὺς ἀνθρώπους μεγάλων τοῦ Θεοῦ εὐεργεσιῶν· δεύτερον δέ, ἔλεγχον τῆς τῶν ψευδαποστόλων ἀπατηλῆς καὶ βλαβερᾶς διδασκαλίας· καὶ τρίτον, ἠθικὴν νουθεσίαν, ἀληθῶς θαυμαστὴν καὶ ἐπουράνιον. Μέρος δὲ τῶν θεολογικῶν τῆς πίστεως δογμάτων ἐδίδαξεν ἡμᾶς ἡ σήμερον ἀναγνωσθεῖσα περικοπὴ ταύτης τῆς ἐπιστολῆς. Χρείαν δὲ ἔχουσι τὰ τοιαῦτα δόγματα ἑρμηνείας. Καὶ ἡμεῖς μὲν τῷ τοῦ Θεοῦ ἐλέει θαῤῥήσαντες, προβάλλομεν αὐτήν· ὑμεῖς δέ, ἀδελφοί, μετὰ προσεκτικῆς καὶ εὐλα-

(1) Κολ. 4, 3. Αὐτ. 7, 8. (2) Θεοδώριτ. Πράξ. 16, 6. (3) Κολ. 2, 4. (4) Αὐτ. 2, 1. (5) Αὐτ. 1, 7.
(6) Πράξ. 9, 15. Γαλ. 1, 16. (7) Κολ· 2, 8, 18.

ϐοῦς ἀκροάσεως ταύτην ἀκούσατε, ἵνα τὰ ἐν τοῖς θείοις δόγμασι νοήματα κατανοήσητε, καὶ οὕτω φωτισθῇ ἡ ψυχὴ ὑμῶν διὰ τοῦ σωτηρίου φωτὸς τοῦ παναγίου Πνεύματος.

*Ἀδελφοί, εὐχαριστοῦμεν τῷ Θεῷ καὶ πατρί, τῷ ἱκανώσαντι ἡμᾶς εἰς τὴν μερίδα τοῦ κλήρου τῶν ἁγίων ἐν τῷ φωτί* (1).

Προϐιϐάζει μὲν τοὺς ἀνθρώπους ὁ ἐπίγειος ϐασιλεὺς εἰς μεγαλοπρεπῆ ἀξιώματα, πλὴν οὐ δύναται καταςῆσαι αὐτοὺς ἐπιτηδείους πρὸς τὴν πρέπουσαν ἐκπλήρωσιν τῆς ὑπὸ τῶν δοθέντων αὐτοῖς ἀξιωμάτων ζητουμένης ὑπηρεσίας (2)· τοῦτο μόνος δύναται ποιῆσαι ὁ τῶν ϐασιλευόντων ϐασιλεύς, ὁ Θεός· αὐτὸς οὐ μόνον δίδωσι τὸ θεῖον αὐτοῦ χάρισμα, ἀλλὰ καὶ ποιεῖ ἱκανὸν καὶ ἐπιτήδειον τὸν τοῦτο λαϐόντα ἐκτελέσαι, ὅσα ζητεῖ τὸ δοθὲν χάρισμα. Διὰ τοῦτο οὖν ὁ θεσπέσιος Παῦλος εἶπε· « Τῷ ἱκανώσαντι » ἡμᾶς », ἵνα δηλονότι φανερώσῃ, ὅτι καὶ τὰ δύο δίδωσιν ἡμῖν ὁ Θεός, καὶ τὸ χάρισμα, καὶ τὴν ἐπιτηδειότητα πρὸς τὴν τοῦ χαρίσματος οἰκονομίαν. Τί δὲ σημαίνει ἡ μερὶς τοῦ κλήρου; διάφορα σημαινόμενα ἔχει ὁ κλῆρος· μεταξὺ δὲ τῶν ἄλλων σημαίνει καὶ τὸ ἐπάγγελμα, ὡς φανερόν ἐστιν ἐκ τοῦ λόγου, ὃν εἶπον οἱ θεῖοι Ἀπόστολοι, ὅτε προσηύχοντο, ἵνα ἀποκατασταθῇ ἄλλος εἰς τὸ ἀποστολικὸν ἐπάγγελμα, ἐξ οὗ ἐξέπεσεν ὁ Ἰούδας· « Κύριε, εἶπον, καρδιο» γνῶστα πάντων, ἀνάδειξον ἐκ τούτων » τῶν δύο ἕνα, ὃν ἐξελέξω, λαϐεῖν τὸν κλῆ» ρον τῆς διακονίας ταύτης καὶ ἀποστο» λῆς, ἐξ ἧς παρέϐη Ἰούδας, πορευθῆναι » εἰς τὸν τόπον τὸν ἴδιον » (3). Ἡ μερὶς οὖν τοῦ κλήρου σημαίνει τὴν μετοχὴν τοῦ ἀποστολικοῦ ἐπαγγέλματος· κατὰ δὲ ταύτην τὴν σημασίαν τὸ νόημα τῶν προκειμένων τοῦ Παύλου λόγων ἐστὶ τοῦτο· « Εὐχαρι» ριστοῦμεν τῷ Θεῷ καὶ Πατρί », ὅστις κατέστησεν ἡμᾶς ἐπιτηδείους πρὸς τὴν διακονίαν τοῦ μεταδοθέντος ἡμῖν ἐπαγγέλματος « Τῶν ἁγίων ἐν τῷ φωτί», ἤγουν τῶν ἁγίων, τῶν ἐν τῷ φωτί, ὅπερ ἐστί, τῶν ἁγίων Ἀποστόλων, τῶν ὑπὸ τοῦ Θεοῦ φωτισθέντων πρὸς τὸ κηρύξαι τὴν εὐαγγελικὴν ἀλήθειαν. Ἐὰν δὲ μερίδα κλήρου νοήσῃς τὴν κληρονομίαν, ἡ ἔννοια εὐοδοῦται οὕτως· « Εὐχαριστοῦμεν τῷ Θεῷ καὶ » Πατρί», ὅστις ἐποίησεν ἡμᾶς ἀξίους τῆς κληρονομίας τῶν ἁγίων, οἵτινες καὶ ἐν τῷ παρόντι ϐίῳ εἰσὶν «Ἐν τῷ φωτί», ἤγουν ἐν τῇ γνώσει τῆς ἀληθείας, καὶ ἐν τῷ μέλλοντι ἀπολαύσωσι τῆς τελειοτέρας τοῦ Θεοῦ γνώσεως. Βλέπε δέ, ὅτι οὐ διὰ τοῦτο μόνον χρεωστοῦμεν τὴν πρὸς τὸν Θεὸν εὐχαριστίαν, ἀλλὰ καὶ διὰ τὰ ἐφεξῆς διδασκόμενα.

*Ὃς ἐρρύσατο ἡμᾶς ἐκ τῆς ἐξουσίας τοῦ σκότους, καὶ μετέστησεν εἰς τὴν ϐασιλείαν τοῦ Υἱοῦ τῆς ἀγάπης αὐτοῦ· ἐν ᾧ ἔχομεν τὴν ἀπολύτρωσιν διὰ τοῦ αἵματος αὐτοῦ, τὴν ἄφεσιν τῶν ἁμαρτιῶν* (4).

« Ἐξουσία τοῦ σκότους » ἐστὶν ἡ τυρανία τοῦ σατανᾶ, τοῦ διὰ τοῦ ζυγοῦ τῆς ἁμαρτίας τοῦ καταδυναστεύοντος τὰς τῶν ἀνθρώπων ψυχάς· « Υἱὸς δὲ τῆς ἀγάπης »

(1) Κολ. 1, 12. (2) Ὅρ. Χρυσ. Αὐτ. (3) Πράξ. 1, 24, 25. (4) Κολ. 1, 13, 14.



ἐστὶν ὁ Υἱὸς ὁ ἀγαπητός, καθὼς καὶ « υἱὸς » τῆς ἀπωλείας » (1), ὁ ἀπολωλώς, καὶ « Υἱὸς τοῦ ἀνθρώπου » (2), ὁ ἄνθρωπος. Διὰ τί δὲ οὐκ εἶπεν, εἰς τὴν ϐασιλείαν αὐτοῦ, ἀλλ' « Εἰς τὴν ϐασιλείαν τοῦ Υἱοῦ τῆς » ἀγάπης αὐτοῦ; » τοῦτο εἶπεν, ἵνα δείξῃ τὸν Υἱὸν ἰσότιμον καὶ ὁμοδύναμον καὶ ταυτεξούσιον καὶ ὁμοούσιον τῷ Πατρί, καὶ φανερώσῃ, ὅτι μία ἐστὶν ἡ ϐασιλεία τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, ἐπειδὴ μία ἐστὶ καὶ ἡ οὐσία τῆς θεότητος αὐτῶν, καὶ διδάξῃ, ὅτι ἡ ἀγάπη ἐποίησε τὸν Υἱὸν ἄνθρωπον· « Οὕτω γὰρ » ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον, ὥστε καὶ » τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκε » (3)· καὶ ὅτι ὁ Πατὴρ διὰ τὸ πάθος καὶ τὸν θάνατον τοῦ Υἱοῦ αὐτοῦ, τοῦ δείξαντος εἰς τὸν κόσμον τὴν ἀγάπην τοῦ Πατρὸς αὐτοῦ, ἠλευθέρωσεν ἡμᾶς ἐκ τῆς δυναστείας τοῦ ἄρχοντος τοῦ σκότους, καὶ μετέστησεν ἡμᾶς ἐκ τῆς δουλείας εἰς τὴν ϐασιλείαν· διὰ τοῦτο δὲ εἶπεν· « Ἐν ᾧ ἔχομεν τὴν » ἀπολύτρωσιν », ἤγουν δι' αὐτοῦ τοῦ Υἱοῦ, τοῦ ἐκχέαντος τὸ αἷμα αὐτοῦ ἐν τῷ ςαυρῷ, ἡμεῖς ἐλυτρώθημεν ἀπὸ τῆς δαιμονικῆς τυρανίας, καὶ ἐλάϐομεν τὴν ἄφεσιν τῶν ἁμαρτιῶν. Βλέπε δέ, ὅτι, ἵνα μηδεὶς τολμήσῃ λογισθῆναι τὸν Υἱὸν κατώτερον τοῦ Πατρός, ἀπέδωκεν εἰς τὸν Υἱόν, ὅσα καὶ εἰς τὸν Πατέρα (4)· « Ἐρρύσατο », εἶπε περὶ τοῦ Πατρός· « Ἐν ᾧ ἔχομεν τὴν ἀπο» λύτρωσιν », εἶπε περὶ τοῦ Υἱοῦ· « Με» τέστησε », λέγει περὶ τοῦ Πατρός, ἀλλὰ προσέθηκεν εὐθὺς τό, εἰς τὴν ϐασιλείαν » τοῦ Υἱοῦ τῆς ἀγάπης αὐτοῦ». Αἴτιον τῆς τοιαύτης μεταςάσεως ἡμῶν ὁ Υἱός, ὁ Ἰησοῦς Χριςός, ὁ διὰ τῆς ἐκχύσεως τοῦ τιμίου αὐτοῦ αἵματος λυτρώσας ἡμᾶς τῆς τυραννίδος τοῦ σατανᾶ, καὶ διὰ τῆς ἀφέσεως τῶν ἁμαρτιῶν ἡμῶν ποιήσας ἡμᾶς ἀξίους τῆς αἰωνίου ϐασιλείας. Ταῦτα δὲ εἰπὼν ὁ Ἀπόστολος, ἄρχεται τῆς περὶ τοῦ υἱοῦ τοῦ Θεοῦ θεολογίας, λέγων·

*Ὅς ἐςιν εἰκὼν τοῦ Θεοῦ τοῦ ἀοράτου, πρωτότοκος πάσης κτίσεως* (5).

Ταῦτα τὰ δύω ὀνόματα, ἤγουν εἰκόνα καὶ πρωτότοκον, παχυλῶς νοήσαντες ὁ Ἄρειος καὶ ὁ Παῦλος ὁ Σαμοσατεύς, ἀρνησάμενοι τοῦ Ἰησοῦ Χριστοῦ τὴν θεότητα, κατεϐίϐασαν αὐτὸν ἐπὶ τὰ κτίσματα οἱ ἀσύνετοι καὶ παράφρονες. Αὐτοὶ ἐνόμισαν τὸν Υἱὸν εἰκόνα τοῦ Θεοῦ, καθὼς καὶ τὸν ἄνθρωπον, τὸν κατ' εἰκόνα Θεοῦ ποιηθέντα· ἀλλ' ἡ μὲν Θεία Γραφὴ εἰποῦσα περὶ τοῦ ἀνθρώπου τό, « Ἐποίησεν ὁ Θεὸς τὸν ἄν» θρωπον » (6), ἐφανέρωσεν ἐκπεφασμένως, ὅτι ὁ ἄνθρωπός ἐστι ποίημα Θεοῦ, καὶ οὐχὶ Θεός· ὁ δὲ θεηγόρος Παῦλος εἰπών, ὅτι ὁ « Υἱός ἐςιν εἰκὼν τοῦ Θεοῦ τοῦ ἀοράτου », ἀπέκλεισε πᾶσαν ὑλικὴν ἔννοιαν ἀπὸ ταύτης τῆς εἰκόνος· τὸ δέ, « Πρωτότοκος », ἐὰν ἐκληφθῇ κατὰ τὴν σημασίαν τῆς λέξεως, ἥτις σημαίνει τὸν πρῶτον ἐκ τῶν ἀδελφῶν αὐτοῦ τεχθέντα, ἤγουν τὸν πρωτογέννητον, οὐδόλως ἁρμόζει εἰς τό, « Πρω» τότοκος » τό, « Πάσης κτίσεως »· διότι ἡ κτίσις οὐδὲ ἐτέχθη, οὐδὲ ἐγεννήθη ὑπὸ Θεοῦ, ἀλλ' ἐκτίσθη καὶ ἐδημιουργήθη διὰ τοῦ θείου αὐτοῦ προστάγματος· τό, πρωτόκτιστος δὲ ἁρμόζει εἰς τό, πάσης κτίσεως, καὶ οὐχὶ τό, « Πρωτότοκος ». Ἄλλο οὖν ἐστι τὸ νόημα τῶν προκειμένων ἀποςο-

(1) Ἰωάν. 17, 12. (2) Αὐτ. 3, 14. (3) Αὐτ. 16. (4) Ὅρ. Χρυσ. Αὐτ. (5) Κολ. 1, 15.
(6) Γεν. 1, 27.

λικῶν λόγων, καὶ οὐχὶ ἐκεῖνο ὅπερ ἐννόησαν οἱ δύω οὗτοι αἱρεσιάρχαι, εἰπόντες, ὅτι ὁ Υἱός ἐστι κτίσμα· φανερὰ δέ ἐστιν ἡ τούτων δολιότης καὶ κακία. Αὐτοὶ ἐλάμβανον μίαν μόνην περικοπὴν τῆς Θείας Γραφῆς, βεβιασμένως ἁρμοζομένην εἰς τὸ αἱρετικὸν αὐτῶν σύςημα, οὐδόλως δὲ ἐφρόντιζον διερμηνεῦσαι καὶ συμβιβάσαι αὐτὴν μετὰ τῶν ἄλλων λόγων τοῦ Θεοῦ, τῶν περὶ τῆς αὐτῆς ὑποθέσεως διαλαμβανόντων· διότι, ἐὰν τό, « Εἰκὼν τοῦ Θεοῦ τοῦ ἀοράτου » σημαίνῃ κτίσμα, πῶς ὁ Εὐαγγελιστὴς Ἰωάννης εἶπε καθαρῶς καὶ ἐκπεφασμένως « Καὶ » Θεὸς ἦν ὁ λόγος » (1); ἐὰν τό, πρωτότοκος, λαμβάνηται κατὰ τὴν σημασίαν τῆς λέξεως, πῶς ὁ αὐτὸς Ἰωάννης εἶπεν· « Ὁ » μονογενὴς υἱός, ὁ ὢν εἰς τὸν κόλπον τοῦ » πατρός » (2); ὁ αὐτὸς καὶ κτίσμα καὶ Θεός, τουτέστι καὶ κτίσμα καὶ κτίστης; τοῦτό ἐστιν ἀδύνατον· ὁ αὐτὸς καὶ πρωτότοκος καὶ μονογενής; ταῦτά εἰσι τὰ λεγόμενα ἐκ διαμέτρου ἐναντία. Ἀλλὰ διὰ ποῖον λόγον εἶπεν ὁ Παῦλος, ὅτι ὁ « Υἱός ἐστιν » εἰκὼν τοῦ Θεοῦ τοῦ ἀοράτου, καὶ πρω» τότοκος πάσης τῆς κτίσεως » (3); εἶπεν εἰκών, ἵνα παραστήσῃ, ὅτι ὁ υἱός ἔχει τοὺς χαρακτῆρας τοῦ πατρός, διὸ καὶ ἔλεγε πρὸς τὸν Φίλιππον· « Ὁ ἑωρακὼς ἐμέ, ἑώρακε » τὸν πατέρα » (4)· καὶ ὅτι ἐστὶν ὁμοούσιος τῷ πατρί, κατὰ τὸν λόγον, ὃν αὐτὸς εἶπε· « Πάντα, ὅσα ἔχει ὁ πατὴρ ἐμά » ἐστι » (5)· καὶ ἵνα ὑποδιαςείλῃ τὴν ὑπόστασιν τοῦ πατρὸς ἀπὸ τῆς ὑποστάσεως τοῦ Υἱοῦ, καὶ οὕτω μηδεὶς ὑπολάβῃ φυρμὸν ἢ συναλοιφὴν τῶν θείων ὑποστάσεων, ὡς ὁ παράφρων Σαβέλλιος, εἶπεν, ὅτι ὁ Υἱός ἐςιν εἰκὼν τοῦ Θεοῦ τοῦ ἀοράτου, πλὴν ὡς ἐπεξηγηματικὰ ταύτης τῆς εἰκόνος, ἔγραψε περὶ τοῦ Υἱοῦ καὶ ταῦτα· « Ὃς ὢν ἀπαύ» γασμα τῆς δόξης, καὶ χαρακτὴρ τῆς « ὑποστάσεως αὐτοῦ, φέρων τε τὰ πάντα » τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ » (6)· τὸ δέ, πρωτότοκος πάσης τῆς κτίσεως, ἀνάγεται εἰς τὴν ἀνθρωπότητα τοῦ Ἰησοῦ Χριστοῦ, καθὼς καὶ τό, « Πρωτότοκος ἐκ νε» κρῶν » (7), καὶ τό, « Πρωτότοκος ἐν » πολλοῖς ἀδελφοῖς » (8). Πρωτότοκος ἐκ νεκρῶν, καθὸ πρῶτος πάντων τῶν κεκοιμημένων ἐκ τῆς κοιλίας τοῦ ᾅδου ἐξελθών, ἀνέστη ἐκ νεκρῶν, καὶ « Οὐκέτι ἀποθνήσκει » θάνατος αὐτοῦ οὐκέτι κυριεύει » (9)· διὸ περὶ τούτου ἔλεγεν ὁ Παῦλος· « Νυνὶ δὲ » Χριστὸς ἐγήγερται ἐκ νεκρῶν· ἀπαρχὴ » τῶν κεκοιμημένων ἐγένετο ». Πρωτότοκος δὲ ἐν πολλοῖς ἀδελφοῖς· καθότι πρῶτος πάντων τῶν χριστιανῶν ἐξῆλθεν ἐκ τῶν βαπτιςικῶν ὑδάτων τοῦ Ἰορδάνου, ὡς ἀπὸ πνευματικῆς μήτρας· καὶ διὰ τοῦτο τοὺς εἰς αὐτὸν πιστεύσαντας ὠνόμασεν ἀδελφοὺς αὐτοῦ, λέγων· « Ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου » (10). Πρωτότοκος δὲ πάσης τῆς κτίσεως, οὐχὶ τῆς παλαιᾶς καὶ ὑλικῆς, ἀλλὰ τῆς νέας καὶ πνευματικῆς, ἥτις ἐστὶν ἡ ὁμήγυρις τῶν εἰς αὐτὸν πιστευσάντων καὶ δικαιωθέντων, περὶ ἧς ὁ Παῦλος ἐκήρυττε, λέγων· « Ὥςε, » εἴτις ἐν Χριστῷ καινὴ κτίσις, » τὰ ἀρ» χαῖα παρῆλθεν, ἰδοὺ γέγονε καινὰ τὰ » πάντα (11)· ἐν γὰρ Χριστῷ Ἰησοῦ οὔτε » περιτομή τι ἰσχύει, οὔτε ἀκροβυστία, » ἀλλὰ καινὴ κτίσις » (12). Ταύτης δὲ τῆς πνευματικῆς ἐστι πρωτότοκος ὁ Ἰησοῦς Χριστός, ὡς πρῶτος ἐν αὐτῇ γεννηθεὶς δίκαιος καὶ ἅγιος, καὶ ἀνακαινίσας ἐν ἑαυτῷ

(1) Ἰωάν. 1, 1. (2) Αὐτ. 18. (3) Ὅρ. Θεοδ. Αὐτ. (4) Ἰωάν. 14, 9. (5) Αὐτ. 16, 15. (6) Ἑβρ. 1, 3. (7) Κολ. 1, 18. (8) Ῥωμ. 8, 29. (9) Αὐτ. 6, 9. (10) Ἑβρ. 2, 12. (11) Β΄. Κορ. 5, 17. (12) Γαλ. 6, 15.



τὴν καταφθαρεῖσαν τῶν ἀνθρώπων φύσιν. Ἄκουε δέ, πῶς ὁ Παῦλος διὰ τῶν ἑξῆς λόγων τὸν Υἱόν, ὃν εἶπεν εἰκόνα καὶ πρωτότοκον, ἀνακηρύττει κτίστην καὶ δημιουργὸν πάσης τῆς ὁρατῆς καὶ ἀοράτου κτίσεως, ἀποφράττων τῶν αἱρετικῶν τὰ στόματα, τῶν ἀρνουμένων τὴν τούτου θεότητα.

*Ὅτι ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα, τὰ ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς, τὰ ὁρατὰ καὶ τὰ ἀόρατα, εἴτε θρόνοι, εἴτε κυριότητες, εἴτε ἀρχαί, εἴτε ἐξουσίαι· τὰ πάντα δι' αὐτοῦ καὶ εἰς αὐτὸν ἔκτισται. Καὶ αὐτός ἐστι πρὸ πάντων, καὶ τὰ πάντα ἐν αὐτῷ συνέστηκε* (1).

« Ἐν αὐτῷ λέγει, ἐκτίσθη τὰ πάντα »· κατωτέρω δέ, « τὰ πάντα δι' αὐτοῦ καὶ » εἰς αὐτὸν ἔκτισται »· ἐκ τούτου φανερόν ἐστιν, ὅτι τὸ μέν, « Ἐν αὐτῷ », ταὐτοσήμαντόν ἐςι τῷ, « Δι' αὐτοῦ », καὶ σύμφωνον τοῖς τοῦ Εὐαγγελίου λόγοις· « Πάντα » δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο » οὐδὲ ἕν, ὃ γέγονε » (2). τὸ δέ, « Εἰς αὐτὸν » ἔκτισται », τὸ αὐτὸ δηλοῖ, ὅπερ καὶ τό, « Καὶ τὰ πάντα ἐν αὐτῷ συνέςηκεν » (3), ἤγουν τὰ πάντα ἐκ τῆς ἐν αὐτῷ παντοδυναμίας κρέμανται, καὶ συνέχονται, καὶ διακρατοῦνται, καὶ διευθύνονται (4)· εἰπὼν δέ, ὅτι διὰ τοῦ Υἱοῦ ἐκτίσθη τὰ πάντα « τὰ » ἐν τοῖς οὐρανοῖς, καὶ τὰ ἐπὶ τῆς γῆς », τὰ μὲν ἐπὶ τῆς γῆς κτίσματα οὐκ ἀνέφερεν ὀνομαστί, ὡς φανερὰ καὶ γνωστά· τὰ δὲ ἐν τοῖς οὐρανοῖς διαιρεῖ εἰς ὁρατὰ καὶ ἀόρατα, καὶ τῶν μὲν ὁρατῶν, τῶν ἐν τοῖς οὐρανοῖς, τουτέστι, τοῦ ἡλίου, τῆς σελήνης, τῶν ἀστέρων τὰ ὀνόματα ἐσιώπησε, καθότι καὶ αὐτὰ ὁρώμενα, καὶ γνωστά εἰσι· τῶν δὲ ἀοράτων καὶ ἀγνώστων ἔγραψε τὰς ὀνομασίας, εἰπών· « Εἴτε θρόνοι, εἴτε κυριότητες, » εἴτε ἀρχαί, εἴτε ἐξουσίαι »· πλὴν οὐχὶ περὶ πάντων, ἀλλὰ περὶ τεσσάρων μόνον, ἐπειδὴ αὐτὸς μὲν ἐλάλησε περὶ τριῶν ἔτι, ἤγουν περὶ ἀγγέλων καὶ δυνάμεων καὶ ἀρχαγγέλων (5)· ὁ δὲ Μωϋσῆς καὶ ὁ Δαβὶδ καὶ ὁ Ἰεζεκιήλ, περὶ τῶν Χερουβίμ (6)· ὁ δὲ Ἡσαΐας, περὶ τῶν Σεραφίμ (7)· ἐκ τούτων δὲ μαθὼν ὁ Ἀρεοπαγίτης Διονύσιος, παρέδωκε τὰς περὶ τῶν ἐννέα ἀγγελικῶν ταγμάτων ὑπερκοσμίους θεωρίας. Παρατήρησον δέ, ὅτι ὁ οὐρανοβάτης Ἀπόστολος οὐκ εἶπεν, ἐγένετο, οὐδὲ ἐγεννήθη πρὸ πάντων, ἀλλ' εἶπε· « Καὶ αὐτός ἐστι πρὸ πάντων »· διότι τό, ἐστίν, ἐμφαντικόν ἐστι τῆς ἀϊδιότητος καὶ τῆς ἀχρόνου καὶ αἰωνίου ὑπάρξεως τοῦ Υἱοῦ τοῦ Θεοῦ. Διδάξας δέ, ὅτι αὐτὸς ἔχει ἀΐδιον καὶ ἄχρονον τὴν ὕπαρξιν, καὶ ἔστι δημιουργὸς καὶ συνοχεὺς καὶ κυβερνήτης πάσης τῆς ὁρατῆς καὶ ἀοράτου κτίσεως, καὶ παντοδύναμος καὶ προνοητής, τουτέστιν, ὅτι ἐστὶ Θεὸς ἀληθινός, διὰ τῶν ἑξῆς περιγράφει καὶ τὰ τῆς ἀνθρωπότητος αὐτοῦ λέγων·

*Καὶ αὐτός ἐστιν ἡ κεφαλὴ τοῦ σώματος τῆς ἐκκλησίας· ὅς ἐστιν ἀρχή, πρωτότοκος ἐκ τῶν νεκρῶν, ἵνα γένηται ἐν πᾶσιν αὐτὸς πρωτεύων* (8).

Ἀπὸ τῆς θεολογίας μετέβη εἰς τὴν ἔνσαρκον τοῦ Υἱοῦ καὶ Λόγου οἰκονομίαν. Προλαβὸν εἶπε, τί ἐστιν ὁ Ἰησοῦς Χριστός, ὡς Θεός, νῦν δὲ λέγει, τίς ἐστιν ὁ αὐτός, ὡς Θεάνθρωπος. Αὐτός ἐστι, λέγει, κεφαλὴ

(1) Κολ. 1, 16, 17. (2) Ἰωάν. 1, 3. (3) Κολ. 1, 17. (4) Ὅρ. Χρυσ. Αὐτ. (5) Ῥωμ. 8, 38; Α΄. Θεσ. 4, 16. (6) Γεν. 3, 24. Ψαλμ. 17, 10. Ἰεζ. 10, 1. (7) Ἡσ. 6, 2. (8) Κολ. 1, 18.

τοῦ σώματος τῆς ἐκκλησίας· αὐτός ἐστιν ἀρχὴ πρωτότοκος ἐκ τῶν νεκρῶν, καὶ πρωτεύων ἐν πᾶσιν· αὐτός ὁ τοῦ Θεοῦ Υἱός καὶ Λόγος διὰ τὴν ἄπειρον αὐτοῦ φιλανθρωπίαν ἄνθρωπος γενόμενος, συνέστησεν ἐκ παντός γένους ἀνθρώπων σῶμα μυστικόν τὴν ἐκκλησίαν· τούτου δὲ τοῦ σώματος αὐτός ἐστιν ἡ κεφαλή, οἱ δὲ εἰς αὐτόν πιστεύοντές εἰσι μέλη· « Ὑμεῖς ἐστε σῶμα Χριςοῦ, » καὶ μέλη ἐκ μέρους » (1). Κεφαλὴ δὲ αὐτός ἐστιν, ἐπειδή, καθὼς ἐκ τῆς κεφαλῆς ἐκχέονται καὶ ἡ ζωὴ καὶ ἡ κίνησις εἰς πᾶν μέλος, καὶ εἰς ὅλον τὸ σῶμα, οὕτως ὑπ' αὐτοῦ μεταδίδονται εἰς πάντα πιστόν κατ' ἰδίαν, καὶ εἰς ὅλην τὴν ἐκκλησίαν κοινῶς τοῦ παναγίου Πνεύματος τὰ χαρίσματα καὶ τὰ θεῖα μυστήρια, τὰ προξενοῦντα τὴν αἰώνιον ζωήν, καὶ ἡ ἱκανότης καὶ ἡ δύναμις τῆς πρὸς τὰ ἀγαθὰ ἔργα κινήσεως· διὸ καὶ εἶπε, « Χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν » οὐδέν » (2). Ἀρχὴ δὲ καὶ πρωτότοκος ἐκ τῶν νεκρῶν ἐστιν, ἐπειδὴ αὐτὸς ἀρχή ἐστι καὶ πρῶτος τῶν ἐκ τῆς κοιλίας τοῦ ᾄδου ἐξελθόντων, καὶ ἐκ νεκρῶν ἀναστάντων, καὶ ἀφθαρτισθέντων· ὅθεν ἀρχὴν πρωτότοκον εἶπεν αὐτόν. Ἐγένετο δὲ ἀρχὴ πρωτότοκος ἐκ τῶν νεκρῶν, ἵνα καὶ κατὰ τοῦτο ἔχῃ κατὰ πάντων τὰ πρωτεῖα· κατὰ μὲν τὸν λόγον τῆς θεότητος, πρῶτος ὡς Θεός, πρῶτος, ὡς πρὸ πάντων τῶν αἰώνων ἀχρόνως ἐκ πατρὸς γεννηθείς, πρῶτος, ὡς δημιουργὸς πάντων τῶν ὁρατῶν καὶ ἀοράτων· κατὰ δὲ τὸν λόγον τῆς ἀνθρωπότητος πρῶτος, ὡς ποιητὴς τῆς καινῆς καὶ πνευματικῆς κτίσεως, ἤγουν τοῦ πληρώματος τῆς ἐκκλησίας. πρῶτος ὡς πρωτότοκος ἐν πολλοῖς ἀδελφοῖς, πρῶτος ἐκ τῶν ἀναστάντων νεκρῶν, ὡς λύσας πρῶτος τοῦ θανάτου, τὸ κράτος, καὶ ἀναστὰς ἐκ τῶν νεκρῶν· τοῦτο δέ ἐστιν, ὃ λέγει· « Ἵνα γένηται ἐν πᾶσιν » αὐτὸς πρωτεύων ».

# ΟΜΙΛΙΑ

ΜΕΤΑ ΤΗΝ ΠΡΟΣ

## ΚΟΛΟΣΣΑΕΙΣ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗι ΚΗ'. ΚΥΡΙΑΚΗι.

ΚΑΘΩΣ ὁ γεωργός, ὅσῳ ἐπιμελέστερον καλλιεργεῖ τὴν γῆν, τόσῳ περισσότερον καὶ ἐκλεκτότερον καρπὸν θερίζει, οὕτω καὶ ὁ χριστιανός, ὅσῳ προσεκτικώτερον περιεργάζεται τὸν λόγον τοῦ Θεοῦ, τόσῳ πλουσιωτέραν καὶ σωτηριωδεστέραν κερδαίνει τὴν ψυχικὴν ὠφέλειαν. Ἡμεῖς ἠκούσαμεν τὴν σήμερον τὸν λόγον τοῦ Θεοῦ, κηρυχθέντα ὑπὸ τῆς ἀποσολικῆς ἐπιστολῆς τοῦ θεοφόρου Παύλου· αὐτός ὁ λόγος πρὸ τῶν

(1) Α'. Κορ. 12, 27. (2) Ἰωάν. 15, 5.



ἄλλων ἐδίδαξε τὰ πρὸς τὸν ἄνθρωπον εὐεργετήματα τοῦ Θεοῦ. Ἐὰν ἡμεῖς ἐγκαταλείπωμεν ἀνεξερεύνητα τὰ περὶ τούτου ἀναγνωσθέντα ἀποστολικὰ λόγια, πολλὰ ὀλίγον ὠφελούμεθα· ἐὰν δὲ περιεργασθῶμεν αὐτά, βλέποντες ἐν αὐτοῖς τὸ ὕψος καὶ βάθος καὶ μεγαλεῖον τῶν πρὸς ἡμᾶς τοῦ Θεοῦ εὐεργεσιῶν, πολλὴν καὶ μεγάλην ἡ ψυχὴ ἡμῶν λαμβάνει τὴν ὠφέλειαν. Δεῦτε οὖν, ἀδελφοί, ὡς καλοὶ γεωργοὶ ἀνασκάψωμεν ἐπιμελῶς τὰ ὑπὸ τῆς ἀποστολικῆς σάλπιγγος διακηρυχθέντα.

Ὁ Θεὸς καὶ Πατὴρ « Ἐῤῥύσατο ἡμᾶς, » λέγει ὁ θεῖος Ἀπόστολος, ἐκ τῆς ἐξουσίας » τοῦ σκότους » (1). Παρατήρησον τὰς περιστάσεις ταύτης τῆς θείας εὐεργεσίας. Ὁ Θεὸς πλάσας τὸν ἄνθρωπον, ἐτίμησεν αὐτὸν περισσότερον πάντων τῶν ἐπιγείων κτισμάτων, δοὺς αὐτῷ νοῦν καὶ πνεῦμα καὶ λόγον· δι' αὐτὸν « Ἐφύτευσε παράδεισον ἐν Ἐδὲμ κατὰ ἀνατολάς » (2), καὶ ἔθετο αὐτὸν ἐκεῖ, ἵνα ἀπολαμβάνῃ τῆς ἐν αὐτῷ τρυφῆς καὶ ἀγαλλιάσεως. « Δόξῃ καὶ » τιμῇ ἐστεφάνωσεν αὐτόν, καὶ κατέστη» σεν αὐτὸν ἐπὶ τὰ ἔργα τῶν χειρῶν αὐ» τοῦ (3), λέγει ὁ προφητάναξ. Τί δὲ σημαίνει τοῦτο τό, « κατέστησεν αὐτὸν ἐπὶ » τὰ ἔργα τῶν χειρῶν αὐτοῦ », ἐφανέρωσεν ἡ Θεία Γραφή, λέγουσα, ὅτι ὁ Θεὸς ἤγαγε πρὸς τὸν Ἀδὰμ « Πάντα τὰ θηρία τοῦ » ἀγροῦ, καὶ πάντα τὰ πετεινὰ τοῦ ουρα» νοῦ » (4), ἵνα αὐτὸς ἐπιβάλῃ αὐτοῖς ὄνομα· τὸ δὲ ὄνομα, δι' οὗ ὠνόμασεν αὐτὰ ὁ Ἀδάμ, τοῦτο ἐγένετο αὐτοῖς ὄνομα· « Καὶ » πᾶν, ὃ ἐὰν ἐκάλεσεν αὐτὸ ψυχὴν ζῶσαν, » τοῦτο ὄνομα αὐτῷ »· Ἐφανέρωσε δὲ καὶ αὐτὸς ὁ προφητάναξ, εἰπών· « Πάντα ὑπέ» ταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ, πρό» βατα καὶ βόας ἁπάσας, ἔτι δὲ καὶ τὰ » κτήνη τοῦ πεδίου, τὰ πετεινὰ τοῦ οὐρα» νοῦ, καὶ τοὺς ἰχθύας τῆς θαλάσσης, τὰ » διαπορευόμενα τρίβους θαλασσῶν » (5). Ἀκούεις, πόσον ἐτίμησεν ὁ Θεὸς τὸν ἄνθρωπον; πόσον αὐτὸν ἐδόξασε; πόσην ἐξουσίαν ἔδωκεν εἰς αὐτόν; ἔδωκε δὲ εἰς αὐτὸν καὶ ἐντολήν, γυμνασίαν τῆς αὐτοπροαιρέτου ὑπακοῆς αὐτοῦ, καὶ ἀφορμὴν ὑψηλοτέρας δόξης καὶ ἀθανάτου καταστάσεως· ὁ δὲ ἄνθρωπος πιστεύσας εἰς τὸν συμβουλευτικὸν λόγον τοῦ νοητοῦ ὄφεως μᾶλλον, ἢ εἰς τὸν λόγον τοῦ Θεοῦ, ἀποστατήσας ἀπὸ τῆς ὑπακοῆς, καὶ παραβὰς τοῦ Θεοῦ τὴν ἐντολήν, ἐγένετο δοῦλος τοῦ συμβούλου αὐτοῦ διαβόλου· εἰς δὲ τὸν καιρὸν τῆς δουλείας αὐτοῦ οὐ μόνον κατεποντίσθη εἰς τὸ βάραθρον παντὸς ἀτοπήματος καὶ εἰς τὸν βόρβορον πάσης ἀκαθαρσίας, ἀλλὰ καὶ ἀθετήσας παντελῶς τὸν πλάστην καὶ εὐεργέτην αὐτοῦ, ἐλάτρευε τὰ κωφὰ καὶ ἄλαλα εἴδωλα, καὶ εἰς τοιαύτην δὲ ἐλεεινοτάτην κατάστασιν κατήντησεν, ὥστε ἐθυσίαζε « Τοὺς υἱοὺς καὶ τὰς θυγατέρας αὐτοῦ τοῖς » δαιμονίοις » (6). Τοῦτον δὲ τὸν ἄνθρωπον, τὸν ἀχάριςον, τὸν ἀποςάτην τῆς παντοδυνάμου ἐξουσίας, τὸν παραβάτην τῆς σωτηρίου ἐντολῆς, τὸν δοῦλον τοῦ σατανᾶ, τὸν τετραυματισμένον ὑπὸ τῶν ἁμαρτιῶν αὐτοῦ, τὸν ἀρνητὴν τῆς παντοκρατορικῆς θεότητος ἐλεήσας ὁ Θεός, ἠλευθέρωσεν ἀπὸ τῆς δυναςικῆς ἐξουσίας τοῦ διαβόλου, ὅςις κατεκράτει αὐτὸν δέσμιον εἰς τὸ σκότος τῆς ἀπιςίας καὶ τῆς ἁμαρτίας· « Ἐῤῥύσατο ἡμᾶς ἐκ τῆς » ἐξουσίας τοῦ σκότους » (7). Πόση χάρις τοῦτο; πόσον ἔλεος; πόση εὐεργεσία;

(1) Κολ. 1, 13. (2) Γεν. 2, 8. (3) Ψαλ. 8, 5, (4) Γεν. 2, 19, (5) Ψαλ. 8, 6, 7, 8, 9. (6) Αὐτ. 105, 37. (7) Κολ. 1, 12.

Κατηξίωσε δὲ ἡμᾶς, λέγει ὁ αὐτὸς Ἀπόστολος « Εἰς τὴν μερίδα τοῦ κλήρου τῶν ἁγίων ἐν τῷ φωτί » (1)· ἄλλο τοῦτο εὐεργέτημα, ὀρθότερον δὲ εἰπεῖν, δύω εὐεργετήματα, φῶς δηλαδὴ καὶ κατάταξις ἐν τῇ μερίδι τῆς κληρονομίας τῶν ἁγίων· τὸ φῶς τῆς πίστεώς ἐστι δῶρον μέγιστον, ἐπειδὴ προξενεῖ τὴν αἰώνιον σωτηρίαν, ἐςὶ δῶρον, ὑπὸ μόνου τοῦ Θεοῦ δωρούμενον τοῖς ἀξίοις· διὸ ὁ Σωτὴρ ἡμῶν ἐκήρυξεν· « Οὐδεὶς δύναται ἐλθεῖν πρός με, ἐὰν μὴ ὁ πατήρ, ὁ πέμψας με, ἑλκύσῃ αὐτόν » (2). Ὁ δὲ ἱερὸς Λουκᾶς ἐσημείωσεν, ὅτι εἰς τὸ εὐαγγελικὸν κήρυγμα « Ἐπίστευσαν, ὅσοι ἦσαν τεταγμένοι εἰς ζωὴν αἰώνιον » (3). Εἰς δὲ τὴν τάξιν τῶν σωζομένων καὶ ἁγίων μόλις συντάσσεται ὁ δίκαιος, ὁ δὲ ἀσεβὴς καὶ ὁ ἁμαρτωλὸς οὐκ ἔχει πρόσωπον παῤῥησιασθῆναι ἐκεῖ, ὅπου ἐςὶν ἡ τούτων ὁμήγυρις· « Εἰ ὁ δίκαιος μόλις σώζεται, ὁ ἀσεβὴς καὶ ἁμαρτωλὸς ποῦ φανεῖται; » (4) Ὁ ἄνθρωπος διὰ τὴν παράβασιν ἐγένετο ἀνάξιος τοῦ θείου φωτὸς τῆς πίστεως, καὶ διὰ τὴν ἀσέβειαν καὶ τὰς ἁμαρτίας αὐτοῦ ἀπέστη πολλὰ μακρὰν τοῦ χοροῦ τῶν δικαίων. Κᾂν δὲ τοιοῦτος ἦν ὁ ἄνθρωπος, ὅμως ὁ πανοικτίρμων Θεὸς ἐξέχεεν ἐπ' αὐτὸν τῆς θεογνωσίας τὸ φῶς, καὶ τὴν διάκρισιν τῶν ἀληθινῶν ἀρετῶν, καὶ συνέταξεν αὐτὸν ἐν ταῖς λαμπρότησι τῶν ἁγίων. Πόσον μέγα τοῦτο τὸ ἔλεος; πόσον μεγάλη ἡ τοιαύτη εὐεργεσία ;

« Καὶ μετέστησε, λέγει, εἰς τὴν βασιλείαν τοῦ Υἱοῦ τῆς ἀγάπης αὐτοῦ » (5). Ὦ χάρις καὶ δῶρον καὶ εὐεργεσία ὑπερβαίνουσα πάσας, ὅσας νοῦς ἀνθρώπου δύναται νοῆσαι εὐεργεσίας ! Μετέστησεν ἡμᾶς· πόθεν ; ἀπο τῆς δουλείας τῶν δαιμόνων· ποῦ δὲ μετέστησεν; εἰς τὴν βασιλείαν· εἰς ποίαν βασιλείαν; εἰς τὴν βασιλείαν τοῦ ἀγαπητοῦ Υἱοῦ αὐτοῦ, ἥτις ἐστὶν ἡ εὐλογημένη βασιλεία τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, τουτέστιν ἡμᾶς τοὺς δούλους ἐποίησε βασιλεῖς ἐκείνης τῆς βασιλείας, πρὸς ἣν συγκρινόμεναι πᾶσαι αἱ τοῦ κόσμου τούτου βασιλεῖαι, εἰσὶ σκιὰ καὶ ἐνύπνιον. Ἐκείνης τῆς βασιλείας, ἐν ᾗ οὐδὲ νὺξ ἐστιν, οὐδὲ λύχνου, οὐδὲ φωτὸς ἡλίου ἐστὶ χρεία, ἐπειδὴ ὁ Θεὸς φωτίζει αὐτήν· μετέστησε δὲ ἡμᾶς εἰς τοιαύτην βασιλείαν, ἵνα βασιλεύωμεν σὺν τῷ ἀγαπητῷ Υἱῷ αὐτοῦ εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· « καὶ νὺξ οὐκ ἔσται ἐκεῖ· καὶ χρείαν οὐκ ἔχουσι λύχνου καὶ φωτὸς ἡλίου, ὅτι Κύριος ὁ Θεὸς φωτίζει αὐτούς· καὶ βασιλεύσουσιν εἰς τοὺς αἰῶνας τῶν αἰώνων » (6).

Μεγάλα καὶ ἐξαίσια ταῦτα τὰ εὐεργετήματα αὐτὰ καθ' ἑαυτά, κᾂν διὰ μόνου λόγου ἐδίδοντο ἡμῖν ὑπὸ τοῦ Θεοῦ, καθὼς αὐτὸς διὰ μόνου λόγου ἔδωκε τὸ εἶναι εἰς τὸν οὐρανὸν καὶ εἰς τὴν γῆν καὶ εἰς πάντα τὰ ἐν αὐτοῖς· ταῦτα δὲ ἐδόθησαν ἡμῖν οὐ διὰ μόνου λόγου, ἀλλὰ διὰ τοῦ αἵματος τοῦ σαρκωθέντος ἀγαπητοῦ Υἱοῦ αὐτοῦ· διότι « Ἔχομεν τὴν ἀπολύτρωσιν διὰ τοῦ αἵματος αὐτοῦ, τὴν ἄφεσιν τῶν ἁμαρτιῶν » (7). Ἵνα ἡμεῖς ἀπολαύσωμεν τούτων τῶν ὑπερμεγίστων εὐεργεσιῶν, πρέπον ἦν, ἵνα ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ ἀποθάνῃ διὰ σταυρικοῦ θανάτου· « Ἔπρεπε γὰρ αὐτῷ, δι' ὃν τὰ πάντα, καὶ δι' οὗ τὰ πάντα, πολλοὺς υἱοὺς εἰς δόξαν ἀγαγόντα, τὸν ἀρχηγὸν τῆς σωτηρίας αὐτῶν, διὰ παθημάτων τελειῶσαι » (8)· τοῦτο δὲ αὐξάνει τῶν εὐεργεσιῶν τὸ μέγεθος, καὶ ἀναβιβάζει αὐτὰς εἰς ὕψος ἐξαίσιον, καὶ ὑψοῖ τὸν νοῦν εἰς νοήματα μυστηριώδη καὶ ἀνέκφραστα· ἀναβιβάζει εἰς ὕψος ἐξαίσιον, ἐπειδή, ὅσον κοπιαςικώτερον ἀγῶνα ἀναλαμβάνει ὁ εὐεργέτης, ἵνα εὐεργετήσῃ τὸν εὐεργετούμενον, τόσον περισσότερον αὐξάνει τῆς εὐεργεσίας ἡ τιμή· ὅταν δὲ καὶ πάθη θανατηφόρα, καὶ θάνατον ἐπονείδιστον ὑπομείνῃ ὁ εὐεργέτης, ἵνα εὐεργετήσῃ, τότε τῆς εὐεργεσίας ἡ χάρις ἀναβαίνει εἰς ὕψος ἄφθαστον. Ὑψοῦσι δὲ τὸν νοῦν αἱ τοιαῦται τοῦ Θεοῦ πρὸς ἡμᾶς εὐεργεσίαι εἰς νοήματα μυστηριώδη καὶ ἀνέκφραστα, ἐπειδὴ πιστεύομεν, ὅτι πᾶσα μὲν ἡ κτίσις διὰ μόνου λόγου καὶ προστάγματος τοῦ Θεοῦ ἐδημιουργήθη· « Ὅτι αὐτὸς εἶπε, καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν » (1) πάντα, ὅσα ὁρατὰ καὶ ὅσα ἀόρατα· τὸ δὲ μυστήριον τῆς σωτηρίας τοῦ γένους τῶν ἀνθρώπων ἐτελείωσαν τὰ παθήματα καὶ ὁ θάνατος τοῦ ἀγαπητοῦ Υἱοῦ αὐτοῦ· « Ἐν ᾧ ἔχομεν τὴν ἀπολύτρωσιν διὰ τοῦ αἵματος αὐτοῦ, τὴν ἄφεσιν τῶν ἁμαρτιῶν (2). Ὦ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως Θεοῦ· ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ, καὶ ἀνεξιχνίαςοι αἱ ὁδοὶ αὐτοῦ· τίς γὰρ ἔγνω νοῦν Κυρίου; ἢ τίς σύμβουλος αὐτοῦ ἐγένετο; » (3)

Ἐπειδὴ οὖν « Ἔπρεπεν αὐτῷ, δι' ὃν τὰ πάντα, καὶ δι' οὗ πάντα, πολλοὺς υἱοὺς εἰς δόξαν ἀγαγόντα, τὸν ἀρχηγὸν τῆς σωτηρίας, διὰ παθημάτων τελειῶσαι » (4)· διὰ τοῦτο, « Ὅτε ἦλθε τὸ πλήρωμα τοῦ χρόνου, ἐξαπέστειλεν ὁ Θεὸς τὸν Υἱὸν αὐτοῦ, γεννώμενον ἐκ γυναικός, γενόμενον ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ, ἵνα τὴν υἱοθεσίαν ἀπολαύωμεν » (5). Ἦλθες οὖν εἰς τὸν κόσμον, λυτρωτὰ τοῦ κόσμου, ἐγεννήθης εἰς τὸ σπήλαιον, ἐδιώχθης ὑπὸ τοῦ Ἡρώδου, περιῆλθες τὴν Ἰουδαίαν διδάσκων καὶ εὐεργετῶν, ἐπείνασας μετὰ τὴν νηστείαν, ἐδίψησας μετὰ τὴν ὁδοιπορίαν, ἔχυσας δάκρυα, ὅταν εἶδες τὴν Ἱερουσαλήμ, ἔκλαυσας εἰς τὸ μνῆμα τοῦ φίλου σου τοῦ Λαζάρου, ἐξωρκίσθης ὑπὸ τοῦ Καϊάφα, περιεπαίχθης ὑπὸ τῶν παρανόμων, ὑπέφερες τοὺς ἐμπτυσμοὺς καὶ κολαφισμοὺς καὶ τὰ ῥαπίσματα τῶν ἀπίστων, ἐκρίθης ὑπὸ Ποντίου Πιλάτου, ἐστέφθης στέφανον ἀκάνθινον ὑπὸ τῶν ςρατιωτῶν, ἐδέχθης περιπαικτικὸν κάλαμον εἰς τὰς χεῖράς σου, ἐβάστασας τὸν σταυρόν, ἀνέβης εἰς τὸν Γολγοθᾶ, ἐςαυρώθης ὡς κατάδικος ἐν μέσῳ δύο ληςῶν, ἐποτίσθης χολὴν καὶ ὄξος, εἶπας, « Τετέλεσται » (6), καὶ κλίνας τὴν κεφαλήν, παρέδωκας τὸ πνεῦμά σου διὰ τὴν σωτηρίαν μου· τὸ αἷμα, τὸ ἐκχυθὲν ἐκ τῶν πληγῶν σου, ἐξηγόρασέ με ἐκ τῆς δουλείας τῶν ἐχθρῶν μου· τὸ αἷμα καὶ τὸ ὕδωρ, τὸ ἐκ τῆς πλευρᾶς σου ἐξελθόν, ὅτε ὁ στρατιώτης αὐτὴν ἐξεκέντησεν, ἔσωσέ με, τὸ μὲν αἷμα ἐκαθάρισέ με ἀπὸ πάσης ἁμαρτίας, τὸ δὲ ὕδωρ ἡγίασέ με, καὶ κατέστησέ με υἱὸν καὶ κληρονόμον τῆς ἐπουρανίου βασιλείας σου· διότι, « Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθημεν, τὸν Χριστὸν ἐνεδύθημεν » (7), ἤγουν, μετὰ τοῦ Ἰησοῦ Χριστοῦ συνηνώθημεν· « Ὥστε οὐκ ἔτι ἐσμὲν δοῦλοι, ἀλλ' υἱοί· εἰ δὲ υἱοί, καὶ κληρονόμοι Θεοῦ διὰ Χριστοῦ » (8).

Ἀδελφοί μου χριστιανοί, τί συλλογίζεσθε; ἔχομεν ἆρά γε ἡμεῖς ἀνταπόδομα ἀντάξιον τῶν εὐεργεσιῶν τοῦ Θεοῦ; Αὐτὸς ἐλύτρωσεν ἡμᾶς ἀπὸ τῆς αἰχμαλωσίας τοῦ

(1) Κολ. 1, 12. (2) Ἰωάν. 6, 44. (3) Πράξ. 13, 48. (4) Παροιμ. 11, 31. (5) Κολ. 1, 13.
(6) Ἀποκ. 22, 5. (7) Κολ. 1, 14. (8) Ἑβρ. 2, 10.



(1) Ψαλμ. 148, 5. (2) Κορ. 1, 14. (3) Ῥωμ. 11, 33, 34. (4) Ἑβρ. 2, 10. (5) Γαλ. 4, 4.
(6) Ἰωάν. 19, 30. (7) Γαλ. 3, 27. (8) Αὐτ. 4, 7.

σατανᾶ, ἐφώτισεν ἡμᾶς τὸν φωτισμὸν τῆς ἀληθοῦς θεογνωσίας, καὶ ὡδήγησεν ἐν τῇ τρίβῳ τῶν ἐντολῶν αὐτοῦ· αὐτὸς συγχωρήσας τὰς ἁμαρτίας ἡμῶν, συνηρίθμησεν ἡμᾶς μετὰ τῶν ἁγίων· αὐτὸς ἔδωκεν ἡμῖν τῆς υἱοθεσίας τὸ χάρισμα, καὶ κατέστησεν ἡμᾶς συγκληρονόμους τῆς βασιλείας τοῦ ἀγαπητοῦ Υἱοῦ αὐτοῦ. Ποίαν οὖν ἀξίαν τῶν τοσούτων εὐεργεσιῶν δυνάμεθα προσαγαγεῖν αὐτῷ ἀνταπόδοσιν; τῶν προφητῶν οἱ κόποι, τῶν Ἀποστόλων τὰ ἆθλα, τῶν μαρτύρων τὸ αἷμα, τῶν ἱεραρχῶν οἱ ἀγῶνες, τῶν ἐρημιτῶν ἡ ἄσκησις, πάντων τῶν δικαίων αἱ ἀρεταί, οὐκ εἰσὶν ἀνταπόδομα ἄξιον τῶν πρὸς ἡμᾶς εὐεργεσιῶν τοῦ Θεοῦ· « Ὅτι οὐκ ἄξια τὰ » παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλ- » λουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡ- » μᾶς » (1): διότι ὁ λόγος, ὃν ἔχουσιν αἱ πρὸς ἡμᾶς τοῦ Θεοῦ εὐεργεσίαι πρὸς πάντας τοὺς κόπους καὶ κατορθώματα πάντων τῶν ἁγίων, ἐστὶν ἀσυγκρίτως μείζων τοῦ λόγου, ὃν ἔχει εἷς ἀστὴρ πρὸς πάντας τοὺς ἀστέρας, καὶ εἷς κόκκος ψάμμου πρὸς πᾶσαν τὴν ἐπὶ γῆς ψάμμον, καὶ μία ῥανὶς ὕδατος πρὸς πάντα τὰ ἐν τῇ γῇ ὕδατα· ἐπειδὴ τὰ παθήματα τοῦ νῦν καιροῦ εἰσι πρόσκαιρα, ἡ δὲ ἀπόλαυσις τῆς μελλούσης δόξης ἐστὶν ἀπέραντος καὶ αἰώνιος. « Τί » οὖν ἀνταποδώσωμεν τῷ Κυρίῳ περὶ πάν- » των, ὧν ἀνταπέδωκεν ἡμῖν; » (2)

Ἀλλὰ ποίαν χρείαν ἔχει ὁ πανυπερτέλειος Θεὸς τῶν ἡμετέρων ἀνταποδόσεων; οὐδεμίαν· « Εἶπα τῷ Κυρίῳ, Κύριός μου εἶ » σύ, ὅτι τῶν ἀγαθῶν μου οὐ χρείαν ἔ- » χεις » (3). Κἂν οὐδεμίαν ἔχῃ χρείαν, ὅμως ζητεῖ παρ' ἡμῶν τὴν ὑπὲρ τῶν εὐεργεσιῶν αὐτοῦ ἀνταπόδοσιν· ζητεῖ δὲ αὐτὴν οὐχ ὡς ἀνάλογον τῶν εὐεργεσιῶν αὐτοῦ, ἀλλ' ὡς ἔνδειξιν τῆς εὐγνωμοσύνης ἡμῶν· ζητεῖ αὐτὴν οὐχ ἵνα αὐτὸς ἀπολαύσῃ τι ἐξ αὐτῆς, ἀλλ' ἵνα ἡμεῖς ὠφεληθῶμεν, δόντες αὐτῷ ἀφορμήν, ἵνα καὶ ἔτι πλέον εὐεργετήσῃ ἡμᾶς· ἐφανέρωσε δὲ διὰ στόματος τοῦ ἁγίου αὐτοῦ προφήτου, ποίαν ἀνταπόδοσιν ζητεῖ παρ' ἡμῶν· Ἄνθρωπε, εἶπεν ὁ ἅγιος προφήτης, ἆρά γε ἔμαθες, ποῖόν ἐστι τὸ καλόν; ἢ τί ζητεῖ ὁ Θεὸς παρὰ σοῦ; « Εἰ ἀνηγγέλη σοι, ἄνθρωπε, τί καλόν; ἢ » τί Κύριος ζητεῖ παρὰ σοῦ; » (4) Τί ἄλλο ζητεῖ ὁ Θεὸς παρὰ σοῦ, εἰ μὴ τὴν δικαιοσύνην καὶ τὴν ἐλεημοσύνην καὶ τὴν εἰς αὐτὸν ὑπακοήν; « Ἢ τί Κύριος ἐκζητεῖ παρὰ » σοῦ ἀλλ' ἢ τοῦ ποιεῖν κρῖμα, καὶ ἀγαπᾷν » ἔλεον, καὶ ἕτοιμον εἶναι τοῦ πορεύεσθαι » μετὰ Κυρίου τοῦ Θεοῦ σου; » ταύτας δὲ τὰς τρεῖς ἀρετὰς ζητεῖ παρ' ἡμῶν, ἐπειδὴ αὗταί εἰσιν αἱ βάσεις καὶ αἱ πηγαὶ πασῶν τῶν ἄλλων ἀρετῶν. Σημείωσαι δέ, ὅτι οὐ μόνον διὰ τοῦ προφήτου ἐζήτησε παρ' ἡμῶν ταύτας τὰς τρεῖς ἀρετάς, ἀλλὰ καὶ διὰ τοῦ ἰδίου παραδείγματος αὐτὰς ἐδίδαξεν. Ἐποίησε δικαιοσύνην, μὴ θελήσας ἁρπάσαι τὸν ἄνθρωπον τῇ παντοδυνάμῳ αὐτοῦ ἐξουσίᾳ ἐκ τῆς δουλείας τοῦ διαβόλου, ἀλλ' εὐδοκήσας ἐξαγοράσαι αὐτὸν διὰ τῆς ἐν τῷ σαυρῷ θυσίας τοῦ μονογονοῦς Υἱοῦ αὐτοῦ· δικαιοσύνη δὲ τοῦτο· διότι, καθὼς αὐτοπροαιρέτως ἥμαρτεν « Ὁ πρῶτος ἄνθρωπος, ὁ ἐκ » γῆς χοϊκός » (5), οὕτως αὐτοθελήτως προσέφερεν ἑαυτὸν θυσίαν ἱλαστήριον ὑπὲρ αὐτοῦ, « Ὁ δεύτερος ἄνθρωπος, ὁ Κύριος, ἐξ οὐ- » ρανοῦ ». Διὰ τοῦτο δὲ ὁ θεάνθρωπος εἰς τὸν καιρὸν τοῦ πάθους αὐτοῦ προσευχόμε-

(1) Ῥωμ. 8, 18. (2) Ψαλμ. 115, 3. (3) Αὐτ. 115, 2. (4) Μιχ, 6, 8. (5) Ἀ. Κορ. 15, 47.



νος, ἔλεγε· πάτερ, σὺ μὲν ὡς δίκαιος εὐδόκησας, ἵνα πάθω καὶ ἀποθάνω, ὁ δὲ κόσμος οὐκ ἐγνώρισε ταύτην σου τὴν δικαιοσύνην. ἐγὼ δὲ ἐγνώρισα αὐτήν· « Πάτερ » δίκαιε, καὶ ὁ κόσμος σε οὐκ ἔγνω, ἐγὼ δέ » σε ἔγνων » (1)· ἐποίησεν ἔλεος, τελεσιουργήσας τὴν ἀπολύτρωσιν καὶ σωτηρίαν τοῦ γένους τῶν ἀνθρώπων· διότι « Οὐκ ἐξ ἔρ- » γων τῶν ἐν δικαιοσύνῃ, ὧν ἐποιήσαμεν » ἡμεῖς, ἀλλὰ κατὰ τὸν αὐτοῦ ἔλεον ἔσω- » σεν ἡμᾶς » (2). Ἐποίησε δὲ καὶ ὑπακοὴν ὁ ὑπὲρ ἡμῶν ἐνανθρωπήσας Θεὸς Λόγος. Αὐτὸς ὡς ἄνθρωπος τόσον ἔφριττε τὸν θάνατον, ὥστε « Ἐγένετο ὁ ἱδρὼς αὐτοῦ ὡ- » σεὶ θρόμβοι αἵματος, καταβαίνοντες ἐπὶ » τὴν γῆν » (3)· καὶ παρεκάλει μέν, ἵνα παρέλθῃ ἀπ' αὐτοῦ τὸ πικρὸν τοῦ θανάτου ποτήριον· « Πάτερ, ἔλεγεν, εἰ βούλει πα- » ρενεγκεῖν τὸ ποτήριον τοῦτο ἀπ' ἐμοῦ » (4). πλὴν ὑπέταξε κατὰ πάντα τῆς ἀνθρωπότητος τὸ θέλημα, εἰς τὸ θέλημα τῆς θεότητος· « Πλήν, ἔλεγε, μὴ τὸ θέλημά μου, ἀλ- » λὰ τὸ σὸν γενέσθω· διὸ ἐγένετο ὑπήκοος » μέχρι θανάτου, θανάτου δὲ σταυροῦ » (5).

Ἡ ὑπὸ Θεοῦ ζητουμένη παρ' ἡμῶν δικαιοσύνη ἀναφέρεται εἰς τὸν Θεόν, εἰς τὸν πλησίον, εἰς τὴν ψυχὴν ἡμῶν. Ἐπειδὴ ὁ Θεὸς ὡς δημιουργός, ὡς παντεξούσιος, ὡς πανυπερτέλειος, ὡς δοτὴρ τῆς μελλούσης αἰωνίου σωτηρίας, ἐστὶ τὸ πανυπέρτατον καὶ πανυπέρτιμον Ὄν, διὰ τοῦτο δίκαιόν ἐστιν, ἵνα προτιμᾶται πάντων τῶν ἐπιγείων καὶ ἐπουρανίων πραγμάτων. Ὅταν οὖν ἐγὼ προτιμῶ τὸν Θεὸν παντὸς πράγματος, καὶ αὐτῆς τῆς ἰδίας μου ζωῆς, τότε ποιῶ δικαιοσύνην πρὸς τὸν Θεὸν ἀναφερομένην· ὅταν δὲ προκρίνω ἄλλο πρᾶγμα, ἢ καὶ τὴν ἰδίαν μου ζωὴν μᾶλλον, ἢ τὸν Θεόν, τότε ποιῶ ἀδικίαν, ἥτις πρὸς αὐτὸν ἀναφέρεται τὸν Θεόν. Τὸν δὲ δικαιότατον ὅρον τῆς πρὸς τὸν πλησίον δικαιοσύνης περιέχουσι ταῦτα τὰ δεσποτικὰ λόγια· « Καὶ καθὼς » θέλετε, ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, » καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς ὁμοίως » (6). Ὅταν οὖν ποιῇς εἰς τὸν πλησίον σου, ὅσα θέλεις, ἵνα καὶ αὐτὸς ποιήσῃ ὑπὲρ σοῦ, τότε φυλάττεις τὴν πρὸς αὐτὸν δικαιοσύνην· ὅταν δὲ πράττῃς κατὰ τοῦ πλησίον σου τὰ ἐναντία ἐκείνων, ὧν σὺ θέλεις, ἵνα αὐτὸς πράττῃ ὑπὲρ σοῦ, τότε ἀδικεῖς αὐτόν. Ἡ ψυχή, ὡς ἀθάνατος καὶ ὡς ζωοποιὸς καὶ ὁδηγὸς τοῦ σώματος, ἐστὶ πολλῷ τιμιωτέρα τοῦ σώματος· διὰ τοῦτο, ὅταν αὐτὴ ὡς κυρία καὶ δέσποινα καὶ ὁδηγὸς ἐξουσιάζῃ καὶ διευθύνῃ τὸ σῶμα, τότε φυλάττεται τὸ πρὸς αὐτὴν δίκαιον· ὅταν δὲ ποιῶμεν αὐτὴν δούλην τῶν σαρκικῶν ἐπιθυμιῶν, τότε ἀδικοῦμεν αὐτήν· ἡ ἀρετὴ σώζει τὴν ψυχήν, ἡ ἁμαρτία κολάζει αὐτήν· διότι « Ἐκπο- » ρεύσονται οἱ τὰ ἀγαθὰ ποιήσαντες εἰς ἀ- » νάστασιν ζωῆς· οἱ δὲ τὰ φαῦλα πράξαν- » τες, εἰς ἀνάστασιν κρίσεως », ἤγουν κατακρίσεως. Ὅταν οὖν ἐργαζώμεθα ἀρετήν, τότε ποιοῦμεν δικαιοσύνην πρὸς τὴν ψυχὴν ἡμῶν· ὅταν δὲ ἁμαρτάνωμεν, τότε ἀδικοῦμεν αὐτὴν ὑπερβαλλόντως· ταῦτα τὰ τρία εἴδη τῆς δικαιοσύνης ὁμοῦ συγκροτοῦσι τὴν ὑπὸ τοῦ Θεοῦ παρ' ἡμῶν ζητουμένην δικαιοσύνην.

Ζητεῖ δὲ παρ' ἡμῶν ὁ Θεὸς καὶ ἔλεος· ἀλλὰ ποῖον ἔλεος; ἐκεῖνο τὸ ἔλεος, ὅπερ καὶ ἐποίησε, καὶ ποιεῖ πρὸς τὸ γένος τῶν ἀνθρώπων. Αὐτὸς ἠλέησεν οὐ μόνον τοὺς δικαίους, ἀλλὰ καὶ τοὺς ἁμαρτωλούς, ἤγουν

(1) Ἰωάν. 17, 25. (2) Τίτ. 3, 5. (3) Λουκ. 22, 44. (4) Αὐτ. 42. (5) Φιλιπ. 2, 8. (6) Λουκ. 6, 31.

τοὺς ἐχθροὺς αὐτοῦ, ἀποθανὼν ὑπὲρ τῆς σωτηρίας αὐτῶν «Ὅτι ἔτι ἁμαρτωλῶν ὄντων ἡμῶν, Χριστὸς ὑπὲρ ἡμῶν ἀπέθανεν » (1). Αὐτὸς « Τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθούς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους » (2)· αὐτὸς καὶ ὑπὲρ τῶν σταυρωσάντων αὐτὸν παρεκάλεσε, λέγων· « Πάτερ, ἄφες αὐτοῖς, οὐ γὰρ οἴδασι τί ποιοῦσι » (3). Τοῦτον οὖν τὸν ἔλεον ζητεῖ παρ' ἡμῶν, διότι ἐνετείλατο καὶ εἶπεν· « Ἐγὼ δὲ λέγω ὑμῖν· ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, εὐλογεῖτε τοὺς καταρωμένους ὑμᾶς, καλῶς ποιεῖτε τοὺς μισοῦντας ὑμᾶς, καὶ προσεύχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς καὶ διωκόντων ὑμᾶς » (4). Ἐκεῖνο τὸ ἔλεος ζητεῖ παρ' ἡμῶν ὁ πανοικτίρμων, δι' οὗ ἐλεοῦμεν τὰς ψυχὰς ἡμῶν· διότι ὅταν ἐλεῇς τοὺς ἐχθρούς σου, τότε ἐλεεῖς τὴν ψυχήν σου· διότι ἐκεῖνον συγχωρεῖ καὶ ἐλεεῖ ὁ Θεός, ὅστις συγχωρεῖ καὶ ἐλεεῖ τοὺς ἐχθροὺς αὐτοῦ· « Ἐὰν γὰρ ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, ἀφήσει καὶ ὑμῖν ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος » (5). Ὁμοίως, ὅταν ἐλεῇς τὸν πτωχόν, τότε ἐλεεῖς σεαυτόν· λαμβάνεις δὲ σὺ ὁ ἐλεῶν περισσότερον, ἢ ἐκεῖνος ὁ ἐλεούμενος· διότι ἐκεῖνος μὲν λαμβάνει πρᾶγμα πρόσκαιρον, σὺ δὲ λαμβάνεις βασιλείαν αἰώνιον.

Ἀλλὰ καὶ τοῦτο ζητεῖ ὁ Θεὸς παρὰ σοῦ « ἕτοιμον εἶναι τοῦ πορεύεσθαι μετὰ Κυρίου τοῦ Θεοῦ σου » (6). Τοῦτο δὲ σημαίνει τὴν πρόθυμον ὑπακοὴν πρὸς πάντα τὰ θεῖα αὐτοῦ προστάγματα· διότι ἐκεῖνος πορεύεται μετὰ Κυρίου τοῦ Θεοῦ αὐτοῦ, ἤγουν συνηνωμένος ἐστὶ μετὰ τοῦ Θεοῦ, ὅστις ὑπακούων εἰς τὰ θεῖα αὐτοῦ λόγια, φυλάττει τὰς ἁγίας αὐτοῦ ἐντολάς· « Ἐάν τις ἀγαπᾷ με, εἶπεν ὁ Κύριος, τὸν λόγον μου τηρήσει· καὶ ὁ πατήρ μου ἀγαπήσει αὐτόν, καὶ πρὸς αὐτὸν ἐλευσόμεθα, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν » (7). Ἀκούεις διὰ ποῖον λόγον ζητεῖ ὁ Θεὸς παρ' ἡμῶν τὴν ὑπακοὴν εἰς τὰ θεῖα αὐτοῦ προστάγματα; ζητεῖ τὴν ὑπακοήν, ἵνα ἐλθὼν πρὸς ἡμᾶς συνενωθῇ μεθ' ἡμῶν, καὶ καταστήσῃ ἡμᾶς θεῖα αὐτοῦ κατοικητήρια. Ὦ ἄβυσσος φιλανθρωπίας καὶ πέλαγος εὐσπλαγχνίας καὶ ἀγαθότητος !

Ταῦτα ζητεῖ παρ' ἡμῶν ὁ Θεὸς ἀντὶ τῶν εἰς ἡμᾶς ἀμέτρων εὐεργεσιῶν αὐτοῦ· ἡμεῖς δὲ προκρίνομεν τὴν ματαιότητα τοῦ κόσμου περισσότερον τῆς ἀγάπης τοῦ Θεοῦ, καὶ προτιμῶμεν, οὐ λέγω τὴν ἰδίαν ζωήν, ἀλλ' ὀλίγον μέταλλον τῆς γῆς, ἓν πρᾶγμα εὐτελές, πολλάκις καὶ ἓν σκύβαλον μᾶλλον ἢ τὸν Θεόν· κατὰ τοῦ πλησίον κατακρίσεις, ὕβρεις, ἐπιβουλαί, δόλοι, συκοφαντίαι, προδοσίαι· τὴν ψυχὴν ἡμῶν νύκτα τε καὶ ἡμέραν ποιοῦμεν δούλην τῶν πονηρῶν τοῦ σώματος ἐπιθυμιῶν, καὶ κατατραυματίζομεν αὐτὴν πᾶσαν ὥραν ἁμαρτάνοντες. Χριστιανοί, τοῦτό ἐστιν ἡ δικαιοσύνη, ἡ χρεωστουμένη πρὸς τὸν Θεὸν καὶ τὸν πλησίον καὶ τὴν ψυχὴν ἡμῶν; οὐαὶ ἡμῖν· ὁ Θεὸς ζητεῖ παρ' ἡμῶν ἐκεῖνο τὸ ἔλεος, ὅπερ αὐτὸς ἐποίησε καὶ ποιεῖ πρὸς ἡμᾶς, ἡμεῖς δὲ μισοῦμεν τοὺς ἐχθρούς, μηδέποτε καταλλαγῆναι μετ' αὐτῶν βουλόμενοι, καὶ ἐπιβουλεύομεν, καὶ κατατρέχομεν αὐτοὺς ἕως θανάτου· ἡμεῖς πολλάκις διὰ τὸ ἴδιον κέρδος καὶ αὐτοὺς τοὺς ὅρους τῆς φιλίας παραβαίνομεν, ἄπιστοι καὶ ἐπίβουλοι τῶν φίλων γινόμενοι· ὁ Θεὸς ζητεῖ παρ' ἡμῶν ἔλεος, ἡμεῖς δὲ ἀποστρεφόμεθα τοὺς πένητας συναντῶντες τὸν ξένον, φεύγομεν· βλέποντες τὸν ἀσθενῆ καὶ τὸν ἐν φυλακῇ, μακρυνόμεθα ἀπ' αὐτόν· ἔμπροσθεν τῶν ὀφθαλμῶν ἡμῶν ἵσταται ὁ πεινῶν καὶ ὁ διψῶν καὶ ὁ γυμνός, καὶ περισσεύει μὲν ἐν τῷ οἴκῳ ἡμῶν ὁ ἄρτος, σήπονται δὲ ἐν ταῖς ἀποθήκαις ἡμῶν τὰ ἐνδύματα, καὶ ὅμως οὐδόλως καμπτόμεθα πρὸς οἰκτιρμὸν καὶ συμπάθειαν. Ἀδελφοί, τοῦτό ἐστι τὸ ἔλεος τὸ ζητούμενον παρ' ἡμῶν ἀπὸ τοῦ Θεοῦ; οὐαὶ ἡμῖν· ὁ Θεὸς ζητεῖ παρ' ἡμῶν ὑπακοὴν πρὸς ἐκπλήρωσιν τῶν δέκα ἐντολῶν αὐτοῦ· τί ἄλλο δὲ βλέπεις ἐν τοῖς ἔργοις ἡμῶν, εἰ μὴ ἀπιστίαν, ὀρθῶν δογμάτων καὶ ἀποστολικῶν παραδόσεων ἀθέτησιν, ὅρκους ματαίους, ἐξουδένωσιν ἑορτῶν, περιφρόνησιν γονέων, μοιχείας, κλοπάς, φόνους, ψευδομαρτυρίας, ἁρπαγὰς ξένων πραγμάτων; Ἄνθρωποι, ταῦτα ἀνταποδίδομεν εἰς τὸν Θεὸν περὶ πάντων, ὧν ἀνταπέδωκεν ἡμῖν;

Φοβερός ἐστιν ὁ ἔλεγχος τοῦ προφήτου Μωϋσέως κατὰ τῶν Ἰσραηλιτῶν, τῶν ἀποδιδόντων τῷ Θεῷ πονηρὰ ἀντὶ τῶν εὐεργεσιῶν αὐτοῦ. Γένος, ἔλεγε πρὸς αὐτούς, πονηρὸν καὶ διεστραμμένον, ταύτας τὰς ἀνταποδόσεις ἀνταποδίδοτε εἰς τὸν Κύριον; « Γενεὰ σκολιὰ καὶ διεστραμμένη, ταῦτα Κυρίῳ ἀνταποδίδοτε; » (1) Ὦ λαὲ μωρὲ καὶ ἄσοφε, τοιουτοτρόπως ἀνταμείβεις τὸν εὐεργέτην σου; « Οὕτω λαὸς μωρὸς καὶ οὐχὶ σοφός; » Οὐκ ἔστιν ὁ Θεὸς πατήρ σου, ὅστις, ἐξαγοράσας σε ἐκ τῆς δουλείας τῶν δυναστευόντων σε, ἐποίησέ σε ἴδιον αὐτοῦ λαόν; οὐκ ἔστιν αὐτὸς ὁ ποιητὴς καὶ πλάστης σου; « Οὐκ αὐτὸς οὗτός σου πατὴρ ἐκτήσατό σε καὶ ἐποίησέ σε καὶ ἔπλασέ σε; » Ἐγὼ φοβοῦμαι, ὅτι οὗτος ὁ φοβερὸς ἔλεγχος κατὰ πάντα λόγον ἁρμόζει εἰς ἡμᾶς πολλῷ μᾶλλον, ἢ εἰς τοὺς Ἰσραηλίτας· ὅταν ὅμως μνημονεύω τῶν λόγων, ὧν αὐτὸς ὁ Κύριος εἶπε κατὰ τῶν ἀνταποδιδόντων αὐτῷ ἁμαρτίας ἀντὶ τῶν εὐεργεσιῶν αὐτοῦ, τότε φρίττω καὶ τρέμω ἀπὸ κεφαλῆς ἕως ποδῶν. Ἀκούσατε, τί περὶ τούτου εἶπε, καὶ φρίξατε· « Ἐγγὺς ἡμέρα Κυρίου ἐπὶ πάντα τὰ ἔθνη· ὃν τρόπον ἐποίησας, οὕτως ἔσται σοι· τὸ ἀνταπόδομά σου ἀνταποδοθήσεται εἰς κεφαλήν σου ». Κύριε, ἐλέησον, Κύριε σπλαγχνίσθητι, καὶ δὸς ἡμῖν ἐπιστοφὴν καὶ μετάνοιαν ἀληθινήν.

(1) Ῥωμ. 5, 8. (2) Ματθ. 5, 45. (3) Λουκ. 23, 34. (4) Ματθ. 5, 44. (5) Αὐτ. 6, 14, (6) Μιχ. 6, 8.
(7) Ἰωάν. 14, 23.

(1) Δευτ. 32, 5, 6.

# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΗΝ ΠΡΟΣ

## ΚΟΛΟΣΣΑΕΙΣ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗ: ΚΘ'. ΚΥΡΙΑΚΗ:.

ΟΤΕ πᾶσα ὑλικὴ οἰκοδομὴ ἀκλόνητος διαμένει καὶ ἀδιάσειστος, ὅταν ὁ ἀρχιτέκτων βάλῃ ὑπ' αὐτὴν στερεὰ καὶ ἀκράδαντα θεμέλια· στερεὰ καὶ ἀμετάθετα θεμέλια ἔβαλεν ὁ ἐπουράνιος ἀρχιτέκτων ὁ Παῦλος εἰς τὴν πνευματικὴν οἰκοδομὴν τῆς ἠθικῆς αὐτοῦ νουθεσίας, τὴν ἀλήθειαν καὶ τὴν βεβαιότητα τῆς δευτέρας τοῦ Ἰησοῦ Χριστοῦ ἐπιφανείας, καὶ τῆς παραστάσεως τῶν ἀνθρώπων ἐνώπιον τῆς θείας αὐτοῦ δόξης (1). Ἐπάνω δὲ εἰς ταῦτα τὰ ἀδαμάντινα θεμέλια ᾠκοδόμησε καὶ ἐστερέωσε πᾶσαν τὴν κατασκευὴν τῆς σωτηριώδους αὐτοῦ νουθεσίας, καὶ ἀπαριθμήσας τῆς ἁμαρτίας τὰ εἴδη, καὶ ὀνομάσας αὐτὰ παλαιὸν ἄνθρωπον, καὶ παραγγείλας, ἵνα ἐκδυθῶμεν αὐτόν, καὶ ἐνδυθῶμεν τὸν νέον, ὅστις ἐστὶν ἡ ἀληθὴς τοῦ Θεοῦ εἰκών. Πείθει δὲ ἡ τοιαύτη διδασκαλία πάντα νοῦν, καὶ ἐπιστηρίζει πᾶσαν ἀνθρώπου καρδίαν· διότι ἐὰν οὐδεὶς τολμᾷ παῤῥησιασθῆναι ἐνώπιον τοῦ ἐπιγείου βασιλέως μετὰ ῥυπαρῶν ἱματίων, ἀλλὰ πρῶτον μὲν ἐνδύεται ἐνδύματα καθαρά, καὶ εὐτρεπίζεται, ὅσον δύναται, ἔπειτα παρίσταται ἐνώπιον αὐτοῦ, πῶς ἡμεῖς τολμήσομεν φανερωθῆναι ἐνώπιον τοῦ βασιλέως τῶν βασιλευόντων Ἰησοῦ Χριστοῦ, ἐὰν μὴ πρῶτον νίψωμεν τὴν ἀκαθαρσίαν τῆς ἁμαρτίας, καὶ στολισθῶμεν διὰ τῆς τῶν καλῶν ἔργων λαμπρότητος; Ἐβεβαίωσε δέ, ὅτι τοῦτο τὸ ἔνδυμα ποιεῖ ἡμᾶς ἀξίους παρασταθῆναι ἐνώπιον τοῦ σωτῆρος ἡμῶν, εἰπών, ὅτι οὐδὲ εἰς γένος, οὐδὲ εἰς ἀξίαν, οὐδὲ εἰς τάξιν, οὐδὲ εἰς ἄλλο τι, ὅσα ὁ κόσμος ἢ μεγαλύνει, ἢ ἐξευτελίζει, εἰ μὴ εἰς μόνα τῆς ἀρετῆς τὰ κατορθώματα ἐπιβλέπει ὁ Θεός (2). Ἀκούσατε, ἀδελφοί μου, τούτων τῶν θεοπνεύστων λόγων τὴν ἑρμηνείαν, ἵνα τῇ δυνάμει τῆς θείας χάριτος φωτισθέντες, ἀποῤῥίψητε τὸν μεμολυσμένον τῆς ἁμαρτίας χιτῶνα, ἀναλάβητε δὲ τὸ καθαρὸν καὶ νυμφικὸν τῆς ἀρετῆς ἔνδυμα· καὶ οὕτω φανερωθῆτε ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως, ἐνώπιον τοῦ Ἰησοῦ Χριστοῦ περιβεβλημένοι, πεποικιλμένοι ἐν τῷ διαχρύσῳ τῶν ἀγαθῶν πράξεων ἱματισμῷ, καὶ ἄξιοι συμπαραστάται τοῦ χοροῦ τῶν ἁγίων, καὶ τῆς αἰωνίου βασιλείας συμμέτοχοι.

*Ἀδελφοί, ὅταν ὁ Χριστὸς φανερωθῇ, ἡ ζωὴ ἡμῶν, τότε καὶ ὑμεῖς σὺν αὐτῷ φανερωθήσεσθε ἐν δόξῃ* (3).

(1) Κολ. 3, 4. (2) Αὐτ. 10. (3) Αὐτ. 3, 4.



Πρὸ τοῦ πάθους καὶ τῆς ἀναστάσεως τοῦ Ἰησοῦ Χριστοῦ διὰ τὴν προπατορικὴν ἁμαρτίαν αἱ μὲν ψυχαὶ τῶν ἀνθρώπων νενεκρωμέναι ἦσαν, ὡς ἐστερημέναι τῆς θείας χάριτος· τὰ δὲ σώματα αὐτῶν μετὰ θάνατον οὐκ ἀνίσταντο, ἀλλ' ἔμενον αἰωνίως νεκρὰ καὶ διαλελυμένα· ὁ Ἰησοῦς Χριστὸς δὲ ἐκ νεκρῶν ἀναστάς, τὰς μὲν ψυχὰς ἀνεζωποίησε, χαρισάμενος αὐταῖς τοῦ παναγίου Πνεύματος τὰ χαρίσματα, τὰ δὲ σώματα ἐζώωσε, δοὺς αὐτοῖς τὴν δύναμιν καὶ τὴν χάριν τῆς ἀναστάσεως. Κατὰ τοῦτο οὖν ὁ Χριστός ἐστιν ἡ ζωὴ ἡμῶν, ὡς καὶ αὐτὸς τοῦτο ἐδίδαξεν, εἰπών· « Ἐγώ εἰμι » ἡ ἀνάστασις καὶ ἡ ζωή » (1). Καὶ ἐν μὲν τῷ κόσμῳ τούτῳ οἱ ἄπιστοι οὐδὲ γνωρίζουσιν, οὐδὲ πιστεύουσιν, ὅτι ὁ Ἰησοῦς Χριςός ἐστιν ἡ ζωὴ καὶ ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ἀληθινοῦ, οἱ δὲ πιστοὶ γνωρίζουσι μέν, ἀλλ' ἐκ μέρους διὰ τῆς πίστεως· « Ἐκ μέρους γὰρ » γινώσκομεν» (2)· ἐν δὲ τῇ ἡμέρᾳ τῆς δευτέρας αὐτοῦ παρουσίας, « Ὅταν ἔλθῃ ἐν » τῇ δόξῃ αὐτοῦ (3), τότε τὸ ἐκ μέρους κα» ταργηθήσεται » (4)· διότι τότε εἰς πάντας φανερωθήσεται, καὶ πάντες γνωρίσουσι, καὶ ὄψονται, ὅτι αὐτός ἐστιν ὁ ζωοδότης, καὶ Θεὸς ὁ παντοδύναμος· « Καὶ ὄψε» ται αὐτὸν πᾶς ὀφθαλμός » (5). Λέγει οὖν ὁ Ἀπόστολος, ὅταν ὁ Χριστός, ἡ ζωὴ ἡμῶν φανερωθῇ ἐν τῇ δευτέρᾳ αὐτοῦ ἐπιφανείᾳ ἐνώπιον πάντων τῶν ἀπ' αἰῶνος ἀνθρώπων, τότε καὶ ὑμεῖς, ὦ Κολοσσαεῖς, μέλλετε φανερωθῆναι ἐνώπιον αὐτοῦ, ἵνα ἀπολαύσητε τῆς θείας αὐτοῦ δόξης. Ἐπειδὴ δὲ οὐδεὶς ἀπολαμβάνει ταύτην τὴν χάριν, εἰ μὴ ὁ νικητὴς τῆς ἁμαρτίας, διὰ τοῦτο παραγγέλλει τὰ ἑξῆς, λέγων·

*Νεκρώσατε οὖν τὰ μέλη ὑμῶν τὰ ἐπὶ τῆς γῆς, πορνείαν, ἀκαθαρσίαν, πάθος, ἐπιθυμίαν κακήν, καὶ τὴν πλεονεξίαν, ἥτις ἐστὶν εἰδωλολατρεία* (6).

Προλαβὸν εἶπεν· « Ἀπεθάνετε γάρ» (7)· διὰ τί οὖν νῦν λέγει· « Νεκρώσατε οὖν τὰ » μέλη ὑμῶν τὰ ἐπὶ τῆς γῆς ;» ποῖα λέγει μέλη τὰ ἐπὶ τῆς γῆς; αὐτοὶ βαπτισθέντες, ἀπέθανον μὲν τῷ κόσμῳ, «Συνταφέντες τῷ » Χριστῷ ἐν τῷ βαπτίσματι » (8)· ἔμεινεν ὅμως ἐν αὐτοῖς ὁ κνησμὸς τῆς ἁμαρτίας, καὶ τὸ αὐτεξούσιον πρὸς τὸ κλῖναι εἰς αὐτήν, ἢ εἰς τῆς ἀρετῆς τὰ ἔργα. Τὸ οὖν, νεκρώσατε, σημαίνει τό, ἀποκτείνατε, καὶ καταστήσατε νεκρὰν καὶ αὐτὴν τὴν ῥοπὴν πρὸς τὴν κακίαν, ἐξ ἧς γεννᾶται ἡ πορνεία καὶ ἡ ἀκαθαρσία, καὶ τὸ πάθος, καὶ ἡ κακὴ ἐπιθυμία, καὶ ἡ πλεονεξία· αὐτὰ δὲ τὰ ἁμαρτήματα ὠνόμασε « Μέλη ἡμῶν ἐπὶ » τῆς γῆς », ἤγουν μέλη ἐπίγεια, ἐπειδὴ διὰ τῶν μελῶν τοῦ γηΐνου ἡμῶν σώματος ἐκτελοῦνται· καὶ τὴν μὲν πορνείαν ἀνέφερε κατ' ὄνομα, τὰ δὲ κατ' εἶδος ὀνόματα τῶν ἄλλων σαρκικῶν ἁμαρτημάτων, ὅσα οἱ ἀσελγεῖς ἐπιτελοῦσιν, ἐσιώπησε διὰ τὴν τούτων βδελυρίαν καὶ αἰσχρότητα· « Τὰ γὰρ » κρυφῇ γινόμενα ὑπ' αὐτῶν, αἰσχρόν ἐστι » καὶ λέγειν » (9)· ὠνόμασε δὲ αὐτὰ γενικῶς « Ἀκαθαρσίαν», καθότι μολύνουσι τὴν ψυχὴν καὶ τὸ σῶμα, καὶ «Πάθος», καθότι ἀληθῶς πάσχει καὶ τυραννεῖται ὑπ' αὐτῶν πυρούμενος· ἐπιθυμίαν δὲ εἶπε κακήν, ἐπειδή ἐστι καὶ ἐπιθυμία καλή. Ὅταν μὲν ἐπιθυμῶμεν τὰ τῆς ἁμαρτίας ἔργα, τότε ἡ ἐπιθυμία ἡμῶν ἐστι κακή· ὅταν δὲ τὰς τῆς ἀρετῆς πράξεις, τότε ἐστὶ καλή· διὸ καὶ ὁ

(1) Ἰωάν. 11, 25. (2) Α'. Κορ. 13, 9. (3) Ματθ. 15, 31. (4) Α'. Κορ. 13, 10. (5) Ἀποκ. 1, 7.
(6) Κολ. 3, 5. (7) Αὐτ. 3, 2. (8) Αὐτ. 2, 12. (9) Ἐφεσ. 5, 12.

προφήτης Δανιὴλ ὠνομάσθη ἀνὴρ ἐπιθυμιῶν, ὡς ἐπιθυμητὴς τῶν καλῶν ἔργων (1). Διὰ τοῦ, «Ἐπιθυμίαν κακὴν» ἐσήμανε τὴν ἐπιθυμίαν παντὸς εἴδους ἁμαρτίας. Διὰ τί δὲ εἶπεν, ὅτι ἡ πλεονεξία ἐστὶν εἰδωλολατρεία; διότι καθὼς οἱ εἰδωλολάτραι σχηματίζοντες εἴδωλα χρυσᾶ καὶ ἀργυρᾶ καὶ λίθινα, καὶ ἐκ πάσης ἄλλης ὕλης κατεσκευασμένα, ἐπ' αὐτοῖς εἶχον πᾶσαν τὴν τῆς εὐτυχίας αὐτῶν ἐλπίδα, οὕτω καὶ οἱ πλεονέκται, συνάγοντες παντοῖα κτήματα, ὑπ' αὐτῶν ἐλπίζουσι πᾶσαν ὑπεράσπισιν καὶ τρυφὴν καὶ ἀνάπαυσιν.

*Δι' ἃ ἔρχεται ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας* (2).

Δι' αὐτά, λέγει, τὰ ἔργα, τουτέςι διὰ τὰ σαρκικὰ ἁμαρτήματα, καὶ τὰς κακὰς ἐπιθυμίας, καὶ τὴν πλεονεξίαν «Ἔρχεται ἡ ὀργὴ τοῦ Θεοῦ », ἤγουν ὀργίζεται καὶ παιδεύει ὁ Θεὸς « Τοὺς υἱοὺς τῆς ἀπειθείας », τοὺς ἀπειθεῖς δηλαδή, τοὺς μὴ πειθομένους, μηδὲ ὑπακούοντας εἰς τὰ θεῖα αὐτοῦ προστάγματα· παιδεύει δὲ δι' αὐτὰ οὐ μόνον εἰς τὴν μέλλουσαν ζωήν, καταδικάζων τοὺς ἀπειθεῖς εἰς τὰς αἰωνίους βασάνους, ἀλλὰ καὶ εἰς τὴν παροῦσαν, πέμπων εἰς αὐτοὺς φοβερὰς τιμωρίας. Ἡ ὀργὴ τοῦ Θεοῦ ἦλθεν ἐπὶ τοὺς ἐπὶ Νῶε ἠσελγηκότας, καὶ κατεπόντισεν αὐτούς, καὶ ἐπὶ τοὺς ἐν Σοδόμοις ἀσελγεῖς, καὶ κατέκαυσεν αὐτούς (3). «Ὀργὴ τοῦ Θεοῦ ἀνέβη ἐπὶ τοὺς Ἰσραηλίτας τοὺς ἐπιθυμήσαντας κακὴν ἐπιθυμίαν ἐν τῇ ἐρήμῳ, καὶ ἀπέκτεινεν ἐν τοῖς πλείοσιν αὐτῶν » (4)· ὀργὴ τοῦ Θεοῦ ἦλθεν ἐπὶ τὸν Ἀχαάβ· ὅθεν οἱ χοῖροι καὶ οἱ σκύλακες ἐξέλειξαν τὸ αἷμα αὐτοῦ, καὶ ἐν αὐτῷ ἐλούσθησαν αἱ πόρναι, « Κατὰ τὸ ῥῆμα Κυρίου, ὃ ἐλάλησεν » (5)· ὅσοι δὲ τῶν υἱῶν τῆς ἀπειθείας οὐ παιδεύονται εἰς τὴν παροῦσαν ζωήν, ἐκεῖνοι θησαυρίζουσιν ἐν ἑαυτοῖς « Ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς, καὶ ἀποκαλύψεως δικαιοκρισίας τοῦ Θεοῦ » (6), καὶ φυλάσσονται οἱ πανάθλιοι εἰς ἡμέραν κακήν (7).

*Ἐν οἷς καὶ ὑμεῖς περιεπατήσατέ ποτε, ὅτε ἐζῆτε ἐν αὐτοῖς. Νυνὶ δὲ ἀπόθεσθε καὶ ὑμεῖς πάντα, ὀργήν, θυμόν, κακίαν, βλασφημίαν, αἰσχρολογίαν ἐκ τοῦ στόματος ὑμῶν· Μὴ ψεύδεσθε εἰς ἀλλήλους* (8).

Ἔςιν ἆρά γε διαφορὰ μεταξὺ θυμοῦ καὶ ὀργῆς; καθὼς διαφέρουσι τὰ ὀνόματα, οὕτω καὶ τὰ ὑπ' αὐτῶν σημαινόμενα πράγματα (9)· καὶ θυμὸς μέν ἐστι κίνησις τοῦ αἵματος καὶ ὀξεῖα ἔξαψις· ὀργὴ δέ ἐστι λύπη ἔμμονος, καὶ ὁρμὴ πρὸς ἐκδίκησιν τῶν ἀδικησάντων· διό, ὅταν ἡ ψυχὴ ὀργᾷ πρὸς τὴν ἐκδίκησιν, τότε τὸ πάθος λέγεται ὀργή. Καὶ κακίαν μὲν ὧδε ὠνόμασε τὴν μνησικακίαν, τὴν αὐτὴν δὲ « Πικρίαν» ἀλλαχοῦ ἐκάλεσε (10)· βλασφημίαν δέ, τὰς ὕβρεις· τὸ δέ, « Ἐκ τοῦ στόματος ὑμῶν», κἂν περιττὸν φαίνηται, καθότι δι' οὐδενὸς ἄλλου μέλους ὑβρίζομεν καὶ αἰσχρολογοῦμεν, εἰμὴ διὰ τοῦ στόματος, οὐκ ἔστιν ὅμως περιττόν, ἐπειδὴ διὰ τούτου ἐφανέρωσεν ὁ Ἀπόστολος, ὅτι αἱ βλασφημίαι καὶ αἰσχρολογίαι μολύνουσιν οὐ μόνον τὰς ἀκοὰς τῶν ἀκουόντων, ἀλλὰ καὶ τὸ στόμα τοῦ λαλοῦντος, τὸ ὑπὸ Θεοῦ πλασθὲν πρὸς δοξολογίαν αὐτοῦ καὶ

(1) Δαν. 10, 11. (2) Κολ. 3, 6. (3) Ψαλ. 77, 31. (4) Αὐτ. 105, 14. (5) Α'. Βασ. 22, 2, 4. (6) Ῥωμ. 2,5. (7) Παροιμ. 1, 5. (8) Κολ. 3, 7, 8, 9. (9) Ὅρα Οἰκουμ. Αὐτ. (10) Ἐφεσ. 4, 31. Ῥωμ. 3, 14.



αἴνεσιν, πρὸς ὁμολογίαν τῆς ὀρθοδόξου πίστεως, καὶ πρὸς ὠφέλιμον νουθεσίαν τοῦ πλησίον. Περὶ δὲ τοῦ ψεύδους, τοῦ ἔχοντος εὑρετὴν καὶ πατέρα τὸν διάβολον, καθότι αὐτὸς « ψεύστης ἐστί » (1), καὶ ὁ πατὴρ αὐτοῦ τοῦ ψεύδους, τὰ αὐτὰ καὶ πρὸς τοὺς Ἐφεσίους πλατύτερον ἔγραψε, λέγων· «Διὸ ἀποθέμενοι τὸ ψεῦδος λαλεῖτε ἀλήθειαν, ἕκαστος μετὰ τοῦ πλησίον αὐτοῦ· ὅτι ἐσμὲν ἀλλήλων μέλη» (2). Βλέπε δέ, πῶς λαλήσας πρῶτον περὶ τῶν σαρκικῶν ἁμαρτημάτων, καὶ εἰπών· « Ἐν οἷς καὶ ὑμεῖς περιεπατήσατέ ποτε », ἤγουν τὰς τοιαύτας ἁμαρτίας καὶ ὑμεῖς, ὦ Κολοσσαεῖς, ἐπράξατε πρότερον, ὅτε εἰδωλολάτραι ὄντες, ἔκδοτοι ὑπήρχετε ἐν αὐταῖς, καὶ ὡς δοῦλοι αὐταῖς ἐδουλεύετε· ἔπειτα προασφαλίζει αὐτούς, παραγγέλλων, ἵνα εἰς τὸν καιρόν, ἐν ᾧ συνετάγησαν τῷ Χριστῷ, ἀποῤῥίψωσι πάντα τὰ ἁμαρτήματα· «Νυνὶ δὲ ἀπόθεσθε καὶ ὑμεῖς πάντα », καὶ αὐτὰ δηλονότι τὰ λογιζόμενα μικρότερα ἁμαρτήματα, τὴν ὀργήν, τὸν θυμόν, τὴν κακίαν, τὴν βλασφημίαν, τὴν αἰσχρολογίαν, τὸ ψεῦδος. Μετὰ δὲ ταῦτα προσωποποιήσας πάσας τὰς ἁμαρτίας, καὶ πάσας τὰς ἀρετάς, παραγγέλλει ἐκείνων μὲν τὴν ἀποχήν, τούτων δὲ τὴν ἐργασίαν, λέγων·

*Ἀπεκδυσάμενοι τὸν παλαιὸν ἄνθρωπον σὺν ταῖς πράξεσιν αὐτοῦ, καὶ ἐνδυσάμενοι τὸν νέον, τὸν ἀνακαινούμενον εἰς ἐπίγνωσιν κατ' εἰκόνα τοῦ κτίσαντος αὐτόν* (3).

Ἄνθρωπον ὠνόμασεν ὁ Ἀπόστολος τὴν προαίρεσιν τοῦ ἀνθρώπου, τὸ κυριώτερον αὐτοῦ μέρος, ἐκλαβὼν ἀντὶ τῆς οὐσίας αὐτοῦ (4)· καὶ παλαιὸν μὲν ἄνθρωπον εἶπε τὴν ἐν ταῖς κακίαις ἔκδοτον προαίρεσιν, ὡς σεσαθρωμένην καὶ διεφθαρμένην, καθὼς καὶ οἱ εἰς τὸ ἔσχατον φθάσαντες γῆρας· νέον δέ, τὴν τὰ κατορθώματα τῶν ἀρετῶν ἐργαζομένην, ὡς δραστικὴν καὶ ἀκμάζουσαν, καθὼς καὶ οἱ ἐν τῇ ἀνθηρᾷ τῆς νεότητος ἡλικίᾳ εὑρισκόμενοι. Βλέπε δέ, ὅτι ὀνομάσας τὴν πονηρὰν προαίρεσιν παλαιὸν ἄνθρωπον, ἀνέφερε καὶ τὰ εἰς τὸν τοιοῦτον μεταφορικὸν ἄνθρωπον ἁρμόζοντα· ἀντὶ ψυχῆς, τὴν κακὴν ἐπιθυμίαν· ἀντὶ καρδίας, τὴν ὀργὴν καὶ τὸν θυμόν (5), ἀντὶ τῶν παιδογόνων μελῶν, τὴν πορνείαν καὶ ἀκαθαρσίαν καὶ τὸ πάθος· ἀντὶ χειρῶν, τὴν πλεονεξίαν· ἀντὶ στόματος, τὴν βλασφημίαν, καὶ αἰσχρολογίαν, καὶ τὸ ψεῦδος, ὀνομάσας αὐτὰ ἐπίγεια αὐτοῦ μέλη (6)· ἐπειδὴ δὲ οὐ μόνον προαιρετικῶς, ἤγουν κατὰ νοῦν καὶ διάνοιαν, ἀλλὰ καὶ πρακτικῶς δι' αὐτῶν τῶν πράξεων ἁμαρτάνομεν, διὰ τοῦτο εἶπε· «Τὸν παλαιὸν ἄνθρωπον σὺν ταῖς πράξεσιν αὐτοῦ »· περὶ δὲ τοῦ νέου ἀνθρώπου, τουτέστι τῆς ἀγαθῆς προαιρέσεως εἶπεν, ὅτι αὐτὴ ἀνακαινιζομένη « Εἰς ἐπίγνωσιν », σοφῶς δηλονότι καὶ ἐπιστημονικῶς, γίνεται εἰκὼν τοῦ κτίσαντος αὐτήν, ὁμοίᾳ τε καὶ ἀπαράλλακτος. Διδάσκει οὖν ὁ τοῦ Θεοῦ Ἀπόστολος διὰ τῶν προκειμένων λόγων, ἵνα ἀποῤῥίψωμεν ἀπὸ τῆς προαιρέσεως ἡμῶν καὶ τὴν κατὰ νοῦν καὶ τὴν κατὰ πρᾶξιν ἁμαρτίαν, ἀναλάβωμεν δὲ τὴν ἀρετήν, ἀνακαινίζοντες δι' αὐτῆς τὴν προαίρεσιν ἡμῶν μετὰ γνώσεως καὶ ἐπιστήμης, ἕως ἂν κατασταθῇ εἰκὼν Θεοῦ, φέρουσα τοὺς θείους αὐτοῦ χαρακτῆρας.

*Ὅπου οὐκ ἔνι Ἕλλην καὶ Ἰουδαῖος,*

(1) Ἰωάν. 8, 44. (2) Ἐφεσ. 4, 25. (3) Κολ. 3, 9, 10. (4) Ὅρ. Χρυσ. Αὐτ. (5) Ὅρ. Θεοφύλ. Αὐτ. (6) Κολ. 3, 5.

*περιτομὴ καὶ ἀκροβυστία· βάρβαρος, Σκύθης, δοῦλος, ἐλεύθερος· ἀλλὰ τὰ πάντα καὶ ἐν πᾶσι Χριστός* (1).

Ποῖον ἄρά γε σκοπὸν εἶχεν ὁ Παῦλος, προβάλλων τὸν Ἕλληνα καὶ τὸν Ἰουδαῖον, τὸν περιτετμημένον καὶ τὸν ἀπερίτμητον, τὸν βάρβαρον καὶ τὸν Σκύθην, τὸν δοῦλον καὶ τὸν ἐλεύθερον; Ἡμεῖς ἀκούομεν, ὅτι οἱ μὲν Ἰουδαῖοι ἐζήτουν θαύματα, οἱ δὲ Ἕλληνες σχολαστικὰς ἀποδείξεις· « Ἰουδαῖοι » σημεῖον αἰτοῦσι, καὶ Ἕλληνες σοφίαν » ζητοῦσι » (2), νομίζοντες, ὅτι μόνη ἡ τούτων δύναμις πείθει αὐτοὺς πρὸς τὴν ὑποδοχὴν τῆς εὐαγγελικῆς ἀληθείας· ὁ δὲ Παῦλος ἐκήρυττε πανταχοῦ, ὅτι οὐδὲ τῶν θαυμάτων ἡ δύναμις, οὐδὲ τῆς σοφίας τοῦ κόσμου ἡ ἀπόδειξις πείθει πιστεῦσαι εἰς τὸν Ἰησοῦν Χριστόν, ἀλλ' αὐτὸς ὁ Ἰησοῦς Χριστός, ὅστις ἐστὶ καὶ δύναμις καὶ σοφία Θεοῦ, ἕλκει καὶ πείθει τοὺς ἀξίους, ἵνα πιστεύσωσι, καὶ συνενωθῶσι μετ' αὐτοῦ· « Ἡ» μεῖς δέ, ἔλεγε, κηρύσσομεν Χριστὸν ἐ» σταυρωμένον, Ἰουδαίοις μὲν σκάνδαλον, » Ἕλλησι δὲ μωρίαν· αὐτοῖς δὲ τοῖς κλη» τοῖς Ἰουδαίοις τε καὶ Ἕλλησι Χριστόν, » Θεοῦ δύναμιν καὶ Θεοῦ σοφίαν » (3). Οἱ ἰουδαΐζοντες ἠνάγκαζον τοὺς μαθητὰς τοῦ Χριστοῦ, ἵνα περιτέμνωνται· « Ἐὰν μὴ » περιτέμνησθε, ἔλεγον, τῷ ἔθει Μωσέως, » οὐ δύνασθε σωθῆναι » (4)· ὁ δὲ Παῦλος ἐκήρυττε, λέγων· « Ἐν γὰρ Χριστῷ Ἰη» σοῦ οὔτε περιτομή τι ἰσχύει, οὔτε ἀκρο» βυστία, ἀλλὰ πίστις, δι' ἀγάπης ἐνερ» γουμένη » (5). Ἡμεῖς ἀκούομεν, ὅτι οἱ Ἰουδαῖοι ἐκαυχῶντο ἐπὶ τῇ ἐλευθερίᾳ τοῦ γένους αὐτῶν, καὶ ἐπὶ τῇ εὐγενείᾳ τῶν πατέρων αὐτῶν, λέγοντες· « Σπέρμα Ἀβραὰμ » ἐσμεν, καὶ οὐδενὶ δεδουλεύκαμεν πώποτε, » ὁ πατὴρ ἡμῶν Ἀβραάμ ἐστιν » (6)· ὁ δὲ Ἰησοῦς Χριστὸς διὰ τῆς ἀποκρίσεως αὐτοῦ ἐδίδαξεν, ὅτι ταῦτα οὐδὲν ὠφελοῦσι πρὸς τὴν ἀπόλαυσιν τῆς σωτηρίας· « Πᾶς ὁ » ποιῶν τὴν ἁμαρτίαν, εἶπε, δοῦλός ἐστι » τῆς ἁμαρτίας· Εἰ τέκνα τοῦ Ἀβραὰμ » ἦτε, τὰ ἔργα τοῦ Ἀβραὰμ ἐποιεῖτε » ἄν » (7). Πρὸς τούτοις δὲ ὁ Παῦλος ἐβεβαίωσε σαφέστατα, ὅτι πάντες οἱ ἐν Χριστῷ βαπτισθέντες Ἰουδαῖοι, Ἕλληνες, δοῦλοι, ἐλεύθεροι, ἄνδρες, γυναῖκες, ἰσότιμοί εἰσιν ἐνώπιον αὐτοῦ, καὶ ὡς ἓν καὶ τὸ αὐτὸ ὑπ' αὐτοῦ λογίζονται· « Οὐκ ἔνι, εἶπεν, » Ἰουδαῖος οὐδὲ Ἕλλην· οὐκ ἔνι δοῦλος, » οὐδὲ ἐλεύθερος, οὐκ ἔνι ἄρσεν καὶ θῆλυ· » πάντες γὰρ ὑμεῖς εἷς ἐστε ἐν Χριστῷ Ἰησοῦ » (8). Ταῦτα οὖν τὰ ὀνόματα ἀνέφερεν αὐτὸς πρὸς τοὺς Κολοσσαεῖς, ἵνα φανερώσῃ, ὅτι πρὸς τὸν παραγγελθέντα αὐτοῖς ἀνακαινισμόν, τὸν ποιοῦντα ἡμᾶς Θεοῦ εἰκόνας, τουτέστι τὸν ἀναβιβάζοντα ἡμᾶς πρὸς τὴν κατὰ Χριστὸν τελειότητα (9), οὐδὲ ἡ σοφία ἡ ζητουμένη ὑπὸ τοῦ Ἕλληνος, οὐδὲ τὰ θαύματα, τὰ ὑπὸ τῶν Ἰουδαίων ζητούμενα, οὐδὲ ἡ ἰουδαϊκὴ περιτομή, οὐδὲ τῶν ἐθνικῶν τὸ ἀπερίτμητον, οὐδὲ ἡ ἀμάθεια τοῦ βαρβάρου, οὐδὲ ἡ ἀγριότης τοῦ Σκύθου, οὐδὲ ἡ δουλεία τοῦ δούλου, οὐδὲ ἡ ἐλευθερία τοῦ ἐλευθέρου εἰσὶν ἀναγκαῖα· διότι διὰ τὸν τοιοῦτον ἀνακαινισμὸν ὁ Ἰησοῦς Χριστὸς διαλύει πάντα τὰ ἐμπόδια, καὶ μεταδίδωσι πάντα τὰ βοηθήματα εἰς πάντας τοὺς εἰς αὐτὸν πιστεύοντας· « Ἀλλὰ τὰ πάντα, καὶ ἐν » πᾶσι Χριστός ».

(1) Κολ. 3, 11. (2) Α'. Κορ. 1, 22. (3) Αὐτ. 23, 24. (4) Πράξ. 15, 1. (5) Γαλ. 5, 6. (6) Ἰωάν. 8, 33, 39. (7) Αὐτ. 33, 39. (8) Γαλ. 3, 8. (9) Κολ. 3, 10.



# ΟΜΙΛΙΑ

ΜΕΤΑ ΤΗΝ ΠΡΟΣ

# ΚΟΛΟΣΣΑΕΙΣ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗΙ ΚΘ'. ΚΥΡΙΑΚΗΙ.

ΟΣΟΝ ὑψηλὴ καὶ θεοπρεπής ἐστιν ἡ σήμερον ἀναγνωσθεῖσα διδασκαλία τοῦ θεηγόρου Παύλου, τόσον φαίνεται δυσπαράδεκτος καὶ ἀντιφερομένη εἰς τὰς ἀσθενείας τῆς ἀνθρωπίνης φύσεως· νομοθετεῖ ὁ οὐρανόφρων διδάσκαλος, ἵνα ἐκδυθῶμεν τὸν παλαιὸν ἄνθρωπον (1), τουτέστιν, ἵνα μακρυνθῶμεν ἀπὸ πάσης ἁμαρτίας, καὶ ἵνα ἐνδυθῶμεν τὸν νέον, ὅπερ ἐστίν, ἵνα ἐργαζώμεθα πᾶσαν ἀρετήν, ἀνακαινίζωμεν δὲ αὐτήν, καὶ πολυπλασιάζωμεν, ἕως ἂν κατασταθῶμεν εἰκὼν ὁμοία τῷ πρωτοτύπῳ, ἤγουν αὐτῷ τῷ κτίσαντι ἡμᾶς Θεῷ. Ἀληθῶς ὑψηλὸν καὶ θεῖόν ἐστι τοῦτο τὸ μάθημα· ἀλλὰ ποῖος, λέγουσί τινες, ἔχει τόσον προσεκτικὰ ὄμματα, ἵνα φεύγῃ τὰς ἀμετρήτους καὶ πολυποικίλους παγίδας, καὶ τόσην ἀνδρείαν καὶ ἐπιτηδειότητα, ἵνα μένῃ ἄτρωτος ὑπὸ τοσούτων πυρφόρων βελῶν, ὅσα πᾶσαν ὥραν ῥίπτει καθ' ἡμων ὁ ἐχθρὸς τῆς ἀνθρωπίνης σωτηρίας; Τίς εἰς τοῦτον τὸν ἀπατηλὸν κόσμον πολιτευόμενος, ἐστὶ τοσοῦτον μεγαλόφρων, ἵνα περιφρονῇ τὸν πλοῦτον, καὶ ὡς οὐδὲν λογίζηται τὴν δόξαν, καὶ καταπατῇ τὰ θέλγητρα, καὶ ἀποστρέφῃ τὸ πρόσωπον αὐτοῦ ἀπὸ τῶν ἀγαθῶν, ὅσα ὑπόσχεται ὁ κόσμος; Ποῖος ταύτην τὴν λυσσώδη σάρκα φορῶν, ἐςὶ τοσοῦτον ὑψηλὸς καὶ μετάρσιος, ἵνα μηδὲ ὑπὸ τῶν κυμάτων τῆς ἡδονικῆς ἐπιθυμίας βραχῇ, μηδὲ καταφλεχθῇ ὑπὸ τοῦ πυρὸς τῆς τοῦ θυμοῦ ὁρμῆς; Τίς δύναται, λέγουσι, νικῆσαι τοιούτους ἐχθρούς, καὶ φυλαχθῆναι τοσοῦτον ἀμίαντος καὶ καθαρός, καὶ πάσης ἀρετῆς πεπληρωμένος, ὥστε καταστῆσαι ἑαυτὸν εἰκόνα ζῶσαν τοῦ ὑπερτελείου Θεοῦ;

Ἀγαπητοί μου ἀδελφοί, τὰ λόγια τοῦ Παύλου εἰσὶ λόγια τοῦ Χριστοῦ· ἡ διδασκαλία τοῦ Παύλου, καὶ ἡ νομοθεσία τοῦ Θεοῦ ἐστὶ μία καὶ ἡ αὐτή· ἐὰν ἐρευνήσητε τὸ Εὐαγγέλιον, οὐδὲν ἄλλο βλέπετε εἰς τὰς ἐν αὐτῷ νομοθεσίας, εἰ μὴ παραγγέλματα ἀνώτερα τῶν ἀσθενημάτων τῆς ἀνθρωπίνης φύσεως· οὐδὲν ἄλλο ἀκούετε, εἰ μὴ λόγια διδάσκοντα, ἵνα ἀπεκδυθῶμεν τὸν παλαιὸν ἄνθρωπον, καὶ ἐνδυθῶμεν τὸν νέον. Διὰ φοβερισμῶν ἀναχαιτίζει μὲν ὁ Σωτὴρ τοῦ κόσμου τοῦ θυμοῦ τὰς ὁρμάς, λέγων· « Ὁ » ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ εἰκῇ, ἔνο» χος ἔσται τῇ κρίσει » (2)· ἐξορίζει δὲ μακρὰν ἀπὸ τοῦ στόματος ἡμῶν πᾶν εἶδος ὕβρεως καὶ περιφρονήσεως τοῦ πλησίον,

(1) Κολ. 3, 9, 10. (2) Ματθ. 5, 22.

κηρύττων· « Ὃς δ' ἂν εἴπῃ τῷ ἀδελφῷ αὐτοῦ ῥακά, ἔνοχος ἔσται τῷ συνεδρίῳ· ὃς δ' ἂν εἴπῃ, μωρέ, ἔνοχος ἔσται εἰς τὴν γέενναν τοῦ πυρός». Νομοθετεῖ τὴν ἀποχὴν οὐ μόνον τῆς πράξεως, ἀλλὰ καὶ αὐτῆς τῆς ἐπιθυμίας τῶν σαρκικῶν ἁμαρτημάτων· « Ἐγὼ δὲ λέγω ὑμῖν, ὅτι πᾶς ὁ βλέπων γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ » (1). Ἐὰν ὁ συγγενής μου, ὃν ἀγαπῶ, καθὼς τὴν κόρην τοῦ ὀφθαλμοῦ μου, ἢ ὁ φίλος μου, ὅστις χρησιμεύει μοι ὡς ἡ δεξιά μου χείρ, σκανδαλίζῃ με, καὶ βλάπτῃ τὴν ψυχήν μου, προστάσσει ἵνα ἀποδιώξω αὐτὸν ἀπ' ἐμοῦ· «Εἰ δὲ ὁ ὀφθαλμός σου ὁ δεξιὸς σκανδαλίζει σε, ἔξελε αὐτόν, καὶ βάλε ἀπὸ σοῦ· καὶ εἰ ἡ δεξιά σου χεὶρ σκανδαλίζει σε, ἔκκοψον αὐτήν, καὶ βάλε ἀπὸ σοῦ » (2). Θέλει, ἵνα μηδόλως ὀμνύωμεν, καὶ ἵνα ὁ λόγος ἡμῶν ἔχῃ τόσην πίστωσιν καὶ βεβαιότητα, ὥστε μηδεμίαν χρείαν ἔχωμεν τῶν ὅρκων· « Ἐγὼ δὲ λέγω ὑμῖν, μὴ ὀμόσαι ὅλως· ἔστω δὲ ὁ λόγος ὑμῶν ναὶ ναί, οὒ οὔ » (3). Ζητεῖ παρ' ἡμῶν μεγάλην ὑπομονὴν καὶ ἀνεξικακίαν· « Ὅςις ῥαπίσει σε, λέγει, ἐπὶ τὴν δεξιάν σου σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἀριςεράν σου » (4)· ζητεῖ παρ' ἡμῶν πολλὴν ἁπλότητα καὶ περιφρόνησιν καὶ αὐτῶν τῶν ἀναγκαίων πραγμάτων· ἵνα φύγῃς, λέγει, τὰς φιλονεικίας καὶ κρισολογίας, ἄφες καὶ τὸ ἱμάτιόν σου εἰς ἐκεῖνον, ὅστις ζητεῖ παρὰ σοῦ τὸν χιτῶνά σου(5)· προθυμίαν ζητεῖ ὑπὲρ τῆς τοῦ πλησίον βοηθείας θερμοτάτην· «Ὅςις σε ἀγγαρεύσει, λέγει, μίλιον ἕν, ὕπαγε μετ' αὐτοῦ δύο » (6). Ἔδωκεν ἐντολήν, ἵνα ἀγαπῶ τοὺς ἐχθρούς μου, ἵνα εὐλογῶ τοὺς καταρωμένους με, ἵνα εὐεργετῶ τοὺς μισοῦντάς με, ἵνα προσεύχωμαι ὑπὲρ τῶν βλαπτόντων, καὶ διωκόντων με· « Ἐγὼ δὲ λέγω ὑμῖν, ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, εὐλογεῖτε τοὺς καταρωμένους ὑμᾶς, καλῶς ποιεῖτε τοὺς μισοῦντας ὑμᾶς, καὶ προσεύχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων καὶ διωκόντων ὑμᾶς » (7). Ὅσοι ταῦτα ποιοῦσιν, ἐκεῖνοι ἀληθῶς ἀπεκδύονται τὸν παλαιὸν ἄνθρωπον, καὶ ἐνδύονται τὸν νέον. Βλέπετε οὖν, ὅτι τοῦ Παύλου τὰ λόγια· « Ἀπεκδυσάμενοι τὸν παλαιὸν ἄνθρωπον σὺν ταῖς πράξεσιν αὐτοῦ, καὶ ἐνδυσάμενοι τὸν νέον » (8), εἰσὶν ἡ συντομωτάτη περίληψις τῶν ἐκτεθέντων λόγων τοῦ Σωτῆρος.

Τί δὲ λέγουσι περὶ τούτων τῶν δεσποτικῶν λόγων οἱ τούτων παραβάται; Αὐτοὶ κατὰ διαφόρους τρόπους ἡσυχάζουσι τῆς συνειδήσεως αὐτῶν τὴν ταραχήν, καὶ κοιμῶνται ἥσυχοι τοῦ θανάτου τῆς ἰδίας ψυχῆς τὸν ὕπνον· ἄλλος μὲν καταπραΰνει τῆς συνειδήσεως αὐτοῦ τὸν ἔλεγχον, φανταζόμενος, ὅτι ταῦτα οὐκ εἰσὶ προστάγματα, ἀλλὰ συμβουλαί· καὶ ἑπομένως ὅστις μὲν φυλάξει αὐτὰς ἁγιάζεται· ὅστις δὲ αὐτὰς ἀθετήσει, οὐδόλως ἁμαρτάνει. Ἄλλος δέ, νομίζων, ὅτι ὁ Θεὸς ἐνομοθέτησεν αὐτὰ οὐχὶ διὰ τοὺς κοσμικοὺς ἀνθρώπους, ἀλλὰ διὰ τοὺς μοναστικοὺς καὶ ἐρημίτας, τοὺς θέλοντας ἀναβῆναι εἰς τῆς ἀρετῆς τὴν τελειότητα. Ἄλλος, συλλογιζόμενος, ὅτι ἡ τούτων ἐκπλήρωσίς ἐστιν ἔργον ἀδύνατον. Καὶ ἄλλος δὲ ἄλλα πλάττων κατὰ τὴν ἰδίαν γνώμην καὶ ἀρέσκειαν, πλανώμενος ἀναπαύεται· μία ὅμως μόνη ἐστὶν ἡ ἀλήθεια, ὅτι αὐτὰ δηλαδὴ οὐκ εἰσὶ συμβουλαὶ ἀφορῶ-

(1) Ματθ. 28. (2) Αὐτ. 29, 30. (3) Αὐτ. 34, 37, (4) Αὐτ. 39. (5) Αὐτ. 40. (6) Αὐτ. 41. (7) Αὐτ. 44. (8) Κολ. 3, 9, 10.



σαι μόνους τοὺς ποθοῦντας τὴν τελειότητα, ἀλλ' εἰσὶ προστάγματα κοινῶς εἰς πάντας πρέποντα· ὁ δὲ ταῦτα παραβαίνων γίνεται ἀνάξιος τῆς ἐπουρανίου βασιλείας, ἐπειδὴ ἡ τούτων ἐκπλήρωσις οὐκ ἔστιν ἔργον ἀδύνατον, ἀλλὰ δυνατὸν εἰς πάντας τοὺς θέλοντας. Ἀκούσατε τῆς ἀληθείας ταύτης τὴν ἀπόδειξιν.

Ὅταν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἔδωκε τὰς περὶ τελειότητος ἁγίας αὐτοῦ ἐντολάς, ἀφῆκε τὴν προαίρεσιν τοῦ καθενὸς ἐλευθέραν, ἵνα ἢ δεχθῇ αὐτὰς καὶ καταςαθῇ τέλειος, ἢ παραβλέψῃ καὶ διαμείνῃ ἀτελής· τοῦτο ἐφανέρωσεν ἡμῖν διὰ τῆς ἀποκρίσεως αὐτοῦ τῆς πρὸς τὸν νεανίσκον ἐκεῖνον, ὅστις ἐφύλαξε μὲν πάσας τὰς θείας ἐντολὰς ἐκ νεότητος αὐτοῦ, ἠρώτα δὲ αὐτόν, κατὰ τί ἔτι ἐστὶν ἐλλειπής. « Τί ἔτι ὑστερῶ; Εἰ θέλεις, ἀπεκρίθη πρὸς αὐτὸν ὁ Κύριος, τέλειος εἶναι » (1). Σημείωσαι τό, Εἰ θέλεις, διότι αὐτὸ οὐ σημαίνει πρόσταγμα, ἀλλὰ συμβουλήν· ὁμοίως συμβουλή ἐστι καὶ ὁ περὶ παρθένων λόγος τοῦ Κυρίου· διότι ἐλάλησε μὲν περὶ τῶν εὐνούχων, οὐδὲ ἐντολὴν ὅμως ἔδωκεν οὐδὲ πρόσταγμα, ἵνα πάντες παρθενεύωσιν, ἀλλ' εἰπών· « Ὁ δυνάμενος χωρεῖν χωρείτω » (2)· ἀφῆκε τὴν ἐκλογὴν τῆς παρθενίας, ἢ τοῦ γάμου εἰς τὴν θέλησιν ἡμῶν· ἐβεβαίωσε δὲ τὸ αὐτὸ καὶ ὁ πανένδοξος Παῦλος· « Περὶ δὲ τῶν παρθένων, εἶπεν, ἐπιταγὴν Κυρίου οὐκ ἔχω· γνώμην δὲ δίδωμι ὡς ἠλεημένος ὑπὸ Κυρίου πιστὸς εἶναι » (3). Παρατήρησον δὲ καὶ τοὺς χαρακτῆρας τῆς τελειότητος, καὶ τὰς ὑπὲρ αὐτῆς διδομένας ἀμοιβάς. « Εἰ θέλεις τέλειος εἶναι, ὕπαγε πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς· καὶ ἕξεις θησαυρὸν ἐν οὐρανῷ, καὶ δεῦρο ἀκολούθει μοι » (4). Ὡς βλέπεις, οἱ χαρακτῆρες τῆς τελειότητός εἰσι τρεῖς· ἡ τελεία ἐγκατάλειψις πάντων τῶν κοσμικῶν πραγμάτων· « Ὕπαγε, πώλησόν σου τὰ ὑπάρχοντα »· ἡ τελεία πρὸς τὸν πλησίον ἀγάπη· « Καὶ δὸς πτωχοῖς »· ἡ τελεία εἰς τὸν Θεὸν ἀφιέρωσις· « Καὶ δεῦρο ἀκολούθει μοι ». Ἡ δὲ ὑπὲρ τῆς τελειότητος ἀνταπόδοσίς ἐστι θησαυρὸς οὐράνιος· « Καὶ ἕξεις θησαυρὸν ἐν οὐρανοῖς ». Διὰ δὲ τοῦ θησαυροῦ ἐφανέρωσε τὸ ὑπερβάλλον τῆς θείας δόξης, ἣν μέλλουσιν ἀπολαῦσαι οἱ τὸν δρόμον τῆς τελειότητος περιπατήσαντες· ὅταν δὲ ὁ Σωτὴρ ἡμῶν ἐδίδαξεν, ὅσα προλαβὸν ἀνέφερον, τότε πρῶτον μὲν εἶπεν, ὅτι αὐτά εἰσιν ἐντολαί· « Ὃς ἐὰν οὖν λύσῃ μίαν τῶν ἐντολῶν τούτων τῶν ἐλαχίστων » (5). ἔπειτα ὀνομάσας αὐτὰ δικαιοσύνην, εἶπεν, ὅτι ἐὰν ἡ τοιαύτη δικαιοσύνη ἡμῶν μὴ περισσεύσῃ τὴν ἀρετὴν τῶν γραμματέων καὶ Φαρισαίων, εὑρίσκομεν κεκλεισμένην τὴν θύραν τῆς οὐρανίου βασιλείας· « Λέγω γὰρ ὑμῖν, ὅτι, ἐὰν μὴ περισσεύσῃ ἡ δικαιοσύνη ὑμῶν πλεῖον τῶν γραμματέων καὶ Φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν » (6). Βλέπε δὲ πρὸς τούτοις, ὅτι, ὅταν ἐδίδαξε ταῦτα, οὐκ εἶπεν, οὐδὲ τὸ « Εἰ θέλεις », οὐδὲ τό, « Ὁ δυνάμενος χωρεῖν χωρείτω », ἀλλ' ἐλάλησεν αὐτὰ διὰ προστακτικῶν ῥημάτων, καὶ ἐφοβέρισε τοὺς παραβαίνοντας αὐτὰ διὰ τῆς κρίσεως, διὰ τοῦ συνεδρίου, διὰ τῆς γεέννης τοῦ πυρός, τουτέστι, καὶ διὰ τῆς προσκαίρου καὶ διὰ τῆς αἰωνίου τιμωρίας.

Ἀλλ', ἀφ' οὗ ἐδίδαξε, λέγεις, ὁ Κύριος

(1) Ματθ. 19, 20, 21. (2) Αὐτ. 12. (3) Α'. Κορ. 7, 25. (4) Ματθ. 19, 21. (5) Αὐτ. 5, 19. (6) Αὐτ. 20.

ταῦτα, τότε εὐθὺς εἶπεν· « Ἔσεσθε οὖν » ὑμεῖς τέλειοι, ὥσπερ ὁ πατὴρ ὑμῶν, ὁ ἐν » τοῖς οὐρανοῖς, τέλειός ἐστι » (1). Φαίνεται οὖν ἐκ τούτου, ὅτι περὶ τελειότητος ἐλάλησεν ὁ Κύριος, ὅτε ταῦτα εἶπεν. Ἀληθῶς περὶ τελειότητος ἐλάλησε, πλὴν οὐχὶ περὶ τῆς τελειότητος τῆς ἀρετῆς, ἀλλὰ περὶ τῆς τελειότητος τῶν τοῦ νόμου ἐντολῶν· διότι τοῦ νόμου τὰ προστάγματα ἦσαν ἀτελῆ· « Οὐδὲν γὰρ ἐτελείωσεν ὁ νόμος » (2). ὁ δὲ Ἰησοῦς Χριστὸς διὰ τῆς νομοθεσίας αὐτοῦ ἔδωκεν αὐτοῖς τὴν τελειότητα· διὸ καὶ εἶπεν, ὅτι ἦλθεν εἰς τὸν κόσμον, οὐχ ἵνα καταργήσῃ τὸν νόμον ἢ τὴν προφητικὴν διδασκαλίαν, ἀλλ' ἵνα, ἀναπληρώσας τὰς τούτων ἐλλείψεις, ἀναδείξῃ αὐτὰ τέλεια· « Μὴ νομίση» τε, ὅτι ἦλθον καταλύσαι τὸν νόμον, ἢ τοὺς » προφήτας· οὐκ ἦλθον καταλύσαι, ἀλλὰ » πληρῶσαι » (3). Ὁ νόμος ἐνεμπόδισε τὸν φόνον, κρίσιν ὁρίσας κατὰ τοῦ φονέως· ὁ Χριςὸς ἀπηγόρευσε καὶ τὴν κατὰ τοῦ πλησίον ὀργήν, κρίσιν διατάξας κατὰ τοῦ ὀργιζομένου· « Ἠκούσατε, ἔλεγεν, ὅτι ἐῤῥέθη τοῖς » ἀρχαίοις » (4), ἤγουν ἠκούσατε, ὅτι ἐκηρύχθη ὑπὸ τοῦ νόμου εἰς τοὺς ἐν νόμῳ· « Οὐ » φονεύσῃς· ὃς δ' ἂν φονεύσῃ, ἔνοχος ἔςαι τῇ » κρίσει· ἐγὼ δὲ λέγω ὑμῖν, ὅτι πᾶς ὁ » ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ εἰκῇ, ἔνο» χος ἔσται τῇ κρίσει ». Ἰδοὺ τίνι τρόπῳ ἔδωκε τὴν τελειότητα εἰς τὸν νόμον. Ἀφ' οὗ δὲ ἐδίδαξε τὰ πληροῦντα τὸν νόμον, τότε ἐξεφώνησε τό, « Ἔσεσθε οὖν ὑμεῖς τέλειοι »· ἐγώ, εἶπεν, ἐποίησα τὸν νόμον τέλειον· ἐὰν δὲ ὑμεῖς φυλάξητε αὐτὸν οὕτω τετελειωμένον, ἔσεσθε τέλειοι τούτου φύλακες, καθὼς καὶ ὁ Πατὴρ ὑμῶν ὁ ἐπουράνιος ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ ἐστιν ὑπερτέλειος.

Ὅσοι δὲ λέγουσιν, ὅτι ἡ ἐκπλήρωσις τούτων τῶν προσταγμάτων ἐστὶν ἔργον ἀδύνατον, ἐκεῖνοι βλασφημοῦσι κατὰ τοῦ Θεοῦ, ἴσως μὴ γνωρίζοντες τῆς τοιαύτης βλασφημίας τὸ βάρος· διότι ἐκ τῆς τοιαύτης ὑποθέσεως ἀκολουθεῖ ἐξ ἀνάγκης τό, ὅτι ὁ Θεὸς ἢ ἀμαθής ἐστι, καθότι οὐκ ἐγνώρισεν ὅτι προστάττει τὰ ἀδύνατα, ἢ ὅτι ἐπίβουλός ἐστι καὶ ἄδικος, καθότι ἐνομοθέτησε τὰ ἀδύνατα, ἵνα καταδικάσῃ τοὺς μὴ δυνηθέντας αὐτὰ ἐκπληρῶσαι· ταῦτα δὲ καὶ τὰ δύο ἐπίσης βλασφημίαι εἰσί, πάσας τὰς ἄλλας βλασφημίας ὑπερβαίνουσαι· διότι ὁ Θεὸς οὐδὲ ἀμαθής ἐστιν, ἤγουν ἀτελής, οὐδὲ ἐπίβουλος, ἤγουν ἐμπαθής, ἀλλ' ἔστι πάνσοφος, πανυπερτέλειος, πανυπεράγαθος, δικαιότατος, ἀπαθέστατος.

Τί δὲ συμπεραίνομεν ἐκ τούτων πάντων; συμπεραίνομεν πρῶτον, ὅτι οὗτος ὁ λόγος τοῦ Παύλου, « Ἀπεκδυσάμενοι τὸν » παλαιὸν ἄνθρωπον σὺν ταῖς πράξεσιν » αὐτοῦ, καὶ ἐνδυσάμενοι τὸν νέον, τὸν ἀ» νακαινούμενον εἰς ἐπίγνωσιν κατ' εἰκόνα » τοῦ κτίσαντος » (5), καὶ ἡ ἀνωτέρω ἐκτεθεῖσα διδασκαλία τοῦ Ἰησοῦ Χριστοῦ εἰσι κατὰ πάντα σύμφωνα· Καθὼς δὲ ἡ δεσποτικὴ διδασκαλία οὐκ ἔστι συμβουλή, ἀλλὰ νομοθεσία, οὕτω καὶ ὁ ἀποςολικὸς λόγος οὐκ ἔστι συμβουλευτικός, ἀλλὰ προστακτικός· δεύτερον, ὅτι, καθὼς ἡ ἐκπλήρωσις ἐκείνης, οὕτω καὶ ἡ ἐκπλήρωσις τούτου οὐκ ἔστιν ἔργον ἀδύνατον· τρίτον, ὅτι ἐπίσης ὑπόδικοι κολάσεως γίνονται καὶ οἱ ἐκείνης παρακούοντες, καὶ οἱ τοῦτον μὴ φυλάσσοντες.

Ἀλλὰ κἂν μὴ ἀδύνατον λέγῃς τὸ ἔργον τῆς τούτων ἐκπληρώσεως, ἔστιν ὅμως πολλὰ δύσκολον διὰ τὰς τῆς σαρκός ἡμῶν

(1) Ματθ. 19, 48. (2) Ἑβρ. 7, 19. (3) Ματθ. 5, 17. (4) Αὐτ. 21, 22. (5) Κολ. 3, 9, 10.



ἀσθενείας. Ἀληθῶς δύσκολον· διὰ τοῦτο ὁ Θεός, ὅστις γνωρίζει τοῦ ἔργου τὴν δυσκολίαν, ὑπεσχέθη συγκαθῆσαι ἐν τῷ θρόνῳ αὐτοῦ τὸν ταῦτα νικήσαντα· « Ὁ νικῶν, » λέγει, δώσω αὐτῷ καθίσαι μετ' ἐμοῦ ἐν τῷ » θρόνῳ μου, ὡς κἀγὼ ἐνίκησα, καὶ ἐκάθι» σα μετὰ τοῦ πατρός μου ἐν τῷ θρόνῳ » αὐτοῦ » (1). Μεγάλη ἡ δυσκολία, μεγάλα καὶ τὰ ὑπὲρ τῶν νικώντων αὐτὴν βραβεῖα. « Ὁ νικῶν κληρονομήσει πάντα, καὶ » ἔσομαι αὐτῷ Θεός, καὶ αὐτὸς ἔσται μοι » υἱός » (2). Πάντων τῶν μεγάλων πραγμάτων τὸ κατόρθωμα ἔχει μεγάλην δυσκολίαν· ποῖον πρᾶγμα πολύτιμον ἀπολαμβάνεις μετ' εὐκολίας; ποῖον δὲ πρᾶγμα ἢ πολυτιμότερον, ἢ ὑπέρτερον τῆς ἐπουρανίου βασιλείας; Ἔστω, δύσκολόν ἐστι τὸ ἔργον, ἵνα κατορθώσῃς αὐτό, ἔχεις χρείαν ἀνδρείας μεγάλης, ἐπιμελείας πολλῆς, ἐγκρατείας συνεχοῦς, προσοχῆς ἀκοιμήτου, ἀκαταπαύστου ἀγῶνος, ἀλλὰ ταῦτά εἰσι πρόσκαιρα· ταῦτα μετ' ὀλίγον καιρὸν παρέρχονται, ἡ δὲ ὑπὲρ τούτων ἀμοιβή ἐστιν ἀτελεύτητος. Τίς δέ ἐστιν ἐκεῖνος ὁ ἄνθρωπος, ὅστις οὐχ ὑπομένει παντοίους κόπους μίαν ὥραν, ἵνα ζήσῃ ἔπειτα πανευτυχῶς τὸν ὑπόλοιπον τῆς ζωῆς αὐτοῦ χρόνον; καὶ ὅμως οὐχὶ μία ὥρα, ἀλλ' ὅλος ὁ καιρὸς τῆς ζωῆς ἡμῶν, κἂν χίλια ἔτη ζήσωμεν κοπιάζοντες, ὡς οὐδέν ἐστι συγκρινόμενος πρὸς τὸν καιρὸν τῆς αἰωνίου διαμονῆς τῆς τοῦ Θεοῦ βασιλείας, τῆς ἡτοιμασμένης διὰ τοὺς ὑπομείναντας τὸν ὑπὲρ αὐτῆς ἀγῶνα. Ἔστω, τὸ ἔργον ἐστὶ δύσκολον, ἀλλ' ἔστιν ἀναγκαιότατον. διότι, ἐὰν μὴ φυλάξωμεν ταῦτα τὰ θεῖα προστάγματα, μένομεν ἔξω τῆς θείας βασιλείας· « Λέγω γὰρ ὑμῖν, εἶπεν ὁ » Κύριος, ὅτι ἐὰν μὴ περισσεύσῃ ἡ δικαιο» σύνη ὑμῶν πλεῖον τῶν γραμματέων καὶ » Φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βα» σιλείαν τῶν οὐρανῶν ». Ἡ ἀνάγκη ἐγείρει τὴν προθυμίαν, ἡ δὲ προθυμία ποιεῖ καὶ τὰ πολλὰ δύσκολα, εὔκολα.

Ἀλλ' ἐὰν στοχασθῇς τὸ πρᾶγμα καθὼς πρέπει, βλέπεις, ὅτι τὸ ἔργον αὐτὸ καθ' ἑαυτὸ οὐκ ἔστι τόσον δύσκολον, ὅσον φαντάζεσαι. Οἱ νόμοι τοῦ διεφθαρμένου κόσμου, καὶ ἡ κακὴ τῶν γονέων ἀνατροφή, καὶ ἡ διεστραμμένη συνήθεια, καὶ ἡ ὀλέθριος φιλαυτία ποιοῦσιν αὐτὸ δύσκολον· ἔκβαλε ἔξω τὴν φθοροποιὸν τοῦ κόσμου νομοθεσίαν, δίωξον τὰς προκαταλήψεις τῆς ἀνατροφῆς σου, ἀπόῤῥιψον τὴν δυναστείαν τῆς πονηρᾶς συνηθείας σου, νίκησον τὴν τυραννοῦσάν σε φιλαυτίαν, καὶ τότε βλέπεις, ὅτι οὐκ ἔστι πολλὰ δύσκολον. Ἐὰν τὸ ἔργον αὐτὸ καθ' ἑαυτὸ ἔχῃ τόσην δυσκολίαν ὅσην ἡμεῖς φανταζόμεθα, πῶς τόσα ἄμετρα πλήθη ἐνίκησαν δυσκολίαν τόσον μεγάλην; τὰ μὲν εὔκολα, πολλοί, τὰ δὲ πολλὰ δύσκολα, πολλὰ ὀλίγοι κατορθοῦσιν. Ἡμεῖς δὲ βλέπομεν οὐ μόνον πλῆθος ἀναρίθμητον, ἀλλὰ καὶ πάσης ἡλικίας καὶ τάξεως καὶ καταστάσεως ἀνθρώπους, ταῦτα ἐκτελέσαντας· ἄνδρας δηλονότι καὶ γυναῖκας, νέους, ῥωμαλέους καὶ ἀνδρείους, καὶ γέροντας, ἀσθενεῖς καὶ κεκμηκότας, πλουσίους καὶ πένητας, δεσπότας καὶ δούλους, ἄρχοντας καὶ ἀρχομένους, βασιλεῖς καὶ ὑπηκόους, ἀνθρώπους παντὸς γένους, πάσης γλώσσης, πάσης φυλῆς, παντὸς κλίματος, πάσης γνώμης καὶ ἀνατροφῆς καὶ ἤθους. Θαυμαστὸν δέ ἐστι τό, ὅτι ἄνθρωποι, οἵτινες πολὺν χρόνον ἔζησαν, πράττοντες ἔργα ἐναν-

(1) Ἀποκ. 3, 21. (2) Αὐτ. 21, 7.

τία τῆς νομοθεσίας τοῦ Ἰησοῦ Χριστοῦ, μετ' εὐκολίας ἐτέλεσαν τὰ θεῖα αὐτοῦ προστάγματα.

Ὁ Ζακχαῖος ἦν ἀρχιτελώνης, καὶ αὐτὸς ἦν πλούσιος (1)· ἐγκαταλείπει δὲ τὴν συνήθη αὐτῷ ἀδικίαν καὶ ἁρπαγήν, διαμερίζει τὰ ἡμίση τῶν ὑπαρχόντων αὐτοῦ τοῖς πτωχοῖς, καὶ ἀποδίδωσιν εἰς τοὺς ὑπ' αὐτοῦ ἀδικηθέντας τὸ τετραπλοῦν· ὁ Ματθαῖος ἐγκαταλείπει τὸ τελώνιον, ἐν ᾧ ἐκάθητο, ἅμα δὲ καὶ τὴν συνήθη αὐτῷ πλεονεξίαν, καὶ τρέχει ὀπίσω τοῦ Ἰησοῦ Χριστοῦ, φυλάττων πάντα τὰ θεῖα αὐτοῦ προστάγματα, καὶ κηρύττων εἰς πᾶσαν τὴν οἰκουμένην τοῦ Θεοῦ τὸ Εὐαγγέλιον. Ἡ Σαμαρεῖτις μεταβάλλει τὴν πολυχρόνιον ἀσέλγειαν εἰς τελείαν σωφροσύνην, καὶ γίνεται Ἀπόςολος καὶ κήρυξ τῆς εὐαγγελικῆς ἀληθείας· εἰδωλολάτραι ἄμετροι, εἰς πᾶν εἶδος ἡδονῆς βεβυθισμένοι, καὶ εἰς πᾶσαν ἀσέλγειαν καὶ ἀδικίαν καὶ ἁμαρτίαν ἔκδοτοι, ἀπεστράφησαν πᾶσαν τὴν συνήθη καὶ πατροπαράδοτον κακίαν, καὶ ἐδέχθησαν καὶ διεφύλαξαν τὰ νομοθετήματα τοῦ Ἰησοῦ Χριστοῦ· μάρτυρες τούτου οἱ Ῥωμαῖοι, οἱ Κορίνθιοι, οἱ Γαλάται, οἱ Ἐφέσιοι, οἱ Φιλιππήσιοι, οἱ Κολοσσαεῖς, καὶ τὰ λοιπὰ πολυάριθμα ἔθνη, ὅσα εἰς τὸν Χριστὸν ἐπίστευσαν· τὸ δὲ ἔτι θαυμασιώτερον τοῦτό ἐστι· καὶ αὐτοὶ οἱ νομίζοντες πλάνον τὸν Ἰησοῦν Χριστόν, καὶ ἀπάτην τὴν διδασκαλίαν αὐτοῦ, διώκοντες δὲ καθ' ὑπερβολὴν τοὺς πιστούς, καὶ παντὶ τρόπῳ ἀγωνιζόμενοι ἐξαλεῖψαι οὐ μόνον τὴν νομοθεσίαν, ἀλλὰ καὶ τὸ ὄνομα τοῦ Ἰησοῦ, Χριστοῦ, αὐτοὶ ἐξήλειψαν τὰς τῆς ἀνατροφῆς αὐτῶν προκαταλήψεις, καὶ τὰς δυνάμεις τῆς παλαιᾶς αὐτῶν συνηθείας, ἔσβεσαν δὲ παντελῶς τὸ κατὰ τοῦ Χριστοῦ μῖσος, καὶ τὴν κατὰ τῶν πιστευόντων εἰς αὐτὸν ὀργὴν καὶ τὸν θυμόν, καὶ μετὰ τοσαύτης ἀκριβείας ἐφύλαξαν καὶ τὰ προστάγματα καὶ τὰς συμβουλὰς τοῦ Ἰησοῦ Χριστοῦ, ὥστε ἀνέβησαν εἰς ὕψος ἀρετῆς, ἐκπλῆττον πᾶσαν ἀνθρωπίνην διάνοιαν· μάρτυς ἐπίσημος τῶν λεγομένων ὁ Παῦλος, ὁ πρότερον διώκτης ἄσπονδος, ἔπειτα τῶν κηρύκων τῆς πίστεως κορυφαῖος, καὶ τῶν ἐργαζομένων τὰ μεγάλα τῆς ἀρετῆς κατορθώματα ὑπέρτερος· ὅθεν εὐλογοφανῶς περὶ αὐτοῦ εἶπεν ὁ τούτου ἐγκωμιαστής· « Τί » ποτέ ἐςιν ἄνθρωπος, καὶ ὅση τῆς φύσεως » τῆς ἡμετέρας ἡ εὐγένεια, καὶ ὅσης ἐστὶ » δεκτικὸν ἀρετῆς τουτὶ τὸ ζῶον, ἔδειξε μά» λιστα πάντων ἀνθρώπων ὁ Παῦλος » (2). Ἐὰν τὰ προστάγματα τοῦ Ἰησοῦ Χριστοῦ ἦσαν τόσον δύσκολα, ὅσον ἡμεῖς νομίζομεν, πῶς τόσον πλῆθος ἀνθρώπων, ὅσον ἐστὶ τὸ πλῆθος τῶν ἁγίων ἀνθρώπων, οἵτινές εἰσιν ὁμοφυεῖς καὶ ὁμοιοπαθεῖς ἡμῖν, ἐφύλαξαν αὐτὰ μετὰ τοσαύτης ἀκριβείας;

Ἡμεῖς προβάλλομεν τῆς σαρκὸς τὰ ἀσθενήματα, ὡς ἐμπόδια τῆς τῶν θείων νόμων ἐκπληρώσεως· ἀλλ' ὁ ἀψευδέστατος Θεὸς εἶπεν, ὅτι ἀρκεῖ πρὸς ἐνίσχυσιν τῆς ἀσθενείας ἡμῶν ἡ θεία αὐτοῦ χάρις, ἥτις παῤῥησιάζει τὴν τελειότητα τῆς ἰδίας δυνάμεως ἐν αὐτῇ τῇ ἀδυναμίᾳ τῆς φύσεως· « Ἀρκεῖ σοι, εἶπε πρὸς τὸν Ἀπόστολον αὐ» τοῦ, ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου » ἐν ἀσθενείᾳ τελειοῦται » (3). Ὅσον ἀσθενεστέρα ἐστὶν ἡ καλοπροαίρετος τοῦ ἀνθρώπου φύσις, τοσοῦτον περισσότερον προστίθεται τὸ μέτρον τῆς χάριτος, καὶ ἐπιλάμπει τῆς δυνάμεως αὐτῆς ἡ τελειότης·

(1) Λουκ. 19, 2. (2) Χρυσ. λόγ. ϐ'. εἰς τὸν Παῦλον. (3) Β'. Κορ. 12, 9.



τοῦτο διὰ πείρας γνωρίσας ὁ Παῦλος, μετὰ πολλῆς ἐκαυχᾶτο τῆς ἡδονῆς, ὁρῶν τὰς ἀσθενείας αὐτοῦ, καὶ πεπεισμένος ὤν, ὅτι ἐνδυναμοῖ αὐτὸν ἡ ἐπ' αὐτὸν ἐπερχομένη τοῦ Χριστοῦ δύναμις· « Ἥδιστα οὖν, μᾶλλον, » ἔλεγε, καυχήσομαι ἐν ταῖς ἀσθενείαις » μου, ἵνα ἐπισκηνώσῃ ἐπ' ἐμὲ ἡ δύναμις » τοῦ Χριστοῦ » (1).

Διώξατε λοιπόν, ὦ ἄνθρωποι, ἐκ τοῦ νοός ὑμῶν τοὺς κατὰ τῆς νομοθεσίας τοῦ Ἰησοῦ Χριςοῦ πονηροτάτους διαλογισμούς, καὶ ἐμφράξατε τὸ στόμα, ἵνα μὴ λαλῇ τὰ κατὰ τοῦ Θεοῦ βλάσφημα λόγια. Χρηστός ἐστι καὶ οὐχὶ σκληρός, ἐλαφρός ἐστι καὶ οὐχὶ βαρύς, τοῦ Ἰησοῦ Χριστοῦ ὁ νόμος· ἄρατε τὸν ζυγὸν αὐτοῦ ἐφ ὑμᾶς, καὶ μάθετε ἀπ' αὐτοῦ, ὅτι πρᾷός ἐστι καὶ ταπεινὸς τῇ καρδίᾳ· τοῦτο δὲ πράξαντες, εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν· « Ὁ γὰρ ζυγός » μου, εἶπεν αὐτός, χρηστός, καὶ τὸ φορ» τίον μου ἐλαφρόν ἐστιν » (2). Ἐὰν δὲ ἀθετήσητέ ποτε, ὃ μὴ γένοιτο, ἓν τῶν τοῦ Χριστοῦ προσταγμάτων, μὴ λέγητε, ὅτι οὐκ ἐποιήσατε ἁμαρτίαν, ἐπειδὴ οὐχ ὑμεῖς, ἀλλ' οἱ ἐρημῖται χρεωστοῦσι τὴν τούτων διατήρησιν· μὴ νομίζητε, ὅτι ἡ τοιαύτη παράβασίς ἐστι μικροτάτη καὶ συγγνωστὴ ἁμαρτία, ἐπειδὴ ἡ τούτων παρατήρησις οὐκ ἔστι νόμος, ἀλλὰ συμβουλή· μὴ αἰτιάζητε τὴν δυσκολίαν τῆς ἐκπληρώσεως τῶν προσταγμάτων, ἀλλὰ τῆς προαιρέσεως ὑμῶν τὴν κακίαν· μὴ ἐν ὑπερηφανείᾳ ἐπανίςασθε κατὰ τοῦ πλάστου ὑμῶν, λέγοντες, ὅτι ἐνομοθέτησε τὰ ἀδύνατα, ἀλλ' ἐν ταπεινοφροσύνῃ καὶ ἀληθινῇ μετανοίᾳ τύπτοντες τὸ στῆθος, ὡς ὁ Τελώνης, κράζετε· « Ὁ » Θεός, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ » (3).

Ἄνθρωποι, ὅσοι πιστεύετε εἰς τὸν Ἰησοῦν Χριστόν, τὸν Υἱὸν τοῦ Θεοῦ τοῦ ζῶντος, λάβετε κατὰ νοῦν ταῦτα τὰ ἀποςολικὰ καὶ ἀληθινὰ τοῦ Παύλου λόγια· « Ὅταν ὁ » Χριστὸς φανερωθῇ ἡ ζωὴ ὑμῶν, τότε καὶ » ὑμεῖς σὺν αὐτῷ φανερωθήσεσθε ἐν δό» ξῃ » (4). Ὅταν ταῦτα συλλογίζωμαι, τότε οὐ μόνον φεύγει πᾶσα προφασιολογία ἐκ τῆς διανοίας μου καὶ ἐκ τοῦ στόματός μου, ἀλλὰ καὶ φόβος περιλαμβάνει τὴν ψυχήν μου καὶ τὴν καρδίαν μου. Ἔρχεται οὖν ἡμέρα, ὦ Ἰησοῦ μου, ἐν ᾗ μέλλεις φανερωθῆναι ἐνώπιόν μου· τότε δὲ ἐγὼ βλέπω, ὅσα νῦν περὶ σοῦ πιστεύω· βλέπω τότε τὰ πάθη σου, ὅσα ὑπέμεινας διὰ τὰς ἁμαρτίας μου· βλέπω τὸν σταυρόν, εἰς ὃν δι' ἐμὲ ἐκρεμάσθης· βλέπω τὴν κεκεντημένην πλευράν σου, ἐξ ἧς ἐξῆλθε τὸ αἷμα καὶ τὸ ὕδωρ διὰ τὴν σωτηρίαν μου· γνωρίζω τότε τὴν ἄπειρον σοφίαν, δι' ἧς κατεσκεύασας τὴν σωτηριώδη νομοθεσίαν σου, καὶ διακρίνω ἐντελῶς, πόσον παράλογοι ἦσαν οἱ κατ' αὐτῆς διαλογισμοί μου, καὶ πόσον ἐπλανήθην, νομίζων πολλὰ δύσκολα τὰ θεῖά σου προστάγματα, καὶ πόσον σε παρώργισα διὰ τῆς τούτων παραβάσεως. Ἀλλ' οὐ μόνον αὐτὸς μέλλεις φανερωθῆναι ἐνώπιον πάντων τῶν ἀπ' αἰῶνος ἀνθρώπων, ἀλλὰ καὶ ἐγὼ φανερωθήσομαι ἐνώπιόν σου καὶ ἐνώπιον πάσης τῆς οἰκουμένης· γυμνὰ δὲ τότε καὶ τετραχηλισμένα φανερωθήσονται οὐ μόνον τὰ ἔργα, ἀλλὰ καὶ τὰ λόγια, καὶ αὐταὶ αἱ ἀπόκρυφοι τοῦ νοός μου ἐνθυμήσεις, τότε τὰ ἐφευρέματα τοῦ διεφθαρμένου νοός μου φαίνονται ἀνακεκαλυμμένα παραλογήματα, καὶ αἱ προφάσεις μου λόγοι πονηρίας· τότε παῤῥησιάζεται ὅλη ἡ ἀκαθαρσία τῆς ψυ-

(1) Β'. Κορ. 12, 19. (2) Ματθ 11, 29. 30. (3) Λουκ. 18, 13. (4) Κολ. 3. 4.

χῆς, ὅλος ὁ βόρβορος τῆς καρδίας, ὅλα τῶν ἁμαρτιῶν μου τὰ τραύματα. Ἀδελφοί μου συναμαρτωλοί, οὐαὶ ἡμῖν τότε· διότι τότε ἀκούομεν καὶ τὴν φοβερὰν καὶ δικαιοτάτην ἀπόφασιν· « Πορεύεσθε ἀπ᾽ ἐμοῦ »· ἀλλὰ ποῦ; « Εἰς τὸ πῦρ τὸ αἰώνιον »· μετὰ τίνων; « Τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ» (1). Ὦ Κύριε, Κύριε τοῦ ἐλέους, ῥῦσαι τὸ πλάσμα σου ἀπὸ τῆς τοιαύτης καταδίκης. Ἀδελφοί, μνημονεύετε διὰ παντὸς τῆς ἡμέρας ἐκείνης, μνημονεύετε, ὅτι, « Ὅταν ὁ Χριστὸς φανερωθῇ, ἡ ζωὴ ἡμῶν, τότε καὶ ὑμεῖς σὺν αὐτῷ φανερωθήσεσθε ἐν δόξῃ »· διότι ἡ τούτων μνήμη προθυμοποιεῖ πρὸς τὴν ἐργασίαν τῶν τοῦ Κυρίου προσταγμάτων.

(1) Ματθ. 25, 41.

# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΗΝ ΠΡΟΣ

## ΚΟΛΟΣΣΑΕΙΣ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗι Α΄. ΚΥΡΙΑΚΗι.

ΞΕΔΥΣΕΝ ἡμᾶς ὁ τοῦ Θεοῦ Ἀπόστολος «Τὸν παλαιὸν ἄνθρωπον σὺν ταῖς πράξεσιν αὐτοῦ » διὰ τῆς κατὰ τὴν παρελθοῦσαν κυριακὴν ἀναγνωσθείσης διδασκαλίας, ἐνέδυσε δὲ ἡμᾶς « Τὸν νέον, τὸν ἀνακαινούμενον εἰς ἐπίγνωσιν κατ᾽ εἰκόνα τοῦ κτίσαντος » διὰ τῆς σήμερον ἀνακηρυχθείσης. Καθὼς δὲ τότε ἐδίδαξε, τίς ἐστιν ὁ παλαιὸς ἄνθρωπος, φανερώσας τὰ συγκροτοῦντα αὐτὸν ἁμαρτήματα, οὕτω σήμερον ἐκήρυξε, τίς ἐστιν ὁ νέος, δηλοποιήσας τὰς ἀρετάς, δι᾽ ὧν αὐτὸς μορφοῦται καὶ συνίσταται. Τοιουτοτρόπως δὲ περιγράφει ὁ παμμακάριστος τῶν ἁγίων ἀρετῶν τὸν κατάλογον, καὶ τοιουτοτρόπως ἐμφανίζει τοὺς ἐνδεδυμένους τὸν νέον ἄνθρωπον περιβεβλημένους, πεποικιλμένους ἐν ἱματισμῷ διαχρύσῳ, ὥστε εἰς πᾶσαν ψυχὴν διεγείρει τὴν ἐπιθυμίαν τοῦ τοιούτου ἐπουρανίου ἐνδύματος· ἐπαινῶν προτρέπει, προτρέπων δὲ πείθει, πείθων δὲ ἐφέλκει εἰς τὴν τῶν ἀρετῶν ἐκπλήρωσιν. Δηλοποιεῖ, ποία ἀρετή, ἔχουσα τῶν ἄλλων τὰ πρωτεῖα, ἀναβιβάζει εἰς τὴν τελειότητα· ποία ἀνάγκη ἐστίν, ἵνα κάθηται ὡς κριτὴς καὶ ἀγωνοθέτης, ποίας τὸ πλήρωμα ἔχον ἐν ἑαυτῷ καὶ τὴν σοφίαν, πρέπον ἐστίν, ἵνα κατοικῇ διὰ παντὸς ἐν ταῖς καρδίαις ἡμῶν, καὶ κατὰ τίνα τρόπον πρέπον ἐστίν, ἵνα διδάσκωμεν, καὶ νουθετῶμεν ἑαυτούς· μακάριος ἐκεῖνος ὁ ἄνθρωπος, ὅστις ἐντυπώσῃ ἐν τῇ διανοίᾳ αὐτοῦ τοῦτο τὸ ἀποστολικὸν μάθημα, καὶ σπεύσῃ μετὰ πασῶν τῶν δυνάμεων αὐτοῦ ἐκπληρῶσαι, ὅσα αὐτὸ διδάσκει. Ἐπειδὴ δὲ ἐκεῖνα τὰ μαθήματα ἐντυποῦνται εὐκόλως εἰς τὸν νοῦν ἡμῶν, ὅσα



ἐντελῶς καταλαμβάνομεν, ἡμεῖς μὲν σπουδάσομεν σαφηνίσαι αὐτά, ὑμεῖς δὲ οἱ ἀκούοντες φροντίσατε οὐ μόνον ἐντυπῶσαι αὐτὰ εἰς τὸν νοῦν ὑμῶν, ἀλλὰ καὶ ἐκπληρῶσαι, ὅσα αὐτὰ περιέχουσιν, ἵνα τῆς δόξης καὶ μακαριότητος ἀξιωθῆτε, τῆς ὑπὸ Θεοῦ ἡτοιμασμένης εἰς τοὺς τούτων φύλακας.

*Ἀδελφοί, ἐνδύσασθε ὡς ἐκλεκτοὶ τοῦ Θεοῦ ἅγιοι καὶ ἠγαπημένοι, σπλάγχνα οἰκτιρμῶν, χρηστότητα, ταπεινοφροσύνην, πρᾳότητα, μακροθυμίαν* (1).

Μετ᾽ ἐγκωμίων νουθετεῖ ὁ πανεύφημος. Ἀλλ᾽ ἐὰν οἱ Κολοσσαεῖς ἦσαν ἐκλεκτοὶ καὶ ἅγιοι καὶ ἠγαπημένοι τοῦ Θεοῦ, διὰ τί παραγγέλλει εἰς αὐτούς, ἵνα γίνωνται εὔσπλαγχνοι, καὶ ἀγαθοί, καὶ ταπεινόφρονες, καὶ πρᾶοι, καὶ μακρόθυμοι; ὅστις οὐκ ἔχει ταύτας τὰς ἀρετάς, ἐκεῖνος οὐδὲ ἐκλεκτός ἐστιν, οὐδὲ ἅγιος, οὐδὲ Θεοῦ φίλος· ἐπειδὴ οὖν αὐτοὶ ἦσαν τοιοῦτοι, ὡς αὐτὸς λέγει, οὐδεμίαν χρείαν εἶχον τῆς τοιαύτης νουθεσίας. Τοιοῦτοι μὲν ἦσαν αὐτοὶ ἐκ μέρους τοῦ Θεοῦ· διότι ὁ Θεὸς ἐξελέξατο αὐτοὺς κατὰ τό, « Ἐγὼ ἐξελεξάμην ὑμᾶς ἐκ τοῦ κόσμου » (2). Ὁ Θεὸς ἡγίασεν αὐτοὺς διὰ τὴν πρεσβείαν τοῦ μονογενοῦς Υἱοῦ αὐτοῦ, ὅστις ἐδεήθη λέγων· « Ἁγίασον αὐτοὺς ἐν τῇ ἀληθείᾳ σου (3). Ὑπὲρ αὐτῶν ἐγὼ ἁγιάζω ἐμαυτόν, ἵνα αὐτοὶ ὦσιν ἡγιασμένοι ἐν ἀληθείᾳ (4). Ὁ Θεὸς ἐποίησεν αὐτοὺς φίλους αὐτοῦ κατὰ τό, « Ὑμεῖς φίλοι μου ἐστέ ». Ἦσαν αὐτοὶ καὶ ἐκλεκτοί, καὶ ἅγιοι, καὶ ἠγαπημένοι τοῦ Θεοῦ, ἐκ μέρους αὐτοῦ τοιοῦτοι γεγονότες διὰ τῆς χάριτος τοῦ ἁγίου βαπτίσματος· ἔπρεπεν ὅμως, ἵνα καὶ ἐκ μέρους αὐτῶν διὰ τῶν θεαρέστων ἔργων τοιοῦτοι καταςαθῶσι· παραγγέλλει οὖν εἰς αὐτοὺς ὁ θεῖος Ἀπόςολος, δι᾽ αὐτῶν δὲ καὶ εἰς πάντας ἡμᾶς τοὺς εἰς Χριςὸν πιστεύοντας, ἵνα, καθὼς ἐκ μέρους τοῦ Θεοῦ ἐσμεν ἐκλεκτοὶ καὶ ἅγιοι καὶ ἠγαπημένοι, οὕτω καὶ διὰ τῶν ἀγαθῶν ἡμῶν ἔργων φανῶμεν ἄξιοι τῆς ἐκλογῆς καὶ τῆς ἁγιωσύνης καὶ ἀγάπης, ἣν ἔδειξεν εἰς ἡμᾶς ὁ Θεός· καὶ σημείωσαι μέν, πόσον ἁρμόζει εἰς τὸν προκείμενον σκοπὸν τοῦ Ἀποστόλου ἡ μεταφορὰ τοῦ ῥήματος, « Ἐνδύσασθε »· καθὼς τὰ λαμπρὰ ἐνδύματα στολίζουσι τὸ σῶμα, οὕτω καὶ ἡ λαμπρότης τῆς ἀρετῆς καλλωπίζει τὸ πνεῦμα· καὶ καθὼς τὸ σῶμα, ὅταν γυμνωθῇ τῶν ἐνδυμάτων, φαίνεται ἀηδὲς καὶ ἄσχημον· οὕτω καὶ ἡ ψυχή, ὅταν στερηθῇ τῶν ἀρετῶν, γίνεται δυσειδὴς καὶ ἄμορφος· τὴν αὐτὴν δὲ μεταφορὰν μετῆλθε καὶ ὁ προφητάναξ Δαβίδ, λαλῶν περὶ τοῦ Κυρίου· « Ὁ Κύριος ἐβασίλευσεν, εἶπεν, εὐπρέπειαν ἐνεδύσατο, ἐνεδύσατο ὁ Κύριος δύναμιν, καὶ περιεζώσατο» (5). Μετὰ δὲ τὴν τῶν προειρημένων ἀρετῶν παραγγελίαν παραγγέλλει, ἵνα καὶ ἄλλας δύο φυλάξωσιν· αὗται δὲ ἐξ αὐτῶν τῶν εἰρημένων προέρχονται καὶ γεννῶνται· λέγει οὖν·

*Ἀνεχόμενοι ἀλλήλων, καὶ χαριζόμενοι ἑαυτοῖς, ἐάν τις πρός τινα ἔχῃ μομφήν· καθὼς καὶ ὁ Χριστὸς ἐχαρίσατο ὑμῖν, οὕτω καὶ ὑμεῖς* (6).

Τὸ μέν, « Χαριζόμενοι » σημαίνει τό, «συγχωροῦντες», καὶ ἔςιν ὅμοιον τῷ «χα-

(1) Κολοσ. 3, 12. (2) Ἰωάν. 13, 19. (3) Αὐτ. 17, 17, 19. (4) Αὐτ. 15, 14. (5) Ψαλμ. 92, 1.
(6) Κολ. 3, 13.

» ρίσασθαι μοι τὴν ἀδικίαν ταύτην» (1)· τό δέ, ἑαυτοῖς, ἐξέλαβεν, ἀντὶ τοῦ, ἀλλήλοις, καθὼς καὶ οἱ Εὐαγγελισταὶ τό, « λέγοντες » πρὸς ἑαυτούς» (2)· καὶ τό, « προϋπῆρχον » γὰρ ἐν ἔχθρᾳ ὄντες πρὸς ἑαυτούς » (3). Ὅθεν διὰ μὲν τοῦ «ἀνεχόμενοι ἀλλήλων», τὴν ἀνοχήν, ἤγουν τὴν καρτερίαν καὶ ὑπομονὴν παραγγέλλει· διὰ δὲ τοῦ «χαριζόμε» νοι ἑαυτοῖς «, τὴν μεταξὺ ἀλλήλων συγχώρησιν τῶν σφαλμάτων· « ἐάν τις, λέγει, » πρός τινα ἔχῃ μορφήν ». Ἐὰν ἔχῃς αἰτίαν, ἵνα κατηγορήσῃς τὸν πλησίον σου, καθότι ἔσφαλε κατὰ σοῦ, ὑπόφερε, καὶ συγχώρησον τὸ παράπτωμα αὐτοῦ· σημείωσαι δέ, ὅτι μόνος ὁ εὔσπλαγχνος καὶ ἀγαθός, καὶ ὁ ταπεινόφρων καὶ πρᾶος, καὶ ὁ μακρόθυμος ἔχει ταύτας τὰς δύο μεγάλας ἀρετάς, ἤγουν τὴν ἀνοχὴν καὶ τῆς συγχωρήσεως τὴν διάθεσιν· ὁ δὲ ἄσπλαγχνος καὶ πονηρός, καὶ ὑπερήφανος καὶ ὀργίλος, καὶ ὀξύθυμος, οὐδὲ ὑποφέρει, οὐδὲ συγχωρεῖ τῶν ἄλλων τὰ σφάλματα· διὰ τοῦτο δὲ πρῶτον παρήγγειλε τὰ σπλάγχνα τῶν οἰκτιρμῶν καὶ τὴν χρηστότητα καὶ τὴν ταπεινοφροσύνην καὶ τὴν πρᾳότητα, καὶ μακροθυμίαν, ἔπειτα τὴν ἀνοχὴν καὶ τὴν συγχώρησιν (4)· ἵνα δὲ πείσῃ πρὸς τὴν κατόρθωσιν τούτων τῶν δύο ἀρετῶν, προβάλλει τοῦ Ἰησοῦ Χριστοῦ τὸ παράδειγμα· « Καθὼς καὶ ὁ Χρι» στὸς ἐχαρίσατο ὑμῖν, οὕτω καὶ ὑμεῖς »· καθώς, λέγει, ὁ Ἰησοῦς Χριστὸς ἀνεχόμενος, ὑπέφερε τὰς παραλόγους συκοφαντίας καὶ βλασφημίας τῶν Ἰουδαίων, καὶ συνεχώρησε τὰς ἁμαρτίας τῶν σταυρωσάντων αὐτόν, οὕτω καὶ ὑμεῖς ὑποφέρετε, καὶ συγχωρεῖτε τὰ ἀλλήλων σφάλματα. Ἄκουσον δέ, εἰς ποίαν ἀρετὴν δίδωσι τὰ πρωτεῖα, διδάσκων, ὅτι αὐτή ἐστιν ὁ σύνδεσμος τῆς τελειότητος.

*Ἐπὶ πᾶσι δὲ τούτοις τὴν ἀγάπην, ἥτις ἐςὶ σύνδεσμος τῆς τελειότητος* (5).

Τό, « Ἐπὶ πᾶσι δὲ τούτοις τὴν ἀγά» πην », ἀντὶ τοῦ, πρὸ πασῶν τῶν ἄλλων ἀρετῶν, ἐξόχως καὶ κατ' ἐξαίρετον λόγον βάλλετε εἰς τὴν καρδίαν ὑμῶν τὴν ἀγάπην. Εὐλογοφανῶς δὲ καὶ δικαίως εἶπε τοῦτο, ἐπειδὴ ἡ ἀγάπη ἐστὶν ἡ « πρώτη καὶ με» γάλη ἐντολή » (6)· αὐτή ἐστι τοῦ νόμου τὸ πλήρωμα, καὶ τῆς τοῦ Εὐαγγελίου ἠθικῆς διδασκαλίας τὸ θεμέλιον (7). Διὰ τί δὲ λέγει, ὅτι αὐτή ἐστιν « Ὁ σύνδεσμος τῆς » τελειότητος »; διότι ἡ πνευματικὴ τελειότης οὐδὲν ἄλλο ἐστίν, εἰ μὴ ἡ συνδρομὴ καὶ τὸ πλήρωμα πασῶν τῶν ἀρετῶν· πᾶσαι δηλαδὴ αἱ ἀρεταὶ ὁμοῦ συνελθοῦσαι, συγκροτοῦσι τῆς ψυχῆς τὴν τελειότητα· ἐὰν δὲ ἐρευνήσῃς πᾶσαν ἀρετήν, βλέπεις, ὅτι αὐτὴ βλαστάνει ἢ ἐκ τῆς ἀγάπης τοῦ Θεοῦ, ἢ ἐκ τῆς ἀγάπης τοῦ πλησίον. Οὐ δύνασαι εὑρεῖν ἀρετήν, ἥτις οὐκ ἔχει τὴν ἀρχὴν αὐτῆς ἐκ τῆς ἀγάπης· διότι πᾶν ἔργον, μὴ ἔχον ἀρχὴν καὶ ῥίζαν τὴν ἀγάπην, οὐδέν ἐστιν, ὑπόκρισίς ἐστι καὶ ψεῦδος, κἂν ἀρετὴ φαίνηται (8). Καθὼς οὖν πάντες οἱ κλάδοι ἐκ τοῦ κορμοῦ τοῦ δένδρου βλαστάνοντες, ὑπὸ τοῦ κορμοῦ συνδέονται, οὕτω καὶ πᾶσαι αἱ ἀρεταί, ἐκ τῆς ἀγάπης προερχόμεναι, ἐξ αὐτῆς συνδέονται. Διὰ τοῦτον οὖν τὸν λόγον εἶπεν ὁ Ἀπόστολος, ὅτι ἡ ἀγάπη «Ἐ» στὶ σύνδεσμος τῆς τελειότητος ». Μετὰ δὲ τὴν περὶ τῆς ἀγάπης παραγγελίαν διδάσκει καὶ τὰ περὶ τῆς εἰρήνης, λέγων·

(1) Β'. Κορ. 12, 13. (2) Μάρκ. 10, 26. (3) Λουκ. 23, 12. (4) Κολ. 3, 12. (5) Αὐτ. 3, 14.
(6) Ματθ. 22, 38. (7) Ῥωμ. 13, 10. (8) Α'. Κορ. 13, 3.



*Καὶ ἡ εἰρήνη τοῦ Θεοῦ βραβευέτω ἐν ταῖς καρδίαις ὑμῶν, εἰς ἣν καὶ ἐκλήθητε ἐν ἑνὶ σώματι, καὶ εὐχάριστοι γίνεσθε* (1).

Εἰρηνεύουσι πολλάκις καὶ οἱ κακοὶ ἄνθρωποι, συμφωνοῦντες πρὸς τὴν πρᾶξιν τῶν πονηρῶν ἔργων· ἡ τοιαύτη δὲ εἰρήνη ἐστὶν εἰρήνη κοσμικὴ καὶ βλαβερά· ἡ δὲ εἰρήνη τοῦ Θεοῦ ἐστι πνευματικὴ καὶ σωτήριος· διὰ τοῦτο οὖν εἶπεν, ἡ εἰρήνη τοῦ Θεοῦ, ἵνα ὑποδιαστείλῃ αὐτὴν ἀπὸ τῆς κοσμικῆς καὶ ἐπιβλαβοῦς εἰρήνης· ἀλλ' ὅπου ἡ ἀγάπη, ἐκεῖ ἐστι καὶ ἡ εἰρήνη. Διὰ τί οὖν, ἀφ' οὗ ἐνομοθέτησε, ἵνα ἐνδυθῶμεν τὴν ἀγάπην, παραγγέλλει, ἵνα βραβεύῃ ἐν ταῖς καρδίαις ἡμῶν ἡ εἰρήνη; διότι πολλάκις ἐκ τῆς ἀδιακρίτου ἀγάπης ὁ εἷς ἐγκαλεῖ καὶ μέμφεται τὸν ἕτερον (2)· ἀγαπῶνται πολλάκις δύο ἀδελφοί, ἢ δύο φίλοι· ἀλλ' ἐπειδὴ αἱ τούτων γνῶμαι διαφέρουσιν, οὐ παύουσιν ἐγκαλοῦντες ἀλλήλους, καὶ ἀντιφερόμενοι· ὅθεν οὐκ ἔχουσιν εἰρήνην, κἂν ἀγαπῶνται. Τί δὲ σημαίνει τό, « Βραβευέτω ἐν ταῖς καρδίαις » ὑμῶν; » βραβευταὶ ἐλέγοντο ἐκεῖνοι, οἵτινες εἰς τοὺς ἑλληνικοὺς ἀγῶνας κρίνοντες, τίνες ἦσαν ἄξιοι τῶν βραβείων, διένειμον αὐτά, ὡς ἔπρεπεν. Ἔστησεν οὖν ὁ πάνσοφος Παῦλος ἐν ταῖς καρδίαις ἡμῶν κριτήριον, παραγγείλας, ἵνα κάθηται ἐν αὐτῷ βραβευτὴς ἡ εἰρήνη. Τίνι δὲ τρόπῳ ἡ εἰρήνη κρίνει καὶ βραβεύει; καὶ τίνες εἰσὶν οἱ ἀγωνιζόμενοι καὶ βραβευόμενοι; Ἐάν, παραδείγματος χάριν, ὑβρισθῇς ὑπό τινος, εὐθὺς διεγείρονται δύο ἀγωνισταί, ὁ λογισμὸς τῆς ἐκδικήσεως, καὶ ὁ λογισμὸς τῆς ὑπομονῆς· ὁ μὲν παλαίει, λέγων· ποίησον ἐκδίκησιν κατὰ τοῦ ὑβρίσαντός σε· ὁ δὲ ἀντιπαλαίει, λέγων· ὑπόμεινον καὶ συγχώρησον τὸ σφάλμα· ἀγωνίζονται δὲ ἐπίσης καὶ οἱ δύο, ἵνα νικήσαντες, λάβωσι τὸ βραβεῖον. Ἐὰν οὖν ἡ εἰρήνη τοῦ Θεοῦ κάθηται εἰς τὴν καρδίαν σου ὡς κριτὴς καὶ βραβευτής, κατακρίνει τὸν λογισμὸν τῆς ἐκδικήσεως, καὶ κρίνει ἄξιον τοῦ βραβείου τὸν λογισμὸν τῆς ὑπομονῆς καὶ τῆς συγχωρήσεως, καταδικάζει τὸν ἐκδικητικὸν λογισμόν, καὶ βραβεύει τὸν ὑπομονητικὸν καὶ συγχωρητικόν. Διὰ τί δὲ οὐκ εἶπε, νικάτω ὁ λογισμὸς τῆς εἰρήνης, ἀλλ' εἶπε, « Βρα» βευέτω; » διότι οὐκ ἠθέλησε κατατάξαι εἰς τὴν τάξιν τῶν μαχομένων τὴν θείαν καὶ ἄμαχον εἰρήνην, ἀλλ' ἔδωκεν αὐτῇ ἀξίαν καὶ τιμήν, καταστήσας αὐτὴν κριτὴν καὶ βραβευτὴν μεταξὺ τῶν δύο λογισμῶν, τοῦ ἀγαθοῦ καὶ τοῦ κακοῦ· διὰ περισσοτέραν ἔμφασιν εἶπε τό, « Βραβευέτω », ἵνα οἱ τοῦτο ἀκούοντες καταστήσωσι τὴν εἰρήνην δέσποιναν ἐπὶ τοὺς τῶν καρδιῶν αὐτῶν διαλογισμούς. Προτρέπει δὲ πρὸς τοῦτο καὶ δι' ἄλλου ἐπιχειρήματος, λέγων· « Εἰς ἣν ἐ» κλήθητε ἐν ἑνὶ σώματι », εἰς αὐτήν, λέγει, τὴν εἰρήνην τοῦ Θεοῦ προσεκάλεσεν ὑμᾶς ὁ Ἰησοῦς Χριστός, καταστήσας πάντας ἓν σῶμα. Πῶς διαρκεῖ τὸ σῶμα, ἐὰν μὴ εἰρηνεύωσι τὰ μέλη αὐτοῦ, ἀλλ' ἀντιφέρονται ἀλλήλοις καὶ μάχονται; ὅπου λείπει ἡ εἰρήνη, ἐκεῖ ἀκολουθεῖ χωρισμὸς καὶ διαίρεσις. Ἐπειδὴ οὖν κατηξιώθητε γενέσθαι ἓν μυστικὸν σῶμα, κεφαλὴν ἔχον αὐτὸν τὸν Ἰησοῦν Χριστόν, εἰρηνεύετε, «Καὶ » εὐχάριστοι γίνεσθε», προσφέρετε δηλαδὴ εἰς αὐτὸν καὶ τὴν διὰ λόγων, καὶ τὴν δι' ἔργων εὐχαριστίαν. Ταῦτα δὲ εἰπὼν περὶ

(1) Κολ. 3, 15. (2) Ὅρα Χρυσ. Αὐτ.

τῆς θείας εἰρήνης, μεταβαίνει εἰς ἄλλην ἀρετῆς παραγγελίαν, τὴν περὶ τοῦ λόγου τοῦ Θεοῦ.

Ὁ λόγος τοῦ Χριστοῦ ἐνοικείτω ἐν ὑμῖν πλουσίως, ἐν πάσῃ σοφίᾳ· διδάσκοντες καὶ νουθετοῦντες ἑαυτούς, ψαλμοῖς καὶ ὕμνοις, καὶ ᾠδαῖς πνευματικαῖς, ἐν χάριτι ᾄδοντες ἐν τῇ καρδίᾳ ὑμῶν τῷ Κυρίῳ (1).

Τίς ἐστιν ὁ λόγος τοῦ Χριστοῦ; τὰ λόγιά εἰσι τοῦ ἁγίου Εὐαγγελίου καὶ τῶν θεοφόρων Ἀποστόλων καὶ τῶν θείων προφητῶν. Πῶς δὲ ἐνοικεῖ ἐν ἡμῖν ὁ λόγος τοῦ Θεοῦ ἐν πάσῃ σοφίᾳ; διὰ τῆς ἀκροάσεως καὶ ἀναγνώσεως καὶ μελέτης τῶν Θείων Γραφῶν. Ὅταν ταῦτα συχνῶς τε καὶ ἐπιμελῶς μελετῶμεν, τότε καὶ ἡ μνήμη πληροῦται, καὶ ὁ νοῦς πλουτίζεται, καὶ ἡ καρδία ἐξερεύγεται, καὶ τὸ στόμα ἐκχέει πλούσια τῆς θείας διδασκαλίας τὰ νάματα. Ἐπειδὴ δέ τινες μετὰ ὑπερηφανείας καὶ ἰδιογνωμοσύνης μελετῶντες τὰς Θείας Γραφάς, πίπτουσιν εἰς τῶν αἱρέσεων τὰ βάραθρα, ἄλλοι δὲ ἀμαθῶς καὶ ἀπερισκέπτως αὐτὰς ἀναγινώσκοντες, καὶ μὴ διακρίνοντες τὴν ἐντολὴν ἀπὸ τῆς συμβουλῆς, γίνονται δεισιδαίμονες καὶ κεκαυτηριασμένοι « Τὴν ἰδίαν συνείδησιν» (2)· διὰ τοῦτο εἶπε τὸ ἐν πάσῃ σοφίᾳ », ἤγουν, ἵνα μετὰ παντὸς εἴδους σοφίας, καὶ τῆς πνευματικῆς δηλονότι καὶ τῆς σχολαστικῆς, καὶ τῆς εὐλαβητικῆς διαθέσεως καὶ τῆς ὀρθῆς διακρίσεως καὶ ἀναγινώσκωμεν καὶ μελετῶμεν τὰς Θείας Γραφάς, καὶ διδάσκωμεν δὲ δι' αὐτῶν καὶ ἑαυτοὺς καὶ τοὺς ἄλλους· ἐπειδὴ δέ εἰσι καὶ ᾠδαὶ κοσμικαί, ὅσαι δηλαδὴ ἐγείρουσι τῆς κοσμικῆς ματαιότητος τὰς ἐπιθυμίας, καὶ τῆς σαρκὸς τοὺς ἔρωτας, διὰ τοῦτο εἶπεν· « Ὠδαῖς πνευματικαῖς »· τὸ δέ, « Ἐν χάριτι », σημαίνει τό, μετὰ ἡδονῆς καὶ πνευματικῆς προθυμίας, οὐχὶ δὲ μετὰ ἀηδίας καὶ πικρότητος ἢ ἀμελείας· προσέθηκε δὲ καὶ τό, « Ἐν τῇ καρδίᾳ », ἵνα διδάξῃ, ὅτι οὐ μόνον διὰ στόματος, ἀλλὰ καὶ διὰ τοῦ νοὸς πρέπον ἐστίν, ἵνα ψάλλωμεν καὶ δοξολογῶμεν τὸν πανυπεράγαθον Θεόν. Τρία οὖν μαθήματα ἐδίδαξε διὰ τούτων τῶν λόγων· πρῶτον, ἵνα συχνάκις μετὰ πάσης σοφίας μελετῶμεν τὰς Θείας Γραφάς, ὅπως πλουσίως ἐνοικῇ ἐν ἡμῖν ὁ λόγος τοῦ Θεοῦ· δεύτερον, ἵνα διὰ τῶν Θείων Γραφῶν διδάσκωμεν καὶ νουθετῶμεν καὶ ἑαυτοὺς καὶ τοὺς ἄλλους· τρίτον, ἵνα μετὰ προθυμίας καὶ εὐχαριστίας οὐ μόνον διὰ στόματος, ἀλλὰ καὶ διὰ τῆς καρδίας προσφέρωμεν εἰς τὸν Θεὸν τοὺς ὕμνους καὶ τὰς δοξολογίας.

(1) Κολ. 3, 16. (2) Α'. Τιμ. 4, 2.



# ΟΜΙΛΙΑ

ΜΕΤΑ ΤΗΝ ΠΡΟΣ

## ΚΟΛΟΣΣΑΕΙΣ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗ: Λ'. ΚΥΡΙΑΚΗ:

ΠΝΕΥΜΑΤΙΚΟΣ παράδεισός ἐστιν, ὦ ἄνδρες ἀδελφοί, ἡ σήμερον ἀναγνωσθεῖσα ἀποστολικὴ νουθεσία, ἄνθη περιέχων εὐωδέστατα, καὶ καρποὺς ὡραιοτάτους καὶ ψυχοσωτηρίους· ὅσοι δὲ εἰς αὐτὸν εἰσέρχονται, ἐκεῖνοι ὧδε μὲν ὀσφραίνονται τὴν πάντερπνον εὐωδίαν τῆς εὐσπλαγχνίας, ἐκεῖ δὲ αἰσθάνονται τὴν ἡδονικὴν ἀποφορὰν τῆς ἀγαθότητος· ὧδε βλέπουσι τῆς ταπεινοφροσύνης τὸ κάλλος, ἐκεῖ τῆς πρᾳότητος τὴν εὐπρέπειαν· παρατηροῦσιν ἐκεῖ τῆς μακροθυμίας τὸ ὄφελος, θεωροῦσι τῆς ἀγάπης τὸ ὕψος, θαυμάζουσι τῆς εἰρήνης τὴν μεγαλειότητα· ἐκεῖ γνωρίζουσιν, ὅτι ὁ λόγος τοῦ Χριστοῦ ἐστιν ὁ παράδεισος, καὶ κατανοοῦσι, πόση χάρις ἀναβλύζει ἐκ τῆς ὑμνολογίας καὶ τῆς πρὸς τὸν Θεὸν δοξολογίας· πάντα θέλγουσι, πάντα χαροποιοῦσι, πάντα ἐφέλκουσι καὶ ὠφελοῦσιν, ὅσα περιέχει οὗτος ὁ παράδεισος. Καὶ ὅμως μέρος μόνον ὅλου τοῦ πνευματικοῦ παραδείσου εἰσὶ τὰ σήμερον ἀναγνωσθέντα τοῦ θεοκήρυκος νουθετήματα· διότι ὅλος ὁ τοιοῦτος παράδεισος περιέχεται εἰς ὅλας ὁμοῦ τὰς Θείας Γραφάς· ὅθεν ἐκεῖνος εἰσέρχεται καὶ περιέχεται εἰς ὅλον, καὶ ἀπολαμβάνει πάντων τῶν ἐν αὐτῷ ἀγαθῶν, ὅστις μελετᾷ πάντα τὰ ἐν αὐταῖς περιεχόμενα θεῖα λόγια· διὰ τοῦτο οὖν ὁ θεῖος μυστολέκτης τόσον ἐμφαντικῶς παρήγγειλε τὴν μελέτην τῶν τοῦ Χριστοῦ λόγων, εἰπών· « Ὁ λόγος τοῦ » Χριστοῦ ἐνοικείτω ἐν ὑμῖν πλουσίως ἐν » πάσῃ σοφίᾳ » (1). Ἔστω οὖν σήμερον ὁ λόγος περὶ τῆς ὠφελείας, τῆς προξενουμένης ἐκ τῆς τῶν Θείων Γραφῶν μελέτης.

Ἐν ὅσῳ ὁ ἄνθρωπος ἔμενεν εἰς τῆς ἀναμαρτησίας τὴν κατάστασιν, ἡ κατοίκησις αὐτοῦ ἦν ὁ ἐπίγειος παράδεισος· ἔχων δὲ καθαρὰ ἀπὸ παντὸς πάθους τῆς ψυχῆς καὶ τοῦ σώματος αὐτοῦ τὰ αἰσθητήρια, ἔβλεπε τὸν Θεόν, καὶ ἠξιοῦτο τῆς θείας αὐτοῦ συνομιλίας· βλέπων δὲ τὸν Θεόν, οὐκ εἶχε χρείαν δογμάτων, διδασκόντων αὐτόν, τίς ἐστιν ὁ Θεός· βλέπων τὸν Θεόν, ἔβλεπεν ἐν αὐτῷ πάσας τὰς ἀρετὰς καὶ τελειότητας· ὅθεν οὐδὲ εἶχε χρείαν πολλῶν ἐντολῶν καὶ συμβουλῶν πρὸς διδασκαλίαν τῆς ἀρετῆς καὶ τελειότητος· ὅταν δὲ παραβὰς τὴν μίαν μόνην ἐντολήν, ἣν ἔδωκεν αὐτῷ ὁ Θεὸς πρὸς δοκιμὴν τῆς αὐτεξουσίου αὐτοῦ προαιρέσεως, ἐμπαθὴς ἐγένετο καὶ ἐξωρίσθη τοῦ παραδείσου, τότε οὐδὲ τὸν Θεὸν βλέπων,

(1) Κολ. 3, 16.

οὐδὲ τὰς ἐν τῷ Θεῷ ἀρετὰς καὶ τελειότη-
τας, σκοτισθείς, ὡς τυφλὸς ἐπορεύετο, μὴ
γινώσκων, ποῦ ὑπάγει· ἐπορεύετο πρὸς τὰ
κτίσματα, νομίζων, ὅτι πλησιάζει πρὸς τὸν
κτίστην· ἔτρεχε τὸν κρημνὸν τῆς ἁμαρτίας,
νομίζων, ὅτι περιπατεῖ τῆς ἀρετῆς τὸν δρό-
μον· τοῦτο τὸ σκότος κατεπόντισεν αὐτὸν
εἰς τῆς εἰδωλολατρείας τὸ βάραθρον, καὶ
κατεκρήμνισεν αὐτὸν εἰς τῆς ἁμαρτίας τὸν
βόθρον. Ὁ Θεός, ὁ ἔχων ἔλεος ἄμετρον,καὶ
εὐσπλαγχνίαν ἀπέραντον, ἐλεήσας τὸν ἄν-
θρωπον, καὶ εὐσπλαγχνισθεὶς ἐπ' αὐτῷ, ᾠ-
κοδόμησεν ἄλλον ἐπίγειον παράδεισον, φυ-
τεύσας ἐν αὐτῷ δόγματα, ἐντολάς, συμ-
βουλάς, ἵνα πᾶς ὁ εἰς αὐτὸν εἰσερχόμενος,
βλέπῃ διὰ μὲν τῶν δογμάτων, τίς ἐστιν ὁ
Θεός· διὰ δὲ τῶν ἐντολῶν, ποῖαί εἰσιν αἱ
κακίαι καὶ αἱ ἀρεταί· διὰ δὲ τῶν συμβου-
λῶν, τίς ἐστι τοῦ ἀνθρώπου ἡ τελειότης· ἐ-
νεφανίσθη δὲ ἡ οἰκοδομὴ τούτου τοῦ δευτέ-
ρου παραδείσου οὐκ ἐν τῷ ἅμα, καθὼς ἡ
τοῦ πρώτου, ἀλλὰ μετὰ πολλῶν ἐτῶν πε-
ρίοδον· διότι πρῶτον μὲν καταβὰς ὁ Θεὸς
εἰς τὸ Σινᾶ, ἔδωκε τὸν γραπτὸν νόμον, ἀ-
ποστείλας δὲ καὶ τὸν φωτισμὸν τοῦ ἁγίου
Πνεύματος πρὸς τοὺς προφήτας, ἐλάλησε
δι'αὐτῶν τὰ θεῖα αὐτοῦ θελήματα· ἦσαν δὲ
ὁ νόμος καὶ οἱ προφῆται ὥσπερ προαύλια
καὶ θεμέλια τοῦ νέου παραδείσου· « Ὅτε
» δὲ ἦλθε τὸ πλήρωμα τοῦ χρόνου, ἐξαπέ-
» στειλεν ὁ Θεὸς τὸν Υἱὸν αὐτοῦ » (1) εἰς
τὸν κόσμον, ἄνθρωπον γενόμενον, ὅστις κη-
ρύξας τὸ Εὐαγγέλιον, καὶ διὰ τῆς πρὸς τοὺς
μαθητὰς αὐτοῦ ἐπιφοιτήσεως τοῦ ἁγίου
Πνεύματος ἐνισχύσας αὐτούς, ἵνα διδάξω-
σιν αὐτὸ εἰς πᾶσαν τὴν οἰκουμένην, ἐτελεί-
ωσε πᾶσαν τὴν οἰκοδομὴν τούτου τοῦ δευ-
τέρου παραδείσου. Βλέπε δὲ πρᾶγμα ἀξιο-
σημείωτον· καθὼς ὁ Θεὸς ἐφύτευσε τὸν πρῶ-
τον παράδεισον « Ἐν Ἐδὲμ κατὰ ἀνατο-
» λάς » (2), οὕτως ἐν τῇ ἀνατολῇ ἀνέδειξε
τὸν δεύτερον, ἐν Σινᾶ δοὺς τὸν νόμον, καὶ
ἐν Ἱερουσαλὴμ τὸ Εὐαγγέλιον.

Ποίαν δὲ ὠφέλειαν προξενεῖ οὗτος ὁ νέος
παράδεισος; ὠφελεῖ τὸν νοῦν, ὠφελεῖ τὴν
καρδίαν, ὠφελεῖ τὴν ψυχὴν ἐκείνου, ὅστις
εἰσερχόμενος εἰς αὐτόν, παρατηρεῖ τὰ ἐν
αὐτῷ μετ' ἐπιμελείας. Περίεργος ὁ νοῦς ἀ-
καταπαύστως περιεργάζεται, οὐδέποτε δὲ
ἡσυχάζει, εἰμὴ ὅταν πληροφορηθῇ, ὅτι ἐ-
γνώρισε τὴν ἀλήθειαν· βλέπων διὰ τῶν σω-
ματικῶν ὀφθαλμῶν τὸν οὐρανὸν καὶ τὴν
γῆν καὶ πάντα τὰ ἐν αὐτοῖς, περιεργάζε-
ται, τίς ἐστιν ὁ τούτων ποιητής· ἐξετάζει
τῶν φιλοσόφων τὰ συστήματα, βλέπει δέ,
ὅτι ἄλλος μὲν ὁρίζει ποιητὴν πάντων τῶν
κτισμάτων τὰ ἄτομα, ἤγουν ἀδιαίρετα
σώματα μικρότατα, ἀνόητα, ἄψυχα, ἀναί-
σθητα· ἄλλος δὲ λέγει, ὅτι ἀρχὴ καὶ αἴτιον
παντὸς τοῦ κόσμου ἐστὶν ἡ τύχη καὶ τὸ
συμβεβηκός, ὅπερ ἐστί, τὸ οὐδέν, καὶ τὸ
μὴ ὄν, ἢ τὰ ὀνόματα· διότι πλὴν τούτου
οὐδὲν ἄλλο ἐστὶν ἡ τύχη καὶ τὸ συμβεβη-
κός· ἄλλος δὲ πάλιν, κἂν βλέπῃ, ὅτι οὐδέν
ἐστι χωρὶς ἀρχῆς καὶ αἰτίου, διδάσκει ὅ-
μως, ὅτι ὁ κόσμος ἐστὶν ἄναρχος· ὁ δὲ νοῦς
διακρίνων, ὅτι ταῦτά εἰσιν ἀναπόδεικτα,
ἀστήρικτα, ἀπίθανα, ἀδύνατα, οὐδὲ ἀνα-
παύεται, οὐδὲ ἡσυχάζει· ἐὰν δὲ πιστεύσῃ,
ὅτι ἐν τῷ βιβλίῳ τῆς Θείας Γραφῆς εἰσι
γεγραμμένα τοῦ Θεοῦ τὰ λόγια, καὶ μελε-
τήσῃ αὐτά, ἐν αὐτοῖς εὑρίσκει τὴν λύσιν
τῆς ἀπορίας αὐτοῦ καὶ τὴν ἀνάπαυσιν.

Τὰ πρῶτα λόγια τῆς πρώτης σελίδος

(1) Γαλ. 4, 4. (2) Γεν. 2, 8.



τῆς ἁγίας Γραφῆς διδάσκουσι, τίς ἐστιν ὁ
ποιητὴς τοῦ οὐρανοῦ καὶ τῆς γῆς, τῶν τεσ-
σάρων στοιχείων καὶ πάντων τῶν λοιπῶν
κτισμάτων· « Ἐν ἀρχῇ, λέγει, ἐποίησεν ὁ
» Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν » (1)· ὁμοῦ
δὲ μετὰ τῆς γῆς ἐποίησε τὸν ἀέρα καὶ τὸ
ὕδωρ· « Καὶ Πνεῦμα Θεοῦ ἐπεφέρετο ἐπά-
» νω τοῦ ὕδατος » (2)· αὐτὸς εἶπε· « Γενη-
» θήτω φῶς· καὶ ἐγένετο φῶς »· αὐτὸς εἶπε·
« Βλαστησάτω ἡ γῆ βοτάνην χόρτου » (3)·
καὶ εὐθὺς ἐβλάστησαν, ὅσα βλέπεις φυόμενα,
καὶ ἀνθοῦντα, καὶ καρποφοροῦντα ἐπὶ τῆς
γῆς· αὐτὸς εἶπε· « Γενηθήτωσαν φωστῆρες
» ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ » (4)· καὶ εὐ-
θὺς ἐγενήθησαν ὁ ἥλιος καὶ ἡ σελήνη, καὶ
πάντες οἱ ἐν τῷ οὐρανῷ ἀστέρες· αὐτὸς εἶ-
πεν· « Ἐξαγαγέτω τὰ ὕδατα ἑρπετὰ ψυχῶν
» ζωσῶν, καὶ πετεινὰ πετόμενα ἐπὶ τῆς
» γῆς » (5)· αὐτὸς εἶπεν· « Ἐξαγαγέτω ἡ
» γῆ ψυχὴν ζῶσαν κατὰ γένος » καὶ εὐθὺς
ἐδημιουργήθησαν τὰ κήτη τὰ μεγάλα, καὶ
τὰ ἑρπετά, καὶ τὰ πετεινά, καὶ τὰ τετρά-
ποδα, καὶ τὰ ἔντομα, καὶ τὰ θηρία, καὶ
πάντα τὰ λοιπὰ εἴδη τῶν ζώων· αὐτὸς εἶπε·
« Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέ-
» ραν καὶ καθ' ὁμοίωσιν » (6)· ἔπλασε δὲ τὸν
ἄνθρωπον, δοὺς αὐτῷ νοῦν καὶ πνεῦμα καὶ
λόγον. Ἐκ τούτων οὖν μανθάνει, ὅστις με-
λετᾷ τὴν Θείαν Γραφήν, ὅτι ὁ Θεός ἐστιν ὁ
ποιητὴς τοῦ οὐρανοῦ καὶ τῆς γῆς καὶ πάν-
των τῶν ἐν αὐτοῖς κτισμάτων· ἐὰν δὲ πα-
ρατηρήσῃ, ὅτι διὰ μόνου λόγου προστακτι-
κοῦ ἔκτισε τὰ πάντα, πείθεται, ὅτι ὁ ποι-
ητής ἐστι παντοδύναμος· βλέπων δὲ τὸ ἄ-
μετρον πλῆθος, τὰ πολυποίκιλα εἴδη, τὰ
πάντερπνα κάλλη, τὰς διαφόρους κινήσεις,
τὸν μεταξὺ ἀλλήλων θαυμασιώτατον σύνδε-
σμον, τοὺς ἀμετατρέπτους νόμους πάντων
τῶν κτισμάτων, γνωρίζει, ὅτι ὁ δημιουργὸς
οὐ μόνον ἐστὶ παντοδύναμος, ἀλλὰ καὶ
πάνσοφος. Ἀναγινώσκει ἐν τῇ Θείᾳ Γραφῇ
τὴν κυριότητα καὶ ἐξουσίαν, ἣν ἔδωκεν
ὁ Θεὸς εἰς τὸν ἄνθρωπον, εἰπών· « Καὶ ἀρ-
» χέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης, καὶ
» τῶν πετεινῶν τοῦ οὐρανοῦ, καὶ πάντων
» τῶν κτηνῶν, καὶ πάσης τῆς γῆς, καὶ
» πάντων τῶν ἑρπετῶν, τῶν ἑρπόντων ἐπὶ
» τῆς γῆς » (7). Ἐπειδὴ δὲ γνωρίζει, ὅτι
οὐδεμίαν ἀφορμὴν ἔλαβεν ὁ Θεὸς περὶ τού-
του, ἀλλ' ἐξ ἰδίας ἀγαθότητος καὶ ἐλέους
καὶ φιλανθρωπίας ἐποίησε τοῦτο, εὐλογο-
φανῶς συμπεραίνει, ὅτι ὁ ποιητὴς τῆς κτί-
σεώς ἐστιν οὐ μόνον παντοδύναμος καὶ
πάνσοφος, ἀλλὰ καὶ πανάγαθος καὶ παν-
τελεήμων καὶ φιλανθρωπότατος.

Ἡ νέα διαθήκη ἐφανέρωσε καθαρώτερα,
ἤπερ ἡ παλαιά, τίς ἐστιν ὁ ποιητὴς τοῦ
παντός· ἡ παλαιὰ διδάσκει ὅτι ὁ Θεὸς εἶπε·
« Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέ-
» ραν καὶ καθ' ὁμοίωσιν », τὸ τρισυπό-
στατον καὶ ἑνιαῖον τῆς θεότητος, σημειώ-
σασα διὰ τοῦ πληθυντικοῦ ῥήματος, « Ποιή-
» σωμεν »· προβάλλει δὲ καὶ τοῦ Θεοῦ τὴν
εἰκόνα, ἵνα ἐκ τῆς εἰκόνος νοήσῃς τὸν εἰκο-
νιζόμενον· ἡ εἰκών, ἤγουν ὁ ἄνθρωπος, εἷς
ἐστι κατὰ τὸν λόγον τῆς φύσεως, ἔχει δὲ
νοῦν, καὶ λόγον, καὶ θέλησιν· οὕτως οὖν καὶ
ὁ εἰκονιζόμενος, τουτέστιν ὁ Θεός, εἷς ἐστι
τὴν φύσιν, καὶ τρία κατὰ τὰς ὑποστάσεις,
Πατὴρ καὶ Υἱὸς καὶ Πνεῦμα ἅγιον. Ἐὰν
δὲ θεωρήσῃς τὸ Εὐαγγέλιον, εὑρίσκεις κα-
θαρὰν καὶ ἐκπεφασμένην τὴν περὶ τῆς τρι-
συποστάτου θεότητος διδασκαλίαν· « Ἐν
» ἀρχῇ ἦν ὁ Λόγος, λέγει τὸ Εὐαγγέλιον,

(1) Γεν. 1, 1. (2) Αὐτ. 2, 3. (3) Αὐτ. 11. (4) Αὐτ. 14. (5) Αὐτ. 20, 24. (6) Αὐτ. 26. (7) Αὐτ.

» καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν, καὶ Θεὸς » ἦν ὁ Λόγος » (1)· ὁ Λόγος δέ ἐστιν « Ὁ » μονογενὴς Υἱός, ὁ ὢν εἰς τὸν κόλπον τοῦ » Πατρός (2)· τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ » παρὰ τοῦ Πατρὸς ἐκπορεύεται » (3) Ἰδοὺ ὁ Πατὴρ ὁ ἄναρχος, καὶ ὁ Υἱός, ὁ ἐκ τοῦ Πατρὸς γεννηθεὶς πρὸ πάντων τῶν αἰώνων, καὶ τὸ πανάγιον Πνεῦμα, τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, τὸ σὺν Πατρὶ καὶ Υἱῷ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον· τρεῖς ὑποστάσεις, καὶ εἷς Θεός· « Ἄκουε, » Ἰσραήλ, εἶπεν ὁ Θεὸς διὰ τῆς Παλαιᾶς » Διαθήκης, Κύριος ὁ Θεὸς ἡμῶν, Κύριος » εἷς ἐστι» (4). Διὰ μὲν τοῦ, Κύριος, ὁ Θεός, Κύριος, τὸ τρισυπόστατον· διὰ δὲ τοῦ, « Εἷς », τὸ ἑνιαῖον τῆς θεότητος δηλώσας· διὰ δὲ τῆς Νέας διδάσκει· « Πορευθέντες » οὖν, μαθητεύσατε πάντα τὰ ἔθνη, βα» πτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πα» τρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύ» τος· τρεῖς εἰσιν οἱ μαρτυροῦντες ἐν τῷ » οὐρανῷ, ὁ Πατήρ, ὁ Λόγος, καὶ τὸ ἅγιον » Πνεῦμα· καὶ οὗτοι οἱ τρεῖς ἕν εἰσιν » (5). Ὅταν τοιουτοτρόπως μελετᾷς τὰς Θείας Γραφάς, τότε φῶς ἐπιλάμπει εἰς τὸν νοῦν σου καὶ χάρις, ἐξ ἧς μανθάνεις πάντα τὰ περὶ τοῦ ποιητοῦ τῆς κτίσεως. Ἡ τοιαύτη δὲ ἁγία μελέτη ἐστὶν ἡ τρυφή, καὶ ἡ γλυκύτης, καὶ ἡ ἀνάπαυσις, καὶ ἡ ἀληθινὴ ὠφέλεια τοῦ νοός· διὰ τοῦτο ὁ προφητάναξ, ὅστις ἐμελέτα διὰ παντὸς τὸν νόμον τοῦ Θεοῦ, ἔψαλλε μεγαλοφώνως· « Ὡς γλυκέα » τῷ λάρυγγί μου τὰ λόγιά σου, ὑπὲρ μέλι » τῷ στόματί μου » (6).

Ἐκ τῆς καρδίας τοῦ ἀνθρώπου « Ἐξέρ» χονται διαλογισμοὶ πονηροί » (7)· ἐξ αὐτῆς ἐξέρχεται ὁ πονηρὸς τῆς ὑπερηφανείας λογισμός· αὐτός με φυσᾷ, αὐτός με ἐπαίρει, αὐτός με γεμίζει καπνόν· ὅθεν νομίζων ἐμαυτὸν ἀνώτερον τῶν ἄλλων, θέλω πρωτεῖα, θέλω τιμάς, θέλω προσκυνήσεις· παρατηρῶ καὶ τὰ ἔργα καὶ τὰ λόγια καὶ τὰ νεύματα τῶν ἀνθρώπων· ἡ δὲ ὑποψία τῆς καταφρονήσεως ταράττει διὰ παντὸς τὴν καρδίαν μου. Ἐὰν δὲ ἀνοίξω τὰς Γραφάς, ἐν αὐταῖς εὑρίσκω τῆς ἀσθενείας μου τὴν θεραπείαν· ἡ μὲν Παλαιὰ λέγει μοι, ἐνθυμήθητι, ὅτι « Γῆ εἶ, καὶ εἰς » γῆν ἀπελεύσῃ (8)· Κύριος ὑπερηφάνοις » ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χά» ριν » (9)· ἡ δὲ Νέα διδάσκει, λέγουσα· « Πᾶς ὁ ὑψῶν ἑαυτόν, ταπεινωθήσεται· » καὶ ὁ ταπεινῶν ἑαυτόν, ὑψωθήσεται» (10). Ἐξερεύγεται ἡ καρδία φθόνον, ὅστις κατατήκει, ὡς τήκεται ὁ κηρὸς ἀπὸ προσώπου τοῦ πυρός· ἔχθραν, ἥτις καταφθείρει ὡς ἡ σκωρία τὸν σίδηρον· ὁρμὴν ἐκδικήσεως, ἥτις καταταράττει, καθὼς ἐκταράττουσι τὸ πλοῖον τὰ σφοδρὰ κύματα. Τὰ πολιτικὰ βιβλία καὶ ἡ διδασκαλία τοῦ κόσμου οὐδὲ τὸν φθόνον ἰατρεύουσιν, οὐδὲ τὴν ἔχθραν ἐξορίζουσιν, ἐξάπτουσι δὲ τῆς ἐκδικήσεως τὸ πνεῦμα. Ἐὰν δὲ μελετήσῃς τὴν Θείαν Γραφήν, ἐν αὐτῇ εὑρίσκεις τῶν ἀῤῥωστημάτων τῆς καρδίας σου τὸ βάλσαμον· ἐκεῖ βλέπεις, ὅτι ὁ φθόνος τοῦ Καΐν ἐφόνευσε τὸν ἀδελφὸν αὐτοῦ Ἄβελ, καὶ ὁ φθόνος τῶν Ἰουδαίων παρέδωκε τὸν σωτῆρα τοῦ κόσμου εἰς θάνατον (11)· ἐκεῖ ἀναγινώσκεις τό, « Ὁ μὴ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ, μένει » ἐν τῷ θανάτῳ » (12)· ἐκεῖ μανθάνεις, ποία ἁμαρτία ἐστὶ τὸ μῖσος, καὶ πόσην ζημίαν προξενεῖ· « Πᾶς ὁ μισῶν τὸν ἀδελφὸν αὐ» τοῦ, ἀνθρωποκτόνος ἐστί· καὶ οἴδατε, ὅτι

(1) Ἰωάν. 1, 1. (2) Αὐτ. 18. (3) Αὐτ. 15, 26. (4) Δευτ. 6, 4. (5) Ματθ. 23, 19. Α. Ἰωάν. 5, 7. (6) Ψαλμ. 118, 103. (7) Ματθ. 15, 19. (8) Γεν. 3, 19. (9) Παροιμ. 3, 34. (10) Λουκ. 14, 11. (11) Ματθ. 27, 18. (12) Α. Ἰωάν. 3, 14.



» πᾶς ἀνθρωποκτόνος οὐκ ἔχει ζωὴν αἰώ» νιον ἐν αὐτῷ μένουσαν » (1)· ἐκεῖ λαμβάνεις πληροφορίαν, ὅτι οὐκ ἔχεις ἐξουσίαν ἐκδικηθῆναι τοὺς βλάψαντάς σε, ἐπειδὴ ὁ Θεὸς ἀναλαμβάνει ὑπὲρ σοῦ τὴν ἐκδίκησιν, καὶ αὐτὸς παιδεύει τοὺς ἀδικήσαντάς σε· « Ἐμοὶ ἐκδίκησις, ἐγὼ ἀνταποδώσω, λέγει » Κύριος » (2). Ταῦτα τὰ ἐπουράνια ἔμπλαστρα διώκουσι τὴν πικρίαν τοῦ φθόνου, καὶ τὴν στενοχωρίαν τῆς ἔχθρας, καὶ τὴν ταραχὴν τῆς ἐκδικήσεως, θεραπεύουσι τὰ τραύματα τῆς καρδίας σου, καὶ πληροῦσιν αὐτὴν ἡσυχίας καὶ χαρᾶς πνευματικῆς. Ἡ μελέτη τῶν λόγων τοῦ Θεοῦ οὐ μόνον ἰατρεύει, ἀλλὰ καὶ προφυλάττει τὴν καρδίαν ἀπὸ τῶν ἁμαρτιῶν· « Ὁ νόμος τοῦ Θεοῦ » ἐν καρδίᾳ αὐτοῦ, καὶ οὐχ ὑποσκελισθή» σεται τὰ διαβήματα αὐτοῦ » (3).

Οὐ μόνον δὲ πάσης ἁμαρτίας, ἀλλὰ καὶ πάσης θλίψεως καὶ παντὸς φόβου καὶ πάθους περιέχει ἡ Θεία Γραφὴ τὰ δραστικὰ ἀντιφάρμακα. Διὰ τοῦτο δὲ ὁ προφήτης τοῦ Θεοῦ εἰς τὸν καιρὸν τῶν θλίψεων καὶ τῶν ἀναγκῶν αὐτοῦ, εἰς τὴν μελέτην ἔτρεχε τῆς Ἁγίας Γραφῆς· « Θλίψεις καὶ ἀ» νάγκαι εὕροσάν με, αἱ ἐντολαί σου μελέ» τη μου» (4)· Ἔρχονται ἡμέραι θλίψεως ἢ διὰ τὴν ἀπώλειαν τῶν ὑπαρχόντων, ἢ διὰ τὸν θάνατον τῶν συγγενῶν, ἢ διὰ τὰς τῶν ἐχθρῶν καταδρομάς. Πολλάκις αἱ περιστάσεις τῶν θλίψεων τόσον μεγάλαι καὶ σφοδραὶ γίνονται, ὥστε οὐδαμοῦ εὑρίσκομεν παρηγορίαν· προστρέχομεν εἰς τοὺς προστάτας· ἐκεῖ εὑρίσκομεν ἢ ἀποστροφήν, ἢ λόγια πολλά, καὶ πράγματα οὐδόλως· παρακαλοῦμεν τοὺς φίλους, ἀλλὰ τῶν μὲν εὐτυχούντων πάντες ἄνθρωποι φίλοι, τῶν δὲ δυστυχούντων οὐδ' αὐτὸς ὁ γεννήτωρ· οἱ δὲ συγγενεῖς λυποῦνται διὰ τὴν δυστυχίαν ἡμῶν, πλὴν βοηθῆσαι οὐ δύνανται· διὸ θλιβόμεθα ὑπερβαλλόντως, καὶ πάσχομεν ἐλεεινῶς, ὅμως παρηγορία οὐδαμόθεν ἀνατέλλει· ἐὰν δὲ ἀνοίξωμεν τὴν Θείαν Γραφήν, ἐκεῖ εὑρίσκομεν τῆς καρδίας ἡμῶν τὴν παραμυθίαν· διότι ἐκεῖ ἀκούομεν τὸν Θεόν, λέγοντα· ὅστις θλίβεται, ἐκεῖνος « Ἐπικα» λέσεται πρός με, καὶ εἰσακούσομαι αὐτοῦ » καὶ μετ' αὐτοῦ εἰμι ἐν θλίψει, καὶ ἐξελοῦ» μαι αὐτόν, καὶ δοξάσω αὐτόν· μακρότητα » ἡμερῶν ἐμπλήσω αὐτόν, καὶ δείξω αὐτῷ » τὸ σωτήριόν μου » (5). Ἀκούεις; εἰς τὸν καιρὸν τῆς θλίψεώς σου ὁ Θεός, ὁ παντοδύναμος, ὁ πανάγαθος, ὁ πανυπερεύσπλαγχνός ἐςι μετὰ σοῦ, ὑπόσχεται δέ, ὅτι, ὅταν ἐπικαλεσθῇς τὴν βοήθειαν αὐτοῦ, τότε οὐ μόνον σε ἐλευθεροῖ ἀπὸ τῆς θλίψεώς σου, ἀλλὰ καὶ δοξάζει σε διὰ τὴν ὑπομονήν σου, καὶ βραβεῖον ἑτοιμάζει σοι ζωὴν πολυχρόνιον καὶ ψυχῆς σωτηρίαν.

Ποία ἄλλη περίστασις λυπηροτέρα τῆς περιστάσεως τοῦ θανάτου; καὶ ἡ μόνη ἐνθύμησις τοῦ θανάτου θλίψιν φέρει καὶ φόβον εἰς τοὺς ἀνθρώπους· ἡ λύπη διὰ τὴν στέρησιν τῆς παρούσης ζωῆς, καὶ ὁ φόβος διὰ τὴν μέλλουσαν κατάστασιν, βάσανον προξενοῦσιν ἀπερίγραπτον· τὴν δὲ θλίψιν καὶ τὸν φόβον, τὸν περικαταλαμβάνοντα ἡμᾶς ἐν τῇ ὥρᾳ τοῦ θανάτου οὐδὲ φίλοι, οὐδὲ συγγενεῖς, οὐδὲ ἄρχοντες, οὐδὲ ἡγεμόνες, οὐδὲ βασιλεῖς, οὐδὲ ὁ κόσμος ὅλος δύναται καταπραΰναι· μόνη ἡ μνήμη τῶν λόγων τοῦ Θεοῦ καὶ τὴν σφοδροτάτην θλίψιν καταπαύει, καὶ τὴν δριμύτητα καθησυχάζει τοῦ φόβου. Ἐὰν τότε ἐνθυμηθῇς ταῦτα τὰ λό-

(1) Α. Ἰωαν. 3, 15. (2) Ῥωμ. 12, 19. (3) Ψαλμ. 36, 31. (4) Αὐτ. 118, 143. (5) Αὐτ. 90, 15, 16.

για· « Ὁ πιστεύων εἰς ἐμέ, κἂν ἀποθάνῃ, » ζήσεται»(1), φεύγει ἡ λύπη, καὶ ἐὰν μνημονεύσῃς ταῦτα· « Ὅτι Χριστὸς Ἰησοῦς » ἦλθεν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶ» σαι » (2), μακρύνονται ἀπὸ σοῦ τοῦ θανάτου τὰ φόβητρα· ἐὰν δὲ ἐν μετανοίᾳ καὶ κατανύξει βοήσῃς ὡς ὁ λῃστὴς ἐν τῷ σταυρῷ· « Μνήσθητί μου, Κύριε, ὅταν ἔλθῃς ἐν » τῇ βασιλείᾳ σου» (3), παύει ὁ ἀπελπισμὸς τῆς σωτηρίας, καὶ ἔρχεται εἰς τὴν καρδίαν σου ἡ ἐλπὶς τῆς ἀπολαύσεως τῆς θείας βασιλείας, καὶ ἡ χαρὰ τοῦ Κυρίου· τίς δὲ ἄλλος ἐν τῇ ὥρᾳ τοῦ θανάτου ἐνθυμεῖται τοῦ Κυρίου τὰ λόγια, εἰ μὴ ἐκεῖνος, ὅστις μελετᾷ αὐτὰ πᾶσαν ὥραν;

Βλέπε δέ, πόσην ὠφέλειαν προξενεῖ καὶ εἰς τὴν ψυχὴν τῶν θείων λόγων ἡ μελέτη. Πάντα τὰ ἐν κόσμῳ πράγματά εἰσι σκύβαλα, καπνός εἰσι καὶ ἄνεμος, σκιά εἰσι καὶ ὀνείρατα, οὐδεμίαν ὠφέλειαν προξενοῦσιν εἰς τὴν ψυχήν· « Τί γὰρ ὠφελήσει ἄν» θρωπος, ἐὰν κερδήσῃ τὸν κόσμον ὅλον, » καὶ ζημιωθῇ τὴν ψυχὴν αὐτοῦ; ἢ τί δώ» σει ἄνθρωπος ἀντάλλαγμα τῆς ψυχῆς » αὐτοῦ; » (4) ὠφέλεια τῆς ἀθανάτου ψυχῆς ἡμῶν ἐστιν ἡ ἀπόλαυσις τῆς αἰωνίου βασιλείας. Ἡ πίστις δὲ ἡ ὀρθή, τῆς ἁμαρτίας ἡ ἀποστροφή, καὶ ἡ κατόρθωσις τῆς ἀρετῆς ποιοῦσι τὴν ψυχὴν ἐπιδεκτικὴν τῆς θείας βασιλείας· τίς δὲ ἄλλος, πλὴν τῶν ἁγίων Γραφῶν, διδάσκει ἡμᾶς τὰ ὀρθόδοξα τῆς πίστεως δόγματα, τὸ ὄνειδος καὶ τὴν βλάβην τῆς ἁμαρτίας, τὴν δόξαν καὶ τὸ κέρδος τῆς ἀρετῆς; Ὅσοι οὐκ ἐφωτίσθησαν ὑπὸ τοῦ φωτὸς τῶν θεοπνεύστων βιβλίων, ἢ πρὸ τῆς παραδόσεως αὐτῶν ἀμέσως ὑπὸ τοῦ Θεοῦ, καθὼς οἱ πρὸ τοῦ νόμου δίκαιοι, ἐκεῖνοι προσέφερον προσκύνησιν εἰς τὸν ἥλιον, εἰς τὸ πῦρ, εἰς τὰ ζῶα, εἰς τὰ λίθινα καὶ ξύλινα ξόανα, ἐλάτρευσαν οἱ πανάθλιοι τῇ κτίσει ἀντὶ τοῦ κτίσαντος· ὅσοι ἐστερημένοι ἦσαν τούτου τοῦ θείου φωτός, ἐκεῖνοι ἐθεοποίησαν τὰ πάθη, τὴν μοιχείαν καὶ πατροκτονίαν διὰ τοῦ Διός· τὴν μέθην διὰ τοῦ Διονύσου· τὴν ἀσέλγειαν, διὰ τῆς Ἀφροδίτης· τὴν φιλαργυρίαν, διὰ τοῦ Ἑρμοῦ· τὰς αἱματοχυσίας, διὰ τοῦ Ἄρεως. Βλέπομεν δὲ καὶ τὴν σήμερον, ὅτι ἐκεῖνοι, οἵτινες κατεφρόνησαν τὰς Θείας Γραφάς, κατεστάθησαν ἄπιστοι, ἐξέτειναν δὲ φόνου χεῖρας οὐ μόνον κατὰ τῶν ἰδίων ὁμογενῶν, ἀλλὰ καὶ κατ᾽ αὐτοῦ τοῦ ἑαυτῶν πατρὸς καὶ βασιλέως· ἔπλασαν συστήματα ἀπατηλὰ καὶ δολερώτατα, ἐλευθερίαν μὲν ἐπαγγελλόμενα, δουλείαν δὲ καὶ ἀκαταστασίαν προξενοῦντα καὶ ἀναρχίαν, ἐξ ἧς πάντα τὰ κακά· ἔπεσαν εἰς ὑπερηφάνειαν ἀνήκουστον, ζητοῦντες ἀναστατῶσαι πᾶσαν τὴν οἰκουμένην, ἵνα κύριοι αὐτῆς γένωνται. Πλανῶσι διὰ πάσης ὑποκρίσεως, καὶ διὰ παντὸς τρόπου, ἁρπάζουσιν ἀδίκως τὰ ξένα πράγματα, λῃστεύουσιν ἀναισχύντως μετὰ παῤῥησίας καὶ καυχήσεως. Καὶ τίς ἂν ἀξίως διηγηθῇ τὰ κακά, ὅσα αὐτοὶ κατεργάζονται; Εἰς τοιαύτην κατάστασιν καταντῶσιν, ὅσοι καταφρονοῦντες τὰς Θείας Γραφάς, καταποντίζονται εἰς τῆς ἀσεβείας τὰ βάραθρα.

Κύριε Θεέ μου, ἄπειρος ἡ φιλανθρωπία σου, ἄμετρον τὸ πρὸς τὸν ἄνθρωπον ἔλεός σου· ἡ ἁμαρτία ἐξώρισεν ἡμᾶς τοῦ παραδείσου, καὶ ἐστέρησε τῆς θεωρίας σου καὶ τῆς θείας φωνῆς σου, καὶ ἐκρήμνισεν ἡμᾶς εἰς τὸ σκότος καὶ εἰς τῶν δυστυχιῶν τὴν ἄβυσσον, σὺ δὲ κατεσκεύασας ἄλλον παράδεισον τὰς Θείας Γραφάς, ἵνα ἐν αὐταῖς βλέπωμεν τοὺς χαρακτῆρας τῆς θεότητός σου, καὶ δι᾽ αὐτῶν ἀκούοντες τὸν σωτηριώδη λόγον σου, φωτιζόμεθα δι᾽ αὐτοῦ, καὶ ἀπαλλαττώμεθα τῶν συμφορῶν τῆς αἰωνίου κολάσεως· αὐταί εἰσι τοῦ νοὸς ἡμῶν τὸ φῶς· « Διότι φῶς τὰ προστάγματά σου ἐπὶ » τῆς γῆς » (1)· αὐταί εἰσι τῆς καρδίας ἡ ἀνάπαυσις καὶ εὐφροσύνη· « Τὰ δικαιώμα» τα Κυρίου εὐθέα εὐφραίνοντα καρδίαν» (2)· αὐταί εἰσι τῆς ψυχῆς ἡ ζωὴ καὶ ἡ σωτηρία, « Τὰ ῥήματα, ἃ ἐγὼ λαλῶ ὑμῖν, πνεῦ» μά ἐστι καὶ ζωή ἐστι» (3). Διὰ τοῦτο διὰ μὲν τῆς Παλαιᾶς Διαθήκης διέταξε τὴν τούτων συνεχῆ μελέτην, εἰπών· « Καὶ ἔσται » τὰ ῥήματα ταῦτα, ὅσα ἐγὼ ἐντέλλομαί » σοι σήμερον, ἐν τῇ καρδίᾳ σου καὶ ἐν τῇ » ψυχῇ σου· καὶ προβιβάσεις αὐτὰ τοὺς υἱ» ούς σου, καὶ λαλήσεις ἐν αὐτοῖς καθήμε» νος ἐν οἴκῳ, καὶ πορευόμενος ἐν ὁδῷ, καὶ » κοιταζόμενος, καὶ ἀνιστάμενος » (4)· διὰ δὲ τῆς Νέας παρήγγειλε, λέγων· « Ἐρευνᾶ» τε τὰς Γραφάς, ὅτι ὑμεῖς δοκεῖτε ἐν αὐ» ταῖς ζωὴν αἰώνιον ἔχειν » (5).

Ἀλλ᾽ ἆρά γε ὑπακούομεν ἡμεῖς εἰς ταῦτα τὰ θεῖα προστάγματα; τινὲς ἀποκρίνονται, λέγοντες· οὐ μελετῶμεν τὰς Θείας Γραφάς, ἐπειδὴ οὐ καταλαμβάνομεν τὸ ἐν αὐταῖς νόημα. Ἀλλὰ πρῶτον μὲν οὐκ εἰσὶ πάντα τὰ ἐν ταῖς Θείαις Γραφαῖς δυσκολονόητα· διότι τίς οὐ καταλαμβάνει ταῦτα; « Ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐν ὅλῃ » τῇ καρδίᾳ σου, καὶ ἐν ὅλῃ τῇ ψυχῇ σου, » καὶ ἐν ὅλῃ τῇ διανοίᾳ σου· ἀγαπήσεις τὸν » πλησίον σου ὡς σεαυτόν » (6). Μὴ μοι» χεύσῃς· μὴ φονεύσῃς· μὴ κλέψῃς· μὴ ψευ» δομαρτυρήσῃς· τίμα τὸν πατέρα σου καὶ » τὴν μητέρα » (7). Ταῦτα καὶ τὰ τούτοις ὅμοια κατανοοῦσι καὶ τὰ μικρὰ παιδία· δεύτερον δέ, διὰ τοῦτο μάλιστα ἔπρεπεν, ἵνα μελετῶμεν αὐτὰ συχνάκις, ἐπειδὴ δηλονότι εἰσὶ δυσνόητα. Τί ποιεῖ ὁ ἐπιμελὴς μαθητής, ὅταν οὐ καταλαμβάνῃ τὸ νόημα τοῦ σχολαστικοῦ βιβλίου; κλείει ἆρά γε τὸ βιβλίον, καὶ οὐδόλως μελετᾷ αὐτό, καὶ ἀπελπίζεται; οὐχί, ἀλλὰ τότε μάλιστα πολλάκις ἀναγινώσκει αὐτό, ἐπαναλαμβάνων καὶ τὰ πρὸ τούτου καὶ τὰ μετὰ τοῦτο τὸ δυσνόητον γεγραμμένα, καὶ ζητῶν διερμηνευτάς, καὶ ἐρωτῶν τοὺς διδασκάλους, καὶ κινῶν πάντα λίθον, ἵνα κατανοήσῃ τοῦ ἀναγινωσκομένου βιβλίου τὴν ἔννοιαν· ἐὰν καὶ ὑμεῖς ποιῆτε τὰ αὐτά, ὅταν ἀναγινώσκοντες τὰ ἅγια βιβλία, συναντᾶτε δυσκολίας, τότε αἱ δυσκολίαι λύονται, καὶ καταληπτὸν γίνεται τὸ ἀκατάληπτον νόημα· καὶ αὐτὸς δὲ ὁ πανοικτίρμων Θεός, βλέπων τὴν προθυμίαν καὶ τὴν εὐλάβειαν ὑμῶν, ἐξαποστέλλει ὑμῖν φωτισμὸν πρὸς κατανόησιν τῶν δυσνοήτων· ἐξαποστέλλει ὑμῖν διδάσκαλον καὶ διερμηνέα, καθὼς ἐξαπέστειλε τὸν Φίλιππον εἰς τὸν Εὐνοῦχον· αὐτὸς τόσον πρόθυμος ἦν εἰς τὴν ἀνάγνωσιν τῶν Θείων Γραφῶν, ὥστε καὶ ἐν τῇ ὁδῷ ἐπὶ τῆς ἁμάξης καθήμενος, « ἀνεγίνωσκε τὸν προφήτην Ἡσαΐαν » (8), κἂν οὐ κατελάμβανε, περὶ τίνος ὁ προφήτης ἐλάλει· ὁ δὲ Θεὸς ἰδὼν τὴν τούτου προθυμίαν καὶ τὴν εὐλάβειαν, ἀπέστειλε πρὸς αὐτὸν τὸν Φίλιππον, ὅστις διηρμήνευσε τοῦ προφήτου τὰ λόγια, καὶ ἔλυσε τὴν ἀπορίαν· ὅθεν φωτισθεὶς τὸν νοῦν ὁ Εὐνοῦχος, ἐπίστευσεν εἰς τὸν Ἰησοῦν Χριστόν, καὶ ἐβαπτίσθη ὑπὸ τοῦ Φιλίππου.

Ἄλλος δὲ λέγει· πῶς δύναμαι ἐγὼ ἀ-

(1) Ἰωάν. 11, 25. (2) Ἀ. Τιμ. 1, 15. (3) Λουκ. 23, 42. (4) Μάρκ. 8. 36, 37.

(1) Ἡσ. 26, 9. (2) Ψαλ. 18, 8. (3) Ἰωαν. 6, 63. (4) Δευτ. 6, 6, 7. (5) Ἰωαν. 5, 39.
(6) Ματθ. 22, 37, 39. (7) Λουκ. 18, 20. (8) Πραξ. 8, 30.

γράμματος ὤν, ἀναγινώσκειν καὶ μελετᾷν τὰς Γραφάς; κᾂν οὐκ ἔχῃς, ἀδελφέ, τὴν μάθησιν τῶν γραμμάτων, ἔχεις ὅμως τῆς ἀκοῆς τὸ ὄργανον· ὁ δὲ Κύριος καὶ τοὺς ἀκούοντας τὸν λόγον αὐτοῦ, καὶ φυλάσσοντας αὐτὸν ἐμακάρισε· « Μακάριοι, εἶπεν, οἱ ἀ- » κούοντες τὸν λόγον τοῦ Θεοῦ, καὶ φυλάσ- » σοντες αὐτόν » (1). Εἰς τὴν ἐκκλησίαν ἀναγινώσκονται αἱ Θεῖαι Γραφαὶ ἑσπέρας, καὶ πρωΐ, καὶ μεσημβρίας. Μὴ οὖν ἀμελῇς, ἀλλὰ σύχναζε εἰς τὴν ἐκκλησίαν· ἐκεῖ δὲ εἰσερχόμενος, μὴ νυστάζῃς, μηδὲ ἀπολύῃς τὸν νοῦν σου, ἵνα περιφέρηται ἔνθεν κᾀκεῖθεν, ἀλλὰ προσήλωσον αὐτὸν πρὸς ἀκρόασιν τοῦ θείου λόγου, ἐκεῖθεν δὲ ἐξερχόμενος, μελέτα, ὅσα ἤκουσες, ἵνα ἐντυπωθῶσιν εἰς τὴν μνήμην σου, καὶ εἰσέλθωσιν εἰς τὴν καρδίαν σου. Ὁ προφητάναξ Δαβὶδ προέκρινε τὴν ἡμέραν ἐκείνην, ἐν ᾗ ἔμενεν εἰς τὰς αὐλὰς τοῦ ναοῦ τοῦ Κυρίου, ὑπὲρ τὰς χιλιάδας τῶν ἄλλων ἡμερῶν τῆς ζωῆς αὐτοῦ· « Ὅτι κρεῖσσον, ἔλεγεν, ἡμέρα μία ἐν ταῖς » αὐλαῖς σου, ὑπὲρ χιλιάδας » (2)· περὶ δὲ τοῦ μελετῶντος ἡμέρας καὶ νυκτὸς τὸν νόμον τοῦ Κυρίου εἶπε· « Καὶ ἐν τῷ νόμῳ » αὐτοῦ μελετήσει ἡμέρας καὶ νυκτός· καὶ » ἔσται ὡς τὸ ξύλον τὸ πεφυτευμένον παρὰ » τὰς διεξόδους τῶν ὑδάτων, ὃ τὸν καρπὸν » αὐτοῦ δώσει ἐν καιρῷ αὐτοῦ, καὶ τὸ φύλ- » λον αὐτοῦ οὐκ ἀποῤῥυήσεται, καὶ πάντα » ὅσα ἂν ποιῇ, κατευοδωθήσεται » (3). Θεὲ πανοικτίρμων, δὸς ἡμῖν τὸν πόθον τῆς μελέτης τῶν θείων σου λόγων, διὰ τῶν οἰκτιρμῶν τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΗΝ ΠΡΩΤΗΝ ΠΡΟΣ

## ΤΙΜΟΘΕΟΝ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ Τῌ ΛΑ΄. ΚΥΡΙΑΚῌ.

Ὁ παμμακάριστος καὶ πανένδοξος Τιμόθεος, ὁ τοῦ Κυρίου Ἰησοῦ Ἀπόστολος, πατρίδα μὲν εἶχε τὴν ἐν Λυκαωνίᾳ Λύστραν, υἱὸς δὲ ἦν πατρὸς Ἕλληνος, μητρὸς δὲ Ἰουδαίας. Αὐτὸς συνηριθμήθη εἰς τὸν χορὸν των μαθητῶν τοῦ Ἰησοῦ Χριστοῦ, πρὶν ἢ ὁ Παῦλος ἔλθῃ εἰς τὴν Λύστραν, ὡς ὁ θεηγόρος Λουκᾶς ἱστόρησεν (4)· ἐδιδάχθη δὲ ὑπὸ τῆς μητρὸς αὐτοῦ τὴν εἰς Χριστὸν πίστιν. Τοῦτο δὲ φανερὸν ἐκ τῶν λόγων τοῦ Παύλου, ὅςις πρὸς αὐτὸν ἔγραφεν· « Ὑπόμνησιν » λαμβάνω τῆς ἐν σοὶ ἀνυποκρίτου πίςεως, » ἥτις ἐνῴκησε πρῶτον ἐν τῇ μάμμῃ σου » Λωΐδι, καὶ τῇ μητρί σου Εὐνίκῃ » (5)· τοῦτον εὑρὼν εἰς τὴν Λύστραν ὁ Παῦλος, παρέλαβεν αὐτὸν μεθ' ἑαυτοῦ συμβοηθὸν

(1) Λουκ. 11, 28. (2) Ψαλ. 83, 10. (3) Αὐτ. 1, 2, 3. (4) Πραξ. 16, 1, 2. (5) Β΄. Τιμ. 1, 5



καὶ συνεργάτην εἰς τοῦ Εὐαγγελίου τὸ κήρυγμα. Περὶ δὲ τῶν ἀρετῶν τοῦ ἀνδρὸς τούτου μαρτυροῦσιν οἱ συστατικοὶ ἔπαινοι καὶ τὰ ἐγκώμια τοῦ αὐτοῦ Παύλου, ὅστις περὶ αὐτοῦ ἔγραφε πρὸς μὲν τοὺς Φιλιππησίους· « Τὴν δὲ δοκιμὴν αὐτοῦ γινώσκετε, ὅτι, » ὡς πατρὶ τέκνον, ἐμοὶ ἐδούλευσεν εἰς τὸ » Εὐαγγέλιον » (1)· πρὸς δὲ τοὺς Θεσσαλονικεῖς· « Ἐπέμψαμεν Τιμόθεον, τὸν ἀδελφὸν » ἡμῶν καὶ διάκονον τοῦ Θεοῦ καὶ συνεργὸν » ἡμῶν ἐν τῷ Εὐαγγελίῳ τοῦ Χριστοῦ » (2)· πρὸς δὲ τοὺς Κορινθίους· « Ἔπεμψα ὑμῖν » Τιμόθεον, ὅς ἐστί μου τέκνον ἀγαπητὸν » καὶ πιστὸν (3). Βλέπετε, μή τις αὐτὸν » ἐξουδενώσῃ· τὸ γὰρ ἔργον Κυρίου ἐργά- » ζεται, ὡς κᾀγώ » (4). Ἐπειδὴ δὲ προεχειρίσθη ἐπίσκοπος τῆς ἐκκλησίας τῶν Ἐφεσίων, διὰ τοῦτο δύο ἐπιστολὰς περὶ ποιμαντικῆς διοικήσεως ἔγραψε πρὸς αὐτὸν ὁ Παῦλος. Διὰ τῆς πρώτης, τῆς ἀπὸ Λαοδικείας πρὸς αὐτὸν πεμφθείσης, διδάσκει αὐτόν, ἵνα παραγγείλῃ τὴν ἀποχὴν τῶν ἀλλοκότων διδασκαλιῶν, καὶ τὴν νόμιμον χρῆσιν τοῦ νόμου· ἐκθέτει ἐκκλησιαστικοὺς κανόνας περὶ προσευχῆς, περὶ σιωπῆς τῶν γυναικῶν ἐν ταῖς ἐκκλησίαις, περὶ ἐπισκόπων καὶ πρεσβυτέρων, περὶ διακόνων, περὶ τῶν ἐν ταῖς ἐκκλησίαις ἀφιερωμένων χηρευουσῶν γυναικῶν, περὶ σωφροσύνης καὶ γάμου· παράγγελλε, λέγει πρὸς αὐτόν, εἰς τοὺς πλουσίους, ἵνα μὴ ὑπερηφανεύωνται, μηδὲ ἐλπίζωσιν ἐπὶ τῷ πλούτῳ αὐτῶν· « Ὦ Τιμόθεε, λέγει, τὴν παρακαταθήκην » φύλαξον » (5), παρακαταθήκην ὀνομάσας τὴν χάριν τοῦ παναγίου Πνεύματος, τὴν δοθεῖσαν αὐτῷ « Διὰ προφητείας μετὰ » ἐπιθέσεως τῶν χειρῶν τοῦ πρεσβυτε- » ρίου » (6). Ἡ σήμερον ἀναγνωσθεῖσα περικοπὴ ταύτης τῆς ἐπιστολῆς διαλαμβάνει περὶ τῆς τοῦ Θεοῦ μακροθυμιας· ἀνακηρύττει δὲ τὴν ἐνέργειαν αὐτῆς ὁ θεόπνευστος συγγραφεύς, τὸ ἑαυτοῦ προβάλλων παράδειγμα. Ἐπειδὴ δὲ πάντες χρείαν ἔχομεν τῆς θείας μακροθυμίας, μετὰ προσοχῆς ἀκούσατε τοῦ ἀναγνωσθέντος ἀποστολικοῦ λόγου τὴν ἑρμηνείαν, ἵνα κατανοήσαντες τὰ θαυμάσια αὐτῆς ἔργα, ἀπολαύσητε τῆς ἐξ αὐτῆς προερχομένης σωτηρίας.

*Τέκνον Τιμόθεε, πιστὸς ὁ λόγος, καὶ πάσης ἀποδοχῆς ἄξιος, ὅτι Χριστὸς ἦλθεν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτός εἰμι ἐγώ* (7).

Τίς ἐστιν ὁ λόγος ὁ πιστός, καὶ πάσης ἀποδοχῆς ἄξιος; « Ὅτι Χριστὸς ἦλθεν εἰς » τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι ». Οὗτός ἐστιν ὁ λόγος ὁ πιστός, καθότι ἐστὶ λόγος τοῦ Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ· αὐτός πρῶτος ἐκήρυξε τοῦτον τὸν λόγον· « Οὐκ ἦλθον, εἶπε, καλέσαι δικαίους, » ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν » (8)· Ἔπειτα ἐπανέλαβεν αὐτὸν ὁ Παῦλος· καὶ πιστὸς μέν ἐστιν, ἤγουν ἀληθινὸς καὶ βέβαιος οὗτος ὁ λόγος, καθότι ἐστὶ λόγος αὐτοῦ τοῦ Θεοῦ· ἄξιος δὲ πάσης ἀποδοχῆς, ἐπειδὴ ἐξορίζει τὸν διὰ τῆς ἁμαρτίας ἀπελπισμόν, καὶ φέρει ἐπιστροφὴν καὶ μετάνοιαν, ἥτις προξενεῖ τὴν αἰώνιον σωτηρίαν. Βλέπε δέ, πῶς βεβαιῶν τὴν ἀλήθειαν τούτου τοῦ θείου λόγου διὰ τοῦ ἰδίου αὐτοῦ παραδείγματος, μέγα θάῤῥος ἐνστάζει εἰς τὴν καρδίαν πάντων, τῶν διὰ τὸ πλῆθος καὶ βάρος τῶν ἁμαρτιῶν αὐτῶν ἀπελπιζομέ-

(1) Φιλιπ. 2, 22. (2) Α΄. Θεσ. 3, 2,. (3) Α΄. Κορ. 4, 17. (4) Αὐτ. 16, 11. (5) Α΄, Τιμ. 6, 20·
(6) Αὐτ. 4, 14. (7) Αὐτ. 1, 15. (8) Λουκ. 5, 32.

νων, καὶ μὴ προσερχομένων πρός τὸν Ἰησοῦν Χριστόν, ὅστις διὰ τοῦτο ἦλθεν εἰς τὸν κόσμον, ἵνα τοὺς ἁμαρτωλοὺς σώσῃ· ἐγώ, λέγει, εἰμὶ πρῶτος τῶν ἁμαρτωλῶν (1), ἤγουν πάντων τῶν ἁμαρτωλῶν ἁμαρτωλότερος, ἐπειδὴ ἐβλασφήμησα τοῦ Ἰησοῦ Χριστοῦ τὸ ὄνομα, καὶ ἐδίωξα τοὺς εἰς αὐτὸν πιστεύοντας, καὶ ὕβρισα τὴν πρὸς αὐτὸν πίστιν.

*Ἀλλὰ διὰ τοῦτο ἠλεήθην, ἵνα ἐν ἐμοὶ πρώτῳ ἐνδείξηται Ἰησοῦς Χριστὸς τὴν πᾶσαν μακροθυμίαν, πρὸς ὑποτύπωσιν τῶν μελλόντων πιστεύειν ἐπ' αὐτῷ εἰς ζωὴν αἰώνιον* (2).

Διὰ τοῦτο, λέγει, ὁ Ἰησοῦς Χριστὸς ἠλέησεν ἐμέ, τὸν ὑπὲρ τοὺς ἄλλους ἁμαρτήσαντα, ἵνα δείξῃ ἐν ἐμοὶ πᾶσαν τὴν θείαν αὐτοῦ μακροθυμίαν, καὶ καταστήσῃ με τύπον καὶ παράδειγμα πάντων τῶν ἁμαρτωλῶν, ὅσοι μέλλουσι πιστεῦσαι εἰς αὐτόν, καὶ διὰ τῆς πίστεως κληρονομῆσαι τὴν αἰώνιον ζωήν. Κατὰ δύο τρόπους δὲ ὁ Ἰησοῦς Χριστὸς ἔδειξεν εἰς αὐτὸν πᾶσαν τὴν ἑαυτοῦ μακροθυμίαν, ἤγουν μεγάλην καὶ ὑπερβολικὴν μακροθυμίαν· πρῶτον, ἐπειδὴ παραβλέψας τὰς ἁμαρτίας αὐτοῦ, ἐκάλεσεν αὐτὸν οὐρανόθεν πρὸς μετάνοιαν καὶ τὴν εἰς αὐτὸν πίστιν, εἰπών· « Σαούλ, Σαούλ, τί » με διώκεις; ἐγώ εἰμι Ἰησοῦς, ὃν σὺ διώ» κεις » (3)· σκληρόν σοι πρὸς κέντρα λακτίζειν· δεύτερον, ἐπειδὴ κατηξίωσεν αὐτὸν τοῦ ἀποστολικοῦ χαρίσματος, καὶ ἀνεβίβασεν αὐτὸν ἕως τρίτου οὐρανοῦ, ὅπου «ἤκου» σεν ἄρρητα ῥήματα, ἃ οὐκ ἐξὸν ἀνθρώ» πῳ λαλῆσαι » (4), καὶ ἀποκαλύψας εἰς αὐτὸν τῆς πίστεως τὰ μυστήρια, ἐνεχείρισεν αὐτῷ τοῦ Εὐαγγελίου τὸ κήρυγμα· εὐλόγως οὖν εἶπεν, ὅτι ἠλέησεν αὐτὸν ὁ Χριστός, ἵνα καταστήσῃ αὐτὸν παράδειγμα πάντων τῶν εἰς αὐτὸν πιστευόντων· παράδειγμα, διδάσκον καὶ κηρύττον, ὅτι οἱ εἰς τὸν Χρστὸν πιστεύοντες οὐ μόνον τῆς ἀφέσεως τῶν ἁμαρτιῶν ἀξιοῦνται, ἀλλὰ καὶ τῶν μεγάλων καὶ ὑπερφυῶν τοῦ Θεοῦ χαρισμάτων· ἐπειδὴ δὲ ἀνεμνήσθη ὁ τρισμακάριος, πόσον ἠλέησεν αὐτὸν ὁ Θεός, ἔτρεψε τὸν λόγον εἰς δοξολογίαν τοῦ ἐλεήσαντος αὐτόν, λέγων·

*Τῷ δὲ Βασιλεῖ τῶν αἰώνων, ἀφθάρτῳ, ἀοράτῳ, μόνῳ σοφῷ Θεῷ, τιμὴ καὶ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν* (5).

Ὁ αἰὼν σημαίνει ἀπροσδιορίστως καιρόν· διωρισμένως δέ, ἔτη ἑκατόν· σημαίνει δὲ πρὸς τούτοις καὶ καιρὸν ἀτελεύτητον καὶ ἀπέραντον· βασιλεὺς δὲ τῶν αἰώνων λέγεται ὁ Θεός, ἐπειδὴ ἔχει ὑπὸ τὴν ἐξουσίαν αὐτοῦ τοὺς καιροὺς καὶ τοὺς χρόνους· ἐδίδαξε τοῦτο ὁ Κύριος πρὸς τοὺς Ἀποστόλους· « Οὐχ ὑμῶν, εἶπεν, ἐστὶ γνῶναι χρόνους ἢ καιρούς, οὓς ὁ Πατὴρ ἔθετο ἐν τῇ » ἰδίᾳ ἐξουσίᾳ » (6)· αὐτὸς καὶ συντέμνει τοὺς καιροὺς κατὰ τό, « Ἐσμίκρυνας τὰς » ἡμέρας τοῦ χρόνου αὐτοῦ » (7)· ἔτι δὲ καὶ κατὰ τό, « Εἰ μὴ Κύριος ἐκολόβωσε » τὰς ἡμέρας ἐκείνας, οὐκ ἂν ἐσώθη πᾶσα » σάρξ » (8)· καὶ προάγει καὶ παρεκτείνει αὐτοὺς κατὰ τὸ « Μακρότητα ἡμερῶν ἐμ» πλήσω αὐτόν » (9)· καὶ μεταβάλλει δὲ αὐτοὺς κατὰ τὴν θείαν αὐτοῦ θέλησιν, κα-

(1) Α. Τιμ. 1, 15. (2) Αὐτ. 1, 16. (3) Πράξ. 9, 4. 5. (4) Β'. Κορ. 12, 4. (5) Α. Τιμ. 1, 17·
(6) Πράξ. 1, 7. (7) Ψαλμ. 88, 45. (8) Μάρκ. 13, 20. (9) Ψαλμ. 96, 16.



θὼς μετέβαλε τὰς ὥρας τῆς ἡμέρας, ὅταν ὁ Ἰησοῦς τοῦ Ναυῆ ἐπολέμει τοὺς Γαβαωνίτας (1), καὶ ὅταν ὁ μονογενὴς Υἱὸς αὐτοῦ ἐκρέματο εἰς τὸ ξύλον τοῦ σταυροῦ (2)· ἄφθαρτος δὲ ὁ Θεὸς οὐ μόνον, καθότι ἐστὶν αἰώνιος καὶ ἀτελεύτητος, ἀλλὰ καὶ καθότι οὐδεμίαν οὐδέποτε πάσχει μεταβολὴν ἢ ἀλλοίωσιν· ἀόρατος δέ, καθότι ἐστὶ πνεῦμα νοερὸν ἄϋλον· διὸ καὶ ἐῤῥέθη· « Θεὸν οὐδεὶς » ἑώρακε πώποτε » (3). Ἐπειδὴ δὲ οὐδεὶς τῶν ἀνθρώπων ἐστὶ βασιλεὺς τῶν αἰώνων, οὐδὲ ἄφθαρτος, οὐδὲ ἀόρατος, σοφοὶ δὲ ἄνθρωποί εἰσι πολλοί· διὰ τοῦτο εἰπὼν τὸν Θεὸν σοφόν, προσέθηκε τό, « Μόνῳ σοφῷ » Θεῷ », ἵνα διὰ τούτου παραστήσῃ, ὅτι εἷς καὶ μόνος ὁ Θεός ἐστι κατὰ φύσιν σοφός, καὶ τῆς σοφίας ἡ πηγή, οἱ δὲ ἄνθρωποι κατὰ χάριν διὰ πόνου καὶ κόπου ὑπ' αὐτοῦ τοῦ Θεοῦ ἀξιοῦνται τοῦ τῆς σοφίας χαρίσματος. Δοξολογῶν οὖν τὸν Θεὸν ὁ θεόπνευστος Ἀπόστολος, θεολογεῖ, θεολογῶν δέ, κηρύττει τὰ θεῖα αὐτοῦ ἰδιώματα, ἤγουν τὴν παντοδυναμίαν καὶ παντεξουσιότητα διὰ τοῦ, « Βασιλεῖ τῶν αἰώνων »· τὸ αἰώνιον καὶ ἀμετάβλητον, διὰ τοῦ, « Ἀφθάρτῳ »· τὸ ἀσώματον καὶ ἄϋλον, διὰ τοῦ, « Ἀοράτῳ »· τὸ πάνσοφον καὶ πανυπερτέλειον, διὰ τοῦ, « Μόνῳ σοφῷ » Θεῷ ». Εἰς αὐτὸν δὲ τὸν Θεόν, λέγει, πρέπει ἡ τιμὴ καὶ ἡ δόξα οὐχὶ πρὸς καιρόν, ἀλλ' εἰς τοὺς ἀπεράντους αἰῶνας τῶν αἰώνων· τὸ δέ, « Ἀμήν », βεβαιωτικόν ἐστι, καὶ δηλοῖ τό, βεβαίως καὶ ἀναμφιβόλως οὕτω πρέπον ἐστὶ καὶ δίκαιον.

# ΟΜΙΛΙΑ

ΜΕΤΑ ΤΗΝ ΠΡΩΤΗΝ ΠΡΟΣ

## ΤΙΜΟΘΕΟΝ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗι ΛΑ'. ΚΥΡΙΑΚΗι.

ΕΠΕΙΔΗ ὁ Ἰησοῦς Χριστὸς διὰ τοῦτο ἦλθεν εἰς τὸν κόσμον, ἵνα σώσῃ τοὺς ἁμαρτωλούς, ὡς σήμερον ἐδίδαξεν ἡμᾶς ὁ θεῖος Ἀπόστολος, τίς ἀμφιβάλλει, ὅτι τοῦ Θεοῦ ὁ σκοπὸς καὶ εὐοδώθη καὶ εὐοδοῦται, καὶ ἔλαβε καὶ λαμβάνει τὴν τελείαν αὐτοῦ ἔκβασιν ἕως τῆς συντελείας τοῦ αἰῶνος; « Τῷ γὰρ » θελήματι αὐτοῦ τίς ἀνθέστηκε; » (4) Τίς δύναται ἀμφιβάλλειν περὶ τούτου, ὅταν βλέπῃ, ὅτι καὶ αὐτὰ τὰ πράγματα βεβαιοῦσι ταύτην τὴν ἀλήθειαν. Ὁ Ἰησοῦς Χριςὸς ἐλθὼν εἰς τὸν κόσμον, ἔσωσε πόρνας, ἔσωσε τελώνας, ἔσωσε λῃστάς, ἔσωσε διώκτας, ἔσωσε καὶ αὐτοὺς τοὺς ἀρνηθέντας αὐτόν· ταῦτα δὲ « Οὐκ εἰσὶ λαλιαί, οὐδὲ λόγοι, ὧν » οὐχὶ ἀκούονται αἱ φωναὶ αὐτῶν » (5), ἀλλ' εἰσὶ πράγματα πεποιημένα, καὶ τετελεσμένα, καὶ μεμαρτυρημένα ὑπὸ τῶν

(1) Ἰησ. 12. 14. (2) Λουκ. 23, 45. (3) Ἰωάν. 1, 18. (4) Ῥωμ. 9, 19. (5) Ψαλμ. 18, 3.

ἁγίων Εὐαγγελιστῶν, οἵτινες « Ἀπ' ἀρχῆς » αὐτόπται καὶ ὑπηρέται γενόμενοι τοῦ » λόγου » (1), ἤγουν τοῦ σαρκωθέντος Υἱοῦ καὶ Λόγου τοῦ Θεοῦ, ἰδίοις ὀφθαλμοῖς ταῦτα εἶδον, καὶ πληροφορίαν ἔχοντες, ἐκήρυξαν αὐτὰ εἰς πᾶσαν τὴν οἰκουμένην. Ταῦτα ἀληθῶς πληροῦσι τὴν καρδίαν ἡμῶν τῶν ἁμαρτωλῶν θάῤῥους μεγάλου, ἐλπίδος βεβαίας, καὶ τελείας πληροφορίας περὶ τῆς ἡμῶν σωτηρίας. Ἀλλ' ἆρά γε συμφέρει, ἵνα ἡμεῖς ἐπὶ τούτοις θαῤῥήσαντες, ἀποῤῥίψωμεν πᾶσαν φροντίδα διορθώσεως, ζῶμεν δὲ ἐν ταῖς ἁμαρτίαις ἡμῶν ἀπεριμερίμνως; οὐαὶ ἡμῖν, ἐὰν τοῦτο πράττωμεν. Ἀλλ' ὁ Χριςός, λέγεις, διὰ τοῦτο ἦλθεν εἰς τὸν κόσμον, ἵνα σώσῃ τοὺς ἁμαρτωλούς· αὐτὸς οὖν ἔχει τῆς σωτηρίας μου τὴν φροντίδα, οὐχὶ δὲ ἐγώ. Ἀληθῶς αὐτὸς φροντίζει περὶ τῆς σωτηρίας σου, πλὴν ζητεῖ καὶ τὴν συγκατάθεσιν τῆς θελήσεώς σου, καὶ τὴν ἐργασίαν τῆς ἀρετῆς σου· « Ἐὰν θέλητε, » εἶπε, καὶ εἰσακούσητέ μου, τὰ ἀγαθὰ » τῆς γῆς φάγεσθε· ἐὰν δὲ μὴ θέλητε, μηδὲ » εἰσακούσητέ μου, μάχαιρα ὑμᾶς κατέ» δεται (2). Εἴτις θέλει, εἶπεν, ὀπίσω μου » ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτόν, καὶ ἀράτω » τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω » μοι » (3). Ὁ Ἰησοῦς Χριστός, λέγεις, ὅστις ἐφρόντισε περὶ τῆς σωτηρίας τοῦ Παύλου, τοῦ πρώτου τῶν ἁμαρτωλῶν, καὶ ἐκάλεσεν αὐτὸν ἐξ οὐρανοῦ, καὶ ἔδωκεν αὐτὸν τύπον καὶ παράδειγμα τῆς σωτηρίας, ὡς αὐτὸς ὁ Παῦλος ἐβεβαίωσεν, εἰπών· « Ἀλλὰ διὰ τοῦτο ἠλεήθην, ἵνα ἐν ἐμοὶ » πρώτῳ ἐνδείξηται Ἰησοῦς Χριστὸς τὴν » πᾶσαν μακροθυμίαν, πρὸς ὑποτύπωσιν » τῶν μελλόντων πιστεύειν ἐπ' αὐτῷ εἰς » ζωὴν αἰώνιον » (4)· αὐτὸς φροντίζει καὶ περὶ τῆς σωτηρίας μου. Καλῶς καὶ εὐστόχως ἐλάλησας· πολιτεύου οὖν κατὰ τὸ παράδειγμα τοῦ Παύλου, τὸ ὑπὸ τοῦ Θεοῦ προβαλλόμενον, ἔπειτα μένε ἀμέριμνος περὶ τῆς σωτηρίας σου, ὅσον θέλεις καὶ ἐπιθυμεῖς. Ἵνα οὖν μηδεὶς πλανηθῇ, ἀπερισκέπτως ἐκλαμβάνων τὸ παράδειγμα τοῦ Παύλου, ἱστορῶ εγὼ σήμερον τὰ πρὸ τῆς ἐπιστροφῆς αὐτοῦ ἁμαρτήματα, καὶ τῆς ἐπ' αὐτῷ μακροθυμίας τοῦ Θεοῦ τὸ ὕψος· ἱστορῶ δέ, ὅσον δύναμαι, καὶ τὰ κατορθώματα τῆς ἀρετῆς, ὅσα αὐτὸς μετὰ τὴν ἐπιστροφὴν αὐτοῦ ἐποίησεν· ἐκ ταύτης δὲ τῆς ἱστορίας καθεὶς μανθάνει, ἵνα μὴ ἐπιβλέπων μόνον εἰς τὰ ἁμαρτήματα τῶν σωθέντων ἁμαρτωλῶν, μένῃ ἀμέριμνος, ἀλλὰ παρατηρῶν καὶ τὰς περιςάσεις τῶν ἁμαρτημάτων, καὶ τῆς ἐπιστροφῆς αὐτῶν τὰ ἔργα, φροντίζῃ, ὡς πρέπει, περὶ τῆς ἰδίας διορθώσεως καὶ τῆς ἐργασίας τῶν ἀρετῶν.

Ὁ πρωτομάρτυς καὶ πρωτοδιάκονος, ὁ Στέφανος, ποιεῖ « Τέρατα καὶ σημεῖα με» γάλα ἐν τῷ λαῷ » (5). Μετὰ τοσαύτης δὲ παῤῥησίας κηρύττει ἐνώπιον τοῦ συνεδρίου τὴν εἰς Χριστὸν πίστιν, ὥστε καὶ οἱ ἀρχιερεῖς, καὶ οἱ προεστῶτες, καὶ διδάσκαλοι τοῦ ἰουδαϊσμοῦ, οἱ ἐκεῖ καθήμενοι, βλέποντες τὸ πρόσωπον αὐτοῦ ὡς πρόσωπον ἀγγέλου, καὶ ἀκούοντες τὴν ἐκ τοῦ στόματος αὐτοῦ ἐπουράνιον διδασκαλίαν, μὴ δυνάμενοι μηδὲ ἀντισταθῆναι, μηδὲ κἂν ἀποκριθῆναι ὅλως πρὸς αὐτόν· « Διεπρίοντο ταῖς καρδί» αις αὐτῶν, καὶ ἔβρυχον τοὺς ὀδόντας αὐ» τῶν ἐπ' αὐτόν » (6)· ὥρμησαν δὲ ὁμοθυμαδόν, ἵνα λιθοβολήσωσι τὸν κήρυκα τῆς πίστεως. Ἐν μέσῳ δὲ τούτων τῶν ἀδίκων

(1) Λουκ. 1, 2. (2) Ἠσ. 1, 19, 20. (3) Ματθ. 16, 24. (4) Α'. Τιμ. 1, 16. (5) Πράξ. 6, 8.
(6) Αὐτ. 7, 54.



καὶ ἀσπλάγχνων φονέων εὑρίσκεται ὁ Παῦλος σύμφωνος τῇ ἀνομίᾳ αὐτῶν, καὶ συνεργὸς καὶ συμβοηθός· καὶ οἱ μὲν φονεῖς ἐκεῖνοι, ἵνα ἰσχυρῶς καὶ θανατηφόρως ῥίπτωσι τοὺς λίθους κατὰ τοῦ Στεφάνου, ἐξεδύθησαν τὰ ἐμποδίζοντα αὐτοὺς ἱμάτια· ὁ δὲ Παῦλος,, ἵνα θαρσοποιήσῃ αὐτοὺς πρὸς τὴν φονοκτονίαν, ἐφύλαττε τὰ ἱμάτια αὐτῶν ἐν ὅσῳ αὐτοὶ ἐλιθοβόλουν. Ταῦτα οὐ μόνον ὁ ἱερὸς Λουκᾶς ἱςόρησεν (1), ἀλλὰ καὶ αὐτὸς ὁ Παῦλος ἐξωμολογήσατο ἐνώπιον Κυρίου, λέγων· « Καὶ ὅτε ἐξεχεῖτο τὸ αἷμα Στεφά» νου τοῦ μάρτυρός σου, καὶ αὐτὸς ἤμην » ἐφεστώς, καὶ συνευδοκῶν τῇ ἀναιρέσει » αὐτοῦ, καὶ φυλάσσων τὰ ἱμάτια τῶν ἀ» ναιρούντων αὐτόν » (2). Ἐπειδὴ δὲ καὶ ὁ λόγος πείθει, καὶ οἱ νόμοι ὁρίζουσιν, ὅτι καὶ οἱ πράττοντες τὴν ἁμαρτίαν, καὶ οἱ συνεργοῦντες πρὸς τὴν πρᾶξιν αὐτῆς, ἐπίσης ἁμαρτάνουσι, φανερόν ἐστιν, ὅτι καὶ ὁ Παῦλος, ὁ συνεργὸς καὶ συμβοηθὸς τοῦ λιθασμοῦ, ἐλιθοβόλησε, καὶ ἐξέχεε τὸ αἷμα τοῦ πρωτομάρτυρος. Καὶ ἡ μὲν Μαριὰμ ἕνα μόνον περιφρονητικὸν λόγον εἶπε κατὰ τοῦ κήρυκος τοῦ τυπικοῦ νόμου, ἤγουν τοῦ ἀδελφοῦ αὐτῆς, τοῦ Μωϋσέως· « Μὴ Μωϋσῇ, » εἶπε, μόνῳ λελάληκε Κύριος;» (3) καὶ εὐθὺς ἡ δικαιοσύνη τοῦ Θεοῦ ἐπαίδευσεν αὐτήν· « Καὶ ἰδοὺ Μαριὰμ λεπρῶσα ὡσεὶ » χιών » (4). Ὁ δὲ Παῦλος λιθοβολεῖ τῆς εὐαγγελικῆς ἀληθείας τὸν κήρυκα, κρύπτει τὸν ἀστέρα τῆς ἐκκλησίας τὸν πάμφωτον, σβεννύει τὸν λύχνον τῆς πίστεως τὸν ὑπέρλαμπρον, συντρίβει τὴν διαπρύσιον τοῦ Εὐαγγελίου σάλπιγγα, καὶ ὅμως μένει ἀτιμώρητος· ἀργεῖ δι' αὐτὸν ἡ θεία δικαιοσύνη, καὶ ἐνεργεῖ ἐν αὐτῷ τοῦ Θεοῦ ἡ μακροθυμία.

Κατ' ἐκείνην τὴν ἡμέραν, ἐν ᾗ ἐλιθοβολήθη ὁ Στέφανος, τόσον φοβερὸς διωγμὸς ἐκινήθη κατὰ τῆς τοῦ Χριστοῦ ἐκκλησίας, ὥστε πάντες οἱ τοῦ Ἰησοῦ Χριστοῦ μαθηταὶ φοβηθέντες, ἔφυγον ἐκ τῆς Ἱερουσαλήμ, καὶ « Διεσπάρησαν κατὰ τὰς χώρας τῆς » Ἰουδαίας καὶ Σαμαρείας, πλὴν τῶν ἀπο» στόλων » (5). Τούτου τοῦ διωγμοῦ ἀρχηγὸς ἐγένετο καὶ ἐργάτης δραστικώτατος ὁ Παῦλος· ἔτρεχεν αὐτὸς μετὰ μεγάλης ὁρμῆς εἰς πᾶσαν οἰκίαν, ὅσους δὲ εὕρισκε πιςούς, κἂν ἄνδρες ἦσαν, κἂν γυναῖκες, βιαίως σύρων αὐτούς, ἔῤῥιπτεν εἰς τὴν φυλακήν· « Σαῦλος δέ, λέγει ὁ θεῖος Λουκᾶς, ἐλυμαί» νετο τὴν ἐκκλησίαν, κατ' οἴκους εἰσπορευ» όμενος, σύρων τε ἄνδρας καὶ γυναῖκας, » παρεδίδου εἰς φυλακήν » (6). Ὅτι δὲ μέγας καὶ ὑπερβολικὸς οὗτος ὁ διωγμός, μαρτυρεῖ καὶ αὐτὸς ὁ Παῦλος γράφων· « Ἠ» κούσατε γὰρ τὴν ἐμὴν ἀναστροφήν ποτε » ἐν τῷ ἰουδαϊσμῷ, ὅτι καθ' ὑπερβολὴν ἐ» δίωκον τὴν ἐκκλησίαν τοῦ Θεοῦ, καὶ ἐ» πόρθουν αὐτήν » (7). Ἡ ἐκκλησία τοῦ Θεοῦ τότε ἦν ὡς ἄμπελος νεόφυτος καὶ τρυφερά, καὶ πολλὴν ἔχουσα χρείαν γεωργικῆς ἐπιμελείας· ὁ δὲ Παῦλος ὡς μονιὸς ἄγριος κατέφθειρεν αὐτήν, καὶ παντὶ τρόπῳ ἐκριζῶσαι αὐτὴν ἠγωνίζετο. Καὶ σχίζεται μὲν ἡ γῆ, καὶ καταπίνει τὸν Δαθὰν καὶ τὸν Ἀβειρών, « Καὶ πάντας τοὺς ἀνθρώπους, » τοὺς ὄντας μετὰ Κορέ » (8)· ἐξέρχεται δὲ πῦρ παρὰ Κυρίου, καὶ κατατρώγει τοὺς πεντήκοντα καὶ διακοσίους ἄνδρας, ἐπειδὴ αὐτοὶ ἐτόλμησαν συγχύσαι τὴν νομικὴν ἐκκλησίαν, θελήσαντες ἱερατεύειν, καθὼς καὶ ὁ μέγας ἱερεὺς ὁ Ἀαρών (9). Ὁ Παῦλος διώκει, δέρει, σύρει, φυλακίζει, καὶ σκορπίζει

(1) Πράξ. 7, 58. (2) Αὐτ. 22, 20. (3) Ἀριθμ. 12. (4) Αὐτ. 10. (5) Πράξ. 8, 1. (6) Αὐτ. 3.
(7) Γαλ. 1, 13. (8) Ἀριθμ. 16, 32. (9) Αὐτ. 35.

τῆς εὐαγγελικῆς ἐκκλησίας τὰ μέλη, καὶ ὅμως ὁ Θεός μακροθυμεῖ, καὶ οὐδόλως αὐτόν παιδεύει.

Ὅσον δὲ ὁ Θεὸς μακροθυμεῖ ἐπὶ ταῖς ἁμαρτίαις τοῦ Παύλου, τόσον ὁ Παῦλος φλογίζεται ὑπὸ τοῦ θυμοῦ ἐναντίον εἰς τοὺς μαθητὰς τοῦ Ἰησοῦ Χριστοῦ· ἀφ' οὗ κατεδίωξε καὶ κατεσκόρπισε τοὺς ἐν Ἱερουσαλὴμ ἁγίους, ὁρμᾷ, ἵνα φονεύσῃ καὶ πάντας τοὺς ἐν τῇ Δαμασκῷ χριστιανούς· λαμβάνει ἔγγραφον ἐξουσίαν παρὰ τοῦ ἀρχιερέως τῶν Ἰουδαίων, ἵνα ἐλθὼν εἰς τὴν Δαμασκόν, ἐκεῖθεν φέρῃ εἰς τὰ Ἱεροσόλυμα δεδεμένους, ὅσους εὕρῃ πιςούς, ἄνδρας τε καὶ γυναῖκας· « Ὁ δὲ Σαῦλος, ἔτι ἐμπνέων ἀπειλῆς καὶ » φόνου εἰς τοὺς μαθητὰς τοῦ Κυρίου, προ- » σελθὼν τῷ ἀρχιερεῖ, ἠτήσατο παρ' αὐτοῦ » ἐπιστολὰς εἰς Δαμασκὸν πρὸς τὰς συνα- » γωγάς, ὅπως, ἐάν τινας εὕρῃ τῆς ὁδοῦ » ὄντας ἄνδρας τε καὶ γυναῖκας, δεδεμέ- » νους ἀγάγῃ εἰς Ἱερουσαλήμ » (1). Ἀκούετε, τίνα σκοπὸν ἔχει; ἐξαλεῖψαι βούλεται παντελῶς τὴν ἐκκλησίαν τοῦ Χριστοῦ. Τί δὲ ποιεῖ ὁ Θεὸς ἐναντίον αὐτοῦ; ἆρά γε ῥίπτει ἐξ οὐρανοῦ λίθους χαλάζης, ἵνα ἀποκτείνῃ αὐτόν, καθὼς ἀπέκτεινε τοὺς πέντε βασιλεῖς τῶν Ἰεβουσαίων καὶ ὅλον τὸ ςράτευμα αὐτῶν, ὅταν ὥρμησαν πολεμῆσαι τὸν Ἰησοῦν τοῦ Ναυῆ, καὶ τὸν μετ' αὐτοῦ Ἰσραηλιτικὸν λαόν; (2) ἆρά γε ἔρχεται « Ἄγγελος Κυρίου » (3), ἵνα θανατώσῃ αὐτόν, καθὼς ἐθανάτωσεν ὀγδοήκοντα πέντε χιλιάδας Ἀσσυρίων, ὅταν ἐτόλμησαν πολιορκῆσαι τὴν ἁγίαν πόλιν Ἱερουσαλήμ; ἆρά γε κατέρχεται πῦρ ἐξ οὐρανοῦ κατακαῦσαι αὐτόν, καθὼς κατέκαυσε τοὺς δύο πεντηκοντάρχους μετὰ τῆς πεντηκονταρχίας αὐτῶν, ὅταν ἦλθον ἐπιβουλεῦσαι τὴν ζωὴν τοῦ προφήτου Ἠλιού; (4) Διὰ τὸν Παῦλον οὐδὲ πετρώδης χάλαζα, οὐδὲ ἀγγέλου μάχαιρα, οὐδὲ πῦρ ἐξ οὐρανοῦ· ἀλλ' ἀντὶ μὲν χαλάζης φῶς οὐράνιον περιαστράπτει αὐτόν, ἀντὶ δὲ θανατηφόρου μαχαίρας, φωνὴ γλυκεῖα, προσκαλοῦσα αὐτόν· « Σαούλ, » Σαούλ, τί μὲ διώκεις;» (5) καὶ ἀποκάλυψις, δηλοποιοῦσα τὴν ἀληθῆ θεογνωσίαν· « Ἐγώ εἰμι Ἰησοῦς, ὃν σὺ διώκεις » (6). Ἀντὶ δὲ καυστικοῦ πυρός, ὕδωρ βαπτίσματος, ζωοποιοῦν αὐτόν· διότι ἐλθὼν αὐτὸς εἰς τὴν Δαμασκόν, τυφλὸς ἀπὸ τῆς δόξης τοῦ περιαστράψαντος αὐτὸν φωτός, ἐκεῖ δὲ βαπτίσας αὐτὸν ὁ Ἀπόστολος Ἀνανίας, ἐθεράπευσε τοῦ σώματος καὶ τῆς ψυχῆς αὐτοῦ τὴν τύφλωσιν.

« Ὦ βάθος πλούτου καὶ σοφίας καὶ γνώ- » σεως Θεοῦ » (7). Εἰς τοὺς διώκτας τῶν ἀνθρώπων καὶ τῶν πόλεων τόση φοβερὰ τιμωρία· εἰς τὸν διώκτην τῆς ἐκκλησίας τόση ἄμετρος εὐσπλαγχνία· « Ὡς ἀνεξε- » ρεύνητα τὰ κρίματα αὐτοῦ, καὶ ἀνεξι- » χνίαστοι αἱ ὁδοὶ αὐτοῦ » (8). Ἀληθῶς διὰ τὸν Παῦλον « Κατακαυχᾶται ἔλεος κρί- » σεως »· Μέγας Κύριος, καὶ μεγάλη ἡ μακροθυμία καὶ τὸ ἔλεος αὐτοῦ· τὸν διώκτην τῆς ἐκκλησίας ἠξίωσε θείου φωτός, τὸν ὑβρίζοντα, καὶ δέροντα, καὶ φυλακίζοντα τοὺς ἁγίους αὐτοῦ, προσεκάλεσε διὰ τῆς θείας αὐτοῦ φωνῆς, τὸν βλασφημοῦντα τὸ ἅγιον αὐτοῦ ὄνομα ἐποίησε κήρυκα τοῦ Εὐαγγελίου, καὶ κατέστησεν αὐτὸν Ἀπόςολον καὶ διδάσκαλον τῶν θείων αὐτοῦ μυςηρίων. Ἄλλο τοιοῦτον παράδειγμα οὐδόλως φαίνεται εἰς τὰς Θείας Γραφάς· δικαίως οὖν ἔλεγεν ὁ Παῦλος. ὅτι ὁ Χριστὸς ἔδειξεν εἰς

(1) Πράξ. 9, 1, 2. (2) Ἰησ. 10, 5, 11. (3) Ἡσ. 37, 36. (4) Δ'. Βασ. 1, 10, 11. (5) Πράξ. 9, 4, (6) Αὐτ. 5. (7) Ῥωμ. 11, 33. (8) Ἰακ. 2, 29.



αὐτὸν « Τὴν πᾶσαν μακροθυμίαν » (1)· δικαίως ἔλεγεν· « Οὗ δὲ ἐπλεόνασεν ἡ ἁμαρ- » τία, ὑπερεπερίσσευσεν ἡ χάρις » (2). Εὐλογοφανῶς καὶ ἡμεῖς οἱ ἁμαρτωλοὶ ἀκούοντες, ὅτι ὁ Θεὸς ἔδειξεν εἰς αὐτὸν « Τὴν » πᾶσαν μακροθυμίαν », πρὸς ὑποτύπωσιν τῶν μελλόντων πιστεύειν εἰς ζωὴν αἰώνιον, λαμβάνομεν θάῤῥος καὶ ἐλπίδα τῆς ἡμῶν σωτηρίας.

Ἀλλ', ἐὰν ἐρευνήσωμεν τὸ αἴτιον τῶν ἁμαρτημάτων τοῦ Παύλου, τῶν πρὸ τῆς ἐπιστροφῆς αὐτοῦ, καὶ τὰ μετὰ τὴν ἐπιστροφὴν αὐτοῦ μεγάλα καὶ ἐξαίσια τῆς ἀρετῆς αὐτοῦ κατορθώματα, μεταβάλλεται τὸ θάῤῥος ἡμῶν εἰς δειλίαν, καὶ ἡ ἐλπὶς τῆς σωτηρίας ἡμῶν εἰς παντελῆ σχεδὸν ἀπελπισμόν. Ὁ Παῦλος ἐγεννήθη καὶ ἀνετράφη ὑπὸ Ἑβραίων· « Ἑβραῖος ἐξ Ἑβραίων » (3). Ὁ Γαμαλιήλ, ἐπισημότατος τότε διδάσκαλος τῆς τῶν Ἑβραίων θρησκείας ἐδίδαξεν αὐτὸν τὰ τοῦ μωσαϊκοῦ νόμου, καὶ τὰ ἰουδαϊκὰ ἔθη ἐν αὐτῇ τῇ πόλει Ἱερουσαλήμ, ὅπου ὁ ἰουδαϊσμός, μεμιγμένος μετὰ πολλῶν δεισιδαιμονιῶν, ἤκμαζε καὶ ἐβασίλευεν· ἡ τοιαύτη ἀνατροφὴ καὶ παιδαγωγία ἐπλήρωσε τὴν καρδίαν αὐτοῦ ζήλου ὑπὲρ τῶν πατρικῶν αὐτοῦ παραδόσεων· ὅθεν ἐφιλοτιμεῖτο καὶ ἐσπούδαζεν, ἵνα προκόπτῃ πρὸς ὑπεράσπισιν τοῦ ἰουδαϊσμοῦ περισσότερον τῶν συνηλικιωτῶν αὐτοῦ Ἑβραίων (4). Ὁ τοιοῦτος ζῆλος καὶ ἡ τοιαύτη φιλοτιμία προσήλωσαν τὸν νοῦν αὐτοῦ εἰς τὸ γράμμα τοῦ νόμου, κατὰ τὴν διεφθαρμένην ἰουδαϊκὴν συνήθειαν· ἐπειδὴ δὲ τὸ « Γράμμα ἀπο- » κτείνει, τὸ δὲ πνεῦμα ζωοποιεῖ » (5), τὸ γράμμα ἐξενεύρισε τὸν νοῦν αὐτοῦ· ὅθεν οὐκ ἠδυνήθη ἀναβιβάσαι αὐτὸν εἰς τὸ πνεῦμα, ἤγουν εἰς τὰ ὑπὸ τοῦ γράμματος κεκαλυμμένα νοήματα, τὰ ζωοποιοῦντα τὴν ψυχήν· οὐδὲ ἠδυνήθη κατανοῆσαι, ὅτι πᾶσαι αἱ περὶ τοῦ Μεσίου προφητεῖαι ἐπληρώθησαν εἰς τὸν Ἰησοῦν Χριστόν· διὸ ἔμεινεν εἰς τὴν ἀμάθειαν καὶ ἄγνοιαν τῆς ἐνσάρκου οἰκονομίας, καὶ ἑπομένως οὐκ ἐπίστευσεν εἰς τὸν Ἰησοῦν Χριςόν. Ζηλωτὴς δὲ ὑπάρχων τῶν πατρικῶν αὐτοῦ παραδόσεων, καὶ νομίζων, ὅτι ἡ εἰς Χριστὸν πίστις καταργεῖ παντελῶς τὸν μωσαϊκὸν νόμον, ἠγωνίζετο παντὶ τρόπῳ, ἵνα ἐξαλείψῃ τοὺς εἰς Χριστὸν πιστεύοντας (6)· διὰ τοῦτο ἐδίωκεν, ἐλιθοβόλει, ἔδερεν, ἐφυλάκιζε τοὺς πιστούς, συλλογιζόμενος, ὅτι ταῦτα ποιῶν, προσφέρει θυσίαν πολλὰ ἀρεστὴν εἰς τὸν Θεὸν καὶ πανευπρόσδεκτον. Βλέπετε οὖν, ὅτι ταῦτα τοῦ Παύλου τὰ ἔργα ἦσαν ἁμαρτήματα, ἵν' οὕτως εἴπω, ἐνάρετα· ἐπειδὴ τὰ μὲν πράγματα ἦσαν ἁμαρτήματα, ὁ δὲ σκοπὸς αὐτοῦ ἦν ἀρετή· ἔπραττε τὸ κακόν, πιστεύων ὅτι ἐργάζεται τὸ καλόν· ἡμάρτανεν ἐξ ἀγνοίας· ἡμάρτανε, νομίζων, ὅτι ποιεῖ ἀρετήν. Διὰ τοῦτο οὖν ὁ Θεός, ὅστις ἐπιβλέπει οὐ μόνον ἐπὶ τὰ πράγματα, ἀλλὰ καὶ ἐπὶ τὴν διάθεσιν τῆς καρδίας, καὶ ἐπὶ τὸν σκοπὸν τοῦ νοός, ἔδειξεν εἰς αὐτὸν τὸ ὑπερβάλλον τῆς μακροθυμίας καὶ τοῦ θείου αὐτοῦ ἐλέους. Μαρτυρεῖ τοῦτο αὐτὸς ὁ Παῦλος, λέγων· « Ἀλλ' ἠλεήθην, ὅτι ἀγνοῶν » ἐποίησα ἐν ἀπιστίᾳ » (7). Ἡ ἄγνοια οὖν ἐστι τὸ αἴτιον τῆς πρὸς τὸν Παῦλον θείας μακροθυμίας, καὶ τοῦ θείου ἐλέους· « Ἠλεή- » θην, ὅτι ἀγνοῶν, ἐποίησα ἐν ἀπιστίᾳ ».

Ἀκούσατε δὲ καὶ ἄλλο αἴτιον τοῦ τοσούτου ἐλέους καὶ τῆς τοσαύτης μακροθυμίας. Οἱ ἄνθρωποι βλέπουσι μόνον τὰ πα-

(1) Α'. Τιμ. 1, 16. (2) Ῥωμ. 5, 20. (3) Φιλιπ. 3, 6. Πράξ. 22, 3. (4) Γαλ. 1, 14. (5) Β'. Κορ. 3, 6. (6) Γαλ. 1, 14. (7) Α'. Τιμ. 1, 13.

ρόντα πράγματα, ὁ Θεὸς μετὰ τῆς αὐτῆς τελειότητος βλέπει καὶ τὰ παρόντα, καὶ τὰ μέλλοντα· οἱ ἄνθρωποι βλέπουσι μόνον τὰ ἔργα, ὁ Θεὸς βλέπει καὶ τὰς διαθέσεις τῆς ψυχῆς καὶ τῆς καρδίας. Ὁ Θεὸς οὖν, ὡς παντεπόπτης καὶ γνώστης τῶν μελλόντων, προεῖδε τὰ θαυμασιώτατα κατορθώματα, ὅσα μετὰ τὴν ἐπιστροφὴν αὐτοῦ κατώρθωσεν ὁ Παῦλος· οὐ μόνον δὲ προεῖδεν, ἀλλὰ καὶ προεῖπεν αὐτὰ εἰς τὸν Ἀπόστολον Ἀνανίαν. Ὁ Ἀνανίας ἀκούσας, πόσα κακὰ ἐποίησεν ὁ Παῦλος εἰς τοὺς ἐν Ἱερουσαλὴμ ἁγίους, καὶ μαθών, πόσην ἐξουσίαν ἔλαβεν ὑπὸ τῶν ἀρχιερέων κατὰ πάντων τῶν πιστῶν, ἐθαύμασεν, ὅταν ὁ Κύριος φανεὶς πρὸς αὐτόν, εἶπεν, ἵνα ἐμφανισθῇ πρὸς τὸν Παῦλον, ἐλθόντα εἰς τὴν Δαμασκόν, καὶ ἐφοβεῖτο παῤῥησιασθῆναι ἐνώπιον αὐτοῦ· ὁ δὲ Κύριος ἐθάῤῥυνεν αὐτόν, φανερώσας αὐτῷ, καὶ διὰ ποίαν αἰτίαν ἐξελέξατο αὐτόν· « Πορεύου, εἶπεν, ὅτι σκεῦος ἐκλογῆς μοί ἐστιν οὗτος, τοῦ βαστάσαι τὸ ὄνομά μου ἐνώπιον ἐθνῶν καὶ βασιλέων, υἱῶν τε Ἰσραήλ » (1). Ἀκούεις, διὰ ποῖον λόγον ἠλέησεν ὁ Θεὸς τὸν Παῦλον; διότι ἐστίν, εἶπε, σκεῦος ἐκλογῆς, ἀρκετὸς μετὰ λόγου καὶ ἀποδείξεως κηρύξαι τὸ ὄνομα αὐτοῦ ἐνώπιον τῶν εἰδωλολατρῶν καὶ ἀπίστων βασιλέων, καὶ ἐνώπιον αὐτῶν τῶν Ἰσραηλιτῶν.

Ἐὰν δὲ παραβάλλωμεν τὰ μετὰ τὴν ἐπιστροφὴν τοῦ Παύλου ἔργα μετὰ τῶν πρὸ τῆς ἐπιστροφῆς αὐτοῦ, βλέπομεν τὴν ἀλήθειαν τοῦ λόγου, ὃν ὁ Ἰησοῦς Χριστὸς εἶπε πρὸς τὸν Ἀνανίαν· πρὸ τῆς ἐπιστροφῆς ἐδίωκε «Τὴν ἐκκλησίαν τοῦ Θεοῦ καθ' ὑπερβολήν» (2)· μετὰ τὴν ἐπιστροφὴν πολλὰς εἰς διαφόρους πόλεις καὶ χώρας ᾠκοδόμησεν ἐκκλησίας, καὶ ἐμερίμνα ὑπὲρ «πασῶν τῶν ἐκκλησιῶν τοῦ Θεοῦ» (3)· πρὸ τῆς ἐπιστροφῆς καὶ ὕβριζε, καὶ ἐβλασφήμει τὸ εὐαγγελικὸν κήρυγμα· μετὰ τὴν ἐπιστροφὴν «ἀπὸ Ἱερουσαλὴμ καὶ κύκλω μέχρι τοῦ Ἰλλυρικοῦ πεπλήρωκε τὸ Εὐαγγέλιον τοῦ Χριστοῦ » (4)· πρὶν ἢ ἐπιστρέψῃ, συνευδόκησεν εἰς τὸν λιθασμὸν τοῦ πρωτομάρτυρος Στεφάνου (5)· ἀφ' οὗ ἐπέστρεψεν, οὐ μόνον ἐλιθάσθη ὑπὲρ Χριστοῦ, ἀλλὰ καὶ « πεντάκις τεσσαράκοντα παρὰ μίαν ἔλαβε, καὶ τρὶς ἐῤῥαβδίσθη, καὶ τρὶς ἐναυάγησε, καὶ νυχθήμερον ἐν τῷ βυθῷ διέμεινε » (6)· πρὶν ἢ μετανοήσῃ, καὶ ἐδέσμευσε, καὶ ἐφυλάκισε, καὶ ἐτιμώρησε πολλοὺς τῶν εἰς Χριστὸν πιστευόντων· ἀφ' οὗ δὲ μετενόησε, καὶ κόπους καὶ πληγὰς καὶ φυλακὰς καὶ θανατηφόρους κινδύνους ὑπέμεινεν, ἵνα λύσῃ τοὺς ἀπίστους ἐθνικούς, καὶ βασιλεῖς, καὶ Ἰσραηλίτας ἐκ τῶν δεσμῶν τῆς ἀπιστίας, καὶ προσαγάγῃ αὐτοὺς εἰς τὸν Ἰησοῦν Χριστὸν τὸν ἐπουράνιον σωτῆρα. Ὅστις μελετήσῃ τὸ ἑνδέκατον κεφάλαιον τῆς δευτέρας πρὸς Κορινθίους ἐπιστολῆς, ἐκεῖνος ἐξίσταται βλέπων τὸ πλῆθος καὶ τὴν τελειότητα τῶν ἀρετῶν, ὅσας μετὰ τὴν ἐπιστροφὴν αὐτοῦ κατώρθωσεν ὁ Παῦλος. Διὰ τοῦτο οὖν ἐμακροθύμησεν ὁ Θεὸς ἐπ' αὐτῷ, διὰ τοῦτο ἐλεήσας αὐτόν, ἐκάλεσεν αὐτὸν οὐρανόθεν, καὶ διασκεδάσας τὸ σκότος τῆς ἀγνωσίας αὐτοῦ, ἐφώτισεν αὐτὸν τὸν φωτισμὸν τῆς ἀληθείας.

Ἀδελφοί, ἡμεῖς ἁμαρτάνοντες, θαῤῥοῦμεν εἰς τὴν μακροθυμίαν τοῦ Θεοῦ, καὶ ἐλπίζομεν εἰς τὸ ἔλεος αὐτοῦ· τοῦτό ἐστι καλὸν καὶ ὠφέλιμον· ἔχομεν πολυάριθμα παραδείγματα τῆς μακροθυμίας καὶ τοῦ ἐλέους

(1) Πράξ. 9, 15. (2) Γαλ. 1, 13. (3) Β'. Κορ. 11, 28. (4) Ῥωμ. 15, 19. (5) Πράξ. 22, 20. (6) Β'. Κορ. 11, 24, 25.



τοῦ Θεοῦ πρὸς τοὺς ἁμαρτωλούς, ἐξόχως δὲ τὸ παράδειγμα τοῦ Παύλου· διότι εἰς αὐτὸν ἔδειξεν ὁ Θεὸς πᾶσαν μακροθυμίαν αὐτοῦ « πρὸς ὑποτύπωσιν τῶν μελλόντων πιστεύειν εἰς ζωὴν αἰώνιον » (1). Ἀλλ' ἆρά γέ ἐσμεν ἄξιοι ἡμεῖς τῆς μακροθυμίας καὶ τοῦ ἐλέους τοῦ Θεοῦ, καθὼς ὁ Παῦλος; Ὁ Παῦλος ἡμάρτανεν ἐν ἀγνοίᾳ, ἤγουν μὴ γνωρίζων, ὅτι ἁμαρτάνει, διώκων τὴν ἐκκλησίαν τοῦ Χριστοῦ, ἀλλὰ στοχαζόμενος ὅτι ποιεῖ ἀρετήν, ὅθεν διὰ τοῦτο ὁ Θεὸς αὐτὸν ἠλέησεν· «Ἀλλ' ἠλεήθην, ὅτι ἀγνοῶν ἐποίησα ἐν ἀπιστίᾳ » (2), λέγει αὐτός. Πόσον δὲ ὀλίγοι εἰσὶν οἱ ἁμαρτάνοντες ἐν ἀγνοίᾳ; Τίς ἐξ ἡμῶν οὐ γνωρίζει, ὅτι ὁ φόνος, ἡ κλοπή, ἡ μοιχεία, ἡ καταφρόνησις τῶν γονέων, ἡ ψευδομαρτυρία, ἡ ἐπιορκία, καὶ πᾶσα ἄλλη παράβασις τῶν ἐντολῶν τοῦ Θεοῦ, ἐστιν ἁμαρτία; Ἐξέτασον, ἄνθρωπε, τὴν συνείδησίν σου, καὶ διάκρινε καλῶς, ἐξ ἀγνοίας ἁμαρτάνεις ἢ ἐν γνώσει. Ἐὰν μὲν ἁμαρτάνῃς ἐξ ἀγνοίας, καθὼς ὁ Παῦλος, ἔλπιζε εἰς τὴν μακροθυμίαν καὶ τὸ ἔλεος τοῦ Θεοῦ· ἐὰν δὲ ἁμαρτάνῃς ἐν γνώσει, οὐδόλως ἁρμόζει ἐπὶ σοὶ τοῦ Παύλου τὸ παράδειγμα. Ὁ Θεὸς ἐμακροθύμησε καὶ ἠλέησε τὸν Παῦλον, ἐπειδὴ ἔβλεπεν, ὅτι μετὰ τὴν ἐπιστροφὴν αὐτοῦ ἔμελλε γενέσθαι καταγώγιον πάσης ἀρετῆς καὶ τελειότητος, ἔμελλε διδάξαι τὸ Εὐαγγέλιον, ἐπιστρέψαι τὰ ἔθνη, φωτίσαι τὴν οἰκουμένην· τί δὲ προβλέπει ὁ Θεὸς μετὰ τὴν μετάνοιαν ἡμῶν; ἡμεῖς μετανοοῦμεν καὶ ἐξομολογούμεθα τὰς ἁμαρτίας ἡμῶν, ἔπειτα οὐ μόνον οὐδεμίαν ἀρετὴν ἐργαζόμεθα, ἀλλὰ καὶ περιπίπτομεν εἰς τὰ αὐτὰ ἁμαρτήματα, πολλάκις δὲ καὶ εἰς περισσότερα, καὶ βαρύτερα τῶν προλαβόντων. Πόση οὖν διαφορὰ μεταξὺ τῶν ἁμαρτιῶν καὶ τῆς μετανοίας ἡμῶν, καὶ τῶν ἁμαρτημάτων καὶ τῆς ἐπιστροφῆς τοῦ Παύλου;

Ἀλλ' ἐγὼ λέγεις, οὐ διώκω τὴν ἐκκλησίαν τοῦ Χριστοῦ, καθὼς ὁ Παῦλος, οὐδὲ ὑβρίζω τοὺς ἁγίους, οὐδὲ σύρω, οὐδὲ δέρω τοὺς πιστούς, οὐδὲ φυλακίζω τοὺς χριστιανούς, οὐδὲ λιθοβολῶ τὸν Στέφανον, καθὼς ἐκεῖνος. Πῶς; οὐ διώκεις τὴν ἐκκλησίαν; τί δὲ ἄλλο πράττεις, ὅταν οὐ φυλάττῃς τοὺς νόμους τῆς ἐκκλησίας, εἰ μὴ διωγμὸν κατ' αὐτῆς; λέγεις, ὅτι οὐχ ὑβρίζεις τοὺς ἁγίους· ἀλλ' ὅταν ἢ διὰ τὴν κοιλιοδουλείαν σου οὐ νηστεύῃς, ἢ διὰ τὴν ὀκνηρίαν σου οὐδὲ ἀγρυπνῇς, οὐδὲ προσεύχησαι, λέγῃς δέ, ὅτι οὐκ ἔχεις χρέος, ἵνα ταῦτα φυλάττῃς, ἐπειδή εἰσι τῶν ἀσκητῶν καὶ ἐρημιτῶν ἐφευρέματα, τί ἄλλο ποιεῖς τότε, εἰ μὴ ὕβριν καὶ περιφρόνησιν τῶν ἁγίων; ὅταν, ἢ νικώμενος ὑπὸ τῆς πλεονεξίας, σύρῃς τὸν ἀδελφόν σου εἰς τὰ κριτήρια, ἢ κυριευόμενος ὑπὸ τοῦ θυμοῦ, ῥαβδίζῃς τὸν πλησίον σου, ἢ μὴ θέλων μακροθυμῆσαι, δι' ὅσα χρεωστεῖ σοι ὁ πτωχός, κατακλείῃς αὐτὸν εἰς τὴν φυλακήν, τί ἄλλο ποιεῖς τότε, εἰ μὴ ὅτι σύρεις, καὶ δέρεις καὶ φυλακίζεις; Ἐγώ, λέγεις, οὐ λιθοβολῶ τὸν Στέφανον, ναί, οὐ λιθοβολεῖς τὸν Στέφανον, ἀλλὰ λιθοβολεῖς τοὺς ἱερωμένους, καὶ ἐναρέτους ἀνθρώπους· λιθοβολεῖς δὲ οὐ διὰ πετρῶν, ἀλλὰ διὰ τῆς κατακρίσεως καὶ συκοφαντίας· ἡ δὲ κατάκρισις καὶ ἡ συκοφαντία πλήττουσι καὶ τραυματίζουσι καὶ αὐτῶν τῶν λίθων περισσότερον. Ἐπειδὴ δὲ ἡμεῖς ταῦτα πράττομεν ἐν γνώσει, καὶ οὐκ ἐν ἀγνοίᾳ, ἐπειδὴ ἡμεῖς μετανοοῦμεν, καὶ πάλιν ἁμαρτάνο-

(1) Α'. Τιμ. 1, 10. (2) Αὐτ. 12.

μεν, διὰ τοῦτο βαρύτερά εἰσι τὰ ἁμαρτήματα ἡμῶν τῶν ἁμαρτιῶν τοῦ Παύλου.

Ἀλλ' ἐὰν αἱ ἁμαρτίαι μου, λέγεις, ὑπερβαίνωσι τὰς τοῦ Παύλου, ποίαν ἐλπίδα ἔχω σωτηρίας, ἀκούων αὐτὸν λέγοντα, ὅτι ὁ Θεὸς ἔδειξεν ἐν αὐτῷ πᾶσαν τὴν μακοθυμίαν αὐτοῦ; Τοῦτο ἀληθῶς φοβίζει, ἀλλ' ὁ φόβος οὗτος φέρει τὴν προσοχήν, ἡ δὲ προσοχὴ διώκει τὴν ἁμαρτίαν καὶ εἰσάγει τὴν ἀρετήν· τοῦτο ἀληθῶς φοβίζει, πλὴν πείθει ἵνα μὴ ἀμεριμνῶμεν, θαῤῥοῦντες εἰς τοῦ Θεοῦ τὸ ἔλεος καὶ τὴν μακροθυμίαν, ἀλλὰ σπουδάζωμεν γενέσθαι ἄξιοι τούτων διὰ τῆς ἀποχῆς τῶν ἁμαρτημάτων, καὶ τῆς ἐργασίας τῶν ἀρετῶν· ἀληθῶς τοῦτο φοβίζει, ἐπειδὴ ὅμως τοῦ Θεοῦ ἡ μακροθυμία οὐδὲ μέτρον ἔχει, οὐδὲ πέρας, ἀλλ' ἔστιν ἄμετρος καὶ ἄπειρος, ὅθεν ὁ Παῦλος οὐκ εἶπεν ὅτι ὁ Θεὸς ἔδειξεν ἐν αὐτῷ τὴν ἄπειρον αὐτοῦ μακροθυμίαν, ἀλλὰ τὴν πᾶσαν μακροθυμίαν, ἤγουν μεγάλην, πολλήν, ὑπερβολικήν, ἵνα διὰ τούτου ταπεινωθῇ, παραστήσας μέγα τῶν ἁμαρτιῶν αὐτοῦ τὸ βάρος· διὰ τοῦτο, κἂν αἱ ἁμαρτίαι μου ὑπερβαίνωσι τὰς τοῦ πρώτου τῶν ἁμαρτωλῶν, ἤγουν τοῦ Παύλου, ἐγὼ οὐκ ἀπελπίζομαι, ἀλλὰ κλαίω ὡς ἡ πόρνη, καὶ τύπτω τὸ ςῆθός μου ὡς ὁ τελώνης, καὶ κραυγάζω ὡς ὁ λῃςής, καὶ ἔρχομαι ὡς ὁ Παῦλος εἰς τὸν Ἀνανίαν, ἤγουν εἰς τὸν πνευματικὸν πατέρα, καὶ βαπτίζομαι ὑπ' αὐτοῦ τῆς μετανοίας καὶ ἐξομολογήσεως τὸ βάπτισμα· πιστεύω δέ, ὅτι λαμβάνω τότε τῶν ἁμαρτιῶν μου τὴν ἄφεσιν, καὶ τῆς ψυχῆς τὸν φωτισμόν, καὶ τοῦ Θεοῦ τὴν χάριν, ἐπιστηριζόμενος εἰς αὐτὴν τοῦ Παύλου τὴν διδασκαλίαν, ὅστις ἐκήρυξεν, « ὅτι Χριστὸς ἦλθεν εἰς τὸν » κόσμον ἁμαρτωλοὺς σῶσαι » (1), καὶ ἐβεβαίωσεν, ὅτι οὗτος ὁ λόγος ἐστὶ πιστός, καὶ « Πάσης ἀποδοχῆς ἄξιος », καὶ ἐδίδαξε τό, « Οὗ δὲ ἐπλεόνασεν ἡ ἁμαρτία, » ὑπερεπερίσσευσεν ἡ χάρις » (2).

# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΗΝ ΠΡΩΤΗΝ ΠΡΟΣ

## ΤΙΜΟΘΕΟΝ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗι ΛΒ'. ΚΥΡΙΑΚΗι.

ὋΣ δ' ἂν πίῃ ἐκ τοῦ ὕδατος, οὗ ἐγὼ δώ» σω αὐτῷ, εἶπεν ὁ Κύριος πρὸς τὴν Σα» μαρείτιδα, οὐ μὴ διψήσῃ εἰς τὸν αἰῶνα· » ἀλλὰ τὸ ὕδωρ, ὃ δώσω, αὐτῷ, γενήσεται » ἐν αὐτῷ πηγὴ ὕδατος ἁλλομένου εἰς ζωὴν » αἰώνιον » (3). Βλέπομεν τὴν ἀλήθειαν τούτου τοῦ θείου λόγου καὶ εἰς ἄλλους πολλούς, ἐξαιρέτως δὲ εἰς τὸν θεηγόρον Ἀπόστολον Παῦλον· αὐτὸς ἐκ περιουσίας ἔπιε τὸ ὕδωρ, τὸ ὑπὸ τοῦ Ἰησοῦ Χριστοῦ δοθὲν

(1) Τιμ. 1, 15. (2) Ρωμ. 5, 20. (3) Ἰωάν. 4, 14.



αὐτῷ, ὅταν « Περιήστραψεν αὐτὸν φῶς οὐ» ράνιον », καὶ προσεκάλεσεν αὐτὸν ὁ Χριστὸς οὐρανόθεν, καὶ εἶπε πρὸς αὐτόν· « Πορεύου, ὅτι ἐγὼ εἰς ἔθνη μακρὰν ἐξαπο» στελῶ σε » (1). Ἀληθῶς δὲ τὸ ὕδωρ τοῦτο, τουτέστι τῆς διδασκαλίας τὸ χάρισμα, ἐγένετο ἐν αὐτῷ πηγή, προχέουσα ὑψηλὰ μυστήρια, ἀληθείας δόγματα, σωτηρίους νόμους, ζωηρὰς παραγγελίας, νομοθετήματα ἁρμόδια εἰς πᾶν ἐπάγγελμα, καὶ εἰς πᾶσαν ἀνθρώπου ἡλικίαν καὶ τάξιν, καὶ κατάστασιν. Διὰ τούτου τοῦ ἁλλομένου ὕδατος ἐπότιζεν ὁ παμμακάριστος οὐ μόνον Ἰουδαίους καὶ Ἕλληνας, σοφοὺς καὶ ἀγραμμάτους, ἐλευθέρους καὶ δούλους, ἀλλὰ καὶ αὐτοὺς τοὺς προεστῶτας τῶν ἐκκλησιῶν, τοὺς διδασκάλους δηλαδὴ καὶ φωστῆρας τοῦ χριστιανικοῦ πληρώματος. Μαρτυρεῖ τὸ ὑπ' ἐμοῦ λεγόμενον τὸ σήμερον ἀναγνωσθὲν μέρος τῆς πρὸς τὸν Τιμόθεον ἐπιστολῆς αὐτοῦ. Ἀπόστολος ἦν ὁ πανάριστος Τιμόθεος, καὶ ἀρχιερεύς, καὶ ποιμήν, καὶ διδάσκαλος τῆς τῶν Ἐφεσίων ἐκκλησίας· καὶ αὐτὸν δὲ ἐπότισεν ὁ Θεῖος Παῦλος τὸ θεῖον νάμα τῆς ποιμαντικῆς ἐπιστήμης, διὰ τῆς πρὸς αὐτὸν ἐπιστολῆς, τυπώσας τοὺς κανόνας τοῦ χρέους πάντων τῶν τῆς ἐκκλησίας προεστώτων· κἂν δὲ τοῦτο τὸ ὕδωρ εἰς τοὺς ἐκκλησιαστικοὺς ποιμένας ἁρμόζῃ, αὐτὸ ὅμως ποτίζει καὶ τὰ λογικὰ πρόβατα, καὶ ζωοποιεῖ καὶ διδασκάλους, καὶ μαθητάς, καὶ ὁδηγούς, καὶ ὁδηγουμένους. Ἰδοὺ οὖν ἡμεῖς προβάλλομεν αὐτὸ πρὸς ἡμᾶς ἐν τῷ ποτηρίῳ τῆς ἑρμηνείας, ἵνα μετὰ περισσοτέρας εὐκολίας πιόντες αὐτὸ μὴ διψήσητε εἰς τὸν αἰῶνα.

*Τέκνον Τιμόθεε, πιστὸς ὁ λόγος καὶ πάσης ἀποδοχῆς ἄξιος* (3).

Τό, « Πιστὸς ὁ λόγος, καὶ πάσης ἀποδοχῆς ἄξιος », σημαίνει τό, ἀληθὴς καὶ βέβαιός ἐστιν ὁ λόγος οὗτος καὶ ἄξιος, ἵνα πᾶς ἄνθρωπος μετὰ προθυμίας πιστεύσῃ εἰς τὰ ὑπ' αὐτοῦ διδασκόμενα. Τρὶς δὲ ἐν τῇ πρώτῃ πρὸς Τιμόθεον ἐπιστολῇ αὐτοῦ εἶπεν ὁ Παῦλος τό, « Πιστὸς ὁ λόγος »· καὶ ὅτε μὲν κατὰ πρῶτον τοῦτο εἶπεν, ἐφανέρωσεν εὐθὺς καὶ τό, τίς ἐςιν οὗτος ὁ λόγος, εἰπών· « Πιςὸς ὁ λόγος· ὅτι Χριστὸς Ἰησοῦς ἦλθεν » εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι » (4)· ὁμοίως καὶ ὅτε τὸ δεύτερον πάλιν εἶπε· « Πιστὸς ὁ λόγος » (5), ἐδήλωσεν εὐθύς, τίς ἐστιν οὗτος ὁ πιστὸς λόγος, εἰπών· « Πιστὸς ὁ λόγος· Εἴτις ἐπισκοπῆς ὀρέγεται, καλοῦ » ἔργου ἐπιθυμεῖ ». Ἐπειδὴ δέ, ὅτε τρίτον πάλιν εἶπε· « Πιστὸς ὁ λόγος », οὐκ ἐπεσύναψεν εὐθὺς τό, τίς ἐστιν οὗτος ὁ λόγος, ἀπορία γεννᾶται περὶ τοῦ, ποῖός ἐστιν ὁ λόγος, περὶ οὗ λαλεῖ· εἶπε πρὸ τούτου· « Ἡ » δὲ εὐσέβεια πρὸς πάντα ὠφέλιμός ἐστιν, » ἐπαγγελίαν ἔχουσα ζωῆς τῆς νῦν καὶ τῆς » μελλούσης » (6)· εἶπε δὲ καὶ μετὰ τοῦτο· « Ὅτι ἠλπίκαμεν ἐπὶ Θεῷ ζῶντι » (7). Φαίνεται δέ, ὅτι καὶ εἰς τὸ πρῶτον ἀνάγεται τό, « Πιστὸς ὁ λόγος », καὶ εἰς τὸ δεύτερον· πολλοὶ δὲ λέγουσιν, ὅτι εἰς τὸ πρῶτον (8). Ἀληθῶς δὲ τοῦτο πιθανώτερον· διότι μετὰ τὸ πρῶτον ἐπεσύναψεν εὐθὺς τό, « Πι» στὸς ὁ λόγος »· τὸ δὲ δεύτερον οὐκ ἀκολουθεῖ εὐθὺς μετὰ τό, « Πιστὸς ὁ λόγος », ἀλλὰ μεσολαβεῖ τό, « Εἰς τοῦτο γὰρ καὶ » κοπιῶμεν καὶ ὀνειδιζόμεθα ». Ἔστι δὲ ἡ ἔννοια τοῦ λόγου αὕτη· « Ἡ δὲ εὐσέβεια

(1) Πράξ. 9, 3 καὶ 22, 21. (2) Α. Τιμ. 4, 9. (3) Αὐτ. 1, 15. (4) Αὐτ. 3, 1. (5) Αὐτ. 4, 8.
(6) Αὐτ. 10. (7) Ὅρα Χρυσ. Θεοδώριτ. Οἰκουμ. Θεοφύλ.

ἀλλὰ καὶ θαυμαστὸς τοῖς πᾶσι καὶ σεβάσμιος· διότι τίς τολμᾷ καταφρονῆσαι τὸν νέον, τὸν φυλάττοντα ταύτας τοῦ Παύλου τὰς παραγγελίας; μᾶλλον δέ, τίς οὐ τιμᾷ καὶ σέβεται τοιαύτην νεότητα; εὐλαβοῦνται, καὶ θαυμάζουσι τὴν ἀρετὴν καὶ αὐτοὶ οἱ ἐχθροὶ καὶ πολέμιοι.

*Ἕως ἔρχομαι, πρόσεχε τῇ ἀναγνώσει, τῇ παρακλήσει, τῇ διδασκαλίᾳ* (1).

Ἠκολούθει ὁ Τιμόθεος τῷ Παύλῳ ἀπ' αὐτῆς τῆς ἡμέρας, ἐξ ἧς μετ' αὐτοῦ ἀνεχώρησεν ἀπὸ τῆς ἰδίας αὐτοῦ πατρίδος, διδασκόμενος ὑπ' αὐτοῦ τῆς πίστεως τὰ δόγματα καὶ τὰς τοῦ Εὐαγγελίου νομοθεσίας, καὶ ὑπηρετῶν προθύμως ἐν τῷ εὐαγγελικῷ κηρύγματι· ἐπειδὴ δὲ χειροτονηθεὶς ἀρχιερεύς, ἀναγκαίως ἐχωρίσθη τοῦ Παύλου, ἵνα μένῃ εἰς τὴν ὁρισθεῖσαν αὐτῷ ἐκκλησίαν τῆς Ἐφέσου, παρηγορῶν ὁ Παῦλος τὴν διὰ τὸν χωρισμὸν θλίψιν αὐτοῦ, ὑπόσχεται, ἵνα ἔλθῃ πρὸς αὐτόν. « Ἕως ἔρχομαι », λέγει, ἤγουν ἕως ἂν ἔλθω πρὸς σέ, « Πρόσεχε τῇ ἀναγνώσει», ἀναγίνωσκε μετὰ προσοχῆς τὰς Θείας Γραφάς· « Τῇ παρακλήσει », παρηγόρει τοὺς τεθλιμμένους, καὶ πρότρεπε πάντας πρὸς τὴν ἐργασίαν τῶν ἀγαθῶν πράξεων· « Τῇ διδασκαλίᾳ », δίδασκε πάντας τὴν εἰς Χριστὸν πίστιν, καὶ τὴν εὐαγγελικὴν νομοθεσίαν. Μὴ νομίσῃς δέ, ὅτι διὰ τοῦ, « Ἕως ἔρχομαι », παρήγγελλεν ὁ Παῦλος εἰς τὸν Τιμόθεον, ἵνα ταῦτα ποιῇ ἕως ἂν αὐτὸς ἔλθῃ πρὸς αὐτόν, ἔπειτα παύσῃ· διότι τό, « Ἕως », φράσις ἐστὶ τῆς Θείας Γραφῆς, σημαίνουσα καὶ τό, ἕως τότε, καὶ τό, μετὰ ταῦτα, καὶ τό, διὰ παντός, καθὼς καὶ τό· « Ἐξελθὼν ὁ κόραξ ἀπὸ τῆς κιβωτοῦ, οὐκ ἀνέστρεψεν ἕως τοῦ ξηρανθῆναι τὸ ὕδωρ ἀπὸ τῆς γῆς » (2)· καὶ τό, « κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου »(3)· καὶ τό, « οὐκ ἐγίνωσκεν αὐτήν, ἕως οὗ ἔτεκε τὸν υἱὸν αὐτῆς τὸν πρωτότοκον (4). Βλέπε δέ, ὅτι, κἂν Ἀπόστολος ἦν ὁ θεῖος Τιμόθεος, κἂν κήρυξ τοῦ Εὐαγγελίου, κἂν θείας χάριτος ἠξιωμένος, ὅμως ὁ Παῦλος παρήγγειλεν αὐτῷ, ἵνα μετὰ προσοχῆς ἀναγινώσκῃ τὰς ἁγίας Γραφὰς καὶ παρηγορῇ καὶ προτρέπῃ καὶ διδάσκῃ τὰ λογικὰ τοῦ Ἰησοῦ Χριστοῦ πρόβατα· ἐκ τούτου μανθάνουσιν οἱ τῆς Χριςοῦ ἐκκλησίας προεστῶτες, ὅτι πολλῷ μᾶλλον αὐτοὶ χρείαν ἔχουσιν ἀναγινώσκειν μετὰ προσοχῆς τὰς θείας Γραφάς, καὶ παρηγορεῖν τοὺς τεθλιμμένους, καὶ προτρέπειν πρὸς τὰ καλὰ ἔργα, καὶ διδάσκειν διὰ παντὸς τὸν ἐμπιστευθέντα αὐτοῖς λαὸν τοῦ Κυρίου.

**Μὴ** *ἀμέλει τοῦ ἐν σοὶ χαρίσματος, ὃ ἐδόθη σοι διὰ προφητείας, μετὰ ἐπιθέσεως τῶν χειρῶν τοῦ πρεσβυτερίου* (5).

Χάρισμα λέγει τὸν ἀρχιερατικὸν χαρακτῆρα, καθότι ἐστὶ δῶρον Θεοῦ ὑψηλὸν καὶ μέγα, καὶ θεῖον, καὶ ψυχοσωτήριον, δωρεὰν ὑπὸ τοῦ Θεοῦ τοῖς ἀνθρώποις δωρούμενον. Τοῦτο δὲ τὸ χάρισμα ἐδόθη εἰς τὸν Τιμόθεον « Διὰ προφητείας ». Ἦσαν τότε πολλοὶ τῶν πιστῶν ἠξιωμένοι τοῦ προφητικοῦ χαρίσματος, δι' οὗ προέλεγον τὰ μέλλοντα γενέσθαι· ἐπιβεβαιοῖ τοῦτο ὁ Ἄγαβος προφητεύσας « Διὰ τοῦ πνεύματος λιμὸν μέγαν » μέλλειν ἔσεσθαι ἐφ' ὅλην τὴν οἰκουμένην » (6)· ἔτι δὲ καὶ τὰ ἐν Ἱερου-

(1) Α'. Τιμ. 4, 13. (2) Γεν. 8, 7. (3) Ψαλ. 109, 1. (4) Ματθ. 1, 25. (5) Τιμ. 4, 14.
(6) Πράξ. 11, 78.



σαλὴμ δεσμὰ τοῦ Παύλου, (1) καὶ τὴν παράδοσιν αὐτοῦ « Εἰς χεῖρας ἐθνῶν » (2)· ὁμοίως καὶ αἱ τέσσαρες παρθένοι, θυγατέρες Φιλίππου τοῦ Ἀποστόλου, αἵτινες προεφήτευον· καὶ αὐτὸς δὲ ὁ Παῦλος, κηρύττων καὶ λέγων, « Ἔχοντες δὲ χαρίσματα κατὰ τὴν χάριν, τὴν δοθεῖσαν ἡμῖν, διάφορα, εἴτε προφητείαν κατὰ τὴν ἀναλογίαν τῆς πίστεως » (3). Οἱ τοῦ τότε καιροῦ προφῆται προφητεύσαντες, προεῖπον, ὅτι ὁ Τιμόθεος ἔμελλε καταξιωθῆναι τοῦ τῆς ἀρχιερωσύνης χαρίσματος. Περὶ τούτου δὲ οὐ μόνον τό, « Ὃ ἐδόθη σοι διὰ προφητείας », εἶπεν ὁ Παῦλος περὶ τοῦ Τιμοθέου, ἀλλὰ καὶ τὸ ἑξῆς· « Ταύτην τὴν παραγγελίαν παρατίθεμαί σοι, τέκνον Τιμόθεε, κατὰ τὰς προαγούσας ἐπὶ σὲ προφητείας, ἵνα ςρατεύῃ ἐν αὐταῖς τὴν καλὴν ςρατείαν »(4). Καὶ ὁ Παῦλος μὲν διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν αὐτοῦ ἐχειροτόνησεν ἀρχιερέα τὸν Τιμόθεον, ὡς αὐτὸς ἐμαρτύρησε, λέγων· « Δι' ἣν αἰτίαν ἀναμιμνήσκω σε ἀναζωπυρεῖν τὸ χάρισμα τοῦ Θεοῦ, ὅ ἐστιν ἐν σοὶ διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν μου » (5)· εἶπε δέ, « Μετὰ ἐπιθέσεως τῶν χειρῶν τοῦ πρεσβυτερίου », ἵνα φανερώσῃ, ὅτι οὐχὶ αὐτὸς μόνος, ἀλλὰ καὶ ἄλλοι οἱ σὺν αὐτῷ ὄντες καὶ ἔχοντες τῆς ἀρχιερωσύνης τὸ χάρισμα, ἐπέθηκαν ἐπ' αὐτὸν τὰς χεῖρας αὐτῶν, συμπαρόντων καὶ τῶν ἐκεῖ εὑρεθέντων πρεσβυτέρων καὶ διακόνων· διότι παρίςαντο μὲν εἰς τὰς χειροτονίας οἱ πρεσβύτεροι καὶ οἱ διάκονοι, μόνος δὲ ὁ ἀρχιερεὺς ἐπετίθει τὰς χεῖρας, ὡς ἱστορεῖ ὁ Κλήμης· « Πρεσβύτερον, λέγει, χειροτονῶν, ὦ ἐπίσκοπε, τὴν χεῖρα ἐπί τῆς κεφαλῆς ἐπιτίθει αὐτός, τοῦ πρεσβυτερίου παρεςῶτός σοι καὶ τῶν διακόνων » (6). Ἐκ τούτων δὲ φανερόν ἐστιν, ὅτι ἐν τῇ τῶν ὀρθοδόξων ἐκκλησίᾳ αἱ χειροτονίαι γίνονται ἄχρι τῆς σήμερον κατὰ τὸν αὐτὸν τρόπον ἀπαραλλάκτως, καθὼς καὶ εἰς τὸν ἀποστολικὸν καιρὸν ὑπ' αὐτῶν τῶν θεοφόρων Ἀποςόλων. Τί δὲ σημαίνει τό, « Μὴ ἀμέλει τοῦ ἐν σοὶ χαρίσματος; τὴν προθυμίαν σημαίνει πρὸς τὴν ἐκπλήρωσιν τοῦ ἔργου τῆς ἀρχιερωσύνης, ἔργον δὲ τῆς ἀρχιερωσύνης ἐςίν, ὡς λέγει ὁ Παῦλος, τὸ κήρυγμα τῆς πίςεως. « Κήρυξον τὸν λόγον » (7)· ἡ κατὰ πάντα καιρὸν ἐπιστασία τῶν ἐν ἀνάγκαις· « Ἐπίστηθι εὐκαίρως, ἀκαίρως »· ὁ ἔλεγχος τῶν ἁμαρτανόντων· « Ἔλεγξον »· ἡ ἐπιτίμησις τῶν μὴ διορθουμένων· « Ἐπιτίμησον »· ἡ παρηγορία τῶν τεθλιμμένων, καὶ ἡ πρὸς πᾶσαν ἀρετὴν προτροπή· « Παρακάλεσον »· ἡ μακροθυμία καὶ ἡ διδαχή· « Μετὰ πάσης προθυμίας καὶ διδαχῆς ». Ὅςις πράττει ταῦτα πάντα ἐπιμελῶς καὶ ἀόκνως, ἐκεῖνός ἐστιν ὁ μακάριος ἀρχιερεύς, ὅστις οὐκ ἀμελεῖ τοῦ δοθέντος αὐτῷ θείου χαρίσματος.

**Ταῦτα** *μελέτα, ἐν τούτοις ἴσθι· ἵνα σου ἡ προκοπὴ φανερὰ ᾖ ἐν πᾶσι* (8).

Εἶπε προλαβόν· « Τύπος γίνου τῶν πιστῶν ἐν λόγῳ, ἐν ἀναστροφῇ, ἐν ἀγαπῃ, ἐν πίστει, ἐν ἁγνείᾳ· πρόσεχε τῇ ἀναγνώσει, τῇ παρακλήσει, τῇ διδασκαλίᾳ· μὴ ἀμέλει τοῦ ἐν σοὶ χαρίσματος» (9)· ταῦτα, λέγει, μελέτα, ἐν τούτοις ἴσθι, ἤγουν ἐν τῇ ἐργασίᾳ αὐτῶν ἐπίμενε· ἔστω σου μελέτημα καὶ ἔργον ἡ τούτων ἐκπλήρωσις. Ἀλλὰ διὰ ποῖον τέλος ταῦτα, « Ἵνα σου, λέγει,

(1) Πράξ. 21, 11. (2) Αὐτ. 9. (3) Ῥωμ. 12, 6. (4) Α'. Τιμ. 1, 18. (5) Β'. Τιμ. 1, 6.
(6) Διατ. 8 Ἀριθ. 16. (7) Β'. Τιμ. 4, 2. (8) Α'. Τιμ. 4, 15. (9) Α'. Τιμ. 4, 12,—14.

» ἡ προκοπὴ φανερὰ ᾖ ἐν πᾶσιν »· ἀλλὰ διὰ τοῦτο μόνον τὸ τέλος, τουτέστιν, ἵνα βλέπωσι πάντες τὴν ἐν πᾶσι τοῖς ἔργοις προκοπήν, ἡ μελέτη καὶ ἡ ἐπιμέλεια καὶ οἱ τόσοι κόποι; ναί, διὰ τοῦτο· διότι ἐκ τούτου φωτιζόμενοι οἱ ἄνθρωποι ὑμνολογοῦσι, καὶ δοξάζουσι τὸν ἐπουράνιον Πατέρα καὶ Θεὸν ἡμῶν· « Οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμ- » προσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν » ὑμῶν τὰ καλὰ ἔργα, καὶ δοξάσωσι τὸν » Πατέρα ὑμῶν, τὸν ἐν τοῖς οὐρανοῖς » (1). Τὸ στόμα Κυρίου ἐλάλησε ταῦτα.

# ΟΜΙΛΙΑ

### ΜΕΤΑ ΤΗΝ ΠΡΩΤΗΝ ΠΡΟΣ

## ΤΙΜΟΘΕΟΝ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

### ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗι ΛΒ'. ΚΥΡΙΑΚΗι.

Ἡ δὲ εὐσέβεια πρὸς πάντα ὠφέλιμός ἐςιν, » ἐπαγγελίαν ἔχουσα ζωῆς τῆς νῦν καὶ τῆς » μελλούσης » (2). Οὗτος ὁ λόγος ἐστὶ πιστὸς καὶ πάσης ἀποδοχῆς ἄξιος, ὡς εἶπεν ὁ θεοῤῥήμων Παῦλος· εἶπε τοῦτο ὁ Παῦλος, ἀλλ' ἆρά γε πιστεύουσι πάντες, ὅτι οὗτος ὁ λόγος ἐστὶν ἀληθὴς καὶ βέβαιος; ἆρά γε νομίζουσι πάντες, ὅτι ἐςὶν ἄξιος ἀποδοχῆς; πείθονται ἆρά γε, πάντες ὅτι ἡ εὐσέβειά ἐστιν ὠφέλιμος πρὸς πάντα, καὶ ὅτι παρέχει καὶ εἰς τὴν παροῦσαν ζωὴν καὶ εἰς τὴν μέλλουσαν ὅσα ἀγαθὰ ὑπόσχεται; ἡμεῖς βλέπομεν εἰς τοὺς παρόντας καιροὺς πλήθη ἀνθρώπων, οἵτινες, ὥσπερ ἂν εἰ ἦσαν καταπεπεισμένοι, ὅτι ὁ λόγος οὗτός ἐστι ψευδής, καὶ οὐχὶ ἀποδοχῆς, ἀλλ' ἀποστροφῆς ἄξιος· καὶ ὥσπερ ἂν εἰ ἦσαν πεπληροφορημένοι, ὅτι ἡ εὐσέβεια οὐκ ὠφελεῖ πρὸς πάντα, ἀλλὰ βλάπτει κατὰ πάντα, οὕτω κατεφρόνησαν αὐτήν, καὶ ἀποῤῥίψαντες αὐτὴν παντελῶς, ἐγένοντο ἄπιστοι καὶ ἐξ ὁλοκλήρου ἀσεβεῖς καὶ ἄθεοι· καὶ ὁ μὲν ἀσεβής, ὃν ὁ προφήτης Δαβὶδ ὠνόμασεν ἄφρονα διὰ τὴν ἀφροσύνην καὶ μωρίαν τοῦ νοὸς αὐτοῦ, εἴτε ἐντρεπόμενος τῆς ἀθεΐας τὸ ὄνειδος, εἴτε φοβούμενος τῶν νόμων τὴν τιμωρίαν, εἴτε μὴ ἔχων πληροφορίαν περὶ τῶν ἀνοήτων αὐτοῦ φρονημάτων, οὐκ ἐτόλμα ἐκφωνῆσαι τοὺς τῆς ἀθεΐας αὐτοῦ στοχασμούς, ἀλλὰ κρυφίως ἔνδον τῆς καρδίας αὐτοῦ ἐμελέτα τὴν ἀσέβειαν, « Εἶπεν ἄ- » φρων ἐν καρδίᾳ αὐτοῦ, οὐκ ἔςι Θεός » (3). Αὐτοὶ δὲ μηδὲ ἐντρεπόμενοι, μηδὲ φοβούμενοι, μηδὲ διστάζοντες ἴσως, ἀναισχύντως καὶ ἀφόβως πλατεῖ στόματι οὐ μόνον κηρύττουσι τῆς ἀσεβείας τὴν μωρίαν, ἀλλὰ καὶ ἀγωνίζονται ἐξαλεῖψαι καὶ αὐτὰ τὰ ἴχνη τῆς εὐσεβείας.

Πᾶς ἄνθρωπος βλέπων τοὺς οὐρανοὺς διηγουμένους τὴν δόξαν τοῦ Θεοῦ, καὶ τὸ

(1) Ματθ. 5, 16. (2) Α'. Τιμ. 4, 8, 9. (3) Ψαλμ. 13, 1.



στερέωμα ἀναγγέλλον τὰ ἔργα τῶν χειρῶν αὐτοῦ (1), καὶ τὰ ποιήματα αὐτοῦ ἐμφανίζοντα τὴν ἀΐδιον αὐτοῦ δύναμιν καὶ θειότητα (2), φρίττει, ὅταν κατὰ πρῶτον ἀκούσῃ, ὅτι οὐκ ἔστι Θεός· ἀλλ' ἐπειδὴ τὸ αὐτὸ πολλάκις ἀκουόμενον καὶ πολλάκις λεγόμενον συνειθίζεται· ἡ δὲ συνήθεια ποιεῖ καὶ τὰ φοβερὰ μὴ φοβερά, πρῶτον διώκει ἐκ τῆς καρδίας αὐτοῦ τὸν φόβον, ἔπειτα βλέπων, ὅτι τῆς ἀπιστίας τὸ σύστημα συντρίβει τὸν χαλινὸν τὸν ἐμποδίζοντα τὴν ἀπόλαυσιν τῶν σαρκικῶν ὀρέξεων, καὶ καταπαύει τῆς συνειδήσεως τοὺς ἐπιπληκτικοὺς ἐλέγχους, δέχεται αὐτὸ προθύμως, κᾂν διστάζῃ, κᾂν ἀμφιβάλλῃ, κᾂν τὸ ἐναντίον πείθῃ αὐτὸν καὶ ὁ νοῦς καὶ ἡ αἴσθησις. Ἐκ τούτου τὸ μέγα τοῦτο καὶ ὀλέθριον κακόν, ἀπὸ τόπου εἰς τόπον μεταβαῖνον, ὡς νόσος ἐπιδημικὴ μεταδίδοται, καὶ αὔξει, καὶ πολυπλασιάζεται· ἀλλ' ἆρά γε « Ῥητίνη οὐκ ἔστιν ἐν » Γαλαάδ, ἢ ἰατρὸς οὐκ ἔστιν ἐκεῖ; » (3) Ἐκεῖ μέν, ὅπου ἡ τοιαύτη ψυχώλεθρος λοιμικὴ νόσος ἐγεννήθη καὶ ἀνετράφη, καὶ ἀναισχυντιάσασα, ἵν' οὕτως εἴπω, ἐπαῤῥησιάσθη, καὶ ἐξουσίαν ἔλαβε καὶ κυριότητα, ἴσως οὐδὲ ῥητίνη ἐστίν, οὐδὲ ἰατρός, οὐδὲ ἀναβαίνει ἐκεῖ ἴασις· ἴσως οἱ ἐκεῖ « Ἐξώσθησαν, καὶ οὐ μὴ δύνωνται στῆ- » ναι » (4); ἐπειδὴ ἐν τιμῇ ὄντες, ὡς λογικοὶ ἄνθρωποι, αὐτοπροαιρέτως ἐθελοκακήσαντες, καὶ τὸ δοθὲν αὐτοῖς λογικὸν φῶς σβέσαντες, παρασυνεβλήθησαν « Τοῖς κτή- » νεσι τοῖς ἀνοήτοις » (5), καὶ ὡμοιώθησαν αὐτοῖς, καὶ ἀρχηγοὶ ἐγένοντο καὶ διδάσκαλοι τῆς τοιαύτης ἀπωλείας· περὶ δὲ τῶν μὴ ἐκεῖ, ἀλλαχοῦ δὲ κατοικούντων μεγάλη ἐστὶν ἐλπὶς καὶ ἰατρείας καὶ σωτηρίας.

Οἱ ἰατροὶ τῶν ἀῤῥωστημάτων τοῦ σώματος ἔχουσιν ἄλλας μὲν βοτάνας ἀποδιωκτικὰς τῆς ἀῤῥωστίας, ἄλλας δὲ προφυλακτικὰς τῆς ὑγείας· μετέρχονται δὲ καὶ τὰς δύο, τὰς μὲν εἰς τοὺς ἀῤῥώστους, ἵνα ἰατρεύσωσιν αὐτοὺς ἀπὸ τῆς ἀσθενείας, τὰς δέ, εἰς τοὺς ὑγιεῖς, ἵνα διαφυλάξωσι τὴν ἐκείνων ὑγείαν. Ἀλλ' εὑρίσκονται ἆρά γε καὶ διὰ τὴν ἀναφανεῖσαν νῦν ψυχικὴν καὶ θανατηφόρον ἀσθένειαν βάλσαμα, δυνάμενα καὶ τοὺς ἀσεβεῖς θεραπεῦσαι ἀπὸ τῆς ἀσεβείας, καὶ τοὺς εὐσεβεῖς ἐπιστηρίξαι εἰς τῆς πίστεως τὴν εὐσέβειαν; Ἡ ἀπόδειξις τοῦ λόγου τοῦ πιστοῦ, καὶ τοῦ πάσης ἀποδοχῆς ἀξίου, φαίνεται βάλσαμον ἀμφιδέξιον, δυνάμενον καὶ τὴν πληγὴν τῆς ἀσεβείας ἰατρεῦσαι καὶ τὴν ὑγείαν τῆς πίστεως ἀμετάπτωτον διαφυλάξαι· « Ἡ δὲ εὐσέβεια » πρὸς πάντα ὠφέλιμός ἐστιν, ἐπαγγελίαν » ἔχουσα ζωῆς, τῆς νῦν καὶ τῆς μελλού- » σης » (6). Οὗτός ἐστιν ὁ λόγος ὁ πιστός, καὶ πάσης ἀποδοχῆς ἄξιος· ἡ τούτου ἀπόδειξις δύναται καὶ τοὺς ἀσεβεῖς ἐξαγαγεῖν ἀπὸ τοῦ βαράθρου τῆς ἀπιστίας, καὶ τοὺς εὐσεβεῖς στερεῶσαι ἐπὶ τὴν πέτραν τῆς πίστεως· διότι, ὅταν ἀποδειχθῇ, ὅτι ἡ εὐσέβειά ἐστι πρὸς πάντα ὠφέλιμος, τότε τίς τῶν ἀσεβῶν οὐκ ἀποστρέφεται τὴν ἀσέβειαν, ἵνα ἐναγκαλισθῇ τὴν εὐσέβειαν; ἢ τίς τῶν πιστῶν οὐ φεύγει τὴν ἀπιστίαν, ἵνα διαμένῃ διὰ παντὸς ἐπὶ τὴν ἀλήθειαν τῆς πίστεως; Ἡμεῖς προβάλλομεν τὰς περὶ τούτου ἀποδείξεις· ἐπειδὴ δὲ ἐδιδάχθημεν ὑπὸ τοῦ Κυρίου, ὅτι οὐδεὶς δύναται πιστεῦσαι, κᾂν μυρίας καὶ ἀναντιῤῥήτους ἀκούῃ καὶ βλέπῃ ἀποδείξεις, ἐὰν μὴ ὁ ἐπουράνιος πατὴρ ἐπιλάμψῃ ἐν τῇ ψυχῇ αὐτοῦ τῆς

(1) Ψαλ. 18, 1. (2) Ῥωμ. 1, 20. (3) Ἱερ. 8, 22. (4) Ψαλμ. 35, 12. (5) Αὐτ. 48, 13. (6) Α. Τιμ. 4. 8, 9.

θείας αὐτοῦ χάριτος τὸ φῶς· « Οὐδεὶς δύναται ἐλθεῖν πρός με, ἐὰν μὴ ὁ Πατήρ, ὁ πέμψας με ἑλκύσῃ αὐτόν » (1)· ἐπικαλούμεθα αὐτὸν τὸν χορηγὸν τοῦ φωτός, τὸν πατέρα τῶν οἰκτιρμῶν, τὴν πηγὴν τοῦ ἐλέους, ἵνα ὑπὸ τῆς ἀπείρου αὐτοῦ ἀγαθότητος δυσωπούμενος, φῶς ἑλκυστικὸν καταπέμψῃ εἰς πάντας τοὺς ἀκούοντας αὐτάς, καὶ τοὺς μὲν πλανηθέντας καὶ ἀπιστήσαντας ἐπιστρέψῃ ἀπὸ τῆς ἀπιστίας, τοὺς δὲ μὴ ἀπατηθέντας, ἀλλὰ πιστεύοντας, ἐπιστηρίξῃ εἰς τὴν πίστιν.

Ἐὰν εὐθὺς κατ' ἀρχὰς λαλήσωμεν περὶ τῆς ὠφελείας, ὅσην προξενεῖ εἰς ἡμᾶς ἡ εὐσέβεια εἰς τὴν μέλλουσαν ζωήν, οἱ ἀσεβεῖς, οἱ μὴ πιστεύοντες, ὅτι ἐστὶ μέλλουσα ζωή, γελῶσι, καὶ περιφρονοῦντες τὰ λεγόμενα, κλείουσι τῆς ψυχῆς τὰ ὦτα, καὶ ἐμφράττουσιν αὐτά, ὡς ἡ ἀσπὶς ἡ κωφή, « Καὶ βύουσα τὰ ὦτα αὐτῆς » (2)· διὰ τοῦτο ἀρχόμεθα ἀπὸ τῶν ὁρατῶν καὶ αἰσθητῶν πραγμάτων, ἐν οἷς αὐτοί εἰσι προσηλωμένοι. Εἰς πάντα τὰ τῶν ἀνθρώπων ἔργα τόσον ἀναγκαία ἐστὶν ἡ ἐλπὶς τῆς καλῆς αὐτῶν ἐκβάσεως, ὥστε, ἐὰν αὐτὴ λείψῃ, μένουσι πάντες οἱ ἄνθρωποι ἀργοὶ καὶ ἄπρακτοι, καὶ ἑπομένως δυστυχεῖς καὶ τρισάθλιοι. Τίς σπείρει, ὅταν οὐκ ἐλπίζῃ θερίσαι καρπόν; τίς πλέει τὴν θάλασσαν, ὅταν οὐκ ἐλπίζῃ φθάσαι εἰς τὸν λιμένα; τίς πραγματεύεται, ὅταν οὐκ ἔχῃ τὴν ἐλπίδα τοῦ κέρδους; τίς ἢ ἐργοχειρεῖ, ἢ ὑπηρετεῖ, ὅταν οὐκ ἐλπίζῃ μισθόν; Ἐὰν ἐρευνήσητε πάντα τὰ ἔργα τῶν ἀνθρώπων, βλέπετε, ὅτι πάντα γίνονται ἐπὶ τῇ ἐλπίδι τῆς τοῦ ποθουμένου σκοποῦ ἀπολαύσεως· ὅσον δὲ στερεωτέρα ἡ ἐλπίς, τοσούτῳ μείζων γίνεται τοῦ ἐργάτου ἡ προθυμία· ὅταν δὲ ἡ ἐλπὶς κατασταθῇ ἀσφαλὴς καὶ βεβαία, τότε ὁ ἄνθρωπος γίνεται προθυμότατος, καὶ ἐπιμελέστατος εἰς τὸ ἔργον αὐτοῦ, τότε μετὰ σπουδῆς ἐπιχειρεῖ καὶ αὐτὰ τὰ κοπιαστικώτατα καὶ δυσκατόρθωτα ἔργα. Σύγκρινον δὲ τὴν ἐλπίδα τοῦ ἀσεβοῦς μετὰ τῆς ἐλπίδος τοῦ εὐσεβοῦς ἀνθρώπου· ἡ μὲν ἐλπὶς τοῦ ἀσεβοῦς ἔχει θεμέλιον τὰ κτίσματα, ἡ δὲ ἐλπὶς τοῦ εὐσεβοῦς θεμελιοῦται εἰς τὸν δημιουργὸν πάντων τῶν κτισμάτων· ὁ ἀσεβὴς ἐλπίζει εἰς πράγματα ἀλλοιούμενα, καὶ μεταβαλλόμενα, εἰς τὸν ἀέρα, εἰς τὴν ποιότητα τῆς γῆς, εἰς τὴν θερμότητα τοῦ ἡλίου, εἰς τὴν βροχήν, εἰς τὸν ἄνεμον· ὁ εὐσεβὴς ἔχει πᾶσαν τὴν ἐλπίδα αὐτοῦ εἰς τὸν ἀναλλοίωτον καὶ ἀμετάβλητον Θεόν· ὁ ἀσεβὴς ἐλπίζει εἰς πράγματα ἀσθενῆ καὶ ὀλιγοδύναμα, εἰς τὴν τέχνην ἐλπίζει, εἰς τὴν ἐπιτηδειότητα, εἰς τὴν ἰδίαν δύναμιν· ὁ εὐσεβὴς ἐλπίζει εἰς τὸν πανσθενέστατον καὶ παντοδύναμον· ὁ ἀσεβὴς ἐλπίζει ἐπὶ τοὺς ἀνθρώπους τοὺς ὑπισχνουμένους πολλά, ἐκπληροῦντας δὲ ὀλίγα, ἢ οὐδέν· ἐπὶ τοὺς ἀνθρώπους τοὺς προσκαίρους καὶ φθαρτούς, οἵτινες σήμερον ζῶσι, καὶ αὔριον ἀποθνήσκουσιν· ὁ εὐσεβὴς ἐλπίζει ἐπὶ τὸν Θεόν, τὸν ἐκπληροῦντα πάντοτε ἐκ περιουσίας τὰς θείας αὐτοῦ ὑποσχέσεις, ἐπὶ τὸν Θεόν, τὸν αἰωνίως ζῶντα. Τίνος οὖν ἡ ἐλπὶς στερεωτέρα καὶ βεβαιοτέρα; τοῦ ἀσεβοῦς, ὅςις θεμελιοῖ αὐτὴν εἰς πράγματα ἀκατάςατα, μεταβλητά, ἀσθενῆ, φθαρτὰ καὶ πρόσκαιρα· ἢ τοῦ εὐσεβοῦς, ὅστις ἔχει τὴν ἐλπίδα αὐτοῦ εἰς τὸν ἀναλλοίωτον καὶ ἀμετάβλητον, καὶ παντοδύναμον, καὶ ἄφθαρτον, καὶ αἰώνιον Θεόν; ἡ ἐλπὶς τοῦ ἀσεβοῦς ἐστιν

(1) Ἰωάν. 6, 44. (2) Ψαλμ. 57, 4.



ἀστήρικτος καὶ ἀβέβαιος, ἡ ἐλπὶς τοῦ εὐσεβοῦς ἐστι στερεὰ καὶ βεβαία.

Ἀληθὴς οὖν οὗτος ὁ ἀποστολικὸς λόγος. « Ἡ δὲ εὐσέβεια πρὸς πάντα ὠφέλιμός ἐστι » (1)· πρὸς πάντα δηλαδὴ τὰ ἔργα ἡμῶν πολλὴν προξενεῖ τὴν ὠφέλειαν· αὐτὴ μεγαλοψυχεῖ, καὶ πληροῖ προθυμίας καὶ τὸν γεωργόν, καὶ τὸν ναύτην, καὶ τὸν ἔμπορον, καὶ τὸν στρατιώτην, καὶ τὸν δοῦλον, καὶ τὸν δεσπότην καὶ τὸν ἄρχοντα καὶ τὸν βασιλέα, καὶ πάντα ἄνθρωπον πρὸς πᾶσαν ἐργασίαν. Καὶ μὴ εἴπῃς, ὦ ἄπιςε, ὅτι ἐπειδὴ οὐκ ἔστι Θεός, πλανᾶται ὁ εὐσεβής, ταῦτα ἐλπίζων· διότι αὐτὸς πιςεύει, ὅτι ἐστὶ Θεός, καὶ ὅτι οὗτος ὁ Θεός ἐστι παντεπόπτης, παντοδύναμος, πανυπεράγαθος, προνοητικώτατος φιλανθρωπότατος καὶ εὐεργέτης πάντων, ἐξόχως δὲ τῶν πιστῶν, τῶν εἰς αὐτὸν ἐλπιζόντων(2)· ἡ δὲ πίστις ἐνστάζει ἀκαταπαύστως εἰς τὴν καρδίαν αὐτοῦ τόσον στερεὰν καὶ μεγάλην τὴν πρὸς τὸν Θεὸν ἐλπίδα, ὥστε, ἐν ὅσῳ αὐτὸς πιστεύει, οὐ δύνασαι σαλεῦσαι αὐτήν, κἂν εἴ τι κεν μωρολογῇς· ὅσον δὲ ἡ πίστις αὐτοῦ αὐξάνει καὶ θερμαίνεται, τοσοῦτον ἡ ἐλπὶς τῆς ψυχῆς αὐτοῦ μεγαλύνεται, καὶ ἐπιστηρίζεται.

Ἐκ τούτου βλέπομεν, ὅτι ὅσοι εὐσεβεῖς ἦσαν θερμοὶ εἰς τὴν πίστιν, τόσην ἐλπίδα εἶχον, ὥστε ἐθάῤῥησαν κατορθῶσαι ἔργα, ὅσα οὐδεὶς τῶν ἀσεβῶν ἐποίησε. Τίς ποτε ἀσεβὴς παρεστάθη ἐνώπιον τοῦ ἰδίου αὐτοῦ βασιλέως, καὶ μετὰ τοσαύτης παῤῥησίας εἶπε πρὸς αὐτόν· ἀπόλυσον τὸν ὑπήκοον λαόν σου ἀπὸ τῆς ἐξουσίας σου; (3) τίς ποτε ἀσεβὴς ἐτόλμησεν εἰσελθεῖν εἰς τὸ μέσον τῆς θαλάσσης μετὰ τοσούτων μυριάδων λαοῦ; (4) τίς ποτε ἀσεβὴς ἐθάῤῥησεν, ὅτι νικᾷ τοὺς ἐχθρούς, ἁπλώσας τὰς χεῖρας αὐτοῦ κατ' αὐτῶν; (5) οὐδείς· ὁ Μωϋσῆς ἐποίησε ταῦτα τὰ θαυμάσια ἔργα, ἐπειδή, εὐσεβὴς ὤν, ἤλπιζεν, ὅτι ὁ Θεός, ὁ τὰ πάντα δυνάμενος, ποιεῖ δυνατὰ τὰ παρ' ἀνθρώποις ἀδύνατα· τίς ποτε ἀσεβὴς οὐκ ἐφοβήθη διελθεῖν μετὰ τοσούτων χιλιάδων ἀνδρῶν καὶ γυναικῶν καὶ παιδίων μέγαν καὶ βαθύτατον ποταμόν (6), ἢ ἐπείσθη, ὅτι διὰ τῆς φωνῆς τῶν σαλπίγγων ἐδαφίζει τὰ ὑψηλὰ καὶ στερεὰ τείχη τῶν πόλεων, ἢ ἐνόμισεν ὅτι δύναται δι' ἑνὸς προστακτικοῦ λόγου στῆσαι τοῦ ἡλίου τὴν κίνησιν; (7) οὐδείς· ὁ Ἰησοῦς τοῦ Ναυῆ ταῦτα ἐποίησεν, ἐπειδὴ ἡ πίστις ἐνέθηκεν εἰς τὴν καρδίαν αὐτοῦ βεβαίαν ἐλπίδα, ὅτι ὁ Θεὸς δύναται ταῦτα ποιῆσαι. Τίς ποτε ἀσεβὴς ὥρμησε μετὰ μόνων τριακοσίων ἀνθρώπων ἐναντίον εἰς πλῆθος ἐχθρῶν ἀμέτρητον; (8) οὐδείς· ὁ εὐσεβὴς Γεδεὼν τοῦτο ἔπραξεν, ἐλπίσας ἐπὶ τῇ δυνάμει τοῦ παντοδυνάμου Θεοῦ. Ἄνθρωποι ἰδιῶται, πτωχοί, ἀγράμματοι, ἄοπλοι, καθὼς ἦσαν οἱ Ἀπόστολοι, τόσον μεγαλόψυχοι ἐγένοντο ὑπὸ τῆς τοιαύτης θείας ἐλπίδος, ὥστε παραστάντες ἐνώπιον βασιλέων καὶ τυράννων, ἐδίδαξαν αὐτοὺς εὐθαρσῶς, καὶ ἀντέστησαν κατ' αὐτῶν γενναιοφρόνως, καὶ ἐνίκησαν αὐτοὺς θαυμασίως. Εἰς ἀνθρώπους πάσης τάξεως, καθὼς ἦσαν οἱ ἅγιοι μάρτυρες, ἐν οἷς καὶ κοράσια ἁπαλά, καὶ γραΐδια ἀσθενῆ τόσην ἀνδρείαν ἔδωκεν ἡ εἰς Θεὸν ἐλπίς, ὥστε ἔτρεχον εἰς τὰς βασάνους, ὡς τρέχομεν εἰς τὰς τρυφάς· ἔβλεπον τὸ πῦρ, τοὺς φούρνους, τὰ τήγανα ὡς δρόσον ἐαρινήν, τὰ θηρία καὶ τὰς σούβλας, καὶ παντὸς εἴδους βασανιστήριον ὡς νίκης

(1) Α΄. Τιμ. 4, 8. (2) Αὐτ. 4, 10. (3) Ἐξ. 5, 1. (4) Αὐτ. 14, 22. (5) Αὐτ. 17 11.
(6) Ἰησ. 3, 17. (7) Αὐτ, 10, 12. (8) Κριτ. 7, 22.

στεφάνους, καὶ θριάμβους δόξης, ἔβλεπον τοὺς φονεῖς αὐτῶν ὡς σωτῆρας καὶ εὐεργέτας.

Ἀλλὰ πόθεν, λέγει ὁ ἀσεβής, ταῦτά εἰσι γνωστά; ἐξ ἐκείνων τῶν ἀξιοπίςων ἀνδρῶν, οἵτινες εἶδον καὶ ἤκουσαν καὶ ἐψηλάφησαν, καὶ ἐκ συμφώνου αὐτὰ ἱστόρησαν. Ἀλλ' οἱ ἱστορικοὶ ἀποκρίνεται ψεύδονται· ἆ! πανάθλιε· ἀλλ', ἐὰν ἀρνηθῇς τὰ λόγια παντὸς ἱστορικοῦ, ἀγνοεῖς, τίς ἐστιν ὁ προπάππος σου, ἢ καὶ ὁ πάππος σου, ἴσως δὲ καὶ τίς ἐστιν ὁ πατήρ σου καὶ ἡ μήτηρ σου καὶ οἱ ἀδελφοί σου· Τὰ δὲ εἰρημένα θαυμάσια ἔργα εἰσὶ γνωστὰ καὶ βέβαια, οὐ μόνον ἐκ τῶν κατὰ πάντα λόγον ἀξιοπίστων καὶ συμφώνων ἱστορικῶν, τῶν ταῦτα ἱστορησάντων, ἀλλὰ καὶ ἐξ αὐτῶν τῶν ὁρατῶν καὶ αἰσθητῶν πραγμάτων. Ὅλος ὁ κόσμος, πλὴν τοῦ ἰουδαϊκοῦ λαοῦ, εἰδωλολάτραι ἦσαν πρὶν τῆς ἐν τῷ κόσμῳ παρουσίας τοῦ Ἰησοῦ Χριστοῦ· Πόθεν οὖν τόσα ἄμετρα πλήθη εἰδωλολατρῶν ἐπίστευσαν εἰς τὸν Ἰησοῦν Χριςόν; πόθεν ἄλλοθεν, εἰ μὴ ἐκ τοῦ ἀποστολικοῦ κηρύγματος; ποῖοι δὲ ἦσαν οἱ κηρύττοντες Ἀπόστολοι; πτωχοί, ἀδύνατοι, ἄοπλοι, ἀμαθεῖς, ἀσθενεῖς, ἐξουθενημένοι· πόθεν οὖν οὗτοι ἐθάῤῥησαν κατορθῶσαι τοιοῦτον μέγα καὶ θαυμαστὸν ἔργον; πόθεν ἄλλοθεν, εἰ μὴ ἐκ τῆς ἐλπίδος; πόθεν δὲ ἡ τόση ἐλπίς; οὐδὲν ἄλλοθεν, εἰ μὴ ἐκ τῆς εὐσεβείας.

Οὐ μόνον δὲ εἰς πάντα τὰ ἔργα ἡμῶν, ἀλλὰ καὶ εἰς πάσας τὰς τῆς ζωῆς ἡμῶν περιστάσεις πολλὴν ὠφέλειαν προξενεῖ ἡ εὐσέβεια· ὑπὸ τοσούτου πλήθους θλίψεων, κινδύνων, συμφορῶν, ὀδυνηρῶν ἀῤῥωστημάτων ἐστὶ πεπληρωμένος ὁ βίος ἡμῶν, ὥστε μόλις εὑρίσκεται ἄνθρωπος εἰς τὸν κόσμον, ὅστις δύναται εἰπεῖν· ἐγὼ οὐδεμίαν συμφορὰν ἐδοκίμασα, οὐδέποτε ἔπιον θλίψεως ποτήριον, οὐδέποτε ἐγεύθην ἀσθενείας πικρότητα· πολλάκις δὲ τοιαῦται θλίψεις καὶ ὀδύναι περικυκλοῦσι τοὺς ἀνθρώπους, ὥστε οὐδεμίαν εὑρίσκουσι παρηγορίαν εἰς τὰ ἐγκόσμια πράγματα· δυναστεύει ὁ δυνατός, ὁ ἄδικος, τὴν ἀδύνατον χήραν, ἁρπάζων καὶ τὴν τροφὴν καὶ τὸ ἔνδυμα τῶν ὀρφανῶν αὐτῆς τέκνων· προστρέχει αὐτὴ πρὸς τοὺς ἀνθρώπους, ἀλλ' οὐδεὶς τολμᾷ βοηθῆσαι αὐτῇ, ἐπειδὴ πάντες φοβοῦνται τοῦ ἀδικοῦντος αὐτὴν τὸν διωγμὸν καὶ τὴν καταδυναστείαν· ὅθεν ὡς μάχαιρα δίστομος σχίζει τὴν καρδίαν αὐτῆς ἡ ἀνάγκη καὶ ἡ θλίψις· ἐὰν αὐτὴ πιστεύῃ εἰς τὸν Θεόν, εὑρίσκει ἀναψυχὴν καὶ παρηγορίαν, αἴρουσα εἰς τὸν οὐρανὸν τὰ ὄμματα, καὶ συλλογιζομένη, ὅτι ὁ παντοδύναμος Θεός ἐστιν ὁ ἐκδικητὴς τῶν ἀδικουμένων, καὶ τῶν χηρῶν καὶ ὀρφανῶν ὁ ἀντιλήπτωρ (1). Πόνοι ὀδυνηρᾶς ἀσθενείας νύκτα τε καὶ ἡμέραν βασανίζουσι τὸν βαρέως ἀσθενοῦντα, οὐδὲ ἰατροὶ αὐτὸν ἰατρεύουσιν, οὐδὲ ἰατρικὰ αὐτὸν ὠφελοῦσιν (2)· ἐὰν αὐτὸς πιστεύῃ εἰς τὸν Θεόν, εὑρίσκει ἐλαφρίαν τῶν πόνων καὶ ἀναψυχὴν εἰς τὰς ὀδύνας, ἐνθυμούμενος, ὅτι Θεός ἐστι παντοδύναμος, καὶ παντελεήμων, καὶ ὅτι οἱ πόνοι ἐξαλείφουσι τὰς ἁμαρτίας, καὶ αἱ ὀδύναι πλέκουσι τοῦ θείου ἐλέους τοὺς στεφάνους. Εἰς πᾶσαν θλιβερὰν περίστασιν, ἐν ᾗ ἡ ψυχὴ τοῦ ἀνθρώπου ἀπελπιζομένη ἀπὸ πάσης βοηθείας, οὐδεμίαν δέχεται παρηγορίαν ἀνθρωπίνην, ἐὰν ἐνθυμηθῇ τὸν Θεόν, οὐ μόνον παρηγορίαν εὑρίσκει, ἀλλὰ καὶ εὐφροσύνην (3)· ἡ δοκιμὴ ἐδίδαξε τοῦτο

(1) Ῥωμ. 12, 19. (2) Ψαλμ. 145, 9. (3) Αὐτ. 88, 32, 33.



τὸν βασιλέα καὶ προφήτην Δαβίδ· ὅταν ἡ ψυχὴ αὐτοῦ ἀπεστρέφετο πᾶσαν ἐγκόσμιον παραμυθίαν διὰ τὰς θλίψεις, ὅσας προὐξένει εἰς αὐτὸν ὁ Σαούλ, ὅσας οἱ ἐχθροὶ αὐτοῦ, ὅσας ὁ υἱὸς αὐτοῦ ὁ Ἀβεσσαλώμ· τότε αὐτὸς ἐμνημόνευε τοῦ Θεοῦ, καὶ εὕρισκεν εὐφροσύνην καὶ ἀγαλλίασιν· τοῦτο ἐφανέρωσε πρὸς ὁδηγίαν ἡμῶν ὁ τοῦ Θεοῦ ἄνθρωπος· « Ἀπηνήνατο, εἶπε, παρακληθῆναι ἡ ψυχή » μου. Ἐμνήσθην τοῦ Θεοῦ, καὶ εὐφράν» θην » (1). Ὁ ἄπιστος εἰς πᾶσαν θλιβερὰν αὐτοῦ περίςασίν ἐστι παντελῶς ἐςερημένος τῆς τοιαύτης μεγάλης παρηγορίας· σιωπῶ δὲ ἐγὼ πάσας τὰς ἄλλας ὀδυνηρὰς περιςάσεις, ὅσαι καταθλίβουσι τοὺς ἀνθρώπους, ἵνα μὴ πέραν τοῦ πρέποντος μακρύνω τὸν λόγον, μίαν δὲ μόνην προβάλλω, τοῦ θανάτου δηλονότι τὴν περίστασιν, ἐπειδὴ αὐτὴ μόνη δύναται ἀποδεῖξαι τῆς εὐσεβείας τὴν ὠφέλειαν·

Οὐδεὶς δύναται περιγράψαι, πόσος ἐστὶν ὁ θόρυβος, ὁ φόβος, οἱ πόνοι, ἡ ὀδύνη, ἡ βάσανος, καὶ ὁ ἀγὼν τοῦ θανάτου. Ἐὰν μόνη ἡ μνήμη τοῦ θανάτου τόσην ταραχὴν καὶ δειλίαν φέρῃ εἰς τὸν ἄνθρωπον, πόσῳ μᾶλλον ἡ τούτου παρουσία; ἐν τῇ ὥρᾳ τοῦ θανάτου εἰς ποῖον πρᾶγμα τοῦ κόσμου τούτου εὑρίσκεις παρηγορίας ἐλπίδα; εἰς τὰ ἰατρικά; ἀλλ' εἰς τοῦ θανάτου τὰς πληγὰς αὐτὰ οὐδὲν ὠφελοῦσιν· εἰς τοὺς ἰατρούς; ἀλλ' αὐτοὶ τότε ἀπελπίζουσι τὰς ἡμέρας τῆς ζωῆς σου· εἰς τοὺς φίλους καὶ συγγενεῖς σου; ἀλλ' αὐτοὶ τότε αὐξάνουσι το πάθος σου, κλαίοντες καὶ θρηνοῦντες διὰ τὴν στέρησίν σου. Βοηθεῖ σοι ἆρά γε τότε ἢ ὁ πλοῦτος, ὃν ἐθησαύρισας· ἢ τὰ ἀξιώματα ὑπὲρ ὧν τόσον ἐκοπίασας· ἢ ἡ ἐξουσία σου, εἰς ἣν εἶχες τόσην πεποίθησιν· ἢ οἱ βασιλικοὶ θρόνοι, καὶ τὰ σκῆπτρα καὶ τὰ στέμματα; αὐτὰ καὶ σὺν αὐτοῖς ὁ κόσμος ὅλος τότε διὰ σὲ εἰσιν ἀνενέργητα, νεκρά, ἄπρακτα, καὶ μὴ ὄντα. Ἄνθρωπε ἀσεβῆ καὶ ἄπιστε, ποῦ προστρέχεις εἰς τὸν καιρὸν τῆς φοβερᾶς ἐκείνης καὶ ὀδυνηροτάτης ἀνάγκης σου; πόθεν περιμένεις βοήθειαν; ποῦ ἐλπίζεις; εἰς τὸν Θεόν; ἀλλὰ σὺ οὐ πιστεύεις, ὅτι ἐστὶ Θεός· ὅθεν οὐδὲ καταφεύγεις πρὸς αὐτόν, οὐδὲ ἐλπίζεις τὴν ἐξ αὐτοῦ σωτηρίαν· ἐλπίζεις εἰς τὴν μέλλουσαν ζωὴν καὶ εἰς τὴν ἀνάστασιν τῶν νεκρῶν, τὴν παρηγορίαν τοῦ θανάτου; ἀλλὰ σὺ πέποιθας, ὅτι ἡ ψυχή σου ἐστὶ θνητή, καὶ ἀποθνήσκει καθὼς καὶ τὸ σῶμα· ὅθεν οὐκ ἔχεις ἐλπίδα ζωῆς· τοῦτο δὲ ἀναβιβάζει τὴν αἴσθησιν τοῦ θανάτου σου, καὶ ἐπομένως τὴν ὀδύνην σου εἰς τὸν ὑπέρτατον βαθμόν· σπαράττεται ἡ καρδία σου, σχίζονται τὰ σπλάγχνα σου, καταβασανίζεται τὸ σῶμά σου διὰ τὸν ἀπελπισμὸν τοῦ ἀπίστου νοός σου. « Θάνατος » ἁμαρτωλῶν πονηρός » (2). Εὐσέβεια, σύ, ἡ πρὸς πάντα ὠφέλιμος, ἔρχεσαι τότε πρὸς τὸν ἄνθρωπον τὸν εὐσεβῆ, καὶ παρίστασαι ἐνώπιον τοῦ νοὸς αὐτοῦ· ἐπειδὴ δὲ ἔχεις τὴν ἐπαγγελίαν οὐ μόνον τῆς παρούσης ἀλλὰ καὶ τῆς μελλούσης ζωῆς, προβάλλεις πρὸς αὐτὸν τὴν δραστικήν σου παρηγορίαν· μὴ φοβοῦ, λέγεις πρὸς αὐτόν, διότι ὁ Κύριός σου εἶπεν, ὅτι κᾂν ἀποθάνῃς, ζήσῃ. « Ὁ » πιστεύων εἰς ἐμέ, κᾂν ἀποθάνῃ, ζήσε» ται » (3). Μὴ λυπεῖσαι, διότι οὐκ ἀποθνήσκεις, ἀλλὰ μεταβαίνεις ἐκ ταύτης τῆς προσκαίρου καὶ πολυπαθοῦς ζωῆς εἰς ζωὴν ἀπαθῆ καὶ αἰώνιον. « Ὁ πιστεύων εἰς ἐμέ, » εἶπεν ὁ Κύριός σου, ἔχει ζωὴν αἰώνιον » (4).

(1) Ψαλμ. 76, 2, 3. (2) Ψαλ. 33, 21. (3) Ἰωάν. 11, 25. (4) Αὐτ. 6, 47.

Εἰς τὴν ζωὴν ἐκείνην οὐδέποτε οὐδὲ δάκρυον φαίνεται, οὐδὲ στεναγμὸς ἀκούεται, οὐδὲ ἡ λύπη ἔχει τόπον· εἰς ἐκείνην τὴν ζωὴν ἐστιν ἡ τελεία ἀπάθεια, ἡ ἀναλλοίωτος εἰρήνη, ἡ χαρὰ ἡ ἀνεκλάλητος, ἡ ἄνεσις, ἡ δόξα, ἡ βασιλεία· ἐκείνη ἡ ζωὴ ἔχει ἀγαθά, « ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη » (1). Ἐπειδὴ δὲ ὁ εὐσεβὴς ἄνθρωπος πιστεύει, καὶ οὐδόλως περὶ τούτων ἀμφιβάλλει, τόσην ἄνεσιν καὶ παρηγορίαν αἰσθάνεται τὴν ὥραν ἐκείνην, ὥστε ὑποδέχεται τὸν θάνατον, οὐχὶ ὡς θάνατον, ἀλλ' ὡς ζωήν· οὐχ ὡς θάνατον, ἀλλ' ὡς ἐλευθερίαν ἀπὸ τῆς ἐμπαθοῦς καὶ θλιβερᾶς ταύτης κατοικίας, καὶ μετάβασιν εἰς τὴν βασιλείαν τὴν αἰώνιον.

Ἐπειδὴ οὖν ἡ εἰς τὸν Θεὸν πίστις πολλὴν προξενεῖ ὠφέλειαν εἰς πάντα τὰ ἔργα ἡμῶν, πολλὴν ὠφέλειαν εἰς πάσας τὰς τῆς ζωῆς ἡμῶν περιστάσεις, ἐξόχως δὲ εἰς τὴν φοβερὰν περίστασιν τοῦ θανάτου, φανερόν ἐστιν, ὅτι κατὰ τοῦτο καὶ μόνον ἀξία ἦν πάσης ἀποδοχῆς ἡ εὐσέβεια, κἂν κατ' οὐδὲν ἄλλο ἦν ὠφέλιμος· τοῦτο μόνον ἀναγκάζει καὶ τὸν ἄπιστον, ἐὰν ἔχῃ σπινθῆρα φρονήσεως, ἵνα ἀποστραφῇ τὴν ἀσέβειαν, καὶ πιστεύσῃ εἰς τὸν Θεὸν ἐξ ὅλης ψυχῆς καὶ καρδίας. Ἀλλ' ἡ ὠφέλεια τῆς εὐσεβείας, ἀγαπητοί μου ἀδελφοί, οὐ περικλείεται μόνον εἰς τὰ προειρημένα προσωπικὰ καὶ πρόσκαιρα πράγματα, ἀλλ' ἁπλοῦται καὶ εἰς τὰ γενικὰ καὶ εἰς τὰ αἰώνια. Καὶ περὶ μὲν τῶν αἰωνίων σιωπῶ, ἐπειδὴ οἱ πιστοὶ πιστεύουσιν, ὅτι ἡ πίστις ἀνοίγει τὴν θύραν τῆς αἰωνίου βασιλείας, καὶ ὅτι χωρὶς τῆς πίστεως οὐδεὶς δύναται εἰσελθεῖν ἐν αὐτῇ· οἱ δὲ ἄπιστοι, σάρξ καὶ αἷμα ὄντες, οὐ χωροῦσι τὸν περὶ τῶν αἰωνίων λόγων· λαλῶ δὲ περὶ τῆς ὠφελείας, τῆς προξενουμένης ὑπὸ τῆς πίστεως καὶ εἰς αὐτὰ τὰ γενικὰ καὶ καθόλου πράγματα.

Ὁμηγυρικός ἐστι κατὰ φύσιν ὁ ἄνθρωπος, ἤγουν κατὰ φύσιν φεύγει τὸν ἐρημικὸν καὶ μεμονωμένον βίον, καὶ ζητεῖ ἐπιμόνως τὴν τῶν ὁμοφυῶν ἀνθρώπων συγκατοίκησιν· ἐκ τούτου βλέπομεν, ὅτι ἀπ' ἀρχῆς κόσμου ὁ πρῶτος υἱὸς τοῦ πρώτου ἀνθρώπου, τουτέστιν ὁ Κάϊν, ᾠκοδόμησε πόλιν· « Καὶ ἦν, λέγει ἡ Θεία Γραφὴ περὶ τοῦ Κάϊν, οἰκοδομῶν πόλιν, καὶ ἐπωνόμασε τὴν πόλιν ἐπὶ τῷ ὀνόματι τοῦ υἱοῦ αὐτοῦ Ἐνώχ »(2). Ἰδίωμα τοῦτό ἐστι πολλὰ ὠφέλιμον εἰς τοὺς ἀνθρώπους· διότι, ὅσοι ὁμοῦ συγκατοικοῦσι καὶ συμπολιτεύονται, ὑπ' ἀλλήλων βοηθούμενοι, ἀπολαμβάνουσι πᾶσαν ἀσφάλειαν καὶ ἄνεσιν. Ποῖον δέ ἐστι τὸ συστατικὸν τῶν πόλεων; οὐδὲν ἄλλο, εἰ μὴ ἡ ἀρετή, ἐξόχως δὲ ἡ ἀγάπη καὶ ἡ δικαιοσύνη τόσον ἀναγκαῖαί εἰσι διὰ τὴν διατήρησιν τῶν ὁμηγύρεων, ὥστε, ἐὰν αὗται λείψωσι, σκορπίζονται οἱ ἄνθρωποι, καὶ χωρίζονται ἀπ' ἀλλήλων, καὶ ἐπομένως ἐρημοῦται πᾶσα πόλις, καὶ τόπος, καὶ χώρα· διότι, ὅταν οἱ συναθροισθέντες ἄνθρωποι ἐχθρεύωνται, καὶ ἐπιβουλεύωνται, καὶ πολεμῶσι, καὶ ἀδικῶσιν ἀλλήλους, πῶς δύνανται τότε συγκατοικεῖν καὶ συμπολιτεύεσθαι; ἢ ποίαν τότε ἀσφάλειαν καὶ ἄνεσιν ἔχουσιν ἐκ τῆς τοιαύτης συγκατοικήσεως; τῆς δὲ ἀληθινῆς ἀρετῆς οὐδὲν ἄλλο ἐστὶν ἡ βάσις, τὸ θεμέλιον, ἡ ἀρχή, ἡ πηγή, ὁ διδάσκαλος καὶ ὁ ὁδηγός, εἰ μὴ ἡ εὐσέβεια. Μάτην καυχᾶται ὁ ἀσεβής, λέγων, ὅτι οὐχ ἁμαρ-

(1) Α'. Κορ. 2, 9. (2) Γεν. 4, 17.



τάνει, ἀλλ' ἐργάζεται τὴν ἀρετὴν διὰ φιλοτιμίαν καὶ τὸν ἔπαινον τοῦ κόσμου· μάτην λέγει, ὅτι οὐχ ἁμαρτάνει, ἀλλὰ πράττει τὴν ἀρετήν, φοβούμενος τὴν τιμωρίαν τῶν κοσμικῶν νόμων· διότι ἐξ αὐτῶν τῶν λόγων αὐτοῦ καθεὶς βλέπει, ὅτι αὐτὸς κρυφίως, ὅταν οὐδεὶς αὐτὸν βλέπῃ, καὶ ἐπομένως ἡ κατηγορία λείπῃ, καὶ ὁ φόβος παύῃ, τότε αὐτὸς ἐκπληροῖ πάσας τὰς πονηρὰς αὐτοῦ ἐπιθυμίας· ὅταν δὲ λάβῃ τὴν κοσμικὴν ἐξουσίαν εἰς τὰς χεῖρας αὐτοῦ, τότε ποιεῖ κακὰ φοβερὰ καὶ ἀνήκουστα· μόνη ἡ εὐσέβεια διδάσκουσα, ὅτι ὁ Θεός ἐστι πανταχοῦ παρών, καὶ βλέπει τὰ πάντα, καὶ ἐτάζει καρδίας καὶ νεφρούς, καὶ κρίνει, καὶ παιδεύει τοὺς ἁμαρτάνοντας, χαλιναγωγεῖ τὰς ὁρμὰς τῶν βλαβερῶν ἐπιθυμιῶν, καὶ ἐμποδίζει τὸν ἄνθρωπον οὐ μόνον ἀπὸ τῆς φανερᾶς, ἀλλὰ καὶ ἀπὸ πάσης κρυπτῆς ἁμαρτίας· μόνη ἡ εὐσέβεια προτρέπει τὸν ἄνθρωπον, εἰς ὁποίαν τάξιν καὶ κατάστασιν εὑρίσκεται, πρὸς τὴν κατόρθωσιν τῆς ἀρετῆς, ἐπειδὴ αὐτὴ μόνη διδάσκει, τίς ἐστιν ἡ ἀληθὴς ἀρετή, καὶ ὑπόσχεται δι' αὐτὴν ἀνταπόδομα οὐχὶ τὸ κενὸν καὶ πρόσκαιρον τῶν ἀνθρώπων δοξάριον, ἀλλὰ τὴν ἀθάνατον καὶ αἰώνιον τοῦ Θεοῦ δόξαν καὶ μακαριότητα. Εὐλόγως οὖν συμπεραίνομεν, ὅτι ἡ εὐσέβεια ἡ διδάσκαλος τῆς ἀγάπης καὶ τῆς δικαιοσύνης καὶ πάσης ἄλλης ἀρετῆς συνάπτει τοὺς ἀνθρώπους, καὶ στηρίζει τὰς πόλεις, καὶ διαφυλάττει τὰς τούτων ὁμηγύρεις, καὶ φέρει πᾶσαν ὠφέλειαν, καὶ ἄνεσιν, καὶ εὐτυχίαν.

Ἀλλά, λέγεις, πῶς διεσώθησαν, καὶ ἄχρι τῆς σήμερον σώζονται τόσαι πόλεις καὶ βασιλεῖαι χωρὶς τῆς εὐσεβείας; Τί ἄλλο ἦσαν οἱ εἰδωλολάτραι, εἰ μὴ ἀσεβεῖς καὶ ἄθεοι; καὶ ὅμως αὐτοὶ εἶχον καὶ πόλεις ἐπισήμους, καὶ βασιλείας κραταιάς. Οἱ εἰδωλολάτραι οὐκ ἦσαν ἀσεβεῖς, διότι καὶ εἶχον σεβάσματα, καὶ ἐσέβοντο αὐτά, ἦσαν δὲ δυσσεβεῖς, ἐπειδὴ ἐσέβοντο τὰ κτίσματα, καὶ οὐχὶ τὸν κτίστην, οἱ εἰδωλολάτραι οὐκ ἦσαν ἄθεοι, ἀλλὰ πολύθεοι, ἐπίστευον δηλαδή, ὅτι εἰσὶ πολλοὶ θεοί, καὶ οὐχὶ εἷς· αὐτοὶ πρὸς τοῖς ἄλλοις ἐσέβοντο θεὸν μὴ γνωριζόμενον ὑπ' αὐτῶν· ὅθεν ὁ Ἀπόστολος Παῦλος εἶπε περὶ αὐτῶν, ὅτι κατὰ τοῦτο ἦσαν εὐσεβεῖς· « Διερχόμενος γάρ, ἔλεγεν αὐτός πρὸς τοὺς Ἀθηναίους, τὰ σεβάσματα ὑμῶν, εὗρον καὶ βωμόν, ἐν ᾧ ἐπεγέγραπτο, Ἀγνώστῳ Θεῷ· ὃν οὖν ἀγνοοῦντες, εὐσεβεῖτε, τοῦτον ἐγὼ καταγγέλλω ὑμῖν » (1). Αὐτοὶ μὴ διδαχθέντες, τίς ἐστιν ὁ ἀληθινὸς Θεός, ἐλάτρευον τοῖς κτίσμασι, νομίζοντες, ὅτι αὐτὰ εἰσιν ὁ ἀληθινὸς Θεός, καὶ πιστεύοντες, ὅτι αὐτὰ ἔχουσι τὰς δυνάμεις καὶ τοὺς χαρακτῆρας τῆς θεότητος· κἂν δὲ ἦσαν μεταξὺ αὐτῶν καί τινες πολλὰ ὀλίγοι ἄθεοι, καθὼς οἱ μαθηταὶ τοῦ Ἐπικούρου, αὐτοὶ ὅμως οὐδὲ βασιλείαν εἶχον, οὐδὲ πόλεις ἐξουσίαζον, οὐδὲ λαοὺς διεύθυνον, πάντες δὲ οἱ λοιποὶ οὐ μόνον εἶχον θεοὺς καὶ βωμούς, ἀλλὰ καὶ ἐπίστευον, ὅτι ἐστὶ μέλλουσα ζωή, καὶ κρίσις, καὶ ἀνταπόδοσις τῶν καλῶν καὶ τῶν κακῶν ἔργων· μαρτυροῦσι τοῦτο ὁ Μίνως, καὶ ὁ Πλούτων, καὶ αἱ νῆσοι τῶν Μακάρων, καὶ ἡ Ἀχερουσία λίμνη, καὶ ὁ Πυριφλεγέθων, καὶ ὁ Κέρβερος, καὶ τὰ λοιπὰ τῶν Ἑλλήνων μυθολογήματα. Κἂν δὲ ταῦτα μῦθοι ἦσαν καὶ πλάσματα, ἐπειδὴ ὅμως ἐπίστευον, ὅτι ἀληθῆ εἰσιν, ἔπληττον τὴν τούτων συνείδησιν, καὶ ἐνεπόδιζον ὁπωσδήποτε ἀπὸ τῶν

(1) Πράξ. 17, 23.

κακῶν, τῶν φθειρόντων τὴν κοινότητα, καὶ διεύθυνον αὐτοὺς πρὸς τὴν ἐργασίαν τῶν ἔργων, τῶν διαφυλαττόντων τοὺς δεσμοὺς τῶν ἀνθρωπίνων ὁμηγήρεων.

Βασιλεία δέ, ἡ πόλις, ἡ ἐπικράτεια ἀνθρώπων κατὰ πάντα ἀσεβῶν καὶ ἀθέων, οὐδὲ ἐφάνη, οὐδὲ ἠκούσθη, οὐδὲ ἱστορήθη, ἀλλ' οὐδὲ δύναταί ποτε εὐοδωθῆναι· διότι, διὰ τὴν στερέωσιν καὶ αὔξησιν τῶν βασιλειῶν καὶ πόλεων, καὶ τῶν ἀνθρωπίνων ὁμηγύρεων, ἀναγκαία ἐστὶν ἡ μεταξὺ ἀλλήλων ἀγάπη καὶ δικαιοσύνη, τὸ ἀξιόπιςον τοῦ λόγου, ἡ ἐκπλήρωσις τῆς ὑποσχέσεως, ἡ βεβαίωσις τοῦ ὅρκου. Ὁ ἀσεβὴς καὶ ἄπιστος φίλαυτος, μᾶλλον δέ, φιλαυτίας αὐτόχρημα ὤν, οὐδένα ὡς ἑαυτὸν ἀγαπᾷ, οὐδένα ὡς ἑαυτὸν δικαιοῖ· οὐδὲ ὁ λόγος αὐτοῦ ἔχει πιστωσύνην, οὐδὲ ἡ ὑπόσχεσις, κῦρος, οὐδὲ ὁ ὅρκος, βεβαιότητα. Τίς δύναται ἢ πιστεῦσαι εἰς ὅσα λέγει, ἢ ἐλπίσαι εἰς ὅσα ὑπόσχεται, ἢ πληροφορηθῆναι περὶ ὅσων ὀμνύει, ὅταν πάντες γινώσκωσιν, ὅτι μὴ ἔχων Θεοῦ φόβον ἐν τῇ καρδίᾳ αὐτοῦ, οὐδὲ τὸν τοῦ θείου νόμου ἐσωτερικὸν χαλινόν, κατακρατοῦντα τὰς ὁρμὰς τῶν ἀκαθέκτων αὐτοῦ παθῶν, πᾶσαν δολιότητα καὶ ἐπιβουλὴν καὶ βλάβην ποιεῖ, ὅταν λείψωσι τὰ ἔξωθεν ἐμπόδια, τουτέστιν ὅταν δυνηθῇ ἐκπληρῶσαι κρυφίως τὰς πονηρὰς αὐτοῦ ἐπιθυμίας;

Ἀλλ' ἰδού, λέγεις, ἡ ὁμήγυρις τῶν νεοκηρυχθέντων ἀσεβῶν καὶ ἀθέων εὐοδοῦται. Ποία ἡ δυστυχεστάτη αὐτῶν εὐόδοσις; ἡ διήγησις τῆς ἀθλιωτάτης καταστάσεως τῶν πόλεων, καὶ τῆς ὅλης ἐπικρατείας αὐτῶν, οὐκ ἔστιν ἔργον τούτου τοῦ λόγου, ἀλλὰ σύγγραμμα ὁλόκληρον ἱστορικῶν, ἢ ὀρθότερον εἰπεῖν, τραγῳδοποιῶν ἀνθρώπων· ἀλλ' ὅμως ἀποκρίνεσαι, εὐτυχοῦσι, φοβεροὶ τοῖς πᾶσι φαινόμενοι, καὶ ἔθνη ὑποτάσσοντες, καὶ χρημάτων σωροὺς κερδαίνοντες, καὶ τοῦ κράτους αὐτῶν τὰ ὅρια ἐκτείνοντες. Ποία εὐτυχία ἐν τῇ ἀδικίᾳ, καὶ δυναστείᾳ, καὶ κλοπῇ, καὶ ἁρπαγῇ, καὶ δολιότητι, καὶ ὑποκρίσει, καὶ ψεύδει καὶ ἀτιμίᾳ; περίμενε ἰδεῖν τὸ τέλος, καὶ ἄκουε καὶ πίστευε εἰς τοῦ θείου προφήτου τὸν λόγον· « Εἶδον, λέγει αὐτός, τὸν ἀσεβῆ ὑπερυψούμενον, καὶ ἐπαιρόμενον ὡς τὰς κέδρους τοῦ Λιβάνου, καὶ παρῆλθον, καὶ ἰδοὺ οὐκ ἦν, καὶ ἐζήτησα αὐτόν, καὶ οὐχ εὑρέθη ὁ τόπος αὐτοῦ » (1).

(1) Ψαλμ. 36, 35, 36.



# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΗΝ ΔΕΥΤΕΡΑΝ ΠΡΟΣ

# ΤΙΜΟΘΕΟΝ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗ: ΑΓ'. ΚΥΡ. ΤΟΥ ΤΕΛΩΝ. ΚΑΙ ΦΑΡΙΣΑΙΟΥ.

ΤΗΝ μὲν πρώτην πρὸς Τιμόθεον ἐπιστολὴν ἀπὸ Λαοδικείας ἔγραψεν ὁ Παῦλος, τὴν δὲ δευτέραν ἀπὸ Ῥώμης, δέσμιος ἐκεῖ εὑρισκόμενος (1). Ἐπειδὴ δὲ διὰ τῆς πρώτης ἔγραφεν, ὅτι ἐλπίζει ἐλθεῖν πρὸς αὐτὸν μετ' ὀλίγον· « Ταῦτά σοι γράφω, ἐλπίζων ἐλθεῖν πρὸς σὲ ταχέως » (2)· οὐκ ἠδυνήθη δὲ ἐκπληρῶσαι τὴν ἐλπίδα αὐτοῦ, ἐπειδὴ ὁ Νέρων ἐκράτει αὐτὸν ἁλύσεσι δεδεμένον, διὰ τοῦτο ἔγραψε καὶ δευτέραν πρὸς αὐτὸν ἐπιστολήν, ἵνα δι' αὐτῆς ἀναγγείλῃ, ὅσα οὐκ ἠδυνήθη εἰπεῖν αὐτῷ ἀπὸ στόματος. Περιέχει δὲ ἡ ἐπιστολὴ νουθεσίας, παραγγελίας, διδάγματα πολλὰ ἁρμόδια καὶ ἀναγκαῖα εἰς πάντας τοὺς πιστούς, ἐξόχως δὲ εἰς τοὺς προεστῶτας καὶ ποιμένας τῆς ἐκκλησίας τοῦ Ἰησοῦ Χριστοῦ· διὰ δὲ τοῦ σήμερον ἀναγνωσθέντος μέρους ταύτης τῆς ἐπιστολῆς πρῶτον μὲν ἀνακηρύττει ὁ Παῦλος τὸν Τιμόθεον ἀκόλουθον τῶν ἀρετῶν αὐτοῦ, ἀναφέρων αὐτὰς κατ' ὄνομα· δεύτερον δὲ δηλοποιεῖ, ὅτι πάντες ὅσοι πολιτεύονται κατὰ τοὺς νόμους τῆς εὐσεβοῦς πίστεως, μέλλουσιν ὑπομεῖναι διωγμοὺς ὑπὸ τῶν ἀσεβῶν καὶ πονηρῶν ἀνθρώπων, οἱ δὲ πονηροὶ καὶ ἀπατεῶνες ἄνθρωποι μέλλουσι προκόπτειν ἐπὶ τὰ πονηρὰ αὐτῶν ἔργα· τρίτον δὲ διδάσκει, ὅτι ἡ μάθησις τῶν Θείων Γραφῶν δύναται ὁδηγῆσαι τὸν ἄνθρωπον εἰς τὸν δρόμον τῆς σωτηρίας. Τὸ πρῶτον ἐνστάζει εἰς τὰς καρδίας ἡμῶν τῆς ἀρετῆς τὸν ἔρωτα· τὸ δεύτερον προετοιμάζει πρὸς τὸ τῆς ὑπομονῆς κατόρθωμα· τὸ τρίτον διεγείρει τὸν πόθον τῆς τῶν Θείων Γραφῶν μελέτης. Ἀκούσατε, ἀγαπητοί μου ἀδελφοί, μετ' εὐλαβείας τὴν ἑρμηνείαν τῶν ἀναγνωσθέντων ἀποστολικῶν λόγων, ἵνα καταξιωθῆτε τῇ δυνάμει τῆς θείας χάριτος τῶν τριῶν μεγάλων χαρισμάτων.

*Τέκνον Τιμόθεε, παρηκολούθηκάς μου τῇ διδασκαλίᾳ, τῇ ἀγωγῇ, τῇ προθέσει, τῇ πίστει, τῇ μακροθυμίᾳ, τῇ ἀγάπῃ, τῇ ὑπομονῇ, τοῖς διωγμοῖς, τοῖς παθήμασιν, οἷά μοι ἐγένετο ἐν Ἀντιοχείᾳ, ἐν Ἰκονίῳ, ἐν Λύστροις· οἵους διωγμοὺς ὑπήνεγκα, καὶ ἐκ πάντων με ἐῤῥύσατο ὁ Κύριος* (3).

Τινὲς ἐκλαμβάνοντες τὴν κατὰ τὸ γράμμα σημασίαν τοῦ ῥήματος (4), παρακολου-

(1) Β'. Τιμ. 1, 8. (2) Α'. Τιμ. 3, 14. (3) Β'. Τιμ. 3, 10, 11. (4) Ὅρ. Χρυσ. Οἰκουμ. Θεοφύλ. Αὐτ.

θῶ, παραφράζουσι τὰ προκείμενα λόγια οὕτω· σύ, ὦ Τιμόθεε, ἀκολουθῶν μοι πανταχοῦ, εἶδες, καὶ ἐγνώρισες τὴν διδασκαλίαν μου, τὸ πολίτευμά μου, τὸν σκοπόν μου, τὴν πίστιν μου, τὴν μακροθυμίαν μου, τὴν ἀγάπην μου, τὴν ὑπομονήν μου· εἶδες, καὶ ἐγνώρισας τοὺς διωγμοὺς καὶ τὰ παθήματα, ὅσα μοι συνέβησαν εἰς τὴν Ἀντιόχειαν, εἰς τὸ Ἰκόνιον, εἰς τὴν Λύστραν· εἶδες δέ, ὅτι ἐκ πάντων διεφύλαξέ με ὁ Κύριος. Ἐὰν δὲ ἐκλάβῃς τό, παρακολουθῶ, μεταφορικῶς ἀντὶ τοῦ μιμοῦμαι, τὸ νόημα τοῦ λόγου ἐστὶ τοῦτο· σύ, ὦ Τιμόθεε, οὐχ ὡς οἱ ἄνθρωποι, οἱ « Κατεφθαρμένοι τὸν » νοῦν, καὶ ἀδόκιμοι περὶ τὴν πίστιν », ἀλλ' ὡς νουνεχὴς καὶ πιστὸς μαθητής, ἐμιμήθης τὸ ἄδολον τῆς ἐμῆς διδασκαλίας, τὸ κατὰ Χριστὸν πολίτευμά μου, τὸν ὀρθὸν σκοπόν μου, τὴν εἰς Χριστὸν σταθερὰν πίστιν μου, τὴν πρὸς τοὺς ἁμαρτάνοντας μακροθυμίαν μου, τὴν πρὸς πάντας ἀγάπην μου, τὴν ὑπομονήν μου εἰς τοὺς διωγμούς, τοὺς συμβάντας μοι εἰς τὴν Ἀντιόχειαν, καὶ εἰς τὸ Ἰκόνιον, καὶ εἰς τὴν Λύστραν. Ταῦτα δὲ σημαίνουσιν, ὅτι ὁ Τιμόθεος ἐγένετο φύλαξ ἀκριβὴς τῶν θείων δογμάτων, εἶχε πολίτευμα θεάρεστον, σκοπὸν ἅγιον, ἦν δὲ καὶ πιστός, μακρόθυμος, φιλόστοργος, ὑπομονητικός, συγκοινωνὸς τῶν διωγμῶν τοῦ Παύλου· μόνους δὲ τοὺς εν Ἀντιοχείᾳ, καὶ Ἰκονίῳ, καὶ Λύστροις διωγμοὺς ἀνέφερεν, ἐπειδὴ τούτους ἤκουσε μόνον ὁ Τιμόθεος, καθότι, ὅτε ἐκεῖ ἐδιώκετο ὁ Παῦλος, τότε αὐτὸς ἦν μὲν μαθητὴς τοῦ Χριστοῦ, πλὴν οὐκ ἠκολούθει τῷ Παύλῳ, τῶν δὲ ἄλλων διωγμῶν αὐτόπτης ἦν καὶ συγκοινωνός, ὡς ἀκολουθῶν αὐτῷ· καὶ εἰς μὲν τὴν κατὰ τὴν Πισιδίαν Ἀντιόχειαν οἱ Ἰουδαῖοι διωγμὸν ἐγείραντες κατὰ τοῦ Παύλου καὶ τοῦ Βαρνάβα, « Ἐξέβαλον αὐτοὺς » ἐκ τῶν ὁρίων αὐτῶν » (1)· εἰς δὲ τὸ Ἰκόνιον ἐθνικοί τε καὶ Ἰουδαῖοι, « Σὺν τοῖς ἄρ» χουσιν αὐτῶν » (2), ὕβρισαν καὶ ἐλιθοβόλησαν αὐτούς· εἰς δὲ τὴν Λύστραν οἱ ὄχλοι « Λιθάσαντες τὸν Παῦλον, ἔσυρον ἔξω τῆς » πόλεως » (3), νομίσαντες, ὅτι ἀπέθανεν. Ἐπειδὴ δὲ διὰ τῶν ἑξῆς λόγων διδάσκει, ὅτι πάντες οἱ εὐσεβεῖς διωχθήσονται, ἀπαλλάττων τοῦ φόβου, προκαταγγέλλει τὴν παρηγορίαν, λέγων· « Καὶ ἐκ πάντων με » ἐῤῥύσατο ὁ Κύριος». Μὴ φοβεῖσθε, λέγει, διωγμοὺς ἀκούοντες, διότι, κἂν πολλοὺς ἐγὼ ὑπέμεινα, ἐκ πάντων ὅμως ἐλύτρωσε καὶ διεφύλαξέ με ὁ Κύριος.

*Καὶ πάντες δὲ οἱ θέλοντες εὐσεβῶς ζῆν ἐν Χριστῷ Ἰησοῦ, διωχθήσονται* (4).

Προφητικός ἐστιν ὁ λόγος οὗτος, μᾶλλον δέ, προφητεία αὐτοῦ τοῦ Ἰησοῦ Χριστοῦ, ὅστις εἶπε· « Πρὸ δὲ τούτων ἁπάντων ἐπι» βαλοῦσιν ἐφ' ὑμᾶς τὰς χεῖρας αὐτῶν, καὶ » διώξουσι, παραδιδόντες εἰς συναγωγὰς » καὶ φυλακάς, ἀγομένους ἐπὶ βασιλεῖς καὶ » ἡγεμόνας, ἕνεκεν τοῦ ὀνόματός μου » (5)· ἐβεβαίωσε δὲ τὴν προφητείαν καὶ διὰ παραδείγματος, εἰπών· « Εἰ ἐμὲ ἐδίωξαν, καὶ » ὑμᾶς διώξουσι » (6). Βλέπομεν δὲ τὴν ἐκπλήρωσιν ταύτης τῆς προφητείας, ἀναγινώσκοντες εἰς τὰς ἱστορίας τοὺς διωγμοὺς πάντων τῶν Ἀποστόλων, καὶ τῶν μαρτύρων, καὶ τῶν ἁγίων ὁμολογητῶν· ἕνα δὲ καὶ τὸν αὐτὸν σκοπὸν εἶχεν ὁ δεσπότης Χριςὸς καὶ ὁ θεῖος αὐτοῦ Ἀπόστολος, ὅτε ἐξεφώνη-

(1) Πράξ. 13, 50. (2) Αὐτ. 14, 5. (3) Αὐτ. 19. (4) Β'. Τιμ. 3, 12. (5) Λουκ. 21, 12. (6) Ἰωάν. 15, 20.



σαν ταύτην τὴν πρόῤῥησιν· σκοπὸν εἶχον δηλαδὴ προετοιμάσαι τοὺς πιστοὺς πρὸς ὑποδοχὴν παντὸς κινδύνου καὶ κακώσεως διὰ τὴν ἀγάπην τῆς εὐσεβείας· πρὸς περισσοτέραν ὅμως τῶν πιστῶν ὠφέλειαν προσέθηκεν ὁ θεῖος Ἀπόστολος καὶ τὰ ἑξῆς·

*Πονηροὶ δὲ ἄνθρωποι καὶ γόητες προκόψουσιν ἐπὶ τὸ χεῖρον, πλανῶντες καὶ πλανώμενοι* (1).

Οἱ πονηροὶ δὲ ἄνθρωποι καὶ οἱ γόητες, ἤγουν οἱ ἀπατεῶνες καὶ κόλακες « Προκό» ψουσιν ἐπὶ τὸ χεῖρον », τουτέστιν αὐξήσουσι καὶ πολλαπλασιάσουσι τὰς ἑαυτῶν ἁμαρτίας. Τίνι δὲ τρόπῳ οὗτοι προκόψουσι; πλανώμενοι μὲν αὐτοὶ ὑπὸ τῶν ἰδίων παθῶν, πλανῶντες δὲ τὰς καρδίας τῶν ἀκάκων « Διὰ τῆς χρηστολογίας καὶ εὐλογί» ας » (2), ὅπερ ἐστὶ διὰ τῆς κολακείας καὶ τῶν ἐπαίνων. Τοιοῦτοι δὲ πονηροὶ καὶ γόητες ἦσαν οἱ ψευδαπόστολοι, οἱ Σιμωνιανοί, οἱ Βασιλειδιανοί, οἱ Νικολαΐται, οἱ Κυρινθιανοί, οἱ Μανιχαῖοι, οἱ Ἀρειανοί, καὶ πάντες οἱ λοιποὶ αἱρετικοί, οἵτινες ὑπὸ τῶν ἰδίων παθῶν πλανώμενοι, διὰ τῆς χρηστολογίας καὶ εὐλογίας, καὶ δι' ἄλλων παντοίων τρόπων πλανῶντες καὶ διαφθείροντες τοὺς πιστούς, προέκοπτον ἐπὶ τὸ κακόν, πολυπλασιάζοντες τὰς ἁμαρτίας αὐτῶν κατὰ ἀναλογίαν τοῦ ἀριθμοῦ τῶν πιστῶν, τῶν ὑπ' αὐτῶν ὑποσκελιζομένων καὶ φθειρομένων.

*Σὺ δὲ μένε ἐν οἷς ἔμαθες καὶ ἐπιστώθης, εἰδὼς παρὰ τίνος ἔμαθες, καὶ ὅτι ἀπὸ βλέφους τὰ ἱερὰ γράμματα οἶδας τὰ δυνάμενά σε σοφίσαι εἰς σωτηρίαν, διὰ πίστεως τῆς ἐν Χριστῷ Ἰησοῦ* (3).

Παραγγέλλει εἰς τὸν Τιμόθεον, ἵνα διαμένῃ στερεὸς καὶ ἀκλόνητος ἐν οἷς ἔμαθε καὶ ἐπιστώθη, ἤγουν εἰς τὰ δόγματα τῆς χριστιανικῆς πίστεως καὶ εἰς τὰς εὐαγγελικὰς νομοθεσίας, ὅσας ἐδιδάχθη, καὶ ἔμαθε, καὶ ἐπληροφορήθη. Ἔχεις δέ, λέγει, ὦ Τιμόθεε, δύο τινά, στηρίζοντά σε πρὸς ταύτην τὴν σωτηριώδη διαμονήν, τὴν ἁγιωσύνην δηλονότι τοῦ διδασκάλου σου· « Εἰδὼς παρὰ τίνος ἔμαθες », καὶ τὴν γνῶσιν τῆς Θείας Γραφῆς· « Καὶ ὅτι ἀπὸ » βρέφους τὰ ἱερὰ γράμματα οἶδας ». Ταῦτα δὲ ἀληθῶς ἀρκετὰ ἦσαν πρὸς τὴν παραγγελλομένην στερέωσιν τοῦ Τιμοθέου· διότι αὐτός, ὡς μαθητὴς καὶ ἀκόλουθος τοῦ Παύλου, εἶδε πάντας τοὺς ὑπὲρ ἄνθρωπον ἀγῶνας αὐτοῦ, τὰ μεγάλα τῆς πίστεως καὶ τῆς ἀρετῆς αὐτοῦ κατορθώματα, τὰ δι' αὐτοῦ γινόμενα θαύματα, τὰ ἐν αὐτῷ χαρίσματα τοῦ παναγίου Πνεύματος. Γινώσκων οὖν, ὅτι ὑπὸ τοιούτου διδασκάλου ἐδιδάχθη, ἀναγκαίως ἐστηρίζετο ἐπὶ τὴν ἀλήθειαν τῶν μαθημάτων, ὧν παρ' αὐτοῦ ἔμαθεν ὁμοίως, ἐπειδὴ αὐτὸς ἀπ' αὐτῆς τῆς βρεφώδους ἡλικίας αὐτοῦ ἐδιδάχθη ὑπὸ τῆς μάμμης καὶ τῆς μητρὸς αὐτοῦ τὰ ἱερὰ γράμματα (4), ἤγουν τὰ τῆς Παλαιᾶς Διαθήκης· αὐτὰ καλῶς νοούμενα ἐστήριζον αὐτὸν εἰς ὅσα παρὰ τοῦ Παύλου ἔμαθε. Σημείωσαι δὲ πρῶτον τὴν ταπεινοφροσύνην τοῦ Παύλου· οὐκ εἶπεν, εἰδὼς ὅτι παρ' ἐμοῦ τοῦ οὐρανοκλήτου καὶ θεοφωτίστου καὶ Ἀποστόλου ἔμαθες, ἀλλ'

(1) Β'. Τιμ. 3, 13. (2) Ῥωμ. 16, 18. (3) Β'. Τιμ. 3, 14, 15. (4) Αὐτ. 1, 5.

εἶπε μόνον, « Εἰδὼς παρὰ τίνος ἔμαθες »· δεύτερον δέ, ὅτι ἡ Παλαιὰ Διαθήκη ὁδηγεῖ πρὸς σωτηρίαν διὰ τῆς ἐν Χριστῷ πίστεως, χωρὶς δὲ αὐτῆς μένουσι κεκαλυμμένα τὰ ἐν αὐτῇ νοήματα, ὡς ἀλλαχοῦ ἐϐεϐαίωσεν ὁ αὐτὸς Παῦλος, εἰπών· «Ἄχρι γὰρ τῆς σήμερον τὸ αὐτὸ κάλυμμα ἐπὶ τῇ ἀναγνώσει τῆς Παλαιᾶς Διαθήκης μένει, μὴ ἀνακαλυπτόμενον, ὅ,τι ἐν Χριστῷ καταργεῖται· ἀλλ' ἕως σήμερον, ἡνίκα ἀναγινώσκεται Μωσῆς, κάλυμμα ἐπὶ τὴν καρδίαν αὐτῶν κεῖται· ἡνίκα δ' ἂν ἐπιστρέψῃ πρὸς Κύριον, περιαιρεῖται τὸ κάλυμμα » (1).

# ΟΜΙΛΙΑ

ΜΕΤΑ ΤΗΝ ΔΕΥΤΕΡΑΝ ΠΡΟΣ

## ΤΙΜΟΘΕΟΝ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗ: ΛΓ΄. ΚΥΡ. ΤΟΥ ΤΕΛΩΝ. ΚΑΙ ΦΑΡΙΣΑΙΟΥ.

ΜΕΓΑΛΗΝ δειλίαν προξενοῦσιν εἰς τὴν καρδίαν παντὸς εὐσεϐοῦς ἀνθρώπου τὰ σήμερον ἀναγνωσθέντα λόγια τοῦ θεοῤῥήμονος Ἀποστόλου Παύλου· τίς ἀκούων διωγμούς, οὐ δειλιᾷ; τίς οὐ φοϐεῖται, ὅταν ἀκούῃ, ὅτι πάντες, ὅσοι πολιτεύονται κατὰ τοὺς νόμους τῆς πίστεως, περιμένουσι διωγμοὺς καὶ παθήματα; Καὶ ὅμως ὁ οὐρανόφρων ἄνθρωπος οὐδόλως συνεστάλη, ἀλλ' ἀνυποστόλως ἐκήρυξε, λέγων· « Καὶ πάντες δὲ οἱ θέλοντες εὐσεϐῶς ζῆν ἐν Χριστῷ Ἰησοῦ διωχθήσονται » (2). Ἀλλ', ὦ ἐπουράνιε ἄνθρωπε, σὺ μέν, ἵνα ἐπιστρέψῃς πάντας πρὸς τὴν εἰς Χριστὸν πίστιν, τρέχεις ἀόκνως εἰς πάντα τόπον, καὶ ἐπιχειρεῖς πάντα τρόπον, ἵνα ἑλκύσῃς πάντας πρὸς τὴν εὐσέϐειαν· γίνεσαι « Τοῖς Ἰουδαίοις ὡς Ἰουδαῖος, ἵνα Ἰουδαίους κερδήσῃς· τοῖς ὑπὸ νόμον ὡς ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον κερδήσῃς· τοῖς ἀνόμοις ὡς ἄνομος, ἵνα κερδήσῃς ἀνόμους· τοῖς ἀσθενέσιν ὡς ἀσθενής, ἵνα τοὺς ἀσθενεῖς κερδήσῃς· τοῖς πᾶσι γίνεσαι τὰ πάντα, ἵνα πάντως τινὰς σώσῃς » (3)· ἔπειτα κηρύττεις μεγαλοφώνως, ὅτι πάντες, ὅσοι θέλουσι ζῆν εὐσεϐῶς, ὑπόκεινται εἰς διωγμούς, τουτέστιν εἰς κινδύνους, καὶ καταδρομάς, καὶ θανάτους; Οὗτός ἐστιν ὁ τρόπος, δι' οὗ ἐλπίζεις ὑποτάξαι τοὺς ἀνθρώπους πρὸς τὴν εἰς Χριστὸν πίστιν; Ταῦτα τὰ λόγιά σου οὐκ ἐφέλκουσιν ἐπὶ τὴν πίστιν, ἀλλ' ἀπωθοῦσιν ἀπὸ τῆς πίστεως· οὐκ ἐγείρουσι πόθον ὑπὲρ τῆς εὐσεϐείας, ἀλλὰ γεννῶσιν ἀποστροφὴν ἀπ' αὐτῆς καὶ μῖσος. Ἡ σκέψις, ἀδελφοί, καὶ ἡ ἐξέτασις τούτων τῶν ἀποστολικῶν λόγων ἀνοίγει τοὺς ὀφθαλμοὺς τῆς διανοίας τῶν ἀνθρώπων πρὸς κατανόησιν τῆς

(1) Β΄. Κορ. 3, 14, 15, 16. (2) Β΄. Τιμ. 3, 12. (3) Α΄. Κορ. 9, 20, 21, 22.



ἀληθείας καὶ δυνάμεως τῆς εὐσεϐοῦς ἡμῶν πίστεως.

Ἐὰν ἐξετάσωμεν τὰ ἀπ' ἀρχῆς κόσμου, καὶ τὰ μετὰ ταῦτα παραδείγματα, ϐλέπομεν τὴν ἀπόδειξιν τῆς ἀληθείας τῶν προκειμένων ἀποστολικῶν λόγων. Ὁ δίκαιος Ἄϐελ φονεύεται ὑπὸ τοῦ φθονεροῦ Κάϊν· τὸν ἄπλαστον Ἰακώϐ κατατρέχει ὁ ἄγροικος Ἡσαῦ· τὸν σώφρονα Ἰωσὴφ οἱ μὲν φθονεροὶ ἀδελφοὶ ἐμϐάλλουσιν εἰς τὸν θανατηφόρον λάκκον, ἔπειτα πωλοῦσιν αὐτὸν εἰς τοὺς Ἰσμαηλίτας, ὁ δὲ ἀλλόφυλος Πετεφρὴ ἀγοράζει αὐτόν, ἵνα ὑπηρετῇ εἰς τὸν οἶκον αὐτοῦ ὡς δοῦλος ἀργυρώνητος, ἡ δὲ ἀσελγὴς Αἰγυπτία συκοφαντεῖ αὐτόν, καὶ κατακλείει εἰς τὴν φυλακὴν μετὰ τῶν καταδίκων· τὸν Δαϐίδ, τὸν ἄνδρα κατὰ τὴν καρδίαν τοῦ Θεοῦ, καταδιώκει ἕως θανάτου ὁ φθονερώτατος Σαούλ· τὸν μὲν μεγαλοφωνότατον Ἡσαΐαν πρίζουσιν ἐν ξυλίνῳ πρίονι, τὸν δὲ θρηνῳδὸν Ἱερεμίαν ϐάλλουσιν ἐν λάκκῳ ϐορϐορώδει οἱ ἄνομοι· τὸν Μιχαίαν, τὸν προφήτην τῆς ἀληθείας, οἱ μὲν ψευδοπροφῆται ῥαπίζουσιν, ὁ δὲ παράνομος ϐασιλεὺς φυλακίζει· τὸν μεγαλώνυμον Ἠλίαν κατατρέχει ἡ πονηρὰ Ἰεζάϐελ, τὴν ψυχὴν αὐτοῦ ζητοῦσα· τὸν μὲν προφήτην Δανιὴλ κλείουσιν εἰς τὸν λάκκον τῶν λεόντων, τοὺς δὲ ἁγίους τρεῖς παῖδας ῥίπτουσιν εἰς τὴν κάμινον τοῦ πυρὸς οἱ ἀσεϐεῖς Βαϐυλώνιοι. Τίς δὲ δύναται διηγηθῆναι, πόσους διωγμούς, καὶ πόσα παθήματα ἐσώρευσεν ὁ διάϐολος κατὰ τοῦ ἀμέμπτου καὶ δικαίου Ἰώϐ;

Ἐὰν ἀνοίξωμεν τὸ ἅγιον Εὐαγγέλιον, μανθάνομεν τὴν αὐτὴν ἀλήθειαν. Ὅταν ὁ ὑπὲρ ἡμῶν σαρκωθεὶς Θεὸς Λόγος ἀπέστειλε τοὺς μαθητὰς αὐτοῦ πρὸς τὸ κήρυγμα τῆς πίστεως, τότε εἶπε πρὸς αὐτούς· « Ἰδοὺ ἐγὼ ἀποστέλλω ὑμᾶς ὡς πρόϐατα ἐν μέσῳ λύκων » (1). Ἀκούεις, ὁποίαν κατάστασιν προορίζει εἰς τοὺς κήρυκας τῆς εὐσεϐείας; ὁποίαν ἔχουσι τὰ πρόϐατα, ἐν μέσῳ τῶν λύκων εὑρισκόμενα· ἔπειτα σαφηνίζει εἰδικώτερον τὰ τῆς καταστάσεως αὐτῶν, λέγων· « Παραδώσουσι γὰρ ὑμᾶς εἰς συνέδρια, καὶ ἐν ταῖς συναγωγαῖς αὐτῶν μαστιγώσουσιν ὑμᾶς » (2)· ἵνα δὲ μὴ νομίσωσιν, ὅτι εἰς τὰς τοιαύτας ἐλεεινὰς περιςάσεις ἔχωσι τῶν συγγενῶν τὴν καταφυγὴν καὶ ϐοήθειαν, προεφανέρωσε καὶ τοῦτο « Παραδώσει δὲ ἀδελφὸς ἀδελφὸν εἰς θάνατον, καὶ πατὴρ τέκνον· καὶ ἐπαναςήσονται τέκνα ἐπὶ γονεῖς, καὶ θανατώσουσιν αὐτούς » (3)· ἐπεσφράγισε δὲ ταύτας τὰς θείας αὐτοῦ προῤῥήσεις, προειπὼν πρὸς αὐτούς, ὅτι, ἐπειδὴ μέλλουσι κηρύττειν τὸ ὄνομα αὐτοῦ, πάντες οἱ ἄνθρωποι γενικῶς ἔσονται ἐχθροὶ αὐτῶν καὶ πολέμιοι· « Καὶ ἔσεσθε, εἶπε, μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου » (4). Ἐκ τούτων ϐλέπομεν φανερά, ὅτι ὁ λόγος τοῦ Ἀποστόλου Παύλου ἐστὶ τεθεμελιωμένος ἐπὶ τὰ ἀπ' ἀρχῆς τοῦ κόσμου παραδείγματα, καὶ ἀπ' αὐτὰς τὰς προῤῥήσεις τοῦ Κυρίου Ἰησοῦ Χριςοῦ, τοῦ ἀρχηγοῦ καὶ τελειωτοῦ τῆς πίστεως (5).

Σημείωσαι δέ, ὅτι ἐφανέρωσεν ὁ Κύριος καὶ τό, τίνες εἰσὶν οἱ μισοῦντες τοὺς κήρυκας τῆς ἀληθείας, καὶ τό, διὰ ποῖον λόγον μισοῦσιν αὐτούς· « Εἰ ἐκ τοῦ κόσμου ἦτε, εἶπεν, ὁ κόσμος ἂν τὸ ἴδιον ἐφίλει· ὅτι δὲ ἐκ τοῦ κόσμου οὐκ ἐστέ, ἀλλ' ἐγὼ ἐξελεξάμην ὑμᾶς ἐκ τοῦ κόσμου, διὰ τοῦτο μισεῖ ὑμᾶς ὁ κόσμος » (6). Ἀκούεις, τίνες

(1) Ματθ. 10, 16. (2) Αὐτ. 17. (3) Αὐτ. 21. (4) Αὐτ. 22. (5) Ἑϐρ. 12, 2. (6) Ἰωάν. 15, 19.

εἰσὶν οἱ μισοῦντες τοὺς φιλοθέους ἄνδρας; ὁ κόσμος· « Διὰ τοῦτο, λέγει, μισεῖ ὑμᾶς ὁ κόσμος», κόσμον ὀνομάσας τοὺς ἀφιερωμένους εἰς τὴν ἀπόλαυσιν τῆς κοσμικῆς ματαιότητος, καὶ μηδὲν περὶ Θεοῦ μελετῶντας· τοὺς προσηλωμένους εἰς τὰς ἡδονὰς τοῦ κόσμου, καὶ μηδὲν περὶ τῆς ψυχῆς αὐτῶν φροντίζοντας· τοὺς ἐκδεδομένους εἰς τὴν ἐν τῷ κόσμῳ κακίαν, καὶ μηδόλως συλλογιζομένους τὸ φοβερὸν κριτήριον καὶ τὴν θείαν ἀνταπόδοσιν· ἑνὶ λόγῳ, κόσμον ὠνόμασε τοὺς ἀσεβεῖς καὶ πονηροὺς καὶ διεστραμμένους ἀνθρώπους. Ὁ δὲ λόγος τοῦ μίσους ἐστὶν ἡ ἀνομοιότης τῶν φρονημάτων, τῶν λόγων, τῶν ἔργων· « Ὅτι δὲ ἐκ τοῦ κόσμου οὐκ ἐστέ, ἀλλ' ἐγὼ ἐξελεξάμην ὑμᾶς ἐκ τοῦ κόσμου, διὰ τοῦτο μισεῖ ὑμᾶς ὁ κόσμος. Καταδυναστεύσωμεν, λέγει ὁ πονηρὸς ἄνθρωπος, πένητα δίκαιον, μὴ φεισώμεθα χήρας, μηδὲ πρεσβύτου ἐντραπῶμεν πολιὰς πολυχρονίου (1). Μάθετε καλὸν ποιεῖν, λέγει ὁ ἀγαθὸς ἄνθρωπος, ἐκζητήσατε κρίσιν, ῥύσασθε ἀδικούμενον, κρίνατε ὀρφανῷ, καὶ δικαιώσατε χήραν» (2). Οἱ πονηροὶ καὶ διεστραμμένοι πράττουσι πᾶν εἶδος κακίας, οἱ ἀγαθοὶ καὶ δίκαιοι κατορθοῦσι πᾶσαν ἀρετήν· ἡ ἀρετή ἐστι φῶς ἄσβεστον καὶ δόξα μηδέποτε μαραινομένη· τοῦτο τὸ φῶς καὶ τὴν δόξαν μὴ ὑποφέροντες βλέπειν οἱ πονηροὶ καὶ σκοτεινοὶ ἄνθρωποι, ἐξεγείρονται κατὰ τῶν δικαίων, καὶ καταδιώκουσιν αὐτούς, ἵνα σβέσωσι τὸ φῶς, καὶ ἐξαλείψωσι τὴν δόξαν, καὶ καταπαύσωσι τῆς συνειδήσεως αὐτῶν τοὺς ἐλέγχους· « Ἐνεδρεύσωμεν, λέγουσι, τὸν δίκαιον, ὅτι δύσχρηστος ἡμῖν ἐστι, καὶ ἐναντιοῦται τοῖς ἔργοις ἡμῶν, καὶ ὀνειδίζει ἡμῖν ἁμαρτήματα νόμου, καὶ ἐπιφημίζει ἡμῖν ἁμαρτήματα παιδείας ἡμῶν· ἐγένετο ἡμῖν εἰς ἔλεγχον ἐννοιῶν ἡμῶν· βαρύς ἐστιν ἡμῖν καὶ βλεπόμενος, ὅτι ἀνόμοιος τοῖς ἄλλοις ὁ βίος αὐτοῦ, καὶ ἐξηλλαγμέναι αἱ τρίβοι αὐτοῦ» (3).

Καὶ τοῦτο μὲν οὕτως ἔχει, ἄλλο δέ ἐστι τὸ παράδοξον, τὸ τοὺς πολλοὺς σκανδαλίζον, ἡ προκοπὴ δηλονότι τῶν τοιούτων πονηρῶν ἀνθρώπων, καὶ ἡ εὐδοκίμησις αὐτῶν ἐπὶ τὸ κακόν, ὡς ὁ Παῦλος διδάσκει, λέγων· « Πονηροὶ δὲ ἄνθρωποι καὶ γόητες προκόψουσιν ἐπὶ τὸ χεῖρον, πλανῶντες καὶ πλανώμενοι » (4)· καὶ τὰ πράγματα δὲ ἐπιβεβαιοῦσι. Προκόπτει ὁ πονηρὸς Ἀβεσσαλὼμ ἐπὶ τὸ χεῖρον, ὑπὸ τοῦ πάθους τῆς φιλαρχίας πλανηθείς, καὶ διὰ τῶν κολακειῶν καὶ τοῦ ψεύδους πλανήσας τοὺς Ἰσραηλίτας, καὶ πείσας αὐτούς, ἵνα, ἀποστατήσαντες ἀπὸ τοῦ πατρὸς αὐτοῦ καὶ βασιλέως, ἀνακηρύξωσιν αὐτὸν βασιλέα (5). Προκόπτουσιν ἐπὶ τὸ χεῖρον αἱ πονηραὶ καὶ γόητες ἐθνικαὶ γυναῖκες, πλανώμεναι δὲ ὑπὸ τοῦ πάθους τῆς εἰδωλικῆς προκαταλήψεως, καὶ πλανήσασαι διὰ τῆς γοητείας τοῦ ἔρωτος τὸν Σολομῶντα· « Ἐξέκλιναν τὴν καρδίαν αὐτοῦ ὀπίσω θεῶν αὐτῶν» (6). Προκόπτει ἐπὶ τὸ χεῖρον ἡ παμπόνηρος Ἰεζάβελ, καὶ ὑπὸ τῶν ἀκαθέκτων αὐτῆς παθῶν πλανωμένη, πλανᾷ διὰ τῶν πεπονηρευμένων αὐτῆς ἐπιτηδευμάτων τὸν ἄνδρα αὐτῆς τὸν Ἀχαάβ, ὁμοίως καὶ τῶν Ἰσραηλιτῶν τὸ πλῆθος, καταςήσασα αὐτοὺς προσκυνητὰς τοῦ Βάαλ (7), καὶ φονεύσασα μὲν τοὺς προφήτας τοῦ ἀληθινοῦ Θεοῦ, περιποιηθεῖσα δὲ τοὺς ἱερεῖς τῆς αἰσχύνης, ἐδίωκεν ἕως θανάτου καὶ τὸν μέγαν προφήτην Ἠλίαν (8).

(1) Σοφ. 2, 10. (2) Ἡσ. 1, 17. (3) Σοφ. 2, 12, 14, 15. (4) Β'. Τιμ. 3, 13. (5) Β'. Βασ. 15.
(6) Γ'. Βασ. 11, 3. (7) Αὐτ. 16, 31. (8) Αὐτ. 18, 13.



Προκόπτει ἡ ἀσελγεστάτη Ἡρωδιὰς ἐπὶ τὸ χεῖρον, πλανηθεῖσα ὑπὸ τοῦ πάθους τῆς ἔχθρας καὶ ἐκδικήσεως, καὶ διὰ τοῦ χοροῦ τῆς ἰδίας θυγατρὸς πλανήσασα τὸν παράνομον Ἡρώδην, καὶ πείσασα αὐτόν, ἵνα ἀποκεφαλίσῃ τὸν ἄνδρα τὸν δίκαιον, τὸν προφήτην καὶ πρόδρομον καὶ βαπτιστὴν τοῦ Χριστοῦ (1). Μυρία τοιαῦτα παραδείγματα εὑρίσκεις οὐ μόνον εἰς τὰς Θείας Γραφάς, ἀλλὰ καὶ εἰς τὰς πολιτικὰς ἱστορίας· ἀλλὰ τίς ἡ χρεία τῶν παλαιῶν; οὐ βλέπομεν ἡμεῖς καὶ τὴν σήμερον ἡμέραν τοὺς πανούργους καὶ πεπονηρευμένους ἀνθρώπους μετὰ εὐκολίας προχωροῦντας καὶ εἰς τὰς ἀγορὰς καὶ εἰς τὰ κριτήρια, καὶ εἰς τὰ παλάτια τῶν ἀρχόντων, καὶ εἰς τὰς αὐλὰς τῶν μεγιστάνων καὶ ἡγεμόνων, καὶ προκόπτοντας ἐπὶ τὸ χεῖρον; Αὐτοὶ πλανώμενοι ὑπὸ τῶν ἰδίων παθῶν, λέγουσι καὶ τὸ πικρὸν γλυκύ, καὶ τὸ γλυκὺ πικρόν, καὶ τὸ φῶς σκότος, καὶ τὸ σκότος φῶς, πᾶσαν δὲ ἄλλην κολακείαν μετερχόμενοι, καὶ ψευδόμενοι, καὶ συκοφαντοῦντες, καὶ πάντα πράττοντες, ἵνα ἀρέσωσιν εἰς οὓς αὐτοὶ θέλουσιν, ὑποσύρουσιν αὐτοὺς εἰς τὰ κακὰ αὐτῶν θελήματα, καὶ πολυπλασιάζοντες τὴν ἀνομίαν, καὶ τὴν ἀδικίαν, καὶ πᾶν εἶδος ἁμαρτίας, γίνονται πλούσιοι, καὶ ἔνδοξοι καὶ εὐτυχεῖς.

Ἐθαύμαζεν ὁ ἄνθρωπος τοῦ Θεοῦ ὁ προφήτης Ἱερεμίας, βλέπων τοὺς ἀσεβεῖς καὶ πονηροὺς εὐοδουμένους καὶ εὐτυχοῦντας· « Δίκαιος εἶ, Κύριε, ἐκραύγαζεν, ὅτι ἀπολογήσομαι πρὸς σέ· πλὴν κρίματα λαλήσω πρὸς σέ· τί ὅτι ὁδὸς ἀσεβῶν εὐοδοῦται; εὐθήνησαν πάντες οἱ ἀθετοῦντες ἀθετήματα » (2). Ἡμεῖς δὲ ἔχομεν πολλὰ ἰσχυρότερον λόγον, ἀναγκάζοντα ἡμᾶς, ἵνα θαυμάζωμεν, καὶ ἐξαπορῶμεν· ὁ Θεὸς θέλει, ἵνα πάντες οἱ ἄνθρωποι γνωρίσωσιν αὐτὸν Θεὸν ἀληθινόν, καὶ οὕτως ἀπολαύσωσι τῆς αἰωνίου σωτηρίας· « Ὃς πάντας ἀνθρώπους θέλει σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν » (3). Ὁ Θεὸς τόσον ἀγαπᾷ καὶ θέλει, ἵνα μηδεὶς ἀπολεσθῇ, ἀλλὰ διὰ τῆς πρὸς αὐτὸν πίστεως πάντες σωθῶσιν, ὥστε διὰ τοῦτο ἐξαπέστειλε τὸν μονογενῆ αὐτοῦ Υἱὸν εἰς τὸν κόσμον· « Οὕτω γὰρ ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον, ὥστε τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον » (4)· ὁ Θεὸς ἀγαπᾷ τὴν δικαιοσύνην, καὶ μισεῖ τὴν ἀνομίαν· « Ὁ θρόνος σου, ὁ Θεὸς εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου· ἠγάπησας δικαιοσύνην, καὶ ἐμίσησας ἀνομίαν » (5)· ἔπειτα βλέπομεν, ὅτι ὁ Θεὸς οὐ μόνον ὑποφέρει, ἵνα οἱ εὐσεβεῖς, οἱ εἰς αὐτὸν πιστεύοντες, καὶ αὐτῷ δουλεύοντες, διώκωνται ὑπὸ τῶν ἀσεβῶν· οὐ μόνον ὑποφέρει, ἵνα πάσχωσιν οἱ εὐσεβεῖς, εὐτυχῶσι δὲ οἱ πονηροὶ καὶ γόητες, ἀλλὰ καὶ κηρύττει τοῦτο φανερὰ διὰ τοῦ ἀποστολικοῦ στόματος, λέγων· « Καὶ πάντες δὲ οἱ θέλοντες εὐσεβῶς ζῆν ἐν Χριστῷ Ἰησοῦ, διωχθήσονται· πονηροὶ δὲ ἄνθρωποι καὶ γόητες προκόψουσιν ἐπὶ τὸ χεῖρον, πλανῶντες καὶ πλανώμενοι » (6). Τοῦτο ἀληθῶς ἐστιν ἓν τῶν μυστηρίων, περὶ ὧν ὁ Παῦλος ἐβόα· « Ὦ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως Θεοῦ » (7)· τοῦτο φαίνεται ἀκατάληπτον, καὶ σκανδαλίζει πολλούς· τοῦτο ὅμως ἐστὶν ἀπόδειξις τῆς πίστεως· τοῦτο

(1) Μάρκ. 6, 24. (2) Ἱερ. 12, 1. (3) Ά. Τιμ. 2, 4. (4) Ἰωάν. 3, 16. (5) Ψαλμ. 44, 6. 7.
(6) Β'. Τιμ. 3, 12, 13. (7) Ῥωμ. 11, 33.

ἀποδεικνύει, ὅτι ἡ εἰς Χριστὸν πίστις οὐκ ἔστιν ἔργον ἀνθρώπινον, ἀλλὰ τῆς ὑπερφυσικῆς τοῦ Θεοῦ δυνάμεως κατόρθωμα.

Ἐὰν πληροφορηθῶμεν, ὅτι οὐδὲν πρᾶγμα ἀνθρώπινον ἔπεισε τοὺς ἀνθρώπους, ἵνα πιστεύσωσιν εἰς τὸν Ἰησοῦν Χριστόν, καὶ ὅτι πάντα τὰ ἀνθρώπινα πράγματα ἐμάκρυναν αὐτοὺς ἀπὸ τῆς πρὸς αὐτὸν πίστεως, καὶ ὅμως ἐπίστευσαν, τί ἐκ τούτου ἀκολουθεῖ; καὶ τί ἄλλο, εἰ μή, ὅτι δύναμις ἰσχυροτέρα πάντων τῶν ἐπιγείων πραγμάτων εἵλκυσεν αὐτοὺς πρὸς τὴν εἰς Χριστὸν πίστιν; Ἐξετάζω πρῶτον τὴν πίστιν τῶν Ἀποστόλων· ποῖον ἀνθρώπινον πρᾶγμα ἔπεισεν αὐτούς, ἵνα πιστεύσωσιν εἰς τὸν Ἰησοῦν Χριστόν; μήπως τῶν γενεσίων αὐτοῦ ἡ δόξα καὶ ἡ λαμπρότης, ἢ τῶν ἀξιωμάτων αὐτοῦ τὸ ὕψος; ἀλλ' αὐτὸς ἐγεννήθη εἰς ἓν σπήλαιον, καὶ ἀνεκλίθη εἰς τῶν ἀλόγων τὴν φάτνην, ἐλογίζετο δὲ τέκτων, καὶ υἱὸς τέκτονος· « Οὐχ οὗτός ἐστιν ὁ τέκτων, ὁ υἱὸς Μαρίας; οὐχ οὗτός ἐστιν ὁ τοῦ τέκτονος υἱός; (1) οὕτω περὶ αὐτοῦ ἐλάλουν μεταξὺ ἀλλήλων οἱ Ἰουδαῖοι. Μήπως ὁ πολὺς πλοῦτος, ἢ ἡ μεγάλη ἐξουσία, ἢ τὰ ἰσχυρὰ ὅπλα ὑπέταξαν αὐτοὺς πρὸς τὴν εἰς Χριστὸν πίστιν; ἀλλ' αὐτὸς ἦν ἄνθρωπος πτωχός, ἰδιώτης, ἄοπλος, μὴ ἔχων, « Ποῦ τὴν κεφαλὴν κλίνῃ » (2)· Μήπως ἔσυρεν αὐτοὺς εἰς τὴν πρὸς αὐτὸν πίστιν ἡ ὑπόληψις, καὶ τὸ σέβας, καὶ ἡ τιμή, ἣν προσέφερον αὐτῷ οἱ τότε ἄνθρωποι; ἀλλὰ καὶ οἱ ἄρχοντες, καὶ οἱ ἀρχιερεῖς, καὶ οἱ νομοδιδάσκαλοι, καὶ οἱ γραμματεῖς, καὶ οἱ Φαρισαῖοι περιεφρόνουν, καὶ ἐξωνείδιζον αὐτόν, ἄλλοτε μὲν λέγοντες, ὅτι ἐστὶ παραβάτης τοῦ νόμου (3), ἄλλοτε δέ, ὅτι ἐστὶ Σαμαρείτης, καὶ δαιμονιζόμενος (4). Ὑποσύρει πολλάκις τοὺς ἀνθρώπους καὶ ἡ κολακεία, γαργαλίζουσα τὰ πάθη, καὶ σκοτίζουσα τὸν νοῦν· ἀλλ' ὁ Ἰησοῦς Χριστὸς τόσον μακρὰν ἀπεῖχεν ἀπὸ τῆς κολακείας, ὥστε αὐστηρῶς ἐξήλεγχε καὶ τὴν ὑπόκρισιν, καὶ τὰς δεισιδαιμονίας, ὡς περὶ τούτου μαρτυρεῖ τό, « Οὐαί » (5), τὸ τοσάκις ὑπ' αὐτοῦ ἐκφωνηθὲν κατὰ τῶν γραμματέων καὶ Φαρισαίων.

Ἆρά γε ἐπείσθησαν οἱ Ἀπόστολοι, ὅτι ὁ Ἰησοῦς Χριστός ἐστι Θεός, ὅτε εἶδον αὐτὸν συρόμενον εἰς τὰ κριτήρια, ὅπου ὁ μὲν ἀρχιερεὺς ἐξώρκισεν αὐτόν, καὶ ἤλεγξεν ὡς βλάσφημον, οἱ δὲ προεστῶτες « Ἐνέπτυσαν εἰς τὸ πρόσωπον αὐτοῦ, καὶ ἐκολάφισαν αὐτόν, οἱ δὲ ἐῤῥάπισαν » (6)· ἢ τότε ἐπίστευσαν, ὅτι ἐστὶ Θεός, ὅτε εἶδον αὐτὸν βαστάζοντα εἰς μὲν τοὺς ὤμους τὴν κοκκίνην χλαμύδα, εἰς δὲ τὴν κεφαλὴν τὸν ἀκάνθινον στέφανον, εἰς δὲ τὴν δεξιὰν τὸν κάλαμον, καὶ παίγνιον γενόμενον ὅλου τοῦ πραιτωρίου, καὶ ἐμπτυόμενον ὑπὸ τῶν στρατιωτῶν τοῦ ἡγεμόνος, καὶ ὅλης τῆς σπείρας, καὶ καλάμῳ τὴν κεφαλὴν τυπτόμενον; (7) ἢ τότε ἐπίστευσαν, ὅτε εἶδον αὐτὸν γυμνὸν ἐσταυρωμένον ὡς κατάδικον ἐν μέσῳ δύο λῃστῶν, καὶ βλασφημούμενον, καὶ ὄξος ποτιζόμενον, καὶ ἀποθνήσκοντα (8), καὶ ὑπὸ τοῦ στρατιώτου τὴν πλευρὰν ἐκκεντούμενον, καὶ ὑπὸ τοῦ Ἰωσὴφ καὶ τοῦ Νικοδήμου ὡς ψιλὸν ἄνθρωπον ἐν μνήματι ἐνταφιαζόμενον; (9) Ταῦτα ἔπεισαν καὶ ἐπληροφόρησαν αὐτούς, ὅτι ἐστὶ Θεός; ἀλλὰ ποῖος ἄνθρωπος, ὅσον ἂν εἴη ἀμαθής, ἁπλοῦς, ἄπρακτος, ἄγροικος, παχύνους, βλάξ, ταῦτα βλέπων, δύναται πιστεῦσαι, ὅτι ὁ ταῦτα πάσχων ἐστὶν ὁ Θεός, ὁ παντοδύναμος καὶ παντοκράτωρ, ὁ ποι-

(1) Μάρκ. 6, 3. Ματθ. 13, 55. (2) Λουκ. 9, 58. (3) Ἰωάν. 9, 16. (4) Αὐτ. 8, 18. (5) Ματθ. 23, 13.
(6) Αὐτ. 26, 63, 65, 67. (7) Αὐτ. 27, 28, 30. (8) Αὐτ. 38, 39. (9) Ἰωάν. 19, 34, 42.



ητὴς τοῦ οὐρανοῦ καὶ τῆς γῆς, καὶ πάντων τῶν ἐπουρανίων καὶ ἐπιγείων κτισμάτων; Ἐκ τούτων βλέπετε, ὅτι οὐδὲν ἀνθρώπινον ἔπεισε τοὺς Ἀποστόλους, ἵνα πιστεύσωσιν εἰς τὸν Ἰησοῦν Χριστόν· Ἀκούσατε νῦν, πόσον ἔπειθον, μᾶλλον δέ, ἐβίαζον αὐτούς, ἵνα μὴ πιστεύσωσιν.

Εἰπὲ ὁποίου ἀνθρώπου καὶ ἂν θέλῃς, ἄφες πάντα τὰ ὑπάρχοντά σου, καὶ ἔρχου γενοῦ μαθητής μου· ἐὰν δὲ μὴ ἐγκαταλείψῃς πάντα ὅσα ἔχεις, οὐ δύνασαι μαθητής μου γενέσθαι· ἆρά γε ὑπακούει σοι; ἆρά γε στέργει γενέσθαι πάμπτωχος καὶ ἄπορος, ἵνα ἀκούσῃ τὰ μαθήματά σου; τοῦτο οὖν ἔλεγεν ὁ Χριστὸς πρὸς τοὺς Ἀποστόλους· « Οὕτως οὖν πᾶς ἐξ ὑμῶν, ὃς οὐκ ἀποτάσσεται πᾶσι τοῖς ἑαυτοῦ ὑπάρχουσιν, οὐ δύναταί μου εἶναι μαθητής » (1). Αὐτοὶ δὲ ὑπήκουσαν εἰς τὸν λόγον αὐτοῦ, καὶ ἐγκαταλιπόντες πάντα ὅσα εἶχον, ἠκολούθησαν αὐτῷ· ὅθεν ὁ Πέτρος ἔλεγε πρὸς αὐτόν· « Ἰδοὺ ἡμεῖς ἀφήκαμεν πάντα, καὶ ἠκολουθήσαμέν σοι » (2). Ἐάν τις ἰδιώτης καὶ πτωχὸς ἄνθρωπος περιεπάτει, κηρύττων καὶ λέγων· ὅστις θέλει γενέσθαι φίλος μου καὶ ἀκόλουθός μου, ἐκεῖνος ἀνάγκη ἐστίν, ἵνα ἀρνηθῇ πάσας τὰς τῆς σαρκὸς αὐτοῦ ἐπιθυμίας, καὶ ὑπομείνῃ πᾶσαν στενοχωρίαν καὶ θλίψιν καὶ κάκωσιν· ἐὰν δὲ μὴ ποιήσῃ ταῦτα, οὐκ ἔστιν ἄξιος τῆς φιλίας μου· τί νομίζετε; ἆρά γε εὑρίσκετο ἄνθρωπος εἰς τὸν κόσμον, ὅστις ἠκολούθει τοιοῦτον ἄνθρωπον; τί νομίζετε; ἆρά γε οὐκ ἔφευγον πάντες ἀπ' αὐτοῦ, κραυγάζοντες καὶ λέγοντες, ὅτι ἐστὶ μωρὸς καὶ ἀσύνετος; τοῦτο δὲ ἐκήρυττεν ὁ Ἰησοῦς Χριστός· « Εἴτις θέλει, ἔλεγεν, ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτόν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι (3)· Καὶ ὃς οὐ λαμβάνει τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθεῖ ὀπίσω μου, οὐκ ἔστι μου ἄξιος » (4). Καὶ ὅμως οἱ Ἀπόστολοι ἠκολούθησαν αὐτῷ· ὅτε δὲ ἠρώτα αὐτούς, μήπως θέλωσι χωρισθῆναι ἀπ' αὐτοῦ· « Μὴ καὶ ὑμεῖς θέλετε ὑπάγειν; » (5) Ἀπεκρίθησαν πρὸς αὐτόν, λέγοντες, ὅτι τὰ λόγια αὐτοῦ ἦσαν λόγια ζωῆς ἀθανάτου· « Κύριε, πρὸς τίνα ἀπελευσόμεθα; ῥήματα ζωῆς αἰωνίου ἔχεις » (6)· Ὑμᾶς, ἔλεγε πρὸς αὐτούς, ὦ μαθηταί μου, περιμένουσι δεσμά, διωγμοί, φυλακαὶ καὶ τελευταῖον μαρτυρικὸς θάνατος· « Ἐπιβαλοῦσι γάρ, ἔλεγε πρὸς αὐτούς, ἐφ' ὑμᾶς τὰς χεῖρας αὐτῶν, καὶ διώξουσι, παραδιδόντες εἰς συναγωγὰς καὶ φυλακάς, ἀγομένους ἐπὶ βασιλεῖς καὶ ἡγεμόνας, ἕνεκεν τοῦ ὀνόματός μου· ἀποβήσεται δὲ ὑμῖν εἰς μαρτύριον » (7).

Ἀληθῶς ταῦτα, λέγεις, εἰσὶ φοβερά, καὶ κατὰ φύσιν ἀπαράδεκτα· πλὴν πρὸς ἀμοιβὴν τῶν τοιούτων παθημάτων ὁ Ἰησοῦς Χριστὸς ὑπεσχέθη θρόνους, καὶ δόξαν, καὶ βασιλείαν· ὅθεν ἡ ἐπιθυμία τῆς τούτων ἀπολαύσεως ἔπεισε τοὺς Ἀποστόλους πιστεῦσαι εἰς αὐτόν· ἀλλ' ὁ Ἰησοῦς Χριστὸς εἶπεν, ὅτι ταῦτα μέλλουσιν ἀπολαῦσαι οἱ δίκαιοι « Ἐν τῇ παλιγγενεσίᾳ » (8), ἤγουν εἰς τὸν μέλλοντα αἰῶνα, ὅταν ἀνακαινισθῇ ὁ κόσμος, καὶ καθήσῃ αὐτὸς κρῖναι πᾶσαν τὴν οἰκουμένην. Ὁ Ἰησοῦς Χριστὸς εἶπε φανερὰ ἐνώπιον τοῦ Πιλάτου, ὅτι ἡ βασιλεία αὐτοῦ οὐκ ἔστιν ἐγκόσμιος· « Ἡ βασιλεία ἡ ἐμή, εἶπεν, οὐκ ἔστιν ἐκ τοῦ κόσμου τούτου· εἰ ἐκ τοῦ κόσμου τούτου ἦν ἡ βασιλεία ἡ ἐμή, οἱ ὑπηρέται ἂν οἱ ἐμοὶ ἠ-

(1) Λουκ. 14, 33. (2) Ματθ. 19. 27. (3) Αὐτ. 16, 24. (4) Αὐτ. 10, 38. (5) Ἰωάν. 6, 67. (6) Αὐτ. 68.
(7) Λουκ. 21, 12, 13. (8) Αὐτ. 19, 28.

» γωνίζοντο, ἵνα μὴ παραδοθῶ τοῖς Ἰουδαίοις· νῦν δὲ ἡ βασιλεία ἡ ἐμὴ οὐκ ἔςιν ἐντεῦθεν » (1). Τίς οὖν ἐστιν ἐκεῖνος ὁ ἄνθρωπος, ὅστις διὰ πράγματα μέλλοντα, ἀόρατα, ἀβέβαια, ὑπὸ ἑνὸς μόνου ἀνθρώπου κηρυττόμενα, ἐγκαταλείπει πράγματα ἐνεστῶτα, βλεπόμενα, βέβαια, ὡς ὑπὸ τῶν αἰσθήσεων μαρτυρούμενα ; Ποῖος ἄνθρωπος διὰ τὰς ὑποσχέσεις ἑνὸς ἀνθρώπου ἰδιώτου, πτωχοῦ, περιπεφρονημένου, καταδίκου, ἐν μέσῳ δύο λῃστῶν σταυρωθέντος, καὶ ἐν τῷ ξύλῳ τοῦ σταυροῦ ἀποθανόντος, ἐγκαταλείπει οἰκίαν, συγγενεῖς, τέκνα, φίλους, καὶ τρέχει εἰς πάντα τόπον πεινῶν, διψῶν, γυμνητεύων, ἀτιμαζόμενος, δερόμενος, φυλακιζόμενος, δεσμούμενος, μυρία μυρίων παθήματα πάσχων; Ποῖος διὰ ψιλὰς καὶ ἀναποδείκτους ὑποσχέσεις ἑνὸς τοιούτου ἀνθρώπου παραδίδωσιν ἑαυτὸν εἰς θάνατον ; Ἐὰν προσηλώσῃς πάσας τὰς δυνάμεις τοῦ νοός σου, ἵνα εὕρῃς, ποῖον πρᾶγμα ἐγκόσμιον εἵλκυσε τοὺς Ἀποστόλους πρὸς τὴν εἰς Χριστὸν πίστιν, καὶ ἔπεισεν αὐτούς, ἵνα μετὰ τοὺς μυρίους διωγμούς, καὶ τὰ ἄμετρα παθήματα ὑπομείνωσι καὶ τὸν θάνατον ὑπὲρ τῆς ἀγάπης αὐτοῦ, οὐ μόνον οὐδὲν τοιοῦτον εὑρίσκεις, ἀλλά βλέπεις, καὶ πείθεσαι, ὅτι πᾶς φυσικὸς λόγος, καὶ πάντα τὰ ἐγκόσμια πράγματα ἠνάγκαζον αὐτοὺς ἵνα μὴ εἰς αὐτὸν πιστεύσωσιν.

Ἐξέτασον καὶ τὰς περιστάσεις τοῦ ἀποστολικοῦ κηρύγματος. Οἱ Ἀπόστολοι ἦσαν ἀγράμματοι, πτωχοί, ἰδιῶται, ἄοπλοι· αὐτοὶ διασκορπισθέντες πανταχοῦ, ἐκήρυττον τὴν πίστιν εἰς ἀνθρώπους διαφέροντας κατὰ τὸ γένος, κατὰ τὴν γλῶσσαν, κατὰ τὴν θρησκείαν, κατὰ τὰ ἤθη, κατὰ τοὺς νόμους, κατὰ τὰς συνηθείας· τί δὲ ἐκήρυττον εἰς αὐτούς ; ἐκήρυττον, ἵνα πιςεύσωσιν ὅτι ὁ Ἰησοῦς Χριστός, ὅστις ὡς κατάδικος ἐσταυρώθη ἐν μέσῳ δύο λῃστῶν εἰς τὴν Ἱερουσαλήμ, ἐστὶν ὁ Θεός, ὁ ποιήσας τὸν οὐρανόν, καὶ τὴν γῆν, καὶ τὴν θάλασσαν, ὁ δημιουργός καὶ παντοδύναμος ἐξουσιαστὴς πάσης τῆς κτίσεως· « Ἡμεῖς κηρύττομεν, » ἔλεγον, Χριστὸν ἐσταυρωμένον »(2). Πρὸς τούτοις ἐκήρυττον, λέγοντες· ἄνθρωποι, παραιτήσατε πᾶσαν σωματικὴν ἡδονήν, « Νεκρώσατε τὰ μέλη ὑμῶν τὰ ἐπὶ τῆς γῆς »(3), περιφρονήσατε τὸν πλοῦτον, φεύγετε τὴν δόξαν· « Ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν (4)· Εἴτις ζητεῖ, ἔλεγον, τὸν χιτῶνά σου, ἄφες αὐτῷ καὶ τὸ ἱμάτιόν σου(5). Ὅςις σε ῥαπίσει ἐπὶ τὴν δεξιάν σου σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην » (6)· εὐλόγει τοὺς καταρωμένους σε, εὐεργέτει τοὺς μισοῦντάς σε, προσεύχου ὑπὲρ τῶν βλαπτόντων, καὶ διωκόντων σε (7)· ἄνθρωποι, ἔλεγον, ἑτοιμάσατε ἑαυτοὺς εἰς κινδύνους, διωγμούς, παντοῖα παθήματα, διότι πάντες « Οἱ θέλοντες εὐσεβῶς ζῆν ἐν Χριστῷ Ἰησοῦ, διωχθήσονται » (8)· ἑτοιμάσθητε, ἵνα καὶ τὸν θάνατον δεχθῆτε ὑπὲρ τῆς ἀγάπης τοῦ Χριστοῦ (9). Εἰς τοῦτο δὲ τὸ κήρυγμα ἐν ὀλίγῳ καιροῦ διαστήματι τόσα ἄμετρα πλήθη ἀνθρώπων ἐπίστευσαν, ὥςε ὁ Παῦλος ἀνυποστόλως ἔγραφε πρὸς μὲν τοὺς Ῥωμαίους· « Ὅτι ἡ πίστις ὑμῶν καταγγέλλεται ἐν ὅλῳ τῷ κόσμῳ »(10)· πρὸς δὲ τοὺς Κολοσσαεῖς· « Ὁ λόγος τοῦ Εὐαγγελίου τῆς ἀληθείας ἐστὶ καρποφορούμενος ἐν παντὶ τῷ κόσμῳ, καθὼς καὶ ἐν ὑμῖν » (11). Ἀλλὰ διὰ ποίας διαλέκτου ἐδίδασκον ταῦτα οἱ Ἀπόστολοι οὐ μόνον

(1) Ἰωάν. 18, 36. (2) Α'. Κορ. 1, 23. (3) Κολ. 3, 5. (4) Ματθ. 5, 44. (5) Αὐτ. 40. (6) Αὐτ. 39. (7) Αὐτ. 44. (8) Β'. Τιμ. 3, 12. (9) Λουκ. 21, 13. (10) Ῥωμ. 1, 8. (11) Κολ. 1, 6.



τοὺς Ἑβραίους, ἀλλὰ καὶ Ἕλληνας, καὶ Ῥωμαίους, καὶ Πάρθους, καὶ Μήδους, καὶ Ἐλαμίτας, καὶ Φρύγας, καὶ Παμφυλίους, καὶ Αἰγυπτίους, καὶ τὰ λοιπὰ ἀλλόγλωσσα ἔθνη; πῶς ἔπεισαν οἱ ἄσοφοι τοὺς σοφούς, οἱ ἁλιεῖς τοὺς ῥήτορας, οἱ ἀγράμματοι τοὺς σοφιστάς; ἐν ποίᾳ δυνάμει ἐνίκησαν οἱ πένητες τοὺς πλουσίους, οἱ ἀδύνατοι τοὺς δυνάστας, οἱ ἰδιῶται τοὺς ἄρχοντας; ποία δύναμις ἐγκόσμιος ἐνίκησε τῆς θρησκείας τὴν προκατάληψιν, τῶν κακῶν ἠθῶν τὴν ἕξιν, τῶν πολιτικῶν νόμων τὸ κράτος, τῶν ἀλλοκότων συνηθειῶν τὴν ἰσχύν, καὶ αὐτῆς τῆς ἀνθρωπίνης φύσεως τὰς ὁρμὰς τὰς παραλόγους; ποῖον πρᾶγμα βλέπεις ἐν τούτοις ἐγκόσμιον; ποίαν σωματικὴν δύναμιν ; ποῖον τέλος σαρκικόν; Ὅστις διὰ τοῦ ἐν ἡμῖν ὀρθοῦ λόγου ταῦτα στοχάζεται, ἐκεῖνος πείθεται, ὅτι δύναμις οὐχὶ κοσμική, οὐδὲ ὑλική, οὐδὲ σωματική, ἀλλὰ δύναμις ἄλλη ὑπερκόσμιος, ἄϋλος, ἀόρατος, παντοδύναμος ταῦτα ἐποίησεν· ὅστις ταῦτα περιερευνᾷ, καὶ πείθεται εἰς τὸν ὀρθὸν λόγον, ἐκεῖνος βλέπει, ὅτι οὐδεὶς ἄλλος, εἰ μὴ ἡ παντοδύναμος δεξιὰ τοῦ Ὑψίστου ταῦτα ἐποίησε· « Δεξιὰ Κυρίου ἐποίησε δύναμιν »· δεξιὰ Κυρίου ὕψωσε τὴν εἰς Χριστὸν πίςιν· « Δεξιὰ Κυρίου ἐποίησε δύναμιν » (1)· ἡ παντοδύναμος χάρις τῆς πίστεως ἐνίκησε καὶ τὰς ψευδοθρησκείας, καὶ τὴν εἰς τὸ κακὸν ἕξιν, καὶ τῶν ἐπιβλαβῶν νόμων τὸ κράτος, καὶ τῶν πονηρῶν συνηθειῶν τὴν δύναμιν, καὶ τῶν ἀλόγων ὁρμῶν τὴν ἰσχύν, καὶ παντὸς κόσμου τὴν ματαιότητα· « Αὕτη ἐστὶν ἡ νίκη, ἡ νικήσασα τὸν κόσμον » (2), ἡ πίστις ἡμῶν. Ἡ δύναμις τοῦ Ἰησοῦ Χριστοῦ ἐνίκησε τὰ κοσμικὰ ἐμπόδια, ὡς αὐτὸς προηγόρευσε, λέγων· « Ἐν τῷ κόσμῳ θλίψιν ἕξετε· ἀλλὰ θαρσεῖτε, ἐγὼ νενίκηκα τὸν κόσμον » (3). Αὕτη ἡ μεταβολὴ ἀπὸ τοῦ ἐφθαρμένου καὶ φαύλου πολιτεύματος εἰς πολιτείαν ἄμεμπτον καὶ ὑπεραγίαν, οὐκ ἔστιν ἔργον τῆς φύσεως, ἀλλ' ἐνέργεια τῆς χάριτος· αὕτη ἡ κατὰ πάντα ἐπὶ τὸ κρεῖττον μεταβολὴ οὐκ ἔστιν ἔργον ἀνθρώπινον, ἀλλὰ κατόρθωμα τῆς παντοδυνάμου χειρὸς τοῦ Ὑψίστου· « Αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ Ὑψίστου » (4).

Ἀλλὰ ποίαν, λέγεις, χρείαν ἔχομεν ταύτης τῆς διδασκαλίας ἡμεῖς, οἱ εἰς τὸν Χριστὸν πιστεύοντες; ἡμεῖς οὐ ζητοῦμεν ἀπόδειξιν τῆς πίστεως, ἐπειδὴ πιστεύομεν· διδασκαλίας δὲ ἠθικῆς χρείαν ἔχομεν πρὸς κατόρθωσιν ἀρετῆς. Ἀλλὰ ποία ἄλλη ἀρετή, ἀγαπητοί μου ἀδελφοί, ἢ ὑπερτέρα, ἢ εὐπροσδεκτοτέρα εἰς τὸν Θεόν, ἢ σωτηριωδεστέρα τῆς ὀρθῆς πίστεως ; εἴτι ἂν πράξῃς χωρὶς πίστεως, ἐστὶν ἁμαρτία· « Πᾶν δέ, ὃ οὐκ ἐκ πίστεως, ἁμαρτία ἐστί » (5)· χωρὶς πίστεως οὐδεὶς δύναται σωθῆναι· ἐπειδὴ χωρὶς αὐτῆς οὐδεὶς δύναται ἀρεστὸς γενέσθαι εἰς τὸν Θεόν· « Χωρὶς δὲ πίστεως ἀδύνατον εὐαρεστῆσαι » (6). Ἐν ὅσῳ ὁ ἄνθρωπος διαμένει πιστός, κἂν μυριάκις ἁμαρτάνῃ, ἔχει πάντοτε τὴν διὰ τῆς μετανοίας ἐλπίδα τῆς ἑαυτοῦ σωτηρίας· ἀφ' οὗ δὲ ἀπιστήσῃ, οὐδεμία δι' αὐτόν ἐστι σωτηρίας ἐλπίς· διότι « Ὁ πιστεύσας καὶ βαπτισθείς, σωθήσεται· ὁ δὲ ἀπιστήσας, κατακριθήσεται » (7)· διότι ὁ πιστεύων εἰς αὐτόν, οὐ κρίνεται, ὁ δὲ μὴ πιστεύων ἤδη κέκριται, ὅτι μὴ πεπίστευκεν εἰς τὸ ὄνομα τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ » (8).

(1) Ψαλμ. 117, 15, 16. (2) Α. Ἰωάν. 5, 4. (3) Ἰωάν, 16, 33. (4) Ψαλμ. 76, 10. (5) Ῥωμ. 14, 23. (6) Ἑβρ. 11, 6. (7) Μάρκ. 16, 16. (8) Ἰωάν. 3, 18.

Ἐὰν οὖν προσέχωμεν, ἵνα φυλάξωμεν τὴν ἀγάπην, τὴν ταπείνωσιν, τὴν σωφροσύνην, τὴν ὑπακοήν, τὰς ἄλλας ἀρετάς, ἀνάγκη ἐστίν, ἵνα χιλιοπλασίως περισσότερον προσέχωμεν διὰ τὴν φυλακὴν τῆς πίστεως, ἥτις ἐστὶν ἡ πηγή, καὶ ἡ ῥίζα, καὶ ἡ διδάσκαλος πασῶν τῶν ἀρετῶν· ἡ τοιαύτη προσοχὴ πάντοτέ ἐστιν ἀναγκαία, ἐξόχως δὲ εἰς τοὺς παρόντας καιρούς, ἐν οἷς ὑπερεπλήθυναν, καὶ ἠναισχύντησαν οἱ ἄπιστοι, οἱ διαφθείραντες τοὺς πιστούς, καὶ καταποντίζοντες αὐτοὺς εἰς τῆς ἀπιστίας τὰ βάραθρα· ἀλλὰ μόνη ἡ προσοχὴ ἡμῶν χωρὶς τῆς τοῦ Θεοῦ βοηθείας οὐδὲν δύναται· « Ἐὰν μὴ Κύριος φυλάξῃ πόλιν, εἰς μάτην » ἠγρύπνησεν ὁ φυλάσσων· εἰς μάτην ὑμῖν » ἐστι τὸ ὀρθρίζειν » (1). Ὁ προφητάναξ Δαβίδ, ὅταν ἔβλεπε τοὺς ἀπίςους πανταχοῦ περιπατοῦντας, ἐπὶ τὸν Θεὸν κατέφευγε, παρ' αὐτοῦ ζητῶν τὴν βοήθειαν. Μιμησώμεθα οὖν αὐτὸν δεόμενοι καὶ ἡμεῖς νύκτα τε καὶ ἡμέραν, καὶ λέγοντες ὡς αὐτός· « Σύ, » Κύριε φυλάξαις ἡμᾶς, καὶ διατηρήσαις » ἡμας ἀπὸ τῆς γενεᾶς ταύτης, καὶ εἰς » τὸν αἰῶνα, διότι κύκλῳ οἱ ἀσεβεῖς περι» πατοῦσιν » (2).

# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΗΝ ΠΡΩΤΗΝ ΠΡΟΣ

# ΚΟΡΙΝΘΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

## ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ Τῌ ΛΔ'. ΚΥΡΙΑΚῌ ΤΟΥ ΑΣΩΤΟΥ.

ΤΟΣΟΝ αἰσχρὰ καὶ ῥυπαρὰ καὶ δύσφημά εἰσι πάντα τὰ σαρκικὰ ἁμαρτήματα, ὥςε καὶ μόνα τὰ ὀνόματα αὐτῶν ἐντροπὴν προξενοῦσι, καὶ φέρουσι τὸ κόκκινον χρῶμα εἰς τὸ πρόσωπον. Λαλοῦμεν ἀνυποστόλως περὶ παντὸς ἁμαρτήματος, παῤῥησιάζοντες καὶ καταθεατρίζοντες πάσας τὰς τούτου περιστάσεις· ἀλλ', ὅταν θέλωμεν περιγράψαι τὸ βάρος τῶν τῆς σαρκὸς ἁμαρτιῶν, τότε ἡ συστολὴ καὶ ἡ ἐντροπή, καὶ τῆς ἀναισχυντίας ὁ φόβος καὶ ἀπὸ τοῦ νοὸς ἡμῶν ἀφαιρεῖ τὰ πρέποντα νοήματα, καὶ ἀπὸ τοῦ στόματος ἡμῶν ἁρπάζει τὰς ἁρμοδίας καὶ παραστατικὰς τῆς αἰσχρουργίας αὐτῶν λέξεις καὶ φράσεις. Μόνος ὁ Ἀπόστολος Παῦλος, ὅστις εἶχεν οὐχὶ ἐπίγειον, ἀλλ' ἐπουράνιον σοφίαν, καὶ ἐλάλει οὐχὶ τὰ ἑαυτοῦ νοήματα, ἀλλὰ τὰ ὑπὸ τοῦ Θεοῦ αὐτῷ ἀποκαλυπτόμενα, παρέστησε, καὶ ἀπέδειξε τὸ βάρος ἑνὸς τῶν σαρκικῶν ἁμαρτημάτων, ἤγουν τῆς πορνείας, διὰ νοημάτων τοσοῦτον ὑψηλῶν, καὶ λόγων τοσοῦτον ἐμφαντικῶν, ὥστε οἱ ταῦτα ἀκούοντες, καὶ καταλαμβάνοντες οὐ μόνον ἐξίστανται, καὶ ἔντρομοι γίνονται, ἀλλὰ καὶ συστέλλονται ἀπὸ τῆς τοιαύτης θεοστυγοῦς πράξεως. Ταῦτα πε-

(1) Ψαλμ. 126, 1, 2. (2) Αὐτ. 11, 7, 8.



ριέχει ἡ σήμερον ἀναγνωσθεῖσα τῆς πρὸς Κορινθίους ἐπιστολῆς αὐτοῦ περικοπή· ἀλλὰ διὰ τὸ ὕψος τῶν νοημάτων, καὶ τὸν συμβιβασμὸν τῆς σειρᾶς αὐτῶν πολλὰ δυσνόητα γίνονται, καὶ δυσερμήνευτα τὰ ὑπ' αὐτοῦ λεγόμενα· ἐὰν ὁ Θεὸς διὰ τὸ ἄμετρον αὐτοῦ ἔλεος εὐοδώσῃ τὴν παρ' ἡμῶν προβαλλομένην ἑρμηνείαν αὐτῶν, ἐλπίζω, ὅτι βλέπετε μὲν τοῦ πράγματος τὴν ἀλήθειαν, κατανοήσαντες δὲ τὰ ἀποστολικὰ νοήματα, πολλὴν τρυγᾶτε καὶ μεγάλην τὴν ψυχικὴν ὠφέλειαν.

*Ἀδελφοί, πάντα μοι ἔξεστιν, ἀλλ' οὐ πάντα συμφέρει· πάντα μοι ἔξεστιν, ἀλλ' οὐκ ἐγὼ ἐξουσιασθήσομαι ὑπό τινος* (1).

Πῶς; « Πάντα μοι ἔξεστιν; » ἔχω ἄδειαν, ἵνα πράττω ὅ,τι θέλω; λοιπὸν ἔχω ἄδειαν, ἵνα πράττω καὶ τὰ κακά· ναί, ἔχω ἄδειαν καὶ ἐξουσίαν, ἵνα πράττω εἴ τι ἂν θέλω, ἐπειδὴ ἐπλάσθην ἐλεύθερος καὶ αὐτεξούσιος· « Ὁ Θεὸς ἐξ ἀρχῆς ἐποίησεν ἄν» θρωπον, καὶ ἀφῆκεν αὐτὸν ἐν χειρὶ δια» βουλίου αὐτοῦ· παρέθηκέ σοι πῦρ καὶ ὕ» δωρ, καὶ ὅπου ἐὰν θέλῃς, ἐκτενεῖς τὴν » χεῖρά σου » (2)· πλὴν παρατηρῶ καὶ τὰ ἑξῆς· « Ἀλλ' οὐ πάντα συμφέρει »· ἔχω ἐξουσίαν, ἵνα πράττω πάντα, ὅσα θέλω, πλὴν οὐ πάντα συμφέρουσί μοι· ἐὰν πράττω τὰ καλὰ ἔργα, ὠφελοῦμαι· ἐὰν δὲ πράττω τὰ κακά, βλάπτομαι· « Πάντα μοι ἔ» ξεστιν, ἀλλ' οὐκ ἐγὼ ἐξουσιασθήσομαι » ὑπό τινος »· ἔχω ἐξουσίαν, ἵνα πράττω πάντα, καὶ τὰ καλά, καὶ τὰ κακά, πλὴν οὐκ ἔστι πρέπον, ἵνα ἐγὼ ἐξουσιασθῶ ὑπό τινος κακοῦ, οὐκ ἔστι συμφέρον μοι, ἵνα κατασταθῶ δοῦλός τινος ἁμαρτίας· ἐπιφέρει δὲ καὶ παράδειγμα ταύτης τῆς ἀδείας καὶ ἐξουσίας, λέγων.

*Τὰ βρώματα τῇ κοιλίᾳ, καὶ ἡ κοιλία τοῖς βρώμασιν· ὁ δὲ Θεὸς καὶ ταύτην καὶ ταῦτα καταργήσει* (3).

Ὁ Θεὸς ἐδημιούργησε τὰς τροφὰς διὰ χρῆσιν τῆς κοιλίας· « Τὰ βρώματα τῇ » κοιλίᾳ », καὶ τὴν κοιλίαν ἔπλασεν, ἵνα, δεχομένη τὰς τροφάς, τρέφῃ καὶ συντηρῇ τὸ σῶμα· « Καὶ ἡ κοιλία τοῖς βρώμασιν »· ἔχω ἐξουσίαν, ἵνα ἀπολαμβάνω πάσας τὰς τροφάς, ἐπειδὴ διὰ τοῦτο ἐποίησεν αὐτὰς ὁ Θεός· ἀλλ' οὐ συμφέρει μοι, ἵνα ἄνευ μέτρου καὶ διακρίσεως μετέρχωμαι αὐτάς· διότι ἡ μὲν ἄμετρος τούτων χρῆσις βλάπτει τὸ σῶμα, ἡ δὲ ὑπὸ τῶν νόμων ἀπηγορευμένη βλάπτει τὴν ψυχήν μου· ἔχω ἐξουσίαν, ἵνα ἀπολαμβάνω πάσας τὰς τροφάς, ἀλλ' οὐδὲ πρέπον ἐστίν, οὐδὲ συμφέρον, ἵνα ἐγὼ ἐξουσιασθῶ ὑπό τινος τροφῆς, ἢ ὑπὸ τῆς κρεωφαγίας, ἢ ὑπὸ τῆς ὀψαροφαγίας, ἢ ὑπὸ ἄλλης ἀρεστῆς μοι τροφῆς, καὶ κατασταθῶ δοῦλος τῆς κοιλίας μου· διότι τὰ βρώματα καὶ ἡ κοιλία εἰσὶ πράγματα φθαρτὰ καὶ πρόσκαιρα, ποιεῖ δὲ αὐτὰ ὁ Θεὸς μετὰ θάνατον ἀργὰ καὶ ἄχρηστα· « Ὁ δὲ Θεὸς καὶ ταύτην, καὶ ταῦτα καταργήσει ». Ταῦτα τὰ ἀποστολικὰ λόγιά εἰσι προκατασκευή, δι' ἧς ὁ θεῖος Ἀπόστολος ἀποδεικνύει, ὅτι οὐδεὶς ἐξουσίαν ἔχει, ἵνα πορνεύῃ.

*Τὸ δὲ σῶμα οὐ τῇ πορνείᾳ, ἀλλὰ τῷ Κυρίῳ, καὶ ὁ Κύριος τῷ σώματι· ὁ*

(1) Α'. Κορ. 6, 12. (2) Σειρ. 15, 14, 16. (3) Α'. Κορ. 6, 13.

*δὲ Θεὸς καὶ τὸν Κύριον ἤγειρε, καὶ ὑμᾶς ἐξεγερεῖ διὰ τῆς δυνάμεως αὐτοῦ*(1).

Πάντες οἱ εὐσεβεῖς Χριστιανοὶ συνιςῶσιν ἓν σῶμα, τὸ σῶμα δηλαδὴ τοῦ Ἰησοῦ Χριστοῦ· ἕκαστος δὲ μέλος ἐστὶ τούτου τοῦ ἁγίου σώματος· « Ὑμεῖς δέ ἐστε σῶμα Χρι- » στοῦ, καὶ μέλη ἐκ μέρους » (2). Ἔχεις, λέγει, ἐξουσίαν, ἵνα τρώγῃς πᾶσαν τροφήν, ἐπειδὴ αἱ τροφαὶ γεγόνασι διὰ τὴν κοιλίαν, καὶ ἡ κοιλία διὰ τὰς τροφάς· οὐδεμίαν δὲ ἐλευθερίαν ἔχεις τοῦ πορνεύειν, ἐπειδὴ τὸ σῶμα οὐκ ἐπλάσθη, ἵνα πορνεύῃ, ἀλλ' ἵνα γένηται μέλος τοῦ σώματος τοῦ Ἰησοῦ Χριςοῦ· « Τὸ » δὲ σῶμα οὐ τῇ πορνείᾳ, ἀλλὰ τῷ Κυρίῳ ». Αἱ τροφαὶ σαί εἰσιν, ὑπὸ τὴν σὴν ἐξουσίαν εἰσίν, ἐπειδὴ πρὸς τροφήν σου γεγόνασι· τὸ δὲ σῶμά σου οὐκ ἔστι σόν, οὐκ ἔστιν ὑπὸ τὴν σὴν ἐξουσίαν, ἐπειδή ἐστι τοῦ Κυρίου, ὡς μέλος τοῦ σώματος αὐτοῦ· « Καὶ ὁ Κύ- « ριος τῷ σώματι ». Βλέπε δέ, πῶς ἀντιπαρατίθησι ταῦτα· « Τὰ βρώματα τῇ κοι- » λίᾳ· τῷ δὲ σῶμα οὐ τῇ πορνείᾳ, ἀλλὰ » τῷ Κυρίῳ· καὶ ἡ κοιλία τοῖς βρώμασι· » καὶ ὁ Κύριος τῷ σώματι »· τὰ βρώματα καὶ ἡ κοιλία καταργοῦνται ὑπὸ τοῦ Θεοῦ· « Ὁ δὲ Θεὸς καὶ ταύτην, καὶ ταῦτα κα- » ταργήσει »· τὰ δὲ σώματα ἡμῶν ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως διὰ τῆς παντοδυναμίας τοῦ Θεοῦ ἐξεγείρονται καὶ γίνονται ἀθάνατα, καθὼς καὶ τὸ σῶμα τοῦ Κυρίου Ἰησοῦ μετὰ τὴν τριήμερον ταφὴν ἐξανέστη τοῦ τάφου, καὶ ἐγένετο ἄφθαρτον καὶ ἀθάνατον· « Ὁ δὲ Θεὸς καὶ τὸν Κύριον ἤγειρε, » καὶ ἡμᾶς ἐξεγερεῖ διὰ τῆς δυνάμεως αὐ- » τοῦ ». Διὰ τούτων δὲ τῶν λόγων ἔδειξεν, ὅτι τὰ μὲν βρώματα, ὡς πρόσκαιρα, εἰσὶν ὑπὸ τὴν ἐξουσίαν ἡμῶν, τὰ δὲ σώματα ἡμῶν, ὡς αἰώνια μέλη τοῦ σώματος τοῦ Ἰησοῦ Χριστοῦ, οὐκ εἰσὶν ὑπὸ τὴν ἡμετέραν ἐξουσίαν· ἐπιβεβαιωτικὰ δὲ τούτων εἰσὶ καὶ τὰ ἑξῆς, καὶ ἀποδεικτικὰ τοῦ τῆς πορνείας βάρους.

**Οὐκ** *οἴδατε, ὅτι τὰ σώματα ὑμῶν μέλη Χριστοῦ ἐστιν; ἄρας οὖν τὰ μέλη τοῦ Χριστοῦ, ποιήσω πόρνης μέλη; μὴ γένοιτο* (3).

Κατὰ τίνα λόγον τὰ σώματα ἡμῶν εἰσι μέλη τοῦ Χριστοῦ; ἐπειδὴ ὁ Χριστός ἐστιν ἡ κεφαλὴ τῆς ἐκκλησίας· ἡ δὲ ἐκκλησία ἐστὶ τὸ σῶμα αὐτοῦ, ὡς ὁ αὐτὸς Παῦλος διδάσκει, λέγων· « Αὐτὸν ἔδωκε κεφαλὴν » ὑπὲρ πάντα τῇ ἐκκλησίᾳ, ἥτις ἐστὶ τὸ » σῶμα αὐτοῦ » (4)· μέλη δὲ τῆς ἐκκλησίας εἰσὶ πάντες οἱ πιστοί, διὰ τοῦτο κατὰ τοῦτον τὸν λόγον πάντες οἱ πιστοί ἐσμεν μέλη τοῦ Ἰησοῦ Χριςοῦ· γινόμεθα δὲ « σῶ- » μα Χριστοῦ, καὶ μέλη ἐκ μέρους » (5), πρῶτον μέν, υἱοθετούμενοι διὰ τῆς χάριτος τοῦ ἁγίου βαπτίσματος, δεύτερον δέ, μεταλαμβάνοντες ἐκ τοῦ ἑνὸς καὶ τοῦ αὐτοῦ ἄρτου, ἤγουν τοῦ αὐτοῦ σώματος τοῦ Χριστοῦ, καὶ σὺν αὐτῷ ἑνούμενοι, καὶ ἓν σῶμα γινόμενοι· « Τὸ ποτήριον τῆς εὐλογίας, » λέγει ὁ αὐτὸς Ἀπόστολος, ὃ εὐλογοῦμεν, » οὐχὶ κοινωνία τοῦ αἵματος τοῦ Χριστοῦ » ἐστι; τὸν ἄρτον ὃν κλῶμεν, οὐχὶ κοινω- » νία τοῦ σώματος τοῦ Χριστοῦ ἐστιν; ὅτι » εἷς ἄρτος, ἓν σῶμα οἱ πολλοί ἐσμεν· οἱ » γὰρ πάντες ἐκ τοῦ ἑνὸς ἄρτου μετέχο- » μεν » (6). Εἰπὼν δέ, ὅτι τὰ σώματα ἡμῶν εἰσὶ μέλη τοῦ Χριστοῦ, ἐκ τούτου συμ-

(1) Α'. Κορ. 6, 13, 14. (2) Αὐτ. 12, 27. (3) Αὐτ. 6, 15. (4) Ἐφεσ. 1, 22, 23. (5) Α'. Κορ. 12, 27.
(6) Α'. Κορ. 10, 16, 17.



περαίνει, πόσον φρικτόν ἐστι τῆς πορνείας τὸ ἁμάρτημα· ἆρά γε, λέγει, ἀγνοεῖτε ὅτι τὰ σώματα ἡμῶν εἰσι μέλη τοῦ Χριστοῦ; ἔπειτα σχηματίζει τὸν λόγον εἰς τὸ πρόσωπον αὐτοῦ, λέγων· τί οὖν ἄλλο ποιῶ, ἐὰν πορνεύω, εἰ μή, ὅτι αἴρω τὰ μέλη τοῦ Χριστοῦ ἀπὸ τοῦ σώματος αὐτοῦ, καὶ ποιῶ αὐτὰ πόρνης μέλη; Βλέπε δὲ τοῦ λόγου τὴν ἔμφασιν· οὐκ εἶπε, συνάπτω, ἀλλ' αἴρω; ἤγουν χωρίζω τὰ μέλη τοῦ Χριστοῦ, καὶ ποιῶ αὐτὰ μέλη πόρνης. Καὶ τίς οὐκ ἂν φρίξῃ, ταῦτα ἀκούων; οἱ σταυρωταὶ « Οὐ » κατέαξαν αὐτοῦ τὰ σκέλη » (1) ὁ δὲ πόρνος σχίζει αὐτά, καὶ διατέμνει· « Μὴ γέ- » νοιτο », ἐξεβόησεν ὁ Παῦλος, ὅτε ταῦτα εἶπε· τοῦτο δὲ ἀπευκτικόν ἐστιν· εὔχεται δηλονότι διὰ τοῦ, « μὴ γένοιτο », ἵνα μηδέποτε ἐγκαταλείπῃ αὐτὸν ὁ Θεὸς πρᾶξαι τοιοῦτον ἁμάρτημα. Διὰ δὲ τῶν ἑξῆς διερμηνεύει τὸ πῶς ὁ πορνεύων ποιεῖ μέλη πόρνης τὰ μέλη τοῦ Χριστοῦ.

**Ἢ** *οὐκ οἴδατε ὅτι ὁ κολλώμενος τῇ πόρνῃ, ἓν σῶμά ἐστιν; ἔσονται γάρ, φησιν, οἱ δύο εἰς σάρκα μίαν. Ὁ δὲ κολλώμενος τῷ Κυρίῳ, ἓν πνεῦμά ἐστι* (2).

Διὰ τί τοῦτον τὸν λόγον, « Καὶ προσ- « κολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ, » καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν » (3)· ὃν ὁ Ἀδὰμ εἶπε περὶ τῆς ἰδίας γυναικὸς παντὸς ἀνθρώπου, ἐφαρμόζει ὁ Ἀπόστολος καὶ εἰς τὴν πόρνην; διότι τὸ τῆς φύσεως ἔργον ἐστὶν ἓν καὶ τὸ αὐτὸ εἴς τε τὸν νόμιμον γάμον, καὶ εἰς τὴν πορνείαν, ἤγουν συνάφεια καὶ συνουσία ἀνδρὸς μετὰ γυναικός, ποιοῦσα τοὺς δύο σάρκα μίαν· ἵνα δὲ ἀποδείξῃ διὰ τῆς Θείας Γραφῆς, ὅτι ὁ κολλώμενος τῇ πόρνῃ ἓν σῶμα μετ' αὐτῆς γίνεται, ἀνέφερε ταῦτα τοῦ Ἀδὰμ τὰ λόγια· ἀλλ' ἐπειδὴ τὸ φυσικὸν ἔργον ἐστὶν ἓν καὶ τὸ αὐτό, διὰ τί ὁ μετὰ τῆς ἰδίας γυναικὸς ἑνούμενος οὐ χωρίζει τὰ μέλη τοῦ Χριστοῦ, καθὼς χωρίζει αὐτά, καὶ ποιεῖ πόρνης μέλη ὁ κολλώμενος τῇ πόρνῃ; διότι ὁ μετὰ τῆς ἰδίας γυναικὸς ἑνούμενος, ἑνοῦται μετὰ τοῦ ἰδίου αὐτοῦ μέλους, τοῦ συναφθέντος αὐτῷ ὑπὸ τοῦ Θεοῦ διὰ τῆς ἐκκλησίας· ὁ δὲ μετὰ τῆς πόρνης μιγνύμενος, συνάπτεται μετὰ ξένου μέλους· διότι « Τίμιος γάμος ἐν πᾶ- » σιν » (4), ὡς ἔχων σκοπὸν τὴν παιδοποιΐαν· « Πόρνους δὲ καὶ μοιχοὺς κρινεῖ ὁ » Θεός », ἐπειδὴ διὰ μόνην τὴν ἡδονὴν συμμίγνυνται· διότι ὁ νόμιμος γάμος ἐστὶ τύπος τῆς πνευματικῆς ἑνώσεως τοῦ Ἰησοῦ Χριστοῦ μετὰ τῆς νύμφης αὐτοῦ τῆς ἐκκλησίας· « Καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν· » τὸ μυστήριον τοῦτο μέγα ἐστίν· ἐγὼ δὲ » λέγω εἰς Χριστόν, καὶ εἰς τὴν ἐκκλη- » σίαν » (5). Βλέπε δέ, πῶς δείξας ὁ Ἀπόστολος διὰ τοῦ ῥητοῦ τῆς Θείας Γραφῆς, « Ὅτι ὁ κολλώμενος τῇ πόρνῃ ἕν ἐστι σῶ- » μα », κατασκευάζει ἔπειτα καὶ τὴν ἀπόδειξιν περὶ τοῦ, ὅτι ὁ πόρνος ποιεῖ τὰ μέλη τοῦ Χριστοῦ μέλη πόρνης· « Ὁ δὲ κολλώ- » μενος, λέγει τῷ Κυρίῳ, ἓν πνεῦμά ἐστι »· τοῦτο δὲ σημαίνει, ὅτι διὰ τῆς πίστεως καὶ ἀρετῆς τῷ Χριστῷ συνενούμενος, γίνεται ὅλος πνευματικός, μηδὲν ἔχων σαρκικὸν φρόνημα, ἀλλὰ καὶ νοῦν, καὶ καρδίαν, καὶ θέλησιν πνευματικήν· ὅστις ἑνοῦται μετὰ τῆς πόνης, γίνεται ἓν σῶμα μετ' αὐτῆς· ὅστις ἑνοῦται μετὰ τοῦ Κυρίου, γίνεται ἓν

(1) Ἰωάν. 19, 33. (2) Α'. Κορ. 6, 16, 17. (3) Γεν. 2, 24. (4) Ἑβρ. 13, 4. (5) Ἐφεσ. 5, 31, 32.

πνεῦμα μετ' αὐτοῦ. Φανερὸν οὖν τὸ συμπέρασμα, ἤγουν τό, ὅτι ὅστις ἑνοῦται μετὰ τῆς πόρνης, ἐκεῖνος ποιεῖ τὰ μέλη τοῦ Χριστοῦ πόρνης μέλη. Ταῦτα δὲ διδάξας, δίδωσι τὴν ἐντολὴν τῆς φυγῆς ἀπὸ τῆς πορνείας, λέγων·

*Φεύγετε τὴν πορνείαν· πᾶν ἁμάρτημα, ὃ ἐὰν ποιήσῃ ἄνθρωπος, ἐκτὸς τοῦ σώματός ἐστιν· ὁ δὲ πορνεύων, εἰς τὸ ἴδιον σῶμα ἁμαρτάνει* (1).

Ὁ φθόνος, ὁ θυμός, τὸ μῖσος οὐκ εἰσὶν ἐκτός, ἀλλ' ἐντὸς τοῦ σώματος· ἁμαρτάνει δὲ εἰς τὸ ἴδιον σῶμα καὶ ὁ φθονερός, καὶ ὁ θυμώδης, καὶ ὁ φιλόμισος, καθότι ταῦτα τὰ πάθη τήκουσι καὶ διαφθείρουσι τὸ σῶμα· Πῶς οὖν λέγει, ὅτι πᾶν ἁμάρτημα ἐκτὸς τοῦ σώματός ἐςι· καὶ ὅτι ὁ πορνεύων εἰς τὸ ἴδιον σῶμα ἁμαρτάνει; Πολλαὶ καὶ διάφοροί εἰσιν αἱ εἰς ταῦτα τὰ δυσερμήνευτα λόγια ἑρμηνεῖαι (2)· ἡμεῖς δὲ προβάλλομεν τὴν φαινομένην πιθανωτέραν. Ὁ φθόνος, καὶ ὁ θυμός, καὶ τὸ μῖσος οὐκ εἰσὶν ἐνέργειαι, ἀλλὰ πάθη, διότι οὐδὲ φθόνον ποιοῦμεν, οὐδὲ θυμόν, οὐδὲ μῖσος, ἀλλὰ πάσχομεν ὑπ' αὐτῶν, καὶ κατατυραννούμεθα· ὁ δὲ Ἀπόστολος, οὐ λαλεῖ περὶ τῶν ἁμαρτημάτων, ὑφ' ὧν ἡμεῖς πάσχομεν, ἀλλὰ περὶ τῶν ἁμαρτιῶν ὅσας ἡμεῖς ποιοῦμεν· « Πᾶν ἁμάρ- » τημα, λέγει, ὃ ἐὰν ποιήσῃ ἄνθρωπος, ἐκ- » τὸς τοῦ σώματός ἐστι »· τοῦτο δὲ ἀληθές· διότι ὅσα ἁμαρτήματα ἡμεῖς ποιοῦμεν, ἐκτὸς τοῦ σώματός εἰσι· ποιοῦμεν φόνον, κλοπήν, ἁρπαγήν, συκοφαντίαν, ψευδομαρτυρίαν, βλασφημίαν, καὶ τὰ λοιπά, αὐτὰ δὲ ἐκτὸς τοῦ σώματος ἡμῶν εἰσι, καθότι τὴν ψυχὴν καὶ τοὺς ἄλλους βλάπτουσιν, εἰς δὲ τὸ σῶμα ἡμῶν οὐδεμίαν προξενοῦσι βλάβην· ὁ δὲ πορνεύων, ποιῶν τὴν πορνείαν, βλάπτει καὶ κακοποιεῖ τὸ ἴδιον σῶμα, ἐκνευρίζων, καὶ μολύνων, καὶ ἀκάθαρτον αὐτὸ ποιῶν. Παρατήρησον δὲ δύω τινά, πρῶτον μὲν τό, « Φεύγετε », ὅπερ σημαίνει τὴν ταχεῖαν καὶ τελείαν ἀποστροφὴν τοῦ τοιούτου ἁμαρτήματος· δεύτερον δέ, ὅτι οὐ μόνον ὡς νομοθέτης εἶπε, « Φεύγετε τὴν πορ- » νείαν », ἀλλὰ καὶ ὡς διδάσκαλος ἐφανέρωσε, διὰ ποίους λόγους ἀνάγκη ἐστίν, ἵνα αὐτὴν φεύγωμεν· « Φεύγετε λέγει τὴν πορ- » νείαν »· διότι πᾶν ἄλλο ἁμάρτημα, ὃ ἐὰν ποιήσητε, βλάπτει τὴν ψυχήν, οὐχὶ δὲ καὶ τὸ σῶμα· ἡ δὲ πορνεία καὶ αὐτὸ τὸ σῶμα ἡμῶν βλάπτει. Καὶ οὗτος μέν ἐστιν εἷς λόγος, ἐπισυνάπτει δὲ εὐθὺς καὶ ἄλλον, λέγων·

*Ἢ οὐκ οἴδατε, ὅτι τὸ σῶμα ὑμῶν ναὸς τοῦ ἐν ὑμῖν ἁγίου Πνεύματός ἐστιν, οὗ ἔχετε ἀπὸ Θεοῦ, καὶ οὐκ ἐςὲ ἑαυτῶν* (3);

Μετὰ τοὺς προειρημένους λόγους προβάλλει ἔτι τρεῖς, τὴν χάριν δηλαδή, τὴν ἀξίαν, καὶ τὸ δικαίωμα· διὰ τούτων δὲ καὶ φοβίζει, καὶ πείθει, ἵνα φεύγωμεν τὴν πορνείαν· ἡ χάρις ἐστὶν ὑπερμεγίστη, διότι τὰ σώματα ἡμῶν εἰσὶ ναὸς τοῦ ἐν ἡμῖν κατοικοῦντος ἁγίου Πνεύματος· ἡ ἀξία τοῦ χαριτοδότου ἐστὶν ὑπερτάτη, διότι ὁ χαριτοδότης ἐστὶν αὐτὸς ὁ παντοκράτωρ Θεός, ὁ εἰπών· « Ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶ- » σαν σάρκα ». Τὸ δικαίωμα τοῦ Θεοῦ πρὸς τὸν ἄνθρωπον ἐστὶν ὑπεράνω πάντων τῶν

(1) Α΄. Κορ. 6, 18. (2) Ὅρα τὸν Οἰκουμ· Αὐτ. (3) Α΄. Κορ. 6, 19.



δικαιωμάτων, ἐπειδὴ ὁ Θεός καὶ ἔπλασε, καὶ ἐξηγόρασε τὸν ἄνθρωπον· ὅθεν οὐδεμίαν ἐξουσίαν ἔχουσιν οἱ ἄνθρωποι οὐδὲ εἰς τὴν ψυχὴν αὐτῶν, οὐδὲ εἰς τὸ σῶμα. Οὐκ οἴδατε, λέγει, ὦ ἄνθρωποι, ὅτι τὸ σῶμα ὑμῶν ἐστι ναὸς τοῦ παναγίου Πνεύματος τοῦ ἐν ὑμῖν κατοικοῦντος; « Ἢ οὐκ οἴδατε, ὅτι » τὸ σῶμα ὑμῶν, ναὸς τοῦ ἐν ὑμῖν ἁγίου » Πνεύματός ἐστιν; » Οὐκ οἴδατε, ὅτι ἐλάβετε ταύτην τὴν μεγίστην χάριν παρ' αὐτοῦ τοῦ δημιουργοῦ τῶν ἁπάντων Θεοῦ, « οὗ ἔχετε ἀπὸ Θεοῦ; » οὐκ οἴδατε ὅτι οὐδεμίαν ἐξουσίαν ἔχετε οὐδὲ εἰς τὴν ψυχήν, οὐδὲ εἰς τὸ σῶμα ὑμῶν, ἐπειδή ἐστε πλάσματα τοῦ πλάσαντος, καὶ δοῦλοι τοῦ ἐξαγοράσαντος ὑμᾶς Θεοῦ; « Καὶ οὐκ ἐστὲ » ἑαυτῶν; » Ἐσιώπησε δὲ τὸ ἐκ τῶν λόγων τούτων ἑπόμενον συμπέρασμα, ὡς φανερὸν καὶ πασίδηλον. Πῶς οὖν τολμᾶτε, ἰδοὺ τὸ συμπέρασμα, μιαίνειν διὰ τῆς πορνείας τὸν ναὸν τοῦ ἁγίου Πνεύματος, ἅμα δὲ ὑβρίζειν καὶ τὸν δοτῆρα τοῦ τοιούτου χαρίσματος; πῶς τολμᾶτε ποιεῖν τὰ μέλη ὑμῶν πόρνης μέλη, μηδεμίαν ἐξουσίαν ἔχοντες, ἀλλὰ πλάσματα τοῦ Θεοῦ ὄντες, ἐξηγορασμένα ὑπ' αὐτοῦ δι' ἀτιμήτου τιμῆς;

*Ἠγοράσθητε γὰρ τιμῆς· δοξάσατε δὴ τὸν Θεὸν ἐν τῷ σώματι ὑμῶν, καὶ ἐν τῷ πνεύματι ὑμῶν, ἅτινά ἐστι τοῦ Θεοῦ* (1).

Διὰ τί ἀνέφερε μόνον τό, « Ἠγοράσθη- » τε », ἐσιώπησε δὲ τό, ἐπλάσθητε; διότ ἀρκεῖ τό, « Ἠγοράσθητε », πρὸς ἀπόδειξιν τῆς δουλείας, καθότι πᾶς ἠγορασμένος, δοῦλός ἐστι τοῦ ἀγοράσαντος αὐτόν, κᾂν οὐκ ἐπλάσθη ὑπ' αὐτοῦ· ἢ διότι ὁ ἀγορασμὸς τῆς ἀνθρωπίνης φύσεως, ἤγουν ἡ ἀνάπλασις αὐτῆς, ἐστὶν ἔργον καὶ αὐτῆς τῆς πλάσεως ὑπέρτερον καὶ ἐνδοξότερον· ἐφανέρωσε δὲ ἡμῖν ὁ ἐπιστήθιος Ἰωάννης, πῶς καὶ διὰ τίνος ἠγοράσθημεν, ὅτε ἐλάλησε πρὸς τὸν Ἰησοῦν Χριστὸν ἐν ἀποκαλύψει καὶ εἶπεν· « Ὅτι ἐσφάγης, καὶ ἠγόρασας » τῷ Θεῷ ἡμᾶς ἐν τῷ αἵματί σου » (2)· Σύ, λέγει, Ἰησοῦ Χριστέ, ἐσφάγης ἐν τῷ σταυρῷ, καὶ διὰ τοῦ ἐν αὐτῷ ἐκχυθέντος αἵματός σου ἐξηγόρασας ἡμᾶς ἐκ τῆς δουλείας τοῦ διαβόλου, καὶ ἐποίησας δούλους τοῦ Θεοῦ καὶ πατρός σου. Λέγει οὖν ὁ Παῦλος, ἐπειδὴ « Ἠγοράσθητε τιμῆς », ἤγουν διὰ τοῦ ὑπερτίμου αἵματος τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ, δοξάσατε τὸν Θεὸν καὶ διὰ τοῦ σώματος καὶ διὰ τοῦ πνεύματος ὑμῶν, ἐπειδὴ καὶ τὸ σῶμα, καὶ τὸ πνεῦμα τοῦ Θεοῦ εἰσι τοῦ πλάσαντος καὶ ἐξαγοράσαντος αὐτά. Δοξάζεται δὲ ὁ Θεὸς ἐν τῷ σώματι ἡμῶν διὰ τῆς σωφροσύνης, διὰ τῆς ἐλεημοσύνης, διὰ τῆς νηστείας, διὰ τῆς ἀγρυπνίας, διὰ τῶν σωματικῶν κόπων, τῶν ὑπὲρ τῆς ἀρετῆς τελουμένων· δοξάζεται δὲ ἐν τῷ πνεύματι ἡμῶν ὁ Θεὸς διὰ τῆς ὀρθῆς πίστεως, διὰ τῆς πρὸς Θεὸν ἐλπίδος, διὰ τῆς πρὸς Θεὸν καὶ τὸν πλησίον ἀγάπης, διὰ τῆς καθαρότητος ἀπὸ παντὸς πονηροῦ λογισμοῦ, διὰ τῶν ἁγίων νοημάτων, καὶ θείων ἀναβάσεων. τότε δοξάζεται ὁ Θεὸς καὶ ἐν τῷ πνεύματί σου, καὶ ἐν τῷ σώματί σου, ὅταν ἡ μὲν ψυχή σου νοήματα ἔχουσα εὐσεβῆ, καὶ λογισμοὺς θεαρέστους, διεγείρῃ τὸ σῶμά σου πρὸς κατόρθωσιν πάσης πρακτικῆς ἀρετῆς· τὸ δὲ σῶμα ὑπηρετῇ προθύμως πρὸς τὰ ἅγια τῆς ψυχῆς διανοήματα.

(1) Α΄. Κορ. 6, 20. (2) Ἀποκ, 5, 9.

# ΟΜΙΛΙΑ

ΜΕΤΑ ΤΗΝ ΠΡΩΤΗΝ ΠΡΟΣ

# ΚΟΡΙΝΘΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

## ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗ: ΛΔ'. ΚΥΡΙΑΚΗ: ΤΟΥ ΑΣΩΤΟΥ.

ΜΕΤΑ πολλοῦ ζήλου καὶ μεγάλης σφοδρότητος ἐλάλησεν ἡμῖν σήμερον περὶ τοῦ ἁμαρτήματος τῆς πορνείας διὰ τῆς σήμερον ἀναγνωσθείσης ἐπιστολῆς αὐτοῦ ὁ θεόπνευστος Ἀπόστολος Παῦλος. Ἡμεῖς πιστεύομεν, ὅτι ὅσα αὐτὸς ἐδίδαξεν, οὐκ εἰσὶ λόγια ἀνθρώπινα, ἀλλὰ θεῖα· οὐκ εἰσὶ διδασκαλίαι ἐκ παραδόσεως, ἢ ἐφευρέσεως ἀνθρώπου, ἀλλ' ἐκ φωτισμοῦ καὶ ἀποκαλύψεως Θεοῦ. Γνωρίζω δὲ ὑμῖν, ἔλεγεν αὐτός, τὸ » Εὐαγγέλιον, τὸ εὐαγγελισθὲν ὑπ' ἐμοῦ, » ὅτι οὐκ ἔστι κατὰ ἄνθρωπον· οὐδὲ γὰρ » ἐγὼ παρὰ ἀνθρώπου παρέλαβον αὐτό, » οὐδὲ ἐδιδάχθην, ἀλλὰ δι' ἀποκαλύψεως » Ἰησοῦ Χριστοῦ » (1). Αὐτὸς ἦν ὄργανον, ὑπὸ τοῦ παναγίου Πνεύματος κρουόμενον, κάλαμος ἦν γραμματέως ὀξυγράφου, ὅστις ἐλάλει, ὅσα ὁ Θεὸς αὐτῷ ἀπεκάλυπτε, καὶ ἔγραφεν, ὅσα ὁ Θεὸς εἰς αὐτὸν ἔλεγε· διὰ τοῦτο οὐδεμία ἐστὶν ἀμφιβολία, ὅτι τὰ λόγια αὐτοῦ εἰσὶ λόγια Θεοῦ, ἀλλ' ἡ σφοδρότης τοῦ τρόπου, δι' ἧς ἐλάλησε περὶ τῆς πορνείας, καὶ ἡ αἰτία, δι' ἣν τοιουτοτρόπως ἐλάλησε περὶ αὐτῆς, εἰσὶν ἄδηλα καὶ πρόξενα ἀπορίας. Εἰς τὴν σκέψιν οὖν καὶ τὴν ἔρευναν τούτων τῶν δύω περιέργων πραγμάτων ἀφιεροῦμεν σήμερον τὸν λόγον.

Περὶ πάντων σχεδὸν τῶν ἁμαρτημάτων, μεγάλων τε καὶ μικρῶν, ἐλάλησεν ὁ θεοῤῥήμων Παῦλος· ἐὰν ὅμως παρατηρήσῃς, ὅσα εἶπε περὶ τοῦ ἁμαρτήματος τῆς πορνείας, βλέπεις, ὅτι αὐτά εἰσι καὶ περισσότερα, καὶ βαρύτερα τῶν ὑπ' αὐτοῦ διδαχθέντων περὶ πάσης ἄλλης ἁμαρτίας· αὐτὸς περὶ τούτου τοῦ ἁμαρτήματος εἶπε· « Τὸ δὲ σῶμα οὐ τῇ πορνείᾳ, ἀλλὰ τῷ Κυ» ρίῳ, καὶ ὁ Κύριος τῷ σώματι » (2). Ταῦτα δὲ τὰ λόγια σημαίνουσιν, ὅτι ὅστις πίπτει εἰς τοῦτο τὸ ἁμάρτημα, ἐκεῖνος ἀδικεῖ οὐχὶ ἄνθρωπον, ἀλλ' αὐτὸν τὸν δημιουργὸν καὶ κύριον τῆς κτίσεως, ἐπειδὴ τὸ σῶμα οὐκ ἐπλάσθη ἵνα πορνεύῃ, ἀλλ' ἵνα δουλεύῃ τῷ Κυρίῳ αὐτοῦ Ἰησοῦ Χριστῷ· ἐκεῖνος δὲ ποιεῖ αὐτὸ δοῦλον τῆς πορνείας· Αὐτὸς περὶ τούτου τοῦ ἁμαρτήματος εἶπεν· « Ἄρας οὖν τὰ μέλη τοῦ Χριστοῦ ποιήσω » πόρνης μέλη » (3); Διὰ τούτων δὲ τῶν λόγων ἐφανέρωσεν, ὅτι ὅστις ἁμαρτάνει, ταύτην τὴν ἁμαρτίαν, ἐκεῖνός ἐστι χείρων τῶν σταυρωτῶν τοῦ Χριστοῦ· διότι ἐκεῖνοι μὲν οὐκ ἐτόλμησαν σχίσαι τοῦ Χριστοῦ τὰ

(1) Γαλ. 1, 11, 12. (2) Α'. Κορ. 6, 13. (3) Αὐτ. 15.



μέλη, αὐτὸς δὲ αἴρων αὐτά, ποιεῖ πόρνης μέλη· αὐτὸς εἶπε πρὸς τούτοις· « Ὁ δὲ » πορνεύων εἰς τὸ ἴδιον σῶμα ἁμαρτάνει » (1)· διὰ τούτου δὲ ἐδίδαξεν, ὅτι ὁ ποιῶν ταύτην τὴν ἁμαρτίαν ἐστὶν ἄσπλαγχνος ὑπὲρ πάντας τοὺς ἀνθρώπους· « Οὐδεὶς γάρ ποτε τὴν » ἑαυτοῦ σάρκα ἐμίσησεν, ἀλλ' ἐκτρέφει καὶ » θάλπει αὐτήν » (2)· ὁ δὲ πόρνος ἐπιβουλεύει καὶ κακοποιεῖ τὴν ἰδίαν αὐτοῦ σάρκα αὐτὸς δὲ περὶ τῆς ἁμαρτίας ταύτης λαλῶν, εἶπεν, ὅτι τὸ σῶμα ἡμῶν ἐστι κατοικητήριον τοῦ ἁγίου Πνεύματος, ὅπερ ἐλάβομεν ὑπὸ τοῦ πανοικτίρμονος Θεοῦ· « Ἢ οὐκ οἴ» δατε, ὅτι τὸ σῶμα ὑμῶν ναὸς τοῦ ἐν » ὑμῖν ἁγίου Πνεύματός ἐςιν, οὗ ἔχετε ἀπὸ » Θεοῦ » (3); καὶ ὅτι οὐδὲ τῆς ψυχῆς, οὐδὲ τοῦ σώματος ἡμῶν ἔχομεν ἐξουσίαν, ἐπειδὴ ἠγοράσθημεν διὰ τοῦ ὑπερτίμου αἵματος τοῦ Ἰησοῦ Χριστοῦ· « Καὶ οὐκ ἐςὲ ἑαυτῶν· » ἠγοράσθητε γὰρ τιμῆς » (4). Βλέπετε οὖν φανερά, ὅτι ἀπέδειξε τὸν ἐργάτην ταύτης τῆς ἁμαρτίας ἐπίβουλον τοῦ Θεοῦ, χείρονα τῶν σταυρωτῶν, ἀσπλαγχνικώτερον πάντων τῶν ἀσπλάγχνων, περιφρονητὴν τοῦ ἁγίου Πνεύματος, ἀποστάτην τῆς χρεωστουμένης πρὸς τὸν ἴδιον δεσπότην ὑπακοῆς. Ὦ ἔμφασις! ὢ σφοδρότης! φόβον καὶ τρόμον φέρουσι ταῦτα τὰ λόγια· τί τούτων περισσότερον; καὶ ὅμως διὰ τῆς τιμωρίας, δι' ἧς ἐτιμώρησε τὸν πορνεύσαντα Κορίνθιον, ἔτι φρικτότερον ἔδειξε τῆς πορνείας τὸ ἁμάρτημα.

Ἔστησε φοβερὸν κριτήριον κατὰ τούτου τοῦ ἁμαρτωλοῦ, καὶ συνήγαγεν ἐν αὐτῷ τοὺς πιστούς, εἰσῆλθε δὲ καὶ αὐτὸς ἐν πνεύματι ἐκεῖ, καὶ αὐτὸν δὲ τὸν δεσπότην Χριστὸν ἔδειξεν ἐκεῖ καθήμενον, καὶ ἐκφωνοῦντα τὴν ἀπόφασιν· « Ἐν τῷ ὀνόματι, » εἶπε, τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, » συναχθέντων ὑμῶν καὶ τοῦ ἐμοῦ πνεύμα» τος σὺν τῇ δυνάμει τοῦ Κυρίου ἡμῶν Ἰη» σοῦ Χριστοῦ, παραδοῦναι τὸν τοιοῦτον » τῷ Σατανᾷ εἰς ὄλεθρον τῆς σαρκός, ἵνα » τὸ πνεῦμα σωθῇ ἐν τῇ ἡμέρᾳ τοῦ Κυρίου » Ἰησοῦ » (5). Ὦ ἀπόφασις φρικτὴ καὶ φοβερά! ποῖόν ποτε ἢ πλεονέκτην, ἢ ἅρπαγα, ἢ φονέα, ἢ λῃστήν, ἢ αἱρετικόν, ἢ βλάσφημον, τόσον αὐστηρὰ ἐπαίδευσε; τίνα ποτὲ τῶν ἁμαρτωλῶν παρέδωκεν εἰς τὴν ἐξουσίαν τοῦ Σατανᾶ, ἵνα βασανίζων αὐτόν, ἐξολοθρεύσῃ τὸ σῶμα καὶ τὴν ζωὴν αὐτοῦ; Τίς δέ ἐστιν ὁ ταῦτα διορίσας; ὁ Παῦλος, ὅστις πανταχοῦ μεγαλοφώνως ἐκήρυττε τὴν πρὸς τοὺς ἁμαρτωλοὺς ἄπειρον εὐσπλαγχνίαν καὶ τὸ ἔλεος τοῦ Ἰησοῦ Χριστοῦ, κραυγάζων καὶ λέγων· « Ὅτι Χρι» στὸς Ἰησοῦς ἦλθεν εἰς τὸν κόσμον ἁμαρ» τωλοὺς σῶσαι » (6). Ἵνα δὲ μηδεὶς νομίσῃ, ὅτι δι' ἄλλην ἁμαρτίαν, καὶ οὐχὶ διὰ τὴν πορνείαν ἐπαίδευσεν αὐτὸν μετὰ τοσαύτης αὐστηρότητος, πρὶν ἢ ἐκφωνήσῃ τὴν τιμωρητικὴν ἀπόφασιν, ἐφανέρωσε τὸ ὄνομα τῆς ἁμαρτίας τοῦ ἁμαρτωλοῦ, γράψας ταῦτα· « Ὅλως ἀκούεται ἐν ὑμῖν πορ» νείᾳ, καὶ τοιαύτη πορνεία, ἥτις οὐδὲ ἐν » τοῖς ἔθνεσι ὀνομάζεται » (7).

Ἀλλὰ πόθεν ἐκινήθη ὁ Παῦλος, ἵνα καὶ λαλήσῃ, καὶ πράξῃ τοσαῦτα καὶ τοιαῦτα κατὰ τούτου τοῦ ἁμαρτήματος; « Ἐξ ἀπο» καλύψεως Ἰησοῦ Χριστοῦ » (8)· διότι αὐτὸς ὁσάκις οὐ κατ' ἐπιταγὴν τοῦ Θεοῦ, ἀλλ' ἀφ' ἑαυτοῦ ἐδίδασκε, τοσάκις ἐφανέρωσεν, ὅτι τὴν ἰδίαν γνώμην λέγει, καὶ οὐχὶ πρόσταγμα Θεοῦ διδάσκει· ὅταν περὶ τῶν

(1) Α'. Κορ. 18. (2) Ἐφεσ. 5, 29. (3) Α'. Κορ. 6, 19. (4) Αὐτ. 20. (5) Αὐτ. 5, 4, 5.
(6) Α'. Τιμ. 1, 15. (7) Α'. Κορ. 5, 1. (3) Γαλ. 1, 12.

παρθένων ἐλάλησε, τότε εἶπε φανερά· «Περὶ δὲ τῶν παρθένων ἐπιταγὴν Κυρίου οὐκ ἔχω, γνώμην δὲ δίδωμι ὡς ἠλεημένος ὑπὸ Κυρίου πιστὸς εἶναι» (1)· ὁμοίως καὶ ὅταν συνεβούλευε τὰ περὶ τῆς καταστάσεως τῆς χηρευούσης γυναικός, εἶπε· « Μακαριωτέρα δέ ἐστιν, ἐαν οὕτω μείνῃ, κατὰ τὴν ἐμὴν γνώμην· δοκῶ δὲ κἀγὼ πνεῦμα Θεοῦ ἔχειν » (2)· τοῦτ' αὐτὸ εἶπε, καὶ ὅταν προέτρεπε τοὺς Κορινθίους, ἵνα ἐλεήσωσι τοὺς ἐν Ἱεροσολύμοις πτωχοὺς περισσότερον, ἤπερ οἱ ἄλλοι· « Καὶ γνώμην, εἶπεν ἐν τούτῳ δίδωμι » (3). Ὁ Θεὸς οὖν, ὅστις ἐστὶν ἡ αὐτοκαθαρότης καὶ ἁγιωσύνη, ἀποστρεφόμενος τὴν ἀκαθαρσίαν καὶ τὸν βόρβορον ταύτης τῆς βδελυρᾶς ἁμαρτίας, ἀπεκάλυψεν εἰς αὐτόν, ὅσα κατ' αὐτῆς καὶ εἶπε, καὶ ἔπραξεν· ἔβλεπεν ὅμως καὶ εἰς τὰς Θείας Γραφὰς τῆς ἁμαρτίας ταύτης τὸ βάρος· διότι ἀπ' ἀρχῆς οἱ εὐσεβεῖς ἄνθρωποι, εἴτε ὑπὸ τοῦ πρωτοπλάστου Ἀδὰμ ἀλληλοδιαδόχως διδαχθέντες, εἴτε ὑπὸ τοῦ φυσικοῦ λόγου ὁδηγούμενοι, εἴτε ὑπὸ τοῦ παραδείγματος τοῦ παγκοσμίου κατακλυσμοῦ μαθόντες, εἴτε διὰ θείας ἀποκαλύψεως φωτιζόμενοι, αἰσχρὸν καὶ θεομεμισημένον ἐλογίζοντο τῆς πορνείας τὸ ἁμάρτημα· ἀπόδειξις δὲ τούτου τὸ παράδειγμα τῶν πρὸ τοῦ γραπτοῦ νόμου εὐσεβῶν ἀνθρώπων, οἵτινες κἂν μηδεμίαν ἔγγραφον νομοθεσίαν ἔλαβον περὶ τούτου τοῦ ἁμαρτήματος, ἀπεστρέφοντο ὅμως αὐτὸ ὡς ἔργον θεοστυγὲς καὶ ἄτιμον.

Ὅταν ὁ πατριάρχης Ἰακὼβ ἦλθεν εἰς Σαλὴμ πόλιν τῶν Σηκίμων, τότε ὁ Συχὲμ ὁ ἄρχων τῆς γῆς ἐκείνης, ἁρπάξας τὴν θυγατέρα αὐτοῦ, τὴν Δεῖναν, ἔφθειρεν αὐτήν (4)· οἱ δὲ υἱοὶ τοῦ τοῦ Ἰακώβ, ὁ Συμεὼν καὶ ὁ Λευΐ, δι' ἐπιβουλῆς φονεύσαντες τὸν Συχέμ, καὶ πάντας τοὺς Σηκιμίτας, διήρπασαν πάντα τὰ τούτων ὑπάρχοντα· ταῦτα ἰδὼν ὁ Ἰακώβ, ἐταράχθη σφόδρα, καὶ φόβος πολὺς ἐπέπεσεν ἐπὶ τὴν καρδίαν αὐτοῦ· ἤλεγξε δὲ ἀποτόμως τὸν Συμεὼν καὶ τὸν Λευΐ· κατεστήσατέ με, εἶπε πρὸς αὐτούς, μισητόν, καὶ ἀπεδείξατέ με ἄνθρωπον πονηρὸν ἐνώπιον τῶν Χαναναίων καὶ Φερεζαίων, οἵτινες συναχθέντες, ἐξαφανίσουσι καὶ ἐμέ, καὶ τὸν οἶκόν μου· ὁ δὲ Συμεὼν καὶ ὁ Λευΐ ἀπεκρίθησαν πρὸς αὐτόν, λέγοντες· ἀλλὰ τί; ἔστεργες ἆρά γε, ἵνα οἱ Σηκιμῖται μετέρχωνται τὴν ἀδελφὴν ἡμῶν ὡς πόρνην; « Οἱ δὲ εἶπαν, ἀλλ' ὡσεὶ πόρνῃ χρήσονται τῇ ἀδελφῇ ἡμῶν; » (5) ὅταν δὲ ταῦτα ἤκουσεν ὁ ἅγιος τοῦ Θεοῦ ἄνθρωπος ἡσύχασε, λογισάμενος τὸν φόνον καὶ τὴν ἁρπαγὴν τιμωρίαν δικαίαν τοῦ ἁμαρτήματος τῆς πορνείας· καὶ ὁ Θεὸς δὲ φανεὶς εἰς αὐτόν, ἐδίωξε τὸν φόβον ἀπ' αὐτοῦ παραγγείλας, ἵνα ἀναχωρήσῃ ἐκεῖθεν, καὶ οὕτω φύγῃ πάντα κίνδυνον· « Εἶπε δὲ ὁ Θεὸς πρὸς Ἰακώβ, ἀναστάς, ἀνάβηθι εἰς τὸν τόπον Βαιθήλ, καὶ οἴκει ἐκεῖ » (6).

Καὶ ἡ ἀπόφασις δὲ τοῦ Ἰούδα, τοῦ υἱοῦ τοῦ πατριάρχου Ἰακὼβ κατὰ τῆς χήρας Θάμαρ, τῆς νύμφης αὐτοῦ, ἀποδεικνύει, πόσον μέγα ἐνόμιζον οἱ πρὸ τοῦ νόμου εὐσεβεῖς τῆς πορνείας τὸ ἁμάρτημα· ὅταν τινὲς ἐλθόντες, εἶπον πρὸς αὐτόν· « Ἐκπεπόρνευκε Θάμαρ ἡ νύμφη σου, καὶ ἰδοὺ ἐν γαστρὶ ἔχει ἐκ πορνείας » (7), τότε οὐδὲ ἡ συγγένεια ἐδυσώπησεν αὐτόν, οὐδὲ ἡ ἀγάπη πρὸς τοὺς ἀποθανόντας υἱοὺς αὐτοῦ καὶ ἄνδρας τῆς Θάμαρ, ἐποίησεν αὐ-

(1) Ά. Κορ. 7, 25. (2) Αὐτ. 40. (3) Β'. Κορ. 8, 10. (4) Γεν. 34, 2. (5) Αὐτ. 31.
(6) Αὐτ. 35, 1. (7) Αὐτ. 38, 24.



τὸν συγκαταβατικόν, ἀλλ' εὐθὺς ἀπεφάσισεν, ἵνα κατακαύσωσιν αὐτήν· « Ἐξαγάγετε αὐτήν, εἶπε, καὶ κατακαυθήτω ». Ἀλλ' ἐὰν τοῦτο τὸ ἁμάρτημα, λέγεις, τόσης τιμωρίας ἄξιον ἐκρίνετο, πῶς ὁ αὐτὸς Ἰούδας ἔπραξε τοῦτο μετὰ τῆς αὐτῆς Θάμαρ, μὴ γνωρίσας αὐτήν, ἀλλὰ νομίσας, ὅτι ἐστὶ πόρνη; ὁ Ἰούδας ὡς κριτὴς κατέκρινε τὴν ἁμαρτίαν, ὡς δὲ ἄνθρωπος ἥμαρτε· διὸ καὶ ἐγνώρισε τὸ ἴδιον ἁμάρτημα, καὶ ἐξωμολογήθη παῤῥησίᾳ, ὅτι ἥμαρτεν· « Ἐπέγνω δὲ Ἰούδας, καὶ εἶπε, δεδικαίωται Θάμαρ ἢ ἐγώ » (1).

Ὅταν δὲ ὁ Θεὸς ἔδωκε τὸν ἐν τῷ Σινᾷ ὄρει γραπτὸν νόμον, τότε τόσον φανερά, καὶ μετὰ τοσαύτης ἐμφάσεως ἐνομοθέτησε τὴν παντελῆ ἀποχὴν ταύτης τῆς ἁμαρτίας, ὥστε οὐδείς ἐστιν, ὅστις οὐ κατανοεῖ τὸ περὶ τούτου τοῦ ἁμαρτήματος θεῖον πρόσταγμα· « Οὐκ ἔσαι πόρνη, εἶπεν, ἀπὸ θυγατέρων Ἰσραήλ, καὶ οὐκ ἔσται πορνεύων ἀπὸ υἱῶν Ἰσραήλ » (2). Τί τούτου ἢ σαφέστερον, ἢ καταληπτότερον; ἐβεβαίωσε δὲ ὁ Θεὸς τὴν περὶ τούτου βουλὴν αὐτοῦ καὶ διὰ τῶν ἔργων. Ὁ φόνος ἐστὶ μέγα ἁμάρτημα, ἐστὶ παράβασις τῆς ὀγδόης τοῦ δεκαλόγου ἐντολῆς· τοὺς φονεῖς παιδεύει ὁ Θεὸς αὐστηρότατα, ἐπειδὴ ἡ φωνὴ τοῦ αἵματος τοῦ φονευθέντος βοᾷ πρὸς τὸν Θεόν, ζητοῦσα ἐκδίκησιν· « Φωνὴ αἵματος τοῦ ἀδελφοῦ σου βοᾷ πρός με ἐκ τῆς γῆς » (3)· καὶ ὅμως ὁ Θεὸς τὸν φόνον τοῦ Φινεές, ὅστις ἐφόνευσε τὸν Ζαμβρί, καὶ τὸν Χασβί, οἵτινες ἐπόρνευον παῤῥησίᾳ, ἐλογίσθη εἰς δικαιοσύνην· « Καὶ ἔστη Φινεὲς καὶ ἐξιλάσατο, καὶ ἐκόπασεν ἡ θραῦσις· καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην, εἰς γενεὰν καὶ γενεὰν ἕως τοῦ αἰῶνος (4). Οὐ μόνον δὲ δικαιοσύνην ἐλογίσθη ὁ Θεὸς τὸν τοιοῦτον φόνον, ἀλλὰ καὶ ζῆλον θεῖον· ὅθεν ἠξίωσε τὸν Φινεὲς αἰωνίου ἱερατείας· «Καὶ ἔσται αὐτῷ, εἶπεν ὁ Θεὸς περὶ τοῦ Φινεές, καὶ τῷ σπέρματι αὐτοῦ μετ' αὐτὸν διαθήκη ἱερατείας αἰωνία, ἀνθ' ὧν ἐζήλωσε τῷ Θεῷ αὐτοῦ, καὶ ἐξιλάσατο περὶ τῶν υἱῶν Ἰσραήλ » (5).

Ἐὰν δὲ ἀνοίξωμεν τὰ βιβλία τῶν νόμων τῆς χάριτος, βλέπομεν ἐν αὐτοῖς τὴν περὶ τούτου τοῦ ἁμαρτήματος ἀπόφασιν τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ· αὐτὸς ἐνομοθέτησεν, ὅτι καὶ ἡ μόνη ἐπιθυμία τῆς τοιαύτης ἁμαρτίας, κἂν ἀόρατος καὶ ἀνενέργητος, καὶ ἄπρακτος, καταμολύνει ὅμως τὴν ψυχήν· « Ἐγὼ δὲ λέγω ὑμῖν, ὅτι πᾶς ὁ βλέπων γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ » (6). Εἰς αὐτὰ τὰ βιβλία βλέπομεν, ὅτι καὶ οἱ πνευματοφόροι Ἀπόστολοι, ὅταν ἔγραψαν τὴν πρώτην καὶ σύντομον νομοθεσίαν, πολλὰ μὲν ἄλλα διὰ τὴν συντομίαν ἐσιώπησαν, τὴν δὲ περὶ τούτου τοῦ ἁμαρτήματος ἀποχὴν ἐμφαντικῶς ὡς ἀπὸ στόματος τοῦ παναγίου Πνεύματος νομοθετήσαντες, ἐκήρυξαν. « Ἔδοξε γάρ, ἔγραψαν, τῷ ἁγίῳ πνεύματι καὶ ἡμῖν, μηδὲν πλέον ἐπιτίθεσθαι ὑμῖν βάρος, πλὴν τῶν ἐπάναγκες τούτων· ἀπέχεσθαι εἰδωλοθύτων, καὶ αἵματος, καὶ πνικτοῦ, καὶ πορνείας » (7).

Ταῦτα πάντα, λέγεις, ἀληθῆ εἰσι, καὶ γνωστὰ δὲ οὐ μόνον εἰς τὸν Παῦλον, ἀλλὰ καὶ εἰς ἄλλους πολλούς· πλὴν διὰ τί οὐδεὶς ἄλλος, οὐδὲ προφήτης, οὐδὲ Ἀπόστολος οὐδὲ εἶπεν, οὐδὲ ἀπεφάσισε κατὰ τῆς ἁμαρτίας

(1) Γεν. 38, 26. (2) Δευτ. 23, 17. (3) Γεν. 4, 10. (4) Ψαλμ. 105, 30, 31. (5) Ἀριθ. 25, 13.
(6) Ματθ. 5, 28. (7) Πράξ. 15, 28, 29.

ταύτης ὅσα ὁ Παῦλος; διότι ὁ Θεὸς αὐτὸν ἀπέστειλεν, ἵνα κηρύξῃ τὸ Εὐαγγέλιον εἰς τὰ ἔθνη· « Πορεύου, εἶπε πρὸς αὐτόν, ὅτι » ἐγὼ εἰς ἔθνη μακρὰν ἀποστελῶ σε » (1)· ὅθεν καὶ αὐτὸς ὠνόμαζεν ἑαυτὸν Ἀπόςολον τῶν ἐθνῶν· « Ὑμῖν γὰρ λέγω τοῖς ἔθνεσιν, » ἐφ' ὅσον μέν εἰμι ἐγὼ ἐθνῶν Ἀπόστολος, » τὴν διακονίαν μου δοξάζω » (2). Τὰ δὲ ἔθνη ἦσαν μὲν ἔκδοτα καὶ εἰς ἄλλα πολλὰ ἁμαρτήματα, ἐξόχως δὲ εἰς τὴν ἁμαρτίαν ταύτην τόσον ἦσαν δεδουλωμένα, ὥστε οὐ μόνον οὐδὲ ἁμαρτίαν, οὐδὲ ἀτιμίαν ἐνόμιζον αὐτήν, ἀλλὰ καὶ θεὰν εἶχον προστάτην αὐτῆς καὶ προτροπέα καὶ διδάσκαλον· ὑπερέβαινον δὲ κατὰ τοῦτο τοὺς ἄλλους ἐθνικοὺς οἱ Κορίνθιοι, ἔχοντες ἀφιερωμένας εἰς τὸν βωμὸν τῆς Ἀφροδίτης ὑπὲρ τὰς χιλίας κοινὰς πόρνας, ἐν αἷς πολλαὶ ἦσαν ὑπέρπλουτοι ἐκ τοῦ πορισμοῦ ταύτης τῆς ἀνομίας, καὶ εἰς πᾶσαν τὴν Ἑλλάδα ἐπίσημοι. Ἐπειδὴ οὖν τὰ ἔθνη, καὶ μάλιστα οἱ Κορίνθιοι, ἐθεοποίουν τοῦτο τὸ ἁμάρτημα, διὰ τοῦτο ὁ Παῦλος, ὡς Ἀπόστολος καὶ διδάσκαλος τῶν ἐθνῶν, ἵνα ἐξαλείψῃ τὴν ἐκ γεννητόρων καὶ ἐξ ἀνατροφῆς ἐμπεφυτευμένην εἰς τὰς καρδίας αὐτῶν ὀλέθριον πλάνην καὶ συνήθειαν, ἅμα δὲ καὶ ἀναχαιτίσῃ πάντων τῶν λοιπῶν ἀνθρώπων τὴν πρὸς τὴν βδελυρὰν ταύτην ἀκαθαρσίαν δυσκράτητον ὁρμήν, ὑπὸ Θεοῦ φωτισθείς, ἐπαίδευσε μὲν παραδειγματικῶς τὸν πορνεύσαντα Κορίνθιον, περιέγραψε δὲ μετὰ θεοπνεύστου ἀκριβολογίας καὶ τὸ βάρος καὶ τὴν βλάβην ταύτης τῆς ῥυπαρᾶς ἁμαρτίας.

Ἄνδρες ἀδελφοί, ἐὰν εἰς τὰς πόλεις τῶν εἰδωλολατρῶν εὑρίσκοντο χιλιάδες πορνῶν, οὐδέν ἐστι παράδοξον· αὐτοὶ οὐ μόνον οὐδὲ νόμους εἶχον, ἐμποδίζοντας ταύτην τὴν ἁμαρτίαν, οὐδὲ διδάσκαλον κηρύττοντα, πόσον μέγα ἐςὶ τοῦτο τὸ ἁμάρτημα, ἀλλὰ καὶ θεοὺς εἶχον οἱ πεπλανημένοι μοιχοὺς καὶ πόρνους, καὶ τῆς πορνείας προστάτας. Παράδοξον δέ ἐστι τό, ὅτι εὑρίσκονται πόρναι καὶ εἰς τῶν χριστιανῶν τὰς πόλεις· καὶ ὅτι βλέπομεν ἄλλους μὲν καταφθείροντας τὰ ὑπάρχοντα, καὶ ἀφανίζοντας τὴν ὑγείαν αὐτῶν εἰς τὰ πορνοστάσια, ἄλλους δὲ χωρὶς οὐδὲ φόβου, οὐδὲ ἐντροπῆς συζῶντας καὶ συμφθειρομένους μετ' ἀλλοτρίων καὶ ἀνόμων γυναικῶν· οἱ χριστιανοί, οἱ δεδιδαγμένοι ὑπὸ τοῦ θείου νόμου, οἱ νενομοθετημένοι ὑπὸ τοῦ ἁγίου Εὐαγγελίου, οἱ κατηχημένοι ὑπὸ τῆς διδασκαλίας τῶν θεοφόρων Ἀποστόλων, καὶ ἐξόχως ὑπὸ τῆς θεοπνεύστου εἰσηγήσεως τοῦ Παύλου, οἱ πεφωτισμένοι ὑπὸ τῆς νουθεσίας τῶν μακαρίων πατέρων καὶ διδασκάλων· οἱ χριστιανοί, οἵτινες καὶ γνωρίζουσι, καὶ πιστεύουσιν, ὅτι μέγα ἐςὶ τὸ τῆς πορνείας ἁμάρτημα, καὶ ὅτι καταδίκη φοβερὰ περιμένει τοὺς πόρνους· αὐτοὶ περιποιοῦνται πόρνας, καὶ εἰσάγουσιν αὐτὰς εἰς τὸν οἶκον αὐτῶν, καὶ ἁμαρτάνοντες μετ' αὐτῶν οὐδόλως ἐντρέπονται, οὐδὲ φοβοῦνται· τοῦτο ἀληθῶς παράδοξον, τοῦτο ἐκτὸς παντὸς λόγου, τοῦτο πάσης τιμωρίας ἄξιον.

Χριστιανέ, σὺ ἀπ' ἐκείνης τῆς ὥρας, ἀφ' ἧς ἠξιώθης τοῦ ἁγίου βαπτίσματος, ἡγιάσθη οὐ μόνον ἡ ψυχή σου, ἀλλὰ καὶ τὸ σῶμά σου· ἡ ψυχή σου ἐγένετο θυγάτηρ Θεοῦ, τὸ σῶμά σου μέλος τοῦ Ἰησοῦ Χριστοῦ· πῶς οὖν τολμᾷς ποιεῖν τὰ μέλη τοῦ Ἰησοῦ Χριςοῦ, πόρνης μέλη; σὺ ἀπ' ἐκείνης τῆς ὥρας, ἀφ' ἧς ἐξῆλθες τῆς θείας κολυμβήθρας, γέ-

(1) Πράξ. 22, 21. (2) Ῥωμ. 11, 13.



γονας ναὸς τοῦ ἁγίου Πνεύματος· πῶς οὖν οὐ φρίττεις, ἀλλὰ διὰ τῆς πορνείας φθείρεις τὸν ναὸν τοῦ παναγίου Πνεύματος; Οὐκ ἀκούεις τὸν φοβερισμὸν τῆς ἀποστολικῆς φωνῆς, τῆς λεγούσης· « Εἴτις τὸν ναὸν τοῦ » Θεοῦ φθείρει, φθερεῖ τοῦτον ὁ Θεός » (1); Πῶς οὐ φοβεῖσαι τὸ φοβερὸν τοῦ Θεοῦ κριτήριον; ἐν αὐτῷ κατακρίνονται οἱ πόρνοι καὶ οἱ μοιχοί· « Πόρνους δὲ καὶ μοιχοὺς » κρινεῖ ὁ Θεός » (2). Οὐκ ἀκούεις τὸν Κύριον καὶ δεσπότην σου προστάσσοντα καὶ λέγοντα· μηδέποτε λύσῃς τὴν ζώνην τῆς σωφροσύνης σου, μηδὲ σβέσῃς τὸν λύχνον τοῦ θείου μου νόμου, τοῦ φωτίζοντός σε πρὸς τὴν ἐγκράτειαν καὶ κυριότητα τῆς σαρκικῆς ἐπιθυμίας; « Ἔστωσαν, λέγει, ὑμῶν » αἱ ὀσφύες περιεζωσμέναι καὶ οἱ λύχνοι » καιόμενοι » (3).

Ἀλλὰ τὸ πῦρ, λέγεις, τῆς σαρκικῆς ἐπιθυμίας καταφλέγει με, καὶ μὴ δυνάμενος βαστάσαι τὸν καύσωνα, κατακρημνίζομαι εἰς τῆς ἁμαρτίας ταύτης τὸ βάραθρον· ἀλλ' ὁ πάνσοφος Παῦλος καὶ τούτου τοῦ πάθους ἐδίδαξε τὴν ἰατρείαν εἰπών· « Διὰ » δὲ τὰς πορνείας ἕκαστος τὴν ἑαυτοῦ γυ» ναῖκα ἐχέτω, καὶ ἑκάστη τὸν ἴδιον ἄν» δρα ἐχέτω » (4). Ἀλλὰ καὶ τὸν γάμον ἐπήνεσεν ὁ τρισμακάριος· « Τίμιος, εἶπεν, ὁ γά» μος, καὶ ἡ κοίτη ἀμίαντος » (5). Ἀλλ' οὐκ ἔχω, λέγεις, τρόπον, ἵνα θρέψω γυναῖκα καὶ τέκνα. Ἄκουσόν με παρακαλῶ σε· ἐάν τις ἐπίγειος βασιλεὺς ὑπέσχετό σοι πάντα τὰ πρὸς τὴν χρείαν καὶ τὴν σὴν καὶ τῆς γυναικὸς καὶ τῶν τέκνων σου, ἆρά γε ἐδίσταζες; ἆρά γε ἔλεγες, οὐκ ἔχω τρόπον, ἵνα θρέψω γυναῖκα καὶ τέκνα; οὐδὲ ἐδίσταζες, οὐδὲ ἔλεγες τοιαῦτα λόγια· γίνωσκε οὖν, ὅτι ὁ ἐπουράνιος βασιλεύς, ἐκεῖνος οὗ « ἐν τῇ χειρὶ τὰ πέρατα τῆς γῆς, καὶ τὰ » ὕψη τῶν ὀρέων αὐτοῦ ἐστιν· ὅτι αὐτοῦ » ἐστιν ἡ θάλασσα, καὶ αὐτὸς ἐποίησεν » αὐτήν, καὶ τὴν ξηρὰν αἱ χεῖρες αὐτοῦ ἔ» πλασαν » (6)· αὐτὸς ὁ παντοδύναμος καὶ παντοκράτωρ καὶ ἀψευδέστατος Θεὸς ὑπόσχεταί σοι, λέγων· ζήτει τὴν βασιλείαν μου, καὶ περιπάτει τὸν δρόμον τῆς ἀρετῆς, ἐγὼ δὲ δώσω σοι πρὸς τούτοις πάντα ὅσα ἀναγκαῖα, πάντα ὅσα πρὸς χρείαν σου· « Ζητεῖτε δὲ πρῶτον, οὕτω » λέγει αὐτός, τὴν βασιλείαν τοῦ Θεοῦ καὶ » τὴν δικαιοσύνην αὐτοῦ, καὶ ταῦτα πάντα » προστεθήσεται ὑμῖν » (7). Ἀκούεις, πόσον σαφής ἐστι τοῦ Θεοῦ ἡ ὑπόσχεσις; ἀκούεις, πόσον πλουσία ἡ δόσις; πάντα ὑπόσχεται δώσειν· « Καὶ ταῦτα πάντα προ» στεθήσεται ὑμῖν ». Ἵνα τί οὖν διστάζῃς; ἵνα τί ὀλιγοπιστῇς; διὰ τί φοβεῖσαι; ὁ Θεός ἐστιν ὁ ὑποσχόμενος· ὅταν ἁμαρτάνῃς, τότε φοβοῦ πεῖναν καὶ γύμνωσιν, καὶ πᾶσαν ἄλλην τιμωρίαν· ὅταν δὲ φεύγῃς τὴν ἁμαρτίαν, καὶ ἐργάζῃσαι τὴν ἀρετήν, τότε μηδόλως φοβοῦ, μηδόλως δίσταζε· διότι ὁ Θεὸς « Θέλημα τῶν φοβου» μένων αὐτὸν ποιήσει, καὶ τῆς δεήσεως » αὐτῶν εἰσακούσεται, καὶ σώσει αὐτούς (8)· » Νεώτερος ἐγενόμην, λέγει ὁ ἅγιος προφη» τάναξ, καὶ γὰρ ἐγήρασα, καὶ οὐκ εἶδον » δίκαιον ἐγκαταλελειμμένον, οὐδὲ τὸ σπέρ» μα αὐτοῦ ζητοῦν ἄρτους » (9).

(1) Α'. Κορ. 3, 17. (2) Ἑβρ. 13, 4. (3) Λουκ. 12, 35. (4) Α'. Κορ. 7, 2. (5) Ἑβρ. 13, 4.
(6) Ψαλ. 94, 4, 5. (7) Ματθ. 6, 33. (8) Ψαλ. 144, 19. (9) Αὐτ. 36, 25.

# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΗΝ ΠΡΩΤΗΝ ΠΡΟΣ

# ΚΟΡΙΝΘΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗι ΛΕ΄. ΚΥΡΙΑΚΗι ΤΗΣ ΑΠΟΚΡΕΩ.

ΕΠΕΙΔΗ αὔριον ἀνοίγουσι τῆς ἐγκρατείας τὰ προπύλαια, καὶ πᾶσα ἡ ἑβδομάς ἐστι προκαθάρσιμος, καί τῆς νηστείας πρόδρομος, διὰ τοῦτο προβάλλει σήμερον εἰς τοὺς πιστοὺς ἡ ἁγία τοῦ Θεοῦ ἐκκλησία τὸ μέρος τῆς ἐπιστολῆς τοῦ Παύλου, τὸ διαλαμβάνον περὶ τῶν τροφῶν. Ἵνα δὲ ἀκριβῶς κατανοήσῃς τὰ περὶ αὐτῶν ὑπὸ τοῦ Ἀποστόλου λεγόμενα, ἀνάγκη ἐστίν, ἵνα θεωρήσῃς τὰ πρὸ τούτων γεγραμμένα. Πρὸ τούτων ἐλάλησεν ὁ Ἀπόστολος περὶ τῶν εἰδωλοθύτων, λέγων· « Περὶ δὲ τῶν εἰδω» λοθύτων οἴδαμεν, ὅτι πάντες γνῶσιν ἔχο» μεν » (1)· ἦσαν δὲ τὰ εἰδωλόθυτα, τὰ κρέατα τῶν ζώων, τῶν εἰς τὰ εἴδωλα θυσιαζομένων· τούτων δὲ τῶν εἰδωλοθύτων κρεάτων μέρος μὲν κατέκαιον οἱ εἰδωλολάτραι ἐνώπιον τῶν εἰδώλων, μέρος δὲ ἐφύλαττον διὰ τὴν τράπεζαν τῶν προσφερόντων τὴν θυσίαν, καὶ τῶν συγγενῶν αὐτῶν καὶ φίλων· τινὲς δὲ τῶν γνωστικῶν Κορινθίων, τῶν εἰς Χριστὸν πιστευσάντων, γνωρίζοντες, ὅτι τὰ εἴδωλα οὐκ εἰσὶ θεοί, ἐσυλλογίζοντο, ὅτι οὐδὲ θυσίαι εἰσὶ τὰ εἰς αὐτὰ θυσιαζόμενα ζῶα, οὐδὲ εἰδωλόθυτα τὰ τούτων κρέατα· ἡ τοιαύτη δὲ γνῶσις ἔπειθεν αὐτούς, ὅτι ἔχουσιν ἄδειαν καὶ ἐξουσίαν, ἵνα ἐσθίωσι τὰ εἰδωλόθυτα· ἐκ τούτου χωρίς τινος συστολῆς ἔτρωγον αὐτὰ παῤῥησίᾳ, εἰς τὰ εἰδωλεῖα εἰσερχόμενοι, καὶ ἐν αὐτοῖς κατακείμενοι· οἱ δὲ ἁπλούστεροι ἄνθρωποι βλέποντες, ὅτι οἱ πεπαιδευμένοι καὶ γνωστικοὶ ἔτρωγον ἀνυποστόλως τὰ εἰδωλόθυτα, ἐνόμιζον, ὅτι ἐκ τῆς πρὸς τὰ εἴδωλα εὐλαβείας τοῦτο ποιοῦσιν· ἐκ τούτου δὲ σκανδαλιζόμενοι, οὐ μόνον καὶ αὐτοὶ ἔτρωγον τὰ εἰδωλόθυτα, ἀλλὰ καὶ ἐσέβοντο τὰ εἴδωλα. Ἠρώτησαν δέ, ὡς φαίνεται, περὶ τῆς ὑποθέσεως ταύτης τὸν Παῦλον (2), ὅστις ἀποκριθείς, πρῶτον μὲν ἤλεγξε τὴν τοιαύτην γνῶσιν ὡς ὑπερηφανείας πρόξενον καὶ τοῖς ἀδελφοῖς ἐπιβλαβῆ, ἔπειτα συνέστειλε τὴν ἐξουσίαν καὶ ἀδιαφορίαν αὐτῶν, περιγράψας τοῦ σκανδάλου τὰ ὀλέθρια ἀποτελέσματα· ἄρχεται δὲ τοῦ λόγου οὕτως·

*Ἀδελφοί, βρῶμα ὑμᾶς οὐ παρίστησι τῷ Θεῷ· οὔτε γὰρ ἐὰν φάγωμεν, περισσεύομεν· οὔτε ἐὰν μὴ φάγωμεν, ὑστερούμεθα* (3).

Συγκατατίθεται ὁ θεῖος Ἀπόστολος εἰς

(1) Α΄. Κορ. 8, 1. (2) Αὐτ. 4. (3) Αὐτ. 8, 8.



τὴν γνώμην ἐκείνων, οἵτινες ἔλεγον· « Ὅτι » οὐδὲν εἴδωλον ἐν κόσμῳ, καὶ ὅτι οὐδεὶς » Θεὸς ἕτερος, εἰ μὴ εἷς » (1). Καὶ ὅτι καὶ αὐτὸ τὸ εἰδωλόθυτον κρέας οὐκ ἔστιν εἰδωλόθυτον, ἀλλὰ βρῶμα, ἤγουν τροφὴ ἁπλῆ, καθὼς καὶ αἱ λοιπαὶ τροφαί· ἔστω, λέγει, τὸ εἰδωλόθυτον οὐδὲν ἄλλο ἐστίν, εἰ μὴ τροφή· ἔστω, ἔχεις ἐξουσίαν φαγεῖν αὐτό, καθὼς τρώγεις καὶ τὰς ἄλλας τροφάς. Ἐὰν οὖν αὐτὴ ἡ τροφὴ ἠδύνατο παραστῆσαί σε ἐνώπιον τοῦ Θεοῦ ὡς δίκαιον καὶ ἅγιον· ἐάν, ὅταν μὲν τρώγῃς αὐτήν, περισσεύῃ ἡ ἀρετή σου καὶ ὁ ἔπαινος τῶν καλῶν ἔργων σου· ὅταν δὲ ἀπέχῃς ἀπ' αὐτῆς, μένῃς ἐσερημένος τῶν ἀγαθῶν πράξεων, ἔχεις λόγον καὶ δικαίωμα, ἵνα τρώγῃς ἐκ τῶν εἰδωλοθύτων· ἀλλ' ἡ τροφὴ οὐ δύναται δικαιῶσαί σε ἐνώπιον τοῦ Θεοῦ, οὐδέ εἰσαγαγεῖν σε εἰς τὴν βασιλείαν αὐτοῦ, οὐδὲ σῶσαι τὴν ψυχήν σου· « Βρῶμα ὑμᾶς οὐ παρίστησι » τῷ Θεῷ »· ἡ τροφὴ αὐτὴ καθ' ἑαυτὴν οὐδὲ προστίθησιν, οὐδὲ ἀφαιρεῖ ἀρετήν· ὅθεν οὐδὲ ἐὰν φάγωμεν τὸ εἰδωλόθυτον, περισσεύει ἡ ἀρετὴ ἡμῶν· « Οὔτε γὰρ ἐὰν φάγωμεν, » περισσεύομεν »· Οὔτε ἐὰν μὴ φάγωμεν αὐτό, μένομεν ἐλλειπεῖς καὶ ἐστερημένοι ἀρετῆς· « Οὔτε ἐὰν μὴ φάγωμεν, ὑστερού» μεθα ».

*Βλέπετε δέ, μήπως ἡ ἐξουσία ὑμῶν αὕτη πρόσκομμα γένηται τοῖς ἀσθενοῦσι* (2).

Στοχασθῆτε ὅμως, λέγει, μήπως αὐτὴ ἡ ἐξουσία ὑμῶν, ἣν προβάλλετε, λέγοντες, ὅτι ἔχετε ἐξουσίαν, ἵνα ἐσθίητε ἀδιαφόρως πᾶσαν τροφήν, ἑπομένως δὲ καὶ τὰ εἰδωλόθυτα, προξενήσῃ σκάνδαλον καὶ πτῶσιν εἰς τοὺς ἀσθενεῖς, ἤγουν ἁπλουστέρους ἀνθρώπους, οἵτινες διὰ τὴν ἀσθένειαν τοῦ νοὸς αὐτῶν οὐ δύνανται γνωρίσαι, οὐδὲ διακρῖναι, ὅτι οὐδὲ εἴδωλόν ἐστιν ἐν τῷ κόσμῳ, οὐδὲ εἰδωλόθυτον· δηλοποιεῖ δὲ καὶ τό, πῶς, καὶ τό, διὰ τί ἐκ τούτου τοῦ ἔργου ὁ ἀσθενὴς σκανδαλίζεται, καὶ ἀπολεῖται, λέγων·

*Ἐὰν γάρ τις ἴδῃ σε, τὸν ἔχοντα γνῶσιν, ἐν εἰδωλείῳ κατακείμενον, οὐχὶ ἡ συνείδησις αὐτοῦ, ἀσθενοῦς ὄντος, οἰκοδομηθήσεται εἰς τὸ τὰ εἰδωλόθυτα ἐσθίειν* (3);

Διότι ἐάν τις τῶν ἁπλουστέρων ἴδῃ, ὅτι σύ, ὁ σοφός, καὶ γνῶσιν ἔχων καὶ διάκρισιν, ἐμβαίνεις εἰς τὸν βωμὸν τῶν εἰδώλων, καὶ ἐν τῇ τραπέζῃ τῶν εἰδωλοθύτων καθήμενος, τρώγεις τὰ εἰδωλόθυτα κρέατα, οὐκ ἆρά γε αὐτὸς ἀσθενὴς ὤν, ὡς μή ἔχων τὴν γνῶσίν σου, μηδὲ διακρίνων, διὰ ποῖον λόγον ταῦτα ποιεῖς, διώξας ἀπὸ τῆς συνειδήσεως αὐτοῦ πᾶσαν ἀμφιβολίαν, οἰκοδομήσει καὶ στερεώσει αὐτὴν πρὸς τὸ ἐσθίειν τὰ εἰδωλόθυτα, καὶ πρὸς τὸ νομίζειν ἄξια εὐλαβείας τὰ εἴδωλα; Κἂν δὲ ἐρωτηματικῶς ταῦτα προβάλλῃ ὁ Ἀπόστολος, ἔχει ὅμως ἡ τοιαύτη ἐρώτησις δύναμιν βεβαιώσεως.

*Καὶ ἀπολεῖται ὁ ἀσθενῶν ἀδελφὸς ἐπὶ τῇ σῇ γνώσει, δι' ὃν Χριστὸς ἀπέθανεν* (4).

Ἡ γνῶσίς σου, λέγει, γίνεται αἴτιον τῆς ἀπωλείας τοῦ ἀδελφοῦ σου· διότι σὺ μὲν

(1) Κορ. 4. (2) Αὐτ. 8, 9. (3) Αὐτ. 8, 10. (4) Αὐτ. 8, 11.

γινώσκων, ὅτι τὸ εἴδωλον οὐκ ἔστι Θεός, καὶ ὅτι τὸ εἰδωλόθυτον οὐδὲν ἄλλο ἐστίν, εἰ μὴ τροφή, τρώγεις τὰ εἰδωλόθυτα, περιφρονῶν τὰ εἴδωλα, ὁ δὲ ἀδελφός σου ἀσθενὴς ὤν, καὶ μὴ ἔχων μηδὲ τὴν γνῶσίν σου, μηδὲ τὴν διάκρισίν σου, ἐσθίων τὰ εἰδωλόθυτα, λάτρης τῶν εἰδώλων γίνεται, καὶ ἀπολεῖται, τῆς αἰωνίου σωτηρίας αὐτοῦ ςερούμενος· καὶ ὁ μὲν Ἰησοῦς Χριστὸς ἀπέθανεν ὑπέρ τῆς σωτηρίας αὐτοῦ, σὺ δὲ οὐ στέργεις τὴν ἀποχὴν τῆς βρώσεως τοῦ εἰδωλοθύτου, ἀλλ' ἐπὶ τῇ γνώσει σου θαῤῥῶν, τρώγεις τὰ εἰδωλόθυτα, καὶ ἀπολεῖς τὴν ψυχὴν τοῦ ἀδελφοῦ σου.

Οὕτω δὲ *ἁμαρτάνοντες εἰς τοὺς ἀδελφούς, καὶ τύπτοντες αὐτῶν τὴν συνείδησιν ἀσθενοῦσαν, εἰς Χριστὸν ἁμαρτάνετε* (1).

Πῶς ἁμαρτάνομεν εἰς τοὺς ἀδελφούς; βλάπτοντες ἢ τὴν ψυχήν, ἢ τὸ σῶμα αὐτῶν, ἢ καὶ τὰ δύο ὁμοῦ; Πῶς δὲ πλήττομεν τὴν συνείδησιν αὐτῶν; ποιοῦντες ἔργα σκανδαλώδη, ταράττοντα καὶ τραυματίζοντα τὴν τούτων συνείδησιν· διὰ τί δὲ ἁμαρτάνοντες εἰς τοὺς ἀδελφούς, ἁμαρτάνομεν εἰς τὸν Χριστόν; διότι πάντες δοῦλοί ἐσμεν τοῦ Ἰησοῦ Χριστοῦ, ἐξαγορασθέντες διὰ τοῦ τιμίου αὐτοῦ αἵματος· εἴ τι δ' ἂν ποιήσῃς πρὸς τὸν δοῦλον, ἀνάγεται εἰς τὸν δεσπότην· πάντες ἀδελφοί ἐσμεν, ἐκ τῆς αὐτῆς κολυμβήθρας γεννηθέντες, καὶ τὸν αὐτὸν ἔχοντες πρωτότοκον ἀδελφόν, δι' ἣν αἰτίαν οὐκ ἐπῃσχύνθη καλέσαι ἀδελφοὺς τοὺς διὰ τῆς εἰς αὐτὸν πίστεως ἁγιαζομένους· καθότι «Ὁ ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι » ἐξ ἑνὸς πάντες » (2)· ὅθεν εἴ τι ἂν ποιήσῃς πρὸς ἕνα τῶν ἀδελφῶν αὐτοῦ, πρὸς αὐτὸν ἀναφέρεται, ὡς αὐτὸς ἀπεφάσισε, καὶ ἐδίδαξε, λέγων· «Ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τού» των τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, » ἐμοὶ ἐποιήσατε » (3). Διὰ τί δὲ ἦν ἀσθενὴς ἡ τῶν ἀδελφῶν συνείδησις; διότι νεοφώτιστοι τότε ὄντες, οὐκ εἶχον στερεὰν τὴν συνείδησιν πρὸς τὴν ἀποστροφὴν καὶ ἐξουδένωσιν τῆς πρὸς τὰ εἴδωλα πατροπαραδότου εὐλαβείας. Σημείωσαι δέ, πόσους λόγους προβάλλει, ὅπως καταπείσῃ αὐτούς, ἵνα ἀπέχωσι τῆς τῶν εἰδωλοθύτων βρώσεως· πρῶτον μὲν εἶπεν, ὅτι περιττὴ καὶ ἄκαρπος ἡ τῶν εἰδωλοθύτων τροφή· δεύτερον, ὅτι πρόξενος προσκόμματος καὶ σκανδάλου· τρίτον, ὅτι αἴτιον τῆς τοῦ ἀσθενοῦς ἀδελφοῦ ἀπωλείας· τέταρτον, ὅτι ἐστὶ μάστιξ τῆς τοῦ ἀσθενοῦντος ἀδελφοῦ συνειδήσεως· πέμπτον, ὅτι πρὸς τὸν Χριστὸν ἀνάγεται ἡ τοιαύτη ἁμαρτία. Μετὰ δὲ ταῦτα ἐπιφέρει τὸ ἑξῆς συμπέρασμα·

*Διόπερ εἰ βρῶμα σκανδαλίζει τὸν ἀδελφόν μου, οὐ μὴ φάγω κρέα εἰς τὸν αἰῶνα, ἵνα μὴ τὸν ἀδελφόν μου σκανδαλίσω* (4).

Ἀκούεις ἀπόφασιν ψυχῆς, ζήλου θείου πεπληρωμένης, καὶ ἀληθινῆς ἁγιότητος; ἐπειδὴ ἀπέδειξεν, ὅτι οἱ τρώγοντες τὰ εἰδωλόθυτα σκανδαλίζουσι, καὶ ἀπολοῦσι τοὺς ἀδελφούς, ἐπιφέρει τὴν τῆς ψυχῆς αὐτοῦ ἀπόφασιν, λέγων· ἐὰν βρῶσις σκανδαλίζῃ τὸν ἀδελφόν μου, οὐ μόνον εἰδωλόθυτα κρέατα, ἀλλ' οὐδὲ κρέατα ἁπλῶς, μὴ ἀπηγορευμένα στέργω φαγεῖν « Εἰς τὸν αἰῶνα»,

(1) Α΄. Κορ. 8, 12. (2) Ἑβρ. 2, 11. (3) Ματθ. 25, 40. (4) Α΄. Κορ. 8, 13.



ἤγουν πάσας τὰς ἡμέρας τῆς ζωῆς μου, « Ἵνα μὴ τὸν ἀδελφόν μου σκανδαλίσω », Ταῦτα ἔστεργεν ὁ τρισμακάριος, ἐπειδὴ ἐγίνωσκε, πόσην βλάβην προξενεῖ τὸ σκάνδαλον, καὶ ποῖον « Οὐαί » (1), ἐξεφώνησε κατὰ τῶν σκανδαλιζόντων ὁ τοῦ κόσμου λυτρωτὴς καὶ Κύριος. Ἐκ τούτου δὲ ἡμεῖς μανθάνομεν, ὅτι χρέος ἔχομεν, ἵνα ἀπέχωμεν οὐ μόνον ἀπὸ τῶν ἁμαρτημάτων, ἀλλὰ καὶ ἀπ' ἐκείνων τῶν ἔργων, ὅσα οὐκ εἰσὶ μὲν ἁμαρτήματα, σκανδαλίζουσιν ὅμως τοὺς ἀδελφούς· ὅτι δὲ ταῦτα οὐ μόνον διὰ λόγου ἐδίδαξεν, ἀλλὰ καὶ διὰ τῶν ἔργων ἀπέδειξεν ὁ τοῦ Θεοῦ Ἀπόστολος, δηλοῦσι τὰ ἑξῆς·

Οὐκ *εἰμὶ* Ἀπόστολος; *οὐκ εἰμὶ ἐλεύθερος; οὐχὶ Ἰησοῦν Χριστὸν τὸν* Κύριον *ἡμῶν ἑώρακα; οὐ τὸ ἔργον μου ὑμεῖς ἐστε ἐν* Κυρίῳ; Εἰ *ἄλλοις οὐκ εἰμὶ* Ἀπόστολος, *ἀλλά γε ὑμῖν εἰμι· ἡ γὰρ σφραγὶς τῆς ἐμῆς ἀποστολῆς ὑμεῖς ἐστε ἐν* Κυρίῳ (2).

Ἐπειδὴ οἱ εἰς Χριστὸν πιστεύσαντες μεγάλην ὑπόληψιν καὶ εὐλάβειαν εἶχον πρὸς τοὺς Ἀποστόλους, τοὺς ἰδόντας τὸν Ἰησοῦν Χριστόν, καὶ ὁμιλήσαντας μετ' αὐτοῦ, καὶ ὑπ' αὐτοῦ πεμφθέντας πρὸς τὸ εὐαγγελικὸν κήρυγμα· ὁ δὲ Παῦλος ἐλογίζετο ὑπό τινων, ὅτι οὐκ ἦν εἷς ἐξ αὐτῶν, διὰ τούτων τῶν λόγων ἀποδεικνύει, ὅτι καὶ αὐτὸς Ἀπόστολός ἐστι, καθὼς καὶ ἐκεῖνοι· οὐκ εἰμί, λέγει, καὶ ἐγὼ Ἀπόστολος, ὑπὸ τοῦ Κυρίου, δηλονότι ἀπεσταλμένος, καθὼς καὶ οἱ τούτου αὐτόπται, οἱ ὑπ' αὐτοῦ πεμφθέντες πρὸς τὸ κήρυγμα; οὐκ εἰμὶ καὶ ἐγὼ ἐλεύθερος, ἤγουν εἰς οὐδενὸς ἐξουσίαν ὑποκείμενος, οὐδὲ τάξιν ἔχων ὑπηκόου καὶ μαθητοῦ, ἀλλ' ἀποστόλου καὶ διδασκάλου; οὐκ εἶδον καὶ ἐγὼ τὸν Ἰησοῦν Χριστόν, τὸν Κύριον ἡμῶν, καθὼς καὶ ἐκεῖνοι; οὐκ ἐστὲ ὑμεῖς, ὦ Κορίνθιοι, τὸ ἔργον τοῦ ἀποστολικοῦ μου ἐπαγγέλματος; κἂν εἰς ἄλλους οὐκ εἰμὶ Ἀπόστολος, ὅμως εἰμὶ Ἀπόστολος εἰς ὑμᾶς· διότι ὑμεῖς ἐστε ἡ σφραγίς, ἤγουν ἡ ἀπόδειξις καὶ ἡ βεβαίωσις, ὅτι ἐγώ εἰμι Ἀπόστολος, καθότι εἰς ὑμᾶς ἐκήρυξα τὸ Εὐαγγέλιον, καὶ ἐπέστρεψα ὑμᾶς ἀπὸ τῆς πλάνης τῶν εἰδώλων. Ἀληθῶς δὲ καὶ ὁ Παῦλος ὑπ' αὐτοῦ τοῦ Κυρίου ἀπεστάλη πρὸς τὸ κήρυγμα κατὰ τὸν αὐτὸν τρόπον, καθ' ὃν καὶ οἱ λοιποὶ Ἀπόςολοι· «Πορευθέντες οὖν, » εἶπε πρὸς τοὺς Ἀποστόλους, μαθητεύ» σατε πάντα τὰ ἔθνη (3)· Πορεύου εἶπε καὶ » πρὸς τὸν Παῦλον, ὅτι ἐγὼ εἰς ἔθνη μακρὰν » ἐξαποστελῶ σε » (4). Εἶδε καὶ ὁ Παῦλος τὸν Κύριον πολλάκις, καθὼς καὶ οἱ ἄλλοι Ἀπόστολοι· εἶδεν αὐτόν, ὅταν ἐπορεύετο εἰς τὴν Δαμασκόν, καὶ ὅταν ἐδίδασκεν εἰς τὴν Κόρινθον, καὶ ὅταν ἦλθεν εἰς τὴν Ἱερουσαλήμ, καὶ δεκατέσσαρα ἔτη, πρὶν ἢ γράψῃ τὴν δευτέραν πρὸς Κορινθίους ἐπιστολήν (5). Ἀλλὰ τίς ὁ σκοπὸς τούτων τῶν λόγων αὐτοῦ; Σκοπὸν ἔχει ἀποδεῖξαι, ὅτι Ἀπόστολος ὤν, ὡς καὶ οἱ λοιποί, εἶχε δικαίωμα ἵνα λαμβάνῃ τὰ πρὸς τροφὴν αὐτοῦ ἐκ τῶν ὑπ' αὐτοῦ φωτιζομένων, καθὼς ἐλάμβανον αὐτὰ ἐκ τῶν ὑπ' αὐτῶν διδασκομένων πάντες οἱ Ἀπόστολοι· τοῦτο δὲ τὸ δικαίωμα ἀπέδειξε νόμιμον διὰ πολλῶν ἀποδείξεων, περιεχομένων εἰς τὰ ἑξῆς ἐδάφια, τὰ διὰ τὸ σύντομον σιωπηθέντα, κἂν ἡ τούτων ἔννοια συνέχηται μετὰ τῶν ἀναγνωσθέν-

(1) Λουκ. 17, 1, 2. (2) Α΄. Κορ. 9, 1. (3) Ματθ. 28, 19. (4) Πράξ. 22, 21. (5) Αὐτ. 9, 5, 17. καὶ 18, 9. καὶ 23, 11.

των· ἐν αὐτοῖς δὲ τοῖς σιωπηθεῖσιν ἐδαφίοις βλέπεις, ὅτι κἂν εἶχε δικαίωμα καὶ ἐξουσίαν λαμβάνειν ἐκ τῶν Κορινθίων τὰ πρὸς τὴν χρείαν αὐτοῦ, οὐκ ἐλάμβανεν ὅμως αὐτά, ἵνα μὴ σκανδαλίσας, παρακόψῃ τὴν προκοπὴν τοῦ εὐαγγελικοῦ κηρύγματος· « Εἰ » ἄλλοι, λέγει, τῆς ἐξουσίας ὑμῶν μετέ» χουσιν, οὐ μᾶλλον ἡμεῖς; ἀλλ' οὐκ ἐχρη» σάμεθα τῇ ἐξουσίᾳ ταύτῃ, ἀλλὰ πάντα » στέργομεν, ἵνα μὴ ἐγκοπήν τινα δῶμεν » τῷ Εὐαγγελίῳ τοῦ Χριστοῦ » (1). Καὶ προλαβὸν μὲν εἶπεν· « Οὐ μὴ φάγω κρέα » εἰς τὸν αἰῶνα, ἵνα μὴ τὸν ἀδελφόν μου » σκανδαλίσω » (2)· ἔπειτα δὲ καὶ τὸ ἑαυτοῦ παράδειγμα προβάλλων, ἐφανέρωσεν, ὅτι οὐκ ἔστερξε ποιῆσαι τὰ ὑπὸ τὴν νόμιμον αὐτοῦ ἐξουσίαν, ἵνα μὴ σκανδαλίσῃ. Τοῦτο δὲ τὸ παράδειγμα μεγάλῃ τῇ φωνῇ βοᾷ· ἐὰν ἐγώ, ὦ Κορίνθιοι, κἂν εἶχον νόμιμον ἐξουσίαν λαμβάνειν ἐξ ὑμῶν πάντα τὰ πρὸς τὴν χρείαν μου, οὐδὲν ὅμως ἔλαβον, ἀλλ' ὑπέμεινα πᾶσαν ταλαιπωρίαν, φοβούμενος τὸ σκάνδαλον καὶ τὴν ἐκ τούτου βλάβην, πολλῷ μᾶλλον ὑμεῖς οἱ πεπληροφορημένοι ὄντες, ὅτι τρώγοντες τὰ εἰδωλόθυτα, σκανδαλίζετε τοὺς ἀδελφούς, ὑπὲρ ὧν Χριστὸς ἀπέθανε, καὶ μηδὲν δεινὸν πάσχοντες ἐκ τῆς τῶν εἰδωλοθύτων ἀποχῆς, ἀνάγκη ἐστίν, ἵνα ἀπέχητε ἀπὸ τῆς τούτων βρώσεως.

# ΟΜΙΛΙΑ

ΜΕΤΑ ΤΗΝ ΠΡΩΤΗΝ ΠΡΟΣ

## ΚΟΡΙΝΘΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗι ΛΕ'. ΚΥΡΙΑΚΗι ΤΗΣ ΑΠΟΚΡΕΩ.

Ὁ θεόπνευστος Παῦλος, καὶ ὁ λογιώτατος Ἀπολλὼς ἐκήρυξαν εἰς τὴν περίφημον πόλιν τῆς Κορίνθου τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ τὸ Εὐαγγέλιον (3). Πόθεν οὖν οἱ σοφώτεροι τῶν εἰς Χριστὸν πιστευσάντων Κορινθίων, μαθηταὶ γεγονότες τοιούτων διδασκάλων, εἰς τόσον ἀνόητον πλάνην κατήντησαν, ὥστε εἰσερχόμενοι εἰς τοὺς τῶν εἰδώλων βωμούς, καὶ εἰς τὰς τῶν εἰδωλολατρῶν τραπέζας κατακλινόμενοι, ἔτρωγον τὰ κρέατα τῶν ζώων τῶν θυσιασθέντων τοῖς εἰδώλοις; Πῶς οὐκ ἐγνώριζον, ὅτι τοῦτο τὸ ἔργον ἐκάπνιζε τὴν πρὸς τὰ εἴδωλα εὐλάβειαν; πῶς οὐκ ᾐσθάνοντο, ὅτι τοῦτο πράττοντες, ἐσκανδάλιζον τοὺς πιστούς, καὶ ἔσυρον αὐτοὺς εἰς τὴν τῶν εἰδώλων προσκύνησιν; ἆρά γε οὐκ ἔμαθον, πόσον μεγάλη ἐστὶ τοῦ σκανδάλου ἡ ἁμαρτία; Διὰ τῆς γνώσεως, ἤγουν διὰ τῆς μαθήσεως καὶ σοφίας αὐτῶν ἐγνώριζον, ὅτι « Οὐδὲν εἴδωλον ἐν κόσμῳ, » καὶ ὅτι οὐδεὶς Θεὸς ἕτερος, εἰ μὴ εἷς » (4)· ἀλλὰ πῶς διὰ τῆς αὐτῆς γνώσεως οὐκ ἐγνώ-

(1) Α'. Κορ. 9, 12. (2) Αὐτ. 8, 13. (3) Πράξ. 18, 24. καὶ 19, 1. (4) Α'. Κορ. 8, 4.



ριζον, οὐδὲ διέκρινον τὸ προξενούμενον σκάνδαλον, καὶ τὴν τῶν ἁπλουστέρων ἀνθρώπων βλάβην καὶ ἀπώλειαν; πάθος ἰσχυρὸν τοσοῦτον ἐκυρίευε, καὶ κατεσκότιζε τὸν νοῦν αὐτῶν, ὥστε ὡς αἰχμαλώτους καὶ ὑποχειρίους ἔσυρεν αὐτοὺς εἰς τὰ εἰδωλεῖα. Ποῖον δὲ πάθος εἶχε τόσην δύναμιν καὶ κράτος ἐπ' αὐτούς, διδάσκουσι τὰ πράγματα. Διὰ τί αὐτοὶ εἰσήρχοντο εἰς τὰ εἰδωλεῖα; ἵνα φάγωσι τὰ κρέατα, καὶ πίωσι τὸν οἶνον τὸν προσενεχθέντα τοῖς εἰδώλοις· ὅθεν περὶ τούτου ἤλεγχεν αὐτοὺς ὁ Παῦλος, λέγων· « Οὐ » δύνασθε ποτήριον Κυρίου πίνειν, καὶ πο» τήριον δαιμονίων· οὐ δύνασθε τραπέζης » Κυρίου μετέχειν, καὶ τραπέζης δαιμο» νίων » (1). Τίς οὖν οὐ βλέπει, ὅτι κοιλιοδουλεία ἦν τὸ πάθος τὸ κατασκοτίζον αὐτούς; ἐκλεκτὸς ἦν ὁ οἶνος, ἐκλεκτὰ τὰ κρέατα, τὰ ὑπὸ τῶν εἰδωλολατρῶν τοῖς εἰδώλοις προσφερόμενα. Αὐτὰ οὖν ἔθελγον καὶ ἐφλόγιζον τὴν ἐπιθυμίαν αὐτῶν· ὅθεν ἔτρεχον εἰς τοὺς βωμοὺς τῶν εἰδώλων, ἵνα εὐαρεστήσωσι τῇ ἑαυτῶν κοιλίᾳ. Μέγα καὶ ἰσχυρόν, ἀδελφοί, καὶ μεγάλης βλάβης πρόξενόν ἐστι τῆς κοιλιοδουλείας τὸ πάθος. Ἐπειδὴ δὲ τῆς μὲν νηστείας τὰ πρόθυρα αὔριον ἀνοίγουσιν, ἡ δὲ κοιλιοδουλεία καταλυτής ἐστι τῆς θεαρέστου νηστείας, δι' ἧς καταδαμάζοντες τῆς σαρκὸς τὰ πάθη, καὶ αἴροντες τοῦ Κυρίου Ἰησοῦ τὸν σταυρόν, προσφέρομεν ἑαυτοὺς θυσίαν εἰς τὸν Θεόν, καλὸν καὶ ὠφέλιμόν ἐστιν, ἵνα περὶ κοιλιοδουλείας λαλήσωμεν σήμερον.

Τρία εἰσὶ τῆς κοιλιοδουλείας τὰ εἴδη, λαιμαργία, γασριμαργία, ἀδδηφαγία. Λαίμαργός ἐστιν ἐκεῖνος, ὅστις ἀκράτητον ἔχει ἐπιθυμίαν διὰ τὰς τροφάς, τὰς ἀρεστὰς εἰς τὸ στόμα καὶ εἰς τὸν λαιμὸν αὐτοῦ. Γαστρίμαργος δέ ἐστιν, ὅστις φλέγεται ὑπὸ τῆς ἐπιθυμίας πασῶν τῶν τροφῶν, δι' ὧν πληροῦται ἡ γαστήρ· ὅθεν ὁ μὲν λαίμαργος αἰχμαλωτίζεται ὑπὸ τῆς ποιότητος τῶν βρωμάτων, ὁ δὲ γαστρίμαργος ὑπὸ τῆς ποσότητος. Ἀδδηφάγος δέ ἐστιν ὁ παμφάγος καὶ βόρος καὶ καταβροχθιστὴς πάσης τροφῆς. Ἐπειδὴ δὲ « τὰ βρώματα τῇ κοιλίᾳ, » καὶ ἡ κοιλία τοῖς βρώμασιν » (2), ὡς λέγει ὁ θεηγόρος Ἀπόστολος, καταντῶσι δὲ πάντα τὰ ἐσθιόμενα εἰς τὴν κοιλίαν, διὰ τοῦτο ὅστις ἢ λαιμαργεῖ, ἢ γαστριμαργεῖ, ἢ ἀδδηφαγεῖ, πρεπόντως κοιλιόδουλος καὶ ἔστι καὶ λέγεται, καθότι τῇ ἑαυτοῦ κοιλίᾳ δουλεύει. Ὁ δὲ κοιλιόδουλος πολλὴν καὶ εἰς τὴν ψυχὴν καὶ εἰς τὸ σῶμα αὐτοῦ ἐπισωρεύει τὴν βλάβην.

Ἀλλὰ διὰ τί, λέγεις, ἡ κοιλιοδουλεία βλάπτει καὶ τὸ σῶμα καὶ τὴν ψυχήν; ἡ ὄρεξις τῶν τροφῶν, ἐστὶ φυσική, ἐστὶ δὲ καὶ ἀναγκαία πρὸς συντήρησιν τοῦ σώματος· διότι ἐὰν μὴ ἔχω ὄρεξιν τροφῆς, οὐ τρώγω· ἐὰν δὲ μὴ φάγω ἀποθνήσκω. Ἀληθῶς, πᾶσαι αἱ ὀρέξεις, ἤγουν αἱ δυνάμεις τοῦ σώματός εἰσι φυσικαί, ὑπὸ Θεοῦ ἐν τῷ σώματι ἡμῶν ἐμπεφυτευμέναι πρὸς διατήρησιν αὐτοῦ καὶ σωτηρίαν τῆς ψυχῆς· ἡ δύναμις τῆς ἐγρηγόρσεως καὶ τοῦ ὕπνου, τῆς κινήσεως καὶ τῆς στάσεως, τοῦ θυμοῦ καὶ τῆς πραότητος, τῆς ἀγάπης καὶ τοῦ μίσους, δυνάμεις εἰσὶ φυσικαί, καθὼς καὶ ἡ δύναμις τῆς ὀρέξεως τῶν τροφῶν· πλήν, εἰσὶ δυνάμεις ἄλογοι, καὶ ὁρμαὶ ἀχάλινοι· διὰ τοῦτο ἐπάνω εἰς αὐτὰς ἔθετο ὁ Θεὸς τὸν νοῦν ὡς ἡγεμόνα καὶ χειραγωγόν· ἐὰν οὖν αὐτὸς χαλιναγωγῇ καὶ διευ-

(1) Α'. Κορ. 10, 21. (2) Αὐτ. 6, 13.

θύνη αὐτάς, συντηρεῖται ὁ ἄνθρωπος καὶ διασώζεται· ἐὰν δὲ ἐγκαταλείπη αὐτὰς ἀχαλίνους καὶ ἀδιευθύντους, φθείρουσιν αὐτόν, καὶ ἀπολοῦσιν. Ἔχουσι δὲ αἱ τοιαῦται δυνάμεις καὶ τὰ πρὸς ὑπηρεσίαν ἡμῶν πλασθέντα ζῶα πολλὴν τὴν ὁμοιότητα· ὅταν, παραδείγματος χάριν, βάλης χαλινὸν εἰς τὸν ἵππον, καὶ διευθύνης αὐτόν, τότε αὐτὸς ὑπακούει εἰς τὰ θελήματά σου, καὶ διασώζει σε ἀβλαβῆ, ὅταν ἐπ' αὐτὸν ἐπιβαίνης· ἀλλ' ἐὰν ἀφήσης αὐτὸν ἀχάλινον καὶ ἀδιεύθυντον, ἀνυποτακτεῖ καὶ ῥίπτει σε εἰς τὴν γῆν, καὶ κατατραυματίζει ἢ καὶ ἀποκτείνει σε· ὅταν ὡς λογικὸς καὶ φρόνιμος βάλης ὅρον εἰς τὴν ἐγρήγορσιν καὶ εἰς τὸν ὕπνον, εἰς τὴν κίνησιν καὶ εἰς τὴν στάσιν, τότε αὐτὰ διαφυλάττουσί σε σῶον καὶ ὑγιαίνοντα· ὅταν δὲ ἀπεριορίστως καὶ καθ' ὑπερβολὴν ἐγρηγορῆς ἢ κοιμᾶσαι, ἢ περιπατῆς ἢ κάθησαι, τότε αὐτὰ βλάπτουσι τὴν ὑγείαν σου. Ἐὰν μὲν εὐθύνης τὸν θυμόν σου κατὰ τοῦ διαβόλου τοῦ ἐχθροῦ σου, σώζεσαι ἐκ τοῦ ψυχικοῦ θανάτου· ἐὰν δὲ ἐγκαταλείπης αὐτὸν ἀχάλινον, καὶ οὐκ ἐμποδίζης ἀπὸ τῆς κατὰ τῶν ἀδελφῶν σου ὁρμῆς, κολάζεις τὴν ψυχήν σου· ἐὰν μὲν γίνησαι πρᾶος πρὸς τοὺς ἀδελφούς σου, ἔχεις μακαρισμὸν διὰ τὴν πραότητά σου· ἐὰν δὲ μένης πρᾶος καὶ ἥσυχος καὶ εἰς αὐτοὺς τοὺς ὑπὲρ Χριστοῦ, καὶ τοὺς ὑπὲρ τῶν θείων νόμων πολέμους, μεγάλην προξενεῖς εἰς τὴν ψυχήν σου κατάκρισιν. Ὅταν προσηλώσης τὴν ἀγάπην σου εἰς τὰ ἀγαθὰ ἔργα, καὶ τὸ μῖσός σου εἰς τὰ κακά, κληρονομεῖς τὴν πρὸ καταβολῆς κόσμου ἡτοιμασμένην τοῖς δικαίοις βασιλείαν· ὅταν δὲ ποιῆς τὸ ἀνάπαλιν, ἤγουν ἀγαπᾷς τὸ κακόν, καὶ μισῆς τὸ ἀγαθόν, τότε γίνεσαι ὑπόδικος τῆς κολάσεως, τῆς ἡτοιμασμένης τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ. Τοῦτ' αὐτὸ συμβαίνει καὶ εἰς τὴν περὶ τὰς τροφὰς ὄρεξιν· ὅταν ὡς μὲν διακριτικὸς καὶ φρόνιμος χαλιναγωγῆς τὰς ὁρμὰς τῆς ὀρέξεώς σου, καὶ βάλλης μέτρον εἰς τὴν ποσότητα, καὶ διάκρισιν εἰς τὴν ποιότητα, ὡς δὲ πιστὸς καὶ εὐσεβὴς φυλάττης τῶν νηστειῶν τὰ ὅρια, τότε ὑγιαίνει τὸ σῶμά σου, καὶ ἁγιάζεται ἡ ψυχή σου· ὅταν δὲ παραβλέψης αὐτὴν ἀχάλινον καὶ ἀκράτητον πρὸς πάντα τὰ ὑπ' αὐτῆς ποθούμενα, τότε καὶ τὸ σῶμά σου βλάπτεις, καὶ τὴν ψυχήν σου καταδικάζεις.

Ἄλλα εἰσὶ τὰ συστατικὰ τοῦ σώματος, καὶ ἄλλα τὰ περὶ τὸ σῶμα ἀγαθά. Πρῶτον τοῦ σώματος συστατικόν ἐστιν ἡ ὑγεία· πρῶτον περὶ τὸ σῶμα ἀγαθόν ἐστιν ἡ τιμή· ὅταν λείψη ἡ ὑγεία, τότε ἢ πᾶσα ἡ οἰκονομία τοῦ σώματος πάσχει ὀδυνηρῶς, ἢ φθείρεται, καὶ παντελῶς διαλύεται ὅλου τοῦ σώματος ἡ ὑπόστασις· ὅταν ἡ ὑγεία λείψη, τότε οὐδὲ ὁ πλοῦτος ἔχει ἡδονήν, οὐδὲ ἡ δόξα εὐαρέστησιν, πᾶν δὲ ἀγαθὸν τοῦ κόσμου γίνεται ἄχαρι καὶ ἀηδὲς καὶ ἄτερπνον· ἡ δὲ τιμὴ ἔχει τὰ πρωτεῖα πάντων τῶν σωματικῶν ἀγαθῶν· καὶ ὁ μὲν σοφὸς Σολομὼν προετίμησεν αὐτὴν τῶν πολλῶν καὶ μεγάλων θησαυρῶν· « Αἱρετώτε» ρον, εἶπεν, ὄνομα καλόν, ἢ πλοῦτος πο» λύς » (1)· οἱ δὲ ἄνθρωποι ὑπὲρ τῆς τιμῆς αὐτῶν προδίδουσι πολλάκις οὐ μόνον τὸν πλοῦτον, ἀλλὰ καὶ τὴν ἰδίαν ζωήν. Ἡ κοιλιοδουλεία βλάπτει καὶ τὰ συστατικὰ τοῦ σώματος, καὶ τὰ περὶ τὸ σῶμα ἀγαθά. Ἐρωτήσατε τοὺς ἰατρούς, πόσην βλάβην προξενοῦσιν εἰς τὸ σῶμα αἱ πολυφαγίαι καὶ

(1) Παροιμ. 22, 1.



πολυποσίαι, καὶ αἱ χωρίς τινος διακρίσεως μεταλαμβανόμεναι τροφαί· αὐτοὶ ἐπιβεβαιοῦσιν, ὅτι αὐταὶ γεννῶσιν ἀπεψίας, κακοχυμίας, πληθώρας, ψωριάσεις, φλογώσεις, σπασμούς, ἀποπληξίας καὶ ἄλλα μυρία ἀνίατα καὶ θανατηφόρα ἀῤῥωστήματα.

Ἀκούσατε δέ, πόσον φθείρει ἡ κοιλιοδουλεία καὶ αὐτὸ τὸ πρώτιστον τῶν σωματικῶν ἀγαθῶν, ἤγουν τὴν τιμήν· τῶν πρωτοτοκίων ἡ τιμὴ πολλὰ μεγάλη ἐλογίζετο καὶ ὑπὸ τῶν ἐθνικῶν, ἐξόχως δὲ ὑπὸ τῶν Ἰουδαίων. Ὁ Θεός, ἵνα πληροφορήση ἡμᾶς ὅτι ἡ λαιμαργία ἐστὶ φθορεὺς τῶν περὶ τὸ σῶμα ἀγαθῶν, ηὐδόκησεν, ἵνα γραφθῆ εἰς τὰ ἅγια βιβλία τὸ συμβὰν εἰς τὸν Ἡσαῦ διὰ τὴν λαιμαργίαν· αὐτὸς ὡς πρωτότοκος υἱὸς τοῦ Ἰσαὰκ εἶχε τὴν δόξαν καὶ τὴν τιμὴν τῶν πρωτοτοκίων, ἡ δὲ λαιμαργία ἐν μιᾷ καιροῦ στιγμῇ μετὰ ἀτιμίας ἐγύμνωσεν αὐτὸν τούτου τοῦ πολυτίμου προνομίου· ἐπέστρεψεν ὁ Ἡσαῦ ἀπὸ τοῦ ἀγροῦ εἰς τὴν οἰκίαν τοῦ πατρὸς αὐτοῦ, ὅπου ὁ Ἰακὼβ ἐβάσταζεν εἰς τὰς χεῖρας αὐτοῦ « Ἕψημα » φακοῦ »· ἡ ἑψημένη καὶ ἕτοιμος φακῆ τόσον ἄναψε τὴν ἐπιθυμίαν τοῦ Ἡσαῦ, ὥςε ἐλειποψύχει· « Γεῦσόν με, ἔλεγε πρὸς τὸν » Ἰακώβ, ἀπὸ τοῦ ἑψήματος πυῤῥοῦ τούτου, » ὅτι ἐκλείπω » (1)· καὶ ἦσαν μὲν ἐν τῇ οἰκίᾳ τοῦ πατρὸς αὐτοῦ καὶ ἄρτοι, καὶ κρέατα, καὶ ἄλλαι τροφαί, ἵνα χορτασθῇ, ἐὰν ἐπείνα, καὶ ἵνα ἐνισχυθῇ ἀπὸ τῆς λειποψυχίας αὐτοῦ, ἐὰν διὰ τὴν ὁδοιπορίαν ἐλειποθύμει· αὐτὸς ὅμως οὐδὲν ἄλλο ἤθελεν, εἰμὴ τὸ ἕψημα τοῦ φακοῦ· ὁ δὲ Ἰακώβ, ἀπόδος μοι, λέγει πρὸς αὐτόν, τὰ πρωτοτόκιά σου· ἐγὼ ἀπεκρίθη ὁ Ἡσαῦ, εὑρίσκομαι εἰς τοῦ θανάτου τὸν κίνδυνον, τί ὠφελοῦσί μοι τὰ πρωτοτόκια; « Ἰδοὺ ἐγὼ πορεύομαι τελευτᾷν, καὶ » ἵνα τί μοι ταῦτα τὰ πρωτοτόκια; καὶ » εἶπεν αὐτῷ Ἰακώβ, ὄμοσόν μοι σήμερον »· ὁ δὲ Ἡσαῦ ὤμοσεν εὐθύς· « Ἀπέδοτο δὲ Ἡ» σαῦ τὰ πρωτοτόκια τῷ Ἰακώβ· Ἰακὼβ » δὲ ἔδωκε τῷ Ἡσαῦ ἄρτον καὶ ἕψημα φα» κοῦ » (2). Ἀκούετε, τί ἐποίησεν ὁ λαίμαργος, ὑπὸ τῆς λαιμαργίας τυφλωθείς; ἐπώλησε τὴν πολυτίμητον αὐτοῦ τιμὴν δι' ὀλίκον ἕψημα φακοῦ· « Καὶ ἐφαύλισεν », ἤγουν κατεφρόνησε, λέγει ἡ Θεία Γραφή, « Ἡσαῦ τὰ πρωτοτόκια ». Καὶ ταῦτα μὲν κατ' εὐδοκίαν Θεοῦ ἱστόρησαν τὰ ἅγια βιβλία· ἡμεῖς δὲ πόσους καὶ πόσους βλέπομεν οἵτινες, ἵνα χορτάσωσι τὰς ἐπιθυμίας τῆς κοιλίας αὐτῶν, οὐ μόνον περιφρονοῦσι τὴν τιμὴν τοῦ ἰδίου ἀξιώματος, ἀλλὰ καὶ τὰ ἑαυτῶν ὑπάρχοντα καταναλίσκοντες, καταντῶσιν εἰς τῆς πτωχείας τὴν κατάστασιν; ἡμεῖς πρὸς τούτοις βλέπομεν, ὅτι ὅσοι εἰσὶ κοιλιόδουλοι, γαστρίμαργοι, ἀδδηφάγοι, ἐκεῖνοι ἀνεπιτήδειοι γίνονται καὶ πρὸς τὰς ἐπιστήμας, καὶ πρὸς τὰς τέχνας, καὶ πρὸς πάντα τὰ ὑπουργήματα, ὅσα νοῦν ζητοῦσι καὶ διάκρισιν· τοῦτο δὲ συμβαίνει, ἐπειδὴ αἱ πολυφαγίαι καὶ πολυποσίαι οὐ μόνον ἀσθενείας προξενοῦσι πολυποικίλους καὶ βαρείας, ἀλλὰ καὶ ἀτονοῦσι, καὶ ἐκνευρίζουσιν ἐκεῖνα τὰ σωματικὰ ὄργανα, δι' ὧν ὁ νοῦς παῤῥησιάζει τὰ ὀρθὰ αὐτοῦ νοήματα, καὶ τὴν ἑαυτοῦ κρίσιν καὶ διάκρισιν· ἐκ τούτου δὲ προήχθη ἡ παροιμία· « Παχεῖα » γαστὴρ λεπτὸν οὐ τίκτει νόα ».

Ἐὰν ἡ κοιλιοδουλεία ἔβλαπτε μόνον τὸ σῶμα καὶ τὰ ἀγαθὰ τοῦ σώματος, ἡ βλάβη αὐτῆς εἶχε τέλος· καθότι πάντα τὰ τοῦ σώματος, καὶ αὐτὸ τὸ σῶμα φθαρτά εἰσι καὶ

(1) Γεν. 25, 30. (2) Αὐτ. 32, 33, 34.

πρόσκαιρα· ἀλλὰ φεῦ τῆς δυστυχίας! τῆς κοιλιοδουλείας ἡ βλάβη ἐστὶν αἰώνιος, ἐπειδὴ καταποντίζει τὸν ἄνθρωπον εἰς πολλὰ καὶ μεγάλα ἁμαρτήματα· αἱ πολυφαγίαι καὶ πολυποσίαι αὐξάνουσι τὸν χυλόν, τοὺς χυμούς, τὸ αἷμα, τὸ ζωτικὸν πνεῦμα, τὸ σπέρμα· αὐτὰ δέ εἰσιν ὕλη καὶ τροφὴ τῆς σαρκικῆς ἐπιθυμίας, καθὼς τὰ φρύγανα, καὶ ἡ πίσσα, καὶ ἡ νάφθα, καὶ τὸ θεῖον, καὶ τὸ ἔλαιόν εἰσιν ὕλη καὶ τροφὴ τοῦ πυρός· ἐκ τούτων δὲ ἐξάπτεται ἡ αἰσχρὰ ἐπιθυμία, καὶ γίνεται κάμινος φλογερὰ καὶ φλὸξ ἀκάματος· καὶ ἐκ τούτου ἀκολουθοῦσιν αἱ πτώσεις εἰς τὰ ἄτιμα καὶ βέβηλα καὶ αἰσχρὰ τῆς σαρκὸς ἁμαρτήματα. Πρὸς τούτοις μετὰ τὰς ἐν τοῖς συμποσίοις γινομένας πολυφαγίας καὶ πολυποσίας ἀκολουθοῦσιν οἱ χοροί, καὶ αἱ ἄσεμνοι ᾠδαί, καὶ αἱ ἀργολογίαι, καὶ φλυαρίαι, καὶ τὰ ἐρωτοπαίγνια, καὶ τὰ ἄλλα, ὅσα οὐδόλως πρέπουσιν εἰς τοὺς εἰς Χριστὸν πιστεύοντας· « Ἐκάθισε, λέγει ἡ Θεία Γραφή, ὁ λαὸς » φαγεῖν καὶ πιεῖν, καὶ ἀνέστησαν παί- » ζειν » (1).

Καὶ ἄλλα δὲ φοβερὰ ἁμαρτήματα ἔκγονα τῆς κοιλιοδουλείας ἱστοροῦσι τὰ ἅγια βιβλία. Τὸ μάννα, ὡς ὑπὸ Θεοῦ πεποιημένον πρὸς τροφὴν τῶν ἐκ τῆς Αἰγύπτου ἐξελθόντων Ἰσραηλιτῶν, καὶ νόστιμον ἦν εἰς τὸ στόμα, καὶ εὔπεπτον εἰς τὸν στόμαχον, καὶ θρεπτικὸν τοῦ σώματος, καὶ εἶχεν, ἑνὶ λόγῳ, πάσας τὰς τελειότητας, ὅσας ἔχει ἡ ἐκλεκτὴ καὶ ἀρίστη τροφή· εἰς αὐτοὺς ὅμως οὐκ ἤρεσεν ἡ μονοφαγία τοῦ μάννα· « Νυνὶ δέ, ἔλεγον, ἡ ψυχὴ ἡμῶν κατάξηρος· » οὐδὲν πλὴν εἰς τὸ μάννα οἱ ὀφθαλμοὶ ἡ- » μῶν » (2)· διὰ τί δὲ τοῦτο; διότι κατέφλεγε τὴν ἐπιθυμίαν αὐτῶν ἡ μνήμη τῶν πολλῶν καὶ πολυποικίλων τῆς Αἰγύπτου τροφῶν· « Τίς ἔλεγον, ἡμᾶς ψωμιεῖ κρέα; » ἐμνήσθημεν τοὺς ἰχθύας, οὓς ἠσθίομεν ἐν » Αἰγύπτῳ δωρεάν, καὶ τοὺς σικύους, καὶ » τοὺς πέπονας, καὶ τὰ πράσα καὶ τὰ » κρόμμυα, καὶ τὰ σκόροδα » (3). Ἀκούεις ἀχαριστίαν; τὸ δὲ ἔτι περισσότερον, ὅτι καὶ ἐγόγγυζον οἱ τρισάθλιοι κατὰ τοῦ Θεοῦ· « Καὶ ἦν ὁ λαὸς γογγύζων πονηρὰ ἔναντι » Κυρίου » (4). Τί δὲ σημαίνει τοῦτο; καὶ τί ἄλλο, εἰ μὴ ὅτι ἐβλασφήμουν τὴν θείαν πρόνοιαν, καὶ αὐτὸν τὸν Θεόν; ὅτι δὲ τὴν τοιαύτην ἀχαριστίαν καὶ βλασφημίαν ἐγέννησεν ἡ λαιμαργία καὶ ἡ γαστριμαργία, φανερόν ἐστιν ἐκ τῶν λόγων αὐτῶν· ἀχαριστία καὶ βλασφημία κατὰ τίνος; κατὰ τοῦ Θεοῦ, τοῦ ἐλευθερώσαντος αὐτοὺς ἐκ τῆς τυραννικῆς δουλείας τοῦ Φαραώ, τρέφοντος δὲ αὐτοὺς διὰ τῆς ἀρίστης τροφῆς τοῦ μάννα, καὶ προάγοντος αὐτοὺς εἰς τὴν γῆν, τὴν ῥέουσαν μέλι καὶ γάλα. Τί τούτων τῶν ἁμαρτημάτων ἢ βαρύτερον ἢ φοβερώτερον; παρώργισαν αὐτὰ καὶ αὐτὴν τὴν τοῦ Θεοῦ μακροθυμίαν· ὅθεν « Ὁ Κύριος ἐθυμώθη ὀρ- » γῇ, καὶ ἐξεκαύθη ἐν αὐτοῖς πῦρ παρὰ » Κυρίου, καὶ κατέφαγε μέρος τι τῆς πα- » ρεμβολῆς » (5).

Ἀλλὰ καὶ τὸ μόνον παράδειγμα ἐκείνων τῶν κοιλιοδούλων Κορινθίων, οἵτινες ἔτρωγον τὰ εἰδωλόθυτα, ἀρκετόν ἐστι παραστῆσαι τὴν ὑπὸ τῆς κοιλιοδουλείας προξενουμένην ψυχικὴν βλάβην· πόσους αὐτοὶ ἐσκανδάλισαν; εἰς πόσους ἐψύχραναν τὴν θερμότητα τῆς εἰς Χριστὸν πίστεως; πόσους κατεπόντισαν εἰς τὴν λατρείαν τῶν εἰδώλων; πόσας ψυχὰς ἀπώλεσαν, ὑπὲρ ὧν

(1) Ἐξ. 32, 6. (2) Ἀριθ. 11, 6. (3) Αὐτ. 4, 5. (4) Αὐτ. 1. (5) Αὐτ.



Χριστὸς ἀπέθανε; Τὴν σήμερον οὐκ ἔχομεν βρώματα τεθυμένα τοῖς εἰδώλοις, ἔχομεν ὅμως τροφὰς ἀπηγορευμένας ὑπὸ τῶν νόμων· πόσους οὖν εὐσεβεῖς σκανδαλίζουσιν οἱ κοιλιόδουλοι, κρεωφαγοῦντες ἐν ταῖς ἡμέραις τῶν νηστειῶν; πόσων χριστιανῶν ψυχραίνουσι τὴν θερμότητα τῆς πίστεως, καὶ μαραίνουσι τὴν χρεωστουμένην εἰς τοὺς θείους νόμους εὐλάβειαν; πόσους δὲ ποιοῦσιν αὐθάδεις καὶ καταφρονητὰς τῆς ἐκκλησίας; πόσοι δὲ βλέποντες ἐκείνους τοὺς κοιλιοδούλους, οἵτινες γνῶσιν ἔχοντες, καὶ σοφοὶ νομιζόμενοι, τραπέζας καὶ συμπόσια συνιστῶντες τρώγουσι παῤῥησίᾳ ἐν τῷ καιρῷ τῆς νηστείας οὐχὶ τὰ εἰδωλόθυτα, ἀλλὰ τὰ παράνομα βρώματα, σκανδαλίζονται, καὶ οὐδὲν λογιζόμενοι τοὺς θείους νόμους, μετὰ μεγάλης αὐθαδείας καταφρονοῦντες τὴν νηστείαν, ἀπολοῦσι τὰς ἑαυτῶν ψυχάς; Καὶ ὁ μὲν Ἀπόστολος τοῦ Θεοῦ μεγαλοφώνως κραυγάζει· « Οὐ μὴ φάγω κρέα εἰς » τὸν αἰῶνα, ἵνα μὴ τὸν ἀδελφόν μου » σκανδαλίσω » (1)· οἱ δὲ κοιλιόδουλοι ἀνυποστόλως κρεωφαγοῦντες ἐν ταῖς τῶν νηστειῶν ἡμέραις, οὐ μόνον τῆς νηστείας τὴν ἐντολὴν καταπατοῦσιν, ἀλλὰ καὶ τοὺς ἀδελφοὺς ὑπερβαλλόντως σκανδαλίζουσι. Δικαίως οὖν ὁ αὐτὸς Ἀπόςολος κλαίων, ὠνόμασεν ἐχθροὺς τοῦ ςαυροῦ τοὺς κοιλιοδούλους, ὡς θεοποιοῦντας τὴν κοιλίαν, ὡς νομίζοντας δόξαν τὴν αἰσχύνην, ὡς φρονοῦντας τὰ ἐπίγεια, καὶ μὴ στέργοντας σταυρῶσαι τὰς ἐπιθυμίας τῆς γαστρός, κἂν σκανδαλίζωσι, κἂν καταποντίζωσιν εἰς τὴν ἀπώλειαν καὶ τὴν ἰδίαν ψυχήν, καὶ τὰς ψυχὰς τῶν ἄλλων· « Πολλοὶ γάρ, λέγει, περιπατοῦσιν, οὓς » πολλάκις ἔλεγον ὑμῖν, νῦν δὲ καὶ κλαίων » λέγω, τοὺς ἐχθροὺς τοῦ σταυροῦ τοῦ Χρι- » στοῦ· ὧν τὸ τέλος ἀπώλεια, ὧν θεὸς ἡ » κοιλία, καὶ ἡ δόξα ἐν τῇ αἰσχύνῃ αὐτῶν, » οἱ τὰ ἐπίγεια φρονοῦντες » (2).

Ἀγαπητοί μου ἀδελφοί, διὰ τί οὐ γίνεσθε « Φρόνιμοι ὡς οἱ ὄφεις » (3), κατὰ τὴν ἐντολὴν τοῦ Κυρίου; διὰ τί οὐ διακρίνετε τὴν ὠφέλειαν τῆς ἐγκρατείας, καὶ τῆς κοιλιοδουλείας τὴν βλάβην; Ἐνατενίσατε εἰς τοὺς ἐγκρατεῖς καὶ δεσπότας τῆς γαστρός, ἵνα ἴδητε, πόσον αὐτοί εἰσι σώφρονες, ἐγρήγοροι, ὑγιεῖς, μακρόβιοι, πρὸς πᾶσαν μάθησιν, καὶ πρὸς πᾶν ἔργον ἐπιτήδειοι. Διὰ τί γίνεσθε δοῦλοι τῆς κοιλίας; αὐτὴ χωρεῖ πολλά, χωρεῖ καὶ ὀλίγα, δέχεται καὶ τὸ κρέας, δέχεται καὶ τὰ λάχανα, στέργει καὶ τὴν μονοφαγίαν, στέργει καὶ τὴν πολυφαγίαν, ὑποτάσσεται εἰς τὸ πρόσταγμά σου· σὺ εἶ δεσπότης, αὐτή ἐστι δούλη· διὰ τί ἀναποδίζεις τὴν τάξιν, καὶ γίνεσαι δοῦλος ἀντὶ δεσπότου; τί κερδαίνεις ἐξ αὐτῆς τῆς δουλείας; ποῖον μισθὸν ἀνταποδίδωσί σοι ἡ τοιαύτη δέσποινα; αὐτὴ ἐπιβουλεύει τὴν τιμήν σου, σκορπίζει τὰ ὑπάρχοντά σου, φθείρει τὴν εὐφυΐαν τοῦ νοός σου, βλάπτει τὴν ὑγείαν σου, ἁρπάζει τὴν σωφροσύνην σου, κατακρημνίζει σε εἰς πολλὰ ἁμαρτήματα, κολάζει τὴν ψυχήν σου. Ἀλλ' ἐνοχλεῖ, λέγεις, καὶ πειράζει, καὶ ζητεῖ· σὺ δὲ βίασον αὐτήν, ἵνα μένῃ εἰς τοὺς ὅρους τῆς δουλείας αὐτῆς· « Ἡ βασιλεία τῶν οὐρα- » νῶν βιάζεται, καὶ βιασταὶ ἁρπάζουσιν » αὐτήν » (4). Ἐγὼ φρίττω καὶ τρέμω, ὅταν ἀναγινώσκω τὴν κατὰ τῶν πολυφάγων καὶ πολυποτῶν φρικτὴν τοῦ Θεοῦ ἀπόφασιν· « Προσέχετε, λέγει, ἑαυτοῖς, μή » ποτε βαρυνθῶσιν ὑμῶν αἱ καρδίαι ἐν

(1) Α'. Κορ. 8, 13. (2) Φιλιπ. 3, 18, 19. (3) Ματθ. 10, 16. (4) Αὐτ. 11, 12.

» κραιπάλη καὶ μέθη, καὶ ἐν μερίμναις » βιωτικαῖς, καὶ αἰφνίδιος ἐφ' ὑμᾶς ἐπιστῇ » ἡ ἡμέρα ἐκείνη » (1). Τίς δέ ἐστιν ἐκεῖνος ὁ ἄνθρωπος, ὁ ἔχων νοῦν καὶ αἴσθησιν καὶ πίστιν, ὅστις οὐ φρίττει καὶ τρομάζει, ἀκούων ταύτην τὴν φοβερωτάτην τοῦ Θεοῦ ἀπόφασιν; « Καὶ αἰφνίδιος, λέγει, ἐφ' ὑμᾶς » ἐπιστῇ ἡ ἡμέρα ἐκείνη »· τοῦτο δὲ σημαίνει, ὅτι ὁ καταβαρυνόμενος ὑπὸ τῆς πολυφαγίας καὶ πολυποσίας, ἀποθνήσκει ἐξαίφνης, ἀνέτοιμος, ἀδιόρθωτος, ἀδιάτακτος, ἀμετανόητος, χωρὶς ἐξομολογήσεως ἁμαρτιῶν, χωρὶς μεταλήψεως τῶν θείων μυστηρίων. Ὦ πολυέλεε καὶ πανοικτίρμων Κύριε, ἐλευθέρωσον ἡμᾶς τῆς τοιαύτης ἐλεεινοτάτης καταδίκης.

# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΗΝ ΠΡΟΣ

# ΡΩΜΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

## ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗ͂Ι ΑΣΤ'. ΚΥΡΙΑΚΗ͂Ι ΤΗΣ ΤΥΡΟΦΑΓΟΥ.

ΠΕΡΙ καιροῦ καὶ νηστείας διαλαμβάνει ἡ σήμερον ἀναγνωσθεῖσα ἀποστολικὴ διδασκαλία. Ὁ καιρὸς τῆς ζωῆς ἡμῶν καθ' ἑκάστην συντέμνεται· σήμερον ὁ καιρὸς τῆς ζωῆς μου ἐστὶν ὀλιγώτερος, ἤπερ ἐχθές, κατὰ μίαν ἡμέραν, καὶ αὔριον δὲ ἔτι ὀλιγώτερος, καὶ μετὰ τὴν αὔριον ἔτι ὀλιγώτερος, καὶ οὕτως ἐφεξῆς· ἡμεῖς δὲ οἱ τάλανες, κἂν τοῦτο πάνυ καλῶς γινώσκωμεν, ὅμως καθὼς τὴν νύκτα εἰς τὸ σκότος, οὕτω καὶ τὴν ἡμέραν ἐν τῷ φωτὶ διαπαντὸς κοιμώμεθα ἥσυχοι ἐν ταῖς ἁμαρτίαις ἡμῶν, μηδόλως φροντίζοντες, ἵνα ἐξεγερθῶμεν ἀπὸ τοῦ τοιούτου ὕπνου, καὶ περιπατήσωμεν εὐτάκτως, ὡς περιπατοῦσιν οἱ ἄνθρωποι, ὅταν, ἀνατέλλῃ ἡ ἡμέρα καὶ ἐπιλάμπῃ τὸ φῶς. Διεγείρει οὖν ἡμᾶς ἐκ τοῦ θανατηφόρου τούτου ὕπνου ὁ τοῦ Θεοῦ Ἀπόστολος, λέγων· καὶ κατὰ τοῦτο μάλιστα πρέπον ἐστίν, ἵνα γρηγορῶμεν, ἐπειδὴ γινώσκομεν, ὅτι ὁ καιρὸς παρέρχεται, καὶ ὅτι ἡ ὥρα ἤδη ἐστίν, ἵνα ἐξεγερθῶμεν ἐκ τοῦ ὕπνου τῆς ἁμαρτίας· « Καὶ τοῦτο, εἰδότες τὸν καιρόν, » ὅτι ὥρα ἡμᾶς ἤδη ἐξ ὕπνου ἐγερθῆναι » (2). Ὅσα δὲ περὶ νηστείας λαλεῖ, κἂν κυρίως καὶ καθ' αὑτὸ εἰς τοὺς ἀποστολικοὺς καιροὺς ἦσαν ἁρμόδια, ἁρμόζουσιν ὅμως ἕως τῆς σήμερον καὶ εἰς τὴν ὑπὸ τῶν χριστιανῶν τελουμένην νηστείαν· ὅθεν καὶ ἀνεγνώσθησαν σήμερον, καθότι αὔριον πᾶς εὐσεβὴς εἰσέρχεται εἰς τὸ στάδιον τῆς τεσσαρακονθημέρου νηστείας. Καλῶς δὲ ἥνωσε τὰ δύο ταῦτα ὁ πάνσοφος Ἀπόστολος, τὸν καιρὸν δηλαδὴ καὶ τὴν νηστείαν· διότι ἡ μὲν νηστεία προσκαλεῖ πρὸς ἐπιστροφὴν καὶ μετάνοιαν, ἡ δὲ τοῦ καιροῦ θεωρία πείθει, ὅτι

(1) Λουκ. 21, 34. (2) Ῥωμ. 13, 11.



ἄδηλός ἐστι τῆς ζωῆς ἡμῶν ὁ ὅρος· καὶ ὁ μὲν καιρὸς ῥέει ὡς τὸ ὕδωρ, καὶ ἀνεπαισθήτως παρέρχεται, ἡμεῖς δὲ πλησιάζομεν καθ' ἑκάστην εἰς τὸ τέλος τῆς ζωῆς ἡμῶν· διό, ἐὰν μὴ ἐπιστρέψω πρὸς τὸν Θεὸν ἐν ταῖς παρούσαις ἡμέραις τῆς νηστείας, ζῶ ἆρά γε, ἵνα νηστεύσω, καὶ μετανοήσω εἰς τὸν καιρὸν τῆς νηςείας τοῦ ἐρχομένου ἔτους; Βλέπε δέ, μετὰ πόσης σοφίας λαλεῖ περὶ καιροῦ· συναριθμεῖ ἑαυτὸν μετὰ τῶν διδασκομένων, ἵνα ἐνισχύσῃ τοῦ λόγου τὴν δύναμιν· εἰπὼν δὲ πρῶτον τό, « Καὶ τοῦτο, » εἰδότες τὸν καιρόν, ὅτι ὥρα ἡμᾶς ἤδη ἐξ » ὕπνου ἐγερθῆναι », δηλοποιεῖ ἔπειτα, διὰ ποῖον λόγον νῦν ἐστιν ἡ ὥρα τῆς ἐγέρσεως, λέγων·

*Ἀδελφοί, νῦν ἐγγύτερον ἡμῶν ἡ σωτηρία, ἢ ὅτε ἐπιστεύσαμεν* (1).

Δύο εἰσὶν αἱ ἀνταποδόσεις εἰς τὴν μέλλουσαν ζωήν, ἡ σωτηρία διὰ τοὺς ἁγίους, καὶ ἡ κόλασις διὰ τοὺς ἁμαρτωλούς· ὁ Παῦλος ἀνέφερε τὴν σωτηρίαν, σιωπήσας τὴν κόλασιν, ἐπειδὴ ὁ Θεὸς « Πάντας ἀνθρώ» πους θέλει σωθῆναι » (2), καὶ ἐπειδὴ ἤλπιζεν, ὅτι οἱ Ῥωμαῖοι, πρὸς οὓς ἔγραφεν, ἦσαν ἄξιοι τῆς σωτηρίας. Διὰ τί δὲ ἐγγύτερον νῦν ἡ σωτηρία, ἢ ὅτε ἐπιστεύσαμεν; διότι ἀπὸ τῆς ἡμέρας, ἀφ' ἧς αὐτός τε καὶ ἐκεῖνοι ἐπίστευσαν, ἕως τῆς ὥρας ἐκείνης, ἐν ᾗ ἔγραφε τὴν ἐπιστολήν, παρῆλθε καιρὸς ἀρκετός, καὶ ἑπομένως ἐσμικρύνθη ὁ ὑπόλοιπος καιρὸς τῆς ζωῆς αὐτῶν, καὶ ἔμεινεν ὀλιγώτερος, ἢ ὅτε κατ' ἀρχὰς ἐπίστευσαν· ὅθεν πλησιάσαντες εἰς τὸν θάνατον, ἐπλησίασαν εἰς τὴν ἀπόλαυσιν τῆς σωτηρίας. Κατ' αὐτὴν τὴν ὥραν, λέγει, ἐν ᾗ γράφω πρὸς ὑμᾶς, πλησιεστέρα ἐστὶν ἡ σωτηρία, ἢ ὅτε ἐπιστεύσαμεν, ἐπειδὴ συντέτμηται τῆς ζωῆς ἡμῶν ὁ ὅρος, καὶ ἐγγίζομεν εἰς τὸ τέλος· « Νῦν ἐγγύτερον ἡμῶν ἡ σωτηρία, » ἢ ὅτε ἐπιστεύσαμεν ».

*Ἡ νὺξ προέκοψεν, ἡ δὲ ἡμέρα ἤγγικεν· ἀποθώμεθα οὖν τὰ ἔργα τοῦ σκότους, καὶ ἐνδυσώμεθα τὰ ὅπλα τοῦ φωτός* (3).

Παρατήρησον τὸ διὰ τῶν ἀντιθέτων καὶ ὁμοιοτελεύτων ὀνομάτων κάλλος τῆς φράσεως, καὶ τὴν διὰ τῶν μεταφορῶν καὶ τῆς ἀλληγορίας ἔμφασιν τῶν νοημάτων. Νύκτα μὲν ὠνόμασε τὴν παροῦσαν ζωὴν διὰ τὸ ἐν αὐτῇ σκότος τῆς ἀγνοίας· « Βλέπομεν γὰρ » ἄρτι δι' ἐσόπτρου ἐν αἰνίγματι» (4)· ἔτι δὲ καὶ διὰ τὰ ἐν αὐτῇ γινόμενα σκοτεινὰ ἔργα τῆς ἁμαρτίας· ἡμέραν δέ, τὴν ζωὴν τὴν μέλλουσαν, διὰ τὸ ἐν αὐτῇ φῶς τῆς γνώσεως· διότι τότε βλέπομεν «Πρόσωπον πρὸς πρό» σωπον » (5)· καὶ λάμπουσι δὲ τότε ὑπὲρ τὸν ἥλιον τὰ καλὰ ἔργα τῶν ἀνθρώπων· Προέκοψε δέ, λέγει, ἡ νὺξ ἀντὶ τοῦ προέβη ἡ ζωὴ ἡμῶν, καὶ προήχθη εἰς τὸ τέλος· ἤγγικε δὲ ἡ ἡμέρα, ἤγουν ἐπλησίασεν ἡ ἀπόλαυσις τῆς ἀνεσπέρου ἡμέρας, ἥτις ἐστὶν ἡ αἰώνιος βασιλεία. Καὶ ἔργα μὲν τοῦ σκότους εἰσὶν αἱ ἁμαρτίαι, καθότι ἐν τῷ σκότει γίνονται, καὶ « Τὸ σκότος τὸ ἐξώτερον» (6) προξενοῦσιν εἰς τοὺς ἐργάτας αὐτῶν· ὅπλα δὲ τοῦ φωτός, τὰ φωτεινὰ καὶ λαμπρὰ τῆς ἀρετῆς ἔργα, καθότι δι' αὐτῶν πολεμοῦντες καὶ νικῶντες τὸν ἐχθρὸν τῆς ψυχῆς ἡμῶν, εἰσερχόμεθα εἰς τὰ πάμφωτα καὶ ὑπέρλαμ-

(1) Ῥωμ. 13, 11. (2) Α'. Τιμ. 2, 4. (3) Ῥωμ. 13, 12. (4) Α'. Κορ, 13, 12. (5) Αὐτ. (6) Ματθ. 22, 13.

πρα τῶν ἁγίων σκηνώματα. Ἐπιβεβαιωτικὰ δὲ καὶ ἐπεξηγηματικὰ τῶν προλαβόντων εἰσὶ τὰ προκείμενα λόγια· πρότερον εἶπεν ὁ Ἀπόστολος, « Ἐγγύτερον ἡμῶν ἡ » σωτηρία » (1), νῦν δὲ λέγει· « Ἡ νὺξ προέ» κοψεν, ἡ δὲ ἡμέρα ἤγγικε », τουτέστιν ἡ ζωὴ ἡμῶν προχωρεῖ εἰς τὸ τέλος, ἡ δὲ μέλλουσα ἐπλησίασε· προλαβὸν εἶπεν· « Ὅτι » ὥρα ἤδη ἡμᾶς ἐξ ὕπνου ἐγερθῆναι » (2)· νῦν δὲ λέγει· ἀποῤῥίψωμεν ἀφ' ἡμῶν τὰς ἁμαρτίας, καὶ κατορθώσωμεν τῆς ἀρετῆς τὰ ἔργα· « Ἀποθώμεθα οὖν τὰ ἔργα τοῦ » σκότους, καὶ ἐνδυσώμεθα τὰ ὅπλα τοῦ » φωτός ».

*Ὡς ἐν ἡμέρᾳ, εὐσχημόνως περιπατήσωμεν· μὴ κώμοις καὶ μέθαις, μὴ κοίταις καὶ ἀσελγείαις, μὴ ἔριδι καὶ ζήλῳ* (3).

Θεὸς τῶν εἰδωλολατρῶν ἦν ὁ Κῶμος, ἔφορος καὶ ἐπιστάτης τῶν μετὰ μέθης καὶ ἀσέμνων ἔργων γινομένων συμποσίων· ὅθεν κῶμοί εἰσι τὰ μετὰ μέθης καὶ αἰσχρῶν ᾀσμάτων καὶ χορῶν γινόμενα συμπόσια. Διαφέρει δὲ ἡ κοίτη τῆς ἀσελγείας, καθότι ἡ μὲν κοίτη σημαίνει συμμιξίαν καὶ συνουσίαν, ἡ δέ ἀσέλγεια, πᾶν εἶδος σαρκικῆς ἁμαρτίας· καὶ ἔρις μέν ἐστιν ἡ φιλονεικία, ἡ τοῦ θυμοῦ καὶ τῆς ἰσχυρογνωμοσύνης θυγάτηρ, ὁ δὲ ζῆλος, κἂν σημαίνῃ τὴν ἐπὶ τὰ καλὰ θερμὴν προθυμίαν, σημαίνει ὅμως, καθὼς ἐνταῦθα, καὶ τὴν ἐπὶ τὰ κακὰ ζέσιν καὶ τὴν ζηλοτυπίαν. Σημείωσαι δέ, ὅτι τὸ ὄνομα, ἡμέρα, προλαβὸν μὲν ἀλληγορικῶς ἐξέλαβε, νῦν δὲ κατὰ τὴν τοῦ γράμματος σημασίαν. ἐπειδὴ δὲ τὴν νύκτα ἐν τῷ σκότει γίνονται τὰ ἄσχημα καὶ ἀπρεπῆ ἔργα τῆς ἁμαρτίας, τὴν ἡμέραν δὲ ἐν τῷ φωτὶ μετὰ σχήματος εὐπρεποῦς καὶ εὐταξίας πάντες περιπατοῦσιν, ἐγκρατευόμενοι ἀπὸ τῶν τῆς ἀσχημοσύνης ἔργων, διὰ τοῦτο εἶπε· πολιτευσώμεθα μετὰ εὐπρεποῦς πολιτεύματος καὶ εὐταξίας, ὡς οἱ ἐν ἡμέρᾳ περιπατοῦντες, μὴ πέσωμεν εἰς κώμους καὶ μέθας, μηδὲ εἰς κοίτας καὶ ἀσελγείας, μηδὲ εἰς φιλονεικίας καὶ ζηλοτυπίαν.

*Ἀλλ' ἐνδύσασθε τὸν Κύριον Ἰησοῦν Χριστόν, καὶ τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε εἰς ἐπιθυμίας* (4).

Τό, « Ἐνδύσασθε », μεταφορικόν ἐστι, σημαίνει δὲ καὶ τὴν συνάφειαν καὶ ἕνωσιν, διότι, καθὼς τὸ ἔνδυμα συνάπτεται καὶ συνενοῦται μετὰ τοῦ σώματος, οὕτω καὶ ὁ Ἰησοῦς Χριστὸς μετὰ τῆς ψυχῆς τῶν ἀποθεμένων τὰ ἔργα τοῦ σκότους, καὶ ὡς ἐν ἡμέρᾳ εὐσχημόνως περιπατούντων· ἀλλ' οἱ Ῥωμαῖοι, πρὸς οὓς ταῦτα ἔγραφεν ὁ Ἀπόστολος, ὡς πιστοὶ καὶ βεβαπτισμένοι, ἐνδεδυμένοι ἦσαν τὸν Ἰησοῦν Χριστόν, καθὼς ὁ αὐτὸς Ἀπόστολος ἐβεβαίωσεν, εἰπών· « Ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθητε, » Χριστὸν ἐνεδύσασθε » (5)· διὰ τί οὖν παραγγέλλει εἰς αὐτούς, ἵνα ἐνδυθῶσι τὸν Ἰησοῦν Χριστόν; διότι διὰ μὲν τῆς χάριτος τοῦ ἁγίου βαπτίσματος, ἥτις καθαρίζει ἡμᾶς ἀπὸ πασῶν τῶν ἁμαρτιῶν ἡμῶν, συνενούμεθα μετὰ τοῦ Ἰησοῦ Χριστοῦ, καὶ γινόμεθα « Σῶμα Χριστοῦ, καὶ μέλη ἐκ » μέρους » (6)· διαμένει δὲ συνημμένος μεθ' ἡμῶν ὁ Χριστός, ἐν ὅσῳ φυλάττομεν τὴν διὰ τοῦ ἁγίου βαπτίσματος καθαρότητα·

(1) Ῥωμ. 13, 11. (2) Αὐτ. (3) Αὐτ. 13, 13. (4) Αὐτ. 13, 14. (5) Γαλ. 3, 27. (6) Α'. Κορ. 12, 27.



ὅταν δὲ διὰ τῶν ἁμαρτιῶν μολύνωμεν αὐτήν, τότε χωρίζεται ἀφ' ἡμῶν ὁ Χριστός, ἐπειδὴ ἡ αὐτοκαθαρότης ὢν καὶ τὸ φῶς οὐ συνάπτεται, οὐδὲ μένει, ὅπου μολυσμός ἐστι καὶ σκότος· ἐὰν δὲ ἐκδυθῶμεν τῶν ἁμαρτιῶν τὴν ῥυπαρότητα, πάλιν ἐνδυόμεθα τὸν Ἰησοῦν Χριστόν· εἰς ἐκείνους οὖν ἀφορᾷ ὁ λόγος τοῦ Ἀποστόλου, οἵτινες ἥμαρτον μετὰ τὸ βάπτισμα, ἢ οὐδὲ ἐπίστευσαν, οὐδὲ ἐβαπτίσθησαν· πρὸς ἐκείνους λέγει· « Ἀποθώμεθα οὖν τὰ ἔργα τοῦ σκό» τους, καὶ ἐνδυσώμεθα τὰ ὅπλα τοῦ φω» τός » (1), πρὸς τοὺς αὐτοὺς λέγει καὶ τό, « Ἀλλ' ἐνδύσασθε τὸν Κύριον Ἰησοῦν Χρι» στόν »· ἵνα δὲ μένῃ διὰ παντὸς μετ' αὐτῶν ὁ Χριστός, παραγγέλλει αὐτοῖς, λέγων· « Καὶ τῆς σαρκὸς πρόνοιαν μὴ ποι» εῖσθε εἰς ἐπιθυμίας »· οὐκ εἶπεν ἁπλῶς, μὴ προνόει περὶ τῆς σαρκός σου, « Οὐδεὶς » γάρ ποτε τὴν ἑαυτοῦ σάρκα ἐμίσησεν, » ἀλλ' ἐκτρέφει καὶ θάλπει αὐτήν » (2)· ἀλλὰ μὴ προνόει εἰς ἐπιθυμίας· ὥσπερ ἂν εἰ ἔλεγε διὰ τούτου, ἐπιμελοῦ μὲν τῆς ὑγείας τοῦ σώματός σου, ἵνα σοι ὑπηρετῇ πρὸς τὴν κατόρθωσιν τῶν καλῶν ἔργων· μὴ προνόει δέ, σκοπὸν ἔχων, ἵνα διεγείρῃ σοι τὰς ἡδονικὰς καὶ ψυχοφθόρους ἐπιθυμίας· διότι διὰ τῆς τοιαύτης ἐπιμελείας σου ἐπιβουλεύεις σεαυτόν, ἀνάπτων κατὰ σοῦ καμίνου φλόγα. Ταῦτα δὲ διδάξας ὁ τρισμακάριος, μεταβαίνει εἰς τὴν περὶ τῆς νηστείας ὑπόθεσιν, λέγων·

*Τὸν δὲ ἀσθενοῦντα τῇ πίστει, προσλαμβάνεσθε, μὴ εἰς διακρίσεις διαλογισμῶν. Ὃς μὲν πιστεύει φαγεῖν πάντα· ὁ δὲ ἀσθενῶν λάχανα ἐσθίει* (3).

Τίνες ἦσαν οἱ ἀσθενοῦντες κατὰ τὴν πίστιν; πολλοὶ τῶν ἐξ Ἰουδαίων πιστευσάντων εἰς τὸν Χριστόν, μὴ θέλοντες ἀθετῆσαι τὰ τοῦ μωσαϊκοῦ νόμου παρατηρήματα, οὐκ ἔτρωγον χοίρεια κρέατα (4)· ἵνα δὲ μὴ φαίνωνται ἰουδαΐζοντες, ἀλλὰ νομίζωνται ἐγκρατεῖς καὶ νηστευταί, ἀπεῖχον καὶ ἀπὸ τῶν ἄλλων τροφῶν, καὶ ἔτρωγον λάχανα· οὗτοι δὲ ἦσαν οἱ ἀσθενεῖς, ἤγουν οἱ ἀτελεῖς εἰς τὴν πρὸς Χριστὸν πίστιν, καθότι ἐπίστευον, ὅτι αὐτὴ οὐ σώζει χωρὶς τῆς διατηρήσεως τῶν νομικῶν παρατηρημάτων· ἄλλοι δὲ πάλιν, εἴτε ἐξ Ἰουδαίων, εἴτε ἐξ ἐθνῶν εἰς τὸν Χριστὸν πιστεύσαντες, τελειότεροι ὄντες εἰς τὴν πρὸς αὐτὸν πίστιν, οὐδόλως προσεῖχον εἰς τὰ νομικὰ παρατηρήματα, ἀλλ' ἐσιτίζοντο ἀπὸ πάσης τροφῆς· οὗτοι δὲ συλλογιζόμενοι καὶ διακρίνοντες, ὅτι οὐ καλῶς ποιοῦσιν οἱ τὰ τοῦ νόμου παρατηροῦντες, ὠνείδιζον αὐτούς· Φοβηθεὶς δὲ ὁ Παῦλος, μήπως οἱ τελειότεροι σφοδρῶς τε καὶ ἀπρεπῶς ἐλέγχοντες τοὺς ἀτελεῖς, σαλεύσωσιν αὐτοὺς ἀπὸ τῆς εἰς Χριστὸν πίστεως, μετέρχεται τρόπον πάνσοφον καὶ ὠφελιμώτατον· οὐ λέγει πρὸς τοὺς τελειοτέρους, κακῶς ποιεῖτε, ἐλέγχοντες, ἵνα μὴ στερεώσῃ τοὺς ἀτελεῖς εἰς τὴν παρατήρησιν τῶν τροφῶν, ἀλλ' οὐδὲ λέγει καλῶς ποιεῖτε, ἐλέγχοντες, ἵνα μὴ καταστήσῃ αὐτοὺς αὐστηροτέρους· κατασκευάζει δὲ συγκεκερασμένην τὴν νουθεσίαν· διότι κἂν φαίνηται, ὅτι ἐπιτιμᾷ τοὺς τελειοτέρους, ἡ ἔννοια ὅμως τοῦ λόγου ἀφορᾷ εἰς τοὺς ἀσθενεῖς, διότι εἰπών, « Τὸν ἀσθενοῦντα ἐν τῇ πίστει », ἔδειξεν εὐθύς, ὅτι οἱ παρατηρηταὶ τῶν τροφῶν ἦσαν ἀτελεῖς εἰς τὴν πρὸς Χριστὸν πίστιν· ἐπισυνάψας δὲ καὶ τό, « Προσλαμβάνεσθε

(1) Ῥωμ. 13, 12. (2) Ἐφεσ. 5, 29. (3) Ῥωμ. 14, 1, 2. (4) Ὅρα Χρυσ. Θεοδώρ. Οἰκουμ. Θεοφυλ. Αὐτ.

» μὴ εἰς διακρίσεις διαλογισμῶν », ἐφανέρωσεν, ὅτι τόσον ἀσθενεῖς ἦσαν, ὥστε χρείαν εἶχον περιποιήσεως καὶ ἐπιμελείας, ἀνάγκη δὲ ἦν, ἵνα οἱ τελειότεροι μὴ ταράττωνται, κἂν οἱ διακριτικοὶ διαλογισμοὶ ἔπειθον αὐτούς, ὅτι οὐ καλῶς ποιοῦσι, φυλάττοντες τὰς ἰουδαϊκὰς συνηθείας. Ἔστι δὲ τὸ νόημα τῶν προκειμένων ἀποστολικῶν λόγων τοιοῦτον. Οὗτος μὲν μεταξὺ ἡμῶν, ὦ Ῥωμαῖοι, ἔχων τελείαν τὴν εἰς Χριστὸν πίστιν, καὶ ἑπομένως μὴ φυλάττων τὰ νομικὰ παρατηρήματα, πείθεται, ὅτι ἔχει ἄδειαν, ἵνα τρώγῃ πάντα τὰ πρὸς τροφήν· ἐκεῖνος δὲ ἀτελὴς ὢν εἰς τὴν εἰς Χριστὸν πίστιν, φυλάττει τὰ τοῦ μωσαϊκοῦ νόμου ἔθιμα, ἵνα δὲ μὴ φανῇ ἰουδαΐζων διὰ τῆς ἀποχῆς τῶν ὑπ' αὐτοῦ τοῦ νόμου ἀπηγορευμένων βρωμάτων, στέργει τρέφεσθαι διὰ μόνων τῶν λαχάνων. Ὑμεῖς οὖν οἱ τελειότεροι εἰς τὴν πίστιν μὴ σκανδαλίζεσθε, ὑπὸ τῆς διακρίσεως τῶν λογισμῶν ὑμῶν ταραττόμενοι, ἀλλὰ προσλαμβάνετε καὶ περιποιεῖσθε τὸν ἀσθενῆ εἰς τὴν πίστιν, ὅπως ἂν ἐπιστηριχθῇ εἰς αὐτήν, καὶ τέλειος κατασταθῇ.

*Ὁ ἐσθίων, τὸν μὴ ἐσθίοντα μὴ ἐξουθενείτω· καὶ ὁ μὴ ἐσθίων, τὸν ἐσθίοντα μὴ κρινέτω· ὁ Θεὸς γὰρ αὐτὸν προσελάβετο* (1).

Ἀκούεις, ἕως ποῦ προεχώρησεν ἡ ὑπόθεσις; ὅστις ἔτρωγε πάντα τὰ πρὸς τροφήν, ἐκεῖνος ἐξευτέλιζε τὸν μὴ σιτιζόμενον ἐκ πάντων· ὁ δὲ μηδὲν ἄλλο ἐσθίων, εἰμὴ λάχανα, κατέκρινε τὸν ἐσθίοντα ἐκ πάντων· ἐκ τούτου δὲ τί ἄλλο ἠκολούθει μεταξὺ ἐκείνων τῶν νεοφωτίστων χριστιανῶν, εἰ μὴ πίστεως ψυχρότης, καὶ ἀγάπης στέρησις, καὶ διχόνοιαι καὶ σκάνδαλα; κἂν οὖν οἱ ἀπέχοντες ἀπὸ τῶν τροφῶν οὐ καλῶς ἐποίουν, καθότι ἰουδάϊζον, ἐπειδὴ ὅμως τὸ ἔργον αὐτὸ καθ' ἑαυτὸ καλὸν ἦν, ἤγουν ἐγκράτεια καὶ νηστεία, ἔπραττον δὲ τοῦτο ἐξ εὐλαβείας, νομίζοντες, ὅτι ἀρεστόν ἐστιν εἰς τὸν Θεόν, διὰ τοῦτο ὁ Παῦλος συγκαταβατικῶς καὶ οἰκονομικῶς, ἵνα παύσῃ τὰ σκάνδαλα, καὶ τὰ ἐκ τούτων ἐπακολουθοῦντα ἁμαρτήματα, ἔθηκεν ὅρους καὶ εἰς τοὺς ἐσθίοντας ἐκ πάντων, καὶ εἰς τοὺς μὴ ἐσθίοντας, εἰ μὴ λάχανα· ὅστις τρώγει, λέγει, ἐκ πάντων, ἐκεῖνος μὴ ἐξευτελιζέτω ὡς ὀλιγόπιστον καὶ ἰουδαΐζοντα τὸν μὴ ἐσθίοντα ἐκ πάντων· ὁμοίως καὶ ὁ μὴ ἐσθίων μὴ κατακρινέτω ὡς λαίμαργον καὶ πολυφάγον τὸν ἐσθίοντα· μηδὲ σὺ ὁ ἔχων τελείαν πίστιν, ἐξευτέλιζε, μηδὲ σὺ ὁ ἀσθενὴς τῇ πίστει, κατάκρινε τὸν ἀδελφόν σου· διότι ὁ Θεὸς αὐτὸν προσελάβετο, ἤγουν ὁ Θεὸς εἰσήγαγεν αὐτὸν εἰς τὴν ἐκκλησίαν αὐτοῦ, ἀγοράσας αὐτὸν διὰ τοῦ ἰδίου αἵματος, καὶ ποιήσας αὐτὸν υἱὸν αὐτοῦ διὰ τοῦ θείου βαπτίσματος· διὰ τί οὖν σὺ οὐχ ὑποφέρεις αὐτόν;

*Σὺ τίς εἶ ὁ κρίνων ἀλλότριον οἰκέτην; τῷ ἰδίῳ κυρίῳ στήκει, ἢ πίπτει· σταθήσεται δέ· δυνατὸς γάρ ἐστιν ὁ Θεὸς στῆσαι αὐτόν* (2).

Ποῖος εἶ σύ, λέγει, ὅστις κρίνεις τὸν ξένον δοῦλον; αὐτός, ὃν σὺ κρίνων ἐξουδενεῖς, ἢ κατακρίνεις, οὐκ ἔστι δοῦλός σου, ἀλλὰ τοῦ Θεοῦ δοῦλος· αὐτὸς εἴτε ἵσταται στερεὸς εἰς τὴν πίστιν καὶ εἰς τὴν ἀρετήν, εἴτε

(1) Ῥωμ. 14, 3. (2) Αὐτ. 14, 4.



πίπτει εἰς τὴν ὀλιγοπιστίαν καὶ κακίαν, ὁ ἴδιος δεσπότης αὐτοῦ, ὁ Θεός, ἐξουσίαν ἔχει κρῖναι αὐτόν· καὶ ἡ στάσις καὶ ἡ πτῶσις αὐτοῦ πρὸς τὸν δεσπότην αὐτοῦ ἀναφέρεται. Βλέπε δέ, πῶς εἰπὼν τό, «Πίπτει», ἵνα μὴ ἀπελπίσῃ τοὺς πεπτωκότας, σπείρει εὐθὺς εἰς τὰς καρδίας αὐτῶν τῆς διορθώσεως τὴν ἐλπίδα, προβάλλων τοῦ Θεοῦ τὴν δύναμιν· «Σταθήσεται δέ», λέγει, ἀλλὰ πόθεν, καὶ τίς ὁ δυνάμενος αὐτὸν στῆσαι; «Δυνατὸς γὰρ ὁ Θεὸς στῆσαι αὐτόν».

# ΟΜΙΛΙΑ

ΜΕΤΑ ΤΗΝ ΠΡΟΣ

## ΡΩΜΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

### ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗ: ΛΣΤ'. ΚΥΡΙΑΚΗ: ΤΗΣ ΤΥΡΟΦΑΓΟΥ.

ΠΡΟ πολλῶν αἰώνων χάριτι Θεοῦ ἐξέλιπον ἐκ μέσου τῶν χριστιανῶν οἱ ἰουδαΐζοντες, ἤγουν ἐκεῖνοι, οἵτινες ἐπίστευον μὲν εἰς τὸν Ἰησοῦν Χριστόν, ἐνόμιζον δέ, ὅτι οὐ δύνανται σωθῆναι, ἐὰν μὴ φυλάξωσι τοῦ μωσαϊκοῦ νόμου τὰ παρατηρήματα· ἐξέλιπον παντελῶς ἐκεῖνοι, οἵτινες ἔστεργον τρέφεσθαι διὰ μόνων λαχάνων, ἵνα μὴ ἢ κατὰ παραδρομήν, ἢ κατ' ἀνάγκην φάγωσι τὰ ὑπὸ τῆς ἰουδαϊκῆς νομοθεσίας ἀπηγορευμένα· ἑπομένως ἐξέλιπον καὶ ὅσοι ὠνείδιζον αὐτοὺς ὡς ὀλιγοπίστους καὶ ἰουδαΐζοντας· βλέπομεν ὅμως εἰς τοὺς παρόντας καιρούς, ὅτι ἐν ταῖς ἡμέραις τῶν νηστειῶν πολλοὶ μὲν τῶν χριστιανῶν νηϛεύουσι, τινὲς δὲ καταλύουσι τὴν νηϛείαν· ἆρά γε οὖν ἁρμόζει, ἵνα προβάλλωμεν εἰς αὐτοὺς τὴν ἀποστολικὴν νομοθεσίαν, παραγγέλλοντες καὶ λέγοντες· χριστιανοί, ὅστις ἐξ ἡμῶν οὐ νηστεύει, μὴ ἐξευτελιζέτω τὸν νηστεύοντα; καὶ ὅϛις νηστεύει, μὴ κατακρινέτω τὸν μὴ νηστεύοντα; ἆρά γε συμφέρει, ἵνα καὶ ἡμεῖς εἴπωμεν μετὰ τοῦ Ἀποστόλου· « Ὁ ἐσθίων, » τὸν μὴ ἐσθίοντα μὴ ἐξουθενείτω· καὶ ὁ μὴ » ἐσθίων, τὸν ἐσθίοντα μὴ κρινέτω; » (1) Κἂν ἐξέλιπον ἐκ τῆς τῶν χριστιανῶν ὁμηγύρεως οἱ ἰουδαΐζοντες, ὅμως καὶ ἐν ταύταις ταῖς ἡμέραις πολλὰ ἁρμόδιον καὶ ὠφέλιμόν ἐστι τοῦτο τὸ ἀποστολικὸν παράγγελμα· πρῶτον μέν, ἐπειδὴ ἄχρι τῆς σήμερον οἱ μὴ νηστεύοντες, ἐξουδενοῦσι τοὺς νηστευτὰς ὡς ὑποκριτὰς καὶ δεισιδαίμονας· οἱ δὲ νηστευταὶ κατακρίνουσι τοὺς καταλυτὰς τῆς νηστείας ὡς κοιλιοδούλους καὶ παρανόμους· δεύτερον δέ, ἐπειδὴ τόσον ἠπλώθη καὶ ἐπολυπλασιάσθη ἡ ἁμαρτία τῆς κατακρίσεως, ὥστε οὐ μόνον οἱ νηστεύοντες καὶ μὴ νηστεύοντες κατακρίνουσιν ἀλλήλους, ἀλλὰ πάντες εἰς πάντα καιρόν, καὶ τόπον, καὶ περίϛασιν χωρίς τινος συστολῆς

(1) Ῥωμ. 14, 3.

ἢ ἐλέγχου συνειδήσεως κατακρίνουσι τοὺς ἀδελφοὺς διὰ πᾶσαν ὑπόθεσιν.

Πόθεν δὲ ἆρά γε τόσον εὐκόλως πίπτομεν εἰς τὴν ἁμαρτίαν τῆς κατακρίσεως; διὰ τί καὶ εἰς τὰς ἡμέρας τῆς νηστείας, ἤγουν τῆς μετανοίας καὶ διορθώσεως τῶν ἁμαρτιῶν ἡμῶν, ὡς μάχαιραν δίστομον ἀκονῶμεν τὴν γλῶσσαν κατὰ τῶν ἀδελφῶν; διὰ τί καθὼς ἐγκρατεύεται τὸ στόμα ἀπὸ τῶν τροφῶν, οὐκ ἀπέχει καὶ ἡ γλῶσσα ἀπὸ τῆς κατακρίσεως; διότι ἡ κοινὴ τῆς κατακρίσεως συνήθεια ἔσβεσε τὸν ὑπὲρ αὐτῆς ἔλεγχον· ἐκ τούτου νομίζοντες, ὅτι ἡ κατάκρισις ἢ οὐκ ἔστιν ὅλως ἁμαρτία, ἢ ἐστὶ τόσον μικρά, ὥστε ὡς οὐδὲν λογίζεται αὐτὴν ὁ Θεός, πᾶσαν ὥραν κατακρίνομεν τοὺς ἀδελφοὺς ἀνυποστόλως. Ἐάν τις ἠδύνατο ἐξυπνίσαι τὴν συνείδησιν ἀπὸ τοῦ ὀλεθρίου ὕπνου ταύτης τῆς ἁμαρτίας, αὐτὴ ἐλέγχουσα, ἴσως ἐτίθει φυλακὴν εἰς τὸ στόμα, καὶ θύραν περιοχῆς περὶ τὰ χείλη ἡμῶν, καὶ οὕτως ἔπαυεν ἡ κατάκρισις· ἀλλὰ τίς ἄλλος δύναται ἀναστῆσαι τὴν συνείδησιν ἀπὸ τῆς ἀναισθησίας αὐτῆς, εἰμὴ ὁ λόγος τοῦ Θεοῦ; δὸς οὖν, Κύριε, τὸν λόγον σου ἐν τῷ στόματί μου, ἵνα αὐτὸς κλείσῃ τῶν καταλάλων τὰ στόματα, παραστήσας εἰς αὐτοὺς τῆς κατακρίσεως τὸ βάρος.

Ἀγαπητοί μου ἀδελφοί, ἀνάγκη ἐστίν, ἵνα περὶ τῆς κατακρίσεως φανερώσω εἰς ὑμᾶς σύντομα καὶ καθαρὰ πᾶσαν τοῦ Θεοῦ τὴν ἀλήθειαν. Ἡ κατάκρισίς ἐστιν ἀδικία καὶ ἀνομία μεγάλη· ἀδικία; ναὶ ἀδικία. Ἀλλὰ ποῖον λέγεις, ἀδικῶ ἐγώ, ὅταν κατακρίνω; τὸν κατακρινόμενον ἀδικεῖς· ἀλλ' ἐγώ, λέγεις, οὐδὲ τὰ ὑπάρχοντα αὐτοῦ σφετερίζομαι; οὐδὲ τοῦ ἀξιώματος αὐτοῦ ὑστερῶ αὐτόν, οὐδὲ ἄλλην τινὰ ζημίαν εἰς αὐτὸν ἐπιφέρω. Πίπτει λόγος εἰς τὴν συνομιλίαν περί τινος προσώπου, ἐγὼ δὲ ἱστορῶ μὲν καὶ περιγράφω τὰ ἐλαττώματα αὐτοῦ, πλὴν οὐ ψεύδομαι, ἀλλὰ λέγω τὴν ἀλήθειαν, οὐδὲ ἔχω σκοπὸν βλάψαι αὐτόν, μάλιστα πολλάκις λυπούμενος, διηγοῦμαί τι περὶ τῆς τούτου καταστάσεως· τοῦτο οὖν ἐστιν ἀδικία; Ὅταν ἱστορῇς καὶ περιγράφῃς τοῦ ἀδελφοῦ σου τὰ σφάλματα, κἂν τὴν ἀλήθειαν λέγῃς, κἂν οὐκ ἔχεις σκοπὸν βλάψαι αὐτόν, κἂν λυπῆσαι περὶ τῆς τούτου καταστάσεως· τότε χωρὶς πάσης ἀντιλογίας μεγάλην προξενεῖς εἰς αὐτὸν τὴν ζημίαν· διότι ἢ γνωστά εἰσιν εἰς τοὺς ἀκροατάς σου τοῦ ὑπὸ σοῦ κατακρινομένου τὰ ἁμαρτήματα, ἢ ἄγνωστα· ἐὰν μὲν γνωστά, ἀναμιμνήσκεις αὐτὰ εἰς αὐτοὺς καὶ ἐπιβεβαιοῖς· ἐὰν δὲ ἄγνωστα, μανθάνουσιν αὐτὰ ὑπὸ τῆς μαρτυρίας τοῦ στόματός σου· τοῦτο δὲ φθείρει τὴν καλὴν ὑπόληψιν καὶ τὸ καλὸν ὄνομα τοῦ ἀδελφοῦ σου· τὸ δὲ καλὸν ὄνομά ἐστι προτιμότερον τοῦ πολλοῦ πλούτου· «Ἔστι δέ, εἶπεν ὁ σοφὸς Σολομών, » αἱρετώτερον ὄνομα καλόν, ἢ πλοῦτος πο- » λύς » (1)· ἀληθῶς δὲ θησαυρὸς ἀτίμητός ἐστι τὸ καλὸν ὄνομα· ὅστις ἔχει καλὴν φήμην καὶ ὑπόληψιν, εὐκόλως εὐοδοῦται εἰς τὰς πραγματείας, προβιβάζεται εἰς τὰ ἀξιώματα, ἐμπιστεύεται εἰς τὰ βασιλικὰ ὑπουργήματα, προχωρεῖ εἰς πᾶσαν ὑπόθεσιν· τὸν δὲ δυσφημισμένον ἄνθρωπον ἀποστρέφονται πάντες, πάντες καὶ εἰς τὰ λόγια αὐτοῦ ὑποπτεύουσι καὶ εἰς τὰς ὑποσχέσεις, καὶ οὐδὲ εἰς αὐτοὺς τοὺς ὅρκους αὐτοῦ πιστεύουσι. Ταύτην οὖν τὴν ἀδικίαν ποιεῖς εἰς τὸν πλησίον σου, ὅταν αὐτὸν κατακρίνῃς· ἐξαλείφεις τὸ καλὸν αὐτοῦ ὄνομα, καὶ ποιεῖς αὐτὸν ὕποπτον, καὶ μισητόν, καὶ ἄτιμον· καὶ σὺ μὲν ταῦτα ποιῶν, νομίζεις, ὅτι οὐδόλως ἀδικεῖς αὐτόν, οὐδὲ ἁματάνεις· ὁ δὲ δικαιότατος Θεὸς ἐλέγχει ταύτην τὴν ἀδικίαν, καὶ φοβερίζει σε ὑπὲρ ταύτης τῆς ἁμαρτίας σου, λέγων· « Τὸ στόμα σου, ὦ » κατάλαλε, ἐπλεόνασε κακίαν, καὶ ἡ γλῶσ- » σά σου περιέπλεκε δολιότητα· καθήμε- » νος, κατὰ τοῦ ἀδελφοῦ σου κατελάλεις, » καὶ κατὰ τοῦ υἱοῦ τῆς μητρός σου ἐτίθεις » σκάνδαλον » (1)· ταῦτα ἔπραξας, ἐγὼ δὲ ἐσιώπησα· « Ταῦτα ἐποίησας, καὶ ἐσί- » γησα » (2)· καὶ σὺ μέν, ἐπειδὴ ἐσιώπησα, ἐστοχάσθης ἀνομίαν, ἤγουν ἐνόμισας, ὅτι εἰμὶ ὅμοιός σοι κακότροπος· « Ὑπέλαβες ἀνομίαν, ὅτι ἔσομαί σοι ὅμοιος »· ἐγὼ ὅμως ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως ἐλέγξω σε, καὶ παραστήσω τὰς ἁμαρτίας σου ἐνώπιον τοῦ προσώπου σου· Ἐλέγξω σε, καὶ παρα- » στήσω κατὰ πρόσωπόν σου τὰς ἁμαρ- » τίας σου ».

(1) Παροιμ. 22, 1.



Σημειώσατε δέ, ὅτι ἡ ἀδικία τῆς κατακρίσεως εἰς αὐτὸν ἀναφέρεται τὸν τῶν ἁπάντων Θεόν· διότι ὁ Θεός ἐστιν ὁ ποιητὴς καὶ πλάστης ἡμῶν· « Αἱ χεῖρές σου » ἐποίησάν με καὶ ἔπλασάν με » (3), ἔψαλλεν ὁ Δαβίδ. Αὐτός ἐστιν ὁ κριτής, καὶ ἐξουσιαστής, καὶ βασιλεύς, καὶ σωτὴρ ἡμῶν· « Ὁ γὰρ Θεός μου, ἐκήρυττεν ὁ Ἡσαΐας, » μέγας ἐστίν· οὐ παρελεύσεταί με Κύριος » κριτὴς ἡμῶν· Κύριος ἄρχων ἡμῶν, Κύ- » ριος βασιλεὺς ἡμῶν, Κύριος οὗτος ἡμᾶς » σώσει » (4). Ἀκούετε, πόσα δικαιώματα ἔχει ὁ Θεὸς ἐφ' ἡμᾶς; ἀκούετε πόσα συνδέουσι τὸν Θεὸν μετὰ τοῦ ἀνθρώπου; διὰ τοῦτο αὐτὸς εἶπεν· «Ἀμὴν λέγω ὑμῖν, ἐφ' ὅ- » σον ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν » μου τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε » (5). Ὅταν οὖν κατακρίνωμεν τὸν ἄνθρωπον, κατακρίνομεν τὸν πλάστην, καὶ κριτήν, καὶ ἐξουσιαστήν, καὶ βασιλέα, καὶ σωτῆρα τοῦ ἀνθρώπου· αὐτὸν δηλονότι κατακρίνομεν τὸν παντοδύναμον καὶ πάνσοφον καὶ πανυπερτέλειον δημιουργὸν τῆς κτίσεως. Ἄνθρωπε, σὺ οὐκ ἔχεις ἐξουσίαν κρῖναι τὸν δοῦλον ἑνὸς βασιλέως, ἑνὸς ἡγεμόνος, ἑνὸς ἄρχοντος, ἔπειτα αὐθαδιάζων, κρίνεις, καὶ ἀνακρίνεις, καὶ κατακρίνεις τὸν δοῦλον τοῦ ἄρχοντος τῶν ἀρχόντων, καὶ βασιλέως τῶν βασιλευόντων, τοῦ ὑψίστου καὶ παντοκράτορος Θεοῦ; «Σύ, » τίς εἶ, κραυγάζει κατὰ σοῦ ὁ Παῦλος, ὁ » κρίνων ἀλλότριον οἰκέτην; » (6) Σὺ τίς εἶ; πηλός, χῶμα, σκώληξ; Πῶς οὖν μετὰ τοσαύτης τόλμης κρίνεις τὸν ἀλλότριον οἰκέτην, ἤγουν τοῦ Θεοῦ τοῦ Ὑψίστου τὸν δοῦλον; Σὺ τίς εἶ; πλήρης ἐλαττωμάτων, πλήρης παθῶν, πλήρης ἁμαρτιῶν· πῶς οὖν μετὰ τοσαύτης αὐθαδείας κατακρίνεις ὡς πταίστην, καὶ παραβάτην, καὶ ἁμαρτωλὸν τὸν ἄνθρωπον, ὅστις ἐστὶ πλάσμα Θεοῦ, ὅστις ἔχει κριτὴν καὶ ἐξουσιαστήν, καὶ βασιλέα τὸν Ὕψιστον Θεόν; « Σὺ τίς εἶ ὁ κρίνων » ἀλλότριον οἰκέτην; » ἆρά γε οὐκ ἔμαθες, ὅτι πᾶς ἄνθρωπος σήμερον μὲν πίπτει εἰς τὴν ἁμαρτίαν, αὔριον δέ, ἢ κατὰ τὴν αὐτὴν ἡμέραν, ἐὰν θέλῃ μετανοεῖ, καὶ ἵσταται ἐνώπιον τοῦ Κυρίου αὐτοῦ δεδικαιωμένος; οὐκ ἐδιδάχθης, ὅτι ὁ Θεὸς δύναται ἀναστῆσαι τὸν πεπτωκότα, καὶ δικαιῶσαι τὸν ἁμαρτωλόν, καὶ σῶσαι τὸν ἀπηλπισμένον; οὐκ ἀκούεις τὸν Παῦλον διδάσκοντα, καὶ λέγοντα, ὅτι πᾶς ἄνθρωπος « Τῷ ἰδίῳ Κυ- » ρίῳ στήκει, ἢ πίπτει· σταθήσεται δέ,

(1) Ψαλ. 49, 19, 20. (2) Αὐτ. 21. (3) Ψαλ. 118, 73. (4) Ησ. 33, 22. (5) Ματθ. 25, 40.
(6) Ῥωμ. 14, 4.

» δυνατός γάρ ἐστιν ὁ Θεός στῆσαι αὐτόν » (1). Ἐὰν οὖν ἐκεῖνος, ὃν σὺ εἶδες τὴν χθές, ἢ τὴν σήμερον ἁμαρτάνοντα, μετενόησεν εὐθύς, ἐκεῖνος ἠθωώθη, καὶ ἵσαται ἐνώπιον τοῦ Κυρίου αὐτοῦ δεδικαιωμένος· « Δυνατὸς γάρ ἐστιν ὁ Θεός στῆσαι αὐτόν »· σὺ δὲ κατακρίνεις τὸν ἀθῶον ὡς πταίστην, τὸν ἱστάμενον ὡς πεπτωκότα, καὶ τὸν δίκαιον ὡς ἁμαρτωλόν. Ὦ πόσον μεγάλη καὶ φοβερὰ ἀδικία ἐστί, τῆς κατακρίσεως ἡ ἁμαρτία.

Ἀνοίγω τὸ ἅγιον τοῦ Ἰησοῦ Χριστοῦ Εὐαγγέλιον, παρακαλῶ δὲ ὑμᾶς, ἵνα μετὰ προσοχῆς ἀκούσητε τῆς δικαιοσύνης τὸν νόμον· «Καὶ καθὼς θέλετε, λέγει, ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς ὁμοίως » (2). Πάντες οὐ μόνον οἱ πιστοί, ἀλλὰ καὶ οἱ ἄπιστοι μαρτυροῦσιν, ὅτι ὁ νόμος οὗτός ἐστι δικαιότατος· ὅστις οὖν παραβαίνει τοῦτον τὸν νόμον, ἐκεῖνος ἀναμφιβόλως ποιεῖ ἀδικίαν· τί οὖν λέγεις; θέλεις ἆρά γε, ἵνα ὁ πλησίον σου κατηγορῇ τὰ ἤθη σου, καὶ κατακρίνῃ τὰς πράξεις σου; στέργεις ἆρά γε, ἵνα αὐτὸς λέγῃ παῤῥησίᾳ ἐν μέσῳ τῶν συναναστροφῶν, ὅτι ὑπάρχει ἄσωτος, ἢ ψεύστης, ἢ φθονερός, ἢ δόλιος, ἢ ἄλλο τι τοιοῦτον; οὐδαμῶς· ἐκ τούτου οὖν φανερόν ἐστιν, ὅτι, ὅταν ἀνοίγῃς τὸ στόμα σου, καὶ πλέκῃς πᾶσαν κατηγορίαν κατ' αὐτοῦ, τότε παραβαίνεις τῆς δικαιοσύνης τὸν νόμον τουτέστι ποιεῖς ἀδικίαν.

Μικρὰν ἁμαρτίαν λογίζονται οἱ ἄνθρωποι τὴν κατάκρισιν, καὶ ὅμως αὐτή ἐστι παράβασις πάντων τῶν εὐαγγελικῶν νόμων· ἀλλὰ πῶς τοῦτο ἀποδεικνύεται; πολλὰ εὐκόλως· διότι ὁ νόμος τῆς ἀγάπης περιέχει πάντας τοὺς νόμους· « Ἐν ταύταις ταῖς δυσὶν ἐντολαῖς ὅλος ὁ νόμος καὶ οἱ προφῆται κρέμανται » (3)· ἐὰν οὖν ἔχω εἰς τὴν καρδίαν μου τὴν ἀρετὴν τῆς ἀγάπης, φύλαξ γίνομαι καὶ πληρωτὴς τοῦ θείου νόμου· «Πλήρωμα οὖν νόμου ἡ ἀγάπη» (4)· ἑπομένως, ὅταν οὐκ ἔχω τὴν ἀγάπην, τότε παραβάτης εἰμὶ πάντων τῶν τοῦ Θεοῦ νόμων. Κἂν πάσας τὰς ἄλλας ἀρετὰς κατορθώσω, κἂν ἀξιωθῶ πάντων τῶν χαρισμάτων, «Ἀγάπην δὲ μὴ ἔχω, οὐδέν εἰμι. Ἀγάπην δὲ μὴ ἔχω, οὐδὲν ὠφελοῦμαι » (5). Εἴπατε οὖν, τίς ἀγαπᾷ καὶ κατηγορεῖ; τίς ἀγαπᾷ καὶ κατακρίνει; οὐδείς· ὅςις ἀγαπᾷ, ἐκεῖνος ἐπαινεῖ· ὅςις ἀγαπᾷ, ἐκεῖνος δικαιολογεῖ καὶ ὑπερασπίζεται· ὅστις δὲ μισεῖ καὶ ἐχθρεύεται, ἐκεῖνος καταλαλεῖ, καὶ κατακρίνει· ὅστις οὐδεμίαν ἀγάπην ἔχει πρὸς τὸν πλησίον αὐτοῦ, ἐκεῖνος αὐτὸν κακολογεῖ. Οἱ κατάλαλοι οὖν εἰσι γυμνοὶ τῆς ἀγάπης· ὅςις οὖν κατακρίνει τὸν ἀδελφὸν αὐτοῦ, ἐκεῖνος παραβαίνει πάντας τοὺς θείους νόμους· διότι «Ἐν ταύταις ταῖς δυσὶν ἐντολαῖς, ἤγουν ἐν ταῖς ἐντολαῖς τῆς ἀγάπης, ὅλος ὁ νόμος καὶ οἱ προφῆται κρέμανται ». Ἀκούετε, πόσον μεγάλη ἐστὶν ἡ ἁμαρτία τῆς κατακρίσεως;

Ἀκούσατε ὅμως καὶ τὸ ἔτι περισσότερον. Ἀληθῶς οὐδεμίαν ἁμαρτίαν ἐξαλείφει ἡ πρόφασις· διότι πρέπον ἐστίν, ἵνα ὁ Θεὸς προτιμᾶται πάντων τῶν ἐν κόσμῳ πραγμάτων, καὶ παντὸς τοῦ κόσμου, καὶ αὐτῆς τῆς ἰδίας ἡμῶν ζωῆς· πλὴν ἡ νόμιμος ἀπολογία, κἂν οὐκ ἐξαλείφῃ τὴν ἁμαρτίαν, σμικρύνει ὅμως τὸ βάρος αὐτῆς, καὶ τὴν δι' αὐτὴν ὡρισμένην παίδευσιν· ἐὰν ἡμεῖς ἤμεθα ἀναμάρτητοι, εἴχομέν τινα πρόφα-

(1) Ῥωμ. 14, 4. (2) Λουκ. 6, 31. (3) Ματθ. 22, 40. (4) Ῥωμ. 13, 10. (5) Α'. Κορ. 13, 2, 3.



σιν καὶ ἀπολογίαν, ὅταν κατακρίνωμεν τοὺς ἀδελφοὺς διὰ τὰ ἑαυτῶν ἁμαρτήματα· « Ὁ ἀναμάρτητος ὑμῶν, εἶπεν ὁ Κύριος πρὸς τοὺς κατακρίνοντας τὴν ἁμαρτωλὸν γυναῖκα, πρῶτος τὸν λίθον ἐπ' αὐτῆς βαλέτω » (1)· ἀλλὰ τίς ἐστιν ὁ ἀναμάρτητος; ἀλλ' οὐδείς, « Ἐὰν καὶ μία ἡμέρα ὁ βίος αὐτοῦ ἐπὶ τῆς γῆς· σειραῖς δὲ τῶν ἑαυτοῦ ἁμαρτημάτων ἕκαστος σφίγγεται » (2). Ἐκ τούτου πρεπόντως ὁ θεοφόρος Ἀπόστολος ἀπεφάσισεν, ὅτι ἡ κατάκρισις ἁρπάζει ἀπὸ τοῦ στόματος ἡμῶν πάντα λόγον, καὶ ἀπολογίαν, καὶ πρόφασιν, καὶ ποιεῖ ἡμᾶς ἀναπολογήτους· «Διὸ ἀναπολόγητος εἶ, λέγει, ὦ ἄνθρωπε, πᾶς ὁ κρίνων » (3)· ἀλλὰ διὰ τί τοῦτο; διότι ὅταν κρίνω τὸν ἄλλον, κατακρίνω ἐμαυτόν, καθότι καὶ ἐγώ, ὁ κρίνων τὸν ἄλλον, πράττω τὰ αὐτά· « Ἐν ᾧ γὰρ κρίνεις τὸν ἕτερον, σεαυτὸν κατακρίνεις· τὰ γὰρ αὐτὰ πράσσεις ὁ κρίνων ». Παραδείγματος χάριν, ἐγώ, ὅστις κυριεύομαι ὑπὸ τοῦ θυμοῦ, καὶ κραυγάζω, καὶ ὑβρίζω, καὶ δέρω, κατακρίνω τὸν ἀδελφόν μου ὡς θυμώδη, καὶ λέγω, ὅτι ἐστὶν ἄξιος κατακρίσεως καὶ καταδίκης διὰ τὸν ἀκράτητον αὐτοῦ θυμόν· ταῦτα δὲ λέγων, κατακρίνω καὶ ἐμαυτόν, καὶ ἀποφασίζω ὅτι πρέπει μοι παιδεία διὰ τὸν ἀκαταδάμαστον θυμόν μου καὶ καταδίκη· διὸ γίνομαι αὐτοκατάκριτος καὶ ἀναπολόγητος· « Διὸ ἀναπολόγητος εἶ, ὦ ἄνθρωπε, πᾶς ὁ κρίνων· ἐν ᾧ γὰρ κρίνεις τὸν ἕτερον, σεαυτὸν κατακρίνεις· τὰ γὰρ αὐτὰ πράσσεις ὁ κρίνων ».

Μεγάλη δὲ τῶν ἀνθρώπων ἡ παραλογία καὶ ἡ πλάνη· ὁ Θεὸς ὁ Ὕψιστος φανερῶς καὶ ἐκπεφασμένως ἐνομοθέτησεν. ἵνα μὴ κατακρίνωμεν ἀλλήλους· ὥρισε δὲ διὰ μὲν τοὺς ἀπέχοντας ἀπὸ τῆς κατακρίσεως βραβεῖον, κατὰ δὲ τῶν καταλάλων, τιμωρίαν ἀνάλογον εἰς τὴν κατάκρισιν· « Μὴ κρίνετε, εἶπεν, οὗτός ἐστιν ὁ νόμος, ἵνα μὴ κριθῆτε » (4)· τοῦτό ἐστι τὸ βραβεῖον· « ἐν ᾧ γὰρ κρίματι κρίνετε, κριθήσεσθε, καὶ ἐν ᾧ μέτρῳ μετρεῖτε, ἀντιμετρηθήσεται ὑμῖν »· τοῦτό ἐστιν ἡ τιμωρία· ὁ νόμος φανερὸς καὶ πασίδηλος· « Μὴ κρίνετε »· Ἡ ἀνταπόδοσις μεγάλη καὶ σωτήριος, ἀπαλλαγή ἐστι τῆς φοβερᾶς τοῦ Θεοῦ κατακρίσεως· « Ἵνα μὴ κριθῆτε»· μὴ κατακρίνῃς, λέγει, ὦ ἄνθρωπε, τὸν πλησίον σου, ἵνα μή σε κατακρίνῃ ὁ Θεός· ἡ τιμωρία φρικτή· κατάκρισίς ἐστι Θεοῦ· « Ἐν ᾧ γὰρ κρίματι κρίνετε, κριθήσεσθε »· καθὼς σὺ κατακρίνεις τὸν ἀδελφόν σου, οὕτω κατακρίνει σε ὁ Θεός· « Καὶ ἐν ᾧ μέτρῳ μετρεῖτε, ἀντιμετρηθήσεται ὑμῖν», καὶ κατὰ τὸ μέτρον τῆς καταλαλιᾶς σου μετρεῖ ὁ Θεὸς τὴν τιμωρίαν σου. Μετὰ δὲ ταῦτα συλλογίζονται οἱ ἄνθρωποι, ὅτι ἡ κατάκρισις οὐκ ἔστι νόμου παράβασις, οὐδὲ ὅτι περιμένει τιμωρία τοὺς καταλάλους· μετὰ ταῦτα κάθηνται οἱ ἄνθρωποι ὅλην τὴν ἡμέραν, καὶ καταλαλοῦσι κατὰ τῶν ἀδελφῶν αὐτῶν, καὶ τίθενται σκάνδαλον κατὰ τῶν υἱῶν τῆς μητρὸς αὐτῶν χωρὶς οὐδενὸς ἐλέγχου συνειδήσεως· μετὰ ταῦτα οὐδέποτε οὐδὲ μετανοοῦσιν, οὐδὲ ἐξομολογοῦνται ταύτην τὴν ἁμαρτίαν· ποία ἄλλη παραλογία ταύτης παραλογωτέρα, ἢ ποία ἄλλη πλάνη ταύτης ἀπατηλοτέρα;

Ἀλλ' ἡ κατάκρισις, λέγεις, γίνεται χαλινὸς τῆς ἁμαρτίας· διότι πολλοὶ φοβούμενοι τοῦ κόσμου τὴν κατηγορίαν, ἐγκρατεύ-

(1) Ἰωάν. 8, 7. (2) Ἰὼβ 14, 4, 5. Παριμ. 5, 22. (3) Ῥωμ. 2, 1. (4) Ματθ. 7, 1.

ονται ἀπό τῶν πονηρῶν πράξεων· τοῦτον οὖν τόν καρπόν καρποφορεῖ ἡ κατάκρισις· συστέλλει τούς ἀνθρώπους ἀπό τῆς πράξεως τῶν ἁμαρτημάτων· τοῦτο δέ ἐστιν ἔργον τῷ Θεῷ εὐπρόσδεκτον· ἀλλ' ὁ τοιοῦτος καρπός τῆς κατακρίσεώς σου ἐστὶ δυσώδης καὶ σαπρός· πρῶτον μέν, ἐπειδὴ θέλεις ἰατρεῦσαι τὸ κακόν διὰ τοῦ κακοῦ· ὅσοι δὲ ποιοῦσι τὰ κακά, ἵνα ἐξ αὐτῶν προέλθωσι τὰ ἀγαθά, ἐκείνων « Τό κρῖμα ἔνδικόν ἐ» στι » (1), λέγει ὁ θεῖος Ἀπόστολος· δεύτερον δέ, ἐπειδὴ οὐδὲν ἀγαθὸν προέρχεται ἐκ τῆς κατακρίσεως· διότι ὅστις ἀπέχει ἀπὸ τῆς ἁμαρτίας, οὐχὶ διὰ τὴν εἰς τὸν Θεὸν ὑπακοήν, ἀλλὰ διὰ τὸν φόβον τῆς κατηγορίας τοῦ κόσμου, ἐκεῖνός ἐστι φιλόδοξος καὶ ματαιόφρων, ἡ δὲ φιλοδοξία καὶ ἡ ματαιοφροσύνη οὐκ ἔστιν ἀρετή, ἀλλὰ κακία. «Ἕως πότε προφασιζόμεθα παραλόγους προφάσεις ἐν ἁμαρτίαις» (2); Τίς παῤῥησιάζει τοῦ ἀδελφοῦ αὐτοῦ τὰ ἁμαρτήματα, ἵνα ἐμποδίσῃ τοὺς ἄλλους ἀπὸ τῆς ἁμαρτίας; τίς καταξέει τοῦ ἀδελφοῦ αὐτοῦ τὰς πληγάς, ἵνα ποιήσῃ ἔργον ἀρεςὸν εἰς τὸν Θεόν; οὐδείς· ὁ κατάλαλος κατακρίνει τὸν πλησίον αὐτοῦ ἄλλοτε μὲν ὑπὸ τοῦ μίσους νικώμενος, ἄλλοτε δὲ ὑπὸ τοῦ φθόνου κυριευόμενος, καὶ ἄλλοτε ὑπὸ τῆς ὑπερηφανείας φυσώμενος· πολλάκις δὲ κατακρίνει, ἵνα ἀρεστὸς φανῇ εἰς τοὺς ἐχθροὺς τοῦ κατακρινομένου, ἢ τελευταῖον κατακρίνει, ὑπὸ τῆς κακῆς συνηθείας ἀνεπαισθήτως κινούμενος καὶ ἐφελκόμενος· συμβαίνει δὲ τοῦτο εἰς αὐτόν, ἐπειδὴ οὐδέποτε ἐφρόντισε χαλιναγωγῆσαι τὴν ἑαυτοῦ γλῶσσαν. Ἀδελφέ, ἐὰν ὁ ζῆλός σε κινῇ, ἵνα ἐμποδίσῃς τὴν ἁμαρτίαν, καὶ ἡ ἀγάπη σε ἀναγκάζῃ ἵνα ποιήσῃς ἔργον τῷ Θεῷ εὐάρεστον, ἄκουσον τῆς φωνῆς Κυρίου τοῦ Θεοῦ σου, ὅστις λέγει σοι· « Ὕπαγε, καὶ ἔλεγξον αὐτὸν μεταξὺ » σοῦ καὶ αὐτοῦ μόνου » (3). Ἀκούεις; οὐχὶ ἀπόντος ἐκείνου, ἀλλὰ παρόντος· οὐχὶ παῤῥησίᾳ εἰς τὰς συναναστροφὰς τῶν φίλων, καὶ εἰς τὰς ὁμηγύρεις τῶν ἀνθρώπων, ἀλλὰ μυστικὰ καὶ κρυφίως, « Μεταξὺ σοῦ καὶ » αὐτοῦ μόνου ». Νουθέτησον αὐτόν, καὶ ἔλεγξον τὴν ἁμαρτίαν αὐτοῦ, μάλιστα ἐὰν ἔχῃς τάξιν προεστῶτος καὶ διδασκάλου, ἐὰν ἔχῃς τὸ δικαίωμα τῆς συγγενείας ἢ τῆς φιλίας· τοῦτό ἐστι ζῆλος καὶ ἀγάπη, τοῦτο ἀγαθωσύνη καὶ εὐεργεσία, τοῦτο διόρθωσις τῆς ἁμαρτίας, τοῦτο θυσία εἰς τὸν Θεὸν εὐπρόσδεκτος· ὅταν δὲ ἀνακρίνῃς τὰ ἔργα τοῦ πλησίον σου, καὶ κακολογῇς καὶ κατακρίνῃς αὐτὸν ἔμπροσθεν τῶν ἀνθρώπων, οὐαί σοι τότε· τότε ἁρπάζεις τοῦ Θεοῦ τὸ δικαίωμα, καταπατεῖς τῆς δικαιοσύνης τοὺς ὅρους, περιφρονεῖς ὅλην τὴν εὐαγγελικὴν νομοθεσίαν· ὅθεν γίνεσαι ὑπόδικος αἰωνίου κατακρίσεως· « Οὐαὶ ἀπώλεια τῷ ἀδίκῳ, » καὶ ἀπαλλοτρίωσις τοῖς ποιοῦσιν ἀνο» μίαν » (4).

Κύριε Θεέ μου, σὺ ἔπλασας τὴν γλῶσσαν, σὺ ἐδημιούργησας τὰ χείλη, σὺ κατεσκεύασας τὸ στόμα, καὶ ἐποίησας αὐτὰ εὐκίνητα, εὔστροφα, λαλητικά· σύ, πάνσοφε καὶ παντοδύναμε, ἐφύτευσας ἐν αὐτοῖς τὴν δύναμιν τῆς φωνῆς, τῶν φθόγγων, τοῦ σχηματισμοῦ τοῦ λόγου, ἵνα διὰ τοῦ λόγου ὑμνολογῶμεν τὰ μεγαλεῖα τῆς θεότητός σου, κηρύττωμεν τῆς πίστεως τὴν ἀλήθειαν, διδάσκωμεν τοὺς θείους σου νόμους, νουθετῶμεν καὶ συμβουλεύωμεν ἀλλήλους, καὶ οὕτω γινώμεθα ἄξιοι τῆς ἐπουρανίου σου βασιλείας· ἡμεῖς δὲ οἱ πανάθλιοι ποιοῦμεν τὰ ὄργανα τῆς ἀρετῆς, ἐργαλεῖα τῆς κακίας, κινοῦντες αὐτὰ πρὸς κατηγορίαν καὶ κατάκρισιν τοῦ πλησίον. Ποία οὖν ἡ ἀπολογία ἡμῶν, ὅταν καθίσῃς κρῖναι ζῶντας καὶ νεκρούς; Ἀδελφοί, οὐδεμίαν ἔχομεν τότε ἀπολογίαν· διότι ὅστις κατακρίνει, ἐκεῖνος γίνεται ἀναπολόγητος· «Διὸ ἀναπολόγητος » εἶ, ὦ ἄνθρωπε, πᾶς ὁ κρίνων» (1)· οὐδεμίαν ἔχομεν ἀπολογίαν, ἐπειδὴ ὁ Θεὸς ἐφανέρωσεν εἰς ἡμᾶς τὴν κατὰ τῶν καταλάλων θείαν αὐτοῦ ἀπόφασιν· «Ἐν ᾧ γὰρ κρίματι, εἶπε, κρίνετε, κριθήσεσθε, καὶ ἐν ᾧ » μέτρῳ μετρεῖτε, ἀντιμετρηθήσεται ὑ» μῖν » (2). Ὦ Κύριε, σῶσον δή, ὦ Κύριε, σπλαγχνίσθητι, καὶ θὲς φυλακὴν εἰς τὸ στόμα ἡμῶν, « Καὶ θύραν περιοχῆς περὶ τὰ » χείλη ἡμῶν », ὅπως ἂν μὴ λαλῇ τὸ στόμα ἡμῶν τὰ ἔργα τῶν ἀνθρώπων, ὅπως ἂν μὴ κατακρίνωμεν τοὺς ἀδελφοὺς ἡμῶν, καὶ οὕτως ἀκατάκριτοι φανῶμεν ἐνώπιον τοῦ φοβεροῦ σου βήματος, κατὰ τὸν εὐσπλαγχνικώτατόν σου λόγον, τὸν κηρύξαντα· « Μή κρίνετε, ἵνα μὴ κριθῆτε ».

(1) Ῥωμ. 3, 8. (2) Ψαλ. 140, 4. (3) Ματθ. 18, 15. (4) Ἰὼβ 31, 3.



# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΗΝ ΠΡΟΣ

# ΕΒΡΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

## ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗ͂Ι Α'. ΚΥΡΙΑΚΗ͂Ι ΤΩΝ ΝΗΣΤΕΙΩΝ.

Ἡ πίστις καὶ ἡ ἀρετή εἰσιν αἱ ἐπιθυμηταὶ εἰς τὸν Δαβὶδ χρυσαῖ πτέρυγες, δι' ὧν πᾶς ἄνθρωπος ὑπερυψούμενος φθάνει εἰς τὰ ἐπουράνια σκηνώματα, καὶ εἰσέρχεται εἰς τὴν κατάπαυσιν τῆς αἰωνίου βασιλείας καὶ μακαριότητος (3). Ἡ πάνσεπτος τοῦ Χριστοῦ ἐκκλησία, ἡ διαπαντὸς περὶ τῆς σωτηρίας ἡμῶν φροντίζουσα, σήμερον μὲν κηρύττει τὴν ὀρθόδοξον πίστιν μακαρίζουσα τοὺς εὐσεβεῖς καὶ ὀρθοδόξους, καὶ ἀναθέματι καθυποβάλλουσα τοὺς δυσσεβεῖς καὶ κακοδόξους· πάσας δὲ τὰς τῆς τεσσαρακοστῆς ἡμέρας ἀρετὴν κηρύττει, νηστείαν, προσευχήν, μετάνοιαν, διόρθωσιν, καὶ πρὸς τὸν Θεὸν ἐπιστροφήν· ἵνα δὲ ἐπιστηρίξῃ ἡμᾶς πρὸς τὴν εὐσέβειαν, καὶ προθυμοποιήσῃ πρὸς τὸν ἀγῶνα τῆς ἀρετῆς, προβάλλει σήμερον τῶν πρὸ νόμου καὶ τῶν ἐν νόμῳ ἁγίων ἀνδρῶν τὰ θαυμαστὰ καὶ μεγάλα κατορθώματα, ὅσα δηλαδὴ ὁ θεόπνευστος Παῦλος διὰ τῆς πρὸς Ἑβραίους ἐπιστολῆς αὐτοῦ καθιστόρησεν. Ἐπιτήδεια δὲ ἀληθῶς καὶ ἀρκετά εἶσι ταῦτα καὶ πρὸς ἐπιστηριγμὸν τῆς πίστεως, καὶ προθυμοποίησιν πρὸς τὰ ἐνάρετα ἔργα· διότι τίς οὐ στηρίζεται εἰς τὴν πίστιν, ἀκούων, ὅτι οἱ ἅγιοι τῇ δυνάμει τῆς πίστεως κατήργησαν ἰσχυρὰς βασιλείας, ἔκριναν τὸν λαὸν μετὰ πά-

(1) Ῥωμ. 2. 1. (2) Ματθ. 7, 1. (3) Ψαλ. 54, 6.

σης δικαιοσύνης, ἀπήλαυσαν ὅσα ὁ Θεὸς εἰς αὐτοὺς ὑπέσχετο, ἔφραξαν τῶν λεόντων τὰ στόματα, ἔσβεσαν τὴν δύναμιν τοῦ πυρός, ἔφυγον τοῦ θανάτου τὸν κίνδυνον, ἐθεραπεύθησαν ἀπὸ τῶν ἀσθενειῶν, ἐφάνησαν δυνατοὶ εἰς τοὺς πολέμους, ἐνίκησαν ἐχθρῶν τὰς παρατάξεις, ἀνέστησαν καὶ τοὺς ἀποθανόντας ἐκ τῶν νεκρῶν; Τίνος ἡ καρδία, ταῦτα ἀκούοντος, οὐ θερμαίνεται ὑπὸ τοῦ πυρὸς τῆς πίστεως, περὶ οὗ ὁ Σωτὴρ ἡμῶν εἶπε· « Πῦρ ἦλθον βαλεῖν, καὶ τί θέλω, ἤδη » εἰ ἀνήφθη; » (1) Τίς ἀκούων, ὅτι διὰ τὴν ἀπόλαυσιν τῆς αἰωνίου ζωῆς ἄλλοι μὲν τῶν ἁγίων ἀπέθανον, σφοδρῶς ῥοπαλιζόμενοι, ἄλλοι δὲ ἀνδρειοφρόνως ὑπέμειναν περιπαίγνια, μάστιγας, δεσμά, φυλακήν, λιθασμούς, τὴν διὰ πρίονος τομήν, τοὺς ποικίλους πειρασμούς, τὸν διὰ μαχαίρας θάνατον· περιῆλθον δὲ ἐνδεδυμένοι προβάτεια καὶ αἰγία δέρματα, ὑστερούμενοι τῶν ἀναγκαίων, θλιβόμενοι ὑπὸ διαφόρων θλίψεων, ταλαιπωρούμενοι ὑπὸ πάσης στενοχωρίας, τρέχοντες ὡς πεπλανημένοι εἰς τὰς ἐρήμους, καὶ εἰς τὰ ὄρη καὶ σπήλαια, καὶ τὰς ὀπὰς τῆς γῆς· τίς ἀκούων ταῦτα, καὶ συλλογιζόμενος, ὅτι καὶ αὐτοὶ οἱ ἄνθρωποι ἦσαν καθὼς καὶ ἡμεῖς, οὐ προθυμοποιεῖται, ἵνα ὑπομείνῃ τὴν ὑπὲρ τῆς ἀρετῆς μικρὰν στενοχωρίαν διὰ τὴν τῆς αἰωνίου βασιλείας ἀπόλαυσιν; Ἐὰν ἡ μόνη ἀνάγνωσις τούτων τῶν παραδειγμάτων φωτίζῃ καὶ ὁδηγῇ, πολλῷ μᾶλλον ἡ τούτων ἑρμηνεία, σαφηνίζουσα καὶ δηλοποιοῦσα τὰ ἐν αὐτοῖς περιεχόμενα νοήματα· διὰ τοῦτο ὅστις προσηλώσῃ τὸν νοῦν εἰς τὴν ταύτης ἀκρόασιν, ἐκεῖνος κατ' ἐξοχὴν ἀπολαμβάνει τῆς σωτηρίας τὸν φωτισμὸν καὶ τὴν ὁδηγίαν.

*Ἀδελφοί, πίστει Μωσῆς μέγας γενόμενος, ἠρνήσατο λέγεσθαι υἱὸς θυγατρὸς Φαραώ* (2).

Διὰ τί ὁ Μωϋσῆς ἐλέγετο υἱὸς τῆς θυγατρὸς τοῦ Φαραώ; διότι ἐγένετο υἱὸς αὐτῆς θετός· ἐγεννήθη αὐτὸς ἐξ Ἑβραίων εἰς τὴν Αἴγυπτον (3), ὅταν ὁ τυραννικώτατος Φαραὼ ἐξέδωκε πρόσταγμα, ἵνα ῥίπτωνται εἰς τὸν ποταμὸν πάντα τὰ νεογέννητα ἀρσενικὰ τῶν Ἑβραίων βρέφη (4)· καὶ ἔκρυψαν μὲν αὐτὸν οἱ γονεῖς αὐτοῦ « μῆνας » τρεῖς » (5), ἔπειτα ὅμως διὰ τὸν φόβον τοῦ Φαραὼ ἔβαλεν αὐτὸν ἡ μήτηρ αὐτοῦ εἰς θίβην, ἤγουν εἰς κιβώτιον πλεκτόν, ἀσφαλτοπίσσῃ κεχρισμένον, καὶ ἔθετο τὸ κιβώτιον εἰς τὸν πλησίον τοῦ ποταμοῦ ἐλώδη τόπον· Θεοῦ δὲ οἰκονομίᾳ ἐλθοῦσα τότε ἡ τοῦ Φαραὼ θυγάτηρ εἰς τὸν ποταμόν, ἵνα λουσθῇ, ἤνοιξε τὸ κιβώτιον, καὶ ἰδοῦσα τὸ βρέφος κλαῖον, παρέδωκεν αὐτὸ εἰς τὴν μητέρα αὐτοῦ, ἵνα θηλάσῃ καὶ ἀναθρέψῃ αὐτό· ὅταν δὲ ἔφθασεν εἰς νεανικὴν ἡλικίαν, τότε ἡ μὲν μήτηρ αὐτοῦ παρέδωκεν αὐτὸ εἰς τὴν θυγατέρα τοῦ Φαραώ, αὐτὴ δὲ ἐποίησεν αὐτὸ υἱὸν αὐτῆς θετὸν (6), ὀνομάσασα αὐτὸν Μωϋσῆν, ἤγουν ἐκ τοῦ ὕδατος ἐξηγμένον, διότι τό, Μῶς, ὕδωρ σημαίνει κατὰ τὴν τῶν Αἰγυπτίων διάλεκτον (7). Ὁ δὲ θεηγόρος Παῦλος λέγει περὶ αὐτοῦ· « Πί» στει Μωσῆς μέγας γενόμενος ἠρνήσατο » λέγεσθαι υἱὸς θυγατρὸς Φαραώ »· καὶ τὸ μέν, μέγας γενόμενος, σημαίνει, ὅτι, ἀφ' οὗ καὶ κατὰ τὴν ἡλικίαν προέβη, φθάσας δηλονότι τὸ τεσσαρακοστὸν τῆς ἡλικίας αὐτοῦ ἔτος (8), καὶ κατὰ τὰς τότε ἐν Αἰγύπτῳ ἐπιστήμας καὶ μαθήσεις παιδευθεὶς « Πάσῃ

(1) Λουκ. 12, 49. (2) Ἑβρ. 11, 24. (3) Ἐξ. 2, 1, 2. (4) Αὐτ. 1. 22. (5) Αὐτ. 2, 2, 3.
(6) Αὐτ. 10. (7) Φίλ. ὁ Ἑβρ. εἰς τὴν Ἑλλ. Σειρ. (8) Πράξ. 7, 23.



» σοφίᾳ Αἰγυπτίων » (1), καὶ δυνατὸς γενόμενος ἐν λόγοις καὶ ἐν ἔργοις, τότε ὁδηγούμενος ὑπὸ τῆς πίστεως, ἣν ἐδιδάχθη ὑπὸ τῶν γονέων αὐτοῦ, ὅτε ὑπ' αὐτῶν ἐτρέφετο, ἠρνήθη τὴν υἱοθεσίαν, μὴ στέργων ὀνομάζεσθαι υἱὸς τῆς θυγατρὸς τοῦ Φαραώ· ἠρνήσατο δὲ διὰ τῶν ἔργων, ἀναχωρήσας ἀπὸ τῆς οἰκίας τοῦ Φαραὼ καὶ ἀπὸ τῆς Αἰγύπτου, καὶ κατοικήσας « Ἐν γῇ Μαδιάμ » (2)· δηλοποιεῖ δὲ ὁ θεῖος Ἀπόστολος τὸν τούτου ζῆλον καὶ τὴν μεγαλοψυχίαν, λέγων.

*Μᾶλλον ἑλόμενος συγκακουχεῖσθαι τῷ λαῷ τοῦ Θεοῦ, ἢ πρόσκαιρον ἔχειν ἁμαρτίας ἀπόλαυσιν* (3).

Ποίαν λέγει πρόσκαιρον ἀπόλαυσιν ἁμαρτίας; τὴν ἀπόλαυσιν τῆς ἀξίας, τῆς τιμῆς, τῆς ἀνέσεως καὶ πάσης τρυφῆς, ὅσης αὐτὸς ἀπελάμβανεν ἐν τῇ βασιλικῇ οἰκίᾳ τοῦ Φαραώ, υἱὸς τῆς θυγατρὸς αὐτοῦ λεγόμενος. Ἀλλὰ διὰ τί ἡ τοιαύτη ἀπόλαυσις ἦν ἀπόλαυσις ἁμαρτίας; διότι ἐκ τῆς ἁμαρτίας ἐγεννᾶτο ἡ ἀπόλαυσις, τουτέστιν, ἐπειδὴ ἡμάρτανεν, ἀπελάμβανε τὰ τοῦ Φαραὼ ἀγαθά· ἀλλὰ ποία ἦν ἡ ἁμαρτία; ἡ συγκατοίκησις μετὰ τοῦ εἰδωλολάτρου Φαραὼ καὶ τῆς υἱοθεσίας τὸ ὄνομα, καθότι συγκατοικῶν μετ' αὐτοῦ, καὶ ἔχων τάξιν υἱοῦ, ἠναγκάζετο, καὶ μὴ θέλων, ἵνα συγκοινωνῇ τοῖς ἀνόμοις αὐτῶν ἔργοις· ἠρνήσατο οὖν, λέγει ὁ θεῖος Ἀπόστολος, λέγεσθαι υἱὸς θυγατρὸς Φαραώ, καὶ προέκρινεν, ἵνα συμπάσχῃ καὶ συνταλαιπωρῆται μετὰ τοῦ λαοῦ τοῦ Θεοῦ, ἤγουν τῶν ὁμογενῶν αὐτοῦ τῶν Ἰσραηλιτῶν· προετίμησε καὶ ἐξελέξατο τὴν κακουχίαν καὶ ταλαιπωρίαν περισσότερον τῆς προσκαίρου ἀπολαύσεως, τῆς προξενουμένης αὐτῷ ὑπὸ τῆς ἁμαρτίας, ἣν ἐποίει συγκατοικῶν μετὰ τῶν ἀπίστων· ἰδοὺ δὲ καὶ ὁ λόγος τῆς τοιαύτης μεγαλοψύχου προτιμήσεως·

*Μείζονα πλοῦτον ἡγησάμενος τῶν ἐν Αἰγύπτῳ θησαυρῶν τὸν ὀνειδισμὸν τοῦ Χριστοῦ· ἀπέβλεπε γὰρ εἰς τὴν μισθαποδοσίαν* (4).

Ἡ θυγάτηρ τοῦ Φαραώ, ἡ ὀνομαζομένη Θερμουθίς, ἄτεκνος οὖσα, παρέστησεν, ὥς τινες λέγουσι, τὸν Μωϋσῆν πρὸς τὸν πατέρα αὐτῆς Φαραώ, λέγουσα, ὅτι ἐκ τοῦ ὕδατος αὐτὸν ἀνέλαβε, καὶ ἐποίησε θετὸν ἑαυτῆς υἱόν, ἐλπίζουσα, ὅτι ἔσεται διάδοχος αὐτοῦ (5)· ὁ δὲ Φαραὼ λαβὼν τὸν Μωϋσῆν εἰς τὰς χεῖρας αὐτοῦ, καὶ ἐναγκαλισάμενος αὐτόν, ἔθηκεν ἐπὶ τῆς κεφαλῆς αὐτοῦ τὸ βασιλικὸν διάδημα. Ὅτι δὲ ὁ Μωϋσῆς υἱὸς θετὸς ἐγένετο τῆς θυγατρὸς Φαραώ, μαρτυρεῖ καὶ αὐτὴ ἡ Θεία Γραφή, λέγουσα· « Ἀνδρυνθέντος δὲ τοῦ παιδίου, εἰσήγαγεν » αὐτὸ πρὸς τὴν θυγατέρα Φαραώ, καὶ ἐ» γεννήθη αὐτῇ εἰς υἱόν » (6). Κατὰ τοῦτο οὖν, κἂν μὴ πάντων τῶν θησαυρῶν τῆς Αἰγύπτου Κύριος ἦν ὁ Μωϋσῆς, μέρος ὅμως τούτων περιέμενεν αὐτὸν ὡς υἱὸν θετὸν τῆς τοῦ βασιλέως θυγατρός. Πῶς δὲ ὁ Μωϋσῆς ἐνόμισε πλοῦτον μείζονα τῶν θησαυρῶν τῆς Αἰγύπτου τὸν ὀνειδισμὸν τοῦ Χριστοῦ τόσα ἔτη, πρὶν ἢ ὁ Χριστὸς ὀνειδισθῇ; Προφήτης ὢν ὁ Μωϋσῆς, καθὼς προϊδὼν τὴν δεσποτικὴν τοῦ Χριστοῦ ἐξουσίαν, παρήγγειλε, λέγων· « Προφήτην ἐκ τῶν ἀδελ» φῶν σου, ὡς ἐμέ, ἀναστήσει σοι Κύριος

(1) Πράξ. 7, 22. (2) Ἐξ. 2, 15. (3) Ἑβρ. 11, 25. (4) Αὐτ. 26. (5) Ἰώσηπ. β. 2 καὶ 5· Ἀρχαιολ.
(6) Ἐξ. 2, 10.

» ὁ Θεός σου· αὐτοῦ ἀκούσεσθε· καὶ ὁ ἄν» θρωπος, ὃς ἐὰν μὴ ἀκούσῃ, ὅσα ἂν λαλή» σῃ ὁ προφήτης ἐκεῖνος ἐπὶ τῷ ὀνόματί » μου, ἐγὼ ἐκδικήσω ἐξ αὐτοῦ » (1)· οὕτω προγνωρίσας καὶ τοὺς ὀνειδισμοὺς τοῦ Χριστοῦ, ἔστερξεν ὀνειδισθῆναι καὶ αὐτὸς εἰς προτύπωσιν τῶν ὀνειδισμῶν ἐκείνων. Βλέπε δὲ τὴν τῶν ὀνειδισμῶν ὁμοιότητα· ὠνείδισαν οἱ Ἑβραῖοι τὸν Μωϋσῆν, λέγοντες· « Τίς σε κατέστησεν ἄρχοντα καὶ δικαςὴν » ἐφ' ἡμῶν;» (2) ὠνείδισαν οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι τὸν Ἰησοῦν Χριστόν, εἰπόντες· « Ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς; καὶ » τίς σοι ἔδωκε τὴν ἐξουσίαν ταύτην; » (3) « Καὶ οἱ λῃςαὶ δέ, οἱ συσταυρωθέντες αὐτῷ, ὠνείδιζον αὐτῷ »· ὕβρισε τὸν Μωϋσῆν ὁ τῶν Ἑβραίων λαός· « Ἐλοιδορεῖτο ὁ λαὸς τὸν » Μωϋσῆν » (4), λέγει ἡ ἱερὰ ἱστορία· ὕβρισαν τὸν Ἰησοῦν Χριστὸν οἱ Ἰουδαῖοι, λέγοντες· « Σαμαρείτης εἶ σύ, καὶ δαιμόνιον » ἔχεις » (5). Κατὰ τὸν αὐτὸν λόγον καὶ ὁ προφητάναξ Δαβὶδ γενναιοφρόνως ὑπομείνας τοὺς ὀνειδισμοὺς τοῦ Χριστοῦ, ἔλεγεν· « Οἱ ὀνειδισμοὶ τῶν ὀνειδιζόντων σε ἐπέπε» σον ἐπ' ἐμέ » (6)· ὑπέμενε δὲ ὁ Μωϋσῆς τὸν ὀνειδισμὸν τοῦ Χριστοῦ, διότι « Ἀπέ» βλεπε, λέγει ὁ Παῦλος, εἰς τὴν μισθαπο» δοσίαν »· ἔβλεπεν ὁ τρισμακάριος διὰ τῶν προφητικῶν αὐτοῦ ὀφθαλμῶν τὰς μεγάλας ἀνταποδόσεις, τὰς ἡτοιμασμένας ὑπὸ τοῦ Ἰησοῦ Χριστοῦ διὰ τοὺς ὑπομένοντας θλίψεις καὶ ὀνειδισμοὺς ὑπὲρ τῆς ἀγάπης αὐτοῦ, καὶ εἶχε πρὸ τῶν ὀφθαλμῶν αὐτοῦ τὸν μακαρισμόν, καὶ τὴν χαρὰν καὶ τὴν ἀγαλλίασιν, καὶ τὸν πολὺν ἐπουράνιον μισθὸν τῶν ὀνειδιζομένων, καὶ διωκομένων, καὶ συκοφαντουμένων ἕνεκεν τῆς ἀγάπης τοῦ Θεοῦ (7)· διὰ τοῦτο ἐνόμιζε τὰς ὑπὲρ τῶν ὀνειδισμῶν τοῦ Χριστοῦ αἰωνίους ἀνταποδόσεις πλοῦτον ὑπέρτερον τῶν τῆς Αἰγύπτου προσκαίρων θησαυρῶν· διὰ τοῦτον δὲ τὸν λόγον ἐγκατέλιπε, καὶ περιεφρόνησε τοὺς θησαυροὺς τῆς Αἰγύπτου, καὶ ἔστερξε τὴν κακουχίαν καὶ ἐξουδένωσιν, συντάξας ἑαυτὸν μετὰ τοῦ Ἰσραηλιτικοῦ λαοῦ. Ταῦτα δὲ περὶ τοῦ Μωϋσέως εἰπὼν ὁ θεηγόρος Παῦλος (8), διηγεῖται ἔπειτα τὰ μεγάλα κατορθώματα, καὶ τὰς θεοφιλεῖς ἀρετὰς τῶν λοιπῶν ἁγίων, τῶν τῷ Θεῷ εὐαρεςησάντων.

(1) Δευτ. 18, 15, 19. (2) Ἐξ. 2, 14. (3) Ματθ. 21, 23. καὶ 27, 44. (4) Ἐξ. 17, 2. (5) Ἰωάν. 8, 48. (6) Ψαλμ. 68, 9. (7) Ματθ. 5, 11, 12. (8) Ὅρα τὰ ἐν τῇ Κυριακῇ τῶν ἁγίων Πάντων.



# ΟΜΙΛΙΑ

ΜΕΤΑ ΤΗΝ ΠΡΟΣ

# ΕΒΡΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

## ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ Τῌ Α'. ΚΥΡΙΑΚῌ ΤΩΝ ΝΗΣΤΕΙΩΝ.

ΑΔΕΛΦΟΙ μου χριστιανοί, « Ἰδοὺ νῦν » καιρὸς εὐπρόσδεκτος, ἰδοὺ νῦν ἡμέρα σω» τηρίας » (1). Εἰς τὰς παρούσας ἡμέρας προβάλλει εἰς ἡμᾶς ἡ τοῦ Χριστοῦ ἐκκλησία τῆς νηστείας τὸ κατόρθωμα, ἵνα ἐγκαταλείψαντες τὰς ἐκ τῆς πολυφαγίας ἀπολαύσεις, καὶ ἀποστραφέντες τὰς τῆς σαρκὸς ἡμῶν τρυφάς, φύγωμεν τὰ ἐξ αὐτῶν ἁμαρτήματα, καὶ ἐπιστρέψαντες πρὸς τὸν Θεόν, τύχωμεν τῆς αἰωνίου σωτηρίας. Ἠκούσατε σήμερον τὸ ἅγιον παράδειγμα τοῦ μεγάλου προφήτου Μωϋσέως· ἠκούσατε, ὅτι αὐτὸς ἐγκατέλιπεν οὐ μόνον τὴν βασιλικὴν τράπεζαν, καὶ ὅσην τρυφὴν καὶ ἄνεσιν ἀπελάμβανεν ἔνδον τοῦ βασιλικοῦ παλατίου, ἀλλὰ καὶ τοὺς θησαυροὺς τῆς Αἰγύπτου, καὶ τὸ πανένδοξον ὄνομα, δι' οὗ ἐλέγετο υἱὸς τῆς θυγατρὸς τοῦ βασιλέως, ἔτι δὲ ἐξήλειψεν ἐκ τῆς καρδίας αὐτοῦ καὶ τὴν ἐλπίδα τοῦ σκήπτρου καὶ τοῦ στέμματος καὶ τοῦ βασιλικοῦ θρόνου, ἐπειδὴ αὐτὰ ἐγίνοντο πρόξενα τῆς ἁμαρτίας.

Οὐκ ἦν ἄρά γε καὶ ὁ Μωϋσῆς ἄνθρωπος, καθὼς καὶ ἡμεῖς; οὐκ εἶχε καὶ αὐτὸς τὰ αὐτὰ πάθη, ὅσα πολεμοῦσιν ἡμᾶς; οὐ κατῴκει καὶ αὐτὸς εἰς τὸν αὐτὸν κόσμον, εἰς ὃν κατοικοῦμεν καὶ ἡμεῖς; οὐκ ἔρριπτεν ὁ σατανᾶς καὶ κατ' αὐτοῦ τὰ πεπυρωμένα αὐτοῦ βέλη, καθὼς καὶ καθ' ἡμῶν; Πῶς οὖν αὐτὸς ἐγένετο τόσον μεγαλόψυχος καὶ ἀνδρεῖος, ὥστε καταφρονήσας τόσην σωματικὴν ἀπόλαυσιν, καὶ τόσον πλοῦτον καὶ δόξαν, καὶ τοιοῦτον βασίλειον κράτος, ἔστερξε τὴν μετὰ τοῦ λαοῦ τοῦ Θεοῦ ταλαιπωρίαν καὶ κάκωσιν; ἡμεῖς δὲ ἐσμεν τοσοῦτον μικρόψυχοι καὶ ἄνανδροι, ὥστε οὐδὲ τὴν μόνην τρυφὴν τῆς τραπέζης θέλομεν καταφρονῆσαι, οὐδὲ στέργομεν ὅλως τὴν ἐκ τῆς στερήσεως τῶν βρωμάτων μικρὰν καὶ ὀλίγην στενοχωρίαν; Ἆρά γε ἡ καλὴ διάθεσις ἐκαρποφόρησεν εἰς τὸν Μωϋσῆν τὴν τόσην μεγαλοψυχίαν; ἀλλ' ἡ διάθεσίς ἐστι θυγάτηρ τῆς προαιρέσεως. ἡ δὲ προαίρεσις παντὸς ἀνθρώπου ἐστὶν ἐλευθέρα, ἵνα κλίνῃ πρὸς τὸ ἀγαθόν, ἢ πρὸς τὸ κακόν· « Ὁ » Θεὸς ἐξ ἀρχῆς ἐποίησεν ἄνθρωπον, καὶ » ἀφῆκεν αὐτὸν ἐν χειρὶ διαβουλίου αὐτοῦ. » Παρέθηκέ σοι, λέγει, πῦρ καὶ ὕδωρ, οὗ » ἐὰν θέλῃς, ἐκτενεῖς τὴν χεῖρά σου » (2). Ὅθεν, ὅστις θέλει, δύναται διατεθῆναι καθὼς καὶ ὁ Μωϋσῆς· ἆρά γε ὁ φωτισμὸς τοῦ Θεοῦ ἐποίησεν αὐτὸν τόσον ἀνδρεῖον καὶ

(1) Β', Κορ. 6, 2. (2) Σειρ. 15, 14, 16.

μεγαλόψυχον; Ἀλλ' ὁ Θεός ἐστι « τὸ φῶς » τὸ ἀληθινόν, ὃ φωτίζει πάντα ἄνθρωπον » ἐρχόμενον εἰς τὸν κόσμον » (1). Διὸ ὁ αὐτὸς φωτισμὸς φωτίζει ἐπίσης πάντας τοὺς ἀνθρώπους, ἑπομένως ὡς ἐκ μέρους τοῦ Θεοῦ πᾶς ἄνθρωπος δύναται γενέσθαι ἀνδρεῖος καὶ μεγαλόψυχος, καθὼς καὶ ὁ προφήτης Μωϋσῆς. Πόθεν οὖν αὐτὸς προέκρινε τὴν κακουχίαν, ὅσην ὑπέμεινε καταλιπὼν τὴν Αἴγυπτον, τῆς ἀπολαύσεως τῶν θησαυρῶν τῆς Αἰγύπτου, ἡμεῖς δὲ οὐδὲ τὴν στέρησιν τῆς ἀπολαύσεως τῶν βρωμάτων στέργομεν, οὐδὲ τὴν μικρὰν τῆς νηστείας ἐνόχλησιν ὑποφέρομεν;

Ὁ θεόπνευστος Παῦλος, ὅστις παρέστησε τοῦτο τὸ ἔργον τοῦ Μωϋσέως ὡς τύπον καὶ παράδειγμα τῆς περιφρονήσεως τῶν ἀνθρωπίνων πραγμάτων, αὐτὸς ἐφανέρωσε καὶ τό, πῶς ὁ Μωϋσῆς κατεστάθη τόσον γενναῖος τούτων περιφρονητής. Ὁ Μωϋσῆς προσηλώσας τὸν νοῦν εἰς τὴν ἔρευναν τῆς ἁμαρτίας καὶ τῆς ἐκ ταύτης ἀπολαύσεως, ἐγνώρισεν, ὅτι ἡ μὲν ἀπόλαυσις τῶν ἐπιγείων ἀγαθῶν ἐστι πρόσκαιρος, ἡ δὲ διὰ τὴν ἁμαρτίαν καταδίκη ἐστὶν αἰώνιος· ἐκ τούτου ἐξελέξατο, λέγει, τὴν κακουχίαν μᾶλλον, ἢ τὴν ἀπόλαυσιν· « Μᾶλλον ἑλόμενος συγκακουχεῖσθαι τῷ λαῷ τοῦ Θεοῦ, » ἢ πρόσκαιρον ἔχειν ἁμαρτίας ἀπόλαυσιν » (2). αὐτὸς προέκρινε τὴν κακουχίαν, ἐπειδὴ διέκρινεν, ὅτι ὁ πνευματικὸς αὐτῆς πλοῦτος ὑπερέχει τοὺς θησαυροὺς τῆς Αἰγύπτου· « Μείζονα πλοῦτον ἡγησάμενος τῶν » ἐν Αἰγύπτῳ θησαυρῶν τὸν ὀνειδισμὸν τοῦ » Χριστοῦ » (3). Αὐτὸς ἀφιέρωσε τοὺς στοχασμοὺς αὐτοῦ πρὸς τὴν αἰώνιον ἀνταπόδοσιν τῆς τοιαύτης ἀρετῆς· « Ἀπέβλεπε » γὰρ εἰς τὴν μισθαποδοσίαν » (4)· ἐκ τούτου δὲ διετέθη πρὸς τὴν ἐκλογὴν τοῦ καλοῦ, ἐκ τούτου ἐκαρποφόρησεν ἐν αὐτῷ ὁ θεῖος φωτισμός, ἐκ τούτου κατώρθωσεν αὐτὸς τοῦτο τὸ μέγα κατόρθωμα. Ἡμεῖς οἱ τρισάθλιοι φεύγομεν τὴν νηστείαν, καὶ ἀποστρεφόμεθα τὴν ἐξ αὐτῆς μικρὰν στενοχωρίαν, ἐπειδὴ οὐδέποτε στοχαζόμεθα, οὐδὲ πόσον ἁμαρτάνει, ὅστις καταφρονεῖ τῆς νηστείας τοὺς νόμους, οὐδὲ πόσον καρποφορεῖ τῆς νηστείας ἡ ἀρετή, οὐδὲ πόση ἡ ὑπὸ Θεοῦ ὑπὲρ αὐτῆς ἀνταπόδοσις. Καλὸν οὖν, ἵνα περὶ τούτων ἀφιερωθῇ σήμερον ὁ λόγος· διότι ἴσως ἡ τούτων σκέψις ἐξυπνίσει ἡμᾶς ἐκ τῆς ληθαργίας, καὶ προθυμοποιήσει πρὸς τὴν τῶν θείων προσταγμάτων ἐκπλήρωσιν.

Τί ἐστιν ἡ ἁμαρτία; ἡ ἁμαρτία ἐστὶ παράβασις νόμου· « Ἡ ἁμαρτία, λέγει ὁ » ἐπιστήθιος Ἰωάννης, ἐστὶν ἡ ἀνομία » (5). Ὅστις οὖν παραβαίνει τὸν νόμον, ἤγουν τὴν ἐντολὴν τοῦ Θεοῦ, ἐκεῖνος ποιεῖ τὴν ἁμαρτίαν. Πρώτην δὲ πασῶν τῶν ἄλλων ἐντολῶν παρέδωκεν ὁ Θεὸς τοῖς ἀνθρώποις τὴν ἐντολὴν τῆς νηστείας· « Ἀπὸ δὲ τοῦ » ξύλου, εἶπεν ὁ Θεὸς πρὸς τοὺς πρωτοπλάστους, τοῦ γινώσκειν καλὸν καὶ πονηρόν. » οὐ φάγεσθε ἀπ' αὐτοῦ » (6). Ἀκούεις; Οὐ φάγεσθε, λέγει· τὸ δέ, οὐ φάγεσθε, τί ἄλλο σημαίνει, εἰ μὴ τὸ νηστεύσατε; ἐβεβαίωσε δὲ ὁ Θεός, καὶ ἐπεστήριξε ταύτης τῆς ἐντολῆς τὴν δύναμιν, διορίσας κατὰ τῶν παραβαινόντων αὐτὴν φοβερὰν τιμωρίαν· « Ἧ » δ' ἂν ἡμέρᾳ, εἶπε, φάγητε ἀπ' αὐτοῦ, » θανάτῳ ἀποθανεῖσθε » (7). Ἀλλὰ διὰ τί, λέγεις, ὁ Θεὸς οὐκ ἔγραψε ταύτην τὴν ἐντολὴν εἰς τὰς πλάκας τοῦ νόμου; διότι ἔ-

(1) Ἰωάν. 1, 9. (2) Ἑβρ. 11, 25. (3) Αὐτ. 26. (4) Αὐτ. (5) Α. Ἰωάν. 3, 4. (6) Γεν. 2, 17. (7) Αὐτ.



γραψεν αὐτὴν εἰς τὴν καρδίαν τῶν πρωτοπλάστων· ὅθεν καὶ μετεδόθη κατὰ ἀλληλοδιάδοχον παράδοσιν εἰς πάντας τοὺς καθεξῆς ἀνθρώπους. Ἐκ τούτου δὲ βλέπομεν, ὅτι οὐ μόνον οἱ Ἰσραηλῖται, ἀλλὰ καὶ οἱ ἐθνικοὶ ἐνήστευον· μάρτυρες δὲ τούτου πρὸς τοῖς ἄλλοις οἱ Νινευῖται, οἵτινες, ἵνα ἐξιλεώσωσι τὸν Θεόν; « ἐκήρυξαν νηστείαν, » καὶ ἐνεδύσαντο σάκκους ἀπὸ μεγάλου » αὐτῶν ἕως μικροῦ αὐτῶν » (1). Ποίαν οὖν ἀπολογίαν ἔχετε, ὅσοι παραβαίνετε τὴν ἐντολὴν τῆς νηςείας; ὁ Θεὸς ἐν ταῖς ἡμέραις τῆς νηστείας ἐντέλλεται διὰ τῆς Θείας Γραφῆς, λέγων, « οὐ φάγεσθε », οὐχὶ ἀπὸ τοῦ ξύλου, ἀλλ' ἀπὸ τοῦ κρέατος, ὑμεῖς δὲ κρεωφαγεῖτε ἀφόβως· ὁ Θεὸς ἐν ταῖς ἡμέραις τῆς νηστείας διὰ στόματος τῆς ἐκκλησίας προστάσσει, λέγων· οὐ φάγεσθε ἀπὸ ταύτης καὶ ἀπὸ ταύτης τῆς βρώσεως· ὑμεῖς δὲ τολμᾶτε καὶ ἐκτείνετε τὰς χεῖρας ὑμῶν εἰς τὰς ἀπηγορευμένας τροφάς, καὶ γεμίζετε τὴν κοιλίαν ὑμῶν ἐκ πάντων τῶν βρωμάτων, ὅσα ζητεῖ ἡ ἀκάθεκτος ὑμῶν ὄρεξις· ἄνθρωποι, πῶς οὐ φοβεῖσθε τὴν φοβερὰν ἀπόφασιν τοῦ παντοκράτορος; « Ἧι » δ' ἂν ἡμέρᾳ, εἶπεν ὁ Θεός, φάγητε ἀπ' » αὐτοῦ, θανάτῳ ἀποθανεῖσθε » (2). Μήτι γε νομίζετε ὅτι ἡ ἐντολὴ τῆς νηστείας ἦν πρόσκαιρος, καὶ ἐδόθη εἰς μόνον τὸν Ἀδὰμ καὶ τὴν Εὔαν; ἐὰν ταῦτα συλλογίζησθε, πλανᾶσθε· διότι αἱ ἐντολαὶ τοῦ Θεοῦ εἰσι κοιναὶ καὶ καθολικαὶ καὶ αἰώνιοι· « Πρόσ» ταγμα ἔθετο, κράζει ὁ προφητάναξ, καὶ » οὐ παρελεύσεται (3)· Ὁ λόγος αὐτοῦ οὐ μὴ » ἀθετηθῇ » (4), βοᾷ ὁ μεγαλοφωνότατος Ἡσαΐας. Κἂν δὲ κατ' ἐκείνην τὴν ἡμέραν, καθ' ἣν καταφρονεῖτε τὴν νηστείαν, οὐκ ἀποθνήσκετε τὸν σωματικὸν καὶ ὁρατὸν θάνατον, ἀποθνήσκετε ὅμως τὸν ἀόρατον τῆς ψυχῆς θάνατον, καθὼς καὶ οἱ δύο τοῦ ἀνθρωπίνου γένους προπάτορες.

Ἀλλ' ἡ νηστεία, λέγεις, μαραίνει τὸ σῶμα, καὶ φθείρει τὰς τούτου δυνάμεις· ἔστω· ἀλλὰ τί φοβεῖσαι, τὸν μαρασμὸν καὶ τὴν φθορὰν τοῦ σώματος; τὸ σῶμά ἐστι φύσει φθαρτόν, κἂν μὴ τὴν σήμερον μαρανθῇ ὀλίγον, καὶ πάθῃ ὀλίγην τινὰ φθοράν, αὔριον καταξηραίνεται καὶ φθείρεται, καὶ παντελῶς διαλύεται ὑπὸ τοῦ θανάτου. Μαραίνεται ἀληθῶς τὸ σῶμα ὑπὸ τῆς νηστείας· ἀλλ' ὅσον αὐτὸ μαραίνεται, τόσον ἡ ψυχὴ θάλλει· ὅσον αὐτὸ ἀσθενεῖ, τόσον ἡ ψυχὴ ἐνδυναμοῦται, καὶ ὅσον αὐτὸ φθείρεται, τόσον ἡ ψυχὴ ζωογονεῖται· βεβαιοῖ σε περὶ τούτου ὁ οὐρανοφάντωρ Παῦλος, λέγων· « Ἀλλ' εἰ καὶ ὁ ἔξω ἡμῶν ἄνθρωπος δια» φθείρεται, ἀλλ' ὁ ἔσωθεν ἀνακαινοῦται » ἡμέρᾳ καὶ ἡμέρᾳ » (5). Ὁ ἐκ τῆς νηστείας μαρασμὸς τοῦ σώματος μαραίνει τῆς σαρκὸς τὰ πάθη, σβεννύει τῶν κακῶν ἐπιθυμιῶν τὴν φλόγα, φέρει τὸν θεῖον ἔρωτα εἰς τὴν ψυχήν, καὶ προθυμοποιεῖ αὐτὴν πρὸς τὴν τῶν καλῶν ἔργων κατόρθωσιν. Ἐπειδὴ δὲ τὰ πάθη καὶ τῆς σαρκὸς αἱ ἐπιθυμίαι ταράττουσι καὶ κατασκοτίζουσι τὸν νοῦν, ἐκνευρίζουσι δὲ καὶ τὰς τῆς ψυχῆς δυνάμεις, διὰ τοῦτο τοῦ νηστευτοῦ καὶ ὁ νοῦς ἐστιν ἀτάραχος καὶ φωτεινός, καὶ ἡ ψυχὴ ῥωμαλέα καὶ ἐπιτήδειος πρὸς ὑποδοχὴν τῆς θείας χάριτος· ταῦτα δέ εἰσι τὰ ἄφθαρτα καὶ σωτηριώδη τῆς νηστείας καρποφορήματα.

Τίς δὲ ἐδίδαξεν, ὅτι ἡ νηστεία φθείρει τὸ σῶμα; ψευδής ἐστιν ἡ τοιαύτη διδασκαλία· τὸ ἐναντίον δέ ἐστιν ἀληθές, ἤγουν

(1) Ἰωνᾶ 3, 5. (2) Γεν. 2, 17. (3) Ψαλμ. 148, 6. (4) Ἡσ. 31, 2. (5) Β'. Κορ. 4, 16.

αἱ πολυφαγίαι καὶ πολυποσίαι φθείρουσι τὸ σῶμα, οὐχὶ δὲ ἡ νηστεία· διότι ἐξ αὐτῶν γεννῶνται αἱ δυσπεψίαι καὶ κακοχυμίαι, οἱ ἔμετοι καὶ αἱ κεφαλαλγίαι, αἱ διάῤῥοιαι, αἱ πληθῶραι, αἱ φλογώσεις, καὶ ἄλλα πάμπολλα ἀῤῥωστήματα· ἐξ αὐτῶν δὲ φθείρονται οὐ μόνον αἱ δυνάμεις τοῦ σώματος, ἀλλὰ καὶ αὐτὸ τὸ σῶμα· ἡ δὲ ὀλιγοφαγία καὶ ὀλιγοποσία διώκει τὰς δυσπεψίας, καὶ ὀλιγοποιοῦσα καὶ ἐξαλείφουσα τὰς κακοχυμίας, ἰατρεύει καὶ ἐνδυναμοῖ τὸ σῶμα. Βεβαιοῦσι τοῦτο οἱ ἰατροί, τὴν δίαιταν παραγγέλλοντες, καὶ διορίζοντες τὴν ὀλιγοφαγίαν ὡς βάλσαμον δραστήριον καὶ θεραπευτικὸν πάσης ἀσθενείας. Θέλεις περὶ τούτου καὶ παράδειγμα; βλέπε τοὺς ἐν Βαβυλῶνι ἁγίους τρεῖς παῖδας, καὶ τὸν προφήτην Δανιήλ· αὐτοὶ ἐνήστευον ἐκ πασῶν ἄλλων τροφῶν, ἔτρωγον δὲ μόνα σπέρματα, καὶ ἔπινον ὕδωρ (1)· οἱ δὲ ἄλλοι νέοι, ἐν τῷ βασιλικῷ παλατίῳ, ἐτρέφοντο διὰ τῶν πολλῶν καὶ πολυποικίλων τροφῶν τῆς τοῦ βασιλέως τραπέζης· μετὰ δὲ τὴν νηστείαν οἱ τρεῖς παῖδες καὶ ὁ Δανιὴλ ἐφάνησαν ὡραιότεροι καὶ δυνατώτεροι τῶν τρεφομένων διὰ τῶν βασιλικῶν βρωμάτων· « Ὡράθησαν, » λέγει ἡ ἱερὰ ἱστορία, αἱ ἰδέαι αὐτῶν ἀ» γαθαὶ καὶ ἰσχυραὶ ταῖς σαρξὶν ὑπὲρ τὰ » παιδάρια, τὰ ἐσθίοντα τὴν τράπεζαν » τοῦ βασιλέως » (2).

Ἀκούσατε δέ, τί εἶπεν ὁ Θεὸς πρὸς τοὺς Ἑβραίους περὶ τῆς νηςείας. Αὐτοὶ ἐνήςευον τετράκις κατὰ πᾶν ἔτος· ἤγουν ἐν τῷ τετάρτῳ μηνί, ὅστις ἐστὶν ὁ καθ' ἡμᾶς Ἰούλιος, καθότι ἐνόμιζον, ὅτι ἐν αὐτῷ ὁ Μωϋσῆς καταβαίνων ἀπὸ τοῦ ὄρους Σινᾶ, συνέτριψε τοῦ νόμου τὰς πλάκας (3)· ἐν τῷ μηνὶ τῷ πέμπτῳ, ὅστις ἐστὶν ὁ καθ' ἡμᾶς Αὔγουστος, διὰ τὴν ἐν αὐτῷ γενομένην ἐπανάστασιν ὑπὸ τῶν λόγων τῶν ἐπιστρεψάντων κατασκόπων, ἐν αὐτῷ δὲ τῷ πέμπτῳ μηνὶ καὶ ὁ Ναβουζαρδὰν κατέκαυσε τὸν οἶκον Κυρίου (4)· ἐν τῷ ἑβδόμῳ μηνί, ὅστις ἐστὶν ὁ Ὀκτώβριος, διὰ τὸν θάνατον τοῦ Γοδολία, καὶ τὴν διασπορὰν τῶν ἐν Ἱερουσαλὴμ καταλειφθέντων, καὶ τὴν ὑπὸ τοῦ Ναβουχοδονόσορ γενομένην τῆς Ἱερουσαλὴμ πολιορκίαν (5)· ἐν τῷ δεκάτῳ μηνί, ὅστις ἐστὶν ὁ Ἰανουάριος, ἐπειδὴ ἐν αὐτῷ ὁ Ἰεζεκιὴλ αἰχμάλωτος ὤν, ἤκουσε σὺν τοῖς μετ' αὐτοῦ τῆς Ἱερουσαλὴμ τὴν ἅλωσιν (6). Ἐπειδὴ δὲ αἱ ἡμέραι τῆς νηστείας εἰσὶν ἡμέραι σκυθρωπότητος, καὶ σωματικῆς στενοχωρίας, ὁ Θεὸς ἀπέστειλε πρὸς αὐτοὺς τὸν προφήτην Ζαχαρίαν, ἵνα κηρύξῃ πρὸς αὐτοὺς ταῦτα· « Τάδε λέγει Κύριος » παντοκράτωρ· νηστεία ἡ τετάρτη, καὶ » νηστεία ἡ πέμπτη, καὶ νηςεία ἡ ἑβδόμη, » καὶ νηστεία ἡ δεκάτη ἔσονται τῷ οἴκῳ » Ἰούδα εἰς χαρὰν καὶ εὐφροσύνην, καὶ εἰς » ἑορτὰς ἀγαθάς » (7). Ἀκούετε; ὁ Θεός, ἀρεσκόμενος εἰς τὴν θυσίαν τῆς νηςείας, μεταβάλλει τὴν σκυθρωπότητα αὐτῆς εἰς χαράν, καὶ τὴν ἐξ αὐτῆς ἐνόχλησιν εἰς εὐφροσύνην. Ὁ Θεὸς δέχεται τῆς νηστείας τὴν θυσίαν, καθὼς τοὺς μετὰ πίστεως καὶ εὐλαβείας προσφερομένους αὐτῷ ὕμνους καὶ δοξολογίας εἰς τὰς ἑορτασίμους ἡμέρας. Καὶ ἐπειδὴ τὰ ὑπὸ τῶν ἐν νόμῳ τελούμενα τύποι ἦσαν τῶν εὐαγγελικῶν διαταγμάτων, φανερόν ἐστιν, ὅτι ἡ μὲν τετάρτη νηστεία σύμβολον ἦν τῶν ὑπὸ τῆς Χριστοῦ ἐκκλησίας κατὰ πᾶν ἔτος ὡρισμένων τεσσάρων νηστειῶν· ἡ δὲ πέμπτη, τῆς ἀποχῆς τῶν

(1) Δαν. 1, 12. (2) Αὐτ. 15. (3) Ὅρ. Ἱερών. Ἐξ. 32, 19. (4) Ἀριθμ. 13, καὶ 14. (5) Δ'. Βασ. 25, 8, 9. Αὐτ. 25, 26. Ἱερ. 53, 4. (6) Ἰεζ. 33, 21. (7) Ζαχ. 8, 19.



ἁμαρτημάτων, τῶν διὰ τῶν πέντε αἰσθήσεων γινομένων· ἡ δὲ ἑβδόμη, τῆς ἀποστροφῆς τῶν ἑπτὰ θανασίμων ἁμαρτημάτων· ἡ δὲ δεκάτη, τύπος τοῦ ἀποχωρισμοῦ ἀπὸ τῆς παραβάσεως τῶν δέκα ἐντολῶν. Μακάριος οὖν ἐκεῖνος ὁ ἄνθρωπος, ὅστις κατὰ τοῦτον τὸν λόγον νηστεύει τὴν τετάρτην, καὶ πέμπτην, καὶ ἑβδόμην, καὶ δεκάτην νηστείαν· εἰς αὐτὸν ἔρχεται ἡ χαρὰ καὶ ἡ ἀγαλλίασις τοῦ Κυρίου· αὐτὸς προσφέρει εἰς τὸν Θεὸν τὴν θυσίαν τῆς ἀγαθῆς ἑορτασίμου αἰνέσεως.

Ἐνατενίζω νῦν εἰς τὸν ἀρχηγὸν τῆς σωτηρίας, εἰς τὸν σωτῆρα τῆς ψυχῆς μου, τὸν Κύριον καὶ δεσπότην μου Ἰησοῦν Χριστόν· ἐνατενίσατε δὲ καὶ ὑμεῖς μετ' ἐμοῦ πρὸς αὐτόν· καὶ παρατηρῶ, καὶ παρατηρήσατε δὲ καὶ ὑμεῖς σὺν ἐμοὶ τὰς θείας αὐτοῦ ἀρετάς· αὐτὸς ἐδίδαξε τῆς ἀληθείας τὸν λόγον, ἤγουν τῆς ἀληθοῦς θεογνωσίας τὰ δόγματα, καὶ τῆς τελείας καὶ ἁγιωτάτης χρηστοηθείας τὰ μαθήματα· ἀρετὴ τοῦτο τὸ ἔργον πασῶν τῶν ἄλλων ὑψηλοτέρα, πλὴν ἀκόλουθον καὶ ἑπόμενον τῇ ἐπουρανίῳ ἀποστολῇ αὐτοῦ, ἐπειδὴ διὰ τοῦτο ἀπεστάλη εἰς τὸν κόσμον, καὶ τοῦτο ἦν τὸ ἔργον αὐτοῦ· διὸ ἔλεγεν· « Ὃν γὰρ ἀπέστειλεν ὁ » Θεός, τὰ ῥήματα τοῦ Θεοῦ λαλεῖ. Ἐγὼ » εἰς τοῦτο γεγέννημαι, καὶ εἰς τοῦτο ἐλή» λυθα εἰς τὸν κόσμον, ἵνα μαρτυρήσω τῇ » ἀληθείᾳ » (1). Ἐχόρτασε πεινῶντας, ἐφώτισε τυφλούς, ἠνώρθωσε συγκύπτοντας, ἐκαθάρισε λεπρούς, συνέσφιγξε παραλύτους, ἐξήρανεν ὕδρωπας, ἔστησεν αἱμοῤῥοίας, ἔδωκεν ἀκοὴν εἰς τοὺς κωφούς, καὶ λαλιὰν εἰς τοὺς ἀλάλους, ἐδίωξε δαιμόνια, ἰάτρευσε πᾶσαν ἀσθένειαν, ἀνέστησε καὶ νεκρούς· θαύματά εἰσι ταῦτα, γεννήματα τῶν μεγάλων αὐτοῦ ἀρετῶν, τοῦ ἐλέους δηλονότι καὶ τῆς θείας αὐτοῦ εὐσπλαγχνίας· πλὴν ταῦτα ἐγένοντο πρὸς μαρτυρίαν καὶ ἀπόδειξιν τῆς θεότητος αὐτοῦ, καὶ τῆς ὑπ' αὐτοῦ, κηρυττομένης πίστεως καὶ ἁγιότητος· διὰ τοῦτο δὲ ἔλεγε· « Κἂν ἐμοὶ μὴ πιςεύητε, » τοῖς ἔργοις πιστεύσατε » (2). Πρᾳότητα, ἀκακίαν, ὑπομονήν, μακροθυμίαν, ἀνεξικακίαν, συμπάθειαν, καὶ πᾶν ἄλλο εἶδος ὑπερτελείας ἀρετῆς ἔδειξεν εἰς τὸν καιρὸν τοῦ ἰδίου πάθους· ἀλλ' ἐπειδὴ ὡρισμένον ἦν, ἵνα διὰ παθημάτων τελειώσῃ τὸν δρόμον τῆς ζωῆς αὐτοῦ· « Ἔπρεπε γὰρ αὐτῷ, δι' » ὃν πάντα καὶ δι' οὗ τὰ πάντα, πολλοὺς » υἱοὺς εἰς δόξαν ἀγαγόντα, τὸν ἀρχηγὸν » τῆς σωτηρίας αὐτῶν, διὰ παθημάτων » τελειῶσαι » (3). Ἀναγκαῖαι ἦσαν αἱ τοιαῦται ἀρεταί· τῆς δὲ νηστείας οὐδεμία ἦν ἀνάγκη ἢ χρεία· ἡ νηστεία οὐδὲ ἀπόδειξις ἦν τοῦ εὐαγγελικοῦ κηρύγματος, οὐδὲ βεβαίωσις τῆς ἑαυτοῦ θεότητος, οὐδὲ μαρτυρία τῆς ἀπείρου αὐτοῦ εὐσπλαγχνίας, οὐδὲ ἐνίσχυσις εἰς τὸν ἀγῶνα τῶν ἑαυτοῦ παθημάτων· πόθεν οὖν κινηθείς, καὶ διὰ ποῖον σκοπὸν καὶ τέλος ἐνήστευσεν ὁ τοῦ κόσμου Σωτήρ; « Ἰησοῦς δέ, ἱστοροῦσιν οἱ ἅγιοι » Εὐαγγελισταί, Πνεύματος ἁγίου πλήρης » ὑπέστρεψεν ἀπὸ τοῦ Ἰορδάνου· καὶ ἤγετο » ἐν τῷ Πνεύματι εἰς τὴν ἔρημον (4). Ἐκεῖ » δὲ ἐνήστευσεν ἡμέρας τεσσαράκοντα καὶ » νύκτας τεσσαράκοντα » (5). Μετὰ δὲ τὴν νηστείαν ἐνίκησε τὸν τρίπλοκον τοῦ διαβόλου πειρασμόν. « Καὶ ἰδού, λέγουσιν, » ἄγγελοι προσῆλθον, καὶ διηκόνουν αὐ» τῷ » (6). Ἐκ τούτων ἡμεῖς μανθάνομεν, πρῶτον μέν, ὅτι κίνημα καὶ καρπὸς τοῦ

(1) Ἰωάν. 3, 34. καὶ 18, 37. (2) Ἰωάν. 10, 38. (3) Ἑβρ. 2, 10. (4) Λουκ. 4, 1. (5) Ματθ. 4, 2. (6) Αὐτ. 11.

Παναγίου Πνεύματός ἐστιν ἡ νηστεία· δεύτερον δέ, ὅτι δι' αὐτῆς νικῶνται οἱ πειρασμοὶ τοῦ Σατανᾶ· τοῦτο δὲ καὶ διὰ λόγου ἐβεβαίωσεν ὁ Θεάνθρωπος, εἰπών· « Τοῦτο » τὸ γένος οὐκ ἐκπορεύεται, εἰ μὴ ἐν προ- » σευχῇ καὶ νηστείᾳ » (1)· καὶ τρίτον, ὅτι αὐτὴ καταβιβάζει ἀπ' οὐρανοῦ τοὺς ἀγγέλους πρὸς ὑπηρεσίαν τῶν ἀνθρώπων. Διὰ τοῦτο οὖν ἐνήστευσεν ὁ ὑπὲρ ἡμῶν σαρκωθεὶς Υἱὸς τοῦ Θεοῦ, ἵνα δείξῃ, ὅτι τὸ πανάγιον Πνεῦμα κινεῖ τὴν καρδίαν ἡμῶν πρὸς τὴν ἐργασίαν τῆς νηστείας, καὶ παραστήσῃ ὅτι οἱ νηστευταὶ καὶ τὰ τόξα τοῦ διαβόλου συντρίβουσι, καὶ τὰς τούτου παγίδας καταπατοῦσι, καὶ ἄπρακτα ποιοῦσι πάντα τὰ τούτου ἔνεδρα, καὶ φανερώσῃ, ὅτι οἱ νηστεύοντες καταξιοῦνται τῆς τῶν ἁγίων ἀγγέλλων βοηθείας καὶ ἀντιλήψεως.

Ἀδελφοί μου ἠγαπημένοι, « Ὁ πρῶτος » ἄνθρωπος, ὁ ἐκ γῆς χοϊκός » (2), μὴ νηστεύσας, ἀπώλεσεν ἑαυτόν, καὶ ὅλον τὸ γένος τῶν ἀνθρώπων· ὁ δεύτερος ἄνθρωπος, ὁ Κύριος ἐξ οὐρανοῦ, νηστεύσας, ἔσωσεν ἑαυτὸν ἐκ τῆς ἐπιβουλῆς τοῦ ἐχθροῦ, καὶ ἔδειξε τὴν ὁδὸν τῆς σωτηρίας εἰς πάντας τοὺς ἀνθρώπους. Ὅστις οὖν οὐ νηστεύει, ἐκεῖνος γίνεται μιμητὴς τοῦ χοϊκοῦ ἀνθρώπου, τοῦ μὴ νηστεύσαντος, καὶ ἑπομένως ἀπολεῖται· ὅστις δὲ νηστεύει, ἐκεῖνος μιμεῖται τὸν ἐπουράνιον ἄνθρωπον, τὸν νηστεύσαντα, καὶ ἑπομένως σώζεται. Μὴ οὖν δι' ὀλίγην τρυφήν, καὶ ἡδονὴν ἀκαριαίαν περιφρονήσητε τὴν ἔνθεον καὶ σωτήριον τῆς νηστείας ἐντολήν. Αἱ τροφαὶ ἡδύνουσι, πλὴν ἡ ἡδονὴ αὐτῶν ἄρχεται ἀπὸ τοῦ στόματος, καὶ προβαίνει μόνον ἕως τοῦ φάρυγγος· ἡ νηστεία κακουχεῖ ὀλίγον τὸ σῶμα, πλὴν ἡ ὠφέλεια αὐτῆς ἄρχεται ἀπὸ τῆς γῆς, καὶ καταντᾷ ἕως τοῦ οὐρανοῦ, καὶ ἕως τοῦ θρόνου τοῦ Ὑψίστου Θεοῦ· μὴ διὰ τὴν ἐκ τῆς νηστείας μικρὰν στενοχωρίαν προδώσητε τὴν αἰώνιον σωτηρίαν· « Χρι- » στὸς ἔπαθεν ὑπὲρ ὑμῶν, ὑμῖν ὑπολιμπά- » νων ὑπογραμμόν, ἵνα ἐπακολουθήσητε » τοῖς ἴχνεσιν αὐτοῦ » (3). Μακάριοι, ὅσοι ὑπομένουσι τὴν τῆς νηστείας κακοπάθειαν· αὐτοὶ ἀκολουθοῦσι τοῖς ἴχνεσι τοῦ ὑπὲρ ἡμῶν νηστεύσαντος Ἰησοῦ Χριστοῦ· αὐτοί εἰσιν οἱ φύλακες τῆς ἐντολῆς αὐτοῦ, καὶ οἱ κληρονόμοι τῶν αἰωνίων ἀγαθῶν. Νηστεύσωμεν οὖν, ἀδελφοί, προθύμως τὴν τεσσαρακονθήμερον νηστείαν κατὰ μίμησιν τοῦ ὑπὲρ ἡμῶν νηστεύσαντος τεσσαράκοντα ἡμέρας, καὶ τεσσαράκοντα νύκτας, ἵνα καταξιωθῶμεν μετὰ παῤῥησίας ἀκατακρίτως ἑορτάσαι τὸ ἅγιον πάσχα, καὶ προσκυνῆσαι αὐτὸν ἀναστάντα ἐκ νεκρῶν, ἀπολαῦσαι δὲ καὶ τῆς θείας αὐτοῦ βασιλείας, χάριτι αὐτοῦ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

(1) Ματθ. 17, 21. (2) Α'. Κορ. 15, 47. (3) Α'. Πέτρ. 2, 21.



# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΗΝ ΠΡΟΣ

# ΕΒΡΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

## ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗ͂Ι Β'. ΚΥΡΙΑΚΗ͂Ι ΤΩΝ ΝΗΣΤΕΙΩΝ.

ΕΠΕΙΔΗ οἱ Ἑβραῖοι ἐσέβοντο τῶν ἁγίων προφητῶν τὰ λόγια, πιστεύοντες, ὅτι εἰσὶ λόγια Θεοῦ, καὶ ἐμελέτων δέ αὐτὰ διὰ παντός, διὰ τοῦτο ὁ θεηγόρος Παῦλος ἐν τῇ πρὸς αὐτοὺς ἐπιστολῇ συνάξας τὰς προφητικὰς ῥήσεις, δι' αὐτῶν ἐξύφανε τῶν ἀποστολικῶν αὐτοῦ λόγων τὰς ἀποδείξεις· τοσοῦτον δὲ ἰσχυρῶς διὰ τῶν προφητικῶν ῥημάτων ἀποδεικνύει, ὅτι ὁ Ἰησοῦς Χριστός ἐστιν Υἱὸς Θεοῦ, καὶ Θεὸς ἀληθινός, ἄφθαρτος καὶ ἀναλλοίωτος, καὶ δημιουργὸς πάσης τῆς κτίσεως, καὶ μετὰ τοσαύτης ἐπουρανίου σοφίας ἐφαρμόζει ἐπὶ τὸν Χριστὸν καὶ τὰς περὶ τῆς ἀνθρωπότητος αὐτοῦ προφητείας, ὥστε ἀφαιρεῖ πᾶσαν ἀμφιβολίαν, καὶ πείθει πᾶσαν ψυχήν, πιστεύουσαν εἰς τῶν προφητῶν τὰ λόγια, ὅτι ὁ Χριστός ἐστιν ἐκεῖνος, περὶ οὗ οἱ θεῖοι προφῆται ταῦτα προϊδόντες, προεφήτευσαν. Ἀλλὰ καὶ τὴν ἠθικὴν αὐτοῦ διδασκαλίαν ὁ τρισμακάριος ἐπάνω τῶν τῆς Θείας Γραφῆς παραδειγμάτων ἐθεμελείωσε· διότι καὶ αὐτοὺς τοὺς μὴ προσέχοντας, ἀλλ' ἀμελοῦντας τὴν ἑαυτῶν σωτηρίαν διὰ τῶν παραβάντων τὰ τοῦ νόμου προστάγματα, καὶ ὑπὸ Θεοῦ παιδευθέντων φοβερίζει, δεικνύων, ὅτι ἄφευκτός ἐστιν ἡ περιμένουσα αὐτοὺς τιμωρία. Εἰσὶ δὲ τὰ σήμερον ἀναγνωσθέντα ἀποστολικὰ αὐτοῦ λόγια, ἡ ἀκολουθία τῆς διὰ τῶν Γραφῶν ἀποδείξεως τῶν ἐπὶ Χριστοῦ συνελθουσῶν δύο φύσεων, τῆς θείας δηλονότι καὶ τῆς ἀνθρωπίνης. Περιέχουσι δὲ πίστεως δόγματα ὑψηλὰ καὶ σωτήρια, καὶ προτροπὴν πρὸς τὸν ἐνάρετον βίον κατανυκτικὴν καὶ θαυμασίαν· σκεῦος δέ εἰσι ταῦτα τὰ λόγια, μύρον περιέχον ἐπουράνιον, πλὴν ἐσφραγισμένον ἐστὶ τὸ σκεῦος ὑπὸ τῆς δυσκολίας τοῦ γράμματος. Τὰς τούτου σφραγίδας ἐγὼ μὲν διά τῆς ἑρμηνείας σπουδάσω ἀνοῖξαι, ὑμεῖς δὲ διὰ τῆς προσοχῆς πλησιάσατε πρὸς αὐτό, ἵνα τῆς τούτου εὐωδίας ὀσφρανθέντες, πληρωθῆτε τῆς θείας χάριτος, τῆς ὁδηγούσης ἡμᾶς πρὸς τὴν αἰώνιον σωτηρίαν.

**Κατ'** *ἀρχάς, σὺ* **Κύριε**, *τὴν γῆν ἐθεμελίωσας, καὶ ἔργα τῶν χειρῶν σου εἰσὶν οἱ οὐρανοί* (1).

**Εἰς** τὸν ἑκατοστὸν πρῶτον ψαλμὸν τοῦ Δαβὶδ ἀναγινώσκομεν τό, « Σὺ ἀναστάς, » οἰκτειρήσεις τὴν Σιών » (2), καὶ τό, « Οἰ-

(1) Ἑβρ. 1, 10. (2) Ψαλ. 101, 13, 16.

» κοδομήσει Κύριος τὴν Σιών, καὶ ὀφθήσε-
» ται ἐν τῇ δόξῃ αὐτοῦ », καὶ ἄλλας περὶ
τοῦ Χριςοῦ προφητείας· ἐβεβαίωσε δὲ ἡμᾶς
ὁ θεόπνευστος Παῦλος, ὅτι περὶ τοῦ Ἰησοῦ
Χριστοῦ ἐλάλησεν ὁ Δαβὶδ ἐν τούτῳ τῷ
ψαλμῷ, ἐπειδὴ ἐξ αὐτοῦ ἔλαβε τὰ προκεί-
μενα λόγια, ἵνα ἀποδείξῃ τοῦ Ἰησοῦ Χρι-
στοῦ τὴν θεότητα· πρὸ τούτων δὲ τῶν λό-
γων πρὸς ἀπόδειξιν τῶν ὑπερφυῶν προτε-
ρημάτων τῆς ἀνθρωπίνης φύσεως τοῦ Χρι-
στοῦ ἐξ ἄλλου Δαβιτικοῦ ψαλμοῦ παρέθηκε
ταῦτα· « Ὁ θρόνος σου, ὁ Θεός, εἰς τὸν
» αἰῶνα τοῦ αἰῶνος· ῥάβδος εὐθύτητος ἡ
» ῥάβδος τῆς βασιλείας σου· ἠγάπησας δι-
» καιοσύνην, καὶ ἐμίσησας ἀνομίαν· διὰ
» τοῦτο ἔχρισέ σε, ὁ Θεός, ὁ Θεός σου ἔλαιον
» ἀγαλλιάσεως » (1). Βλέπε δέ, πῶς συνά-
πτει ταῦτα μετὰ τῶν προκειμένων, ἵνα δεί-
ξῃ, ὅτι ὁ αὐτὸς Ἰησοῦς Χριστός ἐστι δημι-
ουργὸς τῆς κτίσεως, καὶ Θεὸς ἀληθινός· καὶ
« Σὺ κατ' ἀρχάς, Κύριε »· οὐ μόνον, λέγει,
τὰ προειρημένα εἶπεν ὁ Δαβὶδ περὶ τοῦ Χρι-
στοῦ, ἀλλὰ καὶ ταῦτα· « Κατ' ἀρχὰς σύ,
» Κύριε, τὴν γῆν ἐθεμελίωσας, καὶ ἔργα
» τῶν χειρῶν σου εἰσὶν οἱ οὐρανοί ». Ἔδει-
ξε δὲ διὰ τούτων πρῶτος μὲν ὁ προφήτης,
ὁ ταῦτα προφητεύσας, δεύτερος δὲ ὁ Ἀπό-
στολος, ὁ ταῦτα κατανοήσας, ὅτι ὁ Χριςὸς
ἐστι δημιουργὸς τοῦ οὐρανοῦ καὶ τῆς γῆς,
καὶ ἑπομένως Θεὸς ἀληθινός· διότι ὁ Θεός
ἐστιν ὁ ἐν ἀρχῇ ποιήσας τὸν οὐρανὸν καὶ
τὴν γῆν· « Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν
» οὐρανὸν καὶ τὴν γῆν » (2)· ἀλλὰ διὰ τί ὁ
μὲν Μωϋσῆς εἶπε « Τὸν οὐρανόν », ἑνικῶς,
ὁ δὲ Δαβὶδ λέγει, « Οἱ οὐρανοί », πληθυν-
τικῶς; (3) διότι ἰδίωμά ἐστι, λέγουσί τινες,
τῆς ἑβραϊκῆς διαλέκτου, ἵνα τὸν οὐρανὸν
προφέρῃ καὶ πληθυντικῶς, οὐρανοὺς λέγου-
σα. Μήπως δὲ οὐρανοὺς εἶπεν, ἵνα περιλάβῃ
καὶ τὴν ἀτμοσφαῖραν καὶ τὸν ἀέρα, τὰ
περιέχοντα καὶ περιτυλίσσοντα πᾶσαν τὴν
γῆν· ἔργα δὲ χειρῶν ὠνόμασε τὰς ἐνεργη-
τικὰς τοῦ Θεοῦ δυνάμεις, ἵνα ἐμφαντικώ-
τερον δηλοποιήσῃ, ὅτι ἔργον Θεοῦ εἰσιν οἱ
οὐρανοί.

*Αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμένεις·
καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσον-
ται, καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐ-
τούς, καὶ ἀλλαγήσονται· σὺ δὲ ὁ αὐτὸς
εἶ καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσι* (4).

Περὶ τοῦ οὐρανοῦ ὁ μὲν Ἡσαΐας λέγει·
« Καὶ ἑλιγήσεται ὁ οὐρανὸς ὡς βιβλίον » (5).
Περὶ δὲ αὐτοῦ τοῦ οὐρανοῦ καὶ πάντων
τῶν λοιπῶν κτισμάτων ὁ Πέτρος ἐδίδαξε
ταῦτα· « Ἥξει δὲ ἡ ἡμέρα Κυρίου ὡς
» κλέπτης ἐν νυκτί, ἐν ᾗ οἱ οὐρανοὶ
» ῥοιζηδὸν παρελεύσονται, στοιχεῖα δὲ
» καυσούμενα λυθήσονται, καὶ γῆ, καὶ τὰ
» ἐν αὐτῇ ἔργα κατακαήσεται. Καινοὺς
» δὲ οὐρανούς, καὶ γῆν καινὴν κατὰ τὸ
» ἐπάγγελμα αὐτοῦ προσδοκῶμεν, ἐν οἷς
» δικαιοσύνη κατοικεῖ » (6). Βεβαιοῖ δὲ ταῦτα
καὶ ὁ Παῦλος, λέγων· « Τῇ γὰρ ματαιότητι
» ἡ κτίσις ὑπετάγη, οὐχ ἑκοῦσα, ἀλλὰ διὰ
» τὸν ὑποτάξαντα, ἐπ' ἐλπίδι, ὅτι καὶ αὐ-
» τὴ ἡ κτίσις ἐλευθερωθήσεται ἀπὸ τῆς
» δουλείας τῆς φθορᾶς εἰς τὴν ἐλευθερίαν
» τῆς δόξης τῶν τέκνων τοῦ Θεοῦ » (7). Ἐκ
τούτων φανερόν ἐστιν, ὅτι τό, « Αὐτοὶ ἀπο-
» λοῦνται », οὐ σημαίνει, ὅτι οἱ οὐρανοὶ
ἐν τῇ ἡμέρᾳ τῆς παρουσίας τοῦ Κυρίου ἐ-
ξουδενοῦνται, καὶ καταντῶσιν εἰς τὸ μὴ ὄν,

(1) Ψαλ. 44, 6, 7. (2) Γεν. 1, 1. (3) ὁ Ἀνών. ἐν τῇ τῶν Ψαλ. Σειρ. εἰς τὸν 48, Ψαλ. (4) Ἑβρ. 1, 11, 12.
(5) Ἡσ. 34, 4. (6) Β΄. Πέτρ. 3. 10, 13. (7) Ῥωμ. 8, 20, 21.



κατὰ τὸν λόγον τῆς οὐσίας καὶ τῆς ὑπάρ-
ξεως, ἀλλὰ μόνον κατὰ τὸν λόγον τῶν ἰδιω-
μάτων αὐτῶν τῶν ὑποκειμένων τῇ φθορᾷ·
πρὸ τῆς ἡμέρας ἐκείνης καί οἱ οὐρανοὶ καὶ
πᾶσα ἡ κτίσις πάσχουσι μεταβολὰς καὶ
ἀλλοιώσεις, καὶ εἰσὶν ὑποκείμενα εἰς τὴν
φθοράν, μετὰ δὲ τὴν ἡμέραν ἐκείνην γί-
νονται ἀμετάβλητα καὶ ἐλεύθερα ἀπὸ τῆς
δουλείας τῆς φθορᾶς, ἤγουν ἄφθαρτα· εἰς
δόξαν τῶν τέκνων τοῦ Θεοῦ, τῶν ἀφθαρ-
τισθέντων. Παρατήρησον δὲ καὶ τοῦ προ-
φήτου καὶ τοῦ Ἀποστόλου τὴν σύνεσιν·
ἀφ' οὗ εἶπον τό, « Αὐτοὶ ἀπολοῦνται »,
ἵνα μηδεὶς νομίσῃ, ὅτι οἱ οὐρανοὶ τότε κα-
ταντῶσιν εἰς παντελῆ ἀφανισμόν, ἐπεσύ-
ναψαν ταῦτα τὰ ἐξηγηματικὰ λόγια· « Καὶ
» πάντες ὡς ἱμάτιον παλαιωθήσονται,
» καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτούς, καὶ
» ἀλλαγήσονται », ὥσπερ ἂν εἰ ἔλεγον διὰ
τούτων; τό, « Ἀπολοῦνται », σημαίνει,
ὅτι ὡς παλαιὰ ἀλλαγήσονται, ἤγουν μετα-
βληθήσονται ἀπὸ τῆς φθορᾶς εἰς τὴν ἀ-
φθαρσίαν. Τοῦτο οὖν λέγει ὁ προφήτης, καὶ
σὺν αὐτῷ ὁ Ἀπόστολος· Κύριε Ἰησοῦ, καὶ
αὐτοὶ οἱ οὐρανοὶ μεταβάλλουσι τὰ ἰδιώμα-
τα αὐτῶν, σὺ δὲ διαμένεις ἀμετάβλητος·
πάντες παλαιωθήσονται, ὡς παλαιοῦται τὸ
ἱμάτιον· σὺ τυλίξεις αὐτούς, ὡς τυλίσσεται
τὸ ἔνδυμα, καὶ αὐτοὶ μὲν ἀλλαγήσονται,
ἄφθαρτοι ἀντὶ φθαρτῶν γενόμενοι, σὺ δὲ
ὑπάρχεις διαπαντός, καὶ τὰ ἔτη τῆς ὑπάρ-
ξεώς σου οὐδέποτε ἐκλείψουσιν, ἐπειδή εἰσιν
αἰώνια καὶ ἀτελεύτητα. Διὰ τούτων δὲ τῶν
προφητικῶν λόγων δείξας ὁ Ἀπόστολος τὸν
Θεάνθρωπον Ἰησοῦν ἄφθαρτον, ἀναλλοίω-
τον, ἀμετάβλητον, αἰώνιον, μεταβαίνει εἰς
ἄλλην ἀπόδειξιν, λέγων·

*Πρὸς τίνα δὲ τῶν ἀγγέλλων εἴρηκέ
ποτε· κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ
τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν
σου* (1);

Ὁ Θεὸς πνεῦμα ὢν ἀσώματον, ἄϋλον,
ἀμερές, ἀσχημάτιςον, ἀπερίγραπτον, παν-
ταχοῦ παρόν, καὶ τὰ πάντα πληροῦν, οὐδὲ
δεξιὰ ἔχει, οὐδὲ ἀριστερά, οὐδὲ κάθηται,
οὐδὲ ἀνίσταται, οὐδὲ ἔχει πόδας, οὐδὲ τῶν
ποδῶν ὑποπόδιον· ἀνθρωποπαθῶς δὲ ἐλάλη-
σε ταῦτα ὁ Δαβίδ, καὶ ἐξ αὐτοῦ ὁ Παῦλος,
ἵνα ἐκ τῶν καθ' ἡμᾶς κατανοήσωμεν ὁπωσ-
δήποτε τὰ ὑπὲρ ἡμᾶς. Καὶ τὸ μέν, « Κά-
» θου », σημαίνει τὸ βέβαιον, καὶ ἑδραῖον,
καὶ ἀσάλευτον τῆς ἐν τῇ βασιλείᾳ καὶ δό-
ξῃ διαμονῆς· τὸ δέ, « Ἐκ δεξιῶν μου »,
τὴν ἰσοτιμίαν τοῦ Υἱοῦ, καὶ τελείαν συγ-
κοινωνίαν καὶ συμμετοχὴν πάντων, ὧν ἔχει
ὁ Πατήρ· « Ὑποπόδιον τῶν ποδῶν », τὴν
παντελῆ καὶ ὁλόκληρον νίκην τῶν ἐχθρῶν.
Σημείωσαι δέ, ὅτι τό, « ἕως », σημαίνει
οὐ μόνον τό, ἕως τότε, ἀλλὰ καὶ τὸ μετέ-
πειτα εἰς αἰῶνα αἰῶνος· τοῦτο φανερόν ἐςιν
ἐκ τοῦ, « Οὐκ ἀνέστρεψεν ὁ κόραξ, ἕως τοῦ
» ξηρανθῆναι τὸ ὕδωρ ἀπὸ τῆς γῆς » (2).
καὶ ἐκ τοῦ ἐγώ εἰμι· καὶ ἕως ἂν καταγηρά-
» σητε, ἐγώ εἰμι » (3)· διότι οὐδέποτε ὁ
κόραξ ἐπέστρεψεν εἰς τὴν κιβωτόν, ἀλλ' οὐ-
δὲ ὁ Θεὸς εἶχε τὴν ὕπαρξιν μόνον ἕως τοῦ
γήρατος τῶν Ἰουδαίων, ἀλλ' ὑπάρχει εἰς
τοὺς ἀπεράντους αἰῶνας τῶν αἰώνων, ὡς
ἀθάνατος καὶ ἀτελεύτητος· ἐχθροὶ δέ, οἱ
κατὰ κράτος ὑπὸ τοῦ Κυρίου Ἰησοῦ νικη-
θέντες, εἰσὶν ὁ θάνατος, καὶ αἱ ἀρχαί, καὶ
ἐξουσίαι, καὶ δυνάμεις τοῦ σκότους (4). Ἀλ-
λὰ διὰ τί ὁ Ἀπόστολος προβάλλων τοῦ Δα-

(1) Ἑβρ. 1, 13. (2) Γεν. 8, 7. (3) Ἡσ. 46, 4. (4) Α΄. Κορ. 15, 24, 25.

ϐὶδ τὰ λόγια, μεταβάλλει αὐτὰ εἰς ἐρώτησιν; ἦσαν; ὡς φαίνεται, τινὲς τῶν Ἑβραίων, οἵτινες ἡρμήνευον τό, « Εἶπεν ὁ Κύριος τῷ » Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου » (1), λέγοντες, ὅτι ὁ Θεὸς εἶπε πρός τινα τῶν ἀγγέλων· « Κάθου ἐκ δεξιῶν μου »· Ὅθεν ὁ Παῦλος ἐρωτᾷ τοὺς τοιούτους ἑρμηνευτάς, τίς ἐστιν οὗτος ὁ ἄγγελος, πρὸς ὃν ὁ Κύριος εἰπών « Κάθου ἐκ δεξιῶν μου; » κατέστησεν αὐτὸν ἰσότιμον αὐτοῦ, καὶ ἰσοδύναμον; ὁ Δαβὶδ οὐ λέγει, εἶπεν ὁ Κύριος τῷ ἀγγέλῳ μου, ἀλλ' « εἶπεν ὁ Κύριος τῷ Κυ« ρίῳ μου »· ὁ δὲ ἄγγελος οὐκ ἔστι Κύριος, ἀλλὰ δοῦλος καὶ ὑπηρέτης Θεοῦ. Τούτου δὲ τὴν ἀπόδειξιν κατασκευάζει διὰ τῶν λόγων τοῦ αὐτοῦ Δαβίδ, λέγων·

*Οὐχὶ πάντες εἰσὶ λειτουργικὰ πνεύματα, εἰς διακονίαν ἀποστελλόμενα διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν;* (2)

Ὁ προφήτης Δαβὶδ πρῶτος ἐδίδαξεν, ὅτι οἱ ἄγγελοί εἰσι πνεύματα καὶ λειτουργοὶ τοῦ Θεοῦ· αὐτός εἶπεν· « Ὁ ποιῶν τοὺς » ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λει» τουργοὺς αὐτοῦ πυρὸς φλόγα » (3). Ἐκ τούτων οὖν τῶν λόγων ἀποδεικνύει ὁ Ἀπόστολος, ὅτι οἱ ἄγγελοί εἰσι μὲν πνεύματα, ἤγουν οὐσίαι ἀσώματοι καὶ ἄϋλοι, εἰσὶν ὅμως λειτουργοὶ καὶ ὑπηρέται τοῦ Θεοῦ, ἀποστελλόμενοι πρὸς ὑπηρεσίαν τῶν θείων αὐτοῦ θελημάτων διὰ φωτισμὸν καὶ βοήθειαν ἐκείνων τῶν ἀνθρώπων, οἵτινες διὰ τὴν πίστιν καὶ ἀρετὴν αὐτῶν μέλλουσι γενέσθαι κληρονόμοι τῆς αἰωνίου σωτηρίας. Βλέπομεν δὲ τὴν ἐκ τῆς ἀποστολῆς τῶν ἀγγέλων ὑπηρεσίαν καὶ εἰς τὴν Παλαιὰν καὶ εἰς τὴν Νέαν Διαθήκην· εἰς μὲν τὴν Παλαιὰν βλέπεις, ὅτι ἄγγελος ἐδίδαξε τὴν Ἄγαρ, ἵνα ἐπιςρέψῃ πρὸς τὴν κυρίαν αὐτῆς (4)· ἄγγελοι προκατήγγειλαν εἰς τὸν Ἀβραὰμ τοῦ Ἰσαὰκ τὴν γέννησιν (5)· ἄγγελοι ἐφανέρωσαν εἰς τὸν Λὼτ τὴν περὶ τῶν Σοδόμων τοῦ Θεοῦ ἀπόφασιν, καὶ διεφύλαξαν αὐτόν τε καὶ τὴν γυναῖκα καὶ τὰς θυγατέρας αὐτοῦ ἀπὸ τοῦ ἐμπρησμοῦ, κρατήσαντες αὐτοὺς ἐκ τῶν χειρῶν αὐτῶν (6)· ἄγγελος ἐλύτρωσε τὸν Ἰακὼβ ἐκ πάντων τῶν ἐπισυμβάντων αὐτῷ κακῶν (7)· ἄγγελος ἦν « Ὁ προπορευόμενος τῆς παρεμβολῆς τῶν » υἱῶν Ἰσραὴλ » (8). Καὶ εἰς πολλὰ δὲ ἄλλα μέρη τῆς Παλαιᾶς Διαθήκης βλέπεις τοὺς ἀγγέλους ὑπηρετοῦντας εἰς τὰ θεῖα προστάγματα, καὶ βοηθοῦντας τοὺς δικαίους ἀνθρώπους· εἰς δὲ τὴν νέαν βλέπομεν, ὅτι οἱ ἄγγελοι εὐηγγελίσαντο τοῦ Προδρόμου τὴν σύλληψιν, καὶ τῆς ἀειπαρθένου τὸν τόκον, ὡδήγησαν τὸν Ἰωσὴφ καὶ τοὺς ποιμένας, ἔψαλλον ἐπὶ τῇ γεννήσει τοῦ Ἰησοῦ Χριστοῦ, τό, « Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ » ἐπὶ γῆς εἰρήνη ἐν ἀνθρώποις εὐδοκία » (9), καὶ ὑπηρέτησαν αὐτὸν μετὰ τὴν νηστείαν, ἐφανέρωσαν εἰς τὰς μυροφόρους τὴν τοῦ Χριστοῦ ἀνάστασιν, καὶ ἐκήρυξαν ἐν τῷ καιρῷ τῆς ἀναλήψεως αὐτοῦ τὴν δευτέραν αὐτοῦ ἔλευσιν (10)· ἐξήγαγον τοὺς Ἀποςόλους ἐκ τῆς φυλακῆς, ἔλυσαν τὰ δεσμὰ ἐκ τῶν χειρῶν τοῦ Πέτρου, ἥρπασαν τὸν Φίλιππον, ἐδίδαξαν τὸν Κορνήλιον, καὶ ἄλλας δὲ πολλὰς τοιαύτας ὑπηρεσίας καὶ εὐεργετήματα τῶν ἀγγέλων ἀναγινώσκομεν εἰς τὰς Θείας Γραφάς. Διὰ τούτων οὖν ἀποδείξας ὁ Θεῖος Ἀπόστολος, ὅτι ὁ Δαβὶδ οὐχὶ περὶ τῶν ἀγγέλων, ἀλλὰ περὶ τῆς ἀνθρω-

(1) Ψαλμ. 109, 1. (2) Ἑβρ. 1, 14. (3) Ψαλμ. 103, 4. (4) Γεν. 16, 9. (5) Αὐτ. 18, 10. (6) Αὐτ. 19, 16. (7) Αὐτ. 48, 16. (8) Ἐξ. 14, 19. (9) Λουκ. 2, 14. (10) Ματθ. 4, 11.



πίνης φύσεως τοῦ Ἰησοῦ Χριστοῦ λέγει τό, « Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου ἐκ » δεξιῶν μου » (1), μεταφέρει τὸν λόγον συμπερασματικῶς εἰς παραίνεσιν καὶ νουθεσίαν, διδάσκων οὕτω·

*Διὰ τοῦτο δεῖ περισσοτέρως ἡμᾶς προσέχειν τοῖς ἀκουσθεῖσι, μήποτε παραῤῥυῶμεν* (2).

Τό, « περισσοτέρως », σημαίνει σύγκρισιν. Τίνα οὖν εἰσι τὰ συγκρινόμενα; καὶ εἰς ποῖον ἀπονέμει τὸ περισσότερον; Εἶπε προλαβόν· « Πολυμερῶς καὶ πολυτρό» πως πάλαι ὁ Θεὸς λαλήσας τοῖς πατράσιν » ἐν τοῖς προφήταις » (3)· τοῦτο οὖν ἐςι τὸ ἓν μέρος τῶν συγκρινομένων, ἤγουν οἱ προφῆται· « Ἐπ' ἐσχάτων τῶν ἡμερῶν τού» των ἐλάλησεν ἡμῖν ἐν Υἱῷ »· ἰδοὺ καὶ τὸ ἕτερον μέρος τῶν συγκρινομένων, ὁ Υἱὸς δηλονότι τοῦ Θεοῦ· διὰ τοῦτο πρέπον ἐστί, λέγει, ἵνα μετὰ περισσοτέρας ἐπιμελείας προσέχωμεν εἰς ὅσα ἠκούσαμεν ὑπὸ τοῦ Υἱοῦ τοῦ Θεοῦ, « Μήποτε παραῤῥυῶμεν », μήπως μὴ προσέχοντες εἰς αὐτὰ περισσότερον. ἐκπέσωμεν, καὶ ἀπολεσθησώμεθα. Ἀλλ' ἐπειδὴ ὁ αὐτὸς Θεὸς καὶ διὰ τῶν προφητῶν ἐλάλησε, καὶ διὰ τοῦ Υἱοῦ αὐτοῦ, διὰ τί ἐςιν ἀναγκαία περισσοτέρα προσοχὴ εἰς τὰ λόγια τοῦ Υἱοῦ, ἤπερ εἰς τὰ τῶν προφητῶν; διότι οἱ προφῆται ἦσαν δοῦλοι, ὁ δὲ Υἱός ἐστιν ὁ δεσπότης· διότι οἱ προφῆται ἐλάλησαν τυπικῶς καὶ σκιωδῶς· « Σκι» ὰν γὰρ εἶχεν ὁ νόμος τῶν μελλόντων ἀ» γαθῶν, οὐκ αὐτὴν τὴν εἰκόνα τῶν πραγμά» των » (4)· ὁ δὲ Υἱὸς ἐλάλησεν ἀνακεκαλυμμένως τὴν τῶν πραγμάτων ἀλήθειαν· διότι ὁ νόμος « οὐδέποτε δύναται τοὺς προσ» ερχομένους τελειῶσαι » (5)· τὸ δὲ εὐαγγελικὸν κήρυγμα ἔδωκε τὴν τελειότητα εἰς τὸν νόμον καὶ εἰς τῶν προφητῶν τὰ κηρύγματα· διὰ τοῦτο εἶπεν ὁ θεάνθρωπος· « Μὴ » νομίσητε, ὅτι ἦλθον καταλῦσαι τὸν νό» μον, ἢ τοὺς προφήτας· οὐκ ἦλθον κατα» λῦσαι, ἀλλὰ πληρῶσαι » (6)· διότι τὸ μὲν κήρυγμα τῶν προφητῶν ἐστι παιδαγωγὸν εἰς Χριστόν· τὰ δὲ ὑπὸ τοῦ Ἰησοῦ Χριςοῦ διδαχθέντα εἰσὶ τῆς σωτηρίας πρόξενα· φανερὸν δέ ἐςιν, ὅτι διὰ τὰ ὑπ' αὐτοῦ τοῦ δεσπότου διδαχθέντα, καὶ ἐμφαντικῶς προσταχθέντα, καὶ ὑπερτέλεια ὄντα καὶ σωτηριώδη, χρεία ἐστὶ περισσοτέρας προσοχῆς, ἤπερ διὰ τὰ ὑπὸ τῶν δούλων συμβολικῶς κηρυχθέντα, καὶ ἀτελῆ ὄντα καὶ παιδαγωγὰ πρὸς τὴν ἀλήθειαν. Ἁρμοδιωτάτη δὲ ἡ τοιαύτη ἀποστολικὴ παραγγελία πρὸς τοὺς τότε εἰς Χριστὸν πιστεύσαντας καὶ ἑβραΐζοντας, οἵτινες ἐτίμων τὰ νομικὰ παραγγέλματα ἐπίσης τῇ εὐαγγελικῇ νομοθεσίᾳ. Μετὰ δὲ ταύτην τὴν παραγγελίαν ἐπιφέρει ὁ Ἀπόστολος τὸ ἐξ αὐτῆς συμπέρασμα, λέγων·

*Εἰ γὰρ ὁ δι' ἀγγέλων λαληθεὶς λόγος ἐγένετο βέβαιος, καὶ πᾶσα παράβασις καὶ παρακοὴ ἔλαβεν ἔνδικον μισθαποδοσίαν· πῶς ἡμεῖς ἐκφευξόμεθα τηλικαύτης ἀμελήσαντες σωτηρίας;* (7)

Ἐὰν τὸ ὄνομα ἀγγέλων ἐκλάβῃς κατὰ τὴν σημασίαν τῆς λέξεως, ὁ λόγος ὁ δι' ἀγγέλων λαληθείς, ἐστιν ὁ λόγος τῶν προφητῶν· διότι ἄγγελοι, ἤγουν, μηνυταὶ καὶ κήρυκες τῶν θείων προσταγμάτων ἦσαν οἱ ἅγιοι προφῆται· διὸ καὶ ὁ προφήτης καὶ βα-

(1) Ψαλ. 109, 1. (2) Ἑβρ. 2, 1. (3) Αὐτ. 1, 1. (4) Αὐτ. 10, 1. (5) Αὐτ. (6) Ματθ. 5, 17. (7) Ἑβρ. 2, 2.

πτιστὴς Ἰωάννης ὠνομάσθη ἄγγελος, ἤγουν μηνυτὴς καὶ κήρυξ τῆς παρουσίας τοῦ Ἰησοῦ Χριστοῦ (1)· κατὰ ταύτην δὲ τὴν σημασίαν ἔχει ἡ ἔννοια οὐ μόνον πιθανότητα, ἀλλὰ καὶ συνάφειαν μετὰ τῶν προλαβόντων λόγων (2)· ἐὰν δὲ διὰ τοῦ, ἀγγέλων, νοήσῃς αὐτὰ τὰ ἀγγελικὰ λειτουργικὰ πνεύματα, « ὁ δι' ἀγγέλων λαληθεὶς λόγος » σημαίνει ἢ τὸν νόμον τὸν ὑπὸ τοῦ Θεοῦ δοθέντα ἐν Σινᾷ διὰ τῆς ὑπηρεσίας τῶν ἀγγέλων, ὡς ἐσημείωσεν ὁ μὲν πρωτομάρτυς Στέφανος, εἰπών· « Οἵτινες ἐλάβετε τὸν νόμον εἰς διαταγὰς ἀγγέλων » (3)· ὁ δὲ Παῦλος γράψας· « Τί οὖν ὁ νόμος; τῶν παραβάσεων χάριν προσετέθη, ἄχρις οὗ ἔλθῃ τὸ σπέρμα, ᾧ ἐπήγγελται, διαταγεὶς δι' ἀγγέλων, ἐν χειρὶ μεσίτου » (4), τὸν Μωϋσῆν ὀνομάσας μεσίτην· ἢ σημαίνει τὰ τοῦ Θεοῦ προστάγματα, τὰ δι' ἀγγέλων κατὰ διαφόρους καιροὺς φανερωθέντα τοῖς ἀνθρώποις (5)· ὅθεν οὐκ εἶπεν ὁ λαληθεὶς νόμος, ἀλλ' ὁ λαληθεὶς λόγος. Εἴτε δὲ « ὁ δι' ἀγγέλων λαληθεὶς λόγος » σημαίνει τὸν διὰ τῶν προφητῶν, εἴτε τὸν διὰ τῶν ἀγγέλων λαληθέντα λόγον, εἴτε αὐτὸν τὸν ἐν Σινᾷ δοθέντα νόμον, ὁ τοιοῦτος λόγος « ἐγένετο βέβαιος », ἤγουν ἐβεβαιώθη καὶ ἀπεδείχθη διὰ τῆς τῶν πραγμάτων ἐκβάσεως· καὶ πᾶσα δὲ νόμου παράβασις, καὶ πᾶσα παρακοὴ θείου προστάγματος ἔλαβε δικαίαν τὴν μισθαποδοσίαν, τουτέστι τὴν πρέπουσαν τῆς τιμωρίας ἀνταπόδοσιν. Βλέπε δέ, πόσον ἰσχυρῶς ἀποδεικνύει ὁ Παῦλος, ὅτι ἄφευκτος καταδίκη περιμένει τοὺς μὴ ὑπακούοντας, ἀλλὰ παραβαίνοντας τὴν εὐαγγελικὴν νομοθεσίαν· ἐάν, λέγει, ὁ λόγος, ὁ λαληθεὶς δι' ἀγγέλων ἐβεβαιώθη διὰ τῆς τῶν πραγμάτων ἐκβάσεως, καὶ πάντες οἱ παραβάται ἐτιμωρήθησαν, πῶς ἡμεῖς δυνάμεθα φυγεῖν τὴν τιμωρίαν, ἐὰν ἀμελήσωμεν τὸν τοσοῦτον σωτηριώδη λόγον τοῦ Ἰησοῦ Χριστοῦ, ὅςις ἐστὶν ὁ λόγος τοῦ Εὐαγγελίου; Δηλοποιεῖ δὲ διὰ τῶν ἑξῆς, τίνι τρόπῳ ἐβεβαιώθη οὗτος ὁ σωτηριώδης λόγος·

*Ἥτις ἀρχὴν λαβοῦσα λαλεῖσθαι διὰ τοῦ Κυρίου, ὑπὸ τῶν ἀκουσάντων εἰς ἡμᾶς ἐβεβαιώθη* (6).

Ἐπειδὴ σωτηρίαν ὠνόμασε τὸν σωτηριώδη λόγον τοῦ Εὐαγγελίου, εἰπών· « τηλικαύτης σωτηρίας », διὰ τοῦτο ἀκολουθεῖ τὸν κανόνα τῆς συντάξεως, λέγων· « ἥτις ἀρχὴν λαβοῦσα λαλεῖσθαι διὰ τοῦ Κυρίου ». Αὐτόν, λέγει, τὸν εὐαγγελικὸν τῆς σωτηρίας λόγον πρῶτος ἤρξατο λαλεῖν καὶ διδάσκειν ὁ Κύριος Ἰησοῦς, ἡμεῖς δὲ ἐβεβαιώθημεν καὶ ἐπληροφορήθημεν ὑπὸ τῶν ἀκουσάντων αὐτὸν ἐκ τοῦ στόματος αὐτοῦ· ἔπειτα προστίθησι καὶ ταῦτα· συνεπεμαρτύρει δὲ ὁ Θεὸς τοῦ λόγου τὴν ἀλήθειαν διὰ σημείων καὶ θαυμάτων παραδόξων, καὶ ποικίλων δυνάμεων, καὶ χαρισμάτων τοῦ ἁγίου Πνεύματος, μεριζομένων κατὰ τὴν ἑαυτοῦ θέλησιν. « Συνεπιμαρτυροῦντος τοῦ Θεοῦ σημείοις τε καὶ τέρασι, καὶ ποικίλαις δυνάμεσι, καὶ Πνεύματος ἁγίου μερισμοῖς, κατὰ τὴν αὐτοῦ θέλησιν » (7)· ἀλλὰ πῶς ὁ Παῦλος πρὸς μὲν τοὺς Γαλάτας ἔγραφεν· « Οὐδὲ γὰρ ἐγὼ παρὰ ἀνθρώπου παρέλαβον αὐτό, ἤγουν τὸ Εὐαγγέλιον, οὔτε ἐδιδάχθην· ἀλλὰ δι' ἀποκαλύψεως Ἰησοῦ Χριστοῦ » (8)· πρὸς δὲ

(1) Μαλαχ. 3, 1. (2) Ὅρ. Χρυσ. Θεοδώριτ. Οἰκουμ. Θεοφύλ. Αὐτ. (3) Πράξ. 7, 53. (4) Γαλάτ. 3, 19.
(5) Ὅρ. Θεοδώρ. εἰς τὸ 3. καὶ τῆς πρὸς Γαλ. (6) Ἑβρ. 2, 3. (7) Αὐτ. 2, 4. (8) Γαλ. 1, 12.



τοὺς Ἑβραίους ἐκήρυττε, λέγων· « Ὑπὸ τῶν ἀκουσάντων εἰς ἡμᾶς ἐβεβαιώθη; » Περὶ τούτου σημείωσαι πρῶτον, ὅτι πρὸς μὲν τοὺς Γαλάτας λέγει, « ἐγώ »· πρὸς δὲ τοὺς Ἑβραίους, « Εἰς ἡμᾶς », συμπεριλαμβάνων ἑαυτὸν μετὰ τῶν πιστευσάντων Ἑβραίων, οἵτινες ἐδιδάχθησαν καὶ ἐβεβαιώθησαν τὰ περὶ τῆς χριστιανικῆς πίστεως ὑπὸ τῶν ἄλλων Ἀποστόλων, τῶν ἀκουσάντων τὸν εὐαγγελικὸν λόγον ἀπὸ τοῦ στόματος αὐτοῦ τοῦ Ἰησοῦ Χριστοῦ, ἵνα ἰσχυροτέραν ποιήσῃ τῆς βεβαιότητος τὴν δύναμιν. Δεύτερον δὲ σημείωσον, ὅτι κἂν ὁ Παῦλος δι' ἀποκαλύψεως Ἰησοῦ Χριστοῦ ἐδιδάχθη τὰ δόγματα καὶ τοὺς νόμους τῆς χριστιανικῆς πίστεως, καὶ οὐκ εἶχε χρείαν ἀκοῦσαι ταῦτα παρὰ ἀνθρώπων, ὅμως οὐδεμία ἀμφιβολία ἐστίν, ὅτι οἱ Ἀπόστολοι, οἱ αὐτόπται γενόμενοι τοῦ λόγου, ὁ Ἀνανίας ὁ βαπτίσας αὐτόν (1), καὶ ὁ Βαρνάβας, ὁ παραστήσας αὐτὸν ἐνώπιον τῶν Ἀποστόλων (2), καὶ ὁ Πέτρος, ὃν ἀνῆλθεν ἱστορῆσαι εἰς τὰ Ἱεροσόλυμα, καὶ ἐπέμεινε « Πρὸς αὐτὸν ἡμέρας δεκαπέντε » (3), καὶ ὁ Ἰάκωβος δέ, ὃν εἶδε, καὶ Κηφᾶς, καὶ Ἰωάννης (4), οἱ δοκοῦντες στύλοι εἶναι, καὶ γνωρίσαντες τὴν ἐν αὐτῷ χάριν, καὶ συμφωνήσαντες, ἵνα αὐτὸς μὲν καὶ ὁ Βαρνάβας κηρύξωσιν εἰς τὰ ἔθνη, αὐτοὶ δὲ εἰς τοὺς Ἑβραίους· ἀναμφίβολον, λέγω, ἐστίν, ὅτι οὗτοι οἱ Ἀπόστολοι διηγήθησαν αὐτῷ, ὅσα ἤκουσαν παρὰ τοῦ Ἰησοῦ Χριστοῦ, καὶ ὅσα ἐν αὐτῷ εἶδον· ὅθεν καὶ κατὰ τοῦτο ἀληθῶς ἔλεγεν, ὅτι ὑπὸ τῶν ἀκουσάντων ἐβεβαιώθη.

# ΟΜΙΛΙΑ

ΜΕΤΑ ΤΗΝ ΠΡΟΣ

## ΕΒΡΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

### ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗι Β'. ΚΥΡΙΑΚΗι ΤΩΝ ΝΗΣΤΕΙΩΝ.

ἘΛΕΓΧΕΙ ὁ σοφὸς Σολομὼν τὸν ὀκνηρὸν ἄνθρωπον, ὅστις κατάκειται ἀργός, καὶ οὐδὲν ἔργον ἐργάζεται, ἀλλὰ κοιμᾶται· « Ἕως τίνος, λέγει, ὀκνηρέ, κατάκεισαι; πότε δὲ ἐξ ὕπνου ἐγερθήσῃ; » (5) ἔπειτα περιγράφει ἐλεγκτικῶς τὰ ἄεργα ἔργα τῆς ὀκνηρίας αὐτοῦ, λέγων· « Ὀλίγον μὲν ὑπνοῖς, ὀλίγον δὲ κάθησαι, μικρὸν δὲ νυστάζεις, ὀλίγον δὲ ἐναγκαλίζῃ χερσὶ στήθη » (6). Μετὰ ταῦτα ἀναγγέλλει αὐτῷ, ποία ἐστὶν ἡ τιμωρία τῆς ὀκνηρίας αὐτοῦ· « Εἶτ' ἐμπαραγίνεταί σοι, λέγεί, ὥσπερ κακὸς ὁδοιπόρος ἡ πενία, καὶ ἡ ἔνδεια ὥσπερ ἀγαθὸς δρομεύς » (7). Ὁ δὲ θεόπνευστος Παῦλος οὐκ ἐλέγχει τὸν ὀκνηρόν, ἀλλὰ φοβίζει καὶ καταπλήττει τὴν ψυχὴν αὐτοῦ, ὡς σήμερον ἠκούσαμεν, προβάλλων τὴν δικαίαν τοῦ Θεοῦ τιμωρίαν,

(1) Πράξ. 9, 18. (2) Αὐτ. 27. (3) Γαλ. 1, 18. (4) Αὐτ. 2, 9. (5) Παροιμ. 6, 9.
(6) Αὐτ. 10. (7) Αὐτ. 11.

τὴν κατὰ τῶν παραβάντων καὶ παρακουσάντων τὰ θεῖα αὐτοῦ προςάγματα· «Πᾶσα παράβασις, κραυγάζει, καὶ παρακοὴ ἔλαβεν ἔνδικον μισθαποδοσίαν » (1)· οὐδὲ περιγράφει αὐτὸς τὰ συμβαίνοντα εἰς τὸν ὀκνηρὸν ἐκ τῆς ἀμελείας αὐτοῦ, ἀλλ' ἀποφασίζει, ὅτι ἡ κατ' αὐτοῦ τιμωρία ἐστὶν ἄφευκτος· « Πῶς οὖν, λέγει, ἡμεῖς ἐκφευξόμεθα, τηλικαύτης ἀμελήσαντες σωτηρίας; » (2) Ὁ Σολομὼν προλέγει εἰς τὸν ὀκνηρόν, ὅτι ἡ ὀκνηρία φέρει εἰς αὐτὸν τὴν πτωχείαν· ὁ Παῦλος ἀποφασίζει, ὅτι ἡ ἀμέλεια φέρει ἀφεύκτως εἰς τοὺς ἀμελεῖς τοῦ Θεοῦ τὴν τιμωρίαν. Ἀλλὰ διὰ τί κατὰ τοῦ ὀκνηροῦ ὁ μὲν Σολομών ἐστι τοσοῦτον συγκαταβατικός, τιμωρίαν προβάλλων κοσμικὴν καὶ πρόσκαιρον· ὁ δὲ Παῦλος τόσον αὐστηρός, φοβερίζων τιμωρίαν θείαν καὶ αἰώνιον; Ὁ Σολομών, ἀδελφοί, ἐλάλησε περὶ τοῦ ὀκνηροῦ, τοῦ ἀμελοῦντος τὰ σωματικὰ ἔργα· ἀρκετὴ δὲ τιμωρία εἰς αὐτὸν ἡ ἐκ τῆς πτωχείας ἀκολουθοῦσα στενοχωρία καὶ κάκωσις· ὁ δὲ Παῦλος, ἐπειδὴ ἐλάλησε περὶ τοῦ ἀμελοῦς, τοῦ μὴ φροντίζοντος περὶ τῶν πνευματικῶν ἔργων, τῶν προξενούντων τῆς ψυχῆς τὴν σωτηρίαν, εὐλογοφανῶς καταπλήττει αὐτόν, καὶ δηλοποιεῖ τὴν περιμένουσαν αὐτὸν αἰώνιον τιμωρίαν.

Ἔχει ὅμως χρείαν σκέψεως ὁ λόγος τοῦ Παύλου, ἐπειδὴ αὐτὸς συντάσσει τὸν ἀμελοῦντα τῆς σωτηρίας αὐτοῦ μετὰ τῶν παραβαινόντων τὰς θείας ἐντολάς, καὶ παρακουόντων τοῦ Θεοῦ τὰ προστάγματα· ἀλλ', ἐάν τις ἀμελῇ μὲν τῆς σωτηρίας αὐτοῦ μηδεμίαν ἀρετὴν ἐργαζόμενος, πλὴν οὐδὲ παραβαίνῃ τοῦ Θεοῦ τὰς ἐντολάς, οὐδὲ παρακούῃ τὰ θεῖα προστάγματα, ἆρά γε ὁ τοιοῦτος διὰ μόνην τὴν ἀμέλειαν αὐτοῦ λαμβάνει τὴν αὐτὴν ἔνδικον μισθαποδοσίαν, δι' ἧς παιδεύονται οἱ παραβάται τῶν νόμων, καὶ οἱ παρήκοοι τῶν θείων προςαγμάτων; τόσον φοβεραί εἰσιν αἱ κατὰ τούτων τιμωρίαι, ὥςε ἀπίθανος φαίνεται τοῦ Παύλου ἡ διδασκαλία.

Ἀναβιβάζω τὸν νοῦν μου εἰς τὸν οὐρανόν· ἐκεῖ βλέπω τὴν ἔνδικον μισθαποδοσίαν ἐνεργουμένην κατὰ τῶν ὑπερηφανευθέντων ἀγγέλων· ἡ ἐν αὐτοῖς ἀστραπόμορφος λαμπρότης μεταβάλλεται εἰς ζοφερὸν σκότος· ἡ δὲ ἐπουράνιος δόξα καὶ ἡ θεία ἀγαλλίασις εἰς φλόγα πυρὸς κατακαίοντος αὐτοὺς αἰωνίως, ἐπειδὴ ἔπεσον ἐκ τοῦ οὐρανοῦ ὡς ἀστραπή· « Ἐθεώρουν τὸν Σατανᾶν, ὡς ἀστραπήν, ἐκ τοῦ οὐρανοῦ πεσόντα » (3), δι' αὐτοὺς δὲ καὶ τὸ πῦρ ἡτοιμάσθη τῆς αἰωνίου κολάσεως· « Τὸ πῦρ λέγει, τὸ αἰώνιον, τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ » (4). Καταβιβάζω τὰ διανοήματά μου εἰς τὸν παράδεισον· ἐκεῖ βλέπω τὴν ἔνδικον μισθαποδοσίαν κατὰ τῶν πρωτοπλάστων, τῶν παραβάντων τοῦ Θεοῦ τὴν ἐντολὴν τὴν σωτήριον· βλέπω ἔνδυμα δερματίνων χιτώνων· τοῦτο δέ ἐστιν ἡ παχυλὴ καὶ φθαρτὴ σάρξ· βλέπω ἐξορίαν ἐκ τοῦ παραδείσου, τὸν ἀπὸ τοῦ Θεοῦ χωρισμὸν σημαίνουσαν· καὶ φλογίνην ῥομφαίαν, φυλάττουσαν τὴν πύλην τῆς Ἐδέμ, τὸ ἀκοινώνητον τῆς θείας χάριτος δηλοῦσαν, καὶ τὴν τοῦ Θεοῦ κατὰ τοῦ ἀνθρώπου ἀγανάκτησιν. ἀκούω κατάραν· ἡ δὲ κατάρα εἰς μὲν τὴν γῆν βλαστάνει ἀκάνθας καὶ τριβόλους, εἰς δὲ τὸ πρόσωπον τοῦ ἀνθρώπου ἐκχέει ἱδρῶτας· ἀκούω τὴν φοβερὰν ἀπόφασιν τοῦ θανάτου « ὅτι γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ » (5). Ἐξάγω τοὺς

(1) Ἑβρ. 2, 2. (2) Αὐτ. 3. (3) Λουκ. 10, 18. (4) Ματθ. 25, 41. (5) Γεν. 3, 19.



λογισμούς μου ἐκ τοῦ παραδείσου εἰς τὴν γῆν· καὶ ἰδοὺ συναντῶ τὸν Κάϊν· αὐτὸς γεωργεῖ τὴν γῆν, πλὴν εἰς μάτην· διότι αὐτὴ δι' αὐτὸν οὐ καρποφορεῖ· αὐτὸς στενάζει ἐκ βάθους, καὶ τρέμει ἀπὸ κεφαλῆς ἕως ποδῶν, τόσην δὲ βάσανον δοκιμάζει, ὥστε ἐπιθυμεῖ τὸν θάνατον καὶ ἐπικαλεῖται αὐτόν, καὶ ζητεῖ φονέα, ἵνα αὐτὸν φονεύσῃ· « Καὶ ἔσται, λέγει, πᾶς ὁ εὑρίσκων με, ἀποκτενεῖ με » (1)· πλὴν οὐδὲ ταύτης τῆς παραμυθίας παραλαμβάνει· « Καὶ εἶπεν αὐτῷ Κύριος ὁ Θεός, οὐχ οὕτω » (2)· ταῦτά εἰσιν ἡ ἔνδικος μισθαποδοσία τῆς ἀδελφοκτονίας. « Ἐῤῥάγησαν πᾶσαι αἱ πηγαὶ τῆς ἀβύσσου, καὶ οἱ καταῤῥάκται τοῦ οὐρανοῦ ἠνεῴχθησαν· καὶ ἐγένετο ὁ ὑετὸς ἐπὶ τῆς γῆς τεσσαράκοντα ἡμέρας καὶ τεσσαράκοντα νύκτας. Καὶ ἐγένετο ὁ κατακλυσμός, καὶ ἀπέθανε πᾶσα σὰρξ κινουμένη ἐπὶ τῆς γῆς τῶν πετεινῶν, καὶ τῶν κτηνῶν, καὶ τῶν θηρίων, καὶ πᾶν ἑρπετὸν κινούμενον ἐπὶ τῆς γῆς, καὶ πᾶς ἄνθρωπος » (3)· ταῦτά εἰσιν ἡ ἔνδικος ἀντιμισθία τῶν σαρκικῶν ἁμαρτιῶν. « Καὶ εἶπε Κύριος ὁ Θεός, οὐ μὴ καταμείνῃ τὸ πνεῦμά μου ἐν τοῖς ἀνθρώποις τούτοις εἰς τὸν αἰῶνα, διὰ τὸ εἶναι αὐτοὺς σάρκας· καὶ Κύριος ἔβρεξεν ἐπὶ Σόδομα καὶ Γόμοῤῥα θεῖον καὶ πῦρ παρὰ Κυρίου ἐξ οὐρανοῦ, καὶ κατέστρεψε τὰς πόλεις ταύτας, καὶ πᾶσαν τὴν περίχωρον καὶ πάντας τοὺς κατοικοῦντας ἐν ταῖς πόλεσι, καὶ τὰ ἀνατέλλοντα ἐκ τῆς γῆς » (4). Τί ἐστι τοῦτο; τοῦτό ἐστιν ἡ ἔνδικος μισθαποδοσία κατὰ τούτων τῶν ἀνθρώπων· « διότι αἱ ἁμαρτίαι αὐτῶν μεγάλαι σφόδρα » (5). Κατελάλησαν οἱ Ἰσραηλῖται πρὸς τὸν Θεὸν καὶ κατὰ Μωϋσῆ· εὐθὺς δὲ θανατηφόροι ὄφεις ἔδακνον αὐτούς· « καὶ ἀπέθανε λαὸς πολὺς τῶν υἱῶν Ἰσραήλ » (6). Ὅταν δὲ ἐπόρνευσαν οἱ Ἰσραηλῖται εἰς τὰς θυγατέρας Μωάβ, καὶ ἐτελέσθησαν τῷ Βεελφεγώρ, τότε ἐφονεύθησαν « τέσσαρες καὶ εἴκοσι χιλιάδες » (7). Παρέρχεται ὅλη ἡ ἡμέρα, ἐὰν διηγηθῶ τὴν ἔνδικον τοῦ Θεοῦ μισθαποδοσίαν κατὰ πασῶν τῶν παραβάσεων καὶ τῶν παρακοῶν. Ἀλλὰ τοιαύτας ἆρά γε μισθαποδοσίας λαμβάνουσι καὶ οἱ ἀμελήσαντες τῆς ἑαυτῶν σωτηρίας; Τοιαύτας, κατὰ τὴν τοῦ Παύλου ἀπόφασιν.

Ἀλλ' οἱ ἀμελεῖς, λέγεις, οὐδὲ παραβάται εἰσίν, οὐδὲ παρήκοοι τῶν θείων προσταγμάτων· διὰ τί οὖν καταδικάζονται ὡς ἐκεῖνοι; Ὤ! περὶ τούτου ἄκουσον· « Ἔστωσαν, εἶπεν ὁ Κύριος, ὑμῶν αἱ ὀσφύες περιεζωσμέναι, καὶ οἱ λύχνοι καιόμενοι » (8). Τό, «ἔστωσαν», ἐστὶ προςακτικόν· πρόσταγμα οὖν εἰσι ταῦτα τὰ λόγια· τί δὲ ἄλλο σημαίνουσιν, εἰ μὴ τὴν προσοχὴν τοῦ νοός, καὶ τὴν διηνεκῆ ἐγρήγορσιν τῆς ψυχῆς; « Καὶ ὑμεῖς, εἶπεν, ὅμοιοι ἀνθρώποις, προσδεχομένοις τὸν κύριον ἑαυτῶν, πότε ἀναλύσει ἐκ τῶν γάμων, ἵνα, ἐλθόντος καὶ κρούσαντος, εὐθέως ἀνοίξωσιν αὐτῷ » (9). Τί ποιοῦσιν ἐκεῖνοι οἱ δοῦλοι, ὅσοι περιμένουσιν ἀπὸ ὥρας εἰς ὥραν τὸν Κύριον αὐτῶν, ἵνα, ὅταν ἔλθῃ καὶ κρούσῃ, ἀνοίξωσιν εὐθὺς τὴν θύραν; τί ποιοῦσιν; ἀμελοῦσιν, ἢ προσέχουσι; κοιμῶνται, ἢ γρηγοροῦσι; φανερὸν οὖν ἐστιν, ὅτι διὰ τούτων τῶν λόγων ἐκέλευσεν ὁ Κύριος ἡμᾶς, ἵνα ἀποῤῥίψαντες πᾶσαν ἀμέλειαν, μετὰ πάσης ἐγρηγόρσεως εὑρεθῶμεν ἕτοιμοι εἰς ὁποίαν ὥραν ἔλθῃ, ἵνα παραλάβῃ τὴν ψυχὴν ἡμῶν καὶ κατα-

(1) Γεν. 4, 14. (2) Αὐτ. 15. (3) Αὐτ. 7, 11, 12, 17, 24. (4) Αὐτ. 6, 3. καὶ 19, 24, 25. (5) Αὐτ. 18, 20.
(6) Ἀριθμ. 21, 6. (7) Ἀριθμ. 25, 1, 3, 9. (8) Λουκ. 12, 36. (9) Αὐτ. 36.

τάξῃ αὐτὴν εἰς τὸν νυμφῶνα τῆς θείας αὐτοῦ δόξης· διὰ τοῦτο δὲ καὶ ἐμακάρισε τοὺς γρηγοροῦντας δούλους· « Μακάριοι, εἶπεν, » οἱ δοῦλοι ἐκεῖνοι, οὓς ἐλθὼν ὁ Κύριος εὑρήσει γρηγοροῦντας » (1). Ζητεῖς καὶ ἄλλον περὶ τούτου λόγον τοῦ Κυρίου; » ἄκουσον· « Ἃ δὲ ὑμῖν λέγω, πᾶσι λέγω· γρηγορεῖτε » (2)· τί ἄλλο ἐστὶ τοῦτο, εἰ μὴ πρόσταγμα Θεοῦ φανερὸν καὶ ἐκπεφασμένον; τίς δὲ ἀγνοεῖ, ὅτι τό, « Γρηγορεῖτε » καὶ τό, μὴ ἀμελεῖτε, ἓν καὶ τὸ αὐτὸ σημαίνουσιν; οὐκ εἶπε δὲ τοῦτο ὁ Κύριος ἁπλῶς καὶ ἄνευ λόγου, ἀλλὰ προσέθετο καὶ τό, διὰ ποῖον λόγον ἀνάγκη ἐστὶν ἵνα γρηγορῶμεν· « Γρηγορεῖτε, εἶπεν, ὅτι οὐκ οἴδατε τὴν » ἡμέραν, οὐδὲ τὴν ὥραν, ἐν ᾗ ὁ Υἱὸς τοῦ » ἀνθρώπου ἔρχεται » (3). Βλέπε δὲ καὶ τὴν ἔνδικον μισθαποδοσίαν κατ' ἐκείνου τοῦ ὀκνηροῦ δούλου, ὅστις διὰ τὴν ἀμέλειαν αὐτοῦ ἔκρυψε τὸ δοθὲν αὐτῷ τάλαντον· πρῶτον μὲν ἤλεγξεν αὐτὸν ἀποτόμως ὁ Κύριος ὡς διεστραμμένον καὶ πονηρόν· « Πονηρὲ » δοῦλε, εἶπε πρὸς αὐτόν, καὶ ὀκνηρέ » (4). ἔπειτα ὡς παραβάτην καὶ παρήκοον· ἐπαίδευσεν αὐτὸν αὐστηρότατα, εἰπών· « Καὶ » τὸν ἀχρεῖον δοῦλον ἐκβάλλετε εἰς τὸ σκότος τὸ ἐξώτερον· ἐκεῖ ἔσται ὁ κλαυθμὸς » καὶ ὁ βρυγμὸς τῶν ὀδόντων » (5). Πῶς οὖν οὐκ ἔστι παραβάτης καὶ παρήκοος, ὅςις ἀμελεῖ τῆς ψυχικῆς αὐτοῦ σωτηρίας; ἢ πῶς ἐκφεύξεται τὴν τιμωρίαν, ὅστις οὐδόλως φροντίζει περὶ τῆς ἐκπληρώσεως τοῦ σωτηριώδους λόγου τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ;

Ἐὰν καταλάβωμεν, τίς ἐστιν ὁ ἀμελῶν τῆς ψυχικῆς αὐτοῦ σωτηρίας, βλέπομεν καθαρῶς, ὅτι αὐτός ἐςιν ὁ παραβάτης τῶν ἐντολῶν καὶ ὁ παρήκοος· καὶ ἑπομένως πειθόμεθα, ὅτι εὐλόγως ὁ θεῖος Ἀπόστολος συνέταξεν αὐτὸν μετὰ τῶν παραβατῶν καὶ παρηκόων. Πολλοὶ μὲν εὑρίσκονται εἰς τὸν κόσμον, μηδέποτε εἰς τὸν οὐρανὸν τὰ ὄμματα αἴροντες, ἀλλ' ὡς τὰ ἄλογα ζῶα κάτω διὰ παντὸς νενευκότες, περὶ τῶν ἐπιγείων μόνον, τῆς τρυφῆς δηλονότι, καὶ τῆς σωματικῆς ἡδονῆς φροντίζουσι, περὶ αὐτῆς ὅλως διόλου σπουδάζοντες. Πλήν, ἐπειδὴ ὁ Θεάνθρωπος Ἰησοῦς καθιστόρησεν ἕνα τοιοῦτον ἄνθρωπον, εἰς αὐτὸν πρέπον ἐστίν, ἵνα προσηλώσωμεν τὴν προσοχὴν τοῦ νοός· « Ἀνθρώπου τινὸς πλουσίου, εἶπεν ὁ Κύριος, εὐφόρησεν ἡ χώρα, καὶ διελογίζετο » ἐν ἑαυτῷ, λέγων » (6)· πλούσιος ἦν οὗτος ὁ ἄνθρωπος, ἐκαρποφόρησε δὲ καὶ ἡ γῆ αὐτοῦ πολλοὺς καὶ καλοὺς καρπούς· τί οὖν διελογίζετο οὗτος; διελογίζετο ἆρά γε, ὅτι ὁ Θεὸς ἔδωκεν εἰς αὐτὸν ἐκ περισσοῦ τὸν πλοῦτον, καταστήσας αὐτὸν οἰκονόμον, ἵνα διανέμῃ αὐτὸν εἰς τοὺς πένητας; διελογίζετο ἆρά γε, ὅτι χρέος ἔχει, ἵνα προσφέρῃ τὴν εὐχαριστίαν πρὸς τὸν Θεόν, τὸν εὐεργετήσαντα αὐτόν; ἐσυλλογίζετο ἆρά γε τὸ φθαρτὸν τῆς ζωῆς, ἢ τὴν ἀθανασίαν τῆς ψυχῆς, ἢ τὴν ὥραν τοῦ θανάτου, ἢ τὸ φοβερὸν τοῦ Θεοῦ κριτήριον, ἢ τὴν δόξαν, τὴν περιμένουσαν τοὺς δικαίους καὶ ἐλεήμονας, ἢ τὴν κόλασιν, τὴν ἡτοιμασμένην εἰς τοὺς ἁμαρτωλοὺς καὶ ἀσπλάγχνους; « Καὶ διελογίζετο, λέγει, ἐν ἑαυτῷ, λέγων, τί » ποιήσω; » Τί οὖν ἔλεγε; καὶ τί ἤθελε ποιῆσαι; ἆρά γε ἔλεγε, καὶ ἤθελε χορτάσαι πεινῶντας, ἐνδῦσαι γυμνούς, ἐλεῆσαι ὀρφανοὺς καὶ χήρας; ἔλεγεν ἆρά γε, καὶ ἤθελε μετακομίσαι κἂν μέρος τοῦ πλούτου αὐτοῦ

(1) Λουκ. 12, 37. (2) Μάρκ. 13, 37. (3) Ματθ. 25, 13. (4) Αὐτ. 26. (5) Αὐτ. 30.
(6) Λουκ. 12, 16, 17.



εἰς τὰς ἐπουρανίους ἀποθήκας τῆς ἄνω Ἱερουσαλήμ, ὅπου ἡ μακαρία πατρὶς ἡμῶν, καὶ ἡ κατοικία ἡ αἰώνιος; οὐδὲν τούτων οὐδὲ διελογίζετο, οὐδὲ ἤθελε ποιῆσαι. Ταῦτα συλλογίζονται καὶ ποιοῦσιν, ὅσοι ἐγρηγόρως φροντίζουσι περὶ τῆς ἑαυτῶν σωτηρίας· αὐτὸς δὲ μηδόλως μεριμνῶν περὶ τῆς ψυχῆς αὐτοῦ, μηδὲ ἐνατενίζων εἰς τὸν οὐρανόν, ἀλλὰ προσηλωμένον ἔχων καὶ νοῦν καὶ καρδίαν εἰς τὴν γῆν, ἄλλα διελογίζετο, καὶ ἄλλα ἐμελέτα, ἄλλα δὲ καὶ ἐποίησεν. Αὐτὸς διελογίζετο, καὶ διαλογιζόμενος ἐστενοχωρεῖτο, βλέπων, ὅτι οὐκ ἔχει τόπον, ὅπου ἂν καταθῇ τοὺς νεοδρέπτους καρποὺς αὐτοῦ· « Καὶ διελογίζετο ἐν ἑαυτῷ, λέγων, τί ποιήσω; ὅτι οὐκ ἔχω, ποῦ συνάξω τοὺς καρπούς μου »· ἀπεφάσισε δέ, ἵνα καθέλῃ τὰς ἀποθήκας αὐτοῦ, καὶ οἰκοδομήσῃ ἄλλας μείζονας· ἐκεῖ δὲ συνάξας τοὺς καρποὺς αὐτοῦ, τρώγῃ, καὶ πίνῃ, καὶ χαίρῃ, καὶ ἀναπαύηται· « Καὶ εἶπε, τοῦτο ποιήσω· » καθελῶ μου τὰς ἀποθήκας, καὶ μείζονας » οἰκοδομήσω, καὶ συνάξω ἐκεῖ πάντα τὰ » γεννήματά μου, καὶ τὰ ἀγαθά μου· καὶ » ἐρῶ τῇ ψυχῇ μου· ψυχή, ἔχεις πολλὰ ἀγαθά, κείμενα εἰς ἔτη πολλά· ἀναπαύου, » φάγε, πίε, εὐφραίνου » (1). Καὶ αὐτὸς μὲν ταῦτα ἐμελέτα καὶ ἀπεφάσισε· προέφθασε δὲ αὐτὸν ἡ ἔνδικος καὶ φοβερὰ τοῦ Θεοῦ μισθαποδοσία· « Εἶπε δὲ αὐτῷ ὁ Θεός· ἄφρον, ταύτῃ τῇ νυκτὶ τὴν ψυχήν σου ἀπαιτοῦσιν ἀπὸ σοῦ· ἃ δὲ ἡτοίμασας, τίνι » ἔσται; » (2) Ἄφρον, ἤγουν, μωρὲ καὶ ἀνόητε· τοῦτο ἔλεγχός ἐστιν, ὅσον αὐςηρός, τοσοῦτον πρεπώδης καὶ ἀληθινός· « Ταύτῃ » τῇ νυκτί »· θάνατός ἐστι τοῦτο ἀπροσδόκητος καὶ αἰφνίδιος· « Τὴν ψυχήν σου ἀπαιτοῦσιν ἀπὸ σοῦ »· χωρισμός ἐστι τοῦτο ψυχῆς ἀπὸ τοῦ σώματος, βίαιος καὶ σκληρός· « Ἃ δὲ ἡτοίμασας τίνι ἔσται; » Μετὰ δὲ τὸν θάνατον οὐδὲ κληρονόμος τούτου τοῦ ἀνθρώπου εὑρίσκεται· μεγάλη καταδίκη.

Μεγάλη ἀληθῶς ἡ τιμωρία· πλήν, ἐπειδὴ ὁ Θεός ἐστι δίκαιος, ἀναμφίβολόν ἐστιν, ὅτι ἡ τοιαύτη παίδευσις ἀνάλογός ἐστι ταῖς παραβάσεσι καὶ παρακοαῖς τούτου τοῦ ἀνθρώπου. Ἀλλὰ ποίαν ἐντολὴν αὐτὸς παρέβη, ἀμελήσας τῆς ψυχικῆς αὐτοῦ σωτηρίας; τὴν πρώτην καὶ μεγάλην· διότι οὐ μόνον οὐδόλως ἠγάπησε τὸν Θεόν, οὐδὲ προσέφερεν αὐτῷ τὴν εὐχαριστίαν ὑπὲρ τοῦ πλούτου, ὃν ἔλαβεν ἐξ αὐτοῦ, ἀλλ' οὐδὲ κἂν ἐμνήσθη τοῦ παναγίου αὐτοῦ ὀνόματος· παρέβη δὲ καὶ τὴν δευτέραν ἐντολήν, τὴν ὁμοίαν τῇ πρώτῃ· διότι οὐδὲ ἠγάπησε τὸν πλησίον ὡς ἑαυτόν, οὐδὲ ἠλέησεν, οὐδὲ κἂν ἐμνημόνευσεν αὐτοῦ· ἠγάπησε δὲ μόνον ἑαυτόν, καὶ ὑπὲρ ἑαυτοῦ μόνον ἔλεγε τό, « Ἀναπαύου, φάγε, πίε, εὐφραίνου ». Παραβάτης οὖν ἐγένετο αὐτὸς τῶν δύο ἐντολῶν τῆς ἀγάπης. Ἐπειδὴ δὲ « Ἐν ταύταις » ταῖς δυσὶν ἐντολαῖς ὅλος ὁ νόμος καὶ οἱ » προφῆται κρέμανται », φανερόν ἐστιν, ὅτι αὐτὸς ὁ ἄνθρωπος, ἀμελήσας τῆς σωτηρίας αὐτοῦ, παρέβη ὅλον τὸν νόμον, καὶ παρήκουσε πάσας τὰς τῶν προφητῶν διδασκαλίας.

Χριστιανοί, ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἀφ' οὗ παρέστησε τοῦτον τὸν ἄνθρωπον, καὶ περιέγραψε τὴν κατ' αὐτοῦ δικαίαν καταδίκην, τότε ἐξεφώνησε λόγον φοβερὸν καὶ φρικωδέστατον· « Οὕτως, εἶπεν, » ὁ θησαυρίζων ἑαυτῷ, καὶ μὴ εἰς Θεὸν » πλουτῶν » (3)· ὁ δὲ θησαυρίζων ἑαυτῷ,

(1) Λουκ. 12, 18, 19. (2) Αὐτ. 20. (3) Αὐτ. 21.

καὶ μὴ εἰς Θεὸν πλουτῶν ἐστιν ὁ ἄνθρωπος, ὁ ἔκδοτος εἰς τὴν περὶ τῶν ἐπιγείων καὶ προσκαίρων πραγμάτων φροντίδα, καὶ παντελῶς ἀμέριμνος περὶ τῶν ἀθανάτων καὶ ἐπουρανίων· αὐτὸς προθυμότατος ὢν καὶ ἐπιμελέστατος περὶ τὰ σωματικά, θησαυρίζει θησαυρὸν ἐπίγειον, ἀναπαύοντα καὶ καθηδύνοντα τῆς σαρκὸς αὐτοῦ τὰς ἐπιθυμίας· ὀκνηρότατος δὲ καὶ ἀμελέστατος ὢν περὶ τὰ πνευματικὰ ἔργα, γυμνὸς διαμένει τοῦ θείου τῶν ἀρετῶν πλούτου· οὐαὶ εἰς αὐτόν, διότι περὶ αὐτοῦ εἶπεν ὁ Κύριος τό, « Οὕτως ὁ θησαυρίζων ἑαυτῷ, καὶ μὴ εἰς Θεὸν πλουτῶν », ἤγουν καταδικάζεται αὐτὸς οὕτω, καθὼς καὶ ὁ πλούσιος, ὁ παντελῶς ἀμελήσας τῆς ψυχικῆς αὐτοῦ σωτηρίας. Ἐκ τούτου βλέπομεν, πόσον μὲν ἐπιβλαβής ἐστιν ἡ περὶ τῆς σωτηρίας ἡμῶν ἀμέλεια, πόσον δὲ ὠφέλιμος ἡ περὶ αὐτῆς μέριμνα καὶ ἐπιμέλεια.

Ἡ περὶ τῆς ψυχῆς ἐπιμέλεια καὶ ἐγρήγορσις εἰς πάντα καιρόν ἐστιν ἀναγκαία, ἐπειδὴ εἰς πάντα καιρὸν οἱ ἐχθροὶ τῆς ψυχῆς ἡμῶν ἐπιβουλεύουσιν ἡμᾶς· ἀδιαλείπτως ὁ κόσμος συνίστησι καθ' ἡμῶν τῆς ματαιότητος αὐτοῦ τὰς παγίδας· ἀδιακόπως ἡ σὰρξ πειράζει διὰ τῶν φλογερῶν αὐτῆς ἐπιθυμιῶν· ἀκαταπαύστως ὁ σατανᾶς τοξεύει ἐναντίον ἡμῶν τὰ πεπυρωμένα αὐτοῦ βέλη· « Ἐκεῖνο δὲ γινώσκετε, εἶπεν ὁ Κύριος περὶ τούτων τῶν ἐχθρῶν, ὅτι, εἰ ᾔδει ὁ οἰκοδεσπότης, ποίᾳ φυλακῇ ὁ κλέπτης ἔρχεται, ἐγρηγόρησεν ἄν, καὶ οὐκ ἂν εἴασε διορυγῆναι τὴν οἰκίαν αὐτοῦ »(1). Τίς δὲ γινώσκει, πότε ἔρχεται ὁ κλέπτης; ὁ ἔξυπνος, ἢ ὁ κοιμώμενος; ὁ ἐγρήγορος, ἢ ὁ ῥάθυμος; Ἐὰν γρηγορῇς, βλέπεις, πόσον μάταιά εἰσι πάντα τὰ τοῦ κόσμου πράγματα, καταδαμάζεις τῆς σαρκὸς τὰς ὁρμάς, συντρίβεις τοῦ διαβόλου τὰ βέλη, καὶ ἐμποδίζεις τοὺς ἐχθρούς, καὶ οὐ παραχωρεῖς αὐτοῖς διορύξαι καὶ ἐξαφανίσαι τῆς ψυχῆς σου τὴν ἀρετήν· ἐὰν δὲ ἀμελῇς καὶ κοιμᾶσαι, καὶ ἡ κοσμικὴ ματαιότης πλανᾷ τὸν νοῦν σου, καὶ ἡ σαρκικὴ ἐπιθυμία μολύνει τὴν ψυχήν σου, καὶ ὁ Σατανᾶς τραυματίζει τὴν καρδίαν σου· καὶ περὶ τούτου δὲ εἶπεν ὁ Κύριος· « Ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ σπείροντι καλὸν σπέρμα ἐν τῷ ἀγρῷ αὐτοῦ· ἐν δὲ τῷ καθεύδειν τοὺς ἀνθρώπους, ἦλθεν αὐτοῦ ὁ ἐχθρός, καὶ ἔσπειρε ζιζάνια ἀνὰ μέσον τοῦ σίτου, καὶ ἀπῆλθεν » (2). Ὁ στρατιώτης ὁ ἄγρυπνος φυλάττει τὴν πόλιν, ὁ κοιμώμενος ἐγκαταλείπει αὐτὴν εἰς τὰς ἐφόδους τῶν ἐχθρῶν· ὁ χριστιανὸς ὁ ἐγρήγορος φυλάττει τὴν ψυχὴν αὐτοῦ, ὁ δὲ ἀμελὴς καὶ ἀμέριμνος προδίδωσιν αὐτὴν εἰς τὰς ἐπιβουλὰς τῶν ἐχθρῶν αὐτοῦ· βεβαιοῖ τοῦτο τοῦ παντοκράτορος Θεοῦ τὸ παράγγελμα· « Πρόσεχε σεαυτῷ, καὶ φύλαξον τὴν ψυχήν σου σφόδρα » (3).

Εἰς πάντα καιρὸν ὠφελεῖ τὴν ψυχὴν ἡ ἐγρήγορσις, εἰς πάντα καιρὸν βλάπτει αὐτὴν ἡ ἀμέλεια· βλάπτει δὲ αὐτὴν ἐξόχως εἰς τὰς ὑπὲρ τῆς πνευματικῆς ἐργασίας διωρισμένας ἡμέρας· τοιαῦται δέ εἰσιν αἱ παροῦσαι τεσσαράκοντα τῆς νηστείας ἡμέραι· αὐτὰς ὥρισεν ἡ τοῦ Χριστοῦ ἐκκλησία, ἵνα μὴ μόνον κατὰ μίμησιν τοῦ Ἰησοῦ Χριςοῦ νηστεύσωμεν, ἀλλὰ καὶ τὰς λοιπὰς θείας αὐτοῦ ἀρετὰς κατὰ τὸ δυνατὸν μιμηθῶμεν· διότι διὰ τοῦτο καὶ ἐνήστευσεν ὁ Κύριος, καὶ ἔπαθεν ὑπὲρ ἡμῶν, παράδειγ-

(1) Ματθ. 24, 43. (2) Αὐτ. 13, 24, 25. (3) Δευτ. 4, 9.



μα δοὺς ἡμῖν, ἵνα ἐπακολουθήσωμεν « Τοῖς ἴχνεσιν αὐτοῦ » (1). Ἡμέραι οὖν εἰσιν αἱ παροῦσαι πνευματικῆς ἐμπορίας, ἐν αἷς πᾶς εὐσεβὴς ἀγοράζει οὐχὶ δι' ἀργυρίου καὶ χρυσίου, ἀλλὰ δι' ἀγῶνος καὶ κόπου, οὐχὶ σκεύη χρυσᾶ καὶ ἀργυρᾶ, οὐδὲ μαργαρίτας, ἢ λίθους τιμίους, ἢ ἄλλα πολύτιμα κειμήλια, πράγματα δηλονότι φθαρτὰ καὶ πρόσκαιρα, καὶ εἰς τὴν γῆν μετὰ θάνατον ἐγκαταλειπόμενά· ἀλλὰ νηστείαν ἀγοράζει, προσευχήν, ἀγρυπνίαν, ἐλεημοσύνην, κατάνυξιν, δάκρυα, συγχώρησιν ἐχθρῶν, ἐξομολόγησιν ἁμαρτιῶν, μετάληψιν μυστηρίων, καὶ πᾶν ἄλλο θεάρεστον ἔργον, πράγματα ἄφθαρτα καὶ αἰώνια· πράγματα ἀκολουθοῦντα ἡμᾶς ἕως τοῦ οὐρανοῦ, καὶ φανερούμενα ἐνώπιον τοῦ θρόνου τοῦ μέλλοντος κρῖναι ζῶντας καὶ νεκρούς.

Τρισάθλιος οὖν ἐγώ, ὅτι καὶ κατ' αὐτὰς τὰς ἡμέρας, τὰς ὑπὸ Θεοῦ διορισθείσας διὰ τὴν σωτηρίαν τῆς ψυχῆς μου, νυστάζω καὶ ἀμελῶ, καὶ οὐδεμίαν ἀρετὴν ἐργάζομαι· ἆρά γε ζῶ τὸ ἐρχόμενον ἔτος; προφθάνω ἆρά γε πάλιν αὐτὰς τὰς σωτηρίους ἡμέρας, ἵνα νηστεύσω, καὶ κλαύσω, καὶ ἐπιστρέψω πρὸς τὸν Θεόν, καὶ λάβω τῶν ἁμαρτιῶν μου τὴν συγχώρησιν; Μὴ πλανώμεθα· ἡ ἀπόφασις τοῦ Θεοῦ ἐστιν ἀμετάβλητος· ὁ Θεὸς ἀπεφάσισεν, ἵνα ἡ ὥρα τοῦ θανάτου μένῃ κεκρυμμένη ἀφ' ἡμῶν· οὐκ οἴδαμεν οὐδὲ τὴν ὥραν, οὐδὲ τὴν ἡμέραν, ἐν ᾗ ὁ θάνατος ἔρχεται πρὸς ἡμᾶς. Ποῖον οὖν φυλακτήριον ἔχομεν ἀπὸ τοῦ τοσούτου κινδύνου, ὅσος ἐστὶν ἡ ἄγνοια τῆς ὥρας τοῦ θανάτου; καὶ ποῖον ἄλλο, εἰ μὴ τὸ δεσποτικὸν πρόσταγμα; « Ἃ δὲ ὑμῖν λέγω, πᾶσι λέγω, γρηγορεῖτε » (2). Μὴ οὖν ἀμελῶμεν, μὴ νυστάζωμεν, μὴ ἀναβάλλωμεν τὸν καιρὸν τῆς ἡμετέρας διορθώσεως· αἱ παροῦσαι ἡμέραι εἰσὶν ἡμέραι μετανοίας, ἐπιστροφῆς, κατορθώσεως θεαρέστων ἔργων· οὐαὶ οὖν εἰς τοὺς ἀμελοῦντας καὶ κατ' αὐτὰς τὰς ἁγίας ἡμέρας. Ἀδελφοί, πάντα, ὅσα διδάσκει ἡ πίστις, ἐβεβαιώθησαν, πάντες οἱ παραβάται καὶ οἱ παρήκοοι ἔλαβον τὴν δικαίαν καὶ πρέπουσαν αὐτοῖς παίδευσιν· πῶς οὖν ἡμεῖς, παραβαίνοντες καὶ παρακούοντες τοῦ Θεοῦ τὸ πρόσταγμα, καὶ μὴ γρηγοροῦντες, μηδὲ κατ' αὐτὰς τὰς ἡμέρας τῆς μετανοίας, δυνάμεθα φυγεῖν τὴν δικαίαν τοῦ Θεοῦ τιμωρίαν; « Εἰ γὰρ ὁ δι' ἀγγέλων λαληθεὶς λόγος ἐγένετο βέβαιος, καὶ πᾶσα παράβασις καὶ παρακοὴ ἔλαβεν ἔνδικον μισθαποδοσίαν, πῶς ἡμεῖς ἐκφευξόμεθα, τηλικαύτης ἀμελήσαντες σωτηρίας; Φοβερὸν τὸ ἐμπεσεῖν εἰς χεῖρας Θεοῦ ζῶντος· καὶ γὰρ ὁ Θεὸς ἡμῶν πῦρ καταναλίσκον » (3).

(1) Α'. Πέτρ. 2. 21. (2) Μάρκ. 13, 37. (3) Ἑβρ. 2, 2, 3. καὶ 10. 31. καὶ 12, 29.

# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΗΝ ΠΡΟΣ

# ΕΒΡΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

## ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗι Γ'. ΚΥΡΙΑΚΗι ΤΩΝ ΝΗΣΤΕΙΩΝ.

ΤΗΣ ἀρχιερωσύνης τὸ ἔργον, καὶ τὴν ἐξ αὐτῆς ὠφέλειαν διδάσκει διὰ τῶν σήμερον ἀναγνωσθέντων λόγων ὁ θεόπνευστος τοῦ Κυρίου Ἀπόστολος· καὶ τὸ μὲν ἔργον, λέγει, τοῦ ἀρχιερέως ἐστὶν ἡ πρὸς τὸν Θεὸν μεσιτεία, καὶ ἡ προσφορὰ τῶν θυσιῶν καὶ τῶν δώρων· ἡ δὲ ὠφέλειά ἐστιν ἡ αἰώνιος τῶν ψυχῶν σωτηρία. Ἐπειδὴ δὲ διὰ τῶν προφητικῶν λόγων ἀποδεικνύει, ὅτι ὁ Ἰησοῦς Χριστός ἐστιν ἀρχιερεὺς αἰώνιος, ἀναβεβηκὼς εἰς τοὺς οὐρανούς, ἵνα μηδεὶς στοχαζόμενος τὸ πανυπέρτατον ὕψος τῆς θείας αὐτοῦ δόξης, διστάζῃ μὲν περὶ τοῦ, ἐὰν αὐτὸς καταδέχηται τῆς μεσιτείας τὸ ἐπάγγελμα, συστέλληται δὲ καὶ φοβῆται, ἵνα προβάλλῃ αὐτὸν μεσίτην πρὸς τὸν Θεὸν διὰ τὰς ἁμαρτίας αὐτοῦ· διὰ τοῦτο πληροφορεῖ πάντας, ὅτι, ἐπειδὴ αὐτὸς ὡς ἄνθρωἐδοκίμασεν ἀναμαρτήτως πάσας τὰς τῆς ἀνθρωπίνης φύσεως ἀσθενείας, ἐστὶ καταδεκτικώτατος καὶ συμπαθέστατος: καὶ ἐπειδὴ ὑπὸ Θεοῦ ἐξελέχθη ἀρχιερεύς, καθὼς καὶ ὁ Ἀαρών, ἵνα μεσιτεύῃ ὑπὲρ τῆς τῶν ἀνθρώπων σωτηρίας, διὰ τοῦτο προστάσσει ὁ Παῦλος, ἵνα μετὰ παῤῥησίας προσερχώμεθα πρὸς αὐτόν, ζητοῦντες ἔλεον καὶ χάριν παρ' αὐτοῦ καὶ βοήθειαν. Ἐλπιδοφόρος δέ ἐστι τῆς διδασκαλίας ταύτης ὁ λόγος, θάῤῥος μέγα ἐκχέων εἰς τῶν ἁμαρτωλῶν τὰς καρδίας· ἀλλ' ὅσον θαρσοποιὸς ὁ λόγος, τόσον ὑψηλὰ καὶ δύσληπτά εἰσι τὰ ἐν αὐτῷ νοήματα· καὶ αὐτὴ δὲ ἡ τούτων ἑρμηνεία δυσνόητός ἐστι, καὶ προσοχῆς ἔχει χρείαν· ὅθεν ὅστις προσεκτικῶς ταύτην ἀκούσῃ, ἐκεῖνος αὐτὴν κατανοεῖ, καὶ ἐκείνου ἡ καρδία πληροῦται τῆς θείας καὶ σωτηριώδους ἐλπίδος.

*Ἀδελφοί, ἔχοντες ἀρχιερέα μέγαν, διεληλυθότα τοὺς οὐρανούς, Ἰησοῦν τὸν Υἱὸν τοῦ Θεοῦ, κρατῶμεν τῆς ὁμολογίας* (1).

Κατὰ τίνα λόγον ὁ Ἰησοῦς Χριστός ἐςιν ἀρχιερεύς; κατὰ τὸν λόγον τῆς ἀνθρωπότητος· διότι οὐχὶ ὡς Θεός, ἀλλ' ὡς ἄνθρωπος προεχειρίσθη ὑπὸ Θεοῦ ἀρχιερεύς· ὡς ἀληθινὸς δὲ ἀρχιερεὺς ἐπλήρωσε τῆς ἀρχιερωσύνης τὸ ἔργον, μεσίτης Θεοῦ καὶ ἀνθρώπων γενόμενος· « Εἷς γὰρ Θεός, εἷς καὶ » μεσίτης Θεοῦ καὶ ἀνθρώπων, ἄνθρωπος » Χριστὸς Ἰησοῦς » (2)· καὶ προσαγαγὼν

(1) Ἑβρ. 4, 14. (2) Α. Τιμ. 2, 5.



ἑαυτὸν θυσίαν ὑπὲρ τῶν ἁμαρτιῶν· « Τοῦτο » γὰρ ἐποίησεν ἐφάπαξ, ἑαυτὸν ἀνενέγ» κας » (1)· ἐφιλίωσε τοὺς ἀνθρώπους μετὰ τοῦ Θεοῦ, καὶ ἡγίασεν αὐτούς· « Μιᾷ γὰρ » προσφορᾷ τετελείωκεν εἰς τὸ διηνεκὲς τοὺς » ἁγιαζομένους » (2). Μέγας δὲ ἀρχιερεύς ἐστι, καθότι οὐκ ἔστι μόνον ἄνθρωπος, ἀλλὰ καὶ Υἱὸς Θεοῦ, καὶ Θεὸς ἀληθινός· διελήλυθε δὲ τοὺς οὐρανοὺς μετὰ τὴν ἐκ νεκρῶν αὐτοῦ ἀνάστασιν, εἰς τὸν οὐρανὸν ἀναληφθείς, καὶ ἐκ δεξιῶν τοῦ Θεοῦ καὶ Πατρὸς καθήσας (3)· τοῦτο δὲ προεφανέρωσε μὲν αὐτὸς ὁ Θεὸς καὶ Πατήρ, εἰπὼν διὰ στόματος τῶν προφητῶν· « Εἶπεν ὁ Κύριος » τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου » (4)· ἐκήρυξαν δὲ οἱ ἄγγελοι, λέγοντες· « Οὗτος » ὁ Ἰησοῦς, ὁ ἀναληφθεὶς ἀφ' ὑμῶν εἰς τοὺς » οὐρανούς, οὕτως ἐλεύσεται, ὃν τρόπον « ἐθεάσασθε αὐτὸν πορευόμενον εἰς τὸν οὐ» ρανόν » (5)· οἱ δὲ Ἀπόστολοι εἶδον ὀφθαλμοφανῶς, ὅτε « Ἐπήρθη, καὶ νεφέλη ὑπέ» λαβεν αὐτὸν ἀπὸ τῶν ὀφθαλμῶν αὐ» τῶν » (6). Ἐπειδὴ δὲ προλαβὸν ἐλάλησεν ὁ Ἀπόστολος περὶ τῆς καταπαύσεως τῶν Ἰσραηλιτῶν εἰς τὴν γῆν τῆς ἐπαγγελίας, ἥτις ἦν τύπος τῆς εἰς τοὺς οὐρανοὺς καταπαύσεως τῶν εἰς Χριστὸν πιστευόντων· εἶπε δέ, ὅτι ὁ λόγος οὗτος, ἤγουν ἡ περὶ τῆς καταπαύσεως θεία ὑπόσχεσις, οὐκ ὠφέλησε τοὺς Ἰσραηλίτας, ἐπειδὴ οὐκ ἐπίστευσαν εἰς αὐτόν· « Ἀλλ' οὐκ ὠφέλησεν ὁ λόγος » τῆς ἀκοῆς ἐκείνους, μὴ συγκεκραμένος τῇ » πίστει τοῖς ἀκούσασι » (7)· διὰ τοῦτο διδάξας, ὅτι ὁ Χριστὸς ἤδη ἀνῆλθεν εἰς τὴν ἐπουράνιον κατάπαυσιν, παραγγέλλει, ἵνα « Κρατῶμεν τῆς ὁμολογίας », τουτέστιν, ἵνα φυλάττωμεν ἀκλόνητον καὶ σταθερὰν τὴν περὶ τούτου πίστιν, πιστεύοντες καὶ ὁμολογοῦντες κατάπαυσιν ζωῆς αἰωνίου, καὶ βασιλείας ἀθανάτου, καὶ ὅσα ἡ εἰς Χριστὸν πίστις διδάσκει· διότι ἐὰν μὴ κρατῶμεν ταύτης τῆς ὁμολογίας, οὐκ εἰσερχόμεθα εἰς τὴν ἀληθινὴν κατάπαυσιν τῆς μακαριότητος, καθὼς οἱ μὴ πιςεύσαντες Ἰσραηλῖται οὐκ εἰσῆλθον εἰς τὴν τυπικὴν κατάπαυσιν τῆς γῆς τῆς ἐπαγγελίας, ἀλλὰ « τὰ « τούτων κῶλα ἔπεσεν ἐν τῇ ἐρήμῳ » (8). Διὰ δὲ τῶν ἑξῆς λόγων παρίστησι τὴν συμπάθειαν καὶ τὸ ἔλεος τοῦ ἀρχιερέως Χριστοῦ, λέγων·

*Οὐ γὰρ ἔχομεν ἀρχιερέα μὴ δυνάμενον συμπαθῆσαι ταῖς ἀσθενείαις ἡμῶν, πεπειρασμένον δὲ κατὰ πάντα καθ' ὁμοιότητα, χωρὶς ἁμαρτίας* (9).

Δύο εἰσὶ τὰ εἴδη τῶν παθῶν τῆς ἀνθρωπίνης φύσεως, πάθη διαβλητά, ἤγουν κατηγορητά, ὡς ὁ θυμός, ἡ ὑπερηφάνεια, ὁ φθόνος, ἡ ἀσέλγεια, τὸ μῖσος, καὶ τὰ τούτοις ὅμοια. ταῦτα δὲ καὶ αὐτὰ καθ' ἑαυτά εἰσιν ἁμαρτήματα, καὶ πολλῶν ἁμαρτημάτων γίνονται πρόξενα· καὶ πάθη ἀδιάβλητα, τουτέστιν ἀκατηγόρητα, ὡς ἡ πεῖνα, ἡ δίψα, ὁ ὕπνος, ἡ μετὰ τὸν κόπον ἀτονία, ἡ ἐκ τῶν θλίψεων ὀδύνη, καὶ τὰ τούτοις ὅμοια· ταῦτα δὲ οὐδὲ αὐτὰ καθ' ἑαυτά εἰσιν ἁμαρτίαι, οὐδὲ ἁμαρτίας τινὸς πρόξενα· μόνη δὲ ἡ τούτων κατάχρησίς ἐστιν ἁμαρτία, καὶ ἁμαρτιῶν πρόξενος. Καὶ τὰ μὲν ἀδιάβλητα πάθη εἰσὶ τῆς φύσεως ἰδιώματα, ἀπ' αὐτῆς ἀχώριστα· τὰ δὲ διαβλητά εἰσι τῆς κακῆς προαιρέσεως σφάλματα, καὶ τῆς φύσεως ἀλλότρια. Τοῦ Ἰησοῦ Χρι-

(1) Ἑβρ, 7, 27. (2) Αὐτ. 10, 14. (3) Μάρκ, 16, 19. (4) Ψαλμ. 109, 1. (5) Πράξ. 1, 11. (6) Αὐτ. 9. (7) Ἑβρ. 4, 2. (8) Αὐτ. 3, 17. (9) Αὐτ. 4, 15.

στοῦ ἡ ἀνθρώπινος φύσις διὰ τὴν μετὰ τῆς θεότητος καθ' ὑπόστασιν ἕνωσιν τῶν μὲν διαβλητῶν παθῶν ἦν παντελῶς ξένη καὶ ἀμέτοχος, τῶν δὲ ἀδιαβλήτων μετεῖχεν, ὡς τελείου ἀνθρώπου φύσις· διὸ καὶ « ἐπεί» νασε » (1) μετὰ τὴν τεσσαρονθήμερον νηστείαν, καὶ ἐκοπίασε, καὶ ἐδίψησε μετὰ τὴν ὁδοιπορίαν (2), καὶ « Ἐκάθευδεν ἐν τῷ » πλοίῳ, καὶ περίλυπος ἐγένετο ἡ ψυχὴ » αὐτοῦ ἕως θανάτου » (3), ὅταν ἐπλησίασεν ὁ καιρὸς τῶν παθῶν αὐτοῦ, καὶ τόσον ᾐσθάνθη τὰς ἐκ τῶν παθημάτων αὐτοῦ ὀδύνας, ὥστε « Ἐγένετο ὁ ἱδρὼς αὐτοῦ ὡσεὶ » θρόμβοι αἵματος, καταβαίνοντες ἐπὶ τὴν » γῆν » (4). Τούτων τῶν ἀδιαβλήτων παθῶν, λέγει ὁ Παῦλος, ὅτι ἦν « Πεπειρασμένος », ἤγουν δεδοκιμασμένος καὶ γεγευμένος κατὰ πάντα ὁ Ἰησοῦς Χριστός· τὸ δέ, « Καθ' » ὁμοιότητα », σημαίνει τὸ ἐπίσης τοῖς λοιποῖς ἀνθρώποις, καὶ τὸ ἐντελῶς, καθὼς καὶ τό, « Ὡς ἐν μορφῇ Θεοῦ ὑπάρχων » (5), σημαίνει τό, τέλειος Θεὸς ὑπάρχων, καὶ ἴσος τῷ Πατρί· ὁμοίως καὶ τό, « Μορφὴν » δούλου λαβών », σημαίνει τό, τέλειος ἄνθρωπος γενόμενος, καὶ ἴσος πᾶσι τοῖς ἀνθρώποις. Εἶχε οὖν ἡ ἀνθρώπινος φύσις τοῦ Ἰησοῦ Χριστοῦ ταῦτα τὰ ἀδιάβλητα πάθη ὡς ἰδιώματα ἀχώριστα τῆς φύσεως πλὴν χωρὶς τινος ἁμαρτίας, καὶ οὐχ ὡς ἡμεῖς, οἵτινες θλιβόμενοι ὑπ' αὐτῶν, γογγύζομεν πολλάκις καὶ ἀδημονοῦμεν, καὶ ἑπομένως ἁμαρτάνομεν· διότι ὁ Ἰησοῦς Χριστὸς κἂν ᾐσθάνετο εἰς τὸν καιρὸν τοῦ σωτηρίου αὐτοῦ πάθους τὴν δριμύτητα τῆς ὀδύνης τῶν παθημάτων, μετὰ τοσαύτης ὅμως ἀνοχῆς ὑπέμενεν, ὥστε τὸ ὑπερβάλλον τῆς ὑπομονῆς αὐτοῦ προβλέπων ὁ προφήτης Ἡσαΐας, ἔλεγεν· « Καὶ αὐτὸς διὰ τὸ κεκακῶσθαι οὐκ » ἀνοίγει τὸ στόμα αὐτοῦ· ὡς πρόβατον » ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον » τοῦ κείροντος ἄφωνος, οὕτως οὐκ ἀνοίγει » τὸ στόμα » (6). Βλέπε δέ, πόσον θαρσοποιεῖ ὁ Παῦλος τοὺς εἰς τὸν Χριστὸν προσερχομένους· ἔχομεν, λέγει, ἀρχιερέα, ὅστις δύναται συμπαθὴς γενέσθαι εἰς τὰς ἀσθενείας ἡμῶν, ὡς κατὰ πάντα ἐπίσης ἡμῖν δοκιμάσας αὐτάς, χωρὶς τινος ὅμως ἁμαρτίας· ἐκ τούτου δὲ ἐπιφέρει τὸ ἑξῆς συμπέρασμα.

*Προσερχώμεθα οὖν μετὰ παῤῥησίας τῷ θρόνῳ τῆς χάριτος, ἵνα λάβωμεν ἔλεον, καὶ χάριν εὕρωμεν εἰς εὔκαιρον βοήθειαν* (7).

Περὶ θρόνου κρίσεως ἐλάλησεν ὁ Δαβίδ, εἰπών· « Ἐκάθισας ἐπὶ θρόνου ὁ κρίνων δι» καιοσύνην » (8)· μετ' αὐτὸν δὲ θρόνους κρίσεως εἶδεν ὁ Δανιήλ, καὶ τὸν παλαιὸν τῶν ἡμερῶν « Ἐν αὐτοῖς καθήμενον » (9)· καὶ αὐτὸς δὲ ὁ Ἰησοῦς Χριστὸς ἐβεβαίωσε τὰ περὶ τοῦ θρόνου τῆς κρίσεως, λέγων· « Ὅταν ἔλθῃ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ » δόξῃ αὐτοῦ, καὶ πάντες οἱ ἅγιοι ἄγγελοι » μετ' αὐτοῦ, τότε καθίσει ἐπὶ θρόνου δό» ξης αὐτοῦ » (10). Ὁ δὲ Παῦλος ἄλλον κηρύττει θρόνον, τὸν θρόνον τῆς χάριτος, ἀποστέλλων ἡμᾶς εἰς αὐτόν, ἵνα λάβωμεν, λέγει, ἔλεος, καὶ εὕρωμεν τοῦ Θεοῦ τὴν χάριν βοηθοῦσαν ἡμῖν ἐν τῷ ἁρμοδίῳ καὶ πρέποντι καιρῷ, ἤγουν ἐν τῷ καιρῷ τῆς παρούσης ζωῆς. Δύο οὖν εἰσιν οἱ θρόνοι, ὁ θρόνος τῆς κρίσεως, καὶ ὁ θρόνος τῆς χάριτος· ὁ μὲν μέλλων ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως· ὁ

(1) Ματθ. 4, 2. (2) Ἰωάν. 4, 6, 7. (3) Ματθ. 8, 24 καὶ 26, 39. (4) Λουκ. 22, 44. (5) Φιλιπ. 2, 6; 7. (6, Ἡσ. 53, 7. (7) Ἑβρ. 4, 16. (8) Ψαλμ. 9, 4. (9) Δαν. 7, 9. (10) Φιλιπ. 25, 31.



δὲ ἐνεστώς, ἐν ταῖς ἡμέραις δηλονότι τῆς ζωῆς ἡμῶν· ἐὰν οὖν, ἐν ὅσῳ ζῇς, προσέλθῃς διὰ τῆς μετανοίας εἰς τὸν θρόνον τῆς χάριτος, λαμβάνεις ἔλεος, τουτέστι τὴν συγχώρησιν τῶν ἁμαρτιῶν σου, καὶ εὑρίσκεις τὴν βοηθοῦσάν σοι χάριν ἐν τῷ προσήκοντι καιρῷ πρὸς κατόρθωσιν τῶν καλῶν ἔργων· ἐὰν δὲ μὴ προσέλθῃς εἰς τὸν θρόνον τῆς χάριτος, καταντᾷς εἰς τὸν θρόνον τῆς κρίσεως, ὅπου ὁ Θεὸς « Τότε ἀποδώσει » ἑκάστῳ κατὰ τὴν πρᾶξιν αὐτοῦ » (1)· διὰ τοῦτο δὲ ὁ τρισμακάριος Ἀπόστολος συντάσσων καὶ ἑαυτὸν μετὰ τῶν προσερχομένων πρὸς τὸν θρόνον τῆς χάριτος, λέγει, οὐχὶ παραινετικῶς, ἀλλὰ προστακτικῶς, « Προσερχώμεθα », ἀντὶ τοῦ, προσέλθωμεν νῦν, ἐν ὅσῳ ζῶμεν, εἰς τὸν θρόνον τῆς χάριτος, ἵνα λάβωμεν τὸ ἔλεος καὶ τὴν βοήθειαν· μετὰ παῤῥησίας δὲ εἶπεν, ἐπειδὴ πιστεύομεν ὅτι ὁ Θεάνθρωπος Ἰησοῦς « Ἐϛὶν » ἐν δεξιᾷ τοῦ Θεοῦ, ὃς καὶ ἐντυγχάνει ὑπὲρ » ἡμῶν » (2), ἤγουν πρεσβεύει ὡς ἀρχιερεὺς ὑπὲρ τῆς ἡμετέρας σωτηρίας. Μετὰ ταῦτα, ἵνα ἔτι περισσότερον θαρσοποιήσῃ πάντας, δηλοποιεῖ τὰ χαρακτηριστικὰ τοῦ ἀρχιερέως γνωρίσματα.

*Πᾶς γὰρ ἀρχιερεὺς ἐξ ἀνθρώπων λαμβανόμενος, ὑπὲρ ἀνθρώπων καθίσταται τὰ πρὸς τὸν Θεόν, ἵνα προσφέρῃ δῶρά τε καὶ θυσίας, ὑπὲρ ἁμαρτιῶν* (3).

Περιγράφει τοὺς χαρακτῆρας τοῦ κατὰ νόμον ἀρχιερέως· πᾶς ἀρχιερεύς, λέγει, ἐξ ἀνθρώπων λαμβάνεται, ἤγουν οὐκ ἔστιν ἄγγελος, ἀλλ' εἷς τῶν ἀνθρώπων, καθὼς καὶ οἱ λοιποὶ ἄνθρωποι· οὗτος δέ ἐστι πρῶτος χαρακτήρ· καθίσταται δέ, τουτέστι διορίζεται ἀρχιερεύς, ἵνα προσφέρῃ πρὸς τὸν Θεὸν δῶρα καὶ θυσίας ὑπὲρ τῶν ἁμαρτιῶν· τοῦτο δέ ἐστι δεύτερος χαρακτήρ, ἡ μεσιτεία δηλαδὴ ὑπὲρ τῆς συγχωρήσεως τῶν ἁμαρτημάτων.

*Μετριοπαθεῖν δυνάμενος τοῖς ἀγνοοῦσι καὶ πλανωμένοις, ἐπεὶ καὶ αὐτὸς περίκειται ἀσθένειαν· καὶ διὰ ταύτην ὀφείλει, καθὼς περὶ τοῦ λαοῦ, οὕτω καὶ περὶ ἑαυτοῦ προσφέρειν ὑπὲρ ἁμαρτιῶν* (4).

Τοῦτο σημαίνει, ὅτι ἡ συγκατάβασις καὶ ἡ συμπάθεια πρέπει εἰς τὸν ἀρχιερέα, καθότι καὶ αὐτὸς φορεῖ ἀσθένειαν, ἤγουν τὴν τῆς φύσεως ἀδυναμίαν, ἐξ ἧς προέρχεται ἡ ἁμαρτία· ὅθεν κατὰ τὴν διάταξιν τοῦ νόμου χρέος ἔχει, ἵνα, καθὼς προσφέρει θυσίας ὑπὲρ τῆς ἀφέσεως τῶν ἁμαρτιῶν τοῦ λαοῦ, οὕτω καὶ περὶ τῆς συγχωρήσεως τῶν ἰδίων αὐτοῦ πλημμελημάτων (5)· εὐσπλαγχνικός ἐστιν ὁ ἀρχιερεὺς « Τοῖς ἀγνοοῦσι » καὶ πλανωμένοις », τουτέστι καὶ εἰς τοὺς ἐν ἀγνοίᾳ ἁμαρτάνοντας, καὶ εἰς αὐτοὺς τοὺς γνωρίζοντας μὲν τὴν ἁμαρτίαν, πλανωμένους δὲ ὑπὸ τῆς ζάλης τῶν παθῶν, καὶ τῆς βίας τῶν πειρασμῶν· τρίτος δὲ οὗτος χαρακτὴρ τοῦ ἀρχιερέως, ἡ συμπάθεια δηλαδὴ καὶ ἡ εὐσπλαγχνία.

*Καὶ οὐχ ἑαυτῷ τις λαμβάνει τὴν τιμήν, ἀλλ' ὁ καλούμενος ὑπὸ τοῦ Θεοῦ, καθάπερ καὶ ὁ Ἀαρών* (6).

Ὁ ἀρχιερεὺς λαμβάνει τῆς ἀρχιερωσύ-

(1) Ματθ. 16, 27. (2) Ῥωμ. 8, 34. (3) Ἑβρ. 5, 1, (4) Αὐτ. 5, 2, 3. (5) Λευϊτ. 4, 3. (6) Ἑβρ. 5, 4.

νης τὴν ἀξίαν οὐκ ἰδίᾳ δυνάμει καὶ ἐξουσίᾳ, ἀλλὰ θείᾳ εὐδοκίᾳ καὶ προσκλήσει· ὁ Θεός δηλονότι προσκαλεῖ αὐτόν, καθὼς ἐκάλεσε καὶ τὸν Ἀαρών, εἰπὼν πρός τὸν Μωϋσῆν· « Καὶ σὺ προσαγάγου σεαυτὸν » τόν τε Ἀαρὼν τὸν ἀδελφόν σου, καὶ τοὺς » υἱοὺς αὐτοῦ, καὶ ἐκ τῶν υἱῶν Ἰσραὴλ ἱε» ρατεύειν μοι Ἀαρών, καὶ Ναδάβ, καὶ » Ἀβιούδ, καὶ Ἐλεάζαρ, καὶ Ἰθάμαρ υἱοὺς » Ἀαρών » (1)· τοῦτο δέ ἐστι τέταρτος τῆς ἀρχιερωσύνης χαρακτήρ, ἡ ὑπὸ Θεοῦ πρόσκλησις. Ἀλλὰ διὰ τί ἀναφέρει ὁ Ἀπόστολος ταῦτα; διότι αὐτά ἦσαν τύποι καὶ σύμβολα τῆς ἀρχιερωσύνης τοῦ Ἰησοῦ Χριστοῦ. Ἐπειδὴ δὲ εἶπεν, ὅτι ὁ Χριστός ἐστιν ἀρχιερεύς, περιέγραψε τὰ τοῦ νομικοῦ ἀρχιερέως χαρακτηριστικὰ γνωρίσματα, ἵνα δείξας τὴν ὁμοιότητα τῶν δύο ἀρχιερέων, παραστήσῃ πόσον ὑπερέχει ὁ Χριστός, ὁ ἀληθινὸς ἀρχιερεύς, τὸν ἐν νόμῳ τυπικὸν ἀρχιερέα· ἐξ ἀνθρώπων ὁ τυπικὸς ἀρχιερεύς, τέλειος ἄνθρωπος ὁ Χριστός, ὁ ἀληθινὸς ἀρχιερεύς· δῶρα καὶ θυσίας προσέφερεν ὁ τυπικὸς ἀρχιερεὺς ὑπὲρ τῶν ἁμαρτανόντων· δῶρον καὶ θυσίαν προσέφερεν ἑαυτὸν ὁ ἀληθινὸς ἀρχιερεὺς ὑπὲρ τῶν ἁμαρτιῶν παντὸς τοῦ γένους τῶν ἀνθρώπων· διότι αὐτός ἐστιν « Ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων « τὴν ἁμαρτίαν τοῦ κόσμου » (2). Σημείωσαι τὴν ὑπεροχήν· ὁ τυπικὸς ἀρχιερεὺς προσέφερε θυσίαν ὑπὲρ μόνων τῶν διδόντων τὰ δῶρα καὶ τὰ θύματα· ὁ ἀληθινὸς ἀρχιερεὺς προσέφερεν ἑαυτὸν ὑπὲρ πάντων δωρεάν· διότι « Οὐκ ἐξ ἔργων τῶν ἐν δι» καιοσύνῃ, ὧν ἐποιήσαμεν ἡμεῖς, ἀλλὰ » κατὰ τὸν αὐτοῦ ἔλεον ἔσωσεν ἡμᾶς » (3). Βλέπε δέ καὶ ἄλλην ὑπεροχήν· ὁ τυπικὸς ἀρχιερεὺς προσέφερε θυσίαν καὶ ὑπὲρ τῶν ἰδίων αὐτοῦ ἁμαρτιῶν· ὁ Ἰησοῦς Χριστὸς ἀρχιερεὺς ὢν « Ὅσιος, ἄκακος, ἀμίαντος, » κεχωρισμένος ἀπὸ τῶν ἁμαρτωλῶν, καὶ » ὑψηλότερος τῶν οὐρανῶν γενόμενος, οὐκ » εἶχε καθ' ἡμέραν ἀνάγκην, ὥσπερ οἱ ἀρ» χιερεῖς, πρότερον ὑπὲρ τῶν ἰδίων ἁμαρ» τιῶν θυσίας ἀναφέρειν, ἔπειτα τῶν τοῦ » λαοῦ· τοῦτο γὰρ ἐποίησεν ἐφάπαξ, ἑαυτὸν » ἀνενέγκας » (4). Διὰ δὲ τῶν ἑξῆς λόγων δηλοποιεῖ ὁ Ἀπόστολος καὶ ἄλλην ὑπεροχὴν ὑπερτέραν.

**Οὕτω καὶ ὁ Χριστός οὐχ ἑαυτὸν ἐδόξασε γενηθῆναι ἀρχιερέα, ἀλλ' ὁ λαλήσας πρὸς αὐτόν· Υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε· καθὼς καὶ ἐν ἑτέρῳ λέγει· Σὺ εἶ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ** (5).

Καθὼς ὁ Ἀρών, οὕτω καὶ ὁ Ἰησοῦς Χριστὸς οὐκ ἀφ' ἑαυτοῦ, ἀλλ' ὑπὸ τοῦ Θεοῦ καὶ πατρός αὐτοῦ ἔλαβεν ὡς ἄνθρωπος τῆς ἀρχιερωσύνης τὴν δόξαν καὶ τὴν τιμήν· διὰ τοῦτο δὲ εἶπεν· « Ἐὰν ἐγὼ δοξάζω ἐ» μαυτόν, ἡ δόξα μου οὐδέν ἐστιν· ἔστιν ὁ » Πατήρ μου ὁ δοξάζων με, ὃν ὑμεῖς λέγε» τε, ὅτι Θεὸς ὑμῶν ἐστι » (6). Βλέπε δέ, μετὰ πόσης σοφίας ὁ θεοδίδακτος Παῦλος συμπλέκων τὰ προφητικὰ λόγια, ἀποδεικνύει τὸν Ἰησοῦν Χριστὸν Υἱὸν Θεοῦ καὶ ἀρχιερέα, ἔχοντα παράδοξον καὶ ὑπερέχουσαν ἀρχιερωσύνην· ὁ Ἀαρὼν ἄνθρωπος μόνον, ὁ Ἰησοῦς Χριστὸς Θεὸς καὶ ἄνθρωπος· τὸν Ἀαρὼν προσκαλεῖ ὁ Θεὸς διὰ τοῦ Μωϋσέως (7), πρὸς τὸν Ἰησοῦν Χριστὸν λαλεῖ ἀμέσως, μαρτυρῶν αὐτὸν Υἱὸν αὐτοῦ·

(1) Ἐξ. 28, 1. (2) Ἰωάν. 1, 29. (3) Τίτ. 3, 5. (4, Ἑβρ. 7, 26. (5) Αὐτ' 5, 5, 6. (6) Ἰωάν. 8, 54.
(6) Ἐξ. 28, 1.



« Υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά » σε » (1)· καὶ ἀνακηρύττων αὐτὸν ἱερέα· « Σὺ εἶ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τά» ξιν Μελχισεδέκ » (2)· τὸ δὲ ὄνομα, ἱερεύς, ἐν τῇ Παλαιᾷ Διαθήκῃ δηλοῖ καὶ αὐτὸν τὸν Ἀαρών, καὶ πάντα ἄλλον ἀρχιερέα· ὅθεν τὸ ὄνομα, ἱερεύς, εἰς τὸν Ἰησοῦν Χριστὸν ἀναφερόμενον, σημαίνει, ἀρχιερεύς· διὰ τοῦτο ὁ Παῦλος ἀναφέρων αὐτὸ εἰς τὸν Ἰησοῦν Χριστόν, οὐ λέγει, ἱερεύς, ἀλλ' ἀρχιερεὺς « Προσαγορευθείς, λέγει, ὑπὸ τοῦ Θεοῦ ἀρ» χιερεὺς κατὰ τὴν τάξιν Μελχισεδέκ » (3). τὸ δέ, « Κατὰ τὴν τάξιν Μελχισεδὲκ » σημαίνει τὸ κατὰ τὴν ὁμοιότητα Μελχισεδέκ, ὡς αὐτὸς ὁ Παῦλος ἐξηγήσατο εἰπών· « Καὶ περισσότερον ἔτι κατάδηλόν » ἐστιν, εἰ κατὰ τὴν ὁμοιότητα Μελχισε» δὲκ ἀνίσταται ἱερεὺς ἕτερος » (4)· καὶ ἐδίδαξε δὲ περὶ τοῦ Μελχισεδὲκ ταῦτα· « Ἀφωμοιωμένος δὲ τῷ Υἱῷ τοῦ Θεοῦ, μέ» νει ἱερεὺς εἰς τὸ διηνεκές » (5). Σημείωσαι δὲ τὴν ὁμοιότητα· πρῶτον μέν, ὁ Μελχισεδὲκ « Ἀπάτωρ, ἀμήτωρ, ἀγενεαλόγη» τος, μήτε ἀρχὴν ἡμερῶν, μήτε ζωῆς τέ» λος ἔχων », καθότι κατὰ θείαν οἰκονομίαν ἐσιώπησεν ἡ Θεία Γραφή, καὶ τοὺς γονεῖς, καὶ τὸ γένος, καὶ τὸν καιρὸν τῆς γεννήσεως καὶ τοῦ θανάτου αὐτοῦ· ὁ δὲ Ἰησοῦς Χριστός, ὡς μὲν ἄνθρωπος, ἐστὶν ἀπάτωρ· ὡς δὲ Θεός, ἀμήτωρ, ἀγενεαλόγητος, ἄναρχος καὶ ἀτελεύτητος· διότι « Τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται; » (6) ἢ τίς ἀναγγελεῖ τῆς θείας αὐτοῦ φύσεως τὸ ἄχρονον καὶ ἀΐδιον; δεύτερον δὲ ὁ Μελχισεδὲκ ἦν βασιλεὺς καὶ ἱερεύς· « Καὶ Μελ» χισεδέκ, λέγει ἡ Θεία Γραφή, βασιλεὺς » Σαλήμ, ἐξήνεγκεν ἄρτους καὶ οἶνον, ἦν » δὲ ἱερεὺς τοῦ Θεοῦ τοῦ Ὑψίστου »· βασιλεὺς δὲ ἦν καὶ ὁ Ἰησοῦς Χριστός, ὡς ἐφανέρωσεν ὁ ἄγγελος πρὸς τὴν ἁγίαν Παρθένον, εἰπών· « Καὶ δώσει αὐτῷ Κύριος ὁ » Θεὸς τὸν θρόνον Δαβίδ, τοῦ πατρὸς αὐ» τοῦ· καὶ βασιλευσει ἐπὶ τὸν οἶκον Ἰακὼβ » εἰς τοὺς αἰῶνας, καὶ τῆς βασιλείας αὐτοῦ » οὐκ ἔσται τέλος » (7)· καὶ αὐτὸς δὲ ὁ Χριστὸς τοῦτ' αὐτὸ ὡμολόγησεν ἐνώπιον τοῦ Πιλάτου· « Ἡ βασιλεία, εἶπεν, ἡ ἐμὴ » οὐκ ἔστιν ἐκ τοῦ κόσμου τούτου » (8)· ἦν δὲ καὶ ἱερεὺς ὁ Χριστός, ὡς ἐμαρτύρησε καὶ ὤμοσεν ὁ Θεὸς καὶ Πατὴρ αὐτοῦ, λέγων· « Ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε· » ὤμοσε Κύριος, καὶ οὐ μεταμεληθήσεται· » σὺ εἶ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν » Μελχισεδέκ » (9)· τρίτον, καθὼς ἡ χειροτονία τοῦ Μελχισεδέκ, οὕτω καὶ ἡ τοῦ Ἰησοῦ Χριστοῦ ἐγένετο ἀμέσως ὑπὸ τοῦ Θεοῦ καὶ ἀοράτως καὶ μυστηριωδῶς· τέταρτον, ὁ Μελχισεδὲκ « ἐξήνεγκεν ἄρτους » καὶ οἶνον » (10), ὅτε εὐλόγησε τὸν Ἀβραάμ· ἄρτον δὲ καὶ οἶνον διὰ τῆς παντοδυνάμου αὐτοῦ εὐλογίας μετέβαλεν ὁ Χριστὸς εἰς τὸ σῶμα καὶ αἷμα αὐτοῦ, καὶ μεταδοὺς αὐτὰ τοῖς θείοις αὐτοῦ μαθηταῖς, ἡγίασεν αὐτούς· πέμπτον, ὁ Μελχισεδὲκ « Μένει ἱερεὺς εἰς » τὸ διηνεκές » (11), καθότι ἐσιωπήθη ὁ θάνατος αὐτοῦ ὑπὸ τῶν Θείων Γραφῶν· « Ὁ » δέ, ἤγουν ὁ Χριστός, διὰ τὸ μένειν αὐτὸν » εἰς τὸν αἰῶνα, ἀπαράβατον ἔχει τὴν ἱε» ρωσύνην· ὅθεν καὶ σώζειν εἰς τὸ παντελὲς » δύναται τοὺς προσερχομένους δι' αὐτοῦ » τῷ Θεῷ, πάντοτε ζῶν, εἰς τὸ ἐντυγχά» νειν ὑπὲρ αὐτῶν » (12). Κατὰ ταύτας οὖν τὰς ὁμοιότητας ὁ Χριστός ἐστιν ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ.

(1) Ψαλμ. 2, 7. (2) Αὐτ. 109, 4. (3) Ἑβρ. 5, 10. (4) Α τ. 7, 15. (5) Αὐτ. 3. (6 Ἡσ. 53, 8.
(7) Λουκ. 1, 32, 33. (8) Ἰωάν. 18, 36. (9) Ψαλμ, 109, 3, 4. (10) Γεν. 14, 18. (11) Ἑβρ. 7, 3. (12) Αὐτ. 24, 25.

# ΟΜΙΛΙΑ

ΜΕΤΑ ΤΗΝ ΠΡΟΣ

# ΕΒΡΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗ͂ι Γ'. ΚΥΡΙΑΚΗ͂ι ΤΩΝ ΝΗΣΤΕΙΩΝ.

ΜΕΓΑΛΗ ἀληθῶς καὶ ἀνεκδιήγητος ἡ πρὸς τοὺς ἁμαρτωλοὺς εὐσπλαγχνία τοῦ πανυπεραγάθου καὶ παντελεήμονος Θεοῦ· πλήρης ἐστὶ πᾶσα ἡ Θεία Γραφή, Παλαιά τε καὶ Νέα, λόγων, οἵτινες μεγάλην ἐλπίδα σωτηρίας στάζουσιν εἰς τῶν ἁμαρτωλῶν τὴν καρδίαν. Ἄνοιξον τῶν ἁγίων προφητῶν τὰ βιβλία· ἐκεῖ ἀκούεις τὸν μὲν Ἡσαΐαν κηρύττοντα· « Δεῦτε διαλεχθῶμεν, λέγει » Κύριος, καὶ ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑμῶν » ὡς φοινικοῦν, ὡς χιόνα λευκανῶ· ἐὰν δὲ » ὦσιν ὡς κόκκινον, ὡς ἔριον λευκανῶ » (1)· τὸν δὲ Ζαχαρίαν, προσκαλοῦντα τοὺς ἁμαρτωλοὺς ὡς ἐκ προσώπου τοῦ Κυρίου διὰ τούτων τῶν ἐμφαντικῶν λόγων· « Τάδε » λέγει Κύριος παντοκράτωρ, ἐπιστρέψατε » πρός με λέγει Κύριος τῶν δυνάμεων, καὶ » ἐπιστραφήσομαι πρὸς ὑμᾶς, λέγει Κύ» ριος τῶν δυνάμεων » (2)· ἀνάγνωθι τῶν θεοκηρύκων Ἀποστόλων τὰς ἐπιστολάς· ἐν αὐταῖς εὑρίσκεις τὸν μὲν Πέτρον διδάσκοντα ταῦτα· « Μετανοήσατε οὖν, καὶ ἐπι» στρέψατε, εἰς τὸ ἐξαλειφθῆναι ὑμῶν τὰς » ἁμαρτίας » (3)· τὸν δὲ Παῦλον ἐξομολογούμενον, καὶ λέγοντα· « Ὅτι Χριστὸς Ἰη» σοῦς ἦλθεν εἰς τὸν κόσμον ἁμαρτωλοὺς » σῶσαι, ὧν πρῶτός εἰμι ἐγώ » (4). Μελέτησον τὸ ἅγιον Εὐαγγέλιον· ἐν αὐτῷ βλέπεις ταῦτα τὰ εὐσπλαγχνικώτατα λόγια τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ· « Δεῦτε » πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορ» τισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς » (5). Εἰς πάντα σχεδὸν τὰ μέρη τῶν Ἁγίων Γραφῶν βλέπομεν, ὅτι ὁ πολυεύσπλαγχνος Θεὸς προσκαλεῖ τοὺς ἁμαρτωλοὺς εἰς μετάνοιαν, καὶ ὑπόσχεται τὴν ὑποδοχὴν καὶ τὴν ἐξάλειψιν τῶν ἁμαρτιῶν, καὶ τὴν σωτηρίαν τῆς ψυχῆς αὐτῶν.

Ἀλλ' ὦ Κύριε τοῦ ἐλέους, ἄπειρός ἐστιν ἡ εὐσπλαγχνία σου· οὐ μόνον διὰ τῶν ἀληθεστάτων σου λόγων ἐθαρσοποίησας τοὺς ἁμαρτωλούς, ἀλλὰ καὶ εὐδόκησας, ἵνα γραφθῶσιν εἰς τὰ ἅγια βιβλία σου παντοῖα παραδείγματα, φυτεύοντα εἰς τὰς ψυχὰς αὐτῶν τῆς ἐπουρανίου βασιλείας τὴν ἐλπίδα· εἰς τοῦτο μὲν τὸ μέρος τῶν Θείων Γραφῶν βλέπομεν μοιχοὺς καὶ φονεῖς γενομένους ἁγίους, καθὼς τὸν Δαβίδ· εἰς ἐκεῖνο δέ, ἀνθρώπους πλάνους καὶ ἀσπλάγχνους πλανήσαντας πολλοὺς ἀπὸ τῆς πίστεως, καὶ ἐκχέαντας αἷμα πολὺ ἀθῶον, καὶ ὅμως ἐλεηθέντας, καθὼς τὸν Μανασσῆ· ὧδε μὲν

(1) Ἡσ. 1, 18. (2) Ζαχ. 1, 3. (3) Πράξ. 3, 19. (4) Α. Τιμ. 1, 15. (5) Ματθ. 14, 28.



ἀναγινώσκομεν, ὅτι ὁ συκοφάντης Ζακχαῖος ἐπέτυχε σωτηρίας, καὶ ὁ τελώνης ὁ Ματθαῖος ἐχειροτονήθη Ἀπόστολος Εὐαγγελιστής· ἐκεῖ δέ, ὅτι ἡ πόρνη ἔλαβε πασῶν τῶν ἁμαρτιῶν αὐτῆς τὴν ἄφεσιν, καὶ ἡ παράνομος Σαμαρεῖτις ἐκήρυξεν, ὅτι ὁ Χριστός ἐστιν ὁ προσδοκώμενος Μεσίας· βλέπε ἐκεῖ τὸν ἄσωτον υἱόν· αὐτός ἐστιν ὁ τύπος παντὸς διεφθαρμένου, καὶ εἰς τὸν βυθὸν τῶν ἁμαρτιῶν καταπεποντισμένου ἁμαρτωλοῦ· βλέπε δέ, πῶς ἰδὼν αὐτὸν ὁ Θεὸς ἐρχόμενον μὲν πρὸς αὐτόν, μακρὰν ὅμως ἀπέχοντα ἀπ' αὐτοῦ, εὐσπλαγχνίζεται αὐτόν, καὶ τρέχει εἰς ἀπάντησιν αὐτοῦ, καὶ ἐναγκαλίζει καὶ φιλεῖ αὐτόν, καὶ ἐνδύει τὴν στολὴν τὴν πρώτην, καὶ βάλλει δακτύλιον εἰς τὴν χεῖρα αὐτοῦ, καὶ ὑποδήματα εἰς τοὺς πόδας, ταῦτα δέ εἰσι τῆς θείας αὐτοῦ εὐσπλαγχνίας τὰ χαρίσματα· σφάζει δὲ τελευταῖον ὑπὲρ αὐτοῦ τὸν μόσχον τὸν σιτευτόν, τουτέστι μεταδίδωσιν αὐτῷ καὶ αὐτῶν τῶν μυστηρίων τῆς θείας εὐχαριστίας· ἐκ τούτου δὲ αἱ συμφωνίαι καὶ οἱ χοροὶ καὶ ἡ εὐφροσύνη, σύμβολα τῆς χαρᾶς τῶν δικαίων καὶ ἐπουρανίων ἀγγέλων « ἐπὶ ἑνὶ » ἁμαρτωλῷ μετανοῦντι » (1). Ἐὰν στρέψῃς τὰ ὄμματα εἰς τὴν αὐλὴν τοῦ Καϊάφα, ἔνδον μὲν αὐτῆς ἀκούεις, ὅτι ὁ Πέτρος τρὶς μεθ' ὅρκου ἠρνήθη τὸν Ἰησοῦν Χριστόν· ἔξω δὲ τῆς αὐτῆς αὐλῆς βλέπεις τὸν Πέτρον κλαίοντα πικρῶς καὶ δικαιούμενον· ἐὰν ἐνατενίσῃς εἰς τὸν Γολγοθᾶ, βλέπεις ἐκ δεξιῶν τοῦ ἐσταυρωμένου Σωτῆρος ἕνα λῃστὴν ἐπὶ σταυροῦ κρεμάμενον, γνωρίζοντα τὰ ἴδια ἁμαρτήματα, καὶ μετανοοῦντα· ἀκούεις δέ, ὅτι ὁ ἐσταυρωμένος Κύριος ὑπόσχεταί αὐτῷ τὴν αἰώνιον βασιλείαν· ὁ μὲν λῃστὴς κραυγάζει· « Μνήσθητί μου Κύριε ὅταν ἔλ» θῃς ἐν τῇ βασιλείᾳ σου » (2)· ὁ δὲ Κύριος ἀποκρίνεται πρὸς αὐτόν· « Ἀμὴν λέγω σοι, » σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ ». Ἐὰν προσηλώσῃς τοῦ νοός σου τὰ ὄμματα εἰς τὴν Δαμασκόν, βλέπεις, ὅτι εἰς μίαν καιροῦ στιγμὴν ὁ διώκτης τῶν χριστιανῶν ὁ Παῦλος γίνεται σκεῦος ἐκλογῆς, καὶ κήρυξ τῆς χριστιανικῆς πίστεως, καὶ ὁ φθορεὺς τῶν ἐκκλησιῶν στηρίζει τὰς εἰς πᾶσαν τὴν οἰκουμένην ἐκκλησίας. Μέγας εἶ, Κύριε, καὶ θαυμαστὰ τὰ ἔργα σου, καὶ οὐδεὶς λόγος ἐξαρκέσει πρὸς ὕμνον τῆς εὐσπλαγχνίας σου. Ποῖος ἁμαρτωλὸς ἀκούων τόσας θείας ὑποσχέσεις, καὶ βλέπων τόσα σεσωσμένων ἁμαρτωλῶν παραδείγματα οὐ λαμβάνει θάῤῥος, καὶ οὐ πιστεύει ὅτι ἐὰν μετανοήσῃ, ἀνοίγει αὐτῷ ὁ Θεὸς τοῦ παραδείσου τὴν θύραν; Ἀληθῶς τὰ λόγια τοῦ Θεοῦ καὶ τὰ παραδείγματα τῶν δικαιωθέντων ἁμαρτωλῶν ἰσχυρά εἰσι καὶ ἱκανὰ πρὸς τὸ πεῖσαι, ὅτι ὁ Θεὸς δέχεται τοὺς μετανοοῦντας περιχαρῶς, καὶ συγχωρεῖ τὰ τούτων ἁμαρτήματα πανευσπλάγχνως. πλὴν καθεὶς διστάζει περὶ τοῦ, ἐὰν ἡ μετάνοια φανῇ πρὸς τὸν Θεὸν εὐπρόσδεκτος· καθεὶς βλέπει εἰς τοὺς μετανοήσαντας καὶ δικαιωθέντας κατάνυξιν, δάκρυα, κόπους, ἀγῶνας, νηστείας, προσευχάς, ἐλεημοσύνας, ἔργα ἀρετῆς θαυμαστὰ καὶ ἐξαίσια· ὅθεν στοχαζόμενος, ὅτι γυμνός ἐστι τούτων πάντων, διστάζει περὶ τῆς σωτηρίας αὐτοῦ, καὶ εὐλογοφανῶς ἀμφιβάλλει· τοῦτον τὸν δισταγμὸν καὶ τὴν ἀμφιβολίαν διώκει ἐκ τῆς καρδίας ἡμῶν ὁ θεόπνευστος Παῦλος διὰ τῆς διδασκαλίας αὐτοῦ τῆς σήμερον ἀναγνωσθείσης.

(1) Λουκ. 15, 7. (2) Αὐτ. 23. 42, 43.

« Ἔχομεν, λέγει, ἀρχιερέα μέγαν, διεληλυθότα τοὺς οὐρανούς, Ἰησοῦν τὸν Υἱὸν τοῦ Θεοῦ » (1). Ἀκούεις; ἀρχιερεύς ἐστιν ἐκεῖνος, παρ' οὗ ζητεῖς τῶν ἁμαρτιῶν σου τὴν συγχώρησιν· τοῦ δὲ ἀρχιερέως ἔργον ἐστὶν ἡ ὑπὲρ τῆς ἀφέσεως τῶν ἁμαρτιῶν πρεσβεία· ἀλλὰ καὶ μέγας ἐστὶν οὗτος ὁ ἀρχιερεύς· μέγας, ἐπειδὴ διελθὼν τούς οὐρανούς, « ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς » (2)· μέγας, ἐπειδὴ αὐτός ἐστιν ὁ Ἰησοῦς, ὁ Υἱὸς τοῦ Θεοῦ, ὁ ἐλθὼν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι· μέγας, καθότι οὐκ ἔστι μόνον ἄνθρωπος, ὡς οἱ λοιποὶ ἀρχιερεῖς, ἀλλ' ἔστι καὶ Θεὸς ἀληθινὸς ἐκ Θεοῦ ἀληθινοῦ· ἰσχυρὰ οὖν καὶ τελεσιουργὸς ἡ τούτου πρεσβεία· οὕτω πιστεύετε, κρατεῖτε, λέγει, ταύτην τὴν ὁμολογίαν· « κρατῶμεν τῆς ὁμολογίας » (3). Μὴ φοβεῖσθε· διότι οὗτος ὁ ἀρχιερεὺς οὐκ ἔστιν ἀσυμπαθής, ἀλλὰ συμπαθέστατος, ἐπειδὴ ἐδοκίμασε χωρὶς ἁμαρτίας πάντα τὰ τῆς ἀνθρωπίνης φύσεως ἀσθενήματα· « Οὐ γὰρ ἔχομεν ἀρχιερέα μὴ δυνάμενον συμπαθῆσαι ταῖς ἀσθενείαις ἡμῶν, πεπειρασμένον δὲ κατὰ πάντα καθ' ὁμοιότητα, χωρὶς ἁμαρτίας » (4)· προσέλθετε οὖν μετὰ παῤῥησίας· « Προσερχώμεθα οὖν μετὰ παῤῥησίας » (5) ἀκούεις; Μετὰ παῤῥησίας, λέγει· ποῦ λοιπὸν ἔχει τόπον ὁ δισταγμός σου καὶ ἡ ἀμφιβολία σου, ὅταν ὁ Παῦλος, ἤγουν αὐτὸ τοῦ Χριστοῦ τὸ στόμα, προστάσσῃ καὶ λέγῃ σοι· πρόσελθε μετὰ παῤῥησίας; ὅπου παῤῥησία, ἐκεῖ ὁ δισταγμὸς φεύγει, καὶ διασκεδάζεται πᾶσα ἀμφιβολία· ἄκουσον δὲ καὶ ποῦ στέλλει σε· « Τῷ θρόνῳ, λέγει, τῆς μεγαλωσύνης », ἤγουν ἔμπροσθεν αὐτῆς τῆς παντοδυνάμου καὶ πανευσπλάγχνου θεότητος. Διὰ ποῖον δὲ τέλος ἐξαποστέλλει ἡμᾶς ἐκεῖ; « ἵνα λάβωμεν, λέγει, ἔλεον, καὶ χάριν εὕρωμεν », πόθεν δὲ ἡ χάρις καὶ τὸ ἔλεος; ἐκ τῆς πρεσβείας τοῦ μεγάλου ἀρχιερέως· διότι αὐτὸς ζῶν ἐστι καὶ πρεσβεύει διὰ παντός, καὶ δύναται δοῦναι τὴν τελείαν σωτηρίαν εἰς τοὺς διὰ τῆς μεσιτείας αὐτοῦ προσερχομένους εἰς τὸν Θεόν. « Ὅθεν καὶ σώζειν εἰς τὸ παντελὲς δύναται τοὺς προσερχομένους δι' αὐτοῦ τῷ Θεῷ, πάντοτε ζῶν εἰς τὸ ἐντυγχάνειν ὑπὲρ αὐτῶν ». Μετὰ ταῦτα ποία μένει ἀμφιβολία;

Ἐὰν ἐκεῖνος ὁ ἄνθρωπος, ὅστις περιφρονήσει τὸν νόμον ἑνός ἐπιγείου βασιλέως, ἔχῃ μεσίτην καὶ πρέσβυν πρὸς τὸν βασιλέα τὸν μονογενῆ καὶ ἀγαπητὸν υἱὸν αὐτοῦ· εἷς δὲ τῶν πρώτων ὑπουργῶν τῆς βασιλείας λέγει πρὸς αὐτόν, πρόσελθε μετὰ παῤῥησίας πρὸς τὸν βασιλέα, ζήτησον συγχώρησιν, καὶ μὴ διστάζῃς, διότι ὁ υἱὸς αὐτοῦ πρεσβεύει διὰ παντὸς ὑπὲρ σοῦ· διὰ τοῦτο μέλλει ἐλεῆσαί σε ὁ βασιλεύς, καὶ κατατάξαι σε εἰς τὴν πρώτην σου ἀξίαν καὶ κατάςασιν· διςάζει ἄραγε τότε αὐτὸς ὁ ἄνθρωπος; οὐδόλως· ἀλλὰ τρέχει εὐθὺς μετὰ θάῤῥους, καὶ προσπίπτει πρὸς τοὺς πόδας τοῦ βασιλέως, καὶ ζητεῖ συγχώρησιν· καὶ ὅμως ἐπειδὴ οἱ ἄνθρωποί εἰσιν ἀπατηλοὶ καὶ μεταβλητοί, ἐνδεχόμενόν ἐςι τό, ὅτι ἢ ὁ ὑπουργός, ὁ ὑποσχόμενος τὴν συγχώρησιν, δολιεύεται καὶ ψεύδεται, ἢ ὅτι εἰς τὸ μεταξὺ τοῦ καιροῦ ὁ υἱὸς τοῦ βασιλέως παύει τὴν πρεσβείαν, ἢ ὁ βασιλεὺς μεταβάλλει γνώμην· εἰς δὲ τὰ θεῖα πράγματα οὐδὲ δόλος προχωρεῖ, οὐδὲ ψεῦδος πλησιάζει, οὐδὲ ἡ μεταβολὴ ἔχει τόπον· « Τὰ λόγια Κυρίου εἰσὶ λόγια ἁγνά· ἀργύριον πεπυρωμένον,

(1) Ἑβρ. 4, 14. (2) Ἑβρ. 1, 3. (3) Αὐτ. 4, 14. (4) Αὐτ. 15. (5) Αὐτ. 16.



δοκίμιον τῇ γῇ, κεκαθαρισμένον ἑπταπλασίως » (1). Εἰς τῆς μετανοίας τὴν ὑπόθεσιν βασιλεύς ἐστιν ὁ Θεός, παραβάτης τοῦ νόμου ὁ ἁμαρτωλός, πρέσβυς ὑπὲρ τῆς συγχωρήσεως τῶν ἁμαρτιῶν ὁ μέγας καὶ συμπαθέστατος ἀρχιερεύς, ὁ Ἰησοῦς Χριστός, ὁ τοῦ Θεοῦ μονογενὴς καὶ ἀγαπητὸς Υἱός· εἷς δὲ τῶν πρώτων ὑπουργῶν τῆς θείας βασιλείας ἐστὶ τὸ σκεῦος τῆς ἐκλογῆς, ὁ ἀναβὰς ἕως τρίτου οὐρανοῦ, καὶ ἰδὼν καὶ ἀκούσας ἄῤῥητα ῥήματα, ὁ Παῦλος, ἐν ᾧ ἔζη ὁ Χριστός, ἡ αὐτοαλήθεια. Αὐτὸς οὖν προσκαλεῖ· πρόσελθε, λέγει, μετὰ παῤῥησίας· αὐτὸς ἐπιβεβαιοῖ, ὅτι ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ πρεσβεύει ἀδιαλείπτως ὑπὲρ τῆς ἀφέσεως τῶν ἁμαρτιῶν· αὐτὸς μαρτυρεῖ, ὅτι, ἐὰν προσέλθῃς, λαμβάνεις ἔλεος, καὶ εὑρίσκεις χάριν· μετὰ ταῦτα ἀμφιβάλλεις, ὅτι, ἐὰν προσέλθῃς πρὸς τὸν Θεὸν ἐν μετανοίᾳ καὶ ἐξομολογήσει, λαμβάνεις τὴν ἄφεσιν τῶν ἁμαρτιῶν καὶ τῆς ψυχῆς σου τὴν σωτηρίαν; ἐὰν ἀμφιβάλλῃς, ἁμαρτάνεις ἐπειδὴ οὐ πιστεύεις εἰς τοῦ Θεοῦ τὰ λόγια, οὐδὲ εἰς τὴν δύναμιν τῆς παντοδυνάμου μεσιτείας τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Υἱοῦ τοῦ Θεοῦ.

Ἀληθῶς καὶ τῶν προφητῶν τὰ κηρύγματα, καὶ τῶν Ἀποστόλων ἡ διδασκαλία, καὶ τοῦ Ἰησοῦ Χριστοῦ ἡ πρόσκλησις, καὶ τὰ πολλὰ τῶν μετανοησάντων καὶ σωθέντων παραδείγματα περιθαῤῥύνουσι τοὺς ἁμαρτωλούς, πλὴν τοῦ θεοφόρου Παύλου τὰ λόγια ἐξορίζουσιν ἐκ τῆς καρδίας ἡμῶν πᾶσαν ἀμφιβολίαν. Παρατηρῶ ὅμως ἐν αὐτοῖς μίαν λέξιν, ἤγουν τὴν λέξιν. « Εὔκαιρον »· αὐτὴ δὲ οὐδὲν ἄλλο σημαίνει, εἰ μὴ τὸν καιρὸν τὸν ἁρμόδιον· « Προσερχώμεθα οὖν, λέγει, μετὰ παῤῥησίας τῷ θρόνῳ τῆς χάριτος, ἵνα λάβωμεν ἔλεον, καὶ χάριν εὕρωμεν εἰς εὔκαιρον βοήθειαν » (2)· Πρόσελθε, λέγει, μετὰ θάῤῥους τῷ θρόνῳ τῆς μεγαλωσύνης εἰς τὸν καιρὸν τὸν ἁρμόδιον, ἵνα λάβῃς τὸ ἔλεος καὶ τὴν βοήθειαν τῆς θείας χάριτος· βλέπω δέ, ὅτι τὸ αὐτὸ ὡς ἐκ προσώπου τοῦ Κυρίου ἐδίδαξε πρὸ τοῦ Παύλου ὁ προφήτης Ἡσαΐας· εἰπών. « Οὕτω λέγει Κύριος, καιρῷ δεκτῷ ἐπήκουσά σου, καὶ ἐν ἡμέρᾳ σωτηρίας ἐβοήθησά σοι » (3). Ἐκ τούτων φανερόν ἐστιν, ὅτι, ἐὰν προσέλθω πρὸς τὸν Θεὸν εἰς καιρὸν ἀνάρμοστον, οὐδὲ ἔλεος λαμβάνω, οὐδὲ χάριν εὑρίσκω. Ποῖος δὲ ἆρά γέ ἐστιν οὗτος ὁ ἁρμόδιος καιρός, ὁ τόσον ἀναγκαῖος πρὸς τὴν σωτηρίαν; οὐδεὶς ἄλλος, εἰ μὴ ὁ καιρὸς τῆς παρούσης ζωῆς ἡμῶν· διότι μετὰ θάνατον οὐδὲ ἡ μετάνοια ἰσχύει, οὐδὲ ἐξομολόγησις γίνεται· « Ὅτι οὐκ ἔστιν ἐν τῷ θανάτῳ ὁ μνημονεύων σου, ἐν δὲ τῷ ᾅδῃ τίς ἐξομολογήσεταί σοι; » (4) ὁ δὲ ἀριθμὸς τῶν ἡμερῶν τῆς ζωῆς ἡμῶν ἐστιν ἄδηλος καὶ ἀγνώριστος· ἀποθνήσκουσιν οἱ ἄνθρωποι οὐ μόνον, ἀφ' οὗ φθάσωσιν εἰς τὸ γῆρας, ἀλλὰ καὶ εἰς αὐτὸ τὸ ἄνθος τῆς νεότητος, καὶ εἰς αὐτὰς τὰς ἡμέρας τῆς παιδικῆς καὶ νηπιώδους ἡλικίας· ἐκρύβη ἀφ' ἡμῶν ἡ ὥρα τοῦ θανάτου· ποῖος ἄνθρωπος οἶδεν, ἐὰν φθάσῃ, οὐ λέγω τὸ ἐρχόμενον ἔτος, οὐδὲ τὸν ἐρχόμενον μῆνα, οὐδὲ τὴν ἐρχομένην ἑβδομάδα, ἀλλὰ τὴν αὔριον ἡμέραν; οὐδείς· διότι πολλοὶ ἐγείρονται μὲν τὸ πρωΐ, οὐ προφθάνουσι δὲ ἰδεῖν τὸ ἑσπέρας.

Ταλαίπωροι ἡμεῖς· ἡμεῖς ἐσμὲν ἁμαρτωλοί· ἐὰν μὴ προσέλθωμεν πρὸς τὸν Ἰησοῦν Χριστόν, καὶ ζητήσωμεν τὸ ἔλεος αὐ-

(1) Ψαλμ. 11, 6. (2) Ἑβρ. 4, 16. (3) Ἠσ. 49, 8. (4) Ψαλμ. 6, 6.

του, οὐκ ἔχομεν σωτηρίας ἐλπίδα· πρός τὸν Χριστὸν δὲ οὐ δυνάμεθα προσελθεῖν, εἰ μὴ διὰ τῆς μετανοίας· ἡ δὲ μετάνοια, ἐὰν μὴ τελειωθῇ εἰς τὸν ἁρμόδιον καιρόν, οὐδὲν ὠφελεῖ, ὁ ἁρμόδιος καιρὸς εἴσιν αἱ ἡμέραι τῆς ζωῆς ἡμῶν, ἀλλ' αὐταὶ παρέρχονται ὡς σκιά, καὶ ὡς τὸ ἐνύπνιον τοῦ ἐξεγειρομένου, ἐκλείπουσιν ὡς ὁ χόρτος, καὶ ἐξανθοῦσιν ὡς τοῦ ἀγροῦ τὸ ἄνθος· «Ἄνθρωπος ὡσεὶ χόρ» τος αἱ ἡμέραι αὐτοῦ, ὡσεὶ ἄνθος τοῦ ἀ» γροῦ, οὕτως ἐξανθήσει » (1). Οὐδεὶς δὲ γινώσκει, οὐδὲ εἰς ποίαν ἡλικίαν, οὐδὲ εἰς ποίαν ἡμέραν, οὐδὲ εἰς ποίαν ὥραν ἡ ζωὴ αὐτοῦ λαμβάνει τέλος. Εἰς τοιαύτας στενὰς περιστάσεις ποία ἡ ὁδὸς τῆς σωτηρίας; δεικνύει αὐτὴν εἰς ἡμᾶς ὁ ἅγιος τοῦ Θεοῦ προφήτης· « Σήμερον, λέγει, ἐὰν τῆς φω» νῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς » καρδίας ὑμῶν » (2)· σήμερον ἀκούεις τὴν φωνὴν τοῦ Κυρίου σου, τὴν προσκαλοῦσάν σε, καὶ λέγουσαν· πρόσελθε μετὰ παῤῥησίας εἰς τὸν θρόνον τῆς μεγαλωσύνης, ἵνα λάβῃς ἔλεος, καὶ εὕρῃς τὴν βοηθοῦσάν σε χάριν· μὴ οὖν σκληρύνῃς τὴν καρδίαν σου διὰ τῶν ἐπιθυμιῶν τῆς σαρκός, καὶ διὰ τῆς ματαιότητος τοῦ κόσμου, ἀλλ' ἀπάλυνον αὐτὴν διὰ τῆς μετανοίας καὶ κατανύξεως. Βλέπε δέ, ὅτι ὁ οὐρανόφρων Παῦλος συνέτεμε τὸ σήμερον τοῦ Δαβὶδ εἰς ὅρια συντομώτερα· αὐτὸς πρῶτον μὲν ἐπαναλαβὼν τοῦ προφήτου Ἠσαΐου τὰ λόγια, εἶπεν, ὅτι εἰς τὸν ἁρμόδιον καιρὸν εἰσακούει ὁ Θεὸς τῆς μετανοίας σου τὴν δέησιν, καὶ ἐν τῇ ἡμέρᾳ τῆς σωτηρίας χορηγεῖ σοι τὴν θείαν αὐτοῦ βοήθειαν· «Καιρῷ δεκτῷ ἐπήκουσά σου, καὶ » ἐν ἡμέρᾳ σωτηρίας ἐβοήθησά σοι » (3)· ἔπειτα ὡς ἐξηγούμενος ταῦτα τὰ προφητικὰ λόγια, εἶπεν, ὅτι ὁ δεκτὸς καιρὸς καὶ ἡ ἡμέρα τῆς σωτηρίας ἐστὶ τὸ νῦν, ἤγουν ἡ παροῦσα ὥρα καὶ στιγμή· « Ἰδού, εἶπε, » νῦν καιρὸς εὐπρόσδεκτος, ἰδοὺ νῦν ἡμέρα » σωτηρίας » (1).

Ἰδοὺ οὖν, ἀδελφοί, νῦν καιρὸς εὐπρόσδεκτος, ἰδοὺ νῦν ἡμέρα σωτηρίας· ὅλος ὁ καιρὸς τῆς ζωῆς ἡμῶν ἐστιν ἁρμόδιος διὰ τὴν μετάνοιαν, ἀλλ' ἐπειδὴ τὸ τέλος αὐτοῦ ἐςιν ἄδηλον, ὁ νῦν καιρὸς ἐστιν ὁ ἁρμοδιώτατος· πᾶσαί αἱ ἡμέραι τῆς ζωῆς ἡμῶν εἰσιν ἡμέραι ἁρμόδιοι τῇ μετανοίᾳ, κατ' ἐξοχὴν ὅμως αἱ παροῦσαι ἡμέραι· διότι αὐτὰς διὰ τοῦ ἰδίου παραδείγματος παρέδωκεν ἡμῖν ὁ Ἰησοῦς Χριστός, νηστεύσας ἡμέρας τεσσαράκοντα, ἵνα καὶ ἡμεῖς ἐν αὐταῖς νηστεύοντες οὐ μόνον ἀπὸ τῶν τροφῶν, ἀλλὰ καὶ ἀπὸ πάσης κακίας, προσέλθωμεν πρὸς αὐτὸν διὰ τῆς μετανοίας, ἵνα λάβωμεν ἔλεος, καὶ εὕρωμεν χάριν καὶ βοήθειαν. Μὴ οὖν περιφρονήσωμεν τοῦτον τὸν ἁρμοδιώτατον καιρόν, ἐπειδὴ οὐκ οἴδαμεν, ἐὰν προφθάσωμεν ἄλλον ὅμοιον. Μὴ εἴπῃς, ὦ ἄνθρωπε, εἰμὶ νέος, καὶ ἔχω καιρόν, διότι ὁ θάνατος θερίζει ἐπίσης νέους καὶ γέροντας· μὴ θαῤῥήσῃς εἰς τὴν ὑγείαν σου, μηδὲ ἐλπίσῃς εἰς τὴν ἀνδρείαν τοῦ σώματός σου, διότι οὐδὲ τὴν ὑγείαν εὐλαβεῖται ὁ θάνατος, οὐδὲ τὴν ἀνδρείαν φοβεῖται· τοῦ θανάτου ἡ μάχαιρα καὶ τοὺς ὑγιεῖς σφάζει, καὶ τοὺς ἀνδρείους φονεύει· « Ἰδοὺ νῦν καιρὸς εὐπρόσδεκτος, » ἰδοὺ νῦν ἡμέρα σωτηρίας ». Ὁ παρὼν καιρός ἐστιν ὑπὸ τὴν ἐξουσίαν· αἱ παροῦσαι ἡμέραι εἰσὶν ἡμέραι σωτηρίας, ὡς ὡρισμέναι ὑπὸ Θεοῦ, ἵνα ἐν αὐταῖς μετανοήσαντες προσέλθωμεν πρὸς τὸν Θεόν, καὶ λάβωμεν διὰ τῆς τοῦ Ἰησοῦ Χριστοῦ μεσιτείας ἔλεος,

(1) Ψαλμ. 102, 15. (2) Αὐτ. 94, 8. (3) Β'. Κορ. 6, 2. (4) Αὐτόθι.



καὶ χάριν, καὶ βοήθειαν. Μὴ εἴπῃς οὖν, ἀδελφέ, ὅτι ἔχω καιρόν, διότι πλανᾶσαι· μὴ περιμένῃς ἄλλην περίοδον τεσσαρακονθημέρου νηστείας, ἵνα τότε μετανοήσῃς καὶ ἐξομολογηθῇς, διότι ὁ καιρὸς οὐκ ἔστιν ὑπὸ τὴν ἐξουσίαν σου· μὴ ἀναβάλλῃς τὴν ἐπιστροφήν σου ἡμέραν ἐξ ἡμέρας, διότι παροργίζεις τὸν Κύριον, καὶ προσκαλεῖς κατὰ σοῦ αἰφνίδιον τιμωρίαν· «Μὴ ἀνάμενε ἐπι» στρέψαι πρὸς Κύριον, καὶ μὴ ὑπερβάλλου » ἡμέραν ἐξ ἡμέρας· ἐξάπινα γὰρ ἐξελεύ» σεται ὀργὴ Κυρίου » (1).

# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΗΝ ΠΡΟΣ

# ΕΒΡΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

## ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗ: Δ'. ΚΥΡΙΑΚΗ: ΤΩΝ ΝΗΣΤΕΙΩΝ.

ΠΟΛΛΑ μὲν ὑπεσχέθη ὁ Θεὸς πολλάκις εἰς τὸν Ἀβραάμ, οὐδὲν ὅμως ἄλλο ὑπέσχετο μεθ' ὅρκου, εἰ μὴ τὸν πληθυσμὸν τῶν τέκνων αὐτοῦ, καὶ τὴν διὰ τοῦ σπέρματος αὐτοῦ εὐλογίαν εἰς πάντα τῆς γῆς τὰ ἔθνη· βλέπομεν δὲ ἀληθῶς, ὅτι ἐπληθύνθησαν οἱ τοῦ Ἀβραὰμ ἀπόγονοι, οἱ ἐκ τοῦ Ἰσαὰκ καὶ ἐκ τοῦ Ἰσμαὴλ τῶν υἱῶν αὐτοῦ καταγόμενοι, εἰς πολυαρίθμους μυριάδας, πλὴν αὐτοὶ οὐκ εἰσὶ τὸ πλῆθος ἐκεῖνο τὸ ὑπὸ τοῦ Θεοῦ προσημανθὲν διὰ τούτων τῶν λόγων· « Πληθυνῶ τὸ σπέρμα σου ὡς τοὺς ἀστέ» ρας τοῦ οὐρανοῦ, καὶ ὡς τὴν ἄμμον τὴν » παρὰ τὸ χεῖλος τῆς θαλάσσης. Καὶ ποιή» σω τὸ σπέρμα σου ὡς τὴν ἄμμον τῆς » γῆς· εἰ δύναταί τις ἐξαριθμῆσαι τὴν ἄμ» μον τῆς γῆς, καὶ τὸ σπέρμα σου ἐξαριθ» μηθήσεται. Ἀρίθμησον τοὺς ἀστέρας, εἰ » δυνήσῃ ἐξαριθμῆσαι αὐτούς· καὶ εἶπεν, » οὕτως ἔσται τὸ σπέρμα σου » (2). Ἡ δὲ διὰ τοῦ σπέρματος τοῦ Ἀβραὰμ εὐλογία εἰς πάντα τὰ ἔθνη· « Καὶ ἐνευλογηθήσονται ἐν » τῷ σπέρματί σου πάντα τὰ ἔθνη τῆς » γῆς »· ἐστὶ πρᾶγμα τοσοῦτον ἀκατανόητον, ὥςε ὁ ἐκλαμβάνων τὰ λόγια ταῦτα σαρκικῶς κατὰ τὸ γράμμα, ὡς ὁ Ἑβραῖος, πίπτων εἰς ἀδιαλύτους ἀπορίας, ἢ προβάλλει λόγια ἀπίθανα, καὶ ἐναντία εἰς τὰ πράγματα, ἢ ἐπιστομιζόμενος ὑπὸ τῆς δυσκολίας τοῦ νοήματος, οὐδὲν ἀποκρίνεται πρὸς τοὺς ἐρωτῶντας. Ὑπαινίξατο μὲν ὁ Ἰωάννης ὁ Πρόδρομος τὴν σημασίαν τούτων τῶν λόγων, εἰπών· « Λέγω γὰρ ὑμῖν, ὅτι δύνα» ται ὁ Θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖραι » τέκνα τῷ Ἀβραάμ » (3)· ἀλλὰ τοῦτο οὐκ ἐσαφήνισε τὴν ἔννοιαν τῆς θείας ὑποσχέσεως· ὁ Παῦλος ὁ θεοδίδακτος, αὐτὸς ἀνακαλύψας τὸ μυστικὸν νόημα τούτων τῶν θείων λόγων, ἔλυσεν ἐντελῶς τὴν ἀπερινόητον ἀπορίαν· αὐτὸς διὰ τῶν σήμερον ἀνα-

(1) Σειρ. 5, 7. (2) Γεν. 22, 17. καὶ 13, 16. καὶ 15, 5. (3) Ματθ. 3, 9.

γνωσθέντων λόγων τῆς πρὸς Ἑβραίους ἐπιστολῆς αὐτοῦ ἐφανέρωσε καὶ τὸν λόγον, δι' ὃν ὁ Θεὸς ὤμοσεν, ὅταν ὑπεσχέθη τὴν εὐλογίαν, καὶ τό, πῶς διὰ τοῦ σπέρματος Ἀβραὰμ εὐλογήθησαν πάντα τῆς γῆς τὰ ἔθνη, ἑπομένως δὲ καὶ τό, πῶς τὸ σπέρμα αὐτοῦ ἐπληθύνθη ὑπὲρ τὴν ἄμμον τῆς γῆς, καὶ τοῦ οὐρανοῦ τοὺς ἀστέρας. Ἀκούσατε μετὰ προσοχῆς τὴν ἑρμηνείαν τῶν ἀναγνωσθέντων ἀποστολικῶν λόγων, ἵνα θαυμάσαντες τῆς θείας οἰκονομίας τὰ μυστήρια, στηριχθῆτε εἰς τὴν εἰς Χριστὸν πίστιν, ἥτις πηγάζει τὴν εὐλογίαν, καὶ εἰσάγει εἰς τὴν ὁδὸν τῆς σωτηρίας.

*Ἀδελφοί, τῷ Ἀβραὰμ ἐπαγγειλάμενος ὁ Θεός, ἐπεὶ κατ' οὐδενὸς εἶχε μείζονος ὀμόσαι, ὤμοσε καθ' ἑαυτοῦ, λέγων· Ἦ μὴν εὐλογῶν εὐλογήσω σε, καὶ πληθύνων πληθυνῶ σε* (1).

Ὅταν ὁ πατριάρχης Ἀβραὰμ ὑπακούσας εἰς τοῦ Θεοῦ τὸ πρόσταγμα, ἥπλωσε τὴν χεῖρα αὐτοῦ λαβεῖν τὴν μάχαιραν, καὶ σφάξαι τὸν υἱὸν αὐτοῦ Ἰσαάκ, τότε ὁ Θεὸς ἐκάλεσεν αὐτὸν ἐξ οὐρανοῦ, καὶ πρῶτον μὲν ἐνεπόδισεν αὐτὸν τῆς τοιαύτης σφαγῆς, « Καὶ εἶπε μὴ ἐπιβάλῃς τὴν χεῖρά σου ἐπὶ » τὸ παιδάριον, μηδὲ ποιήσῃς αὐτῷ μη» δέν » (2)· ἔπειτα ἀνεκήρυξε τὴν μεγάλην ἀρετὴν τῆς ἀγάπης καὶ τῆς ὑπακοῆς αὐτοῦ, εἰπών· « Νῦν γὰρ ἔγνων, ὅτι φοβῇ σὺ τὸν » Θεόν· καὶ οὐκ ἐφείσω τοῦ υἱοῦ σου τοῦ ἀ» γαπητοῦ δι' ἐμέ »· καὶ μετὰ τοῦτο ὑπεσχέθη μεθ' ὅρκου τὴν εὐλογίαν καὶ τὸν πληθυσμὸν ὡς μισθαποδοσίαν τῆς τούτου ἀρετῆς, λέγων· « Ἦ μὴν εὐλογῶν εὐλογήσω σε, » καὶ πληθύνων πληθυνῶ σε » (3)· Ὤμοσε δὲ ὁ Θεὸς οὐ μόνον τῷ Ἀβραάμ, ἀλλὰ καὶ τῷ Δαβίδ· ὤμοσε καὶ ἐνώπιον τοῦ Ἡσαΐου, καὶ τοῦ Ἱερεμίου, καὶ τοῦ Ἰεζεκιήλ, καὶ τοῦ Ἀμώς (4). Τὸ δὲ καθ' ἑαυτοῦ σημαίνει τὸ ἐν τῇ ἁγιωσύνῃ αὐτοῦ, ἢ ἐν τῇ ἀληθείᾳ αὐτοῦ, ἢ ἐν τῇ δόξῃ αὐτοῦ. « Ἅπαξ, λέγει, ὤμοσα » ἐν τῷ ἁγίῳ μου, εἰ τῷ Δαβὶδ ψεύσομαι· » Ὤμοσε Κύριος τῷ Δαβὶδ ἀλήθειαν, καὶ οὐ » μὴ ἀθετήσει αὐτήν (5)· Ὤμοσε Κύριος » κατὰ τῆς δόξης αὐτοῦ » (6)· καὶ εἶπε μὲν ὁ Παῦλος, ὅτι ὁ Θεὸς ὤμοσε καθ' ἑαυτοῦ, ἐπειδὴ οὐκ εἶχεν ἄλλον μείζονα ἑαυτοῦ, ἵνα ἐν τῷ ἐκείνου ὀνόματι ὀμόσῃ· « Ἐπεὶ κατ' » οὐδενὸς εἶχε μείζονος ὀμόσαι, ὤμοσε καθ' » ἑαυτοῦ ». Ἀληθῶς δὲ τίς μείζων τοῦ Θεοῦ; Ἆρά γε δὲ πρέπον ἐστίν, ἵνα ἐκλάβωμεν τό, ὤμοσε, κατὰ τὴν σημασίαν τῆς λέξεως, καὶ πιστεύσωμεν, ὅτι ὁ Θεὸς ἐποίησεν ὅρκους, ἀκούοντες, ὅτι ὁ αὐτὸς Θεὸς εἶπεν· « Ἐγὼ δὲ λέγω ὑμῖν, μὴ ὀμόσαι ὅ» λως; » (7) ποίαν χρείαν εἶχεν ὁ Θεὸς ὅρκου πρὸς βεβαίωσιν τῶν ἰδίων ὑποσχέσεων, ὅταν ἐλάλει πρὸς τοὺς πιστεύοντας, ὅτι αὐτός ἐστιν ἡ ἀμετάβλητος αὐτοαλήθεια; Φαίνεται οὖν, ὅτι τό, Ὤμοσεν, ἐῤῥέθη περὶ τοῦ Θεοῦ, καθὼς καὶ τό, « Ἐνεφύσησε, καὶ » τὸ ἐφύτευσε, καὶ τὸ περιεπάτησε » (8), καὶ τούτοις ὅμοια, πρὸς κατάληψιν δηλονότι τοῦ ἀσθενοῦς ἡμῶν νοός· ὁσάκις δὲ ἠθέλησεν ὁ Θεὸς παραστῆσαι τοῖς ἀνθρώποις τὴν βεβαίαν καὶ ἀμετάθετον αὐτοῦ ἀπόφασιν, εὐδόκησεν ἵνα γραφθῇ εἰς τὰ θεῖα αὐτοῦ βιβλία τό, Ὤμοσε. Βεβαιοῖ δὲ τοῦτο αὐτὸς ὁ λόγος τοῦ ὅρκου· « Ἦ μήν », εἶπεν, ἤγουν ἀμεταθέτως καὶ ἀσφαλῶς καὶ ἀναμφιβόλως, « εὐλογήσω σε καὶ πληθυνῶ » σε » πολλαπλασιάσας τοὺς ἀπογόνους σου.

(1) Ἑβρ. 6, 13, 14. (2) Γεν. 22, 12 (3) Αὐτ. 17. (4) Ἱερ. 22, 5. Ἰεζ. 16, 8. Ἀμ. 6, 8. (5) Ψαλμ. 88, 35. καὶ 131, 11. (6) Ἠσ. 62, 8. (7) Ματθ. 5, 34. (8) Γεν. 2, 7, 8. καὶ 3, 8. ὅρ. τὸν μέγ. Βασ. εἰς τὸν 14 Ψαλμ.



*Καὶ οὕτω μακροθυμήσας, ἐπέτυχε τῆς ἐπαγγελίας* (1).

Ὁ Θεὸς ὑπεσχέθη εἰς τὸν Ἀβραὰμ οὐχὶ μίαν, ἀλλὰ πολλὰς ὑποσχέσεις, τὸν πληθυσμὸν τῶν ἀπογόνων καὶ τὴν τοῦ ὀνόματος αὐτοῦ μεγαλωσύνην, τὴν ὑπεράσπισιν καὶ τὸν πολὺν μισθόν, τὴν διαθήκην, τὴν γῆν Χαναάν, τὸν υἱὸν καὶ κληρονόμον, τὴν πρὸς αὐτὸν εὐλογίαν, καὶ τὴν διὰ τοῦ σπέρματος αὐτοῦ εὐλογίαν εἰς πάντα τῆς γῆς τὰ ἔθνη (2)· ὁ δὲ Ἀπόστολος οὐκ εἶπεν, ὅτι ἐπέτυχε τῶν ἐπαγγελιῶν, ἀλλὰ τῆς ἐπαγγελίας, ἑνικῶς· ποίαν οὖν τούτων τῶν ἐπαγγελιῶν λέγει, ὅτι ἔλαβεν ὁ Ἀβραὰμ μακροθυμήσας; τὴν περὶ τοῦ Ἰσαάκ, τοῦ υἱοῦ αὐτοῦ ἐπαγγελίαν· διότι αὐτή ἐστιν ἡ ὑπερτέρα καὶ ἡ περιεκτικὴ πασῶν τῶν ἄλλων ἐπαγγελιῶν, καθότι ἐκ τοῦ Ἰσαὰκ ὁ Δαβίδ, ἐκ δὲ τοῦ Δαβὶδ ἡ παναγία Παρθένος, ἐξ αὐτῆς δὲ ὁ Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, σάρκα λαβὼν καὶ ἐνανθρωπήσας, υἱὸς ἐγένετο τοῦ Ἀβραὰμ κατὰ σάρκα· ὅθεν ὁ Ἀβραὰμ πατήρ ἐστι τοῦ υἱοῦ τοῦ Θεοῦ κατὰ τὸ ἀνθρώπινον· ἐξ αὐτοῦ δὲ τοῦ Ἰησοῦ Χριστοῦ ἡ εὐλογία ἐδόθη εἰς πάντα τὰ ἔθνη τῆς γῆς· διότι αὐτὸς ἔδωκεν ἐξουσίαν εἰς πάντας τοὺς εἰς αὐτὸν πιστεύοντας « Τέκνα Θεοῦ γενέσθαι » (3)· οὗτοι δέ εἰσι τοῦ Ἀβραὰμ τέκνα· « Ὅτι οἱ ἐκ πίστεως » οὗτοί εἰσιν υἱοὶ Ἀβραάμ » (4)· αὐτοὶ δὲ οἱ ἐκ πίστεως εὐλογοῦνται σὺν τῷ πιστῷ Ἀβραάμ· διὸ αὐτοί εἰσι τὸ εὐλογημένον αὐτοῦ σπέρμα, περὶ οὗ ὁ Θεὸς εἶπε πρὸς αὐτόν· « Ὅτι ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα » (5)· ὁ δὲ Παῦλος πρὸς τοὺς Γαλάτας ἔγραφεν· « Ἡμεῖς δέ, ἀδελφοί, κατὰ Ἰσαὰκ ἐπαγ» γελίας τέκνα ἐσμέν » (6)· ἐκ ταύτης δὲ τῆς τοῦ Χριστοῦ εὐλογίας καὶ πνευματικῆς υἱοθεσίας τῶν ἐθνῶν ἐγένετο ὁ πληθυσμὸς τῶν τέκνων τοῦ Ἀβραάμ· ὅθεν βλέπομεν τὰ πνευματικὰ αὐτοῦ τέκνα, πληθυνθέντα κατὰ τὸν ἀριθμὸν τῶν ἀστέρων τοῦ οὐρανοῦ, καὶ τῆς ἄμμου, τῆς παρὰ τὸ χεῖλος τῆς θαλάσσης (7). Ταύτην δὲ τὴν περὶ τοῦ Ἰσαὰκ κατ' ἐξοχὴν ἐπαγγελίαν ἔλαβεν ὁ Ἀβραὰμ οὐχὶ εὐθὺς μετὰ τὴν τοῦ Θεοῦ ὑπόσχεσιν, ἀλλὰ μετὰ παρέλευσιν καιροῦ· διὰ τοῦτο δὲ εἶπεν ὁ Ἀπόστολος, ὅτι μακροθυμήσας ἔλαβεν αὐτήν, ἤγουν καρτερικῶς ὑπομείνας, καὶ μηδὲν διστάσας· « Καὶ μὴ ἀσθενήσας τῇ » πίστει, λέγει ἀλλαχοῦ περὶ αὐτοῦ, οὐ » κατενόησε τὸ ἑαυτοῦ σῶμα ἤδη νενεκρωμένον, ἑκατονταέτης που ὑπάρχων, καὶ » τὴν νέκρωσιν Σάῤῥας· εἰς δὲ τὴν ἐπαγ» γελίαν τοῦ Θεοῦ οὐ διεκρίθη τῇ ἀπιστίᾳ, » ἀλλ' ἐνεδυναμώθη τῇ πίστει, δοὺς δόξαν » τῷ Θεῷ » (8). Ταῦτα δὲ ὡς ἐν παρενθέσει εἰπὼν περὶ τῆς ἐπαγγελίας, ἣν ἔλαβεν ὁ Ἀβραάμ, ἐπιστρέφει τὸν λόγον εἰς τὴν ὑπόσχεσιν τοῦ ὅρκου, λέγων·

*Ἄνθρωποι μὲν γὰρ κατὰ τοῦ μείζονος ὀμνύουσι, καὶ πάσης αὐτοῖς ἀντιλογίας πέρας εἰς βεβαίωσιν ὁ ὅρκος* (9).

Προλαβὸν εἶπεν, ὅτι ὁ Θεὸς ὤμοσε καθ' ἑαυτοῦ, ἐπειδὴ οὐκ εἶχεν ἄλλον τινὰ μείζονα, ἵνα ὀμόσῃ ἐν αὐτῷ (10)· νῦν δὲ λέγει, ὅτι οἱ ἄνθρωποι ὀμνύουσι κατὰ τοῦ μείζονος, ἤγουν τοῦ Θεοῦ καὶ τῶν θείων πραγμάτων· τοῦτο δέ ἐστι τὸ ὡς ἐπὶ τὸ πλεῖστον γινόμενον· ἐνίοτε ὅμως καὶ οἱ ἄνθρωποι ὀμνύουσι καθ' ἑαυτῶν· ὅθεν ὁ Κύριος εἶπε· « Μήτε

(1) Ἑβρ. 6, 15. (2) Γεν. 12, 2. καὶ 15, 1. καὶ 17, 2, 8, 16. καὶ 21, 17, 18. (3) Ἰωάν. 1, 12. (4) Γαλ. 3, 7, 9. (5) Γεν. 21, 12. (6) Γαλ. 4, 28. (7) Γεν. 22, 17. (8) Ῥωμ. 4, 19, 20. (9) Ἑβρ. 6, 16. (10) Αὐτ. 13.

» ἐν τῇ κεφαλῇ σου ὀμόσῃς, ὅτι οὐ δύνασαι » μίαν τρίχα λευκὴν ἢ μέλαιναν ποιῆ» σαι » (1). Δηλοποιεῖ δὲ καὶ τὸ ἀποτέλεσμα τοῦ ὅρκου· ὁ ὅρκος, λέγει, ἐπιβεβαιῶν τὰς μαρτυρίας καὶ ὑποσχέσεις, τίθησι πέρας, καὶ παύει πᾶσαν ἀμφιβολίαν καὶ ἀντιλογίαν περὶ τῶν μαρτυρουμένων καὶ ὑποσχομένων,

*Ἐν ᾧ περισσότερον βουλόμενος ὁ Θεὸς ἐπιδεῖξαι τοῖς κληρονόμοις τῆς ἐπαγγελίας τὸ ἀμετάθετον τῆς βουλῆς αὐτοῦ, ἐμεσίτευσεν ὅρκῳ* (2).

Κληρονόμοι τῆς ἐπαγγελίας εἰσὶ τὰ πνευματικὰ τέκνα τοῦ Ἀβραάμ, ἤγουν οἱ εἰς Χριστὸν πιστεύσαντες τὸν κατὰ σάρκα υἱὸν τοῦ Ἀβραάμ· « Ὅτι οἱ ἐκ πίστεως » οὗτοί εἰσιν υἱοὶ Ἀβραάμ » (3)· ἡ δὲ ἐπαγγελία, ἣν κληρονομοῦσι τὰ πνευματικὰ τέκνα τοῦ Ἀβραάμ, ἐστὶν ἡ τοῦ Ἰησοῦ Χριστοῦ εὐλογία, ἣν ὑπεσχέθη ὁ Θεὸς τῷ Ἀβραάμ, ὅτε εἶπε πρὸς αὐτόν· «Καὶ ἐνευλο» γηθήσονται ἐν τῷ σπέρματί σου πάντα » τὰ ἔθνη τῆς γῆς » (4)· διότι οἱ ἐκ πίστεως εὐλογοῦνται σὺν τῷ πιστῷ Ἀβραάμ. Δι' αὐτῆς δὲ τῆς εὐλογίας οἱ κληρονόμοι τῆς ἐπαγγελίας κληρονόμοι γίνονται τῆς ἐπουρανίου δόξης (5), « Ὅπου πρόδρομος ὑπὲρ » ἡμῶν εἰσῆλθεν Ἰησοῦς » (6)· τὸ δέ, « ἐν ᾧ », ἐξέλαβεν ἀντὶ τοῦ, διό· διὰ τοῦτο λέγει, ἐπειδὴ ὁ ὅρκος παύει πᾶσαν ἐναντιολογικὴν ὑποψίαν, καὶ ἐπισφραγίζει τὴν βεβαιότητα, θέλων ὁ Θεὸς « Περισσότερον ἐπιδεῖ» ξαι », ἤγουν δι' ἰσχυροτέρας ἀποδείξεως ἀποδεῖξαι εἰς τοὺς εἰς Χριστὸν πιςεύοντας, ὅτι ἡ βουλὴ αὐτοῦ ἐστιν ἀμετάθετος καὶ ἀναλλοίωτος, « Ἐμεσίτευσεν ὅρκῳ » (7), τουτέστιν ἐνέθηκε μεταξὺ τῶν λόγων αὐτοῦ ὅρκον. Βλέπε δέ, ὅτι ἡ τοιαύτη ἰσχυροτέρα ἀπόδειξις ἐγένετο οὐχὶ διὰ τὸν Ἀβραάμ· διότι αὐτὸς τόσον ἐπίστευσεν εἰς τὸν λόγον τοῦ Θεοῦ, ὥστε ἡ πίστις αὐτοῦ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην· ἀλλὰ διὰ τοὺς κληρονόμους τῆς ἐπαγγελίας, ἵνα αὐτοὶ μετὰ ταῦτα ἀκούοντες, ὅτι ὁ Θεὸς ἐνόρκως ὑπεσχέθη τὴν πρὸς αὐτοὺς εὐλογίαν, πιστεύσωσι καὶ πληροφορηθῶσι.

*Ἵνα διὰ δύο πραγμάτων ἀμεταθέτων, ἐν οἷς ἀδύνατον ψεύσασθαι Θεόν, ἰσχυρὰν παράκλησιν ἔχωμεν οἱ καταφυγόντες κρατῆσαι τῆς προκειμένης ἐλπίδος* (8).

Τὰ δύω ἀμετάθετα πράγματά εἰσιν ἡ ὑπόσχεσις τοῦ Θεοῦ, καὶ ὁ ὅρκος· δι' αὐτὰ δὲ τὰ δύο ἀδύνατόν ἐστιν ἵνα ὁ Θεὸς ψευσθῇ. Ἡ δὲ προκειμένη ἐλπίς ἐστιν ἡ ἐλπὶς τῆς ἀπολαύσεως τῆς διὰ Ἰησοῦ Χριστοῦ εὐλογίας, ἥτις πρόξενος γίνεται τῆς ἐπουρανίου βασιλείας· αὐτὴν δὲ τὴν εὐλογίαν μεθ' ὅρκου ὑπεσχέθη ὁ Θεὸς τῷ Ἀβραάμ, λέγων· « Ἦ μὴν εὐλογῶν εὐλογήσω σε· » καὶ ἐνευλογηθήσονται ἐν τῷ σπέρματί » σου πάντα τὰ ἔθνη τῆς γῆς » (9)· ἐποίησε, λέγει, ὁ Θεὸς ὅρκον, ἵνα διὰ τούτων τῶν δύο ἀναλλοιώτων καὶ ἀμεταβλήτων πραγμάτων, τῆς ὑποσχέσεως δηλονότι καὶ τοῦ ὅρκου, ἡμεῖς οἱ διὰ τῆς πίστεως καταφεύγοντες πρὸς τὸν Ἰησοῦν Χριστόν, ἔχωμεν προτροπὴν ἰσχυράν, προτρέπουσαν καὶ παρακαλοῦσαν ἡμᾶς, ἵνα ἀδιστάκτως ἐλπίζωμεν τὴν εὐλογίαν καὶ σωτηρίαν· πληρο-

(1) Ματθ. 5, 36. (2) Ἑβρ. 6, 17. (3) Γαλ. 3, 7. (4) Γεν. 22, 18. (5) Γαλ. 3, 9. (6) Ἑβρ. 6, 20.
(7) Αὐτ. 17. (8) Αὐτ. 18. (9) Γεν. 22, 17, 18.



φορούμενοι δέ, ὅτι, ἐπειδὴ ὁ Θεὸς μεθ' ὅρκου ὑπεσχέθη, ἀδύνατόν ἐστιν, ἵνα μὴ ἐκπληρώσῃ τὴν ὑπόσχεσιν, μένωμεν ἀκλόνητοι ἐπὶ ταύτῃ τῇ ἐλπίδι, κἂν ὁποιαιδήποτε περιστάσεις περικυκλώσωσιν ἡμᾶς εἰς τῆς προσκαίρου ζωῆς ἡμῶν τὴν περίοδον.

*Ἣν ὡς ἄγκυραν ἔχομεν τῆς ψυχῆς ἀσφαλῆ τε καὶ βεβαίαν, καὶ εἰσερχομένην εἰς τὸ ἐσώτερον τοῦ καταπετάσματος* (1).

Κυματιζόμεθα ἐν τῇ παρούσῃ ζωῇ ὑπὸ τῆς βίας τῶν παθῶν, καθὼς τὰ πλοῖα ἐν τῇ θαλάσσῃ ὑπὸ τῆς βίας τῶν κυμάτων· καθὼς δὲ ἡ ἄγκυρα ἡ στερεὰ καὶ δυσκολοσύντριπτος σώζει τὸ πλοῖον ἀπὸ τῶν κινδύνων τῆς θαλάσσης, οὕτως ἡ πρὸς Θεὸν ἐλπὶς ἡ ἀσφαλὴς καὶ βεβαία σώζει τὴν ψυχὴν ἀπὸ τῶν κινδύνων τῆς ἀπωλείας· διὰ τοῦτο οὖν ὁ θεῖος Παῦλος ὠνόμασεν ἄγκυραν τὴν προκειμένην ἐλπίδα, ἤγουν τὴν ἐλπίδα τῆς τοῦ Ἰησοῦ Χριστοῦ σωτηριώδους εὐλογίας. Βλέπε δέ, πῶς προσωποποιεῖ ὁ ῥητορικώτατος Ἀπόστολος ταύτην τὴν ἐλπίδα, καὶ παρίστησιν αὐτὴν ὡς ἄνθρωπον εἰσερχόμενον « Εἰς τὸ ἐσώτερον τοῦ » καταπετάσματος », σημαίνων διὰ τούτου, ὅτι ἡμεῖς οἱ πιστοὶ τῇ δυνάμει ταύτης τῆς ἐλπίδος εἰσερχόμεθα « Εἰς τὸ ἐσώτερον » τοῦ καταπετάσματος ». Ποῖον δέ ἐστι τὸ ἐσώτερον τοῦ καταπετάσματος; τὸ καταπέτασμα τῆς σκηνῆς τοῦ νόμου ἐχώριζε τὸν ἐν αὐτῇ ἅγιον τόπον ἀπὸ τοῦ τόπου τοῦ ἁγίου τῶν ἁγίων, ὅπου ἦν ἡ κιβωτὸς τοῦ μαρτυρίου (2)· οὗτος δὲ ὁ τόπος, ὁ ἅγιος τῶν ἁγίων, ἐλέγετο μέν, ἐσώτερον τοῦ καταπετάσματος, σύμβολον δὲ ἦν καὶ τύπος τοῦ ἀληθινοῦ ἐσωτέρου καταπετάσματος, ὅπου εἰσέρχονται οἱ εἰς Χριστὸν πιστεύοντες. Δηλοποιεῖ δὲ διὰ τῶν ἑξῆς, ποῖόν ἐστι τοῦτο τὸ ἀληθὲς ἐσώτερον τοῦ καταπετάσματος, λέγων·

*Ὅπου πρόδρομος ὑπὲρ ἡμῶν εἰσῆλθεν Ἰησοῦς, κατὰ τὴν τάξιν Μελχισεδὲκ ἀρχιερεὺς γενόμενος εἰς τὸν αἰῶνα* (3).

Ἰδού, ποῖόν ἐστι τὸ ἐσωτερικὸν τοῦ καταπετάσματος· ὁ τόπος ἐστίν, « Ὅπου » πρόδρομος ὑπὲρ ἡμῶν εἰσῆλθεν Ἰησοῦς »· ποῦ δὲ εἰσῆλθεν ὁ Χριστὸς ὑπὲρ ἡμῶν; « Οὐ γὰρ εἰς χειροποίητα ἅγια εἰσῆλθεν ὁ » Χριστός, ἀντίτυπα τῶν ἀληθινῶν, ἀλλ' » εἰς αὐτὸν τὸν οὐρανόν, νῦν ἐμφανισθῆναι » τῷ προσώπῳ τοῦ Θεοῦ ὑπὲρ ἡμῶν » (4)· ὁ οὐρανὸς δέ ἐστι τὸ καταπέτασμα, τὸ διαχωρίζον τὸν θρόνον τοῦ Θεοῦ ἀπὸ τῆς γῆς, καθὼς τὸ καταπέτασμα τῆς σκηνῆς διεχώριζε τὸν τόπον τὸν ἅγιον ἀπὸ τοῦ ἁγίου τῶν ἁγίων· εἰς αὐτὸν δὲ τὸν οὐρανὸν ὁ Χριστὸς ὡς ἄνθρωπος ἀνελθὼν μετὰ τὴν ἀπὸ γῆς ἀνάληψιν, εἰσῆλθεν ὑπὲρ ἡμῶν, καὶ « Ἐκάθισεν ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγα» λωσύνης » (5)· τὸ δέ, « ὑπὲρ ἡμῶν », σημαίνει τό, ἵνα πρεσβεύῃ ὑπὲρ ἡμῶν, ὡς ἐπιβεβαιοῖ ὁ Παῦλος, λέγων· « Χριστός, ὁ » ἀποθανών, μᾶλλον δέ, καὶ ἐγερθείς, ὃς » καί ἐστιν ἐν δεξιᾷ τοῦ Θεοῦ, ὃς καὶ ἐν» τυγχάνει ὑπὲρ ἡμῶν » (6). Κατὰ τίνα δὲ λόγον λέγει τὸν Χριστὸν ἀρχιερέα κατὰ τὴν τάξιν Μελχισεδέκ; ὁ Μελχισεδὲκ οὐχ

(1) Ἑβρ. 6, 19. (2) Ἐξ. 26, 33. (3) Ἑβρ. 6, 20. (4) Ἑβρ. 9, 24 (5) Αὐτ. 8, 1. (6) Ῥωμ. 8, 34.

ἦν ἀρχιερεύς, ἀλλ' ἱερεύς· « Καὶ Μελχισεδέκ, λέγει, βασιλεὺς Σαλήμ, ἐξήνεγκεν » ἄρτους καὶ οἶνον· ἦν δὲ ἱερεὺς τοῦ Θεοῦ » τοῦ Ὑψίστου » (1). Παρὰ τῇ Θείᾳ Γραφῇ τὸ ὄνομα, ἱερεύς, σημαίνει καὶ τὸν ἀρχιερέα· φανερὸν δὲ τοῦτο ἐκ τοῦ Λευϊτικοῦ, ὅπου ὁ αὐτὸς Ἀαρὼν πρῶτον ὀνομάζεται ἀρχιερεύς· « Ἐὰν μὲν ὁ ἀρχιερεύς, ὁ κε» χρισμένος, ἁμάρτῃ » (2)· ἔπειτα ἱερεύς· « Καὶ λαβὼν ὁ ἱερεύς, ὁ χριστός, ὁ τετε» λειωμένος »· καὶ κατωτέρω δέ, « Καὶ » ἔδωκα, λέγει, αὐτὰ Ἀαρών, τῷ ἱερεῖ » (3)· Ἐκ τούτων βλέπομεν, ὅτι τὸ περὶ τοῦ Μελχισεδὲκ εἰρημένον· « Ἦν δὲ ἱερεὺς τοῦ Θεοῦ » τοῦ Ὑψίστου » (4), ὁμοίως καὶ τό, « Σὺ » εἶ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν » Μελχισεδέκ » (5), τό, ἀρχιερεύς, σημαίνει· λέγει δέ, ὅτι κατὰ τὴν τάξιν τοῦ Μελχισεδὲκ ὁ Χριστὸς ἐγένετο ἀρχιερεύς, ἐπειδὴ ὁ Μελχισεδὲκ « Ἀφωμοιωμένος τῷ υἱῷ » τοῦ Θεοῦ μένει, ἱερεὺς εἰς τὸ διηνεκές» (6). Σημείωσαι δὲ, τό, « πρόδρομος », καὶ « ἀρχιερεύς »· πρόδρομός ἐστιν ὁ προπορευόμενος· ὅστις δὲ προπορεύεται, ἐκεῖνος ἔχει ὀπαδοὺς καὶ ἀκολούθους· τίνες δὲ ἄλλοι οἱ ὀπαδοὶ καὶ ἀκόλουθοι τοῦ Ἰησοῦ Χριστοῦ εἰς τὸ ἐσώτερον τοῦ καταπετάσματος, εἰ μὴ οἱ εἰς αὐτὸν πιστεύοντες, καὶ τὰς ἐντολὰς αὐτοῦ φυλάττοντες; ὁ δὲ ἀρχιερεὺς ἐστι ποιμήν· ὅπου δὲ ὁ ποιμήν, ἐκεῖ καὶ τὰ πρόβατα. Ταῦτά εἰσι τὰ στηρίζοντα εἰς τὴν καρδίαν ἡμῶν τὴν ἐλπίδα τῆς ἀπολαύσεως τῆς αἰωνίου δόξης καὶ μακαριότητος.

# ΟΜΙΛΙΑ

ΜΕΤΑ ΤΗΝ ΠΡΟΣ

## ΕΒΡΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

### ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗ: Δ'. ΚΥΡΙΑΚΗ: ΤΩΝ ΝΗΣΤΕΙΩΝ.

ΕΙΠΕ μὲν ὁ θεηγόρος Παῦλος, ὡς σήμερον ἠκούσαμεν, ὅτι οἱ ἄνθρωποι ποιοῦσιν ὅρκους, ὁ δὲ ὅρκος παύει πᾶσαν ἀντιλογίαν, ἐπιβεβαιῶν τὰ πράγματα· « Ἄνθρωποι μὲν γὰρ » κατὰ τοῦ μείζονος ὀμνύουσι, καὶ πάσης » αὐτοῖς ἀντιλογίας πέρας εἰς βεβαίωσιν ὁ » ὅρκος » (7)· πλὴν ἐπειδὴ οὐδὲ ἐπῄνεσεν οὐδὲ κατηγόρησε ταύτην τὴν συνήθειαν, ἤνοιξε περίεργον καὶ ἀναγκαῖον ζήτημα περὶ τοῦ, τί ἐστιν ὁ ὅρκος, ἀρετὴ δηλονότι, ἢ ἁμαρτία, ἢ ἔργον ἀδιάφορον. Τοῦ ζητήματος τούτου ἡ λύσις, ὅσον ἐστὶν ἀναγκαία, τόσον ἐστὶ καὶ δύσκολος· ἀναγκαία, ἐπειδὴ εἰς πάντα καιρόν, καὶ τόπον, καὶ περίστασιν χωρίς τινος συστολῆς καὶ ἀνάγκης ποιοῦσιν οἱ ἄνθρωποι πολλοὺς καὶ φρικτοὺς ὅρκους· ὅθεν, ἐὰν ὁσάκις ὀμνύωμεν, τοσάκις καὶ ἁμαρτάνωμεν, οὐαὶ ἡμῖν· δύσκολος δὲ ἡ

(1) Γεν. 14, 18. (2) Λευϊτ. 4, 3, 5. (3) Αὐτ. 7. (4) Γεν. 14, 18. (5) Ψαλμ. 109, 4.
(6) Ἑβρ. 7, 3. ὅρα σελ. 203. 204. τοῦδε τοῦ βιβλ. (7) Ἑβρ. 6, 16.



λύσις, πρῶτον μέν, ἐπειδὴ εἰς τὴν ὑπόθεσιν τοῦ ὅρκου ἡ Παλαιὰ Διαθήκη ἐναντία φαίνεται εἰς τὴν Νέαν· δεύτερον δέ, ἐπειδὴ τόσα εἰσὶ τοῦ ὅρκου τὰ εἴδη, ὥστε μετὰ βίας δύναταί τις ἐπαριθμῆσαι αὐτά, καὶ λαλῆσαι περὶ ἑνὸς ἑκάστου εἴδους, καθὼς πρέπει· τρίτον, ἐπειδὴ οὐ μόνον ἐσυνείθισαν, ἀλλὰ καὶ ἐνομοθέτησαν οἱ ἄνθρωποι τοὺς ὅρκους· καὶ ὅτι μὲν ἀναγκαῖόν ἐστιν, ἵνα μάθωμεν, ἁμαρτία ἐστὶν ὁ ὅρκος, ἢ οὔ, ἵνα εἰς τὸ ἑξῆς ἢ παύσωμεν τοὺς ὅρκους, ἢ ἀκολουθῶμεν, ὀμνύοντες ἀφόβως, οὐδεμιᾶς ἀποδείξεώς ἐστι χρεία, καθότι τὸ πρᾶγμά ἐστι φανερόν. Ἐπιχειροῦμεν οὖν ἡμεῖς, ὅσον δυνάμεθα, ἀπαντῆσαι εἰς τὰς τῆς λύσεως δυσκολίας.

Ἡ Παλαιὰ Διαθήκη ἐπιβεβαιοῖ, ὅτι ὁ Θεὸς ἐνομοθέτησεν, ἵνα ἐπὶ τῷ ὀνόματι αὐτοῦ ὀμνύωμεν· διότι εἰς μὲν τὸ Δευτερονόμιον ἀναγινώσκομεν ταῦτα· « Κύριον » τὸν Θεόν σου φοβηθήσῃ, καὶ αὐτῷ μόνῳ » λατρεύσεις, καὶ ἐπὶ τῷ ὀνόματι αὐτοῦ » ὀμῇ » (1)· εἰς δὲ τὸ βιβλίον τῆς Ἐξόδου βλέπομεν, ὅτι εἰς τὰς ἀμφιβόλους καὶ ἀμαρτύρους ὑποθέσεις ὥρισεν ὁ Θεὸς φανερά, ἵνα ὁ ὅρκος διαλύῃ τὴν ἀμφιβολίαν· « Ἐὰν » δέ τις, λέγει, δῷ τῷ πλησίον ὑποζύγιον, » ἢ μόσχον, ἢ πρόβατον, ἢ πᾶν κτῆνος » φυλάξαι, καὶ συντριβῇ, ἢ τελευτήσῃ, ἢ » αἰχμάλωτον γένηται, καὶ μηδεὶς γνῷ, » ὅρκος ἔσται τοῦ Θεοῦ ἀνὰ μέσον ἀμφοτέρων » (2). Τὰ αὐτὰ δὲ διδάσκουσι καὶ οἱ ἅγιοι τοῦ Θεοῦ προφῆται· ὁ μὲν προφήτης Ἡσαΐας ὡς ἐκ προσώπου τοῦ Θεοῦ λέγει· « Ἐμοὶ κάμψει πᾶν γόνυ, καὶ ὀμεῖ» ται πᾶσα γλῶσσα τὸν Θεόν » (3)· ἔπειτα ἐπιβεβαιοῖ, λέγων· « Οἱ ὀμνύοντες ἐπὶ τῆς » γῆς, ὀμοῦνται τὸν Θεὸν τὸν ἀληθινόν » (4)· ὁ δὲ προφητάναξ Δαβὶδ καὶ ἐπαίνου ἄξιον ἔκρινε τὸν ὀμνύοντα ἐπὶ τῷ Θεῷ· « Καὶ » ἐπαινεθήσεται, εἶπε πᾶς ὁ ὀμνύων ἐπ' αὐ» τῷ (5). Ὅσοι ταῦτα ἀκούουσιν, ἐκεῖνοι πείθονται, ὅτι ὁ ὅρκος οὐ μόνον οὐκ ἔστιν ἁμαρτία, ἀλλ' ἔστιν ἔργον ἐπαίνου ἄξιον, ὅπερ ἐστὶν ἀρετή.

Ἀλλ' ἐὰν ἀνοίξωμεν τὸ βιβλίον τῆς Νέας Διαθήκης, ἀκούομεν ἐκεῖ τὸν μονογενῆ Υἱὸν τοῦ Θεοῦ προστάσσοντα καὶ λέγοντα· « Ἐ» γὼ δὲ λέγω ὑμῖν, μὴ ὀμόσαι ὅλως· μήτε » ἐν τῷ οὐρανῷ, ὅτι θρόνος ἐστὶ τοῦ Θεοῦ· » μήτε ἐν τῇ γῇ, ὅτι ὑποπόδιόν ἐστι τῶν » ποδῶν αὐτοῦ· μήτε εἰς Ἱεροσόλυμα, ὅτι » πόλις ἐστὶ τοῦ μεγάλου βασιλέως· μήτε » ἐν τῇ κεφαλῇ σου ὀμόσῃς, ὅτι οὐ δύνασαι » μίαν τρίχα λευκὴν ἢ μέλαιναν ποιῆσαι· » ἔστω δὲ ὁ λόγος ὑμῶν, ναί, ναί, οὔ, οὔ· » τὸ δὲ περισσὸν τούτων ἐκ τοῦ πονηροῦ » ἐστι » (6)· τὰ αὐτὰ δὲ ἐπανέλαβε συντομώτερον ὁ ἀδελφόθεος Ἰάκωβος· « Πρὸ » πάντων δέ, εἶπεν, ἀδελφοί μου, μὴ ὀμνύε» τε μήτε τὸν οὐρανόν, μήτε τὴν γῆν, » μήτε ἄλλον τινὰ ὅρκον· ἤτω δὲ ὑμῶν τὸ » ναί, ναί, καὶ τὸ οὔ, οὔ, ἵνα μὴ εἰς ὑπό» κρισιν πέσητε » (7). Ὅστις ταῦτα ἀναγινώσκει, ἐκεῖνος πείθεται, ὅτι πᾶς ὅρκος ἐςὶ παράβασις ἀποςολικῆς καὶ δεσποτικῆς ἐντολῆς, καὶ ἑπομένως ἁμαρτία μεγάλη.

Ἀλλὰ τί ἐστι τοῦτο, λέγεις; ἀσύμφωνα, ἤ, ὀρθότερον εἰπεῖν, ἐναντία ἀλλήλοις εἰσὶ τοῦ Θεοῦ τὰ λόγια; Ὁ Θεὸς διὰ μὲν τοῦ Μωσαϊκοῦ νόμου ὥρισεν, ἵνα ὀμνύωμεν ἐπὶ τῷ ὀνόματι αὐτοῦ· διὰ δὲ τοῦ Εὐαγγελίου ἐνομοθέτησεν, ἵνα ἀπέχωμεν ἀπὸ παντὸς ὅρκου. ταῦτα δέ εἰσιν ἐναντία. Οὐδὲ ἐναν-

(1) Δευτ. 6, 13. (2) Ἐξ. 22, 10, 11. (3) Ἡσ. 45, 23. (4) Αὐτ. 65, 16. (5) Ψαλμ. 62, 11.
(6) Ματθ. 5, 34—37. (7) Ἰάκ. 5, 12.

τία οὐδὲ ἀσύμφωνά εἰσι τοῦ Θεοῦ τὰ προστάγματα· ἀλλ', ἐπειδὴ οἱ ὑπὸ τοῦ παλαιοῦ νόμου νομοθετούμενοι τότε Ἑβραῖοι ἦσαν πολλὰ παχυλοὶ καὶ σαρκικοί, ὡς γεγεννημένοι καὶ ἀνατεθραμμένοι μεταξὺ τῶν δεισιδαιμονεστάτων εἰδωλολατρῶν, ἤγουν τῶν Αἰγυπτίων, καὶ οὐκ ἠδύναντο χωρῆσαι τὰ περὶ τῆς τελειότητος νομοθετήματα, διὰ τοῦτο ὁ δοθεὶς εἰς αὐτοὺς νόμος ἦν ἀτελής· « Οὐδὲν γὰρ ἐτελείωσεν ὁ νόμος » (1)· πρὸς δὲ τοῖς ἄλλοις ἁμαρτήμασιν αὐτῶν καὶ τοῦτο ἔπραττον οἱ πανάθλιοι, ἤγουν ὤμνυον ἐπὶ τῷ ὀνόματι τῶν εἰδώλων, ὥσπερ ἂν εἰ τὰ εἴδωλα ἦσαν θεοί· διὰ τοῦτο ὁ Θεὸς ἤλεγχεν αὐτοὺς διὰ μὲν τοῦ προφήτου Ἱερεμίου, λέγων· « Οἱ υἱοί σου ἐγκατέλιπόν με, » καὶ ὤμνυον ἐν τοῖς οὐκ οὖσι Θεοῖς » (2)· διὰ δὲ τοῦ προφήτου Ἀμὼς ἔτι ἐμφαντικώτερον· « Οἱ ὀμνύοντες, ἔλεγε, κατὰ τοῦ » ἱλασμοῦ Σαμαρείας, καὶ λέγοντες, ζῇ ὁ » Θεός σου Δάν, καὶ ζῇ ὁ Θεός σου Βηρ» σαβεέ· καὶ πεσοῦνται, καὶ οὐ μὴ ἀνα» στῶσιν ἔτι » (3). Τοῦτο τὸ μέγα ἁμάρτημα, ἤγουν τὴν εἰδωλολατρείαν ἐμποδίσαι βουλόμενος ὁ Θεός, καὶ γινώσκων, ὡς καρδιογνώστης, ὅτι, ἐὰν τότε ἐνομοθέτει, ἵνα μηδόλως ὀμνύωσιν, οὐκ ἤκουον τὸ θεῖον αὐτοῦ πρόσταγμα, εἰθισμένοι ὄντες εἰς τοὺς ὅρκους, εὐσπλαγχνισθεὶς ἐπὶ τῇ ἀσθενείᾳ αὐτῶν, ἐκέλευσεν, ἵνα ἀφέντες τοὺς ἐπὶ τῷ ὀνόματι τῶν εἰδώλων ὅρκους, ὀμνύωσιν ἐπὶ τῷ ὀνόματι αὐτοῦ· « Καὶ ἔσται, » εἶπεν ἐὰν μαθόντες, μάθωσι τὴν ὁδὸν » τοῦ λαοῦ μου, τοῦ ὀμνύειν τῷ ὀνόματί μου, » ζῇ Κύριος, καθὼς ἐδίδαξαν τὸν λαόν μου » ὀμνύειν τῇ Βάαλ, καὶ οἰκοδομηθήσεται ἐν » μέσῳ τοῦ λαοῦ μου » (4).

Ὅταν δὲ ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ ἦλθεν εἰς τὸν κόσμον, οὐχ ἵνα καταλύσῃ, ἀλλ' ἵνα πληρώσῃ τὸν νόμον (5), τουτέστιν, ἵνα ἀναβιβάσῃ τὰ νομικὰ προστάγματα εἰς τὴν νομοθεσίαν τῆς τελειότητος, τότε εὑρὼν τοὺς μὲν ἐκ τοῦ γένους τῶν Ἑβραίων προπεπαιδαγωγημένους ὑπὸ τοῦ νόμου πρὸς ὑποδοχὴν τῆς τελειότητος, τοὺς δὲ ἐθνικοὺς φωνήσας τῇ δυνάμει τῆς θείας αὐτοῦ χάριτος, ἐδίδαξε τῆς τελειότητος τὰ μαθήματα (6). Καθὼς δὲ ἀνεβίβασεν εἰς τὴν τελειότητα τὸν περὶ τῆς ἀποχῆς τοῦ φόνου νόμον, τὸ αἴτιον τοῦ φόνου ἐμποδίσας διὰ τούτων τῶν λόγων· « Ἠκούσατε, ὅτι ἐῤῥέθη » τοῖς ἀρχαίοις· οὐ φονεύσεις, ὃς δ' ἂν φο» νεύσῃ, ἔνοχος ἔσται τῇ κρίσει· ἐγὼ δὲ » λέγω ὑμῖν, ὅτι πᾶς ὁ ὀργιζόμενος τῷ ἀ» δελφῷ αὐτοῦ εἰκῇ, ἔνοχος ἔσται τῇ κρί» σει » (7)· ὁμοίως δέ, καθὼς ὕψωσεν εἰς τὴν τελειότητα τὸν περὶ σωφροσύνης νόμον, ἐμποδίσας οὐ μόνον, τὴν πρᾶξιν, ἀλλὰ καὶ τὴν ἐπιθυμίαν τῆς σαρκικῆς ἁμαρτίας, καὶ εἰπών· « Ἐῤῥέθη τοῖς ἀρ» χαίοις, οὐ μοιχεύσεις· ἐγὼ δὲ λέγω ὑ» μῖν, ὅτι πᾶς ὁ βλέπων γυναῖκα πρὸς » τὸ ἐπιθυμῆσαι αὐτῆς, ἤδη ἐμοίχευσεν » αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ » (8)· οὕτως ἀνέδειξε τέλειον καὶ τὸν περὶ τοῦ ὅρκου νόμον· « Πάλιν ἠκούσατε, εἶπεν, ὅτι ἐῤῥέθη » τοῖς ἀρχαίοις· οὐκ ἐπιορκήσεις, ἀποδώ» σεις δὲ τῷ Κυρίῳ τοὺς ὅρκους σου· ἐγὼ » δὲ λέγω ὑμῖν μὴ ὀμόσαι ὅλως » (9)· Ἔκοψε τὴν ῥίζαν, ἵνα ἐξαφανίσῃ τοὺς κλάδους· ἐξώρισε τὸ αἴτιον, ἵνα παύσῃ τὰ ἀποτελέσματα· ἔφραξε τὴν θολερὰν πηγήν, ἵνα ἐκλείψωσι τῆς ἀκαθαρσίας τὰ νάματα. Ὅςις ποιεῖ ὅρκους, ἐκεῖνος εὐκόλως πίπτει εἰς τὰς

(4) Ἑβρ. 7, 19. (2) Ἱερ, 5. 7. (3) Ἀμ. 8, 14. (4) ὅρ. Χρυσ. ὁμιλ. 16, εἰς τὰς Πράξ. Ἱερ. 12, 16.
(5) Ματθ. 5, 17. (6) Γαλ. 3, 24. (7) Ματθ. 5, 21, 22. (8) Αὐτ. 27, 28. (9) Αὐτ. 33, 34.



ἐπιορκίας· ὅστις δὲ ἀπέχει παντελῶς ἀπὸ τῶν ὅρκων, ἐκεῖνος οὐδέποτε ἐπιορκεῖ.

Ἐκ τούτου πᾶς τις βλέπει, ὅτι τὰ λόγια τῶν Θείων Γραφῶν οὐκ εἰσὶν οὐδὲ ἐναντία ἀλλήλοις, οὐδὲ ἀσύμφωνα· ἀλλὰ τὰ μὲν τοῦ μωσαϊκοῦ νόμου εἰσὶ παιδαγωγικά, τὰ δὲ τοῦ εὐαγγελικοῦ, τελειωτικά. Ἐποίησε δὲ ὁ Θεὸς πρὸς τοὺς ἀνθρώπους ἐκεῖνο, ὅπερ ποιεῖ ὁ σοφὸς διδάσκαλος μετὰ τῶν ἑαυτοῦ μαθητῶν· πρῶτον δηλαδὴ διδάσκει αὐτοὺς τὰ εὔκολα, καὶ ὅσα δύναται ὁ νοῦς αὐτῶν χωρῆσαι· ἀφ' οὗ δὲ δι' αὐτῶν ἀκονήσῃ τὴν τούτων διάνοιαν, τότε διδάσκει αὐτοὺς τὰ δυσκολώτερα καὶ ὑψηλότερα μαθήματα· πρῶτον ὁ Θεὸς ἐδίδαξε τοὺς ἀνθρώπους τὸν διὰ Μωσέως νόμον, ὅστις ἦν εὐκολοχώρητος καὶ εὐαπόδεκτος· ἔπειτα, ἀφ' οὗ δι' ἐκείνου καὶ διὰ τῆς θείας αὐτοῦ χάριτος προητοίμασε τὰς τούτων καρδίας, τότε παρέδωκεν αὐτοῖς τὴν διὰ τοῦ μονογενοῦς Υἱοῦ αὐτοῦ τελειοτάτην τοῦ Εὐαγγελίου διδασκαλίαν.

Ἐπειδὴ οὖν, λέγεις, ὁ Θεὸς διὰ τοῦ παλαιοῦ νόμου ἔδωκεν ἄδειαν εἰς τοὺς ἀνθρώπους, ἵνα ποιῶσιν ὅρκους, ὁ ὅρκος οὐκ ἔστιν ἁμαρτία· διότι ἐὰν ἐλογίζετο ἁμαρτία, οὐδέποτε ὁ Θεὸς ἐπέτρεπεν, ἵνα ὀμνύωμεν. Ἀληθῶς συνεχώρησεν ὁ Θεὸς τοὺς ὅρκους διὰ τὸν λόγον, ὃν εἴπομεν, πλὴν ἔθηκεν ὅρια, καὶ ἔβαλε κανόνας εἰς τὸν ὅρκον· ὅςις δὲ αὐτοὺς παραβαίνει, ἐκεῖνος ἁμαρτάνει βαρύτατα· πρῶτος ὅρος, ἵνα μηδεὶς ὀμνύῃ διὰ πράγματα εὐτελῆ, καὶ οὐτιδανά, καὶ μάταια· « Οὐ λήψῃ τὸ ὄνομα Κυρίου τοῦ » Θεοῦ σου ἐπὶ ματαίῳ· οὐ γὰρ μὴ καθα» ρίσῃ Κύριος ὁ Θεός σου τὸν λαμβάνοντα » τὸ ὄνομα αὐτοῦ ἐπὶ ματαίῳ » (1)· δεύτερος δὲ ὅρος ἐστίν, ἵνα μηδέποτε ποιήσωμεν ὅρκον, σκοπὸν ἔχοντες ἀδικῆσαι τὸν πλησίον· « Καὶ οὐκ ὀμεῖσθε τῷ ὀνόματί μου » ἐπὶ ἀδίκῳ, καὶ οὐ βεβηλώσετε τὸ ὄνομα » τὸ ἅγιον τοῦ Θεοῦ ὑμῶν » (2). Οὐ μόνον δὲ τοὺς ὅρους ἐνομοθέτησεν ὁ Θεός, οἵτινες ὅταν οὐ φυλάττωνται, ὁ ὅρκος ἐστὶν ἁμαρτία, ἀλλὰ καὶ τὸν τύπον ἔγραψε τοῦ συγκεχωρημένου ὅρκου, ἤγουν αὐτὰ τὰ τοῦ ὅρκου λόγια, καὶ τοὺς τούτου κανόνας· « Καὶ » ὀμόσῃ, εἶπε, ζῇ Κύριος, μετὰ ἀληθείας » ἐν κρίσει καὶ δικαιοσύνῃ » (3)· ὅταν ποιῇς, λέγει, ὅρκον, λέγε ταῦτα τὰ λόγια « ζῇ » Κύριος »· ὁ δὲ ὅρκος σου ἔστω ἀληθινός, διακριτικός, καὶ δίκαιος· ὅταν ὀμνύῃς, ὅτι οὐδὲ εἶδες, οὐδὲ γνωρίζεις ἐκεῖνο, ὅπερ καὶ εἶδες, καὶ γνωρίζεις, τότε ὁ ὅρκος σου οὐκ ἔστιν ἀληθινός, ἀλλὰ ψευδής, ὅπερ ἐστί, ψευδορκία· τοιοῦτος ἦν ὁ ὅρκος τοῦ Πέτρου ἐν τῇ αὐλῇ τοῦ ἀρχιερέως· διότι ὁ Πέτρος καὶ εἶδε, καὶ ἐγνώριζε τὸν Ἰησοῦν Χριστόν, πλὴν ὤμοσε, λέγων· « Οὐκ οἶδα τὸν ἄν» θρωπον » (4)· ὁμοίως καὶ ὅταν μεθ' ὅρκου ὑπόσχεσαι, ἵνα φυλάξῃς τὰ ὑποσχεθέντα, ἔπειτα οὐ φυλάττῃς αὐτά, ἀλλ' ἀθετῇς τὴν ἔνορκον ὑπόσχεσίν σου, ὁ ὅρκος σου τότε οὐκ ἔστιν ἀληθινός, ἀλλὰ ψευδής, καὶ λέγεται ἐπιορκία· τοιοῦτος ἦν ὁ ὅρκος τοῦ Σεδεκίου (5), ὅστις μεθ' ὅρκου ὑπεσχέθη πιστοσύνην εἰς τὸν βασιλέα Ναβουχοδονόσορ, ἔπειτα ἀθετήσας τὸν ὅρκον, ἀπεστάτησεν ἀπ' αὐτοῦ. Ὅταν δὲ ποιῇς ὅρκον, μὴ διακρίνων, δυνατά εἰσιν ἢ ἀδύνατα, εὔκολα ἢ δύσκολα, βέβαια ἢ ἀβέβαια, ὑπὸ τὴν ἐξουσίαν σου ἢ ὑπὸ ἄλλων ἐξουσίαν, ὅσα ὀμνύεις, τότε ὁ ὅρκος σου οὐκ ἔστιν « Ἐν » κρίσει », ἀλλ' ἔστιν ἀδιάκριτος καὶ παράλογος· τοιοῦτος ἦν ὁ ὅρκος τοῦ Σαούλ,

(1) Ἐξ. 20, 7. (2) Λευϊτ. 19, 12. (3) Ἱερ. 4, 2. (4) Ματθ. 26, 72. (5) Β'. Παραλ. 36, 13.

ὅστις ἐνόρκως ὑπεσχέθη ἔργον πολλὰ δύσκολον, καὶ μὴ ὑπὸ τὴν ἐξουσίαν αὐτοῦ, διότι ὑπεσχέθη, ἵνα νηστεύσῃ ὅλος ὁ στρατὸς δέκα χιλιάδων ἀνθρώπων ὅλην τὴν ἡμέραν (1)· τοιοῦτος ἀδιάκριτος καὶ ὁ ὅρκος τοῦ Ἡρώδου, ὅστις « Μεθ᾽ ὅρκου ὡμολόγη» σε δοῦναι τῇ Ἡρωδιάδι ὅ,τι ἂν ζητήσῃ » παρ᾽ αὐτοῦ » (2), ἔπειτα ἵνα φυλάξῃ τὸν ὅρκον, « Ἀπεκεφάλισε τὸν Ἰωάννην τὸν » Βαπτιστήν » (3). Ἄδικός ἐστιν ὁ ὅρκος, ὅταν ὀμνύωμεν, ἵνα βλάψωμεν τὸν πλησίον, τοιοῦτος ἦν ὁ ὅρκος ἐκείνων τῶν Ἰουδαίων, οἵτινες μετὰ ἀναθέματος ὤμοσαν, « Μήτε » φαγεῖν, μήτε πιεῖν, ἕως οὗ ἀποκτείνωσι » τὸν Παῦλον » (4).

Τί λέγετε, ὅσοι συχνάκις ὀμνύετε; ἆρά γε ὀμνύοντες, φυλάττετε τὸν τύπον τοῦ ὅρκου, ἤγουν τό, « Ζῇ Κύριος » (5), ἢ προφέρετε ἄλλα λόγια φρικτὰ καὶ φοβερά, τὸν Θεὸν ἐπικαλούμενοι, καὶ τοὺς ἀγγέλους, καὶ τοὺς ἁγίους ὡς μάρτυρας τῶν λεγομένων; ἆρά γε προσέχετε, ἵνα μὴ ποιῆτε ὅρκους διὰ πράγματα οὐτιδανὰ καὶ μάταια, καὶ χωρίς τινος ἀνάγκης, ἢ ὀμνύετε καὶ δι᾽ ἕνα ὀβολόν, καὶ δι᾽ ἓν μῆλον, καὶ δι᾽ ἓν λάχανον; ὁ ὅρκος ὑμῶν βεβαιοῖ τὴν ἀλήθειαν, ἢ ἐπιττηρίζει τὸ ψεῦδος; ποιεῖτε ὅρκον μετὰ σκέψεως καὶ διακρίσεως, ἢ ὀμνύετε ἀπερισκέπτως καὶ ἀδιακρίτως; ὁ ὅρκος ὑμῶν γίνεται διὰ πράγματα δίκαια, πρέποντα, ὠφέλιμα, ἢ διὰ πράγματα ἄδικα, καὶ ἀπρεπῆ, καὶ ἐπιβλαβῆ; Τόσον δύσκολόν ἐστιν, ἵνα φυλάξωμεν πάντας τοὺς ὅρους καὶ κανόνας τοῦ ὅρκου, μάλιστα, ὅταν συχνάκις ὀμνύωμεν, ὥστε οὐδόλως σφάλλει, ὅστις ἀποφασίσει, ὅτι ἐστὶν ἀδύνατον.

Ἀλλ᾽ ὑπόθες, λέγεις, ὅτι ἐγὼ καὶ τὸν τύπον τοῦ ὅρκου ἐφύλαξα, καὶ οὐδὲ ἐπὶ μαματαίῳ, οὐδὲ ἐπὶ ἀδίκῳ, ἀλλὰ μετὰ ἀληθείας ἐν κρίσει καὶ δικαιοσύνῃ, ἐποίησα ὅρκον· ἆρά γε ἁμαρτάνω, καὶ ὅταν ποιῶ τοιοῦτον ὅρκον; Πρὸ τοῦ εὐαγγελικοῦ κηρύγματος ὁ τοιοῦτος ὅρκος ἐλογίζετο ἔργον ἐπαινετὸν κατὰ τό, « Καὶ ἐπαινεθήσεται » πᾶς ὁ ὀμνύων ἐν αὐτῷ » (6)· μετὰ δὲ τὴν εὐαγγελικὴν νομοθεσίαν κρίνεται παράβασις διὰ τὸ πρόσταγμα τοῦ Κυρίου· « Ἐγὼ » δὲ λέγω ὑμῖν, μὴ ὀμόσαι ὅλως » (7)· Τοιαύτην δὲ παράβασιν ποιεῖς, ὅταν προφέρῃς τοιοῦτον ὅρκον, ὁποίαν καὶ ὅταν ὀργίζησαι κατὰ τοῦ ἀδελφοῦ σου ματαίως, καὶ ὅταν βλέπῃς γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς, καὶ ὅταν οὐ στρέφῃς τὴν ἀριστερὰν σου πρὸς τὸν ῥαπίζοντα τὴν δεξιάν σου. Διὰ τί δὲ τοῦτο; διότι ὅταν ὁ θεάνθρωπος ἀναπληρώσας τὸ ἀτελὲς τῶν νομικῶν διαταγμάτων, ἐδίδαξε τὰ τελειότερα μαθήματα, τότε μεταξὺ τῶν τελειοτέρων παραγγελμάτων συνέταξε καὶ τὸ περὶ τοῦ ὅρκου πρόσταγμα, εἰπών· « Ἐγὼ δὲ λέγω ὑμῖν, » μὴ ὀμόσαι ὅλως ».

Ἀλλ᾽ ἀπαντᾷς, λέγων τό, « Μὴ ὀμόσαι » ὅλως », ἐστὶν ἀδύνατον, οὐ μόνον διὰ τὴν συνήθειαν, ἀλλὰ καὶ διὰ τοὺς τῶν ἀνθρώπων νόμους, ἐξ ὧν ἀκολουθεῖ ἡ ἀνάγκη· ἐὰν μὴ ποιήσω ὅρκον, οὐ πιστεύουσι· προστάσσει δὲ ὁ κριτὴς ἢ ὁ ἄρχων· ποίησον, λέγει, ὅρκον· Πῶς οὖν δύναμαι τότε « Μὴ » ὀμόσαι ὅλως »; Τοῦτο οὖν μόνον ποιεῖ ἄφευκτον τὸν ὅρκον, ἡ ἀνάγκη. Ἄκουσον, τί λέγει περὶ τῆς ἀνάγκης τῶν ὅρκων ὁ ἐπουράνιος διδάσκαλος, ὁ θεῖος, λέγω, Χρυσόστομος· οὐκ ἔστι πρέπον, ἵνα προβάλλῃς ἀνάγκην, ὅπου παραβαίνεται νόμος· διότι

(1) Α΄. Βασ. 14, 28. (2) Ματθ. 14, 7. (3) Αὐτ. 10. (4) Πράξ. 23, 12, (5) Ἱερ. 4, 2.
(6) Ψαλ. 62, 11. (7) Ματθ. 5, 34.



μία ἐστὶν ἡ ἀπαραίτητος ἀνάγκη, ἵνα δηλονότι μὴ παροργίσῃς τὸν Θεόν· πλὴν ἐκεῖνα τελευταῖον λέγω· περίκοψαι τοὺς περιττοὺς ὅρκους, ὅσους ποιεῖς ἁπλῶς καὶ ὡς ἔτυχε, καὶ χωρίς τινος ἀνάγκης, ὅσους ποιεῖς ἐν τῷ οἴκῳ σου, ὅσους ἐν τῇ συναναστροφῇ τῶν φίλων σου, ὅσους ἐν ταῖς ὑποθέσεσι τῶν δούλων σου· ἐὰν τούτους τοὺς ὅρκους ἀποκόψῃς, εἰς τὸ ἑξῆς περὶ ἐκείνων, ἤγουν περὶ τῶν ἐξ ἀνάγκης γινομένων, οὐδεμίαν χρείαν ἔχεις τῆς ἐμῆς διδασκαλίας· διότι τὸ στόμα ἐκείνου, ὅστις ἐμελέτησε τὸν φόβον καὶ τὴν φυγὴν τῶν ὅρκων, οὐδὲ ἐὰν μυριάκις ἀναγκασθῇ, οὐδόλως στέρξει περιπεσεῖν εἰς ἐκείνην τοῦ ὅρκου τὴν συνήθειαν. Ἰδοὺ αὐτολεξεὶ αὐτὰ τοῦ ἁγίου διδασκάλου τὰ λόγια· « Ὅπου παραβαίνεται νόμος, » ἀνάγκης μεμνῆσθαι οὐ χρή· μία γάρ ἐστιν » ἀνάγκη ἀπαραίτητος, τό, μὴ προσκροῦσαι Θεῷ· πλὴν ἐκεῖνα λέγω τέως· τοὺς πε» ριττοὺς περικόψωμεν ὅρκους, τοὺς ἁπλῶς » καὶ χωρὶς ἀνάγκης, τοὺς ἐπὶ τῆς οἰκίας, » τοὺς ἐπὶ τῶν φίλων, τοὺς ἐπὶ τῶν οἰκε» τῶν· κἂν τούτους ἀνέλῃς, ἐν ἐκείνοις ἐμοῦ » οὐδὲν δεήσῃ λοιπόν· αὐτὸ γὰρ τὸ στόμα » μελετῆσαν δεδοικέναι καὶ φεύγειν τοὺς » ὅρκους, οὐδ᾽ ἂν μυριάκις ἀναγκάσῃ τις, » καταδέξεται λοιπὸν εἰς ἐκείνην ἐμπεσεῖν » τὴν συνήθειαν » (1).

Καλή, λέγεις, ἡ διδασκαλία αὕτη· ἔστω δὲ ὅτι καὶ ἡ προαίρεσις θέλει, καὶ τὸ στόμα συνειθίζει τὴν τελείαν ἀποχὴν τῶν ὅρκων· ἀλλ᾽ ὅταν οἱ πολιτικοὶ νόμοι καὶ ὁ κριτὴς ἀναγκάζῃ, ἵνα ποιήσω ὅρκον, τότε τί ποιητέον; Μετὰ τὴν διδασκαλίαν τοιούτου σοφοῦ καὶ ἁγιωτάτου ἀνδρός, ὁποῖός ἐστιν ὁ Χρυσόστομος, τί δύναμαι ἐγὼ συμβουλεῦσαι; Οἱ τῶν ἱερῶν κανόνων ἑρμηνευταὶ παρετήρησαν, πρῶτον μέν, ὅτι οἱ κανόνες ἐπιτιμῶσι τοὺς ποιοῦντας ἑλληνικοὺς ὅρκους, καὶ τοὺς ποιοῦντας ὅρκους γελοιώδεις, ἢ ὅρκους πρὸς τὸ κακοποιῆσαι, ὁμοίως καὶ τοὺς ἐπιορκοῦντας (2)· κατὰ δὲ τῶν ὀμνυόντων ὅρκον νόμιμον καὶ ἀληθῆ καὶ δίκαιον, οὐδὲν ἐπιτίμιον διορίζουσι. Δεύτερον δέ, ὅτι τό, « Μὴ ὀμόσαι ὅλως » (3) καὶ τό, πώλησόν σου τὰ ὑπάρχοντα καὶ » δὸς πτωχοῖς » (4)· καὶ τό, « ὅστις σε » ῥαπίσῃ ἐπὶ τὴν δεξιάν σου σιαγόνα στρέ» ψον αὐτῷ καὶ τὴν ἄλλην » (5), εἰσὶν ὅμοια καὶ ἰσόῤῥοπα· ἐπειδὴ δὲ ταῦτά εἰσιν ἔργα τῶν τελείων, τελειότητος ἔργον ἐστὶ καὶ τό, « Μὴ ὀμόσαι ὅλως »· ὅθεν καθὼς ὅστις μὲν φυλάττει ἐκεῖνα, ἀναβαίνει εἰς τὸ ὕψος τῆς τελειότητος, ὁ δὲ μὴ φυλάττων αὐτά, μένει μὲν ἀτελής, οὐχὶ δὲ ὅμως καὶ κολάσει ὑπόδικος· οὕτως οἱ μὲν μηδέποτε ὀμνύοντες, εἰς τῆς ἀρετῆς τὴν τελειότητα ἐπιβλέπουσιν· οἱ δὲ ποιοῦντες ὅρκον νόμιμον, ἤγουν ἀληθινὸν καὶ διακριτικὸν καὶ δίκαιον καὶ ἀπαράβατον, κἂν μὴ ἀναβαίνωσιν εἰς τοὺς ὑψηλοὺς τῆς τελειότητος βαθμούς, οὐκ εἰσὶν ὅμως καταδίκης ἄξιοι. Τρίτον δέ, ὅτι οἱ ὀρθόδοξοι βασιλεῖς οὐχ ἁπλῶς καὶ ὡς ἔτυχεν, ἐνομοθέτησαν τὴν τελεσιουργίαν τοῦ ὅρκου, ἀλλὰ σκοπὸν ἔχοντες ἐμποδίσαι τὴν ἀδικίαν τῶν δολερῶν καὶ ψευδομένων ἀνθρώπων. Ταῦτα παρατηρήσαντες οἱ τῶν ἱερῶν κανόνων ἐξηγηταί, εἶπον· « Οὐχὶ » πᾶς ὅρκος ἔννομός τε καὶ παράνομος κε» κωλυμένος ἐστίν, ἀλλ᾽ ὁ παράνομος καὶ » ἀπαίδευτος » (6).

Ἐκ τούτων ἀκολουθεῖ, ὅτι ἀξιομακάριστοι μέν εἰσιν ὅσοι οὐδέποτε ὀμνύουσι τοῦ

(1) Χρυσ. Λ. 28. Περὶ ὅρκου. (2) Βασ. Καν. 81. Συν. Τρου. 64. Βασ. Καν. 28. καὶ 29. (3) Ματθ 5, 34.
(4) Αὐτ. 19, 21. (5) Αὐτ. 5, 39. (6) Βαλσ. εἰς τὸν 28 καὶ 29 Καν. τοῦ Βασ.

Θεοῦ τὸ ὄνομα, οὐδὲ ἄλλον τινὰ ὅρκον· συγγνωστοὶ δὲ ὅσοι ἐξουσίαις ὑπερεχούσαις ὑποτασσόμενοι, ὀμνύουσι (1) πλὴν μετὰ ἀληθείας ἐν κρίσει καὶ δικαιοσύνῃ, ἀπαράβατον δὲ φυλάττουσι τὸν ὅρκον (2)· πανάθλιοι δὲ ὅσοι ἢ δι' ἀνοησίαν καὶ κακὴν συνήθειαν, ἢ διὰ πράγματα μάταια, ἢ διὰ βλάβην τοῦ πλησίον ὀμνύουσι τοῦ Ὑψίστου Θεοῦ τὸ ὄνομα, μηδόλως στοχαζόμενοι, ὅτι, ὅταν ὀμνύωσιν, ἐπικαλοῦνται μάρτυρα καὶ διεκδικητὴν τῶν ὑπ' αὐτῶν τότε λεγομένων τὸν παντοκράτορα καὶ παντοδύναμον δημιουργὸν τῆς κτίσεως, ὃν φρίττουσι πᾶσαι αἱ ἐπουράνιαι τῶν ἀγγέλων δυνάμεις, καὶ τρέμουσι πᾶσαι αἱ καταχθόνιαι τῶν δαιμόνων φάλαγγες, καὶ εἰς ὃν ὑπακούει πάντα τὰ ὁρατὰ καὶ ἀόρατα κτίσματα. Οὐαὶ εἰς τοὺς ὀμνύοντας ἐπὶ ματαίῳ, διότι αὐτοὶ οὐ καθαρίζονται ἀπὸ τοῦ ῥύπου τῆς ἁμαρτίας αὐτῶν (3)· οὐαὶ εἰς τοὺς ὀμνύοντας ἐπὶ ἀδίκῳ, διότι αὐτοὶ ὡς βέβηλον καὶ περιπεφρονημένον λογίζονται τὸ φοβερὸν τοῦ Θεοῦ ὄνομα (4)· οὐαὶ εἰς τοὺς πολυόρκους, διότι ἡ πολυορκία πληροῖ αὐτοὺς πολλῆς ἀνομίας, οὐκ ἐκλείψει δὲ ἀπὸ τοῦ οἴκου αὐτῶν τιμωρία· « Ἀνὴρ πολύορκος πλησθή-» σεται ἀνομίας, καὶ οὐκ ἀποστήσεται ἀπὸ » τοῦ οἴκου αὐτοῦ μάστιξ » (5). Ἐφανέρωσε δὲ ὁ προφήτης Ζαχαρίας, ποία ἐςὶν ἡ κατὰ τῶν ἐπιόρκων τιμωρία· « Ἐγὼ ὁρῶ, εἶπε, » δρέπανον πετόμενον, μήκους πήχεων εἴ-» κοσι, καὶ πλάτους πήχεων δέκα » (6). Ἀκούεις; δρέπανον, διότι ἡ τιμωρία ἐστὶν ἄφευκτος· « πετόμενον », διότι προφθάνει ταχύτατα· μακρὸν καὶ πλατύ, διότι ἐφαπλοῦται οὐ μόνον εἰς τὸν ἐπίορκον, ἀλλὰ καὶ εἰς πάντα τὸν οἶκον αὐτοῦ· πρᾶγμα φοβερόν ἐστι τὸ δρέπανον, διότι τοῦτό ἐστι κατάρα, εἶπεν ὁ Θεὸς εἰς τὸν προφήτην, πεμπομένη εἰς πᾶσαν τὴν γῆν· « Αὕτη ἡ » ἀρὰ ἡ ἐκπορευομένη ἐπὶ πρόσωπον πάσης » τῆς γῆς » (7)· ὑπὸ τούτου δὲ τοῦ δρεπάνου παιδεύεται ἕως θανάτου πᾶς κλέπτης, καὶ πᾶς ἐπίορκος· « Διότι πᾶς ὁ κλέπτης » ἐκ τούτου ἕως θανάτου ἐκδικηθήσεται, » καὶ πᾶς ἐπίορκος ἐκ τούτου ἐκδικηθήσε-» ται. Καὶ ἐξοίσω αὐτό, ἤγουν τὸ δρέπα-» νον, λέγει Κύριος παντοκράτωρ, καὶ εἰσ-» ελεύσεται εἰς τὸν οἶκον τοῦ κλέπτου, καὶ » εἰς τὸν οἶκον τοῦ ὀμνύοντος τῷ ὀνόματί » μου ἐπὶ ψεύδει, καὶ καταλύσει ἐν μέσῳ » τοῦ οἴκου αὐτοῦ, καὶ συντελέσει αὐτόν, » καὶ τὰ ξύλα αὐτοῦ, καὶ τοὺς λίθους αὐ-» τοῦ » (8).

Τίς ἀκούων ταῦτα, οὐ φρίττει καὶ τρέμει ἀπὸ προσώπου τῆς ἐκδικήσεως τοῦ παντοκράτορος Θεοῦ; διὰ τί, ἀδελφοί, ὑποβάλλομεν ἑαυτοὺς εἰς ταύτην τὴν φοβερὰν καταδίκην; ποίαν ἡδονὴν προξενεῖ ὁ ὅρκος; οὐδεμίαν· ποία ἡ ἐκ τοῦ ὅρκου ὠφέλεια; ἡ βεβαίωσις τῶν ὑπὸ σοῦ λεγομένων; ἀλλ' ὅσον εὐκολώτερον καὶ συχνότερον ὀμνύεις, τόσον ὀλιγώτερον πιστεύουσιν εἰς τοὺς ὅρκους σου οἱ τούτους ἀκούοντες· διότι ἐκ τούτου ὑποπτεύονται, ὅτι οὐκ ἔστι φόβος Θεοῦ ἐν τῇ καρδίᾳ σου· ὁ δὲ πολύορκος εὐκολώτατα γίνεται ἐπίορκος. Τίς δὲ οὐ φρίττει τῆς ἐπιορκίας τὴν τιμωρίαν; φύγε τὴν πολυορκίαν, ἵνα μὴ καταποντισθῇς εἰς τῆς ἐπιορκίας τὸ φοβερὸν ἁμάρτημα· τοῦτο καὶ δυνατόν ἐστι, καὶ εὔκολον, καὶ ἄκοπον, καὶ ἀδάπανον· φύγε τὴν πολυορκίαν, ἵνα φύγῃς καὶ τοὺς ψευδεῖς, καὶ τοὺς ματαίους, καὶ τοὺς ἀδίκους, καὶ τοὺς παραλόγους καὶ

(1) Ῥωμ. 13, 1. (2) Ἱερ. 4, 2. (3) Ἐξ. 20, 7. (4) Λευϊτ. 19, 12. (5) Σειρ. 23, 11· (6) Ζαχ. 5, 2.
(7) Αὐτ. 3. (8) Αὐτ. 4.



ἀδιακρίτους ὅρκους· « Ὅρκῳ μὴ ἐθίσῃς τὸ » στόμα σου, καὶ ὀνομασίᾳ τοῦ ἁγίου μὴ » συνεθισθῇς » (1). Ἐὰν ταύτην τὴν συμβουλὴν φυλάξῃς, ἥτις οὐδενὸς ἄλλου χρείαν ἔχει, εἰ μὴ προσοχῆς, παντὸς ἀνόμου ὅρκου σεαυτὸν ἀπαλλάξεις, καὶ τῆς ἐπιορκίας σεαυτὸν ἐλευθερώσεις, καὶ τῆς δι' αὐτὴν φοβερᾶς τιμωρίας ἀνεπηρέαστον διατηρήσει σε Κύριος ὁ Θεὸς ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΗΝ ΠΡΟΣ

# ΕΒΡΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

## ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗ: Ε'. ΚΥΡΙΑΚΗ: ΤΩΝ ΝΗΣΤΕΙΩΝ.

ΣΥΜΒΟΛΑ καὶ τύποι τῶν ἐν τῇ Νέᾳ Διαθήκῃ πραγμάτων ἦσαν πάντα, ὅσα εἶχεν ἡ Διαθήκη ἡ Παλαιά. Καὶ ἀνέφερε μὲν ὁ θεοῤῥήμων Παῦλος τὴν πρώτην καὶ δευτέραν σκηνήν, καὶ τὴν λυχνίαν τὴν ἑπτάφωτον, καὶ τὴν πρόθεσιν τῶν ἄρτων » (2), καὶ τὸ καταπέτασμα, τὸ χωρίζον τὰς δύο σκηνάς, καὶ τὸ χρυσοῦν θυμιατήριον, καὶ τὴν κιβωτὸν τῆς δαθήκης, καὶ τὰ ἐν αὐτῇ περιεχόμενα, ἤγουν τὴν χρυσῆν στάμνον τοῦ μάννα, καὶ τὴν ῥάβδον Ἀαρών, τὴν βλαστήσασαν, καὶ τὰς πλάκας τῆς διαθήκης, ἔτι δὲ καὶ τὰ ὑπεράνω ὄντα τῆς κιβωτοῦ Χερουβὶμ τῆς δόξης, καὶ τὸ ὑπ' αὐτῶν κατασκιαζόμενον ἱλαστήριον· οὐκ ἐφανέρωσε δέ, ποίων πραγμάτων τῆς Νέας Διαθήκης ταῦτα ἦσαν τύποι καὶ σύμβολα· τοῦτο δὲ μόνον εἶπεν, ὅτι ὁ παρὼν καιρὸς οὐκ ἐπιτρέπει, ἵνα λαλήσῃ περὶ αὐτῶν κατὰ μέρος· « Περὶ ὧν οὐκ ἔστι νῦν λέγειν κατὰ » μέρος » (3)· τοῦτο δὲ εἶπεν, ἐπειδὴ σκοπὸν εἶχε καθ' αὐτὸ ἵνα λαλήσῃ περὶ τοῦ ἱερατείου, ἐξόχως δὲ περὶ τοῦ ἀρχιερέως, καὶ δείξας, ὅτι ὁ τοῦ νόμου ἀρχιερεὺς τύπος ἦν τοῦ Ἰησοῦ Χριστοῦ, ὑπερυψώσῃ τὴν ὑπ' αὐτοῦ προσενεχθεῖσαν θυσίαν, ἥτις ἠνέῳξε τὴν εἰς τὰ ἀντίτυπα ἅγια τῶν ἁγίων σωτηριώδη εἴσοδον. Ταῦτα δὲ προκατασκευάζων, πρῶτον μὲν λέγει, ὅτι εἰς τὴν δευτέραν σκηνήν, ἤγουν εἰς τὰ συμβολικὰ ἅγια τῶν ἁγίων εἰσήρχετο ἅπαξ τοῦ ἔτους μόνος ὁ ἀρχιερεὺς « Οὐ χωρὶς » αἵματος » (4), καθότι ἐῤῥάντιζε τὸ ἱλαστήριον διὰ τοῦ αἵματος τοῦ θυσιαζομένου χειμάῤῥου (5)· καὶ ὅτι δι' αὐτῆς τῆς εἰσελεύσεως εἰς τὰ τυπικὰ ἅγια τῶν ἁγίων μόνου τοῦ ἀρχιερέως ἐσήμαινε τὸ πνεῦμα τὸ ἅγιον, ὅτι ἕως οὗ ἡ σκηνὴ ἔμενε καθεστῶσα, ἡ ὁδὸς εἰς τὰ ἀληθινὰ ἅγια τῶν ἁγίων οὐκ ἦν πεφανερωμένη (6)· δεύτερον δὲ

(1) Σειρ 23, 9. (2) Ἑβρ. 9, 1–5. (3) Αὐτ. 5. (4) Αὐτ. 7. (5) Λευϊτ. 16, 15. (6) Ἑβρ. 9, 8.

διδάσκει, ὅτι τὰ ἐν τῷ νόμῳ προσφερόμενα δῶρα καὶ αἱ θυσίαι, ὡς συμβολικά, οὐκ ἠδύναντο ἀναβιβάσαι εἰς τὴν τελειότητα τὴν συνείδησιν τῶν ταῦτα προσφερόντων (1). Ταῦτα δὲ εἰπὼν περὶ τῶν τύπων, προβάλλει καὶ αὐτὸν τὸν τυπούμενον Χριστόν, καὶ τὰ ὑπ' αὐτοῦ τελεσθέντα, ἀρχόμενος οὕτως.

*Ἀδελφοί, Χριστὸς παραγενόμενος ἀρχιερεὺς τῶν μελλόντων ἀγαθῶν διὰ τῆς μείζονος καὶ τελειοτέρας σκηνῆς, οὐ χειροποιήτου, τουτέστιν, οὐ ταύτης τῆς κτίσεως, οὐδὲ δι' αἵματος τράγων καὶ μόσχων, διὰ δὲ τοῦ ἰδίου αἵματος, εἰσῆλθεν ἐφάπαξ εἰς τὰ ἅγια, αἰωνίαν λύτρωσιν εὑράμενος* (2).

« Παραγενόμενος » εἶπε, καὶ οὐχί, γενόμενος, ἵνα παραστήσῃ, ὅτι οὐκ ἐγένετο ἀρχιερεύς, πρὶν ἢ ἔλθῃ εἰς τὸν κόσμον, ἀλλ' εἰς τὸν κόσμον ἐλθὼν καὶ ἐνανθρωπήσας, ἐγένετο ἀρχιερεύς. « Ὅθεν ὤφειλε, λέγει » ἀλλαχοῦ, κατὰ πάντα τοῖς ἀδελφοῖς ὁ» μοιωθῆναι, ἵνα ἐλεήμων γένηται καὶ πι» στὸς ἀρχιερεὺς τὰ πρὸς τὸν Θεόν, εἰς τὸ » ἱλάσκεσθαι τὰς ἁμαρτίας τοῦ λαοῦ » (3). « Ἀρχιερεὺς δὲ τῶν μελλόντων ἀγαθῶν » λέγεται ὁ Ἰησοῦς Χριστός, ἐπειδὴ τὰ μεγάλα καὶ αἰώνια ἀγαθά, τὰ ὑπ' αὐτοῦ δωρηθέντα τοῖς ἀνθρώποις, οὐκ εἰσὶν ἀγαθὰ τοῦ παρόντος, ἀλλὰ τοῦ μέλλοντος αἰῶνος· τότε δέ, ἤγουν εἰς τὸν καιρὸν τῆς ἀναςάσεως τῶν νεκρῶν καὶ τῆς δευτέρας τοῦ Κυρίου παρουσίας δίδωσι τὴν ἀφθαρσίαν καὶ τὴν κατάληψιν τῶν θείων μυστηρίων καὶ τῆς αἰωνίου δόξης καὶ βασιλείας τὴν κληρονομίαν. Ποίαν δὲ λέγει « σκηνὴν μείζο» να καὶ τελειοτέραν καὶ ἀχειροποίητον, » τουτέστιν οὐ ταύτης τῆς πίστεως »; αὐτὴν τοῦ Κυρίου Ἰησοῦ τὴν σάρκα σκηνὴν μὲν ὠνόμασε (4), καθότι ἐν αὐτῇ ἐσκήνωσεν, ἤγουν κατῴκησε· « Πᾶν τό πλήρωμα τῆς » θεότητητος » (5)· μείζονα δὲ καὶ τελειοτέραν, καθότι ὡς Θεοῦ λόγου σὰρξ ὑπερέχει ἀσυγκρίτως τὴν νομικήν, διὰ δὲ τοῦ πάθους καὶ τοῦ θανάτου αὐτῆς ἔργα ἐποίησεν ὁ Θεὸς τῶν ἐν τῇ σκηνῇ τελουμένων καθ' ὑπεροχὴν τελειότερα· ἀχειροποίητον δέ, καθότι οὐκ ἐτεχνουργήθη ὑπὸ χειρῶν ἀνθρώπων, ὡς ἡ τοῦ νόμου σκηνὴ ὑπὸ τοῦ Βασελεὴλ καὶ Ἐλιάβ (6)· τί δὲ ὡς ἐπεξηγηματικόν, ἤγουν τό, « Τουτέστιν οὐ ταύτης » τῆς κτίσεως » σημαίνει; ὅτι ἡ σὰρξ τοῦ ζωοδότου οὐκ ἔλαβεν ὕπαρξιν κατὰ τοὺς νόμους τῆς φύσεως, ἐκ συνουσίας δηλονότι ἀνδρός τε καὶ γυναικός, καθὼς τὰ τῶν ἀνθρώπων σώματα, ἀλλὰ συνέστη καὶ ἐπλάσθη ἐκ τῶν παναχράντων αἱμάτων τῆς ἀειπαρθένου Μαρίας, ἐπελεύσει τοῦ παναγίου Πνεύματος, καὶ ἐπισκιάσει τῆς τοῦ ὑψίσου δυνάμεως (7). Βλέπε δὲ καὶ τὴν ὑπεροχὴν τῆς θυσίας· ἡ μὲν συμβολικὴ τοῦ νόμου θυσία ἐτελεῖτο δι' αἵματος τράγων καὶ μόσχων· ἡ δὲ ἀληθινὴ τοῦ Ἰησοῦ Χριστοῦ, διὰ τοῦ ἰδίου αὐτοῦ αἵματος· διότι ὁ μὲν τοῦ νόμου ἀρχιερεὺς εἰσέβαινεν εἰς τὰ ἐν τῇ σκηνῇ ἅγια, αἷμα τράγων καὶ μόσχων προσφέρων· (8) ὁ δὲ ἀρχιερεὺς τῆς χάριτος, ὁ Ἰησοῦς, διὰ τῆς προσφορᾶς τοῦ θείου αὐτοῦ αἵματος εἰσῆλθεν εἰς τὸν οὐρανόν. Τὸ δύσκολον δὲ καὶ ἄπορον τῆς λυτρώσεως ἡμῶν διδάσκων, εἶπε τό, « Εὑράμενος », κατὰ μίμησιν δηλονότι τῶν ἀνθρώπων, οἵτινες,

(1) Ἑβρ. 8, 9. (2) Αὐτ. 9, 11, 12. (3) Αὐτ. 2, 17. (4) Χρυσ. Θεοδ. Οἰκουμ. Θεοφ. (5) Κολ. 2, 9.
(6) Ἐξ. 36, 2. (7) Λουκ. 1, 35. (8) Λευϊτ. 6, 14, 18.



ὅταν κατορθώσωσι τὰ δύσκολα καὶ ἄπορα πράγματα, ὡς εὕρημα νομίζοντες τὸ κατόρθωμα, εὑρήκαμεν, λέγουσιν. « Αἰωνίαν » δὲ εἶπε τὴν ἀπολύτρωσιν » ἡμῶν, καθότι ἅπαξ λυτρωθέντες, διαμένομεν αἰωνίως ἐλεύθεροι, καὶ οὐδεμία χρεία ἐστίν, ἵνα πάλιν προσενεχθῇ θυσία ὑπὲρ τῆς ἡμετέρας ἀπολυτρώσεως. Ἰδοὺ δὲ ὅλον τὸ κατὰ σειρὰν νόημα τῶν προκειμένων ἀποστολικῶν λόγων· ὁ Χριστός, λέγει, ἦλθεν εἰς τὸν κόσμον, ἵνα ὡς ἀρχιερεὺς προσφέρῃ ἑαυτὸν οὐχ ὑπὲρ κοσμικῶν καὶ προσκαίρων, ἀλλ' ὑπὲρ τῶν ὑπερκοσμίων καὶ ἀτελευτήτων ἀγαθῶν τοῦ μέλλοντος αἰῶνος· διὰ δὲ τῆς προσληφθείσης σαρκὸς αὐτοῦ, ἥτις καὶ μείζων καὶ τελειοτέρα ἐστὶ τῆς τοῦ νόμου σκηνῆς, καὶ οὐδὲ ὑπὸ χειρῶν ἀνθρώπων, οὐδὲ κατὰ τὸν νόμον τῆς φύσεως, ἀλλ' ὑπὲρ φύσιν συσταθεῖσα, εἰσέβη οὐχὶ « ἅπαξ » τοῦ ἐνιαυτοῦ ὡς ὁ τοῦ νόμου ἀρχιερεύς (1), ἀλλ' ἐφάπαξ μόνον, οὐχὶ εἰς τὴν σκηνήν, ἀλλ' εἰς τὰ ἅγια, ἤγουν, « ἐν δεξιᾷ τοῦ θρό» νου τῆς μεγαλωσύνης ἐν τοῖς οὐρανοῖς » (2)· εἰσῆλθε δὲ προσφέρων οὐχὶ αἷμα τράγων καὶ μόσχων, ἀλλὰ τὸ ἴδιον αὐτοῦ αἷμα τὸ ἐν τῷ σταυρῷ ἐκχυθέν· διὰ ταύτης δὲ τῆς θυσίας ἐδωρήσατο τῷ γένει τῶν ἀνθρώπων τὴν αἰώνιον λύτρωσιν ἐκ τῆς δουλείας τοῦ σατανᾶ, καὶ τὴν ἀτελεύτητον δόξαν τῆς θείας μακαριότητος. Ταῦτα δὲ εἰπών, ἐπιφέρει τὴν ἀπόδειξιν, ἐκ τοῦ ἐλάττονος πρὸς τὸ μεῖζον κατασκευάζων τὸ ἐπιχείρημα.

*Εἰ γὰρ τὸ αἷμα ταύρων καὶ τράγων, καὶ σποδὸς δαμάλεως ῥαντίζουσα τοὺς κεκοινωμένους, ἁγιάζει πρὸς τὴν τῆς σαρκὸς καθαρότητα· πόσῳ μᾶλλον τὸ αἷμα τοῦ Χριστοῦ, ὃς διὰ πνεύματος αἰωνίου ἑαυτὸν προσήνεγκεν ἄμωμον τῷ Θεῷ, καθαριεῖ τὴν συνείδησιν ἡμῶν ἀπὸ νεκρῶν ἔργων, εἰς τὸ λατρεύειν Θεῷ ζῶντι* (3);

Διὰ τί πρότερον μὲν εἶπε, « Τράγων καὶ » μόσχων » (4), νῦν δὲ λέγει, « Ταύρων » καὶ τράγων; » διότι ὁ μόσχος ταῦρός ἐστι νέος. Βλέπομεν δὲ εἰς τὴν Πεντάβιβλον τοῦ Μωϋσέως, ὅτι ὁ νομικὸς ἀρχιερεὺς θυσιάζων τράγους καὶ μόσχους, ἐῤῥάντιζε διὰ τοῦ αἵματος αὐτῶν ἔμπροσθεν τοῦ ἱλαστηρίου καὶ τῆς σκηνῆς, καὶ ἐπὶ τὰ κέρατα τοῦ θυσιαστηρίου κύκλῳ (5)· καὶ ὅτι προσέφερον οἱ Ἰσραηλῖται εἰς θυσίαν δάμαλιν ἄμωμον (6), ἤγουν οὐδὲν ἐλάττωμα ἔχουσαν ἐν τῷ σώματι αὐτῆς, καὶ σφάζοντες αὐτήν, κατέκαιον ἔξω τῆς παρεμβολῆς, τὴν δὲ τέφραν αὐτῆς ἀνεμίγνυον μετὰ ὕδατος, ἵνα ῥαντίζωνται· καὶ ὁ μὲν ἱερεὺς διὰ τοῦ αἵματος τῆς δαμάλεως ἐῤῥάντιζεν ἐνώπιον τῆς σκηνῆς τοῦ μαρτυρίου, ὁ δὲ ἐξ αὐτῶν τῶν Ἰσραηλιτῶν καθαρὸς ὤν, ἐῤῥάντιζε διὰ τοῦ ὕδατος, τοῦ μεμιγμένου μετὰ τῆς σποδοῦ τῆς καυθείσης δαμάλεως, τοὺς ἀκαθάρτους πρὸς καθαρισμὸν αὐτῶν. Ταῦτα μετὰ μεγάλης συντομίας διηγήθη ὁ Ἀπόστολος, εἰπών· « Εἰ γὰρ τὸ αἷμα ταύρων καὶ τρά» γων, καὶ σποδὸς δαμάλεως, ῥαντίζουσα » τοὺς κεκοινωμένους, ἁγιάζει πρὸς τὴν τῆς » σαρκὸς καθαρότητα ». Κεκοινωμένους δὲ εἶπε τοὺς ἀκαθάρτους, καθὼς καὶ οἱ ἅγιοι Εὐαγγελισταί (7), καθότι τὰ κοινὰ πράγματα γίνονται ἀκάθαρτα, μόνα δὲ τὰ εἰς τὸν Θεὸν ἀφιερωμένα εἰσὶ καθαρὰ καὶ ἀμί-

(1) Ἑβρ. 9, 7. (2) Αὐτ. 8, 1. (3) Αὐτ. 9, 13, 14. (4) Αὐτ. 9, 12. (5) Λευϊτ. 16, 14, 16, 18.
(6) Ἀριθ. 19, 2. κτ. (7) Ματθ. 15, 11. Μάρκ. 7, 15.

αντα. Ἆρά γε δὲ οἱ ῥαντισμοὶ διὰ τοῦ αἵματος τῶν ταύρων καὶ τράγων, καὶ διὰ τοῦ ὕδατος, τοῦ μεμιγμένου μετὰ τῆς σποδοῦ τῆς δαμάλεως, ἐκαθάριζον τὰς ψυχὰς ἀπὸ τῶν ἰδίων ἁμαρτιῶν; οἱ τοιοῦτοι ῥαντισμοὶ τύποι ὄντες καὶ σύμβολα τῆς ἐκχύσεως τοῦ αἵματος Ἰησοῦ Χριςοῦ, τοῦ καθαρίσαντος, καὶ δικαιώσαντος τὸ γένος τῶν ἀνθρώπων, οὐκ ἠδύναντο καθαρίσαι τὰς ἁμαρτίας, καὶ δικαιῶσαι τὸν ἄνθρωπον· «Ὅτι οὐ δικαιοῦται ἄνθρωπος ἐξ ἔργων νόμου, ἐὰν μὴ διὰ πίστεως Ἰησοῦ Χριστοῦ· εἰ γὰρ διὰ νόμου δικαιοσύνη, ἄρα Χριστὸς δωρεὰν ἀπέθανεν » (1). Ὡς τοιοῦτοι δὲ τύποι ἐχρησίμευον πρὸς σωματικὴν κάθαρσιν καὶ δικαίωσιν· διὰ τοῦτο οἱ παραβαίνοντες τὰ τοῦ νόμου ἐντάλματα, ἐὰν μὲν οὐκ ἐκαθαρίζοντο διὰ τῶν τοιούτων ῥαντισμῶν, ἐπαιδεύοντο σωματικῶς, χωριζόμενοι ἀπὸ τῶν λοιπῶν ἀνθρώπων, καὶ ἀκάθαρτοι λογιζόμενοι, καὶ θανάτου ἄξιοι (2)· ἐὰν δὲ διὰ τούτων τῶν ῥαντισμῶν ἐκαθαίροντο, ἐνομίζοντο καθαροὶ καὶ ἄμωμοι, καὶ ἀπελάμβανον τῆς συναναστροφῆς τῶν ἀνθρώπων (3). Ἵνα δὲ μηδεὶς πιστεύσῃ, ὅτι ὁ τοιοῦτος ῥαντισμὸς ἐκαθάριζε τὰς ψυχάς, ἐφανέρωσεν ὁ θεηγόρος Παῦλος, ποῖος ἦν ὁ ἐκ τούτου τοῦ ῥαντισμοῦ ἁγιασμός, λέγων· « Ἁγιάζει πρὸς τὴν τῆς σαρκὸς καθαρότητα » (4). Σημείωσαι δέ, ὅτι ἄμωμος ἦν ἡ προσφερομένη δάμαλις, καθὼς ἄμωμον ἦν καὶ τοῦ Κυρίου Ἰησοῦ τὸ σῶμα· « Ὅτι ἀνομίαν οὐκ ἐποίησεν, οὐδὲ δόλον ἐν τῷ στόματι αὐτοῦ » (5). Καὶ ἡ μὲν δάμαλις διὰ πυρὸς ἐθυσιάζετο ὑπὸ τῶν Ἰσραηλιτῶν ὁ δὲ Ἰησοῦς διὰ τῆς συνεργείας τοῦ ἐν αὐτῷ κατοικοῦντος παναγίου Πνεύματος αὐτὸς ἑαυτὸν προσέφερε θυσίαν εἰς τὸν Θεόν· τοῦτο δὲ σημαίνουσι ταῦτα τοῦ Ἀποστόλου τὰ λόγια· « Ὃς διὰ Πνεύματος αἰωνίου ἑαυτὸν προσήνεγκεν ἄμωμον τῷ Θεῷ ». Νεκρὰ δὲ ἔργα εἰσὶ τῆς ἁμαρτίας τὰ ἔργα, ὡς νεκροῦντα τὴν ψυχήν, καὶ προξενοῦντα εἰς αὐτὴν τὸν αἰώνιον θάνατον· ἐπειδὴ δέ τὸ αἷμα τοῦ Ἰησοῦ Χριστοῦ καθαρίζει τὴν συνείδησιν ἡμῶν ἀπὸ τῶν νεκρῶν ἔργων, ἵνα μετὰ καθαρᾶς καρδίας προσφέρωμεν τὴν λατρείαν πρὸς τὸν ζῶντα Θεόν, φανερόν ἐστιν, ὅτι ὅσοι ἔχουσι μεμολυσμένην τὴν συνείδησιν αὐτῶν ὑπὸ τῶν νεκρῶν ἔργων, ἐκεῖνοι οὐ λατρεύουσι τῷ ζῶντι Θεῷ, ἀλλὰ τιμῶσι μὲν αὐτὸν τοῖς χείλεσιν, « Ἡ δὲ καρδία αὐτῶν πόῤῥω ἀπέχει ἀπ' αὐτοῦ » (6). Ἵνα δὲ κατανοήσῃς τὴν δύναμιν τῆς ἀποδείξεως τῶν ἀποστολικῶν λόγων, ἀνάλαβε τὰ προλαβόντα· προλαβὸν εἶπεν ὁ Ἀπόστολος, ὅτι ὁ Χριστὸς διὰ τῆς ἐκχύσεως τοῦ ἰδίου αἵματος ἐτελείωσε τὴν αἰώνιον ἀπολύτρωσιν ἡμῶν (7), τουτέστιν ἐδωρήσατο ἡμῖν τὴν κάθαρσιν τῶν ἁμαρτιῶν ἡμῶν καὶ τὴν αἰώνιον σωτηρίαν· τούτου δὲ τὴν ἀπόδειξιν ἐπήγαγε, λέγων· ἐὰν τὸ ἐκχεόμενον αἷμα τῶν ταύρων καὶ τράγων, καὶ ἡ σποδὸς τῆς δαμάλεως ποιῇ τοὺς ἀκαθάρτους καθαροὺς ἀπὸ τῆς σωματικῆς ἀκαθαρσίας, πόσῳ μᾶλλον τὸ αἷμα τοῦ Ἰησοῦ Χριστοῦ, τὸ ἐκχυθὲν ἐπὶ τοῦ σταυροῦ, καθαρίζει τὴν ψυχὴν ἡμῶν ἀπὸ τῶν νεκρῶν ἔργων τῆς ἁμαρτίας, ἵνα καθαροὶ προσφέρωμεν εἰς τὸν ζῶντα Θεὸν τὴν ἀληθινὴν λατρείαν;

(1) Γαλ. 2, 16, 21. (2) Λευϊτ. 13, 46. (3) Ἀριθμ. 19, 19, 20. (4) Ἑβρ. 9, 13. (5) Ἡσ. 53, 9.
(6) Αὐτ. 29, 13. (7) Ἑβρ. 9, 12.



# ΟΜΙΛΙΑ

ΜΕΤΑ ΤΗΝ ΠΡΟΣ

## ΕΒΡΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

### ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗ: Ε'. ΚΥΡΙΑΚΗ: ΤΩΝ ΝΗΣΤΕΙΩΝ.

ΑΝΑΒΙΒΑΖΕΙ τὸν νοῦν ἡμῶν ἡ σήμερον ἀναγνωσθεῖσα ἐπιστολὴ τοῦ θεόφρονος Παύλου εἰς τὴν περὶ τοῦ μεγάλου μυστηρίου τῆς θείας εὐχαριστίας, θεοπαράδοτον ὑπόθεσιν. Διδάσκει αὐτὸς ἀποδεικτικῶς τὴν δύναμιν τοῦ αἵματος τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ, λέγων, ὅτι αὐτὸ καθαρίζει τὴν ψυχὴν ἡμῶν ἀπὸ τῶν ἁμαρτιῶν, καὶ ποιεῖ ἡμᾶς ἀληθινοὺς λάτρας τοῦ Θεοῦ τοῦ ζῶντος· « Εἰ γάρ, λέγει, τὸ αἷμα ταύρων καὶ τράγων, καὶ σποδὸς δαμάλεως, ῥαντίζουσα τοὺς κεκοινωμένους, ἁγιάζει πρὸς τὴν τῆς σαρκὸς καθαρότητα· πόσῳ μᾶλλον τὸ αἷμα τοῦ Χριστοῦ, ὃς διὰ Πνεύματος αἰωνίου ἑαυτὸν προσήνεγκεν ἄμωμον τῷ Θεῷ, καθαριεῖ τὴν συνείδησιν ἡμῶν ἀπὸ νεκρῶν ἔργων, εἰς τὸ λατρεύειν Θεῷ ζῶντι; » (1) Σύμφωνον δὲ τὸ κήρυγμα τοῦ Παύλου τῇ διδασκαλίᾳ τνῦ Ἰωάννου· διότι καὶ αὐτὸς διδάσκει, λέγων· «Τὸ αἷμα Ἰησοῦ Χριστοῦ, τοῦ Υἱοῦ αὐτοῦ, καθαρίζει ἡμᾶς ἀπὸ πάσης ἁμαρτίας »(2). Τίνι δὲ τρόπῳ καθαρίζει; ἀξίως μεταλαμβανόμενον. Διὰ τοῦτο δέ, ὅταν ὁ Σωτὴρ ἡμῶν παρέδωκε τὴν τελετὴν τῆς τούτου μεταλήψεως, παρήγγειλε, λέγων· « Τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν » (3)· ποίαν δὲ ἀνάμνησιν ποιοῦμεν, τοῦτο ἐκτελοῦντες; τὴν ἀνάμνησιν τοῦ ζωηφόρου θανάτου τοῦ Ἰησοῦ Χριστοῦ· « Ὁσάκις γὰρ ἄν, ἐδίδαξεν ὁ Παῦλος, ἐσθίητε τὸν ἄρτον τοῦτον, καὶ τὸ ποτήριον τοῦτο πίνητε, τὸν θάνατον τοῦ Κυρίου καταγγέλλετε, ἄχρις οὗ ἂν ἔλθῃ » (4). Ἀναγκαῖος οὖν εἰς πάντα ἄνθρωπον εὐσεβῆ ὁ περὶ τοῦ μυστηρίου τούτου λόγος. Ἀλλὰ ποῖος λόγος δύναται παραστῆσαι ἀξιοπρεπῶς τὸ τούτου ὕψος, τὴν χάριν, τὴν δύναμιν, τὰς ἐνεργείας; ἰλιγγιᾷ ἀληθῶς οὐ μόνον πᾶσα ἀνθρώπου διάνοια, ἀλλὰ καὶ αὐτὸς ὁ τῶν ἐπουρανίων δυνάμεων ἄϋλος νοῦς· οὐδὲν ἕτερον δύναμαι ἐγὼ εἰπεῖν, εἰ μὴ ὅτι τοῦτο τὸ μέγα καὶ ὑπερφυέστατον μυστήριον, ὅσον ἐστὶν ἀκατάληπτον εἰς τὴν δύναμιν τοῦ νοός, τόσον ἀναγκαῖόν ἐστι διὰ τὴν σωτηρίαν τῆς ψυχῆς.

Ποῖος ἀνθρώπου νοῦς δύναται κατανοῆσαι, πῶς μετὰ τὴν εὐλογίαν ὁ μὲν ἄρτος γίνεται σῶμα Χριστοῦ, ὁ δὲ οἶνος, αἷμα αὐτοῦ, καὶ ὅμως μένει καὶ ἡ ἔκτασις καὶ τὸ σχῆμα, καὶ ἡ ὀσμή, καὶ ἡ γεῦσις, καὶ ἡ ἁφὴ τοῦ ἄρτου καὶ τοῦ οἴνου; Εἰς ποῖον

(1) Ἑβρ, 9, 13, 14. (2) Α. Ἰωάν. 1, 7. (3) Λουκ. 22, 19. (4) Α. Κορ. 11, 26.

νοῦν χωρεῖ τό, πῶς τὸ ἓν σῶμα τοῦ Ἰησοῦ Χριστοῦ καθ' ἕνα καὶ τὸν αὐτὸν καιρὸν εὑρίσκεται εἰς τὰ δεξιὰ τῆς μεγαλωσύνης ἐν τοῖς οὐρανοῖς, καὶ εἰς τὰ μυριάριθμα τῶν ὀρθοδόξων θυσιαστήρια ἐπὶ τῆς γῆς; ἢ πῶς καὶ ὅλος ὁ εὐλογηθεὶς ἄρτος ἐστὶ τὸ σῶμα τοῦ Ἰησοῦ Χριστοῦ, καὶ πᾶσα μερίς, κἂν μικροτάτη, τοῦ αὐτοῦ ἄρτου ἐπίσης ἐστὶν ὅλον τοῦ Χριστοῦ τὸ σῶμα; ἢ πῶς μασσᾶται διὰ τῶν ὀδόντων, καὶ καταβαίνει διὰ τοῦ φάρυγγος εἰς τὸν στόμαχον ἡ τεθεωμένη σὰρξ τοῦ ζωοδότου; Ποία νοὸς δύναμις καταλαμβάνει, πῶς διὰ τῆς μεταλήψεως τούτου τοῦ μυστηρίου ἑνοῦται ὁ Χριστὸς μετὰ τοῦ μεταλαμβάνοντος, καὶ μένει μετ' αὐτοῦ, καθὼς αὐτὸς ἐδίδαξεν, εἰπών· « Ὁ τρώγων μου τὴν σάρκα, καὶ » πίνων μου τὸ αἷμα, ἐν ἐμοὶ μένει, κἀγὼ » ἐν αὐτῷ; » (1) Τόσον ἀκατανόητόν ἐστι τοῦτο τὸ μυστήριον, ὥστε πολλοί, κἂν ἐπίστευσαν εἰς τὸν Ἰησοῦν Χριστόν, καὶ καταλιπόντες τὰ πάντα, ἐγένοντο μαθηταὶ αὐτοῦ, καὶ ἠκολούθουν αὐτῷ, ὅταν ὅμως ἤκουσαν τὴν περὶ τοῦ μυστηρίου τούτου διδασκαλίαν, πρῶτον μὲν εἶπον· « Σκληρός » ἐστιν οὗτος ὁ λόγος, τίς δύναται αὐτοῦ » ἀκούειν; » (2) ἔπειτα « Ἀπῆλθον εἰς τὰ « ὀπίσω, καὶ οὐκ ἔτι μετ' αὐτοῦ περιεπά» τουν », τουτέστιν ἀπιστήσαντες, κατέλιπον τὸν διδάσκαλον αὐτῶν, καὶ ἐπέστρεψαν εἰς τὴν προτέραν αὐτῶν κατάστασιν. Εἰς τὰ περὶ τοῦ μυστηρίου τούτου οὐδὲ ἡ ἀπόδειξις χωρεῖ, οὐδὲ ἡ ἔρευνα εὑρίσκει τόπον· πίστεως μόνης ἐστὶ χρεία, καὶ πίστεως θερμῆς, ἵνα νικᾷ καὶ τοῦ νοὸς τὴν ἔνστασιν, καὶ αὐτὰς τὰς προσβολὰς τῶν αἰσθήσεων.

Ἀλλὰ διὰ τί λέγεις, ἠθέλησεν ὁ Θεός, ἵνα μὴ καταλαμβάνω ἐκεῖνα τὰ πράγματα, ἐξ ὧν κρέμαται ἡ σωτηρία τῆς ψυχῆς μου; τοῦτο οὕτως ὥρισεν ὁ Θεός, ἵνα διὰ τῆς ἀκαταληψίας σώζῃς τὴν ψυχήν σου. Πῶς τοῦτο; Ἄκουσον· ὅταν, κἂν μὴ καταλαμβάνῃς, ὅμως πιστεύῃς εἰς τὸν λόγον τοῦ Θεοῦ, τότε ἡ πίστις σου ἐστὶ πολλὰ εὐπρόσδεκτος εἰς αὐτόν· ὅταν δὲ οὐ μόνον οὐ καταλαμβάνῃς, ἀλλὰ καὶ αἱ αἰσθήσεις σου πείθωσί σε τὸ ἐναντίον, καὶ ὅμως πιστεύῃς εἰς τοῦ Θεοῦ τὸν λόγον, τότε ἡ πίστις σου ἔχει μισθαποδοσίαν μεγάλην. Ἀλλὰ διὰ τί τοῦτο; διότι πιστεύεις εἰς τὸν λόγον τοῦ Θεοῦ περισσότερον, ἢ εἰς τὴν κρίσιν τοῦ νοός σου, καὶ εἰς τὴν προσβολὴν τῶν αἰσθήσεών σου. Ὁ λόγος τοῦ Θεοῦ διδάσκει ὅτι ὁ εὐλογηθεὶς ἄρτος καὶ ὁ οἶνός ἐστι τὸ σῶμα καὶ τὸ αἷμα αὐτοῦ· « Λάβετε, φά» γετε· τοῦτό ἐστι τὸ σῶμά μου· Πίετε ἐξ » αὐτοῦ πάντες· τοῦτο γάρ ἐστι τὸ αἷμά » μου » (3)· αἱ αἰσθήσεις παριστῶσιν εἰς τὸν νοῦν σου προσβολὴν ἄρτου καὶ οἴνου, ὁ δὲ νοῦς ἀκολουθῶν· τὴν τῶν αἰσθήσεων παράστασιν, συλλογίζεται, καὶ κρίνει, ὅτι ὁ εὐλογηθεὶς ἄρτος καὶ ὁ οἶνος, ἄρτος ἐστὶ καὶ οἶνος· ὅμως σὺ πιστεύεις εἰς τὸν λόγον τοῦ Θεοῦ, ὅπερ ἐστί, προτιμᾷς τὸν Θεὸν καὶ αὐτοῦ τοῦ νοός σου, καὶ αὐτῶν τῶν αἰσθήσεών σου· τοῦτο δέ ἐστιν ὑπερτάτη τιμή, καὶ ὑπερεξῃρημένη εὐλάβεια, καὶ ὑπερτελεία εἰς τὸν Θεὸν ὑπακοή. Ἐὰν κατελάμβανες, οὐκ ἐπίστευες, ἀλλ' εἶχες τὴν ἐκ τοῦ νοός σου πληροφορίαν· ἐὰν αἱ αἰσθήσεις σὲ ἔπειθον, οὐκ ἐπίστευες, ἀλλ' εἶχες τὴν τῆς ὁράσεως, ἢ τῆς ἀκοῆς, ἢ τῆς ὀσφρήσεως, ἢ τῆς γεύσεως ἢ τῆς ἁφῆς,

(1) Ἰωάν, 6, 56. (2) Αὐτ, 61, 66. (3) Ματθ. 26, 26, 27, 28.



ἢ καὶ πασῶν ὁμοῦ τῶν αἰσθήσεων τὴν πληροφορίαν· « Ἡ πίστις δέ, λέγει ὁ θεῖος » Ἀπόστολος, ἐστὶν ἐλπιζομένων ὑπόστα» σις, πραγμάτων ἔλεγχος οὐ βλεπομέ» νων » (1)· ὅσον δὲ ἀκατανόητά εἰσι τὰ πιστευόμενα, ἐναντία τῆς κρίσεως τοῦ νοός, καὶ τῶν σωματικῶν αἰσθήσεων, τόσον ἡ πίστις ἐστὶν ἰσχυροτέρα καὶ θερμοτέρα, καὶ ἑπομένως ἀξία ὑπερτέρων μισθῶν καὶ στεφάνων.

Διὰ τί ἡ πίστις τοῦ Ἀβραὰμ ἐλογίσθη ἐνώπιον τοῦ Θεοῦ δικαιοσύνη, ἤγουν κατόρθωμα καὶ πλήρωμα πασῶν τῶν ἀρετῶν; διότι, κἂν ἑκατονταέτης ἦν, κἂν νενεκρωμένον ἦν τὸ σῶμα αὐτοῦ, κἂν ἐγίνωσεν, ὅτι καὶ τῆς Σάῤῥας ἡ μήτρα διὰ τὸ γῆρας καὶ τὴν στείρωσιν ἦν παντελῶς ἀνεπιτήδειος πρὸς σύλληψιν, ὅμως οὐδόλως ἐδίστασεν, ὅτι δύναται γενέσθαι πατήρ· ἐπάλαιε μὲν καὶ ὁ νοῦς αὐτοῦ καὶ ἡ αἴσθησις μετὰ τῆς πίςεως, πλήν, ἐπειδὴ ἡ πίστις ἦν ἰσχυροτέρα, ἐνίκα τοῦ νοὸς τοὺς λογισμούς, καὶ ἐθριάμβευε κατὰ τῶν προσβολῶν τῶν αἰσθήσεων· ὅθεν οὐδὲ τοῦ νοὸς αὐτοῦ τὴν κρίσιν ἤκουσεν ὁ Ἀβραάμ, οὐδὲ ὑπὸ τῆς παραςάσεως τῶν αἰσθήσεων αὐτοῦ ἐπείσθη, ἀλλὰ στερεῶς καὶ ἀδιστάκτως ἐπίστευσεν, ὅτι δυνατός ἐστιν ὁ Θεός πληρῶσαι τὴν ἑαυτοῦ ὑπόσχεσιν· « Καὶ μὴ ἀσθενήσας τῇ » πίστει, οὐ κατενόησε τὸ ἑαυτοῦ σῶμα ἤδη » νενεκρωμένον, ἑκατονταέτης που ὑπάρ» χων, καὶ τὴν νέκρωσιν τῆς μήτρας Σάῤ» ῥας· εἰς δὲ τὴν ἐπαγγελίαν τοῦ Θεοῦ οὐ » διεκρίθη τῇ ἀπιστίᾳ ἀλλ' ἐνεδυναμώθη » τῇ πίστει, δοὺς δόξαν τῷ Θεῷ· καὶ πλη» ροφορηθείς, ὅτι, ὃ ἐπήγγελται, δυνατός » ἐστι καὶ ποιῆσαι· διὸ καὶ ἐλογίσθη αὐτῷ » εἰς δικαιοσύνην » (2).

Πρὸς τούτοις διὰ τί προσκλαίεσαι, ὡς μὴ δυνάμενος κατανοῆσαι, ὅσα ἡ πίστις διδάσκει περὶ τοῦ μυστηρίου τῆς θείας εὐχαριστίας; κατανοεῖς ἆρά γε, ὅσα βλέπεις, καὶ ἀκούεις, καὶ ψηλαφᾷς; πολλὰ ὀλίγα, καὶ αὐτὰ ἀτελῶς· καταλαμβάνεις ἆρά γε, πῶς ὁ ἄρτος, καὶ ὁ οἶνος, καὶ τὰ βρώματα καὶ πόματα, δι' ὧν τρέφεσαι, μεταβάλλονται τῇ δυνάμει τοῦ στομάχου εἰς χυλόν, καὶ αἷμα, καὶ ζωτικὸν πνεῦμα, καὶ σπέρμα, καὶ χολήν, καὶ σίελον, καὶ ἰχῶρα, καὶ φλέβας, καὶ ἀρτηρίας, καὶ νεῦρα, καὶ κρέας, καὶ ὀστέα, καὶ εἰς τὰ λοιπά, ὅσα τρέφουσι, καὶ αὐξάνουσι, καὶ διατηροῦσι πάντα τὰ μέρη καὶ μέλη τοῦ σώματός σου; Κατανοεῖς ἆρά γε, τί ἐστιν ἡ μνήμη, καὶ πῶς μνημονεύει ὁ ἄνθρωπος τόσας ὑποθέσεις καὶ ἱστορίας, καὶ τόσας λέξεις διαφόρων γλωσσῶν, καὶ τόσους τεχνῶν καὶ ἐπιστημῶν κανόνας; ἢ πῶς συνίσταται ὁ λόγος εἰς τὸν νοῦν σου, καὶ καταβαίνει εἰς τὸ στόμα σου, καὶ ἐναρθροῦται, καὶ προφέρεται, καὶ ἠχεῖ, καὶ ἀκούεται; ἢ πῶς, ἅμα ἠθέλησας κινῆσαι τὴν γλῶσσαν, ἢ τὴν χεῖρα, ἢ τὸν πόδα, ἢ ἄλλο τι μέλος, καὶ εὐθὺς ἐκινήθη, καθὼς ἠθέλησας; Καταλαμβάνεις τὴν φύσιν, τὴν γέννησιν, τὴν αὔξησιν, τὴν διατήρησιν, τὴν φθορὰν ἑνὸς μύρμηκος, ἑνὸς χόρτου, ἑνὸς ἄνθους; οὐδόλως· ἐὰν οὖν οὐ κατανοῇς ταῦτα τὰ φυσικά, καὶ ὁρατά, καὶ ψηλαφώμενα, πῶς δύνασαι κατανοῆσαι τὰ ὑπὲρ τοὺς νόμους τῆς φύσεως, τὰ ἀνώτερα τῶν αἰσθήσεων, τὰ διὰ τῆς ἀοράτου καὶ παντοκρατορικῆς τοῦ Θεοῦ δυνάμεως ἐνεργούμενα καὶ τελειούμενα;

Ἀλλὰ διὰ τί, λέγεις, ἐποίησεν ὁ Θεὸς τὸν νοῦν τοῦ ἀνθρώπου τόσον μικρὸν καὶ

(1) Ἑβρ. 11, 1. (2) Ῥωμ. 4, 19—22.

στενόν, ὥστε τὰ μὲν κατὰ φύσιν πολλὰ ἀτελῶς, τὰ δὲ ὑπὲρ φύσιν παντελῶς οὐ κατανοεῖ; ὤ! τοῦτο τὸ ζήτημα ὑπερβαίνει τῶν ζητημάτων τὰ ὅρια, καὶ ἔστιν αὐθάδεια ἀσύνετος καὶ ἄλογος· ζητεῖς μαθεῖν τὸν σκοπὸν τοῦ Κυρίου, ἀλλὰ « Τίς ἔγνω » τὸν νοῦν Κυρίου; ἢ τίς σύμβουλος αὐτοῦ » ἐγένετο » (1); τοῦτό ἐστι ταὐτόν, ὥσπερ ἂν εἰ ἠρώτας, διὰ τί ἐποίησεν ὁ Θεὸς τοὺς λίθους ἀναισθήτους, καὶ τὰ κτήνη ἄλογα, καὶ τὰ πετεινὰ πτερωτά, καὶ τὰ ἑρπετὰ ἄποδα; καὶ διὰ τί ἄλλα μὲν ἄνθη ἐποίησεν ὁ Θεὸς εὐώδη, ἄλλα δὲ δυσώδη, καὶ ἄλλους μὲν καρποὺς γλυκεῖς, ἄλλους δὲ πικρούς; διότι οὕτως ἠθέλησε· « Σὺ τίς εἶ, ὁ ἀνταποκρινόμενος τῷ Θεῷ; μὴ ἐρεῖ τὸ πλά« σμα τῷ πλάσαντι, τί με ἐποίησας οὕτως; » ἢ οὐκ ἔχει ἐξουσίαν ὁ κεραμεὺς τοῦ πη» λοῦ, ἐκ τοῦ αὐτοῦ φυράματος ποιῆσαι ὃ » μὲν εἰς τιμὴν σκεῦος, ὃ δὲ εἰς ἀτιμίαν »(2); Παντοῖα ποιήματα ἐδημιούργησεν ὁ Θεός, ἐνέθηκε δὲ εἰς τὸ καθὲν χαρακτηριστικὰ ἰδιώματα, καὶ ἰδιαιτάτους ὅρους· χαρακτὴρ τοῦ ἀνθρώπου ἐστὶν ἡ λογικὴ δύναμις, ἥτις ἔχει μέτρα κατανοήσεως, περιωρισμένα καὶ ἀνυπέρβατα. Ἐὰν ὁ ἄνθρωπος κατενόει ἐντελῶς πάντα τὰ θεῖα καὶ ἀνθρώπινα πράγματα, ἡ λογικὴ αὐτοῦ δύναμις ἦν ἀπεριόριστος, διὸ οὐκ ἦν ἄνθρωπος, ἀλλ' ἄλλο τι κτίσμα, διαφέρον τοῦ ἀνθρώπου· καθὼς καὶ ὁ λίθος οὐκ ἦν λίθος, ἐὰν εἶχεν αἴσθησιν, καὶ τὸ ἑρπετὸν οὐκ ἦν ἑρπετόν, ἐὰν εἶχε πόδας· ἐὰν ὁ ἄνθρωπος κατενόει πάντα τὰ περὶ τοῦ Θεοῦ, οὐκ ἦν ἄνθρωπος ἀλλὰ Θεός.

Ἐπειδὴ οὖν, ὦ ἄνθρωπε, τοιοῦτος ἐπλάσθης ὑπὸ τοῦ ποιητοῦ σου Θεοῦ, μὴ ἐξετάζῃς τὰ ὑπὲρ τὴν δύναμίν σου, ἀλλὰ πίστευε εἰς τὸν Θεὸν ἐξ ὅλης τῆς καρδίας σου· οὐδεμίαν χρείαν ἔχεις τῆς γνώσεως τῶν μυστηριωδῶν καὶ κεκρυμμένων· « Χαλεπώ» τερά σου μὴ ζήτει, καὶ ἰσχυρότερά σου » μὴ ἐξέταζε· ἃ προσετάγη σοι, ταῦτα δια» νοοῦ· οὐ γάρ ἐστί σοι χρεία τῶν κρυ» πτῶν » (3). Ἐὰν ἐξετάζῃς τὰ θεῖα, ἵνα καταλάβῃς τό, πῶς γίνονται, οὐ μόνον οὐδὲν ὠφελεῖσαι, ἀλλὰ καὶ βλάπτεις καθ' ὑπερβολὴν τὴν ψυχήν σου, ἐκπίπτων ἐκ τῆς πίστεως· « Καταβάς, εἶπεν ὁ Θεὸς εἰς τὸν » Μωϋσῆν, διαμάρτυραι τῷ λαῷ, μήποτε » ἐγγίσωσι πρὸς τὸν Θεὸν κατανοῆσαι, καὶ » πέσωσιν ἐξ αὐτῶν πλῆθος » (4). Ἐὰν πιστεύῃς ἀνεξετάστως εἰς τὸν λόγον τοῦ Θεοῦ, καὶ γίνεσαι ἐνώπιον αὐτοῦ ἁπλοῦς, ὡς τὸ κτῆνος, τὸ μηδὲν ἐρευνῶν, μένεις διαπαντὸς ἡνωμένος μετ' αὐτοῦ· αὐτὸς δὲ κρατῶν τὴν δεξιάν σου χεῖρα, ὁδηγεῖ σε ἐν τῇ ὁδῷ τῶν ἁγίων αὐτοῦ ἐντολῶν, καὶ ὑποδέχεταί σε ἐν τῇ θείᾳ αὐτοῦ δόξῃ· « Κἀγὼ ἐξουδενωμέ» νος, ἔλεγεν ὁ ἅγιος προφήτης Δαβίδ, καὶ » οὐκ ἔγνων· κτηνώδης ἐγενόμην παρὰ σοί, » κἀγὼ διὰ παντὸς μετὰ σοῦ· ἐκράτησας » τῆς χειρὸς τῆς δεξιᾶς μου· ἐν τῇ βουλῇ » σου ὡδήγησάς με, καὶ μετὰ δόξης προ» σελάβου με » (5).

Ἐξετάζετε, ἀδελφοί μου, πᾶσαν ἡμέραν, καὶ ἐρευνᾶτε, ὅσον θέλετε, οὐχὶ τό πῶς ὁ ἄρτος καὶ ὁ οἶνος μεταβάλλονται διὰ τῆς εὐλογίας εἰς τὸ σῶμα καὶ αἷμα τοῦ Ἰησοῦ Χριστοῦ, ἀλλὰ τό, πόσον ἀναγκαία ἐστὶ διὰ τὴν σωτηρίαν τῆς ψυχῆς ἡμῶν ἡ μετάληψις τούτου τοῦ ἁγιωτάτου μυστηρίου· ἐρευνᾶτε ἐπιμελῶς, οὐχὶ πῶς γίνονται εἰς τὸ μυστήριον τῆς θείας εὐχαριστίας τὰ μυστηριώδη, καὶ ὑπὲρ κατάληψιν ἔργα, ἀλλὰ

(1) Ῥωμ. 11, 34. (2) Αὐτ. 9, 20, 21. (3) Σειρ. 3, 21, 22. (4) Ἐξ. 19, 21. (5) Ψαλμ. 72, 22, 23, 24.



τό, πόσον ἀναγκαῖόν ἐστιν, ἵνα μὴ ἀναξίως, ἀλλ' ἀξιοπρεπῶς αὐτὸ μεταλάβωμεν· ἀναγινώσκετε συχνάκις τὰς Θείας Γραφάς, καὶ περιεργάζεσθε, πόσα διέταξεν ὁ Θεὸς περὶ τούτου τοῦ ὑπερφυοῦς μυστηρίου· ἡ τοιαύτη ἔρευνα πολὺ κέρδος, καὶ μεγάλην προξενεῖ τὴν ψυχικὴν ὠφέλειαν.

Ἀνοίγω τὴν Παλαιὰν καὶ Νέαν Διαθήκην, καὶ βλέπω εἰς τὴν Παλαιὰν ἐν τῇ περὶ τοῦ πάσχα νομοθεσίᾳ πρόβατον τέλειον, ἄρσεν, ἐνιαύσιον, ἐσφαγμένον (1)· τοῦτό ἐστιν ὁ τύπος τοῦ τεθυμένου σώματος τοῦ Ἰησοῦ Χριστοῦ, ὅστις κατὰ τὴν προφητείαν τοῦ Ἡσαΐου· « Ὡς πρόβατον ἐπὶ » σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ » κείροντος ἄφωνος » (2)· ἐν τῇ Παλαιᾷ ἀναγινώσκω πρόσταγμα· « Λαβέτωσαν » ἕκαστος πρόβατον κατ' οἴκους πατριῶν, » ἕκαστος πρόβατον κατ' οἰκίαν· καὶ σφά» ξουσιν αὐτό· καὶ φάγονται τὰ κρέα· καὶ » λήψονται ἀπὸ τοῦ αἵματος, καὶ θήσουσιν » ἐπὶ τῶν δύο σταθμῶν, καὶ ἐπὶ τὴν φλιάν, » ἐν τοῖς οἴκοις, ἐν οἷς ἐὰν φάγωσιν αὐτὰ » ἐν αὐτοῖς » (3)· πρόσταγμα ἀναγινώσκω καὶ ἐν τῷ Εὐαγγελίῳ· « Λάβετε, φάγετε· » τοῦτό ἐστι τὸ σῶμά μου· πίετε ἐξ αὐτοῦ » πάντες· τοῦτο γάρ ἐστι τὸ αἷμά μου » (4)· διάταξιν ἑτοιμασίας βλέπω ἐν τῇ Παλαιᾷ Διαθήκῃ « Οὕτω δὲ φάγεσθε αὐτό· αἱ ὀσφύες » ὑμῶν περιεζωσμέναι » (5)· τοῦτο σύμβολόν ἐστι τῆς ἀνδρείας καὶ σωφροσύνης « καὶ » τὰ ὑποδήματα ἐν τοῖς ποσὶν ὑμῶν »· αἴνιγμά ἐστι τοῦτο, σημαῖνον τὸ πρόθυμον τῆς γνώμης πρὸς τὸ περιπατεῖν τὴν ὁδὸν τῶν θείων ἐντολῶν, καὶ « Πατεῖν ἐπάνω » ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν » δύναμιν τοῦ ἐχθροῦ (6). Καὶ αἱ βακτηρίαι » ὑμῶν ἐν ταῖς χερσὶν ὑμῶν »· τύπος τοῦτο τῆς εἰς τὴν πίστιν καὶ ἀρετὴν στερεότητος· « Καὶ ἔδεσθε αὐτὸ μετὰ σπουδῆς· πάσχα » ἐστὶ Κυρίῳ »· τὴν προθυμίαν δηλοῖ τοῦτο καὶ τὴν χρεωστουμένην ζέσιν καὶ εὐλάβειαν ὑπὲρ τῆς μεταλήψεως τῆς θείας εὐχαριστίας· « Καὶ γὰρ τὸ πάσχα ἡμῶν ὑπὲρ » ἡμῶν ἐτύθη Χριστός » (7)· διάταξιν ἑτοιμασίας βλέπω καὶ εἰς τὰς ἐπιστολὰς τοῦ Παύλου μετὰ φοβερισμῶν μεγάλων· « Δο» κιμαζέτω δὲ ἄνθρωπος ἑαυτόν, καὶ οὕτως » ἐκ τοῦ ἄρτου ἐσθιέτω, καὶ ἐκ τοῦ ποτη» ρίου πινέτω· ὁ γὰρ ἐσθίων καὶ πίνων ἀ» ναξίως, κρίμα ἑαυτῷ ἐσθίει καὶ πίνει, μὴ » διακρίνων τὸ σῶμα τοῦ Κυρίου » (8). ἀκούω ἐν τῇ Παλαιᾷ καὶ τὴν φοβερὰν ἀπόφασιν κατ' ἐκείνου, ὅστις μὴ ἔχων νόμιμον ἐμπόδιον, οὐκ ἐποίει τὸ πάσχα, ἤγουν οὐκ ἔτρωγεν ἀπὸ τοῦ ἐσφαγμένου προβάτου· « Καὶ ἄνθρωπος, ὃς ἐὰν καθαρὸς ᾖ, » καὶ ἐν ὁδῷ μακρὰν οὐκ ἔστι, καὶ ὑστε» ρήσῃ ποιῆσαι τὸ πάσχα, ἐξολοθρευθήσε» ται ἡ ψυχὴ ἐκείνη ἐκ τοῦ λαοῦ αὐτῆς » (9)· τοῦτ' αὐτὸ ἀκούω καὶ ἐν τῇ Νέᾳ Διαθήκῃ « Ἀμήν, ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ φάγητε » τὴν σάρκα τοῦ Υἱοῦ τοῦ ἀνθρώπου, καὶ » πίητε αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν » ἑαυτοῖς » (10). Συμφωνία θαυμασιωτάτη τῶν δύο Διαθηκῶν, δηλωτικὴ τῆς ἀπ' αἰῶνος βουλῆς, καὶ τῆς διατακτικῆς τοῦ Θεοῦ προνοίας περὶ τούτου τοῦ ὑπερφυεστάτου μυστηρίου.

Ἀλλὰ διὰ τί καὶ διὰ τοῦ μωσαϊκοῦ νόμου καὶ διὰ τοῦ εὐαγγελικοῦ τόσην καταδίκην, ἤγουν ὄλεθρον ψυχῆς καὶ στέρησιν αἰωνίου ζωῆς, ὥρισεν ὁ Θεὸς κατὰ τοῦ μὴ μεταλαμβάνοντος τούτου τοῦ θείου μυστη-

(1) Ἐξ, 12, 5, 6. (2) Ἡσ. 53, 7. (3) Ἐξ. 12, 6—7. (4) Ματθ. 26, 26—28. (5) Ἐξ. 12, 11.
(6) Λουκ. 10, 19. (7) Α. Κορ. 5, 7. (8) Αὐτ. 11, 28, 29. (9) Ἀριθμ. 9, 13. (10) Ἰωάν. 6, 53.

ρίου; Διότι καθ' ὑπερβολὴν ἀγαπῶν ὁ Θεὸς τὸν ἄνθρωπον, θέλει, ἵνα συνηνωμένος μένη μετ' αὐτοῦ διὰ παντός· τοῦτο δὲ γίνεται διὰ τῆς μεταλήψεως τοῦ σώματος καὶ αἵματος τοῦ μονογενοῦς Υἱοῦ αὐτοῦ· « Ὁ » τρώγων μου τὴν σάρκα, καὶ πίνων μου » τὸ αἷμα, ἐν ἐμοὶ μένει, κἀγὼ ἐν αὐτῷ » (1)· ὅστις οὖν χωρὶς νομίμου αἰτίας φεύγει ταύτην τὴν μετάληψιν, ἐκεῖνος φανερόν ἐστιν, ὅτι ἀποστρέφεται τὴν μετὰ τοῦ Θεοῦ ἕνωσιν. Τίς δὲ οὐκ οἶδε, πόσον φοβερὰ καὶ φρικτή ἐστιν ἡ τοιαύτη ἁμαρτία; ἀνάλογος οὖν ἐστιν ἡ παίδευσις τῷ βάρει τοῦ ἁμαρτήματος· οὐ μόνον δὲ ἀναλογεῖ τῇ ἁμαρτίᾳ ἡ τιμωρία, ἀλλὰ καὶ ἐξ ἀνάγκης ἀκολουθεῖ εἰς τὸν μακρυνόμενον ἀπὸ τῆς τοῦ μυστηρίου μεταλήψεως· διότι ὁ Θεός ἐστιν ἡ σωτηρία τῶν ψυχῶν ἡμῶν, ὁ Θεός ἐστιν ἡ ζωὴ ἡ αἰώνιος· ὅστις οὖν ἀπέχει ἀπὸ τῆς μεταλήψεως τοῦ σώματος καὶ αἵματος τοῦ Κυρίου Ἰησοῦ. αὐτὸς ἑαυτῷ προξενεῖ τὴν τιμωρίαν, ἣν κατ' αὐτοῦ ὥρισεν ὁ Θεός· « Ὅτι ἰδοὺ οἱ μακρύνοντες ἑαυτοὺς » ἀπὸ σοῦ, ἀπολοῦνται » (2).

Ταῦτά εἰσιν, ἀδελφοί μου χριστιανοί, τὰ ἄξια ἐρεύνης καὶ ἐξετάσεως· διότι ἡ τούτων ἔρευνα διδάσκουσα τὰ ἀγνοούμενα μέν, ἀναγκαῖα δὲ πρὸς τὴν σωτηρίαν, ὁδηγεῖ πρὸς τὴν τοῦ χρέους ἡμῶν ἐκπλήρωσιν. Βλέπε δέ, πόσα ἐδίδαξεν ἡ προτεθεῖσα ἔρευνα· πρῶτον μὲν ἐφανέρωσεν, ὅτι ἐπειδὴ τὸ μυστήριον τῆς θείας εὐχαριστίας ἐστὶν ἀναγκαῖον διὰ τὴν σωτηρίαν, ἐκηρύχθη πρῶτον διὰ τύπων καὶ συμβόλων, ἔπειτα πράγματι καὶ ἀληθείᾳ ἐτελεσιουργήθη εἰς τὸ ἐν τῇ Σιὼν ἐστρωμένον ἀνώγαιον· δεύτερον, ὅτι, ἐὰν μὴ μεταλάβωμεν, οὐκ ἔχομεν σωτηρίας ἐλπίδα· τρίτον, ὅτι ὅστις τολμήσας κοινωνήσῃ τοῦ μυστηρίου χωρὶς τῆς πρεπούσης ἑτοιμασίας, ἐκεῖνος ὑπόδικος γίνεται τῆς αἰωνίου κολάσεως· τέταρτον, ὅτι ὁ ἀξίως μεταλαμβάνων τοῦ θείου σώματος καὶ αἵματος τοῦ Ἰησοῦ Χριστοῦ, ἐκεῖνος ἑνοῦται καὶ μένει μετ' αὐτοῦ, ἐκεῖνός ἐστιν ὁ κληρονόμος τῆς αἰωνίου ζωῆς καὶ μακαριότητος· « Ὁ τρώγων μου τὴν σάρκα, » καὶ πίνων μου τὸ αἷμα, ἔχει ζωὴν αἰώ» νιον. Ὁ τρώγων μου τὴν σάρκα, καὶ » πίνων μου τὸ αἷμα, ἐν ἐμοὶ μένει, κἀγὼ » ἐν αὐτῷ » (3).

Κύριε Ἰησοῦ Χριστέ, φιλανθρωπότατε καὶ πανοικτίρμων, γνωρίζω ἐγὼ ὁ τάλας τὸν ἄμετρον πλοῦτον τῆς χρηστότητός σου· θέλεις, ἵνα μεταλάβω τὸ πανάχραντον σῶμα καὶ αἷμά σου, ὅπως ἂν ἔχω ἐν τῇ ψυχῇ μου τῆς αἰωνίου ζωῆς τὸν ἀῤῥαβῶνα· πιστεύω ὅμως καὶ ὁμολογῶ, ὅτι σὺ εἶ ὁ Θεός, ὁ δημιουργὸς πάσης τῆς κτίσεως, ὁ παντοκράτωρ, ὁ παντεξούσιος· σὺ εἶ, ὃν πάντα φρίττει καὶ τρέμει ἀπὸ προσώπου τῆς δυνάμεώς σου· καὶ αὐτὰ δὲ τὰ καθαρώτατα καὶ ἅγια Σεραφὶμ οὐ τολμῶσιν ἐνατενίσαι καὶ ἰδεῖν τὸ θεῖόν σου πρόσωπον, ἀλλὰ φόβῳ καὶ τρόμῳ ἐνώπιόν σου παριστάμενα, καλύπτουσι τὰ ἑαυτῶν πρόσωπα, μὴ φέροντα τῆς θείας σου φωταυγίας τὴν λαμπρότητα· σὺ εἶ ὁ Θεός, ὁ μισῶν τὴν ἀνομίαν, καὶ ἀποστρεφόμενος τὴν ἁμαρτίαν· πῶς οὖν τολμήσω ὁ βεβορβορωμένος ὑποδεχθῆναί σε τὸν βασιλέα τῆς δόξης; φοβοῦμαι, μὴ καταφλεχθῶ ὡσεὶ κηρός, καὶ κατακαυθῶ ὡσεὶ χόρτος ὑπὸ τοῦ ἀστέκτου πυρὸς τῆς θεότητός σου. Θέλεις, ὦ ἅγιε τῶν ἁγίων, ἵνα μείνῃς μετ' ἐμοῦ· ἀλλὰ ποῦ; ποῦ εὑρί-

(1) Ἰωάν. 6, 56. (2) Ψαλμ. 72, 27. (3) Ἰωάν. 6, 54, 56.



σκεις ἐν ἐμοὶ τόπον, ἵνα κλίνῃς τὴν ἁγίαν σου κεφαλήν; εἰς τὸ στόμα μου; ἀλλ' αὐτὸ γέμει κατακρίσεως, ψεύδους, αἰσχρολογίας, ἀργολογίας· εἰς τὸν νοῦν μου; ἀλλ' αὐτός ἐστιν ἐργαστήριον πάντων τῶν πονηρῶν λογισμῶν· εἰς τὴν καρδίαν μου; ἀλλ' αὐτή ἐστι τὸ κατασκήνωμα πάσης πονηρᾶς ἐπιθυμίας· εἰς τὴν ψυχήν μου; ἀλλ' αὐτή ἐστι τὸ καταγώγιον πάσης ῥυπαρότητος καὶ ἀκαθαρσίας. « Ἐὰν μὴ φάγητε τὴν » σάρκα τοῦ Υἱοῦ τοῦ ἀνθρώπου, καὶ πίη» τε αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυ» τοῖς » (1)· τοῦτό ἐστιν ἡ ἀπόκρισίς σου, πολυεύσπλαγχνε λυτρωτά μου; Ἐγὼ λοιπόν, κἂν ἀνάξιος, αὐθαδιάζω καὶ μεταλαμβάνω· « Ὃς ἂν ἐσθίῃ τὸν ἄρτον τοῦτον, » ἢ πίνῃ τὸ ποτήριον τοῦ Κυρίου ἀναξίως, » ἔνοχος ἔσται τοῦ σώματος καὶ αἵματος » τοῦ Κυρίου· διὰ τοῦτο ἐν ὑμῖν πολλοὶ » ἀσθενεῖς καὶ ἄῤῥωστοι, καὶ κοιμῶνται » ἱκανοί » (2)· ταῦτα ἀποκρίνεσαι ζωοδότα διὰ τῆς φωνῆς τοῦ Ἀποστόλου σου; ἤγουν ὅτι, ἐὰν μεταλάβω ἀναξίως, ἀσθενῶ, καὶ ἀῤῥωστῶ, καὶ ἀποθνήσκω; οὐαί μοι τῷ παναθλίῳ. Ἐὰν μὴ μεταλάβω, θάνατος· ἐὰν μεταλάβω ἀναξίως, θάνατος· τί οὖν ποιήσω, πανοικτίρμων; « Δοκιμαζέτω δὲ » ἄνθρωπος ἑαυτόν » (3). Ἀκούετε, τί διορίζει ὁ παντελεήμων; δοκιμήν· ἡ δοκιμή ἐστιν ὁ τρόπος, δι' οὗ μεταλαμβάνομεν ἀξίως καὶ σωζόμεθα· ἡ δὲ δοκιμή ἐστι τελεία τῆς ἁμαρτίας ἀποχή, μετάνοια, ἐξομολόγησις, κατάνυξις, δάκρυα, νηστεία, προσευχή, ἐλεημοσύνη, πάσης ἀρετῆς κατόρθωμα· μετ' αὐτὴν τὴν δοκιμὴν πρόσελθε, λέγει ὁ Θεὸς διὰ στόματος τοῦ Ἀποσόλου, καὶ μετάλαβε. « Δοκιμαζέτω δὲ ἄν» θρωπος ἑαυτόν, καὶ οὕτως ἐκ τοῦ ἄρτου » ἐσθιέτω, καὶ ἐκ τοῦ ποτηρίου πινέτω » (4). Ὅστις τοιουτοτρόπως μεταλάβῃ, ἐκεῖνος μένει ἐν τῷ Χριστῷ, καὶ ὁ Χριστὸς μένει ἐν αὐτῷ, καὶ ἔχει ζωὴν αἰώνιον. Ἀμήν.

# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΗΝ ΠΡΟΣ

# ΦΙΛΙΠΠΗΣΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

## ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗ͂Ι ΚΥΡΙΑΚΗ͂Ι ΤΩΝ ΒΑΪΩΝ.

ΠΟΣΗ ἆρά γε χαρὰ καὶ εὐφροσύνη περιεκύκλωσε τὴν καρδίαν τῶν ἁγίων μαθητῶν καὶ Ἀποστόλων, ὅταν εἶδον τὸν Ἰησοῦν Χριστὸν ὡς τροπαιοῦχον θριαμβευτὴν μετὰ τοσαύτης μεγαλοπρεπεστάτης προπομπῆς εἰσερχόμενον εἰς τὴν ἁγίαν πόλιν Ἱερουσαλήμ; εἰς τὴν αὐτὴν πνευματικὴν χαρὰν προσκαλεῖ ὁ προφήτης Ζαχαρίας τὰ τέκνα τῆς Σιών, τοὺς ἀληθινοὺς δηλονότι υἱοὺς τῆς ἐπουρανίου Ἱερουσαλήμ, παραγγέλλων πρὸς

(1) Ἰωάν. 53. (2) Α'. Κορ. 11, 27, 30. (3) Αὐτ. 28. (4) Αὐτ 28.

αὐτούς, ἵνα περιχαρῶς κηρύττωσι τὴν εἰς τὰ Ἱεροσόλυμα πανυπερένδοξον εἴσοδον τοῦ Ἰησοῦ Χριστοῦ· « Χαῖρε, λέγει, σφόδρα, » θύγατερ Σιών, κήρυσσε θύγατερ Ἱερουσαλήμ· ἰδοὺ ὁ βασιλεύς σου ἔρχεταί σοι » δίκαιος καὶ σώζων· αὐτὸς πρᾳῢς καὶ ἐπιβεβηκὼς ἐπὶ ὑποζύγιον καὶ πῶλον νέον » (1). Ἐπειδὴ δὲ σήμερον ἡ ἀνάμνησις γίνεται ταύτης τῆς περιχαρεστάτης πανηγύρεως, διὰ τοῦτο ἡ πάνσεπτος τοῦ Χριστοῦ ἐκκλησία, εἰς τὴν χαρὰν ταύτην ἐπιβλέπουσα, προσήρμοσε τὰ πρὸς τοὺς Φιλιππησίους ἀναγνωσθέντα ἀποστολικὰ τοῦ θεσπεσίου Παύλου λόγια. Ἦσαν δὲ οἱ Φιλιππήσιοι ἀποικία τῶν Ῥωμαίων, τὴν Φιλίππων πόλιν κατοικοῦντες, ἥτις ἦν μία τῶν ἐν τῇ Μακεδονίᾳ μητροπόλεων· πρὸς αὐτοὺς δὲ ἔγραψεν ὁ Παῦλος, δέσμιος ὢν ἐν Ῥώμῃ, ἀποστείλας τὴν ἐπιστολὴν δι' Ἐπαφροδίτου, τοῦ τῆς ἐκκλησίας αὐτῶν προεστῶτος· ὅστις ἐπέμφθη μὲν ὑπ' αὐτῶν ἐν Ῥώμῃ πρὸς ἐπίσκεψιν τοῦ Παύλου, ἐπέστρεφε δὲ πάλιν πρὸς αὐτούς. Περιέχει δὲ ἡ ἐπιστολὴ πρὸς τοῖς ἄλλοις καὶ τῆς χαρᾶς τὴν ἐπαγγελίαν· « Χαίρετε, λέγει, ἐν Κυρίῳ πάντοτε· πάλιν ἐρῶ, χαίρετε » (2). Ἁρμόζει δὲ ἀληθῶς τὴν σήμερον ἡμέραν τούτου τοῦ ἀποστολικοῦ λόγου τὸ κήρυγμα. Χριστιανοὶ εὐσεβεῖς καὶ ὀρθόδοξοι, ὑμεῖς ἐστε οἱ υἱοὶ τῆς ἁγίας Σιών, καὶ τὰ τέκνα τῆς ἐπουρανίου Ἱερουσαλήμ· ὅσοι οὖν εἰς τὰς παρελθούσας τῆς νηστείας ἡμέρας νηστεύσαντες, ἐνικήσατε τῆς σαρκὸς τὰ πάθη, βαστάζετε δὲ νῦν τὰ βαΐα, τὰ σύμβολα τῆς νίκης τῶν οἰκιακῶν ἐχθρῶν· ὅσοι διὰ τὴν εἰς Χριστὸν ὑπακοὴν καὶ εὐλάβειαν ἐῤῥίψατε κάτω εἰς τὴν γῆν τὰ ἱμάτια τοῦ παλαιοῦ ἀνθρώπου, ἤγουν τῶν ἁμαρτημάτων τὴν ἀκαθαρσίαν (3)· ὅσοι κατέχετε ἐν ταῖς χερσὶν ὑμῶν τοὺς κλάδους τῶν καλῶν ὑμῶν ἔργων· « Χαίρετε ἐν Κυρίῳ πάντοτε, πάλιν ἐρῶ χαίρετε » (4). Βοήσατε καὶ ὑμεῖς, ὡς οἱ ὄχλοι, οἱ προάγοντες καὶ ἀκολουθοῦντες τὸν Ἰησοῦν Χριστόν, ὅτε ἤρχετο εἰς τὴν Ἱερουσαλήμ· βοήσατε κράζοντες· « Ὡσαννὰ τῷ υἱῷ Δαβίδ· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι » Κυρίου· ὡσαννὰ ἐν τοῖς ὑψίστοις » (5). Ἔρχεται αὐτὸς βασιλεύς, δίκαιος, σώζων, καὶ πρᾳΰς, ἵνα εἰσέλθῃ οὐχὶ εἰς τὸ ἱερὸν τὸ νομικόν, ἀλλ' εἰς τὸν ναὸν τῆς ψυχῆς ὑμῶν· Ὑμεῖς γὰρ ναὸς Θεοῦ ἐστε ζῶντος· καθὼς εἶπεν ὁ Θεός. Χαίρετε οὖν ἐν Κυρίῳ » πάντοτε· πάλιν ἐρῶ, χαίρετε » (6). Ἵνα δὲ ἡ τοιαύτη χαρὰ μένῃ ἐν ὑμῖν ἐστηριγμένη καὶ ἀκλόνητος, προσεκτικῶς ἀκούσατε τὴν ἑρμηνείαν τῶν ἀναγνωσθέντων ἀποστολικῶν λόγων· διότι ἐξ αὐτῆς βλέπετε, ποία ἐστὶν ἡ πηγή, ἐξ ἧς πηγάζει ἡ χαρὰ ἡ πνευματικὴ καὶ ἀδιάκοπος.

## Ἀδελφοί, χαίρετε ἐν Κυρίῳ πάντοτε· πάλιν ἐρῶ, χαίρετε (7).

Συνενώσας τό, « χαίρετε », μετὰ τοῦ, « ἐν Κυρίῳ », ἐφανέρωσε διὰ τούτου, ὅτι οὐ λαλεῖ περὶ τῆς κοσμικῆς χαρᾶς, ἣν αἰσθανόμεθα, ὅταν ἀπολαμβάνωμεν τοῦ κόσμου τούτου τὰ ἀγαθά, ἀλλὰ περὶ ἐκείνης τῆς πνευματικῆς χαρᾶς, ἥτις ἔρχεται εἰς τὴν ψυχὴν ἡμῶν μετὰ τὴν νίκην τῆς ἁμαρτίας, καὶ τὴν κατόρθωσιν τῆς ἀρετῆς· ἐδιπλασίασε δὲ τὴν φωνήν, « χαίρετε », ἢ διὰ περισσοτέραν τοῦ λόγου ἔμφασιν καὶ δύναμιν, διότι καὶ τό, « εὖγε, εὖγε » (8) καὶ τό, « γένοιτο, γένοιτο » (1), καὶ τό, « ἀμήν, ἀμήν » (2), ἐμφαντικώτερά εἰσι, καὶ μετὰ μείζονος δυνάμεως εἰς τὰς ἀκοὰς προσβάλλουσιν· ἢ ἐπειδὴ ἡ φύσις διὰ τῶν ἀῤῥωστημάτων, καὶ ἡ προαίρεσις διὰ τῆς κακίας προξενοῦσι τὰς θλίψεις, ἐπανέλαβε δὶς τό, « χαίρετε », ἵνα τὸ μὲν ἀντιφέρηται εἰς τὰς ἐκ τῆς φύσεως θλίψεις, τὸ δέ, εἰς τὰς ἐκ τῆς προαιρέσεως. Ἵνα δὲ δείξῃ, ὅτι τῆς πνευματικῆς χαρᾶς ῥίζα καὶ μήτηρ εἰσὶ τῶν ἀρετῶν τὰ κατορθώματα, ἐπεσύναψεν εἰς τό, χαίρετε », τῆς ἀρετῆς τὰ ἔργα, λέγων·

(1) Ζαχ. 9, 9. (2) Φιλιπ. 4, 4. (3) Ματθ. 10, 36. (4) Ἐφεσ. 4. 22. (5) Ματθ. 21, 9. (6) Β'. Κορ. 6, 16. (7) Φιλιπ. 4, 4. (8) Ψαλ. 34, 25.



## Τὸ ἐπιεικὲς ὑμῶν γνωσθήτω πᾶσιν ἀνθρώποις· ὁ Κύριος ἐγγύς (3).

Τό, « ἐπιεικές », ἐστι πολυσήμαντον· διότι καὶ τὸ ἀγαθὸν ἦθος σημαίνει, καὶ τὸ μέτριον, καὶ τὸ ἥμερον, καὶ τὸ πρᾷον, καὶ τὸ ταπεινόν, καὶ τὸ ἀόργητον, καὶ τὸ παραχωρητικόν, καὶ τὸ ἀνεξίκακον· οὐδόλως δὲ σφάλλει, ὅστις νομίζει, ὅτι τό, ἐπιεικές », πᾶσαν ἀρετὴν σημαίνει· μηδεὶς δὲ σκανδαλιζέσθω, ἀκούων τὸν Ἀπόστολον, λέγοντα· « Τὸ ἐπιεικὲς ὑμῶν γνωσθήτω » πᾶσιν ἀνθρώποις », στοχαζόμενος, ὅτι διὰ τούτου αὐτὸς προτρέπει πρὸς ἐπίδειξιν καὶ φιλοδοξίαν· διότι ὁ λόγος οὗτος ὅμοιός ἐστι τῷ τοῦ Ἰησοῦ Χριστοῦ, ὅστις εἶπεν « Οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν » ἀνθρώπων » (4)· καθὼς δὲ ὁ λόγος οὗτος οὐκ εἶχε σκοπὸν τὴν φιλοδοξίαν, ἀλλὰ τὴν δόξαν τοῦ Θεοῦ, καὶ τὴν ὠφέλειαν τῶν ἀνθρώπων· « Ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ » ἔργα, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν » ἐν τοῖς οὐρανοῖς »· οὕτω καὶ ὁ λόγος τοῦ Παύλου εἰς τὴν δόξαν τοῦ Θεοῦ ἀπέβλεπε, καὶ εἰς τὴν τῶν ἀνθρώπων ἐπιστροφήν. Βλέπε δὲ τῶν λόγων τὴν ὁμοιότητα· ὁ Χριστὸς ὠνόμασε τὴν ἀρετὴν φῶς· ὁ δὲ Παῦλος ἐκάλεσεν αὐτήν, « ἐπιεικές »· οὐκ εἶπεν ὁ Χριστός, σπουδάσατε, ἵνα λάμψῃ τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ἀλλὰ « Λαμψάτω, εἶπε, τὸ φῶς ὑμῶν », αὐτὸ ἀφ' ἑαυτοῦ δηλονότι λαμψάτω τῆς ἀρετῆς τὸ φῶς, ἀφ' οὗ ὑμεῖς κατορθώσητε τὰ καλὰ ἔργα· ὁμοίως καὶ ὁ Παῦλος οὐκ εἶπε, φροντίσατε, ἵνα γνωρίσωσι πάντες οἱ ἄνθρωποι, ὅτι ἐστὲ ἐπιεικεῖς, ἀλλὰ « Γνωσθήτω, εἶπε, » τὸ ἐπιεικὲς ὑμῶν πᾶσιν ἀνθρώποις »· ὥσπερ ἂν εἰ ἔλεγε, γνώτωσαν πάντες οἱ ἄνθρωποι τὴν ἐπιείκειαν ὑμῶν, ἀφ' οὗ ὑμεῖς κατασταθῆτε ἐπιεικεῖς. Πρέπον δὲ καὶ ἁρμόδιον τὸ ἐπιεικὲς ἦθος εἰς τοὺς μαθητὰς τοῦ πρᾴου καὶ ταπεινοῦ τῇ καρδίᾳ, ἔτι δὲ καὶ τὸ κραταιότατον ὅπλον ἐναντίον εἰς τὰς ἐπιβουλὰς τῶν διωκόντων καὶ βλαπτόντων ἡμᾶς ἐχθρῶν (5). Ὅσον δὲ μεγάλη τῆς ἐπιεικείας ἡ ἀρετή, τόσον ἐστὶ καὶ δυσκατόρθωτος· διὰ τοῦτο δὲ ὁ θεῖος Ἀπόστολος ἐπιθαῤῥύνει πρὸς τὴν κατόρθωσιν αὐτῆς, λέγων· « Ὁ Κύριος ἐγγύς ». Ἄνθρωπε, λέγει, μὴ διστάσῃς, ἀλλ' ἔχε θάῤῥος, διότι ὁ Κύριός σου πλησίον σου ἐστίν· αὐτὸς βοηθεῖ σοι, ἵνα καὶ εἰσάξῃς εἰς τὴν καρδίαν σου τὴν ἐπιείκειαν. καὶ μὴ σαλεύσῃς ἀπ' αὐτῆς· τοῦτ' αὐτὸ ἔλεγεν εἰς ἑαυτὸν καὶ ὁ ἅγιος προφήτης Δαβίδ· « Προωρώμην τὸν Κύριον ἐνώπιόν μου διὰ παντός, ὅτι ἐκ δεξιῶν μου ἐστίν, ἵνα μὴ σαλευθῶ » (6). Ἁρμόζει δὲ τό, « Ὁ Κύριος ἐγγύς, οὐ μόνον εἰς τὰ προλαβόντα, ἀλλὰ καὶ εἰς τὰ ἑπόμενα ἀποστολικὰ λόγια.

(1) Ψαλ. 40, 13. (2) Ἰωάν. 1, 52. (3) Φιλιπ. 4, 5. (4) Ματθ. 5, 16. (5) Αὐτ. 11, 29. (6) Ψαλ. 15, 8.

*Μηδὲν μεριμνᾶτε· ἀλλ' ἐν παντὶ τῇ προσευχῇ καὶ τῇ δεήσει μετὰ εὐχαριστίας τὰ αἰτήματα ὑμῶν γνωριζέσθω πρὸς τὸν Θεόν* (1).

Τί διαφέρει ἡ προσευχὴ τῆς δεήσεως; διὰ μὲν τῆς προσευχῆς ζητοῦμεν παρὰ Θεοῦ δόσιν τινὸς ἀγαθοῦ· « προσευχή, εἶπεν εἷς τῶν ἁγίων, ἐστὶν αἴτησις ἀγαθοῦ παρὰ τῶν εὐσεβῶν εἰς Θεὸν γινομένη » (2) διὰ δὲ τῆς δεήσεως ζητοῦμεν παρὰ Θεοῦ τὴν τῶν θλίψεων ἀπολύτρωσιν· διότι ἡ λέξις, δέησις, παράγεται ἀπὸ τοῦ, δέους, ἤγουν τοῦ φόβου· ὁ φόβος δὲ γεννᾶται ἐκ τῶν θλιβερῶν περιστάσεων, ἐν αὐταῖς δὲ εὑρισκόμενοι, ζητοῦμεν τὴν ἀπ' αὐτῶν ἀπαλλαγήν. Παραγγέλλει δὲ ὁ Ἀπόστολος, ἵνα, εἴτε διὰ προσευχῆς, εἴτε διὰ δεήσεως παριστῶμεν τὰ ζητήματα ἡμῶν πρὸς τὸν Θεόν, ποιῶμεν τοῦτο μετ' εὐχαριστίας, ἤγουν προσφέροντες αὐτῷ τὴν εὐχαριστίαν ὑπὲρ τῶν προτέρων αὐτοῦ εὐεργετημάτων· εἴτε ζητεῖς λέγει, παρὰ Θεοῦ τὴν ἀπόλαυσίν τινος ἀγαθοῦ, εἴτε τὴν ἀπαλλαγὴν ἀπὸ τῶν κυκλούντων σε δυστυχημάτων, σύναπτε μετὰ τῆς ἱκεσίας σου τὴν πρὸς τὸν Θεὸν εὐχαριστίαν. Ὡς φαίνεται ἡ προσευχὴ καὶ ἡ δέησις, ἡ μετὰ τῆς πρὸς Θεὸν εὐχαριστίας τελουμένη, ἐστὶ δραστήριος καὶ ἀρεστὴ εἰς τὸν Θεὸν καὶ εὐπρόσδεκτος. Σημείωσαι δὲ τὴν σειρὰν καὶ συνάφειαν τῶν προκειμένων ἀποστολικῶν λόγων μετὰ τῶν προλαβόντων. Προλαβὸν παρήγγειλε τῆς ἀρετῆς τὴν κατόρθωσιν, ὀνομάσας αὐτὴν ἐπιείκειαν· γνωρίζων δὲ τὴν δυσκολίαν τοῦ ἔργου, εἶπεν, «Ὁ Κύριος ἐγγύς », βοηθῶν δηλονότι, καὶ συνεργῶν, καὶ ἀντιλαμβανόμενος· νῦν δὲ καὶ τὸν τρόπον δηλοποιεῖ, δι' οὗ ἀπολαμβάνομεν τῆς τοῦ Θεοῦ βοηθείας καὶ ἀντιλήψεως· ὁ τρόπος δέ ἐστιν ἡ μετ' εὐχαριστίας προσφερομένη εἰς τὸν Θεὸν προσευχὴ καὶ ἡ δέησις· ὁ Κύριος, λέγει, πλησίον ὑμῶν ἐστι, διὸ « Μηδὲν μεριμνᾶτε »· σύμφωνον τοῦτο, τῷ, « Μὴ μεριμνᾶτε τῇ ψυχῇ ὑμῶν τί φάγητε, καὶ τί πίητε· μηδὲ τῷ σώματι ὑμῶν, τί ἐνδύσησθε » (3)· « ἀλλ' ἐν παντί », εἰς πάντα καιρὸν δηλαδὴ καὶ ὑπόθεσιν, « τῇ προσευχῇ καὶ τῇ δεήσει μετ' εὐχαριστίας τὰ αἰτήματα ὑμῶν γνωριζέσθω πρὸς τὸν Θεόν », τουτέστι διὰ προσευχῆς καὶ δεήσεως, συννημένης μετὰ εὐχαρισίας, ζητεῖτε παρὰ τοῦ Θεοῦ τὰ ἀναγκαῖα ζητήματα.

*Καὶ ἡ εἰρήνη τοῦ Θεοῦ ἡ ὑπερέχουσα πάντα νοῦν, φρουρήσει τὰς καρδίας ὑμῶν καὶ τὰ νοήματα ὑμῶν ἐν Χριστῷ Ἰησοῦ* (4).

Ἰδοὺ τὸ βραβεῖον τῶν ἐπιεικῶν ἀνθρώπων, τῶν μηδὲν μεριμνώντων, ἀλλ' εἰς πᾶσαν περίστασιν μετ' εὐχαριστίας προσευχομένων τῷ Θεῷ, καὶ δεομένων, καὶ αἰτούντων τὴν παρ' αὐτοῦ βοήθειαν καὶ ἀντίληψιν· ἡ εἰρήνη τοῦ Θεοῦ ἐστι τὸ βραβεῖον, ἥτις διαφυλάττει τὰς καρδίας καὶ τὰ νοήματα ἡμῶν τῇ τοῦ Ἰησοῦ Χριστοῦ χάριτι, τὰς μὲν καρδίας ἀπὸ τῶν πονηρῶν ἐπιθυμιῶν, τὰ δὲ νοήματα ἀπὸ τῶν αἰσχρῶν ἐνθυμημάτων. Ποία δέ ἐστιν ἡ τοιαύτη εἰρήνη, ἡ πάντα νοῦν ὑπερέχουσα; αὐτή ἐστιν ἡ εἰρήνη, ἣν ὁ Θεὸς δίδωσιν εἰς τοὺς μηδὲν μεριμνῶντας, ἀλλ' ἐπ' αὐτὸν ἐλπίζοντας, καὶ παρ' αὐτοῦ ζητοῦντας τὴν τῶν ζητημάτων αὐτῶν ἐκπλήρωσιν· καὶ ὑπερέχει μὲν πάντα νοῦν ἡ τοιαύτη εἰρήνη, ἐπειδὴ « Τῆς εἰρήνης αὐτοῦ οὐκ ἔστιν ὅριον » (1)· τὰ δὲ ἀπεριόριστα εἰς οὐδένα νοῦν χωροῦσιν· εἰρηνεύει δὲ καὶ τὴν καρδίαν καὶ τά νοήματα τῶν φιλαρέτων ἀνθρώπων ἀπὸ τῆς τῶν παθῶν ταραχῆς. Μήπως δὲ εἰρήνην, πάντα νοῦν ὑπερέχουσαν, ὠνόμασεν αὐτὸν τὸν Θεόν, ὅστις καὶ « Ἄρχων εἰρήνης » (2) ἐστί, καὶ ἀκατανόητος καὶ ἀκατάληπτος· αὐτὸς δὲ ὡς φρουρὸς ἀκαταμάχητος, καὶ τὰς καρδίας καὶ τὰ νοήματα φυλάττει τῶν δούλων αὐτοῦ ἀπὸ τῆς ἐπιβουλῆς τῶν σαρκικῶν παθῶν, καὶ τῆς κοσμικῆς ματαιότητος, καὶ τῆς δαιμονικῆς ἀπάτης.

*Τὸ λοιπόν, ἀδελφοί, ὅσα ἐστὶν ἀληθῆ, ὅσα σεμνά, ὅσα δίκαια, ὅσα ἁγνά, ὅσα προσφιλῆ, ὅσα εὔφημα, εἴτις ἀρετὴ καὶ εἴτις ἔπαινος, ταῦτα λογίζεσθε* (3).

Ἐπειδὴ διὰ τῶν προλαβόντων λόγων μόνην τὴν ἐπιείκειαν καὶ τὴν προσευχὴν παρήγγειλε, διὰ τῶν προκειμένων καὶ τῶν λοιπῶν ἀρετῶν τὴν ἐργασίαν παραγγέλλει· καὶ σιωπᾷ μὲν τὰ εἰδικὰ τῶν ἀρετῶν ὀνόματα προβάλλει δὲ μόνον τὰ γένη αὐτῶν, λέγων· « Ὅσα ἔργα εἰσὶν ἀληθῆ », ἤγουν καθαρὰ παντὸς ψεύδους καὶ ἀπάτης, καὶ δολιότητος· « ὅσα σεμνά », τουτέστι μεμακρυσμένα πάσης αὐθαδείας, ἀναισχυντίας τε καὶ ἀνευλαβείας· « ὅσα δίκαια », ὅσα δηλονότι καθαρεύουσι παντὸς εἴδους ἀδικίας· « ὅσα ἁγνά », εἴτουν ἀμόλυντα καὶ ἀμίαντα παντὸς σαρκικοῦ πάθους, καὶ πάσης κοσμικῆς ματαιότητος· « ὅσα προσφιλῆ », ἀγαπητὰ δηλαδὴ καὶ ἀρεστὰ εἰς τὸν Θεόν· « ὅσα εὔφημα », ὅπερ ἐστίν, ὅσα ἀληθῶς εἰσιν ἄξια εὐφημίας, καὶ τιμῆς, καὶ δόξης· « εἴτις ἀρετὴ καὶ εἴτις ἔπαινος », καὶ ἐὰν πρὸς τούτοις καὶ ἄλλη τις ἀρετὴ ὑπάρχῃ, καὶ ἄλλο τι ἔργον ἐπαίνου ἄξιον· « ταῦτα λογίζεσθε », ταῦτα ἔχετε κατὰ νοῦν, ταῦτα συλλογίζεσθε. Ἀναμιμνήσκει δὲ εἰς αὐτοὺς διὰ τῶν ἑξῆς, ποῖά εἰσι τὰ ἔργα, περὶ ὧν αὐτὸς λαλεῖ, λέγων·

*Ἃ καὶ ἐμάθετε, καὶ παρελάβετε, καὶ ἠκούσατε, καὶ εἴδετε ἐν ἐμοί, ταῦτα πράσσετε· καὶ ὁ Θεὸς τῆς εἰρήνης ἔσται μεθ' ὑμῶν* (4).

Ἐμάθετε, λέγει, καὶ παρελάβετε, καὶ ἠκούσατε, ποῖά εἰσι τῆς ἀρετῆς τὰ ἔργα, πρὸς τούτοις δὲ καὶ εἴδετε αὐτὰ ὑπ' ἐμοῦ πραττόμενα, ὅτε ἤμην μεθ' ὑμῶν· ταῦτα οὖν καὶ ὑμεῖς πράττετε. Βλέπε δέ, ὅτι διὰ μὲν τοῦ, « Ταῦτα λογίζεσθε », ἐδίδαξε τὴν θεωρητικὴν ἀρετήν· διότι διὰ τοῦ νοὸς συλλογιζόμενοι, θεωροῦμεν τὸ κάλλος, τὴν τιμήν, τὴν ἁγιωσύνην, τὴν μισθαποδοσίαν τῶν ἀρετῶν· διὰ δὲ τοῦ, « Ταῦτα πράσσετε », ἐνομοθέτησε τὴν πρᾶξιν, ἤγουν τὰ πρακτικὰ τῆς ἀρετῆς κατορθώματα· ἐπειδὴ δὲ ἐκ τῆς θεωρητικῆς καὶ πρακτικῆς ἀρετῆς συγκροτεῖται καὶ συνίσταται ἡ τελεία ἀρετή, διὰ τοῦτο καὶ τὰ δύο αὐτῆς εἴδη παραγγείλας, ὑπόσχεται, λέγων, ὅτι ὁ Θεὸς τῆς εἰρήνης ἔσται μετ' αὐτῶν, τῶν ταῦτα ἐργαζομένων· « Καὶ ὁ Θεὸς τῆς εἰρήνης ἔσαι μεθ' ὑμῶν ».

(1) Φιλιπ. 4, 6. (2) Βασίλ. λόγ. εἰς τὴν μαρ. Ἰουλίτ. (3) Ματθ. 6, 25. (4) Φιλιπ. 4, 7.

(1) Ἡσ. 9, 7. (2) Ἡσ. 9, 6. (3) Φιλιπ. 4, 8. (4) Αὐτ. 4, 9.

# ΟΜΙΛΙΑ

ΜΕΤΑ ΤΗΝ ΠΡΟΣ

## ΦΙΛΙΠΠΗΣΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

### ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗι ΚΥΡΙΑΚΗι ΤΩΝ ΒΑΪΩΝ.

Ἡ φύσις καὶ ἡ προαίρεσίς εἰσι δύο πηγαί, ἐξ ὧν ἀεννάως ῥέουσι τὰ ὑπεράριθμα καὶ πολυποίκιλα κακά, τὰ τῶν πικροτάτων θλίψεων πρόξενα· ἐκεῖνος στενάζει, ἐπειδὴ ὅλος ὁ σπόρος, ὅσον ἔσπειρεν ἐν τῷ ἀγρῷ αὐτοῦ, ἐσάπη ὑπὸ τῆς τῶν ὑδάτων πλημμύρας· οὗτος σκυθρωπάζων πορεύεται, ἐπειδὴ τοῦ ἀέρος ἡ δυσκρασία ἔφθειρε τὸν καρπὸν τῶν ἑαυτοῦ δένδρων· ἐκεῖνος ταλανίζεται, ἐπειδὴ ὁ σεισμὸς τῆς γῆς κατηδάφισε τὸν ἑαυτοῦ οἶκον· καὶ οὗτος ἐλεινολογεῖ ἐπειδὴ ὁ σκηπτὸς τῆς βροντῆς κατέκαυσε τῶν ὑπαρχόντων αὐτοῦ τὰς ἀποθήκας. Πόσοι δὲ ἄλλας βαρυτάτας δοκιμάζουσι θλίψεις ὑπὸ τῆς τῶν στοιχείων ἐναντιότητος; πόσας ὀδύνας φέρουσιν αἱ ἀσθένειαι πρὸς τοὺς δυστυχεῖς ἀνθρώπους; Τοῦτον καταφλογίζει ὁ λαῦρος πυρετός, ἐκεῖνον καταστενοχωρεῖ ἡ λιθίασις, τὸν ἄλλον τήκει ἡ φθίσις· οὗτος κατάκειται παράλυτος, ἐκείνου φθείρει τὰ μέλη ἡ λέπρα, τὸν ἄλλον τυραννεῖ ἡ ποδάγρα· τίς δὲ Ἱπποκράτης, ἢ Γαληνός, ἢ Παῦλος Αἰγινίτης δύναται ἀπαριθμῆσαι τῶν ὀδυνηρῶν ἀῤῥωστημάτων τὸ πλῆθος; Προστίθησι δακρυῤῥόους θλίψεις ὁ θάνατος· ἐκεῖνος δακρύει διὰ τὸν θάνατον τοῦ φίλου· οὗτος κλαίει, ἐπειδὴ ἔμεινεν ὀρφανός, καὶ ὁ ἄλλος θρηνολογεῖ, ἐπειδὴ ἐγκατελείφθη ἄτεκνος· ἐὰν συνάξῃς τῶν ἀνθρώπων τὰ δάκρυα, ποιεῖς ποταμόν, ἢ θάλασσαν δακρύων. Στρέψατε νῦν τὰ ὄμματα εἰς τὰ κακὰ τῆς προαιρέσεως, καὶ ἴδετε· ἐκεῖνον βασανίζει ὁ βρασμὸς τοῦ θυμοῦ, καὶ τοῦτον φλογίζει τὸ πῦρ τῆς σαρκικῆς ἐπιθυμίας· ἐκείνου μαραίνει τὴν σάρκα τῆς φιλαργυρίας ἡ λύσσα, καὶ τούτου μολύνει τὸ αἷμα ἡ πικρία τοῦ φθόνου· ἐκεῖνον κατακεντᾷ ὁ ἔρως τῆς φιλοδοξίας, καὶ τοῦτον τηγανίζει τῆς ἐκδικήσεως τὸ πάθος· ἐπιβουλαί, προδοσίαι, ἁρπαγαί, δυναστεῖαι, ὕβρεις, μάχαι, πόλεμοι, πληγαί, φόνοι, καὶ ἄλλα μυρία μυρίων εἰσὶ τὰ κακὰ τῆς προαιρέσεως τῶν ἀνθρώπων· μηδὲ ὅρον ἔχουσι, μηδὲ ἀριθμὸν αἱ θλίψεις, ὅσας ἡ φύσις γεννᾷ, καὶ ἡ προαίρεσις μηχανουργεῖ καὶ τεχνεύεται· καὶ ἀγωνίζονται μὲν οἱ ἄνθρωποι, ἵνα ἀνώτεροι τῶν κακῶν τούτων γενόμενοι, φύγωσι τὴν ἐξ αὐτῶν προξενουμένην θλίψιν, πλὴν εἰς μάτην κοπιάζουσιν οἱ τάλανες· οὐχ εὑρίσκεις εἰς τὸν κόσμον ἄνθρωπον, κἂν ὑπέρπλουτος ᾖ, κἂν ἐνδοξότατος, κἂν ἄρχων, κἂν ἡγεμών, κἂν βασιλεύς, ἀμέτοχον, καὶ



ἄγευστον τῶν τοιούτων δυστυχημάτων· καὶ ταῦτα μὲν κατ' ἀλήθειαν οὕτως ἔχουσιν.

Ἀνίσταται δὲ ὁ Παῦλος, καὶ ἀδιστάκτῳ καρδίᾳ, καὶ πεπαῤῥησιασμένῳ προσώπῳ, καὶ στόματι πλατεῖ, καὶ φωνῇ μεγάλῃ κηρύττει, ὡς σήμερον ἠκούσαμεν, καὶ λέγει, ἵνα χαίρωμεν, οὐχὶ ἐνίοτε καὶ ἐκ διαλειμμάτων, ἀλλ' ἀδιακόπως καὶ ἀδιαλείπτως, « Χαίρετε, λέγει, ἐν Κυρίῳ πάντοτε· πάλιν ἐρῶ, χαίρετε » (1). Παράδοξον τοῦτο τὸ πρόσταγμα, καὶ ἐναντίον τῶν πραγμάτων, καὶ ἑπομένως ἀδύνατος φαίνεται ἡ τούτου ἐκπλήρωσις· καὶ τίς δύναται χαίρειν πάντοτε, περικυκλωμένος ὢν ὑπὸ τοσούτου πλήθους κακῶν, καὶ κινδυνεύων πᾶσαν ὥραν καταποντισθῆναι ὑπὸ τῆς θαλάσσης τῶν θλίψεων; Πόθεν ὁ Παῦλος ἔλαβεν ἀφορμήν, ἵνα ἐκφωνήσῃ τοιαύτην διδασκαλίαν; διδασκαλίαν, ἥτις ὅσον ἐστὶν ἐπιθυμητή, τοσοῦτόν ἐστι δυσκατόρθωτος; Ὁ Παῦλος ἦν « Σκεῦος ἐκλογῆς » (2), ἤγουν ἄνθρωπος ἐκλελεγμένος ὑπὸ Θεοῦ, ἵνα κηρύξῃ τὰ θεῖα αὐτοῦ προστάγματα· αὐτὸς ἀνέβη « ἕως τρίτου οὐρανοῦ, καὶ ἡρπάγη εἰς τὸν Παράδεισον, καὶ ἤκουσεν ἄῤῥητα ῥήματα, ἃ οὐκ ἐξὸν ἀνθρώπῳ λαλῆσαι » (3)· ἐν αὐτῷ δὲ ἔζη ὁ Ἰησοῦς Χριστός (4)· ὅθεν ταῦτα τὰ λόγια· « Χαίρετε ἐν Κυρίῳ πάντοτε· πάλιν ἐρῶ, χαίρετε », οὐκ εἰσὶ λόγια ἀνθρώπου, ἀλλὰ φωνὴ Θεοῦ, διὰ στόματος ἀνθρώπου προφερομένη καὶ ἐκφωνουμένη, διό ἐστιν ἀληθινή, καὶ βεβαία, καὶ ἀναμφίβολος· ἀνάγκη οὖν ἐστιν, ἵνα ἐξετάσωμεν, ποία ἐστὶν ἡ χαρά, περὶ ἧς λαλεῖ ὁ Ἀπόστολος, καὶ τίς ἐστιν ὁ δυνάμενος χαίρειν πάντοτε.

Ἡ χαρά, ἀδελφοί μου, περὶ ἧς λαλεῖ ὁ Παῦλος, οὐκ ἔστι χαρὰ σωματική, οὐδὲ διὰ τὰ σωματικὰ πράγματα, οὐδὲ ἐκ τῶν σωματικῶν πραγμάτων γεννωμένη· ἀλλ' ἔστι χαρὰ πνευματική, διὰ τὰ πνευματικὰ πράγματα, καὶ ἐκ τῶν πνευματικῶν ἔργων προερχομένη· αὐτή ἐστι καρπός, ὃν καρποφορεῖ ἡ ψυχὴ ἡμῶν, ὑπὸ τῆς χάριτος τοῦ ἁγίου Πνεύματος φωτιζομένη· « Ὁ δὲ καρπὸς τοῦ πνεύματός ἐστιν ἀγάπη, χαρά, εἰρήνη, μακροθυμία, χρηστότης, ἀγαθωσύνη, πίστις, πρᾳότης, ἐγκράτεια » (5)· διὰ τοῦτο ἡμεῖς οἱ ἁμαρτωλοὶ οὐ δυνάμεθα περιγράψαι ἀκριβῶς τί ἐστιν· ἐπειδὴ εἰς ἡμᾶς σπανίως ἔρχεται, τότε δηλαδὴ μόνον, ὅταν τὰ δάκρυα τῆς μετανοίας καταβρέχωσι τοὺς ὀφθαλμοὺς ἡμῶν· καὶ ὀλίγον δὲ καιροῦ διάστημα ἐν ἡμῖν μένει, ἐν ὅσῳ δηλονότι μένομεν εἰς τῆς μετανοίας τὴν καθαρότητα· οἱ ἄνθρωποι οἱ δίκαιοι καὶ ἅγιοι, αὐτοὶ δύνανται παραστῆσαι λεπτομερῶς, τί ἐστιν ἡ τοιαύτη χαρά, ἐπειδὴ αὐτὴ διαπαντός ἐστιν ἐν τῇ καρδίᾳ αὐτῶν· ὅθεν καὶ διαπαντὸς αἰσθάνονται τὴν μελίῤῥυτον καὶ ἐπουράνιον αὐτῆς γλυκύτητα· ἐφανέρωσε τοῦτο ὁ τοῦ Θεοῦ Ἀπόστολος, ὅστις οὐκ εἶπεν ἁπλῶς, « χαίρετε », ἀλλὰ « χαίρετε, εἶπεν, ἐν Κυρίῳ πάντοτε ». Τίς δὲ χαίρει ἐν Κυρίῳ; οὐδεὶς ἄλλος, εἰ μὴ ὁ ὢν μετὰ τοῦ Κυρίου, ἤγουν, ὅστις ἡνωμένος ἐστὶ μετ' αὐτοῦ· τίς δὲ ἄλλος ἐστὶν ἡνωμένος μετὰ τοῦ Κυρίου, εἰ μὴ ὁ ἀγαπῶν αὐτόν; « Ὁ Θεὸς ἀγάπη ἐςί, καὶ ὁ μένων ἐν τῇ ἀγάπῃ, ἐν τῷ Θεῷ μένει, καὶ ὁ Θεὸς ἐν αὐτῷ » (6)· τίς δὲ ἀγαπᾷ τὸν Θεόν; οὐδεὶς ἄλλος, εἰ μὴ ὅστις φυλάττει τὰς ἐντολὰς αὐτοῦ, καὶ ποιεῖ τὸ θέλημα αὐτοῦ· « Ὁ ἔχων τὰς ἐντολάς μου, καὶ τηρῶν αὐτάς, ἐκεῖνός ἐστιν ὁ ἀγαπῶν με » (7)· Ἐκ

(1) Φιλιπ. 4, 4. (2) Πράξ. 9, 15. (3) Β'. Κορ. 12, 2, 4. (4) Γαλ. 2, 20, (5) Αὐτ. 5, 22.
(6) Α'. Ἰωάν. 4, 16. (7) Αὐτ. 14, 21.

τούτου τίς οὐ βλέπει, ὅτι ἡ ἀρετή ἐστιν ἡ μήτηρ τῆς χαρᾶς, καὶ ὅτι, ὅπου ἀρετή, ἐκεῖ ἐστι τῆς χαρᾶς τὸ κατοικητήριον;

Ἀλλὰ τίς, ἐστι, λέγεις, ἐκεῖνος ὁ ἄνθρωπος, ὅσον καὶ ἂν εἴη ἐνάρετος, ὅστις ὑπὸ τοσούτων κακῶν στενοχωρούμενος, ὅσα προξενεῖ ἡ φύσις, καὶ ὅσα ἡ προαίρεσις, οὐ μόνον οὐδόλως θλίβεται, ἀλλὰ καὶ χαίρει; Ποῖα ἆρά γε σὺ νομίζεις κακὰ βαρύτερα καὶ περισσότερα, τὰ ἐκ τῆς φύσεως προξενούμενα, ἢ τὰ ἐκ τῆς προαιρέσεως; προξενεῖ ἀληθῶς καὶ ἡ φύσις πάθη θλιβερά, πλὴν τὰ ἐκ τῆς προαιρέσεως ὑπερβαίνουσι τὰ τῆς φύσεως καὶ κατὰ τὸν ἀριθμόν, καὶ κατὰ τὸ βάρος, καὶ κατὰ τὴν δριμύτητα, πρὸς τούτοις δὲ καὶ κατὰ τὸ δύσκολον τῆς θεραπείας· κατὰ τὸν ἀριθμόν, πρῶτον μέν, ἐπειδὴ αὐτὰ καθ' ἑαυτά εἰσι πολυάριθμα· δεύτερον δέ, ἐπειδὴ καθ' ἓν ἐξ αὐτῶν γεννᾷ ἄλλα πάμπολλα· πόσα κακὰ γεννᾷ ἡ ἀσέλγεια; αὐτὴ δυσφημίζει τὸ ὄνομα, δαπανᾷ τὰ ὑπάρχοντα, φθείρει τὴν ὑγείαν, σήπει τὰς σάρκας, προξενεῖ δριμυτάτους πόνους· πόσα κακὰ γεννᾷ ὁ θυμός, ὅταν ἐξαφθῇ; ἔξαψιν αἵματος φλογερὰν καὶ πνιγμονικήν, ἀφροὺς στόματος, κλόνους καρδίας, μελῶν σπαραγμούς, ἐπιληψίας, ἀποπληξίας, ὕβρεις, πληγάς, φόνους· πόσα κακὰ προξενεῖ τὸ μῖσος; πόσα ὁ φθόνος; πόσα ἡ ὑπερηφάνεια; πόσα τὰ ἄλλα πάθη τῆς προαιρέσεως; ὁλόκληρα βιβλία οὐκ ἐξαρκοῦσι πρὸς τὴν τούτων περιγραφήν· προστίθεται δὲ εἰς αὐτὰ ἡ αἰσχύνη καὶ ἡ ἀτιμία· τὰ μὲν φυσικὰ οὐδεμίαν αἰσχύνην, ἢ ἀτιμίαν προξενοῦσι, τὰ δὲ προαιρετικὰ καταισχύνουσι καὶ ἀτιμάζουσι· διότι ὁ κλέπτης, ὁ ψεύστης, ὁ ὑποκριτής, ὁ δολερός, ὁ πόρνος ἐστὶ κατησχυμμένος καὶ ἄτιμος, οὐχὶ ὁ ποδαλγός, οὐδὲ ὁ ὑδρωπικός, οὐδὲ ὁ παράλυτος, οὐδὲ ὁ χωλός, οὐδὲ ὁ τυφλός· ὅθεν τῆς ἀτιμίας καὶ τῆς αἰσχύνης ἡ προσθήκη ποιεῖ τὰ προαιρετικὰ πολλῷ βαρύτερα τῶν φυσικῶν ἐλαττωμάτων. Σημείωσαι δὲ καὶ τὴν δριμύτητα τῶν προαιρετικῶν· ὅστις μὲν πάσχει ὑπὸ τῶν ἐκ τῆς φύσεως κακῶν, ἐκεῖνος, ἔχει τὴν συνείδησιν αὐτοῦ εἰρηνικήν, ἥσυχον, παρηγορητικήν· ὅστις δὲ βασανίζεται ὑπὸ τῶν τῆς προαιρέσεως ἁμαρτημάτων, ἐκεῖνος ἔχει προσθήκην εἰς τὰ πάθη τοὺς πληκτικωτάτους τῆς συνειδήσεως αὐτοῦ ἐλέγχους, οἵτινες ὀξυτάτην ποιοῦσι τῶν παθῶν αὐτοῦ τὴν βάσανον· Ἐὰν δὲ παρατηρήσῃς, ποῖα πάθη θεραπεύονται εὐκολώτερα, βλέπεις, ὅτι εἰς τὰ τῆς φύσεως καὶ ἰατροὶ εὑρίσκονται, καὶ αἱ βοτάναι θεραπεύουσιν· εἰς δὲ τὰ τῆς προαιρέσεως οὐδὲ ἰατρὸς ἰατρεύει, οὐδὲ βοτάναι ὠφελοῦσι· τὰς ἐκ τῆς φύσεως θλίψεις καὶ ἡ φύσις ἐξομαλίζει, καὶ ὁ καιρὸς διασκεδάζει, καὶ οἱ συγγενεῖς προφθάνουσι, καὶ οἱ φίλοι ἀπαντῶσι, καὶ οἱ ἐλεήμονες ἄνθρωποι παρηγοροῦσι· κλαίεις τὸ ἑσπέρας διὰ τὴν δυσκρασίαν τοῦ ἀέρος, ἀλλὰ γελᾷς τὸ πρωῒ διὰ τὴν τούτου εὐκρασίαν· « Τὸ ἑσπέρας αὐλισθήσεται » κλαυθμός, καὶ εἰς τὸ πρωῒ ἀγαλλίασις » (1)· θρηνολογεῖς διὰ τὸν θάνατον τοῦ συγγενοῦς σου σήμερον, καὶ αὔριον, καὶ μετὰ τὴν αὔριον, ἀλλ' ὁ καιρὸς ἰατρεύει τὴν πληγὴν τῆς θλίψεώς σου· κατέστησέ σε πάμπτωχον τῆς θαλάσσης ἡ ἀνεμοζάλη, καταποντίσασα ὅλην σου τὴν πραγματείαν, ἀλλὰ παραμυθοῦσι τὴν δυστυχίαν σου οἱ ἀγαθοὶ ἄνθρωποι καθὼς τὴν τοῦ Τωβίτ, ὁ καλὸς Ἀχιάχαρος (2)· πόση δὲ δυσκολία, ἵνα ὁ μέ-

(1) Ψαλ. 29, 5. (2) Τωβ. 2, 10.



θυσος κατασταθῇ νήφων· καὶ ὁ κοιλιόδουλος νηστευτής· καὶ ὁ ἀσελγής, σώφρων· καὶ ὁ ἄσπλαγχνος ἐλεήμων· καὶ πᾶς ἄλλος δοῦλος τῆς ἁμαρτίας, ἐργάτης τῆς ἀρετῆς; Ἐκ τούτων φανερόν ἐστιν, ὅτι οἱ ἐνάρετοι ἄνθρωποι, καθαροὶ ὄντες τῶν παθῶν τῆς προαιρέσεως, ἐλεύθεροί εἰσι καὶ τῶν ἐξ αὐτῶν πηγαζόντων θλίψεων· ἔχοντες δὲ ἥσυχον καὶ ἄλυπον τὸν ἔσω ἄνθρωπον, χαίρουσι διὰ παντὸς ἐν Κυρίῳ.

Ἔστω, λέγεις, αὐτοὶ μὲν ἔχουσιν ἐσωτερικὴν ἡσυχίαν, ἔξωθεν ὅμως ταράττουσιν αὐτοὺς καὶ καταθλίβουσιν οἱ ἀδικηταὶ καὶ τυραννικοὶ ἄνθρωποι, καταδιώκοντες αὐτούς, ἁρπάζοντες τὰ τούτων ὑπάρχοντα, δέροντες, φυλακίζοντες, βασανίζοντες ἕως θανάτου. Ἀληθῶς οἱ μὲν κάκιστοι ἄνθρωποι ταῦτα ποιοῦσιν αὐτοῖς· αὐτοὶ ὅμως πεπληροφορημένοι ὄντες, ὅτι « Οὐκ ἔχομεν » ὧδε μένουσαν πόλιν, ἐπιζητοῦσι τὴν μέλ- » λουσαν (1)· καὶ ἔχοντες τὸ πολίτευμα αὐ- » τῶν ἐν οὐρανοῖς, ἀπεκδέχονται τὸν σω- » τῆρα τὸν Κύριον Ἰησοῦν » (2)· ὅστις μακαρίζων τοὺς διωκομένους ἕνεκεν δικαιοσύνης, πολὺν ὑπόσχεται εἰς αὐτοὺς τὸν μισθὸν ἐν τοῖς οὐρανοῖς (3)· ὅθεν τὰ προξενοῦντα λύπην εἰς τοὺς βεβυθισμένους ἐν τῇ τοῦ κόσμου ματαιότητι, χαρὰν φέρουσιν εἰς τοὺς ἀφιερώσαντας εἰς τὸν Θεὸν νοῦν καὶ ψυχὴν καὶ καρδίαν. Τοῦτο φαίνεται παράδοξον, ὅμως ἐστὶν ἀληθέστατον· πόσον λυπεῖ τοὺς ἀνθρώπους τοῦ κόσμου ἡ τῶν ὑπαρχόντων αὐτῶν ἁρπαγή; ὑπερβολικῶς· καὶ ὅμως ἡ αὐτὴ ἁρπαγὴ τῶν ὑπαρχόντων χαρὰν ἔφερεν εἰς τοὺς ἀνθρώπους τοῦ Θεοῦ· μαρτυρεῖ τοῦτο ὁ Παῦλος περὶ τῶν ἁγίων τῶν ἐκ τοῦ γένους τῶν Ἑβραίων· « Καὶ γάρ, λέγει, » τοῖς δεσμοῖς μου συνεπαθήσατε, καὶ τὴν » ἁρπαγὴν τῶν ὑπαρχόντων ὑμῶν μετὰ » χαρᾶς προσεδέξασθε » (4)· διδάσκει δὲ καὶ τὸν λόγον ταύτης τῆς παραδόξου χαρᾶς· ἐστέρξατε, λέγει, μετὰ χαρᾶς τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων ὑμῶν, ἐπειδὴ γνωρίζετε, ὅτι ἔχετε ἐν τοῖς οὐρανοῖς ὑπάρχοντα ὑπέρτερα καὶ αἰώνια· γινώσκοντες ἔχειν ἐν ἑαυτοῖς κρείττονα ὕπαρξιν ἐν οὐρανοῖς καὶ μένουσαν. Πόση ἡ θλίψις τῶν κοσμικῶν ἀνθρώπων, ὅταν παῤῥησίᾳ ἐνώπιον τοῦ κριτηρίου δείρωσιν αὐτούς; μεγάλη ἀναμφιβόλως· καὶ ὅμως οἱ ἅγιοι Ἀπόστολοι, ὅταν οἱ παράνομοι Ἰουδαῖοι ἔδειραν αὐτοὺς ἐνώπιον τοῦ παμπονήρου αὐτῶν συνεδρίου, « Ἐπορεύοντο, λέγει ὁ ἱερὸς Λουκᾶς, χαί- » ροντες ἀπὸ προσώπου τοῦ συνεδρίου » (5)· διὰ τί δὲ ἔχαιρον; « Ὅτι ὑπὲρ τοῦ ὀνόμα- » τος αὐτοῦ, τοῦ Ἰησοῦ Χριστοῦ δηλαδή, » κατηξιώθησαν ἀτιμασθῆναι ». Τί τούτου περισσότερον;

Ἀλλ' ἆρά γε χαίρουσι, λέγεις, οἱ ἅγιοι ἄνθρωποι, καὶ ὅταν οἱ δριμύτατοι τῶν ἀῤῥωστημάτων πόνοι βασανίζωσιν αὐτούς; ἢ οὐκ αἰσθάνονται τῶν ἀῤῥωστιῶν τὴν βάσανον; ἢ οὐδέποτε ἀῤῥωστοῦσιν; Ὡς ἄνθρωποι ἀῤῥωστοῦσι, καὶ ὡς σάρκα φοροῦντες, αἰσθάνονται ἀναμφιβόλως τῶν ἀσθενειῶν τὰς ἀλγηδόνας, πλὴν ἀποβλέποντες εἰς τὰς μεγάλας καὶ αἰωνίους μισθαποδοσίας, τὰς ἡτοιμασμένας εἰς τοὺς ὑπομένοντας, γενναιοφρόνως ὑπομένουσι τῶν πόνων τὴν δριμύτητα· ἡ δὲ ὑπομονὴ φέρει εἰς τὴν καρδίαν αὐτῶν τὴν δοκιμήν, ἤγουν τὴν αἴσθησιν τῆς τοῦ Θεοῦ βοηθείας· ἡ δὲ δοκιμὴ γεννᾷ εἰς τὴν ψυχὴν αὐτῶν τὴν σταθερὰν τῶν θείων στεφάνων ἐλπίδα. « Ἡ

(1) Ἑβρ. 13, 14. (2) Φιλιπ. 3, 20. (3) Ματθ. 5, 10. (4) Ἑβρ. 10, 34. (5) Πράξ. 5, 41.

» θλῖψις ὑπομονὴν κατεργάζεται· ἡ δὲ ὑπο» μονή, δοκιμήν, ἡ δὲ δοκιμή, ἐλπίδα· ἡ » δὲ ἐλπὶς οὐ καταισχύνει » (1)· ἡ τοιαύτη δὲ ἐλπὶς τόσον θερμαίνει τὴν καρδίαν αὐτῶν, ὥστε μετὰ χαρᾶς ὑπομένουσι τῶν ἀσθενειῶν τοὺς πόνους. Ἐάν, ὅταν σε στενοχωρῇ τῆς ἀῤῥωστίας ἡ ὀδύνη, εἶχες πληρεστάτην πληροφορίαν, ὅτι, ἐὰν ὑπομείνῃς ἀνδρείως, αὐτὴ μὲν παύει, σὺ δὲ διὰ τὴν ὑπομονήν σου γίνεσαι βασιλεύς, οὐχ ὑπέμενες ἆρά γε τότε μετὰ χαρᾶς τῆς ἀσθενείας σου τὸν πόνον; τότε ὁ νοῦς σου ἦν προσηλωμένος οὐχὶ εἰς τὴν αἴσθησιν τῆς ὀδύνης, ἀλλ' εἰς τοὺς συλλογισμοὺς τῆς ἀπολαύσεως τῆς βασιλείας· τοῦτο δὲ ἀκολουθεῖ εἰς τοὺς ἁγίους ἄνδρας· αὐτοί εἰσι κατὰ πάντα πεπληροφορημένοι, ὅτι, ἐὰν εὐχαρίστως ὑπομένωσι, γίνονται βασιλεῖς ἐν τῇ βασιλείᾳ τοῦ Ἰησοῦ Χριστοῦ, ὡς ἐβεβαίωσεν ὁ Παῦλος, λέγων· « Πιστὸς ὁ λόγος· εἰ γὰρ συναπεθάνομεν, καὶ συζήσωμεν· εἰ ὑπομένο» μεν, καὶ συμβασιλεύσομεν » (2). Ὅθεν ἔχοντες ἀφιερωμένον καὶ νοῦν καὶ ψυχὴν καὶ καρδίαν εἰς τὴν περιμένουσαν αὐτοὺς βασιλείαν, χαίροντες ὑπομένουσι τῆς ἀσθενείας τὴν ὀδύνην. Ὁ δὲ Παῦλος, ὁ διὰ λόγου ταῦτα διδάσκων, καὶ διὰ τῶν ἔργων ταῦτα ἀπέδειξε, καθότι ἀρεσταὶ ἦσαν εἰς αὐτὸν αἱ ὑπὲρ τῆς ἀγάπης τοῦ Χριστοῦ ἀσθένειαι, καὶ αἱ περιφρονήσεις, καὶ αἱ ἀνάγκαι, καὶ οἱ διωγμοί, καὶ αἱ στενοχωρίαι. « Διὸ εὐ» δοκῶ, ἔλεγεν, ἐν ἀσθενείαις, ἐν ὕβρεσιν, » ἐν ἀνάγκαις, ἐν διωγμοῖς, ἐν στενοχωρίαις » ὑπὲρ Χριστοῦ » (3). Διότι ὅταν ἀσθενῶ, λέγει, τότε δυνατός εἰμι· διότι, « εἰ καὶ ὁ » ἔξω ἡμῶν ἄνθρωπος διαφθείρεται, ἀλλ' ὁ » ἔσωθεν ἀνακαινοῦται ἡμέρᾳ καὶ ἡμέρᾳ » (4). Διὰ τούτους τοὺς λόγους χαίρουσιν οἱ ἅγιοι, ὅταν πάσχωσι· διὰ τούτους τοὺς λόγους ἐβόα ὁ Παῦλος· « χαίρω ἐν τοῖς παθήμα» σί μου » (5).

Ἀλλ', ἐὰν οἱ ἐνάρετοι, λέγεις, χαίρωσι πάντοτε κατὰ τὴν διδασκαλίαν τοῦ Παύλον, πῶς ὁ ἅγιος προφήτης Δαβὶδ ὠδύρετο, λέγων· « Οἴμοι ὅτι ἡ παροικία μου ἐμα» κρύνθη » (6), καὶ ὁ Ἱερεμίας ἐθρηνολόγει (7), καὶ ὁ Ἰεζεκιὴλ κατέφαγε τὴν κεφαλίδα, ἐν ᾗ « ἐγέγραπτο θρῆνος καὶ μέλος καὶ οὐαί (8)· καὶ αὐτὸς δὲ ὁ Παῦλος παρήγγειλε μὲν « κλαίειν μετὰ κλαιόντων » (9)· ἔκλαιε δὲ τοὺς ἐχθροὺς τοῦ σταυροῦ (10)· καὶ αὐτὸς δὲ ὁ τοῦ κόσμου Σωτὴρ ἔκλαυσε μὲν διὰ τὴν καταστροφὴν τῆς Ἱερουσαλὴμ (11), ἐδάκρυσε δὲ εἰς τὸ μνημεῖον τοῦ Λαζάρου (12). Οἱ ὀδυρμοί, καὶ οἱ θρῆνοι, καὶ τὰ πένθη, καὶ τὰ δάκρυα τῶν ἁγίων οὐκ εἰσὶ πικρά, ἀλλὰ γλυκά, καὶ τερπνά, καὶ εὐφροσύνης πρόξενα· διότι αὐτὰ οὐκ εἰσὶν ἔκγονα λύπης, οὐδὲ ἀποτελέσματα θλίψεως, ἀλλ' εἰσὶ καρποὶ τῆς ἀγάπης καὶ βλαστοὶ τῆς κατανύξεως· ἡ δὲ ἀγάπη καὶ ἡ κατάνυξις οὐ λυπεῖ, ἀλλ' εὐφραίνει· οὐ θλίβει, ἀλλὰ χαροποιεῖ τὴν ψυχὴν τοῦ ἀνθρώπου. Ταύτην δὲ τὴν γλυκυτάτην χαρὰν ἐσήμαινεν ἡ ὀπτασία τοῦ Ἰεζεκιήλ, ὅστις, ἀφ' οὗ ἔφαγε τὴν κεφαλίδα τοῦ θρήνου καὶ τοῦ μέλους καὶ τοῦ οὐαί, τότε ᾐσθάνθη, λέγει, ἐν τῷ στόματι αὐτοῦ γλυκύτητα μέλιτος· « Καὶ ἐγένετο » ἐν τῷ στόματί μου ὡς μέλι γλυκάζον » (13)· ταύτην τὴν χαρὰν ἐφανέρωσε καὶ ὁ Κύριος ἡμῶν, ὅταν εἶπε· « Μακάριοι οἱ πενθοῦντες· » ὅτι αὐτοὶ παρακληθήσονται (14). Μακά» ριοι οἱ κλαίοντες νῦν, ὅτι γελάσετε » (15).

Εἰς τοὺς ἐναρέτους ἀνθρώπους οὐκ ἔχει

(1) Ῥωμ. 5, 4, 5. (2) Β'. Τιμ. 2, 11, 12. (3) Β'. Κορ. 12, 10. (4) Αὐτ. 4, 16. (5) Κολ. 1, 24. (6) Ψαλ. 119, 5. (7) Ἱερ. 15, 10. (8) Ἰεζ. 2, 10. (9) Ῥωμ. 12, 15. (10) Φιλιπ. 3, 18. (11) Λουκ. 19, 41. (12) Ἰωάν. 11, 35. (13) Ἰεζ. 3, 3. (14) Ματθ. 5, 4. (15) Λουκ. 6, 21.



τόπον ἡ κοσμικὴ λύπη, ἡ πολέμιος τῆς πνευματικῆς χαρᾶς· ἡ ἀρετὴ καὶ ἡ κοσμικὴ λύπη εἰσὶ δύο πράγματα ἀσυμβίβαστα· διότι ποῖον κοσμικὸν πρᾶγμα δύναται λυπῆσαι τοὺς ἐναρέτους, οἵτινες νομίζουσι σκύβαλα πάντα τὰ ἐν τῷ κόσμῳ; Ἡ καρδία τῶν ἀγαπώντων τὸν Θεόν ἐστι Θεοῦ κατοικητήριον (1)· Ἐάν τις ἀγαπᾷ με, εἶ» πεν ὁ Θεάνθρωπος, τὸν λόγον μου τηρή» σει καὶ ὁ πατήρ μου ἀγαπήσει αὐτόν, » καὶ πρὸς αὐτὸν ἐλευσόμεθα, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν » (2)· ὅπου δὲ ὁ Θεός, ἐκεῖθεν φεύγει ἡ λύπη· καθὼς καὶ ὅπου φῶς, ἐκεῖθεν φυγαδεύεται τὸ σκότος· ἐν ὅσῳ ὁ ἄνθρωπος ἐργάζεται τὴν ἀρετήν, ὁ Θεὸς μένει ἐν αὐτῷ, ὅθεν αἰσθάνεται τὴν ἀγαλλίασιν τῆς σωτηρίας αὐτοῦ· ἐὰν δὲ ἐκπέσῃ τῆς ἀρετῆς, ὁ μὲν Θεὸς ἀναχωρεῖ ἀπ' αὐτοῦ, αὐτὸς δὲ αἰσθάνεται τοῦ ᾅδου τὰς θλίψεις· ὅταν ὁ Δαβὶδ ἥμαρτεν, ἐστερήθη τῆς τοῦ Θεοῦ ἑνώσεως, ἑπομένως καὶ τῆς τοιαύτης ἀγαλλιάσεως· ὅθεν μετανοῶν καὶ κλαίων, παρεκάλει, ἵνα μὴ ἀποστραφῇ παντελῶς αὐτὸν ὁ Θεός, ἀλλ' ἀποστείλῃ ἐπ' αὐτὸν τὸ Πνεῦμα τὸ ἅγιον, καὶ ἑπομένως ἀποδώσῃ αὐτῷ τὴν ἀγαλλίασιν τῆς σωτηρίας· « Μὴ ἀποῤῥίψῃς με, ἔλεγεν, ἀπὸ » τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμά σου τὸ » ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ· ἀπόδος » μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου » (3). Οὐδὲν οὖν σφάλλει, ὅστις εἴπῃ, ὅτι ταῦτα τὰ λόγια· « Χαίρετε ἐν Κυρίῳ πάντοτε· » πάλιν ἐρῶ, χαίρετε » (4), εἰσὶ ταὐτοσήμαντα καὶ ταὐτοδύναμα τούτοις· ἐργάζεσθε πάντοτε διὰ τῆς χάριτος τοῦ Κυρίου τὴν ἀρετήν· πάλιν ἐρῶ, ἐργάζεσθε τὴν ἀρετήν.

Ματαίως οὖν, ὦ ἄνθρωποι, τρέχετε ἄνω καὶ κάτω, καὶ ἐπιπόνως κοπιάζετε, ζητοῦντες τὴν χαρὰν εἰς τοῦ κόσμου τὰς ματαιότητας· ματαίως ταλαιπωρεῖσθε, ζητοῦντες τὴν χαρὰν εἰς τὸν πλοῦτον, εἰς τοὺς προβιβασμούς, εἰς τὰ κοσμικὰ ἀξιώματα· ματαίως ἐπιτηδεύεσθε θέατρα, ἱπποδρόμια, χορούς, παίγνια, μουσικὰ ὄργανα, ἡδονικὰ ᾄσματα, τροφῶν καὶ ποτῶν πολυποικιλίας, ἀβροδιαίτους τραπέζας· αὐτά εἰσι σκιαὶ τῆς χαρᾶς, εὐφραίνουσιν ὀλίγον τὰς αἰσθήσεις, ἔπειτα πληροῦσι τὴν ψυχὴν πικρίας· πεπλανημένος ἐστίν, ὅστις πείθεται, ὅτι χαίρει, ἐὰν ἐκδικηθῇ τὸν ἐχθρὸν αὐτοῦ, ἢ πληρώσῃ τὴν τῆς σαρκὸς ἐπιθυμίαν, ἢ πράξῃ ἄλλην τινὰ ἁμαρτίαν· διότι ἡ ἁμαρτία, κἂν προξενῇ βραχυτάτην ἡδονήν, ὅταν τελῆται, ἀφ' οὗ ὅμως τελεσθῇ, φέρει φόβον, φέρει αἰσχύνην, φέρει τῆς συνειδήσεως τοὺς λυπηροὺς καὶ πικροτάτους ἐλέγχους· μία ἐστὶν ἡ πηγὴ τῆς ἀληθινῆς καὶ ἀδιαλείπτου χαρᾶς, τῶν ἀρετῶν ἡ ἐργασία· ὅταν νικᾷς τὴν ἁμαρτίαν, ὅταν συγχωρῇς τὸν ἐχθρόν σου, ὅταν ἐλεῇς τοὺς πτωχούς, ὅταν σωφρονῇς, ὅταν προσεύχησαι, τότε αἰσθάνεσαι τὴν χαρὰν τοῦ Θεοῦ εἰς τὴν καρδίαν σου· διὰ τοῦτο δὲ ὁ θεοφόρος Παῦλος εἰπὼν τό « χαίρετε ἐν Κυρίῳ πάντοτε· πάλιν ἐρῶ, » χαίρετε » (5), παρήγγειλε τῶν ἀρετῶν τὴν ἐργασίαν, διδάσκων διὰ τούτου, ὅτι αὐτή ἐστι τῆς ἀληθινῆς χαρᾶς ἡ μήτηρ· γίνεσθε, εἶπεν, ἐπιεικεῖς, ἀποῤῥίψατε πᾶσαν μέριμναν κοσμικῆς ματαιότητος, φυτεύσατε εἰς τὴν καρδίαν ὑμῶν τὴν πρὸς τὸν Θεὸν ἐλπίδα, προσεύχεσθε μετὰ εὐχαριστίας· ἔπειτα γενικῶς περιλαβὼν πᾶσαν ἀγαθοεργίαν, εἶπε « Τὸ λοιπόν, ἀδελφοί,

(1) Φιλ. 3, 8. (2) Ἰωάν. 14, 23. (3) Ψαλ. 50, 11, 12. (4) Φιλ. 4, 4. (5) Αὐτ 4, 4.

» ὅσα ἐστὶν ἀληθῆ, ὅσα σεμνά, ὅσα δίκαια, » ὅσα ἁγνά, ὅσα προσφιλῆ, ὅσα εὔφημα, εἴτις ἀρετὴ καὶ εἴτις ἔπαινος, ταῦτα λογίζεσθε, ταῦ- » τα πράσσετε· καὶ ὁ Θεὸς τῆς εἰρήνης ἔ- » σται μεθ' ὑμῶν » (1)· ὅταν δὲ ὁ Θεὸς μεθ' ὑμῶν, τότε ἡ χαρὰ τοῦ Θεοῦ ἐν ὑμῖν μένει (2), καὶ ἡ χαρὰ ὑμῶν πεπληρωμένη ἐστί· καὶ τὴν χαρὰν ὑμῶν οὐδεὶς αἴρει ἀφ' ὑμῶν (3).

# ΟΜΙΛΙΑ

ΜΕΤΑ ΤΗΝ ΠΡΟΣ

## ΓΑΛΑΤΑΣ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗι ΚΥΡΙΑΚΗι ΠΡΟ ΤΗΣ ΥΨΩΣΕΩΣ.

ΑΣΥΓΚΡΙΤΩΣ περισσότερον ἠγωνίσθησαν οἱ θεῖοι Ἀπόστολοι, ἵνα πρὸς τὴν εἰς Χριστὸν πίστιν ἑλκύσωσι τοὺς Ἰουδαίους, ἤπερ τοὺς ἐθνικοὺς εἰδωλολάτρας· εὐκολώτερον ἐπληροφορεῖτο ὁ εἰδωλολάτρης, ὅτι τὰ παρ' αὐτοῦ λατρευόμενα ξόανα οὐκ ἦσαν θεοί, δυσκολώτερα δὲ ἐπείθετο ὁ σκληροτράχηλος Ἑβραῖος, ὅτι ὁ νόμος ὃν ἐκ Θεοῦ ἔλαβεν, ἦν τυπικὸς καὶ σκιώδης, τὸν Ἰησοῦν Χριστὸν προκαταγγέλλων· ὡς κωφὸς οὐκ ἤκουε τῶν ἁγίων προφητῶν τὰ λόγια, τὰ τοσοῦτον φανερῶς προφητεύσαντα τὰ περὶ τοῦ Ἰησοῦ Χριστοῦ, καὶ ὡς τυφλὸς οὐκ ἔβλεπεν οὐδὲ αὐτοῦ τοῦ Ἰησοῦ Χριστοῦ, οὐδὲ τῶν θεοφόρων Ἀποστόλων τὰ ἐξαίσια θαύματα· μὴ δυνάμενος δὲ νοῆσαι, ὅτι ἡ σαρκικὴ περιτομὴ τύπος ἦν τῆς πνευματικῆς, κατ' οὐδένα τρόπον ὑπέφερε τὴν ἀθέτησιν αὐτῆς, καὶ τὴν τελείαν ἐξουδένωσιν· ἐσκανδάλιζε δὲ αὐτὸν παραλόγως τὸ μυστήριον τοῦ ζωηφόρου σταυροῦ, ἐπειδὴ παχυλῶς ἐννόει τό, « Κεκατηραμένος ὑπὸ Θεοῦ » πᾶς κρεμάμενος ἐπὶ ξύλου » (4). Ἐκ τούτου, κἂν τινες ἐκ τῶν Ἰουδαίων ἐπίστευσαν εἰς τὸν Χριστόν, θέλοντες ὅμως ἀρέσαι εἰς τοὺς ὁμογενεῖς αὐτῶν, ἠνάγκαζον τοὺς εἰς τὴν πίστιν προσερχομένους, ἵνα περιτέμνωνται, καὶ οὕτως ἔφευγον τοὺς φοβεροὺς διωγμοὺς τῶν ἀπίστων Ἰουδαίων, ὅσους ἐκίνουν κατὰ τῶν κηρυττόντων Χριστὸν ἐσταυρωμένον· (5) Διὰ τῆς σήμερον ἀναγνωσθείσης ἐπιστολῆς ἐλέγχει ὁ θεόφρων Παῦλος τὸ σφάλμα τῶν ἀναγκαζόντων περιτέμνεσθαι, καὶ ὡς μηδόλως φοβούμενος τοὺς διώκτας τοῦ σταυροῦ, λαμπρᾷ τῇ φωνῇ κηρύττει· « Ἐμοὶ δὲ μὴ γένοιτο καυχᾶ- » σθαι, εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ » (6). Ἐπειδὴ δὲ ἡ ἑρμηνεία ὅλης τῆς ἀναγνωσθείσης περικοπῆς προλαβὸν ἐγράφη, διὰ τοῦτο ἀφιεροῦντες σήμερον τὸν λόγον εἰς ταύτην μόνην τὴν ἀποστολικὴν καύχησιν (7), πρῶτον μὲν ἐρευνῶμεν τῆς καυχήσεως τὰ εἴδη· δεύτερον δέ, διὰ ποῖον λόγον ὁ Ἀπόστολος καταλιπὼν

(1) Φιλ. 4, 8, 9. (2) Ἰωάν. 15. 11. (3) Αὐτ. 16, 22. (4) Δευτ. 21, 23. (5) Α'. Κορ. 1, 23.
(6) Γαλ. 6, 14 (7) ὅρα σελ, 46. Κυρ. κβ'.



πᾶν ἄλλο καύχημα, ἐκαυχᾶτο « Ἐν τῷ » σταυρῷ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χρι- » στοῦ ».

Καυχῶνται οἱ ἄνθρωποι εἰς τὴν φρόνησιν αὐτῶν, εἰς τὴν σοφίαν, εἰς τὸ κάλλος, εἰς τὴν ἀνδρείαν, εἰς τὸν πλοῦτον, εἰς τὰ ἀξιώματα, εἰς τὴν εὐγένειαν, καὶ εἰς πᾶν ἄλλο σωματικὸν ἀγαθόν· καυχῶνται εἰς τὸν ζῆλον, εἰς τὴν ἐλεημοσύνην, εἰς τὴν ἀγάπην, εἰς τὴν σωφροσύνην, εἰς τὴν ὑπομονήν, εἰς τὴν δικαιοσύνην αὐτῶν, καὶ εἰς πᾶν ἄλλο ἔργον πνευματικόν· καυχῶνται καὶ ἐπὶ τοῖς θαυμασίοις ἔργοις τῆς παντουργοῦ δυνάμεως τοῦ Θεοῦ· ἡ πρώτη ἐστὶ καύχησις σωματική· ἡ δευτέρα ψυχική, ἡ τρίτη ἐστὶ καύχησις θεία· ἡ πρώτη καύχησίς ἐστιν ἁμαρτία, παροργίζουσα τὸν Θεόν, καὶ ἑτοιμάζουσα εἰς τὸν καυχώμενον αὐστηροτάτην παίδευσιν· ὁ Ναβουχοδονόσορ ἐκαυχήθη ἐπὶ τῇ βασιλικῇ αὐτοῦ δυνάμει καὶ ἐξουσίᾳ « Καὶ τίς ἐστι Θεός, εἶπε πρὸς » τοὺς τρεῖς παῖδας, ὃς ἐξελεῖται ὑμᾶς ἐκ » τῆς χειρός μου; οὐχ αὕτη ἐστὶ Βαβυλὼν » ἡ μεγάλη, ἣν ἐγὼ ᾠκοδόμησα εἰς οἶκον » βασιλείας, ἐν τῷ κράτει τῆς ἰσχύος μου, » εἰς τιμὴν τῆς δόξης μου » (1); ἔτι δὲ ὁ λόγος τῆς τοιαύτης καυχήσεως ἵστατο ἐν τῷ στόματι αὐτοῦ, καὶ ἰδοὺ φωνὴ ἀπ' οὐρανοῦ, κηρύττουσα τὴν τούτου καταδίκην· « Αὐτῇ δὲ τῇ ὥρᾳ ὁ λόγος συνετελέσθη ἐπὶ » Ναβουχοδονόσορ· καὶ ἀπὸ τῶν ἀνθρώ- » πων ἐξεδιώχθη, καὶ χόρτον ὡς βοῦς ἤσθιε, » καὶ ἀπὸ τῆς δρόσου τοῦ οὐρανοῦ τὸ σῶ- » μα αὐτοῦ ἐβάφη, ἕως αἱ τρίχες αὐτοῦ ὡς » λεόντων ἐμεγαλύνθησαν, καὶ οἱ ὄνυχες » αὐτοῦ ὡς ὀρνέων » (2). Βλέπε δὲ καὶ τὸν Ἡρώδην· αὐτὸς βασιλικὴν ἐσθῆτα ἐνδεδυμένος καὶ ἐπὶ τοῦ βήματος καθήμενος, ἐδημηγόρει τὰ περὶ τοῦ κράτους καὶ τῆς ἐξουσίας αὐτοῦ· ὁ δὲ λαός, εἴτε κολακεύων αὐτόν, εἴτε θαυμάζων τὴν δύναμιν τῆς δημηγορίας αὐτοῦ, ἐκραύγαζε· « Θεοῦ φωνὴ καὶ » οὐκ ἀνθρώπου » (3)· αὐτὸς δὲ ὁ πανάθλιος ταύτην τὴν φωνὴν ἀκούσας, οὐκ ἐδόξασε τὸν Θεόν, τὸν δόντα αὐτῷ καὶ τὴν βασιλείαν καὶ τοῦ λόγου τὴν δύναμιν· καὶ ἰδοὺ εὐθὺς « Ἐπάταξεν αὐτὸν ἄγγελος Κυρίου, » ἀνθ' ὧν οὐκ ἔδωκε τὴν δόξαν τῷ Θεῷ· » καὶ γενόμενος σκωληκόβρωτος ἐξέψυ- » ξεν » (4).

Πολλὰ μακρὰν ἀπέχουσιν οἱ ἅγιοι ἄνθρωποι ἀπὸ ταύτης τῆς κοσμικῆς καυχήσεως· « Μὴ καυχᾶσθε, διδάσκουσι, καὶ μὴ » μὴ λαλεῖτε ὑψηλά· μὴ ἐξελθέτω μεγαλοῤ- » ῥημοσύνη ἐκ τοῦ στόματος ὑμῶν· μὴ καυ- » χάσθω ὁ φρόνιμος ἐν τῇ φρονήσει αὐτοῦ, » καὶ μὴ καυχάσθω ὁ δυνατὸς ἐν τῇ δυ- » νάμει αὐτοῦ, καὶ μὴ καυχάσθω ὁ πλού- » σιος ἐν τῷ πλούτῳ αὐτοῦ » (5)· πολλῷ περισσότερον ἀπεῖχε ταύτης τῆς καυχήσεως ὁ τρισμακάριος Παῦλος, ὅστις σκύβαλα ἐνόμιζε πάντα τὰ ἐγκόσμια (6)· τόσον ἀπεῖχεν ἀπὸ τῆς κατὰ τὴν σάρκα καυχήσεως, ὥστε, ὅταν ἐγνώρισεν, ὅτι ἀνάγκη ἐςίν, ἵνα καυχηθῇ, ἐπειδὴ οἱ ψευδαπόςολοι ἐπλάνων τοὺς πιστούς, καυχώμενοι ἐν τῷ γένει αὐτῶν, καὶ ἐν τοῖς προγόνοις, καὶ ἐν τοῖς ὑπὲρ τοῦ Χριστοῦ κόποις, τότε πρῶτον μὲν ὡμολόγησεν, ὅτι λαλεῖ ὡς μωρὸς καὶ ἄφρων, « Ὃ λαλῶ, εἶπεν, οὐ λαλῶ κατὰ » Κύριον, ἀλλ' ὡς ἐν ἀφροσύνῃ· ἐν ταύτῃ » τῇ ὑποστάσει τῆς καυχήσεως » (7)· καὶ πάλιν· « Ἡδέως γὰρ ἀνέχεσθε τῶν ἀφρό- » νων, φρόνιμοι ὄντες »· καὶ πάλιν· « Ἐν

(1) Δαν. 3, 15, 4, 27. (2) Αὐτ. 13. (3) Πράξ. 12, 22. (4) Αὐτ. 23. (5) Α'. Βασ. 2, 3, 10.
(6) Φιλ. 3, 8. (7) Β'. Κορ. 11, 17, 19, 21.

ᾧ δ' ἄν τις τολμᾷ (ἐν ἀφροσύνῃ λέγω), τολμῶ κἀγώ »· ἔπειτα τέλος πάντων εἶπεν· « Ἑβραῖοί εἰσι; κἀγώ· Ἰσραηλῖταί εἰσι; κἀγώ· διάκονοι Χριστοῦ εἰσι; (παραφρονῶν λαλῶ) ὑπὲρ ἐγώ » (1).

Περὶ δὲ τῶν καυχωμένων εἰς τὰς ἀρετὰς αὐτῶν, παράδειγμα βλέπομεν φοβερὸν ἐν τῷ ἱερῷ Εὐαγγελίῳ. Δύο ἄνθρωποι, λέγει, ἀνέβησαν εἰς τὸ ἱερόν, ἵνα προσευχηθῶσιν· ὁ εἷς Φαρισαῖος, ἤγουν δίκαιος, ὁ ἕτερος τελώνης, τουτέστιν ἁμαρτωλός· ὁ Φαρισαῖος οὐ προσεύχεται, ἀλλὰ μεγαλοῤῥημονεῖ, καὶ καυχᾶται· « Οὐκ εἰμί, λέγει, ὥσπερ οἱ λοιποὶ τῶν ἀνθρώπων, ἅρπαγες, ἄδικοι, μοιχοί, ἢ καὶ ὡς οὗτος ὁ τελώνης· νηστεύω δὶς τοῦ σαββάτου· ἀποδεκατῶ πάντα, ὅσα κτῶμαι » (2)· ὁ δὲ τελώνης νομίζων ἑαυτὸν ἀνάξιον ὑψῶσαι τὰ ὄμματα εἰς τὸν οὐρανόν, κάτω νενευκώς, ἔτυπτε τὸ στῆθος αὐτοῦ, καὶ ἔλεγεν· « Ὁ Θεός, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ » (3)· κατέβησαν δὲ ἀπὸ τοῦ ἱεροῦ ὁ μὲν Φαρισαῖος ὁ δίκαιος, κατακεκριμένος διὰ τὴν ἐξ ὑπερηφανείας καύχησιν· ὁ δὲ τελώνης, ὁ ἁμαρτωλός, δεδικαιωμένος διὰ τὴν ἐκ ταπεινώσεως μετάνοιαν· οὕτως οὖν ἡ καύχησις ἐν μιᾷ στιγμῇ καιροῦ σκορπίζει πάντα τῶν ἀρετῶν τὰ ἔργα, τὰ μετὰ πολὺν χρόνον διὰ πολλῶν κόπων κατορθωθέντα.

Βλέπε δὲ τὸν Παῦλον ἀναβάντα μὲν εἰς τὴν τελειότητα πάσης ἀρετῆς, κηρύττοντα δὲ μεγάλῃ τῇ φωνῇ· « Χριστὸς Ἰησοῦς ἦλθεν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτός εἰμι ἐγώ » (4). Οἱ Κορίνθιοι ἠνάγκασαν αὐτόν, ἵνα διηγηθῇ τὰ ἑαυτοῦ κατορθώματα, ὅπως δι' αὐτῶν ἐπιστομίζωσι τοὺς ψευδαποστόλους· ἐπειδὴ δὲ ἐγνώριζεν ὁ ἀοίδιμος, ὅτι ἡ διήγησις τῆς ὀπτασίας αὐτοῦ ἦν ἀποδεικτικὴ τῆς τελείας αὐτοῦ ἀρετῆς καὶ ἁγιότητος, ἠγωνίσθη μέν, ὅσον ἠδύνατο, ἐπικρύψαι τὴν καύχησιν· ὅθεν ἐσχημάτισε τὸν λόγον εἰς ἄλλο πρόσωπον· « Οἶδα ἄνθρωπον, εἶπεν ἐν Χριστῷ πρὸ ἐτῶν δεκατεσσάρων (εἴτε ἐν σώματι, οὐκ οἶδα· εἴτε ἐκτὸς τοῦ σώματος, οὐκ οἶδα· ὁ Θεὸς οἶδεν), ἁρπαγέντα τὸν τοιοῦτον ἕως τρίτου οὐρανοῦ » (5)· ἐπεκάλυψε δέ, ὅσον ἠδυνήθη, καὶ τὴν τελειότητα τῆς ψυχῆς αὐτοῦ, εἰπών· « Ἐδόθη μοι σκόλοψ τῇ σαρκί, ἄγγελος σατάν, ἵνα με κολαφίζῃ, ἵνα μὴ ὑπεραίρωμαι » (6)· πλὴν ὡμολόγησεν, ὅτι κἂν ἐξ ἀνάγκης ἐκαυχήθη, ἐγένετο ὅμως ἄφρων· « Γέγονα, λέγει, ἄφρων, καυχώμενος· ὑμεῖς με ἠναγκάσατε » (7).

Ἀληθῶς δὲ μωρία καὶ ἀφροσύνη ἐστὶν ἡ καύχησις. Τί καυχᾶσαι, ὦ ἄνθρωπε, ὁ ἀπ' ἀρχῆς πηλός, καὶ μετ' ὀλίγον ὁ αὐτός; καυχᾶσαι εἰς τὴν ἀνδρείαν, εἰς τὴν ὡραιότητα καὶ τὴν ἐπιτηδειότητα τῶν μελῶν τοῦ σώματός σου, ἢ εἰς τὴν εὐφυΐαν, καὶ φρόνησιν, καὶ τὸ διακριτικὸν τῆς ψυχῆς σου; ἀλλὰ τίς ἐποίησέ σου τὸ σῶμα; τίς ἔπλασε τὴν ψυχήν σου; τοῦ Θεοῦ αἱ χεῖρες· ὅθεν ὁ προφήτης ἔψαλλεν· « Αἱ χεῖρές σου ἐποίησάν με » (8) τί καυχᾶσαι; εἰς τὸν πλοῦτόν σου; εἰς τὴν ἐξουσίαν σου; εἰς τὰ ἀξιώματά σου; ἀλλὰ σὺ γυμνὸς ἐξῆλθες ἐκ κοιλίας μητρός σου, γυμνὸς καὶ ἀπελεύσῃ (9)· εἴτι καὶ ἂν ἔχῃς, τοῦ Θεοῦ ἐστι. « Κύριος πτωχίζει καὶ πλουτίζει, ταπεινοῖ καὶ ἀνυψοῖ· ἀνιστᾷ ἀπὸ γῆς πένητα, καὶ ἀπὸ κοπρίας ἐγείρει πτωχόν » (10)· τί καυχᾶσαι; διὰ τὰ ἐνάρετα ἔργα σου; ἀλλὰ καὶ αὐτὰ τοῦ Θεοῦ εἰσι· διότι αὐτὸς καὶ συνεργεῖ πρὸς τὴν θέλησιν ἡμῶν, καὶ συμβοηθεῖ πρὸς τὴν τούτων κατόρθωσιν· « Ὁ Θεὸς γάρ ἐστιν ὁ ἐνεργῶν ἐν ὑμῖν καὶ τὸ θέλειν, καὶ τὸ ἐνεργεῖν ὑπὲρ τῆς εὐδοκίας », (1), χωρὶς δὲ τοῦ Θεοῦ οὐδεὶς οὐδὲν κατορθῶσαι δύναται· « Χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν » (2). Πόσον ἀσύνετον καὶ μωρὸν ἐνόμιζες ἐκεῖνον τὸν ἄνθρωπον, ὅστις ἐνδεδυμένος ξένα ἐνδύματα, περιήρχετο ἔνθεν κἀκεῖθεν, καυχώμενος καὶ κομπάζων ἐπ' αὐτοῖς, ὥσπερ ἂν εἰ ἦσαν ἴδια ἑαυτοῦ τὰ ξένα καὶ ἀλλότρια; καὶ ὅμως οἱ καυχώμενοι ἀφρονέστεροί εἰσι τοῦ τοιούτου ἀνθρώπου καὶ ἀσυνετώτεροι· ποσάκις ἡμεῖς οἱ τάλανες, παρακούοντες τὸ θεῖον πρόσταγμα, « Γίνεσθε οὖν φρόνιμοι ὡς οἱ ὄφεις » (3), γινόμεθα ἄφρονες, καὶ μεγαλοῤῥημονοῦμεν, καὶ καυχώμεθα, ἄλλοτε μὲν ὡς ὁ Ναβουχοδονόσορ καὶ ὁ Ἡρώδης, ἄλλοτε δέ, ὡς ὁ Φαρισαῖος, μηδόλως αἰσθανόμενοι τὸ βάρος τοῦ ἁμαρτήματος τῆς καυχήσεως.

Θυγάτηρ τῆς ὑπερηφανείας ἐστὶν ἡ καύχησις· ὅθεν ἐπίσης μισεῖ ὁ Θεὸς καὶ τὴν μητέρα, καὶ τὴν θυγατέρα. Ἀλλ' ἆρά γε πᾶσα καύχησίς ἐστιν ὑπερηφάνεια; οὐχί· ἀκούσατε, πῶς ὁ Θεὸς διέστειλε καύχησιν ἀπὸ καυχήσεως, τὴν κοσμικὴν ἀπὸ τῆς θείας· « Τάδε λέγει Κύριος, μὴ καυχάσθω ὁ σοφὸς ἐν τῇ σοφίᾳ αὐτοῦ, καὶ μὴ καυχάσθω ὁ ἰσχυρὸς ἐν τῇ ἰσχύϊ αὐτοῦ, καὶ μὴ καυχάσθω ὁ πλούσιος ἐν τῷ πλούτῳ αὐτοῦ » (4)· διὰ τούτων τῶν λόγων ἐμποδίζει ὁ Θεὸς πᾶσαν καύχησιν, ἀναφερομένην πρὸς ἡμᾶς· « ἀλλ' ἢ ἐν τούτῳ, λέγει, καυχάσθω ὁ καυχώμενος, συνιεῖν καὶ γινώσκειν, ὅτι ἐγώ εἰμι Κύριος, ὁ ποιῶν ἔλεος, καὶ κρίμα, καὶ δικαιοσύνην ἐπὶ τῆς γῆς, ὅτι ἐν τούτοις τὸ θέλημά μου, λέγει Κύριος » (5). Διὰ τούτων δὲ τῶν λόγων ἐφανέρωσεν ὁ Θεός, ὅτι, ὅταν καυχώμεθα ὑπὲρ αὐτοῦ τότε ποιοῦμεν ἔργον ἀρεστὸν εἰς τὸ ἅγιον αὐτοῦ θέλημα· καυχῶ, λέγει ὁ Θεός, καὶ μεγαλοῤῥημόνει, διηγούμενος τὰ μεγαλεῖα τῆς θεότητός μου, μεγαληγόρει καὶ λέγε, ὅτι κατανοεῖς καὶ γνωρίζεις, ὅτι ἐγώ εἰμι ὁ Κύριος τῶν ἁπάντων, ὁ ἐλεήμων, ὁ κριτής, ὁ δίκαιος· ἐν τούτοις τοῖς καυχήμασιν ἐγὼ ἀρέσκομαι· διότι ἡ τοιαύτη καύχησίς ἐστι δοξολογία ἐμή, καὶ ὠφέλεια τῶν ἀνθρώπων· διά τοῦτο δὲ ὁ ἅγιος προφητάναξ ἐδέετο τοῦ Θεοῦ, ἵνα πληρώσῃ τὸ στόμα αὐτοῦ τῆς τοιαύτης καυχήσεως, ὅπως ὑμνολογῇ ὅλην τὴν ἡμέραν τὴν θείαν αὐτοῦ δόξαν καὶ μεγαλειότητα· « Πληρωθήτω, ἔλεγε, τὸ στόμα μου αἰνέσεως, ὅπως ὑμνήσω τὴν δόξαν σου, ὅλην τὴν ἡμέραν τὴν μεγαλοπρέπειάν σου » (6).

Οἱ ἐν Βαβυλῶνι ἅγιοι τρεῖς παῖδες ἐκαυχήθησαν τοιαύτην καύχησιν· ὁ μὲν Ναβουχοδονόσορ ἐφοβέριζεν αὐτούς, λέγων· ὅταν ἀκούσητε τὴν φωνὴν τῶν μουσικῶν ὀργάνων, ἐὰν μὴ προσκυνήσητε εὐθὺς τὴν εἰκόνα μου τὴν χρυσῆν, « Αὐτῇ τῇ ὥρᾳ ἐμβληθήσεσθε εἰς τὴν κάμινον τοῦ πυρός, τὴν καιομένην » (7)· αὐτοὶ δὲ τότε ἐκαυχήθησαν ἐνώπιον αὐτοῦ, καὶ ἐμεγαλοῤῥημόνησαν· πλὴν ἡ καύχησις αὐτῶν ἐκήρυττεν, ὅτι ἐστὶ Θεὸς ἐν οὐρανῷ, καὶ ἡ μεγαλοῤῥημοσύνη αὐτῶν ἐδίδασκε τοῦ Θεοῦ τὴν παντοδυναμίαν· « Οὐ χρείαν ἔχομεν, εἶπον, περὶ τοῦ ῥήματος τούτου ἀποκριθῆναί σοι· ἔστι γὰρ Θεὸς ἡμῶν ἐν οὐρανοῖς, ᾧ ἡμεῖς λατρεύομεν, δυνατὸς ἐξελέσθαι ἡμᾶς ἐκ τῆς καμίνου τοῦ πυρός, τῆς καιομένης,

(1) Β'. Κορ. 22, 23. (2) Λουκ. 18, 11, 12. (3) Αὐτ. 13. (4) Α'. Τιμ. 1, 15. (5) Β'. Κορ. 12, 2. (6) Αὐτ. 7. (7) Αὐτ. 11. (8) Ψαλ. 118, 73. (9) Ἰώβ. 1, 21. (10) Α'. Βασ. 2, 7, 8.



(1) Φιλιπ. 2, 13. (2) Ἰωάν. 15, 5. (3) Ματθ. 10, 16. (4) Ἱερ. 9, 23. (5) Αὐτ. 24. (6) Ψαλ. 70, 8. (7) Δαν. 3, 15.

» καὶ ἐκ τῶν χειρῶν σου, βασιλεῦ, ῥύσεται » ἡμᾶς » (1)· τοῦτο τὸ καύχημα τόσον ἀρεστὸν ἐφάνη εἰς τὸν Θεόν, ὥστε μετέβαλε τὴν φλόγα τῆς ἑπταπλασίως καυθείσης καμίνου εἰς αὔραν δροσώδη καὶ χλοεράν· καὶ οἱ μὲν τρεῖς παῖδες περιεπάτουν ἐν τῷ μέσῳ τῆς φλογός, ὡς ἐν μέσῳ δρόσου γλυκερᾶς, ψάλλοντες καὶ δοξολογοῦντες τὸν Θεόν· ὁ δὲ Ναβουχοδονόσορ τὴν ψαλμῳδίαν ἀκούσας, καὶ ἰδὼν αὐτοὺς ἐξελθόντας τῆς καμίνου κατὰ πάντα ἀβλαβεῖς, ἐξεστηκώς, ἐκραύγαζε μεγαλοφώνως· « Εὐλογητὸς ὁ » Θεὸς τοῦ Σεδράχ, Μισάχ, Ἀβδεναγώ, » ὃς ἀπέστειλε τὸν ἄγγελον αὐτοῦ, καὶ ἐ» ξείλετο τοὺς παῖδας αὐτοῦ, ὅτι ἐπεποί» θεισαν ἐπ' αὐτῷ » (2)· τοιαύτην καύχησιν ἐκαυχήσαντο καὶ οἱ πρὸ τῶν μαρτύρων μάρτυρες, οἱ ἅγιοι Μακκαβαῖοι (3)· τοιαύτη δὲ ἦν καὶ ἡ καύχησις τοῦ Παύλου, καύχησις ἁγία, καὶ εἰς τὸν Θεὸν εὐπρόσδεκτος· διότι, καθὼς οἱ τρεῖς παῖδες, καὶ οἱ ἑπτὰ Μακκαβαῖοι ἐκαυχῶντο εἰς τὰ ἔργα τῆς τοῦ Θεοῦ δυνάμεως, οὕτως ὁ Παῦλος ἐκαυχᾶτο εἰς τὰ ἔργα τῆς δυνάμεως τοῦ σταυροῦ· « Ἐμοὶ δέ, ἔλεγε, μὴ γένοιτο καυχᾶσθαι, » εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ Χριστοῦ » (4).

Ἁγία ἡ τοιαύτη καύχησις· ἀλλὰ διὰ τί τό, « εἰ μή ; » ὥσπερ ἂν εἰ ἔλεγεν ἐν μόνῳ τῷ σταυρῷ τοῦ Χριστοῦ· διότι ὁ σταυρὸς τοῦ Χριστοῦ ἐτελείωσε τὸ ἔργον τοῦ Θεοῦ, ἤγουν τὴν σωτηρίαν τῶν ἀνθρώπων. Ἀλλ' οὐκ ἦσαν ἔργα Θεοῦ σωτήρια καὶ ἡ ἐνανθρώπησις τοῦ θείου λόγου, καὶ τὸ πάθος, καὶ ἡ ἀνάστασις, καὶ ἡ ἀνάληψις, καὶ ἡ ἐκ δεξιῶν τῆς μεγαλωσύνης καθέδρα, καὶ τοῦ παναγίου Πνεύματος ἡ οὐρανόθεν ἀποστολή; διὰ τί οὖν οὐκ ἐν τούτοις, ἀλλ' ἐν τῷ σταυρῷ ἐκαυχᾶτο ὁ θεόληπτος Παῦλος; Ἡ ἐνανθρώπησις τοῦ Υἱοῦ τοῦ Θεοῦ ἦν ὁ σκοπός, οὐχὶ δὲ ἡ τελείωσις τῆς σωτηρίας τῶν ἀνθρώπων· οὕτω πιστεύομεν, καὶ οὕτως ὁμολογοῦντες, λέγομεν· « Τὸν δι' ἡμᾶς τοὺς » ἀνθρώπους, καὶ διὰ τὴν ἡμετέραν σωτη» ρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν, καὶ » σαρκωθέντα ἐκ Πνεύματος ἁγίου, καὶ Μα» ρίας τῆς παρθένου, καὶ ἐνανθρωπήσαντα »· τὸ δὲ πάθος τοῦ ἐνανθρωπήσαντος Υἱοῦ τοῦ Θεοῦ ἡ ἀρχὴ ἦν, οὐχὶ δὲ ἡ τελείωσις τῆς σωτηρίας· « Ἔπρεπε γὰρ αὐτῷ, δι' ὃν τὰ » πάντα, καὶ δι' οὗ τὰ πάντα, πολλοὺς υἱοὺς » εἰς δόξαν ἀγαγόντα, τὸν ἀρχηγὸν τῆς » σωτηρίας διὰ παθημάτων τελειῶσαι » (5)· τότε δὲ διὰ παθημάτων ἐτελείωσεν, ὅτε ἐν τῷ σταυρῷ κρεμάμενος, προσενεγκὼν ἑαυτὸν θυσίαν τῷ Θεῷ ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν, παρέδωκε τὴν ψυχὴν αὐτοῦ τῷ Θεῷ καὶ πατρί· τότε δὲ ἐτελείωσε τῆς σωτηρίας ἡμῶν τὸ ἔργον· διὰ τοῦτο τότε, ὅτε ἐν τῷ σταυρῷ κρεμάμενος, ἔλαβε τὸ ὄξος, εἶπε· « Τετέλεσται· καὶ κλίνας τὴν κεφαλὴν πα» ρέδωκε τὸ πνεῦμα » (6)· « τετέλεσται », ἔλαβε δηλονότι τέλος ἡ μεταξὺ Θεοῦ καὶ ἀνθρώπων ἔχθρα· « τετέλεσται », ἔλαβε τέλος τὸ κράτος τῆς ἁμαρτίας καὶ ἡ ἐξουσία τοῦ θανάτου· « τετέλεσται », ἐτελειώθη τὸ ἔργον τῆς τῶν ἀνθρώπων σωτηρίας. Ἡ ἀνάστασις, ἡ ἀνάληψις, ἡ ἐκ δεξιῶν καθέδρα, τοῦ ἁγίου Πνεύματος ἡ κατάβασις, ἦσαν ἑπόμενα καὶ ἀκόλουθα καὶ καρποφορίαι τῆς ἐν τῷ σταυρῷ ζωοποιοῦ θυσίας. Ὅστις οὖν καυχᾶται ἐν τῷ σταυρῷ τοῦ Χριστοῦ, ἐκεῖνος καυχᾶται εἰς πάντα τὰ ὑπὲρ τῆς σωτηρίας ἡμῶν τελεσθέντα μυστηριώδη τοῦ Θεοῦ ἔργα. Ἰδοὺ οὖν, οὗτός

(1) Δαν. 3, 16, 17. (2) Αὐτ. 28. (3) Β'. Μακ. 7, 16, 17. (4) Γαλ. 6, 14. (5) Ἑβρ. 2, 10. (6) Ἰωάν. 19, 30.



ἐστιν ὁ λόγος, δι' ὃν ὁ θεοδίδακτος Παῦλος οὐκ ἐκαυχᾶτο, εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ Χριστοῦ.

Ἀληθῶς δὲ πρᾶγμα καυχήσεως ἄξιόν ἐστιν ὁ σταυρός τοῦ Χριστοῦ, οὐ μόνον διὰ τὸν εἰρημένον λόγον, ἀλλὰ καὶ διὰ τὰ ὑπὸ τοῦ ἐν αὐτῷ σταυρωθέντος τελεσθέντα μεγάλα καὶ παράδοξα κατορθώματα· οἱ μὲν Ἰουδαῖοι τὸν σταυρὸν ἐνόμιζον αἰσχύνης ὄργανον, τὸν δὲ ἐσταυρωμένον ἐπικατάρατον· οἱ δὲ Ἕλληνες, κἂν πολλοὺς καὶ παντοίους εἶχον θεούς, μὴ ἔχοντες ὅμως Θεὸν ἐσταυρωμένον, παραφροσύνην ἐλογίζοντο τοῦ σταυροῦ τὸ κήρυγμα· κἂν δὲ καὶ ὁ Παῦλος καὶ οἱ λοιποὶ Ἀπόστολοι ἐγίνωσκον καὶ τῶν Ἰουδαίων τὰ περὶ τοῦ σταυροῦ φρονήματα, καὶ τῶν Ἑλλήνων τὰς περὶ τοῦ ἐσταυρωμένου χλεύας, αὐτοὶ ὅμως μηδόλως συστελλόμενοι, μετὰ παῤῥησίας πανταχοῦ ἐκήρυττον καὶ εἰς τοὺς Ἰουδαίους, καὶ εἰς τοὺς ἐθνικούς, ὅτι ὁ μὲν σταυρός ἐστι τὸ ὄργανον τῆς σωτηρίας, ὁ δὲ ἐν αὐτῷ σταυρωθεὶς Ἰησοῦς Χριστός ἐστιν ὁ Θεός, ὁ δημιουργός πάσης τῆς ὁρατῆς καὶ ἀοράτου κτίσεως· « Ἡμεῖς δὲ κηρύσσομεν, ἔλεγεν ὁ Παῦλος, » Χριστὸν ἐσταυρωμένον, Ἰουδαίοις μὲν » σκάνδαλον, Ἕλλησι δὲ μωρίαν » (1)· Πλὴν τοῦτο οὐκ ἔστι παράδοξον· οἱ Ἀπόστολοι πεπληροφορημένοι ὄντες περὶ τῆς ἀληθείας τῆς πίστεως, ἐξ ὧν εἶδον καὶ ἤκουσαν, καὶ ζήλου θείου πνέοντες, ἐκήρυττον καὶ εἰς τοὺς Ἰουδαίους καὶ εἰς τοὺς Ἕλληνας, ὅτι ὁ σταυρωθεὶς Ἰησοῦς Χριστός ἐστι Θεὸς ἀληθινός· διὸ καὶ ἔλεγον· « Οὐ » δυνάμεθα γὰρ ἡμεῖς, ἃ εἴδομεν καὶ ἠκού» σαμεν, μὴ λαλεῖν » (2)· παράδοξον δέ ἐστι τό, πῶς τὸ σκάνδαλον ἔπεισε τοὺς Ἰουδαίους, καὶ ἡ μωρία ἐπληροφόρησε τοὺς Ἕλληνας· παράδοξον καὶ ἀκατανόητον τό, πῶς καὶ ὁ Ἰσραηλίτης, ὁ πιστεύων, ὅτι πᾶς ὁ κρεμάμενος ἐπὶ ξύλου ἐστὶ κεκατηραμένος ὑπὸ Θεοῦ, καὶ ὁ Ἕλλην πεπεισμένος, ὅτι τὸ τοιοῦτον κήρυγμά ἐστι μωρία, ἐπίστευσαν καὶ ἐπληροφορήθησαν, ὅτι ὁ Χριστός, ὁ ἐπὶ Ποντίου Πιλάτου ὡς πταίστης καταδικασθεὶς εἰς θάνατον, καὶ σταυρωθείς, καὶ ἀποθανὼν ἐστι Θεὸς παντοκράτωρ, ποιητὴς καὶ προνοητὴς πάντων τῶν ὁρατῶν καὶ ἀοράτων· παράδοξον καὶ ἀκατανόητον τό, πῶς τόσα ἀναρίθμητα πλήθη Ἰουδαίων καὶ ἐθνικῶν ἐδέχθησαν τὴν τοιαύτην πίστιν.

Ἡ βία καὶ ἡ δυναστεία ἀναγκάζουσα, πολλὰ ποιεῖ· ἀλλὰ ποίαν δυναστείαν, ἢ βίαν ἐδύναντο ποιῆσαι οἱ Ἀπόστολοι, ἄνθρωποι ἄοπλοι, πάμπτωχοι, ἀγράμματοι; Ἡ ἐλπὶς τῆς ἀπολαύσεως τῶν κοσμικῶν πραγμάτων ἕλκει καὶ σύρει πολλούς· ἀλλὰ ποία ἐλπὶς σωματικῆς ἀπολαύσεως ἔσυρε τόσα πλήθη εἰς τὴν χριστιανικὴν πίστιν; Ἡ ἐλπὶς τοῦ πλούτου; ἀλλ' οἱ Ἀπόστολοι ἐκήρυττον πτωχείαν· « Ὕπαγε, ἔλεγον, πώ» λησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτω» χοῖς » (3). Ἡ ἐλπὶς τῆς μεγαλειότητος καὶ ἐξουσίας; ἀλλ' οἱ Ἀπόστολοι ἐδίδασκον εὐτέλειαν καὶ ὑπόκλισιν· « Ὃς ἐὰν θέλῃ, ἔλε» γον, ἐν ὑμῖν μέγας γενέσθαι, ἔστω ὑμῶν » διάκονος· καὶ ὃς ἐὰν θέλῃ ἐν ὑμῖν εἶναι » πρῶτος, ἔστω ὑμῶν δοῦλος » (4). Ἡ ἐλπὶς τῶν σαρκικῶν ἡδονῶν καὶ τῆς σωματικῆς τρυφῆς καὶ ἀναπαύσεως; ἀλλ' οἱ Ἀπόστολοι παῤῥησίᾳ ἐμαρτύρουν διὰ τοῦ Εὐαγγελίου, ὅτι ὁ Χριστὸς ὡροθέτησεν, ἵνα ὅστις θέλει γενέσθαι μαθητὴς αὐτοῦ, ἀπο-

(1) Α'. Κορ. 1, 23. (2) Πράξ. 4, 20. (3) Ματθ. 19, 21. (4) Αὐτ. 20, 26, 27.

στραφῇ πᾶσαν σωματικὴν ἡδονήν, καὶ πᾶσαν σωματικὴν εὐπάθειαν· « Εἴτις θέλει » ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτόν, » καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκο» λουθείτω μοι » (1). Ἡ ἐλπὶς τῆς ἀγάπης καὶ περιποιήσεως τοῦ κόσμου; ἀλλ' οἱ Ἀπόστολοι προέλεγον, ὅτι τοὺς πιστεύσαντας μισήσουσι πάντες οἱ κοσμικοὶ ἄνθρωποι· « Καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων » (2)· αὐτοὶ προέλεγον εἰς τοὺς πιστεύσαντας κακώσεις, διωγμούς, προδοσίας, φυλακάς, παρασυρμοὺς ἐνώπιον βασιλέων καὶ ἡγεμόνων, καὶ τελευταῖον μαρτυρικὸν θάνατον· « Ἐπιβαλοῦσιν, ἔλεγον, ἐφ' ὑμᾶς τὰς χεῖ» ρας αὐτῶν, καὶ διώξουσι, παραδιδόντες » εἰς συναγωγὰς καὶ φυλακάς, ἀγομένους » ἐπὶ βασιλεῖς καὶ ἡγεμόνας. Ἀποβήσεται » δὲ ὑμῖν εἰς μαρτύριον » (3).

Ποῖον οὖν κοσμικὸν πρᾶγμα ἔσυρεν εἰς τὴν εἰς Χριστὸν πίςιν τόσον ἄμετρον πλῆθος ἀνθρώπων, σοφοὺς καὶ ἀμαθεῖς, πλουσίους καὶ πένητας, ἄρχοντας καὶ δούλους, βασιλεῖς καὶ ὑπηκόους, ἄνδρας καὶ γυναῖκας, νέους καὶ γέροντας, πάσης ἡλικίας καὶ τάξεως καὶ καταστάσεως, παντὸς γένους, καὶ ἤθους, καὶ γλώσσης, καὶ θρησκείας; Ποῖον, λέγω, πρᾶγμα κοσμικὸν ᾐχμαλώτευσε τὸν νοῦν, ὑπέταξε τὴν καρδίαν, καὶ ἔπεισε τὴν ψυχὴν τοσούτων μυριάδων ἀνθρώπων, ὥστε μετὰ τοσαύτης προθυμίας κατεφρόνησαν πάντα τὰ ἐγκόσμια, καὶ μετὰ χαρᾶς ὑπέμειναν καὶ τὸν θάνατον ὑπὲρ τῆς ἀγάπης τοῦ Χριστοῦ; ποία δύναμις ἀνθρώπινος μετὰ τοσαύτης ταχύτητος μετέβαλε τὸ πρόσωπον τῆς γῆς ἀπὸ τῆς εἰδωλολατρείας εἰς τὴν εἰς Χριςὸν πίστιν, καὶ ἀπὸ τῆς δουλείας τῶν ἁμαρτιῶν εἰς τὴν ἐλευθερίαν τῆς ἀρετῆς; οὐ μόνον τὸ πλῆθος τῶν πιστευσάντων, ἀλλὰ καὶ ἡ ταχύτης, μεθ' ἧς ἡ πίστις ἐφηπλώθη, καὶ ἡ ἀρετὴ ἐπέλαμψεν, εἰσὶν ἔργα θαυμαστὰ καὶ παράδοξα. Αὐτοὶ οἱ Ἀπόστολοι, ἔτι ζῶντες, εἶδον ταύτην τὴν θαυμασίαν καὶ μυστηριώδη μεταβολήν· ὅθεν ὁ Παῦλος ἔγραφε πρὸς τοὺς Κολοσσαεῖς, ὅτι τοῦ Εὐαγγελίου τὸ κήρυγμα καρποφορεῖ ἐν ὅλῳ τῷ κόσμῳ, « ἐν τῷ λόγῳ τῆς ἀληθείας τοῦ » Εὐαγγελίου, τοῦ παρόντος εἰς ὑμᾶς, κα» θὼς καὶ ἐν παντὶ τῷ κόσμῳ· καὶ ἔστι » καρποφορούμενον, καθὼς καὶ ἐν ὑμῖν, ἀφ' » ἧς ἡμέρας ἠκούσατε καὶ ἐπέγνωτε τὴν » χάριν τοῦ Θεοῦ » (4). Ποῖος οὖν λόγος ἀνθρώπινος, ἢ ποία φυσικὴ ἢ κοσμικὴ δύναμις ἐποίησε ταῦτα; οὐδεμία· ἡ δύναμις μόνη καὶ ἡ χάρις τοῦ ὑπὲρ ἡμῶν σταυρωθέντος Χριστοῦ ταῦτα ἐποίησε τὰ θαυμαστὰ καὶ παράδοξα· τοῦτο δὲ καταισχύνει καὶ ἐπιστομίζει τοὺς ἀπίστους· κἂν δὲ βιάζωσιν ἑαυτοὺς εὑρεῖν λόγους εἰς ἀπόκρισιν, ὅμως τοσοῦτον παραλογοῦσιν, ὥστε φαίνεται εἰς τὸ πρόσωπον αὐτῶν τῆς ἐντροπῆς ἡ ἐρυθρότης.

Ἰδού, οὖν, ἀδελφοί, ἐξετάσαμεν ὅσον ἠδυνήθημεν, καὶ ὅσον ἡ ζητουμένη συντομία συνεχώρησε, ταῦτα τὰ θεόπνευστα λόγια· « Ἐμοὶ δὲ μὴ γένοιτο καυχᾶσθαι, εἰ » μὴ ἐν τῷ σταυρῷ τοῦ Χριστοῦ » (5). Τί δὲ ἐμάθομεν ἐκ ταύτης τῆς ἐξετάσεως; ἐμάθομεν, ὅτι ἡ καύχησις τοῦ Παύλου ἦν ἁγία καὶ θεάρεστος, καθότι ἐκαυχᾶτο ὑπὲρ τῶν μεγάλων καὶ ὑπερφυῶν ἔργων, ὧν ἐποίησεν ὁ ὑπὲρ ἡμῶν ςαυρωθεὶς Ἰησοῦς· ἡ δὲ καύχησις τῶν μεγαλορρημονούντων ὑπὲρ τῶν ἰδίων ἔργων ἢ τῶν ἀγαθῶν αὐτῶν, ἐςὶν ἁμαρ-

(1) Λουκ. 9, 23 (2) Ματθ. 10, 22. (3) Λουκ. 21, 12, 13. (4) Κολ. 1, 5, 6. (5) Γαλ. 6, 14.



τία θεοστυγής, μεγάλης τιμωρίας πρόξενος· ἐμάθομεν δὲ πρὸς τούτοις, ὅτι καὶ ἡ ὑποδοχή, καὶ ὁ πολυπλασιασμὸς τῆς χριστιανικῆς πίστεως, ἔργα εἰσὶ τῆς δεξιᾶς τοῦ ςαυρωθέντος Ἰησοῦ Χριστοῦ. Μακάριος οὖν, ὅστις κατὰ μίμησιν τοῦ Παύλου καυχᾶται ἐν τῷ σταυρῷ τοῦ Χριστοῦ· δυστυχὴς δέ, ὅστις μιμούμενος τοὺς ὑπερηφάνους ἀνθρώπους, καυχᾶται ὑπὲρ τῶν ἰδίων αὐτοῦ ἀγαθῶν καὶ κατορθωμάτων. Τίς δὲ ἆρά γε δύναται καυχᾶσθαι, ὡς ὁ Παῦλος ἐν τῷ ςαυρῷ τοῦ Χριστοῦ; οὐδεὶς ἄλλος, εἰμὴ ὅστις, ὡς ἐκεῖνος, ἐσταύρωσε τὰς ἐπιθυμίας τοῦ κόσμου· οὐδεὶς ἄλλος τῇ ἀληθείᾳ καυχᾶται, ὡς ὁ Παῦλος, εἰ μὴ ἐκεῖνος, ὅστις προσηλώσας τὸν νοῦν εἰς τοῦ Γολγοθᾶ τὸ ὄρος, τυπώσῃ εἰς τὴν καρδίαν αὐτοῦ τὸν σταυρὸν καὶ τὰ πάθη τοῦ Κυρίου, καὶ βλέπων αὐτὸν διαπαντὸς ἐν τῷ σταυρῷ κρεμάμενον, σταυροῖ τὴν ἑαυτοῦ σάρκα « σὺν τοῖς » παθήμασι καὶ ταῖς ἐπιθυμίαις » (1)· αὐτὸς τῷ ὄντι καυχᾶται, ὡς ὁ Παῦλος, λέγων· « Ἐμοὶ δὲ μὴ γένοιτο καυχᾶσθαι, εἰ μὴ » ἐν τῷ σταυρῷ τοῦ Χριστοῦ, δι' οὗ ἐμοὶ » κόσμος ἐσταύρωται, κἀγὼ τῷ κόσμῳ » (2).

# ΟΜΙΛΙΑ

ΜΕΤΑ ΤΗΝ ΠΡΟΣ

## ΓΑΛΑΤΑΣ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

### ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗι ΚΥΡΙΑΚΗι ΜΕΤΑ ΤΗΝ ΥΨΩΣΙΝ

« ΩΣ ἠγάπησα τὸν νόμον σου, Κύριε, » λέγει ὁ προφητάναξ Δαβίδ, ὅλην τὴν ἡ» μέραν μελέτη μου ἐστί » (3). Καὶ διὰ ποῖον μὲν λόγον ἠγάπα πολλὰ τὸν νόμον τοῦ Θεοῦ, φανερόν ἐστιν· ἠγάπα δηλονότι αὐτὸν πολλά, ἐπειδὴ αὐτός ἐστιν ἡ ἀλήθεια, καὶ ἡ δικαιοσύνη, καὶ ἡ ὁδηγία πρὸς πᾶσαν πρόσκαιρον εὐτυχίαν, καὶ πρὸς τὴν κληρονομίαν τῆς αἰωνίου μακαριότητος.

Ἀλλὰ διὰ τί ἐμελέτα αὐτὸν ὅλην τὴν ἡμέραν; αὐτὸς περιέχεται εἰς τοῦ Μωϋσέως τὴν πεντάβιβλον· ἡ δὲ πεντάβιβλος σύντομός ἐστι καὶ εὐμνημόνευτος· ὡς φαίνεται, τὰ αὐτὰ λόγια ἐπανελάμβανε καὶ ἐξήταζε πᾶσαν ἡμέραν· ἀλλὰ διὰ τί τοῦτο; διότι, λέγει, μελετῶν αὐτά, ἐμάνθανε περισσότερα καὶ αὐτῶν τῶν ἑαυτοῦ διδασκάλων· « Ὑπὲρ πάντας τοὺς διδάσκοντάς με συ» νῆκα, ὅτι τὰ μαρτύριά σου μελέτη μου » ἐστί » (4)· διότι, λέγει, ἐξετάζων αὐτά, ἐγίνετο σοφώτερος καὶ αὐτῶν τῶν γηραλαιοτέρων καὶ προβεβηκότων εἰς τὰς μαθήσεις· « Ὑπὲρ πρεσβυτέρους συνῆκα, ὅτι τὰς ἐν» τολάς σου ἐξεζήτησα (5). Ἄνδρες ἀδελ» φοί, ὅσα προεγράφη, εἰς τὴν ἡμετέραν » διδασκαλίαν προεγράφη » (6). Ὁ ἅγιος

(1) Γαλ. 5, 24. (2) Αὐτ. 6, 14. (3) Ψαλ. 118, 97. (4) Αὐτ. 99. (5) Αὐτ. 100. (6) Ῥωμ. 15, 4.

προφήτης ἔγραψε ταῦτα, διδάσκων καὶ νουθετῶν ἡμᾶς, ἵνα καὶ ἡμεῖς μελετῶντες ὅλην τὴν ἡμέραν, καὶ ἐξερευνῶντες τοῦ Κυρίου τὰ λόγια, σοφιζώμεθα, καὶ γινώσκωμεν τὴν ὁδὸν τῆς σωτηρίας. Τὰ ἀναγνωσθέντα λόγια τοῦ θεόφρονος Παύλου εἰσὶ λόγια Θεοῦ· κἂν δὲ καὶ ἄλλοτε ἐξητάσαμεν αὐτά (1), μελετήσωμεν ὅμως τὰ αὐτὰ καὶ τὴν σήμερον, προσηλώσαντες τὴν μελέτην καὶ ἔρευναν ἐξόχως εἰς ταῦτα τὰ θεῖα λόγια· « Χριστῷ συνεσταύρωμαι· ζῶ δὲ οὐκέτι » ἐγώ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός » (2).

Ἐὰν κατὰ τὸ γράμμα νοήσωμεν ταῦτα τὰ λόγια, οὐ μόνον οὐδὲν καταλαμβάνομεν, ἀλλὰ καὶ ἄτοπα συμπεραίνομεν νοήματα· ὁ Παῦλος οὐκ ἐσταυρώθη, ἀλλὰ τὴν κεφαλὴν ἀπετμήθη ὑπὸ τοῦ ἀσεβοῦς καὶ ἀδικωτάτου Νέρωνος. Ὅταν ὁ Ἰησοῦς Χριστὸς ἐσταυρώθη, ὁ Παῦλος ἦν ἄπιστος, καὶ διώκτης δὲ τοῦ Χριστοῦ, ὅταν ὁ πρωτομάρτυς Στέφανος ἐλιθοβολήθη· πῶς οὖν λέγει· « Χριστῷ συνεσταύρωμαι », ἤγουν ἐσταυρώθην μετὰ τοῦ Ἰησοῦ Χριστοῦ; Φανερὸν δὲ καὶ ὁμολογούμενον, ὅτι, ὅταν ὁ Παῦλος ταῦτα ἔγραφε, ζῶν ἔγραφε, καθὼς ζῶν ἐςὶ πᾶς ἄνθρωπος ὅταν γράφῃ· πῶς οὖν λέγει, ἐγὼ δὲ οὐκ ἔτι ζῶ, ὅπερ σημαίνει, ὅτι ἐγὼ ὁ γράφων εἰμὶ τεθνηκὼς καὶ νεκρός; πρὸς τούτοις μετὰ τὸ πάθος καὶ τὴν ἀνάστασιν ὁ Ἰησοῦς Χριστὸς ζῇ καὶ βασιλεύει εἰς πάντας τοὺς αἰῶνας, πανταχοῦ παρὼν ὡς Θεός, καὶ τὰ πάντα πληρῶν σὺν τῷ πατρὶ καὶ τῷ παναγίῳ αὐτοῦ πνεύματι· πῶς οὖν ὁ Παῦλος λέγει, « Ζῇ δὲ ἐν ἐμοὶ Χριστός »; ποίαν ζωὴν ὁ Χριστὸς ἔζη ἐν αὐτῷ; Ταῦτα ἀναγκάζουσιν ἡμᾶς, ἵνα πιστεύσωμεν, ὅτι ἀλληγορικὸν καὶ μυστικόν ἐστι τῶν προκειμένων λόγων τὸ νόημα.

Ἐπιβεβαιοῦσι τοῦτο ὅσα πρὸ τούτων εἶπεν ὁ Παῦλος· ἐὰν δὲ ἀκριβῶς αὐτὰ κατανοήσωμεν, κατανοοῦμεν καὶ τὰ ἑπόμενα, ἤγουν τὰ προκείμενα· αὐτὸς πρὸ τούτων εἶπεν· « Ἐγὼ γὰρ διὰ νόμου νόμῳ ἀπέθα» νον, ἵνα Θεῷ ζήσω » (3). Ταῦτα καταλαμβάνομεν, ἐὰν παραστήσωμεν, τί εἶπεν ὁ Θεὸς πρὸς τὸν Μωϋσῆν, ὅταν ἐλάλησε περὶ τῆς τοῦ Υἱοῦ αὐτοῦ ἐν τῷ κόσμῳ παρουσίας· « Προφήτην, εἶπεν, ἀναςήσω αὐτοῖς » ἐκ τῶν ἀδελφῶν αὐτῶν, ὥσπερ σέ· καὶ » δώσω τὰ ῥήματα ἐν τῷ στόματι αὐτοῦ, » καὶ λαλήσει αὐτοῖς καθ' ὅ,τι ἂν ἐντέλλω» μαι αὐτῷ· καὶ ὁ ἄνθρωπος, ὃς ἐὰν μὴ » ἀκούσῃ ὅσα ἂν λαλήσῃ ὁ προφήτης ἐκεῖ» νος ἐπὶ τῷ ὀνόματί μου, ἐγὼ ἐκδικήσω » ἐξ αὐτοῦ » (4). Ἀφ' οὗ δὲ ἡ οὐρανόθεν ἐνεχθεῖσα φωνὴ ἐκάλεσε τὸν Παῦλον, λέγουσα· « Σαούλ, Σαούλ, τί με διώκεις » (5); βαπτισθεὶς δὲ αὐτός, ἤνοιξεν οὐ μόνον τοὺς κεκλεισμένους ὀφθαλμοὺς τοῦ σώματος, ἀλλὰ καὶ τοὺς τῆς ψυχῆς, τότε ἐγνώρισεν ὅτι ὁ προφήτης, περὶ οὗ ὁ Θεὸς ἐλάλησε διὰ τοῦ Μωϋσέως, ἐστὶν ὁ Ἰησοῦς Χριστός· τότε ὑπὸ τῆς θείας χάριτος φωτιζόμενος, κατενόησεν, ὅτι πάντα τὰ ἐν τῷ νόμῳ ἦσαν σύμβολα τῶν ὑπὸ Χριστοῦ διαταχθέντων καὶ τελεσθέντων· ἐγνώρισε τότε, ὅτι ἡ μὲν σαρκικὴ περιτομὴ τύπος ἦν τῆς περιτομῆς τῆς ἀχειροποιήτου, ἤγουν τῆς διὰ τοῦ ἁγίου βαπτίσματος ἀποθέσεως « τῶν ἁμαρτιῶν » τῆς σαρκός » (6)· ὁ δὲ ὄφις, ὁ ἐν στύλῳ ὑψωθείς (7), τοῦ ἐν σταυρῷ ἀνυψωθέντος Χριστοῦ· ὁ δὲ Ἰωνᾶς, ὁ ἐν τῇ κοιλίᾳ τοῦ κήτους τριημερεύσας (8), ἔπειτα ἐξελθὼν ζῶν καὶ ἀβλαβής, τῆς τριημέρου ταφῆς τοῦ Ἰησοῦ, καὶ τῆς ἐκ νεκρῶν ἀναστάσεως αὐτοῦ

(1) Ὅρα σελ. 39 Κυρ. κά. (2) Γαλ. 2, 20. (3) Αὐτ. 2, 19. (4) Δευτ. 18, 18, 19. (5) Πράξ. 9, 4. (6) Κολ. 2, 11. (7) Ἰωάν. 3, 14. (8) Ματθ. 12, 40.



καὶ ἀφθαρσίας· τὸ δὲ ἐν τῇ ἐρήμῳ μάννα, τοῦ τῆς θείας εὐχαριστίας ἄρτου (1)· τότε ἐγνώρισεν, ὅτι καὶ τὰ λοιπά, ὅσα ὁ νόμος ἐδίδασκε, σύμβολα ἦσαν τῶν ὑπὸ τοῦ Ἰησοῦ Χριστοῦ τελειωθέντων· ἐκ τούτων οὖν ἔλεγεν· « Ἐγὼ γὰρ διὰ νόμου νόμῳ ἀπέ» θανον », ἤγουν ἐγὼ ὁδηγηθεὶς ὑπὸ τῶν ἐν τῷ νόμῳ λόγων, τῶν διδασκόντων, ἵνα ἀκούω τοῦ ὑπὸ Θεοῦ ἀναστησομένου προφήτου, « νόμῳ ἀπέθανον », ἐνέκρωσα δηλαδὴ τὴν ὑπὲρ τοῦ νόμου προθυμίαν μου, καί ζέουσαν σπουδήν μου, γνωρίσας τῇ τοῦ Θεοῦ χάριτι, ὅτι ὁ νόμος ἦν τυπικὸς καὶ συμβολικός· ἐγκατέλιπον τὰ σύμβολα, καὶ ἠκολούθησα τὴν ἀλήθειαν, ἐγκατέλιπον τὴν εἰκόνα, καὶ προσεκολλήθην τῷ πρωτοτύπῳ· ἔφυγον ἐκ τῆς σκιᾶς, καὶ ἦλθον εἰς τὴν χάριν· « Ἐν νόμῳ ἀπέθανον », οὐδὲ ζῶ δηλαδή, οὐδὲ πολιτεύομαι κατὰ τὰ συμβολικὰ τοῦ νόμου παραγγέλματα. διὰ τί δὲ τοῦτο; Ἵνα, λέγει, Θεῷ ζήσω », ὅπερ ἐςίν, ἵνα ζήσω οὐχὶ τὴν ὑπὸ τοῦ νόμου διδασκομένην ἀτελῆ ζωήν, ἀλλὰ τὴν ὑπὸ τοῦ Εὐαγγελίου νενομοθετημένην τελειοτάτην πολιτείαν.

Ὅστις ταῦτα κατανοήσῃ, ἐκεῖνος βλέπει, ὅτι τὰ ἑπόμενά εἰσιν ἑρμηνεία τούτου τοῦ λόγου, « ἵνα Θεῷ ζήσω »· βλέπει δηλαδή, ὅτι διὰ τῶν ἑξῆς ὁ Ἀπόστολος ἑρμηνεύει, ποία ἐστὶν ἡ κατὰ Θεὸν ζωή· « Χρι» στῷ, λέγει, συνεσταύρωμαι· ζῶ δὲ οὐκέτι » ἐγώ, ζῇ δὲ ἐν ἐμοὶ Χριςός » (2)· περὶ δὲ τοῦ, τί σημαίνει τό, « ἐγώ », σημείωσον, ὅτι πᾶς ἄνθρωπος σύνθετός ἐστιν ἐκ ψυχῆς καὶ σώματος, ὡς διδάσκει ἡμᾶς ἡ Θεία Γραφή, λέγουσα, ὅτι ὁ Θεός, χοῦν λαβὼν ἀπὸ τῆς γῆς, ἔπλασε τοῦ ἀνθρώπου τὸ σῶμα· « ἐνε» φύσησε δὲ εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν » ζωῆς, καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν » ζῶσαν » (3). Ὅτι δὲ ἐναντίαι εἰσὶν αἱ ἐπιθυμίαι τῆς ψυχῆς τῶν ἐπιθυμιῶν τοῦ σώματος, πληροφορεῖ ἡμᾶς ἡ ἐσωτερικὴ αἴσθησις, ἐξόχως, ὅταν παλαίωμεν κατὰ τῆς ἁμαρτίας· θέλω, καὶ ὁρμῶ πρὸς τὴν πρᾶξιν τῆς ἁμαρτίας· οὐ θέλω, καὶ ἐμποδίζομαι ἀπὸ τῆς πράξεως τῆς ἁμαρτίας· θέλω καὶ οὐ θέλω, ὁρμῶ καὶ ἀναχαιτίζομαι, ὀρέγομαι καὶ μισῶ τὸ αὐτὸ πρᾶγμα κατὰ τὸν αὐτὸν καιρόν· τοῦτό ἐστιν ἀπόδειξις ἀναντίῤῥητος, ὅτι ἐσμὲν σύνθετοι ἐκ δύο, καὶ ὅτι αὐτὰ τὰ δύο ἔχουσιν ἀντιμαχομένας ἐπιθυμίας, ἐξ ὧν συνίσταται ἡ ἐσωτερικὴ μάχη, καὶ ὁ ἔνδον ἡμῶν πόλεμος· τοῦτο δέ ἐστι τὸ ὑπὸ τοῦ Παύλου εἰρημένον· « Βλέπω δὲ ἕτερον » νόμον ἐν τοῖς μέλεσί μου, ἀντιστρατευό» μενον τῷ νόμῳ τοῦ νοός μου, καὶ αἰχμα» λωτίζοντά με τῷ νόμῳ τῆς ἁμαρτίας, » τῷ ὄντι ἐν τοῖς μέλεσί μου (4). Οὐ γὰρ » ὃ θέλω ποιῶ ἀγαθόν· ἀλλ' ὃ οὐ θέλω κακόν, » τοῦτο πράσσω » (5). Τοῦτο οὖν τό, ἐγώ, οὐδὲ ὅλην τὴν ἀνθρωπίνην ὑπόστασιν σημαίνει, οὐδὲ τὴν ψυχὴν μόνην, οὐδὲ μόνον τὸ σῶμα, δηλοῖ δὲ τὸν ἐν τοῖς μέλεσιν ἡμῶν νόμον, ἤγουν τὴν δύναμιν τῶν σαρκικῶν ἐπιθυμιῶν καὶ ὀρέξεων.

Βλέπε δέ, πῶς σταυροῦνται αἱ ἐπιθυμίαι καὶ ὀρέξεις τῆς σαρκός. Τρία εἰσὶ τοῦ ἐςαυρωμένου τὰ πάθη· ὀδύνη, ἀκινησία θάνατος. Ἐὰν οὖν δι' ἀγάπην Χριστοῦ ὑπομένῃς ἀνδρείως, ὅσην ὀδύνην αἰσθάνεσαι, ὅταν πολεμῇς τὰς ἐπιθυμίας τῆς σαρκός, καὶ βάλλῃς εἰς αὐτὰς χαλινόν, ἀναγκάζοντα, ἵνα μένωσιν ἀκίνητοι πρὸς τὴν πρᾶξιν τῆς ἁμαρτίας· καὶ διὰ τῆς ἀσκήσεως καὶ κα-

(1) Ἰωάν. 6, 49—51. (2) Γαλ. 2, 20. (3) Γεν 2, 7· (4) Ρωμ. 7, 23. (5) Αὐτ. 19.

κουχίας σβέσας τὴν φλόγα αὐτῶν, ἀπονεκρώσῃς τὴν τούτων δύναμιν, τότε συσταυροῦσαι τῷ Χριστῷ, ὡς πάσχων διὰ τὴν ἀγάπην αὐτοῦ σταυρικὸν πάθος, καθὼς αὐτός δι' ἀγάπην σου ὑπέμεινε σταυρόν· τότε δὲ λέγεις μετὰ τοῦ Παύλου, « Χριστῷ συνεσταύρωμαι »· ἐπειδὴ δέ, ὅταν ταῦτα ποιῇς, νενεκρωμένος ἐστὶν ἐν σοὶ ὁ παλαιός ἄνθρωπος τῆς ἁμαρτίας, ζῇ δὲ ὁ νέος, ὁ κατὰ Θεὸν κτισθεὶς « ἐν δικαιοσύνῃ καὶ ὁσιότητι τῆς ἀληθείας » (1)· διὰ τοῦτο ἔρχεται τότε, καὶ κατοικεῖ ἐν σοὶ ὁ Χριςός, καθὼς ὑπέσχετο, εἰπών· « Ἐάν τις ἀγαπᾷ με, τὸν λόγον μου τηρήσει, καὶ ὁ πατήρ μου ἀγαπήσει αὐτόν, καὶ πρὸς αὐτὸν ἐλευσόμεθα, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν » (2)· τότε δὲ λέγεις οὐ μόνον τό, « Χριστῷ συνεςαύρωμαι », ἀλλὰ καὶ τὸ « ζῶ οὐκέτι ἐγώ, ζῇ δὲ ἐν ἐμοὶ Χριςός »· τοῦτο δέ ἐςι τὸ ὕψος καὶ ἡ τελειότης τῆς ἀρετῆς, ἡ ςαύρωσις δηλονότι καὶ ἡ νέκρωσις τῶν σαρκικῶν ἐπιθυμιῶν· τοῦτ' αὐτό ἐςι καὶ ὁ ἀῤῥαβὼν τῆς μελλούσης ἀνταποδόσεως ὑπὲρ τῆς ἀρετῆς, ἡ ἕνωσις τοῦ Θεοῦ μεθ' ἡμῶν, πρὶν ἢ ἡ ψυχὴ χωρισθῇ τοῦ φθαρτοῦ τούτου καὶ ἐμπαθοῦς σώματος.

Ἀλλὰ καὶ ἄλλην περιέργειαν κινοῦσι τὰ προκείμενα ἀποστολικὰ λόγια, ἤγουν τὴν περιέργειαν περὶ τοῦ, διὰ τί εἶπε ταῦτα ὁ Ἀπόστολος, καὶ ποῖον σκοπὸν ἔχων, ταῦτα ἔλεγεν; ἐκαυχᾶτο ἆρά γε ματαίως; ἢ ὑπὸ τῆς φιλοτιμίας νικώμενος, ἔλεγε ταῦτα, ἵνα ἐπαινῆται ὑπὸ τῶν ἀνθρώπων; Ὢ πόσον ἄτοπα καὶ παράλογά εἰσι τὰ τοιαῦτα νοήματα ὑπὲρ ἀνθρώπου οὐρανόφρονος, ὅστις σκύβαλα μὲν ἐνόμιζε πάντα τὰ ἐγκόσμια, ἀφροσύνην δὲ ἐλογίζετο τὴν καύχησιν (3)· αὐτὸς σκοπὸν εἶχεν, ἵνα διδάξῃ τὸν κανόνα καὶ τοὺς χαρακτῆρας τῆς εὐαγγελικῆς ζωῆς καὶ πολιτείας· τοῦτο δὲ τὸ πολίτευμα δύσκολον ἐφαίνετο, μάλιστα εἰς τοὺς νεοφωτίστους ἐθνικούς, οἵτινες πρότερον ἦσαν ἔκδοτοι εἰς τὰς τρυφάς, καὶ εἰς πᾶν εἶδος ἀσωτείας· εἶχον δὲ χρείαν πρὸς στερέωσιν αὐτῶν παραδείγματος, οὐχὶ παρεληλυθότος καὶ ἀπόντος, ἀλλ' ἐνεστῶτος, καὶ πρὸ τῶν ὀφθαλμῶν αὐτῶν κειμένου, καθότι ἰσχυρόν ἐστι καὶ ἐνεργητικὸν τὸ τοιοῦτον παράδειγμα· διὰ τοῦτο οὖν ὁ τρισμακάριος ἔλεγε πρὸς αὐτούς· « Μιμηταί μου γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ » (4)· διὰ τὸν αὐτὸν λόγον παραστήσας ἑαυτὸν τύπον καὶ ὑπογραμμὸν τῆς εὐαγγελικῆς ζωῆς, εἶπε· « Χριστῷ συνεσταύρωμαι· ζῶ δὲ οὐκέτι ἐγώ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός » (5)· διὰ τοῦτο εἶπε ταῦτα, ἵνα δηλονότι πείσῃ αὐτούς, ὅτι, καθὼς αὐτὸς ἄνθρωπος ὢν ὁμοιοπαθὴς αὐτοῖς, ἐδυνήθη συσταυρῶσαι ἑαυτὸν τῷ Χριστῷ, καὶ νεκρωθῆναι, καὶ συζῆσαι μετ' αὐτοῦ, τοιουτοτρόπως καὶ αὐτοὶ δύνανται τὰ αὐτὰ ποιῆσαι, ἐὰν θελήσωσιν.

Ἀλλ', ἐὰν πιστεύσωμεν, λέγεις, ὅτι τὰ προκείμενα λόγια τοῦ Παύλου εἰσὶν ὁ ὅρος καὶ ὁ κανὼν τῆς χριστιανικῆς ζωῆς, τίς δύναται σωθῆναι; ὅπου ἂν σταθῶ, καὶ ὅπου εὑρεθῶ, ἐκεῖ σκάνδαλα, καὶ παγίδες, καὶ ἀπερίγραπτοι ἀφορμαί, διεγείρουσαι τὰς ἐπιθυμίας, καὶ ἐξάπτουσαι τὰ πάθη· κοιμᾶται πολλάκις ὁ θυμός, ἀλλὰ διεγείρει αὐτὸν ἡ παρακοὴ τοῦ δούλου, ἡ ἀθέτησις τῆς ὑποσχέσεως τοῦ φίλου, τὰ πικρὰ λόγια τοῦ συγγενοῦς, τῶν ἐχθρῶν αἱ ὕβρεις, καὶ ἄλλα δὲ ἀναρίθμητα ἀνάπτουσι τὴν τούτου φλόγα· ἡσυχάζει ἐνίοτε ἡ σαρκικὴ ἐπιθυμία, ἀλλὰ τὰ ἐρωτικὰ λόγια, τὰ ἄσεμνα θέατρα, τὰ κάλλη τῶν προσώπων ἐκβράζουσι τὴν ἑαυτῆς ὕλην· θέλω, ἵνα συγχωρήσω τὸν ἐχθρόν μου, ἀλλ' αὐτὸς οὐ παύει ἐπιβουλεύων καὶ κατατρέχων με· ὅθεν ἡ ὁρμὴ τῆς ἐκδικήσεως καταποντίζει τὴν καλὴν διάθεσιν τῆς θελήσεώς μου· ἀποφασίζω, ἵνα καταφρονήσω τὴν ματαιότητα τοῦ κόσμου, ἀλλ' ὁ πλοῦτος καὶ ἡ δόξα καὶ ἡ τιμὴ μεταβάλλουσι τὴν γνώμην μου, καὶ ἁρπάζουσι τὴν διάκρισιν τοῦ νοός μου· ὅθεν ὡς ὁ μεμεθυσμένος οὐ διακρίνω τό, τί ἐπιθυμῶ, οὐδὲ γνωρίζω τό, τί πράττω· ἐπειδὴ δὲ αἱ τοιαῦται ἐπιθυμίαι ἐμπεφυτευμέναι εἰσὶν ἐν τῇ σαρκί μου, ὅπου καὶ ἂν ὑπάγω, καὶ εἰς τὴν βαθυτάτην ἔρημον ἐὰν πορευθῶ, καὶ ἐκεῖ ἀκολουθοῦσί μοι, καὶ μετ' ἐμοῦ εἰσι ζῶσαι καὶ ἐνεργοῦσαι καὶ πειράζουσαι· σταύρωσις τῶν ἐπιθυμιῶν, ὅπερ ἐστίν, ὀδύνη ἀκατάπαυστος διὰ τὴν στέρησιν τῶν ἐπιθυμουμένων, καὶ ἀκινησία πρὸς τὸ κακόν, καὶ νέκρωσις τῶν παθῶν, τοῦτο λέγεις, ἐςὶν ἀδύνατον εἰς τὴν φύσιν τῶν ἀνθρώπων.

Πρόσεχε, ὦ ἄνθρωπε, καὶ ἄκουσον· ὁ κανὼν τῆς χριστιανικῆς πολιτείας, ὃν ἐδίδαξεν ὁ Παῦλος, οὐκ ἔστι τοῦ Παύλου ἐφεύρημα, ἀλλ' αὐτοῦ τοῦ Ἰησοῦ Χριστοῦ διδασκαλία· αὐτὸς ὁ Ἰησοῦς Χριστὸς εἶπε· « Καὶ ὃς οὐ λαμβάνει τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθεῖ ὀπίσω μου, οὐκ ἔστι μου ἄξιος » (1)· τοῦτο οὖν ἀκούσας ὁ Παῦλος ἔλαβε τὸν σταυρὸν αὐτοῦ, ἤγουν ἐςαύρωσε τὰς ἐπιθυμίας τῆς σαρκὸς αὐτοῦ, καὶ ἐνέκρωσε τὴν τούτων δύναμιν· ἄξιον δὲ κατοικητήριον τοῦ Χριςοῦ γενόμενος, συνέζη μετ' αὐτοῦ· τοῦτο δὲ καὶ ἐδίδαξεν ὡς κανόνα τῆς χριςιανικῆς πολιτείας, εἰπών· « Χριςῷ συνεσταύρωμαι· ζῶ δὲ οὐκέτι ἐγώ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός ». Βλέπεις οὖν, ὅτι ὁ λόγος τοῦ Παύλου ἐστὶ λόγος τοῦ Ἰησοῦ Χριστοῦ· εἰπὲ οὖν, πιστεύεις, ὅτι ὁ Ἰησοῦς Χριστός ἐστι Θεὸς ἀληθινός; πιστεύεις ἀναμφιβόλως, ἐπειδὴ τοῦτό ἐστι τὸ θεμέλιον τῆς χριστιανικῆς πίστεως· « Θεμέλιον γὰρ ἄλλον οὐδεὶς δύναται θεῖναι παρὰ τὸν κείμενον, ὅς ἐστιν Ἰησοῦς Χριστός » (2)· πιστεύεις, ὅτι ὁ Θεὸς ἀπαθὴς καὶ ὑπερτέλειος ὤν, πανάγαθος, πατήρ, εὐεργέτης καὶ λυτρωτὴς τοῦ γένους τῶν ἀνθρώπων, θέλει, ἵνα πάντες ἀξιωθῶσι τῆς αἰωνίου σωτηρίας; πιστεύεις ἀδιστάκτως, διότι ἐδιδάχθης, ὅτι τοῦτό ἐστι « καλὸν καὶ ἀπόδεκτον ἐνώπιον τοῦ Σωτῆρος ἡμῶν Θεοῦ, ὃς πάντας ἀνθρώπους θέλει σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν » (3)· ὁμολογεῖς, ὅτι οἱ φύλακες τῶν θείων προσταγμάτων σώζονται, οἱ δὲ παραβάται κολάζονται; καὶ τοῦτο ὁμολογεῖς ἀναντιῤῥήτως, ἐπειδὴ ἔμαθες, ὅτι « Ἐκπορεύσονται οἱ τὰ ἀγαθὰ ποιήσαντες, εἰς ἀνάστασιν ζωῆς, οἱ δὲ τὰ φαῦλα πράξαντες εἰς ἀνάστασιν κρίσεως » (4)· ἀλλὰ καὶ γνωρίζεις, ὅτι ὅστις νομοθετεῖ τὰ ἀδύνατα, ἐκεῖνός ἐστιν ἢ πολλὰ ἀτελὴς εἰς τὴν γνῶσιν, καθότι οὐ διακρίνει τὸ δυνατὸν ἀπὸ τοῦ ἀδυνάτου· ἢ ἐπιβουλευτικὸς κατὰ τὴν διάθεσιν· καθότι νομοθετεῖ τὰ ἀδύνατα, ἵνα καταστήσας πταίστας τοὺς μὴ αὐτὰ τελέσαντας, παιδεύσῃ αὐτοὺς ὡς παραβάτας. Βλέπεις, εἰς ποῖον φοβερὸν ἄτοπον, μᾶλλον δέ, εἰς ποίαν βλασφημίαν πίπτει, ὅστις συλλογίζεται, ὅτι εἰσὶν ἀδύνατα τὰ θεῖα, ἑπομένως δὲ καὶ τὰ ἀποστολικὰ προστάγματα; ἀναγκάζεται πιστεῦσαι, ὅτι ὁ πανυπερτέλειος Θεός ἐστιν ἀτελής, καὶ ἐμπαθὴς ὁ ἀπαθέστατος.

(1) Ἐφ. 4, 24. (2) Ἰωάν. 14, 23. (3) Φιλιπ. 3, 8. Β'. Κορ. 12, 11. (4) Α'. Κορ. 11, 1. (5) Γαλ. 2, 20.



(1) Ματθ. 10, 38. (2) Α'. Κορ. 3, 11. (3) Α'. Τιμ. 2, 3, 4. (4) Ἰωάν. 5, 29.

Οὐκ ἔστιν ἀδύνατον τοῦ πανυπερτελείου καὶ παναγάθου Θεοῦ τὸ πρόσταγμα· ἐὰν δὲ οὐ πείθῃ σε ὁ λόγος, πείθει σε τὸ παράδειγμα· τὸ παράδειγμα, λέγω, τοῦ ἀμετρήτου πλήθους τῶν ἁγίων, οἵτινες ἔζησαν ἐν σώματι, ὡς ἐκτὸς τοῦ σώματος, καὶ ἐν σαρκί, ὡς ἄσαρκοι, καὶ ἄνθρωποι ἐπὶ γῆς, ὡς ἄγγελοι ἐν οὐρανῷ· αὐτοὶ ἐμπράκτως ἔδειξαν, ὅτι πᾶς ἄνθρωπος δύναται ἐκπληρῶσαι τοῦτο τὸ θεῖον πρόσταγμα· αὐτοὶ διὰ τῶν ἔργων ἔδειξαν τὴν τῶν ἰδίων παθῶν σταύρωσιν καὶ νέκρωσιν· εἰς τὰς ὀδυνηρὰς περιστάσεις ἐφάνησαν ὑπομονητικοί, εἰς τοὺς διωγμοὺς πρᾷοι, εἰς τοὺς διώκτας ἀνεξίκακοι, εἰς τοὺς τυράννους συμπαθητικοί, πρὸς πάντας ταπεινόφρονες, φίλοι καὶ εἰς τοὺς ἐχθρούς, προθυμότατοι καὶ εἰς τὸν θάνατον· αὐτοὶ ἔδειξαν, ὅτι ὁ Χριστὸς ἔζη ἐν αὐτοῖς διὰ τῆς ἐπιστροφῆς τῶν ἀπίστων, διὰ τῆς διορθώσεως τῶν ἁμαρτανόντων, διὰ τῆς ἐπιϛηρίξεως τῶν ἐναρέτων, διὰ τῆς πράξεως τῶν θαυμαϛῶν κατορθωμάτων, διὰ τῆς ἐργασίας τῶν παραδόξων θαυματουργιῶν.

Ἀλλ' αὐτὸς ὁ Θεός, λέγεις, εἶπεν, ὅτι « Ἔγκειται ἡ διάνοια τοῦ ἀνθρώπου ἐπιμελῶς ἐπὶ τὰ πονηρὰ ἐκ νεότητος αὐτοῦ » (1)· τοῦτο ἀληθές, πλὴν τί ἐκ τούτου συμπεραίνεις; οὐδὲν ἄλλο, εἰ μὴ ὅτι διὰ τὴν μετὰ τὴν παρακοὴν τῶν πρωτοπλάστων ἐπεισαχθεῖσαν εἰς τὴν ἀνθρωπίνην φύσιν διαφθοράν, ὁρμᾷ προθύμως ἐκ νεαρᾶς ἡλικίας ὁ νοῦς ἐπὶ τὰ πονηρὰ ἔργα· ἐκ τούτου δὲ τί ἀκολουθεῖ; οὐδὲν ἄλλο, εἰ μὴ δυσκολία πρὸς τὴν ἐκπλήρωσιν τῆς εὐαγγελικῆς ζωῆς. Ἀληθῶς δυσκατόρθωτόν ἐστι τὸ ἔργον, οὐχὶ ὅμως ἀκατόρθωτον· δύσκολον, οὐχὶ δὲ ἀδύνατον· βλέπε ὅμως, ὅτι τὸ αὐτὸ γίνεται καὶ δύσκολον καὶ εὔκολον ὡς ἐδίδαξεν ἡμᾶς ὁ ἀρχηγὸς καὶ πρῶτος διδάσκαλος ταύτης τῆς σωτηρίου πολιτείας· αὐτὸς ἐβεβαίωσε τὸ μὲν πρῶτον, εἰπών· « Στενὴ ἡ πύλη, καὶ τεθλιμμένη ἡ ὁδός, ἡ ἀπάγουσα εἰς τὴν ζωήν » (2)· τὸ δὲ δεύτερον, κηρύξας τό, « Ὁ γὰρ ζυγός μου χρηστός, καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστιν » (3). Ἀλλὰ πῶς συμβιβάζονται ταῦτα, τὰ ἀλλήλοις ἐναντιούμενα; συμβιβάζονται πάνυ καλῶς, καὶ ἀληθινά εἰσι καὶ τὰ δύω, κᾂν ἐναντία φαίνωνται. Ἄκουσον, πῶς· αὐτεξούσιοί εἰσι πάντες οἱ ἄνθρωποι, τουτέστιν ἔχουσιν ἐλευθέραν τὴν θέλησιν πρὸς τὸ ἐκλέξαι ἢ τὸ ἀγαθόν, ἢ τὸ κακόν· διότι ὁ Θεὸς « ἐξ ἀρχῆς ἐποίησεν ἄνθρωπον, καὶ ἀφῆκεν αὐτὸν ἐν χειρὶ διαβουλίου αὐτοῦ » (4)· ὅσοι κλίνουσιν εἰς τὸ κακόν, ἐκείνων αἱ ψυχαὶ γίνονται μικρόφρονες, γαιώδεις, χαμερπεῖς· οἱ δὲ τοιοῦτοι, ἐπειδὴ οὐδέποτε ὑψοῦσι τὰ ὄμματα εἰς τὸν οὐρανόν, ἀλλὰ πάντοτε εἰς τὴν γῆν βλέπουσιν, ἐκεῖνα μόνα νομίζουσιν ἀγαθά, ὅσα πίπτουσιν εἰς τὰς σωματικὰς αὐτῶν αἰσθήσεις· ὅθεν ἐκεῖνα ὀρέγονται, ἐκείνων ἐπιθυμοῦσι, καὶ εἰς αὐτὰ προσηλωμένον ἔχουσι καὶ τὸν νοῦν, καὶ τὴν καρδίαν· εἰς τοὺς τοιούτους δὲ ἀνθρώπους στενή ἐστι καὶ τεθλιμμένη ἡ ὁδός, ἡ ἀπάγουσα εἰς τὴν ζωήν· εἰς τοὺς τοιούτους δύσκολος τῶν ἐπιθυμιῶν τῆς σαρκὸς ἡ σταύρωσις, καὶ τῶν φθοροποιῶν παθῶν ἡ νέκρωσις· ὅσοι δὲ κλίνουσιν εἰς τὸ ἀγαθόν, ἐκείνων αἱ ψυχαὶ γίνονται μεγαλόφρονες, ὑψοῦνται ἀπὸ τῆς ὕλης, καὶ αἴρονται ἀπὸ τῶν γηΐνων πραγμάτων· ἔχοντες δὲ πάντοτε ὑψωμένα τὰ νοερὰ αὐτῶν ὄμματα εἰς τὸν οὐρανόν, διακρίνουσι τὴν θείαν αὐ-

(1) Γεν. 8, 21. (2) Ματθ. 7, 14. (3) Αὐτ. 11, 30. (4) Σειρ. 15, 14.



τῶν εὐγένειαν, αἰσθάνονται, ὅτι εἰσὶ Θεοῦ εἰκόνες, συλλογίζονται τὸ πρόσκαιρον τῶν κοσμικῶν πραγμάτων, καὶ τὴν ἀθανασίαν τῶν μελλόντων ἀγαθῶν· ἔχουσι διὰ παντὸς καὶ εἰς τὴν μνήμην, καὶ εἰς τὸν νοῦν, καὶ εἰς τὴν καρδίαν τὴν ἐπουράνιον Ἱερουσαλήμ, τὴν μακαρίαν ἡμῶν πατρίδα, καὶ τὴν περιμένουσαν τοὺς δικαίους αἰώνιον δόξαν καὶ βασιλείαν· εἰς αὐτοὺς δὲ χρηϛός ἐστιν ὁ ζυγὸς τοῦ Κυρίου, καὶ ἐλαφρόν ἐϛι τὸ θεῖον αὐτοῦ φορτίον· εἰς αὐτοὺς εὔκολος καὶ παντὸς πάθους ἡ σταύρωσις, καὶ πάσης πονηρᾶς ἐπιθυμίας ἡ νέκρωσις. Χριστιανέ, ἰδοὺ « Παρέθηκέ σοι ὁ Θεὸς πῦρ καὶ ὕδωρ· οὗ ἐὰν θέλῃς ἐκτενεῖς τὴν χεῖρά σου » (1). Ἐὰν μὲν ἐκτείνῃς αὐτὴν εἰς τὸ πῦρ, ἤγουν, ἐὰν ἡ προαίρεσίς σου κλίνῃ εἰς τὴν κακίαν, δύσκολος γίνεταί σοι τῶν παθῶν σου ἡ σταύρωσις· ἐὰν δὲ ἁπλώσῃς αὐτὴν εἰς τὸ ὕδωρ, τουτέστιν, ἐὰν νεύσῃ ἡ προαίρεσίς σου εἰς τὴν ἀρετήν, εὐκόλως δύνασαι νεκρῶσαι τὰς σαρκικὰς ἐπιθυμίας, καὶ μετὰ τοῦ Παύλου ἐκβοῆσαι· « Χριστῷ συνεσταύρωμαι· ζῶ δὲ οὐκ ἔτι ἐγώ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός » (2), Ὧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΗΝ ΠΡΟΣ

# ΤΙΤΟΝ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

## ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗ͂ι ΚΥΡΙΑΚΗ͂ι ΤΩΝ ΠΑΤ. ΤΗΣ Ζ΄. ΣΥΝΟΔΟΥ.

Ἐξ ἑλληνικοῦ γένους καταγόμενος ὁ τρισμακάριος Ἀπόστολος Τίτος, μαθητὴς ἐγένετο τοῦ θεοκήρυκος Παύλου· τοσοῦτον δὲ πιστῶς καὶ προθύμως ὑπηρέτησε ταῖς ἀποστολικαῖς διακονίαις, ὥστε καὶ ἀδελφὸν αὐτοῦ, καὶ τέκνον αὐτοῦ γνήσιον ὠνόμασεν αὐτὸν ὁ θεσπέσιος Παῦλος (3)· μέγας δὲ οὗτος ὁ ἔπαινος, καὶ ἀποδεικτικὸς τῆς θερμῆς πίϛεως, καὶ τῆς πολλῆς τοῦ Τίτου ἀρετῆς (4). Ὅτε δὲ ὁ Παῦλος ἐλθὼν εἰς τὴν Κρήτην ἐκήρυξε τὸν εὐαγγελικὸν λόγον, τότε ἀφῆκεν αὐτὸν ἐκεῖ, ἵνα ἐπισκοπεύων, ἀναπληρώσῃ ὅσα αὐτὸς οὐκ ἐτελείωσεν, ἐπειδὴ ἔσπευδε διδάξαι καὶ ἄλλα ἔθνη τῆς ἀληθείας τὴν ἐπίγνωσιν· « Τούτου χάριν, ἔγραφε πρὸς αὐτόν, κατέλιπόν σε ἐν Κρήτῃ, ἵνα τὰ ἐλλείποντα ἐπιδιορθώσῃς, καὶ καταστήσῃς κατὰ πόλιν πρεσβυτέρους, ὡς ἐγώ σοι διεταξάμην » (5)· ἄλλος οὗτος ἔπαινος ἀποδεικτικός, ὅτι ὁ Τίτος ἐγνωρίσθη ὑπ' αὐτοῦ τοῦ τῆς ἐκλογῆς σκεύους ἄξιος τοῦ μεγάλου καὶ ὑψηλοῦ τῆς ἀρχιερωσύνης ἀξιώματος, καὶ τῆς τῶν ψυχῶν ἐπιστασίας καὶ διορθώσεως. Τὴν δὲ πρὸς αὐτὸν ἐπιστολὴν ἀπέστειλεν, ὥς τινες λέγουσιν, ἀπὸ Νικοπόλεως, τῆς Μακεδονίας (6). Ὅλη δὲ ἡ

(1) Σειρ. 15, 16. (2) Γαλ. 2, 20. (3) Β΄. Κορ. 2, 12. (4) Τίτ. 14. (5) Αὐτ. 5. (6) Ὁ Θεοδώριτ. ὁ Οἰκουμ. ἐν τῷ τέλει τῆς ἑαυτ. ὑπομνημ. καὶ Ἑλλ. ἐκδόσ. ἐν τῷ τέλει τῆς ἐπιστολ.

ἐπιστολὴ διδάσκει, ὅτι εἰς τοὺς τῆς ἐκκλησίας προεστῶτας πρέπει καὶ ἡ ἐκλογὴ τῶν ἱερατευόντων, καὶ ἡ νουθεσία καὶ πνευματικὴ διοίκησις ἑνὸς ἑκάστου τῶν ποιμαινομένων. Τὸ μέρος δὲ ταύτης τῆς ἐπιστολῆς, τὸ διαλαμβάνον περὶ τῆς τῶν αἱρετικῶν διοικήσεως ἀνεγνώσθη σήμερον, ἐπειδὴ σήμερον ἡ τῶν ὀρθοδόξων ἐκκλησία ἑορταστικὴν ἀνάμνησιν ποιεῖ τῆς συνοδικῆς ὁμηγύρεως τῶν τριακοσίων ἑξήκοντα πέντε ἁγίων πατέρων, οἵτινες καὶ ἅπαξ καὶ δὶς τοὺς εἰκονομάχους νουθετήσαντες, καὶ τὴν τούτων πλάνην ἐλέγξαντες, ἀναθέματι τοὺς ἀδιορθώτους κατεδίκασαν, ὡς διεστραμμένους καὶ αὐτοκατακρίτους. Ὅσοι μετὰ προσοχῆς ἀκούσωσι τούτων τῶν ἀποστολικῶν λόγων τὴν ἑρμηνείαν, ἐκεῖνοι βλέποντες, ὅτι οἱ θεοφόροι πατέρες καὶ τὰ περὶ τῶν αἱρετικῶν διέταξαν κατὰ τὸν ἀποστολικὸν κανόνα, ἔτι μᾶλλον ἐπιβεβαιοῦνται, ὅτι πάντα ὅσα ἐνομοθέτησεν ἡ τῶν ὀρθοδόξων ἐκκλησία, ἀποστολικά εἰσι καὶ θεοπαράδοτα.

*Τέκνον Τίτε, πιστὸς ὁ λόγος· καὶ περὶ τούτων βούλομαί σε διαβεβαιοῦσθαι, ἵνα φροντίζωσι καλῶν ἔργων προΐστασθαι οἱ πεπιστευκότες τῷ Θεῷ ταῦτά ἐστι τὰ καλὰ καὶ ὠφέλιμα τοῖς ἀνθρώποις* (1).

Τίς ἐστιν ὁ πιστὸς λόγος; « Ἐπεφάνη ἡ » ἡ χάρις τοῦ Θεοῦ ἡ σωτήριος πᾶσιν ἀν» θρώποις, παιδεύουσα ἡμᾶς, ἵνα ἀρνησά» μενοι τὴν ἀσέβειαν καὶ τὰς κοσμικὰς » ἐπιθυμίας, σωφρόνως καὶ δικαίως καὶ εὐ» σεβῶς ζήσωμεν ἐν τῷ νῦν αἰῶνι » (2). Οὗτός ἐστιν ὁ λόγος ὁ πιστός· τὸ δὲ προΐ» στασθαι », πολλὰς ἔχει σημασίας· σημαίνει δὲ μεταξὺ τῶν ἄλλων καὶ τὸ προέχειν καὶ τὸ προστατεύειν· πιστός, λέγει, ἐστὶν ὁ λόγος, ὃν ἀνωτέρω εἶπον, ἤγουν ἀληθινὸς καὶ ἀναμφίβολος καὶ βέβαιος· διὰ τοῦτο βούλομαι καὶ ἐπιθυμῶ, ἵνα σύ, ὦ Τίτε, περὶ τούτων, τουτέστι περὶ τούτων τῶν πραγμάτων, τῶν ὑπὸ τοῦ πιστοῦ λόγου διδασκομένων, λαλῇς καὶ διδάσκῃς, ἐπιβεβαιῶν τὴν τούτων ἀλήθειαν, ὅπως, ὅσοι ἐπίστευσαν εἰς τὸν Θεόν, φροντίζουσι προΐστασθαι, τουτέστιν ὑπερέχειν τοὺς ἄλλους, ἢ προεδρεύειν, καὶ προστατεύειν τῶν καλῶν ἔργων· καὶ ὑπερέχεις μὲν τοὺς ἄλλους κατὰ τὰ καλὰ ἔργα, ὅταν αἱ ἀρεταί σου ὑπερβαίνωσι τὰς τῶν ἄλλων καὶ κατὰ τὸν ἀριθμόν, καὶ κατὰ τὸ μέγεθος· προστατεύεις δὲ τῶν καλῶν ἔργων, ὅταν ὑπερμαχῇς ὑπὲρ τῆς ὀρθοδόξου πίςεως, καὶ βοηθῇς τὸν ὀρφανὸν καὶ τὴν χήραν, καὶ τὸν ἀδικούμενον καὶ ἀπροστάτευτον, καὶ τὸν τὴν ἀρετὴν ἐργαζόμενον· ταῦτα δέ, λέγει, τὰ ἔργα, εἰσὶ τὰ καλὰ ἔργα, καὶ ὠφέλιμα εἰς τοὺς ἀνθρώπους.

*Μωρὰς δὲ ζητήσεις, καὶ γενεαλογίας, καὶ ἔρεις, καὶ μάχας νομικὰς περιΐστασο· εἰσὶ γὰρ ἀνωφελεῖς καὶ μάταιοι* (3).

Μωρὰ καὶ ἀνόητα ζητήματα ἐκίνουν οἱ Ἑβραῖοι, κακῶς ἀλληγοροῦντες, καὶ κακῶς διερμηνεύοντες τὰ ἐν τῷ νόμῳ· βλέπει τὰ τούτων παραλογήματα, ὅστις μελετήσῃ τὰ τῶν Ῥαββίνων βιβλία· ἐξόχως δὲ βλέπει τὰς παραλογίας αὐτῶν εἰς ὅσα μωρολογοῦσι περὶ τῆς ἐπιγείου βασιλείας τοῦ Μεσίου,

(1) Τίτ. 3, 8. (2) Αὐτ. 2, 11, 12. (3) Αὐτ. 3, 9.



καὶ περὶ τῶν πολέμων αὐτοῦ κατὰ τοῦ Γὼγ καὶ Μαγώγ, καὶ περὶ τοῦ συμποσίου τῶν ἐκλεκτῶν, καὶ περὶ τοῦ ὀψαρίου, τοῦ καλουμένου Λευϊάθαν, καὶ τοῦ βοὸς Βεχημόθ· κατέτριβον δὲ ἑαυτοὺς καὶ εἰς τὴν ἔρευναν τῆς ἐν ταῖς γραφαῖς γενεαλογίας τῶν προπατόρων αὐτῶν. Τοσοῦτον δὲ ἐμνημόνευον τῶν ὀνομάτων τῶν ἀπὸ Ἀδὰμ ἕως τοῦ Ζοροβάβελ, ὥστε τόσον ταχέως ἀπὸ μνήμης αὐτὰ ἀπεστομάτιζον, ὅσον καὶ τὰ ἴδια αὐτῶν ὀνόματα (1)· ἀλλὰ καὶ ἐφιλονείκουν καὶ ἐμάχοντο ὑπὲρ τῶν τοῦ νόμου διαφόρων παρατηρήσεων. Ἐπειδὴ δὲ Ἑβραίων πλῆθος κατῴκουν εἰς τὴν Κρήτην, καθὼς καὶ εἰς τὴν Ἔφεσον, διὰ τοῦτο ὁ Παῦλος καὶ εἰς τὸν Τίτον, τὸν τῆς Κρήτης ἐπίσκοπον, καθὼς καὶ εἰς τὸν Τιμόθεον, τὸν τῆς Ἐφέσου, ἔγραφε τό, « περιΐστασο », ἤγουν παραιτοῦ, καὶ σπούδαζε φεύγειν τὰ τοιαῦτα, διότι εἰσὶν ἀνωφελῆ καὶ μάταια. Ἀληθῶς δέ, ποία ἡ ὠφέλεια ἐκ τῆς τούτων χρονοτριβῆς, ἢ εἰς τὸν διδάσκαλον, τὸν χρεωστοῦντα διδάσκειν τῆς χριστιανικῆς πίστεως τὰ δόγματα, καὶ τῆς εὐαγγελικῆς χρηστοηθείας τὰ νομοθετήματα· ἢ εἰς τοὺς ἀκροατάς, ὅταν ἀκούωσι μωρὰ ζητήματα, καὶ λόγον περὶ γενεαλογίας; Ἡ περὶ τῶν τοιούτων διάλεξις οὐ μόνον ἐστὶν ἀνωφελὴς καὶ ματαία, ἀλλὰ καὶ ἐπιβλαβής, καθότι προξενεῖ μάχας, ὡς ὁ Παῦλος ἔγραφε πρὸς τὸν Τιμόθεον, λέγων· « Τὰς δὲ μωρὰς καὶ » ἀπαιδεύτους ζητήσεις παραιτοῦ, εἰδώς, » ὅτι γεννῶσι μάχας· δοῦλον δὲ Κυρίου οὐ » δεῖ μάχεσθαι, ἀλλ' ἤπιον εἶναι πρὸς πάν» τας, διδακτικόν, ἀνεξίκακον » (2).

*Αἱρετικὸν ἄνθρωπον μετὰ πρώτην καὶ δευτέραν νουθεσίαν παραιτοῦ· εἰδώς, ὅτι ἐξέστραπται ὁ τοιοῦτος, καὶ ἁμαρτάνει, ὢν αὐτοκατάκριτος* (3).

Αἱρετικός ἐστιν ὁ παντελῶς ἀπεῤῥηγμένος καὶ κατ' αὐτὴν τὴν πίστιν ἀπηλλοτριωμένος, ὡς ἀσύμφωνος, καὶ ἀντιφερόμενος κατὰ τῶν ὀρθῶν δογμάτων τῆς ἀληθοῦς πίστεως (4). Ἦσαν δὲ καὶ πρὸ Χριστοῦ αἱρετικοί, οἷον οἱ Σαμαρεῖται, οἱ Σαδδουκαῖοι, οἱ Ἡρωδιανοί, καὶ ἄλλοι· καὶ μετὰ Χριςὸν δὲ κατ' αὐτὸν τὸν καιρὸν τῶν Ἀποστόλων ἀνεφάνησαν αἱρετικοί, οἱ λεγόμενοι Σιμωνιανοί, Βασιλειδιανοί, Νικολαΐται, Γνωστικοί, καὶ ἄλλοι πολλοί. Διδάξας δὲ ὁ Ἀπόστολος τὸν ἑαυτοῦ μαθητὴν καὶ ἐπίσκοπον τὴν φυγὴν ἀπὸ τῶν προβαλλόντων τὰς μωρὰς ζητήσεις, καὶ τὰς γενεαλογίας, καὶ ἔρεις, καὶ τὰς νομικὰς μάχας, ἐτύπωσε καὶ τὸν περὶ τῶν αἱρετικῶν κανόνα, διδάξας, τίνι τρόπῳ πρέπον ἐστίν, ἵνα μετ' αὐτῶν πολιτεύηται. Ὦ Τίτε, λέγει, ἀφ' οὗ νουθετήσῃς τὸν αἱρετικὸν ἅπαξ καὶ δίς, τότε ἐγκατάλιπε αὐτόν· καθότι γνωρίζεις, ὅτι ὁ αἱρετικός, ὁ μετὰ πρώτην καὶ δευτέραν νουθεσίαν μὴ διορθωθείς, « ἐξέστραπται », ἤγουν διέφθειρε τὸ διακριτικὸν αὐτοῦ, καὶ τὰ ὀρθὰ αὐτοῦ νοήματα, ἁμαρτάνει δέ, ἀθετῶν τοῦ Ἰησοῦ Χριστοῦ τὰ διδάγματα, καὶ ἔστιν «αὐτοκατάκριτος», τουτέςιν αὐτὸς ἑαυτὸν κατακρίνει, καὶ καταδικάζει, χωρίζων ἑαυτὸν ἀπὸ τοῦ σώματος τοῦ Χριστοῦ, εἴτουν τῆς ἐκκλησίας, καὶ ποιῶν ἑαυτὸν μέλος τοῦ Σατανᾶ, τοῦ τῆς αἱρέσεως ἐφευρετοῦ καὶ διδασκάλου. Ἐκ τούτου διδαχθέντες οἱ θεῖοι πατέρες, οἱ ἐν ταῖς ἁγίαις συνόδοις συναθροισθέντες, ἐξεφώνησαν τὸ ἀνάθεμα κατὰ

(1) Ὅρα Ἱερών. ἐν τῇ πρὸς Τίτ. ἐπιστ. ἐπιστ. πρὸς Ἀκάκ. (2) Β'. Τιμ. 2, 23, 24. (3) Τίτ. 3, 10, 11. (4) Βασιλ. καν. 1. Ὅρα Ἐπιφάν.

τῶν αἱρετικῶν, τῶν μετὰ πρώτην καὶ δευτέραν νουθεσίαν μὴ θελησάντων διορθωθῆναι.

*Ὅταν πέμψω Ἀρτεμᾶν πρός σὲ ἢ Τυχικόν, σπούδασον ἐλθεῖν πρός με εἰς Νικόπολιν· ἐκεῖ γὰρ κέκρικα παραχειμάσαι* (1).

Ὁ μὲν Τυχικὸς ἦν Ἀσιανός, καὶ Ἀπόστολος ἐκ τῶν ἑβδομήκοντα, καὶ ἀκόλουθος τοῦ Παύλου, καὶ οἰκειότατος αὐτῷ, εἰς διαφόρους τόπους πρὸς παρηγορίαν τῶν πιστῶν ὑπ' αὐτοῦ ἀποστελλόμενος (2). Καὶ ἐπαίνοις δὲ κατέστεψεν αὐτὸν ὁ θεόληπτος Παῦλος, πρὸς μὲν τοὺς Ἐφεσίους γράφων· « Πάντα ὑμῖν γνωρίζει Τυχικός, ὁ ἀγαπη- » τὸς ἀδελφός, καὶ πιστὸς διάκονος ἐν Κυ- » ρίῳ » (3)· πρὸς δὲ τοὺς Κολοσσαεῖς· « Τὰ » κατ' ἐμὲ πάντα γνωρίζει ὑμῖν Τυχικός, » ὁ ἀγαπητὸς ἀδελφός, καὶ πιστὸς διάκο- » νος, καὶ σύνδουλος ἐν Κυρίῳ » (4)· ὁ δὲ Ἀρτεμᾶς εἷς ἦν τῶν ἑβδομήκοντα Ἀποςό- » λων, ἐπίσκοπος Λύστρων γενόμενος (5). Ἐκ δὲ τῶν προκειμένων λόγων φανερόν ἐστιν, ὅτι καὶ αὐτὸς ἀγαπητὸς ἦν τῷ Παύλῳ, καὶ πιστὸς ὑπηρέτης τοῦ Εὐαγγελικοῦ κηρύγματος· τοῦτο δὲ ἔπαινος ἱκανός. Βλέπε δὲ τὴν ἀποστολικὴν πρόνοιαν· προσκαλεῖ μὲν τὸν Τίτον, ἵνα μετὰ σπουδῆς ἔλθῃ πρὸς αὐτὸν δι' ἀναγκαίας ἀναμφιβόλως ἐκκλησιαστικὰς χρείας, ἢ ἵνα διδάξῃ αὐτὸν τὰ τελειότερα μαθήματα (6)· πλήν, ἐπειδὴ ἦν ἐπίσκοπος, παραγγέλλει, ἵνα τότε ἔλθῃ πρὸς αὐτόν, ὅταν πέμψῃ πρὸς αὐτὸν τὸν Ἀρτεμᾶν, ἢ τὸν Τυχικόν, ἵνα δηλαδὴ ὡς τοποτηρητὴς αὐτοῦ, ἀναπληροῖ τὸ τούτου ἐπάγγελμα· τὸ δέ, « Ἐκεῖ γὰρ κέκρικα » παραχειμάσαι », δηλοῖ, ὅτι οὐκ ἦν ἐκεῖ, ἤγουν εἰς τὴν Νικόπολιν, ὅτε ἔγραφε τὴν πρὸς Τίτον ἐπιστολήν, ἀλλ' ἐν τῇ Μακεδονίᾳ καὶ Ἀχαΐᾳ (7), ἢ ἴσως καθ' ὁδόν, ὅταν δηλαδὴ ἐπορεύετο εἰς τὴν Νικόπολιν.

*Ζηνᾶν τὸν νομικὸν καὶ Ἀπολλὼ σπουδαίως πρόπεμψον, ἵνα μηδὲν αὐτοῖς λείπῃ* (8).

Ὁ μὲν Ζηνᾶς συγκατειλεγμένος ἦν τῷ ἀριθμῷ τῶν ἑβδομήκοντα Ἀποστόλων, καὶ ἔμπειρος τῶν Ἰουδαϊκῶν νόμων, διὸ ἐλέγετο νομικός (9). Περὶ δὲ τοῦ Ἀπολλὼ μανθάνομεν εἰς τὰς πράξεις τῶν Ἀποςόλων (10)· ὅτι ἦν Ἰουδαῖος, Ἀλεξανδρεὺς τὸ γένος, ἀνὴρ λόγιος, δυνατὸς ἐν ταῖς γραφαῖς, ζηλωτὴς καὶ διδάσκαλος τῆς εἰς Χριστὸν πίστεως, καὶ συγκατηριθμημένος τῷ χορῷ τῶν ἑβδομήκοντα· οὗτοι δέ, ὡς φαίνεται, οὐκ εἶχον τότε ὑπὸ τὴν ἐπίσκεψιν αὐτῶν ἐκκλησίας διωρισμένας, ὡς ὁ Τιμόθεος καὶ ὁ Τίτος, ἀλλὰ πανταχοῦ περιερχόμενοι, ἐκήρυττον τῆς εὐσεβείας τὸν λόγον, καὶ ἐῤῥύθμιζον τῶν πιστῶν τὰ ἤθη· τῆς τούτων δὲ βοηθείας χρεία ἔχων ὁ Παῦλος, ἔγραφε πρὸς τὸν Τίτον, ἵνα πέμψῃ αὐτοὺς πρὸς αὐτόν, « Σπουδαίως πρόπεμψον »· ἐξηγούμενος δέ, τί τοῦτο σημαίνει, λέγει· « ἵνα μηδὲν » αὐτοῖς λείπῃ »· μετὰ τῆς πρεπούσης, λέγει, σπουδῆς καὶ ἐπιμελείας ἐφοδίασον αὐτοὺς καθ' ὁδόν, δοὺς τὰ ἀναγκαῖα, « ἵνα » μηδὲν αὐτοῖς λείπῃ ». Ἐπειδὴ δὲ ἀκτήμων ἦν ὁ μακάριος Τίτος, δείκνυσιν αὐτῷ, πόθεν δύναται ἐφοδιάσαι αὐτούς, λέγων·

*Μανθανέτωσαν δὲ καὶ οἱ ἡμέτεροι*

(1) Τίτ. 3, 12. (2) Πράξ. 20, 4. ὅρ. τὸ μην. τοῦ Ἰαν. (3) Ἐφεσ. 6, 21. (4) Κολ. 4, 7. (5) ὅρ. τὸ μην. τοῦ Ὀκτωμβρ. ἡμέρ. λ. (6) Χρυσ. καὶ Θεοφυλ. Αὐτ. (7) Θεοδ. Αὐτ, (8) Τίτ. 3, 13. (9) ὅρ. τὸ μην. τοῦ Ἰαν. τῇ 4 ἡμέρ. (10) Πράξ. 18, 24, 25.



*καλῶν ἔργων προΐςασθαι εἰς τὰς ἀναγκαίας χρείας, ἵνα μὴ ὦσιν ἄκαρποι* (1).

Πρέπον ἐστίν, ἵνα « καὶ οἱ ἡμέτεροι », ἤγουν οἱ εἰς τὸν Χριστὸν πιστεύοντες, καὶ ὑπὸ σοῦ ποιμαινόμενοι, μάθωσι « καλῶν ἔρ- » γων προΐστασθαι », τουτέστι, πρῶτοι συντρέχοντες, καὶ προστατεύοντες τὰ καλὰ ἔργα, βοηθῶσιν « εἰς τὰς ἀναγκαίας χρεί- » ας » τοὺς χρείαν ἔχοντας, ἵνα μὴ μένω- » σιν ἄκαρποι », ἀλλὰ καρποφορῶσι τῆς εὐποιΐας καὶ κοινωνίας τὸν καρπόν. Διὰ τούτων δὲ τῶν λόγων πείθει ὁ διδάσκαλος τὸν μαθητήν, ἵνα προτρέψῃ τοὺς πιστούς, ὅπως αὐτοὶ δόντες εἰς τὸν Ζηνᾶν καὶ τὸν Ἀπολλὼ τὰ πρὸς τὴν ὁδὸν ἀναγκαῖα, καρποφορήσωσι τῆς ἐλεημοσύνης τὴν καρποφορίαν.

*Ἀσπάζονταί σε οἱ μετ' ἐμοῦ πάντες· ἄσπασαι τοὺς φιλοῦντας ἡμᾶς ἐν πίστει. Ἡ χάρις μετὰ πάντων ὑμῶν. Ἀμήν* (2).

Ὁ εἰλικρινὴς ἀσπασμός ἐστιν ἀπόδειξις τῆς ἀληθινῆς ἀγάπης· διὰ τοῦτο ὁ πανένδοξος Παῦλος σχεδὸν εἰς πᾶσαν ἐπιστολὴν αὐτοῦ γράφει ὀνομαστὶ τοὺς τῶν ἀδελφῶν ἀσπασμούς, παραγγέλλων, ἵνα καὶ οἱ τὴν ἐπιστολὴν αὐτοῦ λαμβάνοντες ἀσπασθῶσιν ἀλλήλους « ἐν φιλήματι ἁγίῳ » (3). Ἀσπάζεται δὲ τοὺς φιλοῦντας αὐτὸν « ἐν πίςει », ἤγουν τοὺς πιστούς, τοὺς διὰ τὴν εἰς Χριστὸν πίστιν ἀγαπῶντας αὐτόν, ὡς κήρυκα αὐτῆς καὶ διδάσκαλον· ἀπόδειξις δὲ τῆς ἐνθέρμου ἀγάπης αὐτοῦ ἐστι καὶ ἡ εὐχή, δι' ἧς εὔχεται, ἵνα ἡ χάρις τοῦ Θεοῦ εἴη μετ' αὐτῶν· διὰ τῆς αὐτῆς δὲ εὐχῆς ἐσφράγισεν οὐ μόνον ταύτην τὴν πρὸς Τίτον ἐπιστολὴν αὐτοῦ, ἀλλὰ καὶ πάσας τὰς λοιπὰς ἐπιςολάς, ὅσας εἰς διαφόρους ἀπέστειλεν.

# ΟΜΙΛΙΑ

ΜΕΤΑ ΤΗΝ ΠΡΟΣ

## ΤΙΤΟΝ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

### ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗ: ΚΥΡΙΑΚΗ: ΤΩΝ ΠΑΤ. ΤΗΣ Ζ'. ΣΥΝΟΔΟΥ.

ΔΙΑ τί ἄρά γε μετὰ τοσαύτης ἐμφάσεως ὁ θεοῤῥήμων Παῦλος παρήγγελλεν εἰς τὸν ἑαυτοῦ μαθητήν, τὸν Τίτον, ἵνα πληροφορῇ πάντας τοὺς πιστούς, ὅτι ὁ λόγος τοῦ Θεοῦ ἐστιν ἀληθινός, καὶ ὅσα διδάσκει, βέβαιά εἰσι καὶ ἀναμφίβολα; « Πιστὸς ὁ λό- » γος, ἔγραφε πρὸς αὐτόν, καὶ περὶ τούτων » βούλομαί σε διαβεβαιοῦσθαι » (4). Διὰ τί ἤθελεν, ἵνα οἱ πιστεύοντες ἔχωσι βεβαιότητα περὶ τῶν πιστευομένων; οὐκ ἀρκεῖ ἡ πί-

(1) Τίτ. 3, 14. (2) Αὐτ. 3, 15. (3) Α'. Κορ. 16, 20. (4) Τίτ. 3, 8.

στις πρὸς ὁδηγίαν τῆς σωτηρίας, ἀλλ' ἔχομεν χρείαν καὶ τῆς βεβαιότητος; « Ἡ πίστις χωρὶς τῶν ἔργων νεκρά ἐστι » (1)· συνεργεῖ δὲ πρὸς τὰ καλὰ ἔργα τῶν πιςευομένων ἡ πληροφορία. Παρήγγελλεν οὖν τὴν βεβαιότητητα ὁ θεῖος Ἀπόστολος, ἵνα δι' αὐτῆς οἱ πιστεύσαντες ἐργάζωνται προθύμως τὰ καλὰ ἔργα· « Πιστὸς ὁ λόγος· καὶ περὶ τούτων βούλομαί σε διαβεβαιοῦσθαι, ἵνα φροντίζωσι καλῶν ἔργων προΐστασθαι οἱ πεπιστευκότες τῷ Θεῷ » . Ἀλλὰ πίστις καὶ βεβαιότης φαίνονται δύω πράγματα ἐναντία· ποία οὖν ἐστιν ἡ τοιαύτη βεβαιότης; Ἔχει ἡ πίστις μέτρα, καὶ βαθμούς, καθὼς καὶ ἡ ἀγάπη· ἐκεῖνος μὲν ἀγαπᾷ τὸν Θεὸν πολύ, οὗτος δὲ ὀλίγον· ἐβεβαίωσε τοῦτο ὁ Κύριος, εἰπὼν περὶ τῆς πόρνης· « Ἀφέονται αἱ ἁμαρτίαι αὐτῆς αἱ πολλαί, ὅτι ἠγάπησε πολύ· ᾧ δὲ ὀλίγον ἀφίεται, ὀλίγον ἀγαπᾷ » (2)· ὁμοίως, ἐκεῖνος μέν πιστεύει πολύ, οὗτος δέ, ὀλίγον· Ἐγνώρισαν τοῦτο οἱ πανένδοξοι Ἀπόςολοι· ὅθεν, κἂν ἐπίςευον εἰς τὸν Ἰησοῦν Χριςόν, παρεκάλουν ὅμως αὐτόν, λέγοντες· « Πρόσθες ἡμῖν πίστιν » (3)· ὁ δὲ Κύριος ἀπεκρίθη πρὸς αὐτούς, λέγων· « Εἰ εἴχετε πίστιν ὡς κόκκον σινάπεως, ἐλέγετε ἂν τῇ συκαμίνῳ ταύτῃ· ἐκριζώθητι, καὶ φυτεύθητι ἐν τῇ θαλάσσῃ· καὶ ὑπήκουσεν ἂν ὑμῖν »· τοῦτο δὲ σημαίνει, ὅτι, ὁπόταν ἡ πίστις θερμανθῇ, καθὼς θερμός ἐστιν ὁ κόκκος τοῦ σινάπεως, τότε εἰς τὸν πιστὸν γίνονται καὶ τὰ δυσκολώτατα εὔκολα, καὶ δυνατὰ τὰ ἀδύνατα, τότε αὐτὸς ποιεῖ θαύματα· θερμαίνεται δὲ ἡ πίστις, ὅταν οὐδὲ ἀμφιβάλλωμεν, οὐδὲ διστάζωμεν ὅλως εἰς ὅσα αὐτὴ διδάσκει· « Ἐὰν ἔχητε πίστιν, εἶπεν ὁ Κύριος, καὶ μὴ διακριθῆτε » (4). Ἐζήτει οὖν ὁ Παῦλος τὴν βεβαιότητα, ἐπειδὴ ὅστις ἔχει πίστιν ἀδίστακτον, ἐκεῖνος φεύγει πᾶσαν ἁμαρτίαν, καὶ ἐργάζεται πᾶσαν θεάρεστον πρᾶξιν.

Ἀντιπαλαίει πολλάκις ἡ αἴσθησις τὰ ὑπὸ τῆς πίστεως διδασκόμενα· ἐπειδὴ δὲ εἰς τὰ παλαίσματα ὁ δυνατώτερος νικᾷ, ὁ δὲ ἀδύνατος νικᾶται· διὰ τοῦτο, ὅπου ἡ πίςις ἐςὶν ἀσθενής, ἤγουν ὀλίγη καὶ ψυχρά, ἐκεῖ νικᾷ ἡ αἴσθησις· ἐκ τούτου δὲ ἡμεῖς οἱ τάλανες πίπτομεν εἰς τῆς ἁμαρτίας τὰ βάραθρα· πιστεύομεν, ὅτι ὁ Θεὸς « μισεῖ πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν, ἀπολεῖ πάντας τοὺς λαλοῦντας τὸ ψεῦδος » (5)· βδελύσσεται τὸν ἄνδρα τῶν αἱμάτων καὶ τὸν δόλιον· πλήν, ἐπειδὴ βλέπομεν, ὅτι πολλοὶ ἄνομοι, καὶ ψεῦσται, καὶ φονεῖς, καὶ δόλιοι ἐνίοτε οὐ μόνον μένουσιν ἀτιμώρητοι, ἀλλὰ καὶ εὐτυχοῦσιν, ἡ αἴσθησις τῆς ὁράσεως ἐγείρει τὸν πόλεμον κατὰ τῆς πίστεως· ἐπειδὴ δὲ ἡ πίστις ἡμῶν ἐστιν ἀσθενής, νικᾷ τὸν νοῦν ἡ δύναμις τῆς αἰσθήσεως· ὅθεν ἡμεῖς διστάζομεν, καὶ ὑποπτευόμεθα, ὅτι ὁ Θεὸς φοβερίζει, ἀλλ' οὐ παιδεύει, καὶ ὅτι οἱ φοβερισμοὶ αὐτοῦ διαμένουσιν ἄπρακτοι· διὸ ἀνυποστόλως καὶ ψευδόμεθα, καὶ φονεύομεν, καὶ δολιευόμεθα, καὶ πράττομεν πᾶσαν ἄλλην ἀνομίαν. Πιστεύω, ὅτι ὁ Θεὸς ἐστι πανταχοῦ παρών, καὶ ὅτι βλέπει πάντα τὰ ἔργα μου, καὶ γνωρίζει πάντα τὰ ἀπόκρυφα διανοήματά μου, καθὼς ἔβλεπε, καὶ ἐγνώριζε τὸ ἄδολον τῆς καρδίας τοῦ Ναθαναὴλ ὑποκάτω τῆς συκῆς, πρὶν ἢ προσκαλέσῃ αὐτὸν ὁ Φίλιππος (6)· ὅμως ἀκαταπαύστως γεμίζω τὸν νοῦν μου παντὸς αἰσχροῦ λογισμοῦ, ἁρπάζω τὰ ξένα πράγ-

(1) Ἰακ. 2, 20. (2) Λουκ. 7, 47. (3) Αὐτ. 17, 5, 6. (4) Ματθ. 21, 21. (5) Ψαλ. 5, 5, 6.
(6) Ἰωάν. 1, 49.



ματα, ἀδικῶ τὸν ὀρφανόν, δυναστεύω τὴν χήραν, καὶ πράττω ἔμπροσθεν εἰς τὸ πρόσωπον τοῦ Θεοῦ, ὅσα ἐντρέπομαι, καὶ φοβοῦμαι πρᾶξαι ἐνώπιον ἑνὸς ποταποῦ ἀνθρώπου. Πόθεν συμβαίνουσι ταῦτα τὰ ἀσυμβίβαστα πράγματα; αὐτὰ συμβαίνουσιν ἐκ τῆς ὀλιγοπιστίας μου· ἡ μὲν πίστις λέγει μοι, ὅτι ὁ Θεός ἐστιν ἐνώπιόν μου· οἱ δὲ ὀφθαλμοί μου ἐνατενίζοντες ἔνθεν κἀκεῖθεν, οὐ βλέπουσι τὸν Θεόν· ὅθεν, ἐπειδὴ ἡ πίςις μου ἐστὶν ὀλίγη, ἡ δύναμις τῆς αἰσθήσεως σκοτίζει τὸν νοῦν μου, καὶ συντρίβει τὴν ὀλίγην δύναμιν τῆς πίςεώς μου· ὅθεν ἁμαρτάνω, μηδόλως συλλογιζόμενος, ὅτι ὁ Θεός ἐστιν ἔμπροσθέν μου.

Ἐκεῖνοι οἱ τρισμακάριοι ἄνθρωποι, ὅσοι ἔχουσι πίστιν θερμήν, ὡς κόκκον σινάπεως, νικῶσι τὰς προσβολὰς τῶν αἰσθήσεων, ἐπειδὴ ἡ θερμότης τῆς πίστεως διαλύει τὴν προσβολὴν τῆς αἰσθήσεως· ἐκ τούτου αὐτοὶ ὡς τοῖχοι ἀκράδαντοι οὐδόλως σαλεύονται ἐν τῷ πολέμῳ τῶν αἰσθήσεων, οὐδὲ κλίνουσιν εἰς τὰ ἔργα τῆς ἁμαρτίας. Τοιαύτην πίστιν εἶχεν ὁ ἅγιος προφήτης Δαβίδ· αὐτὸς κἂν διὰ τῶν σωματικῶν ὀφθαλμῶν οὐκ ἔβλεπε τὸν Κύριον, ἔλεγεν ὅμως, ὅτι βλέπει αὐτὸν διὰ τῶν νοερῶν ὀφθαλμῶν τῆς πίστεως, παριστάμενον ἐνώπιον αὐτοῦ, ἵνα μὴ σαλεύσῃ, μηδὲ κλίνῃ εἰς τὴν ἀνομίαν· « Προωρώμην τὸν Κύριον ἐνώπιόν μου διαπαντός, ὅτι ἐκ δεξιῶν μου ἐστίν, ἵνα μὴ σαλευθῶ » (1) τοιαύτην πίστιν εἶχεν ὁ Ἀβραάμ· διότι κἂν ἡ αἴσθησις τοῦ γήρατος αὐτοῦ, καὶ τῆς στειρώσεως τῆς Σάῤῥας ἔπειθεν αὐτόν, ὅτι οὐ δύναται γεννῆσαι υἱόν· κἄν, ὅταν ἥπλωσε τὴν χεῖρα αὐτοῦ, ἵνα σφάξῃ αὐτόν, ἔβλεπεν ὅτι μένει ἄτεκνος· ὅμως αἱ τοιαῦται ἰσχυραὶ προσβολαὶ τῶν αἰσθήσεων οὐκ ἐσάλευσαν τὴν δύναμιν τῆς μεγάλης αὐτοῦ πίστεως, ἀλλ' ἐπίστευεν εἰς τὸν λόγον τοῦ Θεοῦ, ὅστις εἶπε πρὸς αὐτόν· « Ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα· λογισάμενος, ὅτι καὶ ἐκ νεκρῶν ἐγείρειν δυνατὸς ὁ Θεός » (2).

Βλέπε δέ, πῶς ἡμεῖς διὰ τὴν ὀλιγοπιστίαν ἡμῶν οὐ μόνον νικώμεθα ὑπὸ τῶν αἰσθήσεων, ἀλλὰ γινόμεθα καὶ τῶν παθῶν ἡμῶν ὑποχείριοι· « Ἐὰν γὰρ ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, ἀφήσει καὶ ὑμῖν ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος » (3). Τοῦτο διδάσκει ἡ πίστις· εἰς τοῦτο πιστεύει ὁ πιστός· τίς ἐστιν ἀναμάρτητος; τίς οὐκ ἔχει χρείαν τῆς ἀφέσεως τῶν ἁμαρτιῶν; καὶ ὅμως, ἐὰν ἡ πίςις ὑπάρχῃ θερμὴ καὶ μεγάλη, ὡς ἐκείνη τοῦ πρωτομάρτυρος Στεφάνου, συγχωροῦμεν τὰ καθ' ἡμῶν ἁμαρτήματα τῶν ἀνθρώπων, καθὼς αὐτός, τὸν θανατηφόρον λιθασμὸν τῶν λιθασάντων αὐτὸν Ἰουδαίων. Ἐὰν δὲ ἡ πίστις ψυχρὰ καὶ ὀλίγη, καταποντίζουσιν αὐτὴν τῆς μνησικακίας τὰ κύματα, ἡ δὲ ψυχὴ ἡμῶν γίνεται δούλη τῆς ἀσυμπαθείας « Ἐμοὶ ἐκδίκησις, ἐγὼ ἀνταποδώσω, λέγει Κύριος » (4)· τοῦτο διδάσκει ἡ πίστις· εἰς τοῦτο πιστεύει ὁ πιστός. Ποῖος οὖν ἄλλος ἐκδικητής, ἢ ἰσχυρότερος, ἢ δικαιότερος, ἢ φοβερώτερος; οὐδείς· ἐὰν ὅμως ὀλιγοπιστῇς εἰς ταῦτα τὰ ἀληθέστατα καὶ ἀναμφίβολα λόγια, τὸ πάθος τῆς ἐκδικήσεως κατακυριεύει τὴν ψυχήν σου, καὶ ἐμβάλλει σε εἰς τοὺς βρόχους τῆς ταραχῆς, καὶ τῶν κινδύνων, καὶ τῶν ἀγώνων, ὅσους δοκιμάζουσιν οἱ ἐκδικηταί· ἐὰν δὲ μὴ διακριθῇς, μηδὲ διστάσῃς ὅλως εἰς τοῦ Κυρίου τὰ λόγια, κα-

(1) Ψαλ. 15, 8. (2) Γεν. 21, 12. Ἑβρ. 11, 19. (3) Ματθ. 6, 14. (4) Ῥωμ. 12, 19.

ταπραύνεις τῆς ἐκδικήσεως τὴν ὁρμήν, καθὼς ὁ προφητάναξ Δαβίδ, ὅτε εἶπε περὶ τοῦ διώκοντος αὐτὸν Σαούλ· « Μηδαμῶς παρὰ » Κυρίου, εἰ ποιήσω τὸ ῥῆμα τοῦτο τῷ κυ- » ρίῳ μου τῷ χριστῷ Κυρίου, ἐπενέγκαι » χεῖρά μου ἐπ' αὐτόν » (1).

Τί δέ; τοῦτο ἆρά γε μόνον ἐργάζεται ἡ ἔνθερμος πίστις, τὴν φυγὴν δηλονότι τῆς ἁμαρτίας; οὐχί· ὅπου πίστις θερμή, ἐκεῖ τῶν ἀρετῶν ἡ καρποφορία· ὅπου δὲ ὀλιγοπιστία, ἐκεῖ ἡ ἀκαρπία τῶν καλῶν ἔργων· ἱστορεῖ ὁ θεηγόρος Παῦλος τῶν ἁγίων ἀνθρώπων τὰς ἀρετάς· τοῦ Ἄβελ τὴν εἰς Θεὸν εὐλάβειαν, τοῦ Ἐνὼχ τὴν θείαν εὐαρέστησιν, του Νῶε τὰς ὑπὲρ τῆς κατασκευῆς τῆς κιβωτοῦ φροντίδας καὶ τοὺς κόπους, τοῦ Ἀβραὰμ τὴν ὑπακοήν, τῆς Σάρρας τὴν ἐλπίδα, τοῦ Ἰσαὰκ τὴν εὐπείθειαν, ὅτε προσηνέχθη εἰς τὸ θυσιαστήριον, τοῦ Ἰακὼβ τὰς ἐκ τῆς ἀγάπης προφητικὰς εὐλογίας, τοῦ Ἰωσὴφ τὴν προφητικὴν παραγγελίαν, τοῦ Μωϋσέως τὸν ἔνθεον ζῆλον, τοῦ Ἰησοῦ τοῦ Ναυῆ τὸ κατὰ τῆς Ἱεριχὼ παράδοξον κατόρθωμα, καὶ αὐτῆς δὲ τῆς Ῥαὰβ τὸν τρόπον τὸν φιλόξενον· τοῦ Γεδεών, τοῦ Βαράκ, τοῦ Σαμψών, τοῦ Ἰεφθάε, τοῦ Δαβίδ, τοῦ Σαμουήλ, τῶν προφητῶν τὰς ἀνδραγαθίας καὶ τὰ ἔργα τὰ θαυμάσια (2). ἐπιμαρτυρεῖ δὲ ὁ θεσπέσιος, ὅτι ἕκαστος αὐτῶν διὰ τῆς πίστεως κατώρθωσε τὰς τοιαύτας πράξεις, « Καὶ οὗτοι πάντες, λέγει, » μαρτυρηθέντες διὰ τῆς πίστεως, οὐκ ἐκο- » μίσαντο τὴν ἐπαγγελίαν » (3).

Ἀληθῶς δέ, ἐὰν παρατηρήσῃς τὸ πολίτευμα αὐτῶν, βλέπεις, ὅτι ἡ πίστις αὐτῶν ἦν μεγάλη, θερμή, ςερεά. Πόσην καὶ ὁποίαν πίστιν εἶχεν ὁ Ἀβραάμ, ὅστις, ὅταν ἤκουσε τοῦ Θεοῦ τὸ πρόσταγμα, « Ἔξελθε ἐκ » τῆς γῆς σου, καὶ ἐκ τῆς συγγενείας σου, » καὶ ἐκ τοῦ οἴκου τοῦ πατρός σου· καὶ δεῦ- » ρο εἰς γῆν, ἣν ἄν σοι δείξω, καὶ ποιήσω » σε εἰς ἔθνος μέγα » (4), οὐδὲ ἐδειλίασεν, οὐδὲ ἐφοβήθη, οὐδὲ ἐδίστασεν, ἀλλ' εὐθὺς προθύμως ἐγκατέλιπε καὶ γένος καὶ πατρίδα, καὶ πατρῷον οἶκον, καὶ συγγενεῖς καὶ φίλους, « Καὶ ἐξῆλθε, μὴ ἐπιστάμενος, ποῦ » πορεύεται » (5); πόσον στερεὰ ἐφάνη ἡ πίστις αὐτοῦ, ὅταν « Ἐξέτεινε τὴν χεῖρα » αὐτοῦ λαβεῖν τὴν μάχαιραν, σφάξαι τὸν » υἱὸν αὐτοῦ » (6); Πόσον πῦρ εἶχεν ἡ πίστις τοῦ Μωϋσέως; τῆς θερμοτάτης αὐτοῦ πίστεως ἀπόδειξίς ἐστιν ἡ καταφρόνησις τῶν θησαυρῶν τῆς Αἰγύπτου, ἡ προτίμησις τοῦ τύπου τῶν ὀνειδισμῶν τοῦ Χριστοῦ, ἡ παῤῥησία μεθ' ἧς ἐλάλει ἐνώπιον τοῦ βασιλέως Φαραώ, τὸ θάῤῥος δι' οὗ ἐτέλεσε τὰ ἐν Αἰγύπτῳ φοβερὰ θαυμάσια, ἡ πεποίθησις, δι' ἧς ἀνέλαβε τὴν φροντίδα τῆς ἀπολυτρώσεως τοῦ Ἰσραηλιτικοῦ λαοῦ, ἡ μεγαλοψυχία, δι' ἧς διεβίβασεν αὐτοὺς διὰ τῆς Ἐρυθρᾶς θαλάσσης, ἡ σταθερότης, δι' ἧς ὑπομείνας τὰς ἐπαναστάσεις αὐτῶν, ὡδήγησεν αὐτοὺς εἰς τὴν γῆν τῆς ἐπαγγελίας. Ἐκ τούτου ὁ Παῦλος εἶπε περὶ αὐτοῦ, ὅτι τοσαύτην πίστιν εἶχεν, ὥστε ἐμεγαλοψύχησεν, ὥσπερ ἂν εἰ ἔβλεπε τὸν ἀόρατον Θεὸν βοηθοῦντα αὐτῷ. « Τὸν γὰρ ἀόρατον, λέγει, » ὡς ὁρῶν ἐκαρτέρησεν ». Ἐὰν δὲ ἐξετάσῃς τὰς ἀρετὰς ἑνὸς ἑκάστου τῶν ἁγίων, τῶν ὑπὸ τοῦ Παύλου μνημονευθέντων, βλέπεις, ὅτι αὗται ἦσαν καρποὶ τῆς θερμῆς αὐτῶν πίστεως· ὁποία δὲ καὶ πόση ἡ σταθερότης τῆς πίστεως τῶν ἁγίων τοῦ Χριςοῦ μαρτύρων; ἄῤῥητος ἀληθῶς καὶ ἀπερίγραπτος· αὐτὴ δὲ ἡ πίστις ἐκαρποφόρησεν εἰς τὴν καρδίαν αὐτῶν τὴν μεγαλοψυχίαν, δι' ἧς οὐδόλως ἐφοβήθησαν τῶν τυράννων τὸ κράτος καὶ τὴν ὑπομονήν, δι' ἧς κἂν ἔβλεπον τὰς σάρκας αὐτῶν ξεομένας καὶ τὰ μέλη τεμνόμενα, κἂν ᾐσθάνοντο τοῦ πυρὸς τὴν φλόγωσιν, καὶ τῶν πολυειδῶν βασάνων τὴν δριμύτητα, ὅμως ὡς ἄλλου τινὸς πάσχοντος οὕτως ὑπέμειναν, πιστεύοντες καὶ κηρύττοντες τὴν εἰς Χριστὸν πίστιν.

(1) Α'. Βασ. 24, 6. (2) Ἑβρ. 11, 4, 5, 7, 8, 11, 17, 21, 22, 23, 30, 31, 32. κτλ. (3) Αὐτ. 39.
(4) Γεν. 12, 1, 2· (5) Ἑβρ. 11, 8. (6) Γεν 22, 10.



Καὶ αὐτοὶ μὲν ἔχοντες τὴν πληροφορίαν τῆς πίστεως κατώρθωσαν τὰ μεγάλα τῆς πίστεως κατορθώματα· ἡμεῖς δὲ οἱ ἄθλιοι, ὀλιγόπιστοι ὄντες, γυμνοί ἐσμεν καὶ ἐστερημένοι τῶν θεαρέστων ἔργων. Ἐπιθυμῶ τὴν νηστείαν, ἐπειδὴ καταδαμάζει τὴν σάρκα, καὶ καταπραΰνει τῶν παθῶν τὰ κύματα· ἀλλ' ἐπειδή εἰμι ὀλιγόπισσος, φοβοῦμαι, μήπως νηστεύων, ἀσθενήσω· ὅθεν πίπτω εἰς τῆς πολυφαγίας καὶ πολυποσίας τὰ δίκτυα· ἐπιθυμῶ τῆς ἐλεημοσύνης τὸ ἔργον, ἐπειδὴ πιστεύω, ὅτι οἱ ἐλεήμονες ἀπολαμβάνουσιν ἑκατονταπλάσια ἐπὶ γῆς, καὶ βασιλείαν αἰώνιον ἐν τῷ οὐρανῷ· ἀλλ' ἐπειδὴ ἡ πίστις μου ἐστὶν ὀλίγη, φοβοῦμαι, μήπως ἐλεῶν τοὺς πτωχούς, καταντήσω εἰς τῆς πτωχείας τὰ ἀνάγκας· ὅθεν καταποντίζομαι εἰς τῆς φιλαργυρίας τὸ βάραθρον· θέλω, ἵνα ἀγαπήσω τοὺς ἐχθρούς μου, ἐπειδὴ ἀκούω τὸν δεσπότην μου προστάσσοντα καὶ λέγοντα· « Ἐγὼ δὲ λέγω ὑμῖν· » ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν » (1)· πλήν, ἐπειδὴ ἡ πίστις μου ἐστὶ ψυχρά, φοβοῦμαι, μήπως ἀγαπήσας τὸν ἐχθρόν μου, λογισθήσομαι μωρός, καὶ κατασταθήσομαι ὄνειδος τοῦ κόσμου· ἀγαπῶ τὴν ἀρετήν· ἀλλ', ἐπειδὴ ἡ πίστις μου οὐκ ἔχει θερμότητα, ὅμοιός εἰμι ἐκείνῃ τῇ γῇ, ἣν οὐ βλέπει ὁ ἥλιος, μένω δηλονότι ἄκαρπος, ἢ ποιῶ καρποὺς σαπροὺς καὶ οὐτιδανωτάτους.

Βλέπε τὴν ἀπόδειξιν τούτων μου τῶν λόγων εἰς τὸν κορυφαῖον τῶν ἀποστόλων· ὅταν τὸ πλοῖον, ἐν ᾧ ἦσαν οἱ Ἀπόστολοι, ἐβασανίζετο ὑπὸ τῆς βίας τῶν κυμάτων, τότε ὁ Ἰησοῦς ἤρχετο πρὸς αὐτοὺς περιπατῶν ἐπὶ τῆς θαλάσσης· ἰδὼν δὲ αὐτὸν ὁ Πέτρος, εἶπε· « Κύριε, πρόσταξόν με, ἵνα » ἔλθω πρός σέ· ὁ δὲ Κύριος εἶπεν· ἐλθέ » (2)· Ἄφοβος οὖν καὶ θαρσαλέος ὁ Πέτρος καταβαίνει ἀπὸ τοῦ πλοίου, πατεῖ ἐπάνω εἰς τὰ ὕδατα, καὶ περιπατῶν ἐπὶ τῆς θαλάσσης, σπουδάζει, ἵνα φθάσῃ, ὅπου ἦν ὁ Ἰησοῦς Χριστός· « Βλέπων δὲ τὸν ἄνεμον ἰσχυρόν, » ἐφοβήθη· φοβηθεὶς δὲ ἤρξατο καταποντί- » ζεσθαι » (3)· ἀλλὰ διὰ τί πρῶτον μὲν οὐδὲ τὸν ἄνεμον ἐφοβήθη, οὐδὲ τὰ κύματα, ἀλλὰ κατέβη ἀπὸ τοῦ πλοίου, καὶ περιεπάτει ἐπάνω εἰς τὰ ὕδατα, καθὼς ἡμεῖς περιπατοῦμεν εἰς τὴν ξηρὰν γῆν, ἔπειτα δὲ ἐφοβήθη; Διὰ τί δὲ εὐθύς, ὅτε ἐφοβήθη ἤρξατο καταποντίζεσθαι; Αὐτὸς πρῶτον μὲν ἐπίστευσεν ἀδιστάκτως, ὅτι τὸ πρόσταγμα τοῦ Ἰησοῦ Χριστοῦ ἐστι παντοδύναμον, ἔπειτα βλέπων τὸν ἄνεμον ἰσχυρόν, ὠλιγοπίστησεν· ὀλιγοπιστήσας δέ, κατεποντίζετο· ἐν ὅσῳ ἐπίστευεν ἀδιστάκτως, ἡ χάρις τῆς ἀδιστάκτου πίστεως στερεὰ ἐποίει τὰ ὕδατα, τὰ ὑποκάτω τῶν ποδῶν αὐτοῦ· ὅθεν αὐτὸς περιεπάτει ἐπ' αὐτῶν· ἀφ' οὗ δὲ ὠλιγοπίστησεν, ἔφυγεν ἡ χάρις τῆς θερμῆς πίστεως· ὅθεν τὰ ὕδατα ἐγένοντο ῥευστά, κατὰ τὸ φυσικὸν αὐτῶν ἰδίωμα· ἐκ τούτου αὐτὸς ἤρξατο καταποντίζεσθαι. Ἡ μὲν θερμὴ πίστις ἔφερε τὸ θάῤῥος, καὶ τὴν δύνα-

(1) Ματθ. 5, 44. (2) Αὐτ. 14, 28. (3) Αὐτ. 30.

μιν τοῦ περιπατεῖν ἐπάνω τῶν ὑδάτων· ἡ δὲ ὀλιγοπιστία, τὸν φόβον, καὶ τὸν καταποντισμόν· ἐπιβεβαιοῖ τὸν λόγον μου ὁ πρὸς τὸν Πέτρον ἔλεγχος τοῦ Κυρίου· « Ὀλιγό» πιστε, εἶπε πρὸς αὐτὸν ὁ Κύριος, εἰς τί » ἐδίστασας » (1); ἐν ὅσῳ ἐπίστευες, περιεπάτεις ἀφόβως ἐπὶ τῆς θαλάσσης· ἀφ' οὗ ἐδίστασας, ἤγουν ὠλιγοπίστησας, ἐφοβήθης, καὶ ἤρξω καταποντίζεσθαι.

Τοῦτο τὸ παράδειγμα ἀγαπητοί μου ἀδελφοί, ἐστὶ τύπος καὶ εἰκὼν τῶν εἰς ἡμᾶς συμβαινόντων. Ἡ θάλασσά ἐστιν ὁ κόσμος, τὰ κύματά εἰσι τῆς σαρκὸς τὰ πάθη, ἄνεμος δὲ ἰσχυρός ἐστιν ὁ πειρασμὸς τοῦ διαβόλου· καθὼς δὲ τότε ὁ Χριστὸς ἐκέλευσε τῷ Πέτρῳ, ἵνα ἔλθῃ πρὸς αὐτόν, καὶ εἶπεν, « ἐλθέ » (2), οὕτω προστάσσει πάντας ἡμᾶς, λέγων· « Δεῦτε πρός με πάντες οἱ κο» πιῶντες, καὶ πεφορτισμένοι, κἀγὼ ἀνα» παύσω ὑμᾶς » (3)· ἐὰν οὖν ἔχῃς πίστιν ἀδίστακτον καὶ θερμήν, καθὼς ὁ Πέτρος, ὅτε κατέβη ἀπὸ τοῦ πλοίου, πατεῖς τὴν ματαιότητα, καὶ ἀνώτερος γίνεσαι τῶν σαρκικῶν ἐπιθυμιῶν, καὶ οὐδὲν φοβίζουσί σε τοῦ Σατανᾶ οἱ πολέμιοι· πολιτεύεσαι δὲ εἰς τὸν κόσμον θεαρέστως, καθὼς ὁ Πέτρος θαυματουργικῶς περιεπάτει ἐπὶ τῆς θαλάσσης· ἐὰν δὲ ἡ ὀλιγοπιστία κατακυριεύσῃ τῆς καρδίας σου, καθὼς μετὰ ταῦτα τῆς τοῦ Πέτρου, τότε φοβίζουσί σε τοῦ διαβόλου τὰ βέλη, καθὼς τὸν Πέτρον ὁ ἄνεμος, καὶ καταποντίζουσί σε ἡ ματαιότης τοῦ κόσμου, καὶ τῆς σαρκὸς τὰ πάθη, καθὼς ἤρξαντο καταποντίζειν τὸν Πέτρον ἡ θάλασσα καὶ τὰ κύματα.

Ἐκ τούτων λέγεις, συμπεραίνομεν, ὅτι ὅλη ἡ σωτηρία ἡμῶν κρέμαται ἀπὸ τῆς πίστεως· τοῦτο τὸ συμπέρασμά ἐστιν ἀληθέστατον· ἀπὸ τῆς πίστεως κρέμαται ἡ σωτηρία, ἤγουν ἀπὸ τῆς πίστεως τῆς θερμῆς, ὡς ὁ κόκκος τοῦ σινάπεως, τῆς καρποφορούσης τὰς ἀρετάς, τῆς « Δι' ἀγάπης ἐνερ» γουμένης » (4), οὐχὶ δὲ ἀπὸ τῆς ὀλιγοπιστίας, τῆς ψυχρᾶς, ὡσεὶ χιών, τῆς ἀνίκμου καὶ ἀκάρπου, καὶ τῆς ἐστερημένης τῆς ἀγάπης· περὶ ταύτης δὲ τῆς πίστεως, τῆς μηδέποτε κεχωρισμένης τῶν καλῶν ἔργων, εἶπεν ὁ Κύριος· « Ὁ πιστεύσας καὶ βαπτι» σθεὶς σωθήσεται » (5)· περὶ ταύτης εἶπεν ὁ Παῦλος καὶ ὁ Σίλας πρὸς τὸν δεσμοφύλακα· « Πίςευσον ἐπὶ τὸν Κύριον Ἰησοῦν Χρι» ςόν, καὶ σωθήσῃ σὺ καὶ ὁ οἶκός σου » (6)· περὶ αὐτῆς ἐλάλησαν καὶ οἱ Εὐαγγελισταί, καὶ οἱ Ἀπόστολοι, ὁσάκις εἶπον, ὅτι ἡ πίστις σώζει, μηδὲν περὶ τῶν καλῶν ἔργων προσθέντες, καθότι αὐτή ἐστιν ἡ μήτηρ, ἡ ῥίζα, καὶ ἡ πηγὴ πάσης ἀγαθωσύνης.

Ἀλλὰ πῶς δύναμαι, λέγεις, διαφυλάξαι τὴν πίςιν μου θερμήν, καὶ ςερεάν, καὶ ἀκμάζουσαν; ψυχραίνουσι τὴν θερμότητα αὐτῆς τοῦ σώματος αἱ αἰσθήσεις, κλονοῦσι τὴν στερεότητα αὐτῆς τῆς σαρκὸς τὰ πάθη, μαραίνει τὸ ἄνθος αὐτῆς ἡ πλάνη τοῦ κόσμου, καὶ ἐκνευρίζουσι τὸν τόνον τῆς δυνάμεως αὐτῆς τοῦ ἀρχεκάκου ἐχθροῦ οἱ πολέμιοι· « Ἐθερμάνθη, λέγει ὁ προφήτης Δα» βίδ, ἡ καρδία μου ἐντός μου, καὶ ἐν τῇ με» λέτῃ μου ἐκκαυθήσεται πῦρ » (7). Ποία δὲ ἦν ἡ μελέτη αὐτοῦ, ἡ τὴν καρδίαν αὐτοῦ ἐντὸς θερμαίνουσα, καὶ ἀνάπτουσα ἐν αὐτῷ τὸ πῦρ, ἐκεῖνο δηλαδὴ τὸ πῦρ τῆς πίστεως. ὅπερ ὁ Κύριος ἦλθε βαλεῖν εἰς τὴν γῆν, καὶ περὶ οὗ ἔλεγε· « Καὶ τί θέλω, εἰ » ἤδη ἀνήφθη » (8); Ὁ νόμος τοῦ Θεοῦ καὶ τὰ

(1) Ματθ. 34. (2) Αὐτ. 29. (3) Αὐτ. 11, 28. (4) Γαλ. 5, 6. (5) Μάρκ. 16, 16.
(6) Πράξ. 16, 31. (7) Ψαλ. 38, 3. (8) Λουκ. 12, 49.



μαρτύρια αὐτοῦ ἦσαν ἡ διηνεκὴς τοῦ Δαβὶδ μελέτη, ὡς αὐτὸς μαρτυρεῖ, λέγων· « Ὡς ἠγάπησα τὸν νόμον σου, Κύριε, ὅλην » τὴν ἡμέραν μελέτη μου ἐστί· Καὶ γὰρ » τὰ μαρτύριά σου μελέτη μου ἐστίν (1). Ὅστις οὖν μελετᾷ τὸν νόμον τοῦ Θεοῦ, καὶ καὶ τὰς μαρτυρίας αὐτοῦ, ἤγουν τὰς ἁγίας Γραφάς, ἐκεῖνος βλέπει, ὅτι τὰ λόγια τοῦ Κυρίου εἰσὶ « λόγια ἁγνά· ἀργύριον πεπυ» ρωμένον, δοκίμιον τῇ γῇ, κεκαθαρισμέ» νον ἑπταπλασίως » (2), τουτέστι, λόγια καθαρά, καὶ ἀληθινά, καὶ βέβαια· ἐκεῖ βλέπει τὰς ὑποσχέσεις τοῦ Θεοῦ τετελεσμένας, καὶ ἐκπεπληρωμένας· ἐκεῖ βλέπει, ὅτι « τὰ » ἀδύνατα παρὰ ἀνθρώποις, δυνατά εἰσι » παρὰ τῷ Θεῷ » (3) ὅθεν φλέγεται ἡ καρδία αὐτοῦ ὑπὸ τοῦ θείου ἔρωτος, καθὼς ἡ καρδία τοῦ Λουκᾶ καὶ τοῦ Κλεώπα, (4) ὅταν ἤκουον τὸν λόγον τοῦ Κυρίου, ὃν ἐλάλει αὐτοῖς ἐν τῇ ὁδῷ. Ὅστις μελετᾷ, ἢ ἀκούῃ διαπαντὸς τὸν λόγον τοῦ Θεοῦ, ἐκείνου ἡ πίςις διαμένει πάντοτε θερμή, καὶ ςερεά, καὶ ἀκμαία. Ἰδοὺ οὖν ὁ τρόπος, δι' οὗ διώκεις τὴν ὀλιγοπιςίαν, καὶ στηρίζεις εἰς τὴν καρδίαν σου τὴν πίςιν τὴν ἔνθερμον καὶ ζῶσαν.

Ἀλλὰ καὶ ἄλλον τρόπον, δι' οὗ ἡ πίστις ἀπαρτίζεται, καὶ τελειοῦται, ἐφανέρωσεν ἡμῖν ὁ θεῖος Ἰάκωβος, ὁ ἀδελφὸς τοῦ Κυρίου· αὐτὸς προβάλλει τὸν Ἀβραὰμ δικαιωθέντα ἐκ τῶν καλῶν αὐτοῦ ἔργων, ἤγουν ἐκ τῆς ὑπακοῆς, ἣν ἔδειξε πρὸς τὸν Θεόν, προσενέγκας τὸν υἱὸν αὐτοῦ Ἰσαὰκ ἐπὶ τὸ θυσιαστήριον, ἔπειτα ἐπιφέρει ταῦτα τὰ ἀξιοσημείωτα λόγια· « Βλέπεις, ὅτι ἡ » πίστις συνήργει τοῖς ἔργοις αὐτοῦ, καὶ ἐκ » τῶν ἔργων ἡ πίστις αὐτοῦ ἐτελειώθη » (5); τοῦτο δὲ σημαίνει, ὅτι ἡ πίςις, καὶ τὰ καλὰ ἔργα, εἰσὶν ἀλληλένδετα· ἡ πίστις συνεργεῖ πρὸς τὴν κατόρθωσιν τῆς ἀρετῆς, καὶ ἡ ἀρετὴ θερμαίνει, καὶ φέρει εἰς τὴν τελειότητα τὴν πίστιν· ὅσον περισσότερον πιςεύεις, τόσον περισσοτέρας ἀρετὰς ἐργάζεσαι· καὶ ὅσον περισσότερον ἐργάζεσαι τὴν ἀρετήν, τόσον περισσότερον θερμαίνεται, καὶ στηρίζεται ἡ πίστις σου, κατὰ τό, « Ἡ » πίστις συνήργει τοῖς ἔργοις αὐτοῦ, καὶ » ἐκ τῶν ἔργων αὐτοῦ ἡ πίςις ἐτελειώθη ».

(1) Ψαλ. 118, 97. Αὐτ. 24. (2) 11, 6. (3) Λουκ. 18, 27. (4) Αὐτ. 24, 32. (5) Ἰάκ. 2, 22.

# ΟΜΙΛΙΑ

ΜΕΤΑ ΤΗΝ ΠΡΟΣ

# ΚΟΛΟΣΣΑΕΙΣ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

## ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗ: ΚΥΡΙΑΚΗ: ΤΩΝ ΠΡΟΠΑΤΟΡΩΝ.

ΚΑΘΩΣ πάντα τὰ γήϊνα σώματα περιέχουσι πῦρ στοιχειακόν, οὕτω πάντα τὰ λόγια τῶν Θείων Γραφῶν περιέχουσι νοήματα ἐπουράνια· οὐχὶ δὲ πάντα τὰ ἐν γῇ σώματα, ἀλλὰ μόνα τὰ καλούμενα ἠλεκτρικά, τριβόμενα, ἐκβλύζουσι τοῦ ἠλεκτρικοῦ πυρὸς τοὺς φωτολαμπεῖς σπινθῆρας· πάντα δὲ τὰ τῆς ἁγίας Γραφῆς λόγια περιερευνώμενα, ἐκπέμπουσι τοῦ ἐπουρανίου φωτὸς τὰς σωτηριώδεις ἀκτῖνας· ὅσον περισσότερον μετὰ ἐπιτηδείου τέχνης περιτρίβεις τὰ ἠλεκτρικὰ σώματα, τόσον περισσότερον ἐκεῖνα σπινθηροβολοῦσι καὶ περιλάμπουσιν· ὅσον περισσότερον μετὰ εὐλαβητικῆς ἐπιστήμης ἐξερευνᾷς τὰ γραφικὰ λόγια, τόσον περισσότερον φεγγοβολοῦσι, καὶ περιαστράπτουσι. Τὰ λόγια τῆς ἐπιστολῆς τοῦ θεηγόρου Παύλου, τὰ σήμερον ἀναγνωσθέντα, ἀνεγνώσθησαν, καὶ ἠρευνήθησαν ἐν τῇ εἰκοστῇ ἐννάτῃ Κυριακῇ τῆς ἐνιαυσίου περιόδου· ἐὰν ὅμως πάλιν περιεργασθῶμεν αὐτά, φῶς πάλιν ἀνατέλλει ἐξ αὐτῶν, φωτιστικὸν τῆς διανοίας, καὶ τῆς ψυχῆς σωτήριον. Περιτρίψωμεν οὖν αὐτά, οὐχὶ πάντα, ἐπειδὴ μακρότερος τοῦ σκοποῦ γίνεται ὁ λόγος, ἀλλὰ μόνα τὰ ἐν τῇ ἀρχῇ τῆς ἀναγνωσθείσης περικοπῆς, ἤγουν ταῦτα μόνα τὰ λόγια· « Ὅταν ὁ Χριστὸς φα- » νερωθῇ, ἡ ζωὴ ἡμῶν, τότε καὶ ὑμεῖς σὺν » αὐτῷ φανερωθήσεσθε ἐν δόξῃ » (1).

Δύο νοήματα περιέχουσι ταῦτα τὰ ἀποστολικὰ λόγια, φοβερὰ καὶ τὰ δύο, ἅμα δὲ καὶ χαροποιά· φοβερὰ μὲν εἰς τοὺς ἀπίςους, καὶ εἰς τοὺς ἁμαρτωλούς, χαροποιὰ δὲ εἰς τοὺς πιστούς, καὶ δικαίους· πρῶτον, ὅτι ὁ Ἰησοῦς Χριστός, ὁ ζωοποιήσας ἡμᾶς, νεκροὺς ὄντας τῇ ἁμαρτίᾳ, μέλλει φανερωθῆναι ἐν δόξῃ ἐνώπιον πάντων τῶν ἀπ' αἰῶνος ἀνθρώπων· δεύτερον, ὅτι τότε σὺν αὐτῷ ἔμπροσθεν αὐτοῦ φανερωθῆναι μέλλουσι πάντες οἱ ἀπ' αἰῶνος ἄνθρωποι. Ὅταν ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ, εὐδοκίᾳ τοῦ Πατρός, καὶ συνεργείᾳ τοῦ ἁγίου Πνεύματος, ἦλθεν εἰς τὸν κόσμον, τότε οὐκ ἐφανερώθη ἐνώπιον τῶν ἀνθρώπων ἐν δόξῃ, ἀλλ' ἐν ταπεινότητι, ὑποκρύψας ὑπὸ τὴν ἀνθρωπίνην φύσιν, ἣν ἀνέλαβε, τά ἐξαίσια τῆς θεότητος αὐτοῦ μεγαλεῖα· ἐγεννήθη ἐν σπηλαίῳ, τί ταπεινότερον τοῦ σπηλαίου; ἀνεκλίθη ἐν τῇ φάτνῃ τῶν ἀλόγων· τί εὐτελέστερον τῆς τῶν ἀλόγων ζώων φάτνης; ἐσπαργανώθη ὡς βρέφος· τί ἀσθενέστερον βρέφους;

(1) Κολ. 3, 4.



ἔπειτα περιετμήθη ὀκταήμερος, ὑπετάσσετο εἰς τὴν μητέρα αὐτοῦ, καὶ εἰς τὸν Ἰωσήφ, περιεπάτει εἰς τὴν Ἱερουσαλήμ, ἐπείνα, ἐδίψα, ἐκοιμᾶτο, ἐξύπνα, ᾐσθάνετο τὸν ἐκ τῆς ὁδοιπορίας κόπον, ἔκλαιε· μετὰ ταῦτα ἐνεπαίχθη, ὑβρίσθη, ἐῤῥαπίσθη, ἐςαυρώθη, ἀπέθανεν, ἐτάφη· ταῦτα πάντα οὐκ ἦσαν δόξα, ἀλλὰ ταπεινότης, οὐκ ἦσαν ἐμφαντικὰ τῆς θείας μεγαλοπρεπείας, ἀλλὰ παραστατικὰ τῆς παθητῆς τοῦ ἀνθρώπου φύσεως· διὸ ὁ θεόφρων Παῦλος ἔλεγεν· « Ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λα- » βών, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος· » καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος, ἐτα- » πείνωσεν ἑαυτόν, γενόμενος ὑπήκοος μέ- » χρι θανάτου, θανάτου δὲ σταυροῦ » (1). Ἀλλ' ὅταν ἔλθῃ πάλιν κρῖναι ζῶντας καὶ νεκρούς, τότε φανεροῦται ἐν δόξῃ, τότε ἡ ἔλευσις αὐτοῦ οὐκ ἔστιν ἐν ταπεινότητι, ἀλλ' ἐν ὑψηλότητι· οὐκ ἔςιν ἐν εὐτελείᾳ ἀνθρωπίνῃ, ἀλλ' ἐν μεγαλοπρεπείᾳ θεϊκῇ· τότε παῤῥησιάζεται οὐχ ὡς ἄνθρωπος, ἀλλ' ὡς Θεός·

Τῆς δευτέρας αὐτοῦ παρουσίας τὴν δόξαν οὐ μόνον οὐδεμία ἀνθρώπου γλῶσσα, ἀλλ' οὐδὲ πᾶσαι ὁμοῦ αἱ τῶν ἀνθρώπων γλῶσσαι δύνανται περιγράψαι· μέρος ἐκείνης τῆς δόξης εἶδε, καὶ ἔγραψεν ὁ ἅγιος προφήτης Δανιήλ· εἶδε, λέγει αὐτός, ὅτι « Οἱ » θρόνοι ἐτέθησαν » (2)· ἴσως εἶδε τοὺς δώδεκα θρόνους, περὶ ὧν ὁ Κύριος εἶπε πρὸς τοὺς Ἀποστόλους· « Ὅταν καθίσῃ ὁ Υἱὸς » τοῦ ἀνθρώπου ἐπὶ θρόνου δόξης αὐτοῦ, » καθίσεσθε καὶ ὑμεῖς ἐπὶ δώδεκα θρόνους, » κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσ- » ραήλ » (3). Ἔπειτα περιγράφει ὁ Δανιὴλ τῆς ὑπερουσίου θεότητος τοὺς χαρακτῆρας, ἤγουν τὸ ἀμετάτρεπτον διὰ τοῦ, « ἐκάθη- » το » (4)· τὸ αἰώνιον, διὰ τοῦ, « παλαιὸς » ἡμερῶν »· τὴν ὑπερτελείαν καθαρότητα καὶ ἁγιωσύνην, διὰ τοῦ, « καὶ τὸ ἔνδυμα » αὐτοῦ λευκόν, ὡσεὶ χιών »· τὸ ἄπειρον τῆς σοφίας, συνεζευγμένης τῇ παναμώμῳ ἀγαθότητι, διὰ τοῦ, « καὶ ἡ θρὶξ τῆς κεφα- » λῆς αὐτοῦ, ὡσεὶ ἔριον καθαρόν »· τὸ ἐνεργητικόν, καὶ δραστικώτατον τῆς θείας αὐτοῦ δικαιοσύνης, διὰ τοῦ, « Ὁ θρόνος αὐ- » τοῦ φλὸξ πυρός, οἱ τροχοὶ αὐτοῦ πῦρ φλέ- » γον· ποταμὸς πυρὸς εἷλκεν ἔμπροσθεν αὐ- » τοῦ » (5)· τὸ ἄστεκτον ὑπερβάλλον τῆς ὑπερδεδοξασμένης αὐτοῦ μεγαλοπρεπείας, διὰ τοῦ, « χίλιαι χιλιάδες ἐλειτούργουν αὐ- » τῷ, καὶ μύριαι μυριάδες παρειστήκεισαν » αὐτῷ »· μετὰ ταῦτα ἡτοιμάσθη, λέγει, κριτήριον, καὶ ἠνοίχθησαν βιβλία· « Κρι- » τήριον ἐκάθισε, καὶ βίβλοι ἠνεῴχθησαν· » καὶ ἰδοὺ μετὰ τῶν νεφελῶν τοῦ οὐρανοῦ » ὡς Υἱὸς ἀνθρώπου ἐρχόμενος » (6). Ὁ Θεάνθρωπος Ἰησοῦς ἐστιν οὗτος ὁ ὡς Υἱὸς ἀνθρώπου ἐρχόμενος· κάθηται δὲ ἐν τῷ θρόνῳ τοῦ κριτηρίου, ὡς λαβὼν παρὰ τοῦ πατρὸς αὐτοῦ πᾶσαν τὴν ἐξουσίαν τοῦ κρῖναι ζῶντας καὶ νεκρούς· « Οὐδὲ γὰρ ὁ πατὴρ κρίνει οὐδένα, ἀλλὰ » τὴν κρίσιν πᾶσαν δέδωκε τῷ Υἱῷ » (7)· καὶ τοῦτο δὲ ἰδὼν ὁ Δανιήλ, εἶπε· « Καὶ « ἕως τοῦ παλαιοῦ τῶν ἡμερῶν ἔφθασε, καὶ » προσήχθη αὐτῷ· καὶ αὐτῷ ἐδόθη ἡ ἀρχή, » καὶ ἡ τιμή, καὶ ἡ βασιλεία· καὶ πάντες » οἱ λαοί, φυλαί, καὶ γλῶσσαι αὐτῷ δουλεύ- » σουσιν· ἡ ἐξουσία αὐτοῦ, ἐξουσία αἰώνιος, » ἥτις οὐ παρελεύσεται, καὶ ἡ βασιλεία αὐ- » τοῦ οὐ διαφθαρήσεται » (8). Εἰς ὅσα δὲ εἶδε, καὶ ἔγραψεν ὁ προφήτης Δανιὴλ περὶ τῆς ἡμέρας τῆς κρίσεως, ἔτι δύο προσέθη-

(1) Φιλιπ. 2, 7, 8. (2) Δαν. 7, 9. (3) Ματθ. 19, 28. (4) Δαν. 7, 9. (5) Αὐτ. 10 (6) Αὐτ. 13. (7) Ἰωάν. 5, 22. (8) Δαν. 7, 13, 14.

καν οἱ ἅγιοι Εὐαγγελισταί· πρῶτον, ὅτι τότε φανερωθήσεται ἐν τῷ οὐρανῷ ὁ ςαυρὸς τοῦ Ἰησοῦ Χριστοῦ· « Καὶ τότε φανήσεται » τὸ σημεῖον τοῦ Υἱοῦ τοῦ ἀνθρώπου ἐν τῷ » οὐρανῷ » (1)· δεύτερον δέ, ὅτι τότε πάντες οἱ ἄνθρωποι, καὶ αὐτοὶ οἱ τὴν πλευρὰν αὐτοῦ ἐκκεντήσαντὲς, βλέπουσι, καὶ γνωρίζουσι, τίς ἐστιν ὁ Ἰησοῦς Χριστός· « Ἰδοὺ ἔρχεται μετὰ τῶν νεφελῶν, καὶ ὄψεται αὐτὸν πᾶς ὀφθαλμός, καὶ οἵτινες αὐτὸν ἐξεκέντησαν » (2).

Ἠκούσατε, ἀδελφοί, τίνι τρόπῳ φανεροῦται ὁ Ἰησοῦς Χριστὸς ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως; φανεροῦται ἀμετάτρεπτος, ἵνα δείξῃ ὅτι καὶ ἡ ἀπόφασις αὐτοῦ ἐστιν ἀμετάβλητος, καὶ ὅτι οὐδὲ εἰς τὰς δεήσεις τότε κάμπτεται, οὐδὲ ὑπὸ τῶν δακρύων νικᾶται· αἰώνιος, ἵνα παραστήσῃ, ὅτι καὶ ἡ ἀνταπόδοσις αὐτοῦ ἐςιν ἀτελεύτητος· ἅγιος, ἵνα φανερώσῃ, ὅτι οἱ ἐν ἁμαρτίαις μεμολυσμένοι οὐκ ἔχουσι μέρος μετ' αὐτοῦ· ἐν θρόνῳ φλογὸς καθήμενος, ἵνα δηλοποιήσῃ τὴν κατὰ τῶν καταδίκων φλογιστικὴν τιμωρίαν· ὑπὸ χιλίων χιλιάδων, καὶ μυρίων μυριάδων ὑπηρετούμενος, καὶ περικυκλούμενος, ἵνα παῤῥησιάσῃ τὴν ἐπὶ πάντας παντοδύναμον αὐτοῦ ἐξουσίαν· κριτὴς ἀνοίγων τὰ βιβλία, ἵνα ἐπιβεβαιώσῃ, ὅτι καὶ τὰ ἔργα, καὶ τὰ λόγια, καὶ τὰ ἐνθυμήματα ἡμῶν μετὰ πάσης δικαιοσύνης ἀνακρίνει· παρουσιάζει δὲ τοῦ ςαυροῦ τὸ σημεῖον, καὶ τῆς πλευρᾶς τὴν πληγήν, ἵνα οἱ μὲν ἄπιςοι, οἱ ἐπὶ τούτοις καταγελῶντες, αἰσχύνης καὶ ἀτιμίας πληρωθῶσιν· οἱ δὲ ἁμαρτωλοί, οἱ ταῦτα περιφρονήσαντες, κατεξελεγχθῶσιν· οἱ δὲ πιςοὶ καὶ δίκαιοι ἀγαλλόμενοι, εὐφρανθῶσιν, ὁρῶντες τῆς σωτηρίας αὐτῶν τὰ ὄργανα· « Καὶ » ὄψεται αὐτὸν πᾶς ὀφθαλμός, καὶ οἵτινες » αὐτὸν ἐξεκέντησαν » (3).

Ἀλλὰ διὰ τί, λέγεις, ὁ Θεός, ὅστις διὰ τὴν ἄπειρον αὐτοῦ εὐσπλαγχνίαν « πάντας » ἀνθρώπους θέλει σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν » (4), ἐν μὲν τῇ πρώτῃ αὐτοῦ παρουσίᾳ ἐφανερώθη μετὰ τοσαύτης ταπεινότητος, ἐν δὲ τῇ δευτέρᾳ μέλλει φανερωθῆναι μετὰ τοσαύτης ὑπεροχῆς, καὶ μεγαλοπρεπείας; Ἐὰν ἡ πρώτη αὐτοῦ παρουσία ἦν τόσον ἔνδοξος, ὅσον ἡ δευτέρα, ἐγνώριζον πάντες, ὅτι ἐστὶ Θεός, καὶ ἐπίστευον εἰς αὐτόν, καθὼς μέλλουσι γνωρίσαι, καὶ πιστεῦσαι εἰς αὐτόν, ὅταν ἴδωσιν αὐτὸν μετὰ τοσαύτης δόξης ἐπὶ θρόνου καθήμενον· Τοῦτο οὐκ ἐποίησεν ὁ Θεός, πρῶτον μέν, ἐπειδή, ἐὰν ἐπαρουσιάζετο ὡς Θεός, ἐπίστευον εἰς αὐτὸν οἱ ἄνθρωποι οὐκ αὐτοπροαιρέτως, ἀλλ' ἀναγκαστικῶς, ἀναγκαζόμενοι δηλονότι ὑπὸ τῆς μεγαλειότητος τῶν θείων αὐτοῦ χαρακτήρων, ἑπομένως οὐδὲν βραβεῖον, ἢ μισθαποδοσία ἔπρεπεν εἰς αὐτοὺς διὰ τὴν πίστιν αὐτῶν· δεύτερον δέ, ἐπειδὴ οὐδεὶς ἐπίστευεν εἰς τὸ μυστήριον τῆς θείας ἐνανθρωπήσεως· τίς ἐπίστευεν, ὅτι ἐγένετο ἄνθρωπος, καὶ φορεῖ σάρκα ἀνθρωπίνην ὁ μετὰ τοσαύτης θεϊκῆς δόξης ὁρώμενος; ἐὰν καὶ μετὰ τοσαύτην ταπείνωσιν, καὶ μετὰ τοσαύτας ἀποδείξεις τῆς ἑαυτοῦ ἀνθρωπότητος, ὁ αἱρετικὸς Μάνης, καὶ οἱ τούτου ἀκόλουθοι ἔλεγον, ὅτι οὐχὶ πράγματι καὶ ἀληθείᾳ, ἀλλὰ δοκήσει καὶ φαντασίᾳ ἐσαρκώθη, τίς ἐπίστευεν, ὅτι ἐστὶ τέλειος ἄνθρωπος, ἐὰν ἐπαρουσιάζετο, ὡς τέλειος Θεός; τρίτον, ἐπειδὴ οὐκ ἠδύναντο οἱ ἄνθρωποι, μήπω ἐκ νεκρῶν ἀναστάντες, καὶ ἀφθαρτισθέντες, ἀλλὰ τὴν

(1) Ματθ. 24, 30. (2) Ἀποκ. 1, 7. (3) Αὐτ. (4) Α'. Τιμ, 2, 4.



παχυλὴν καὶ φθαρτὴν σάρκα φοροῦντες, ἐνατενίσαι καὶ ἰδεῖν αὐτόν· συνέβη τοῦτο εἰς τοὺς Ἀποστόλους ἐν τῷ ὄρει Θαβώρ, ὅτε ὁ Ἰησοῦς Χριστὸς μικρὰν ἀκτῖνα τῆς θεότητος αὐτοῦ ἀπεκάλυψεν· « Ἔπεσον αὐτοί τότε ἐπὶ πρόσωπον αὐτῶν, καὶ ἐφοβήθησαν σφόδρα » (1). Ἡ σὰρξ τοῦ ζωοδότου Χριστοῦ πρὸ τοῦ πάθους, καὶ τῆς ἀναστάσεως ἦν παθητή, καὶ φθαρτή, μετὰ δὲ τὸ πάθος, καὶ τὴν ἀνάστασιν ἀπαθὴς ἐγένετο, καὶ ἄφθαρτος· ἀνέλαβε δὲ τοιαύτην παθητήν, καὶ φθαρτὴν σάρκα, κατὰ πάντα ὅμοιος γενόμενος τοῖς ἀνθρώποις « χωρὶς ἁμαρτίας » (2), ἵνα παθών, καὶ ςαυρωθείς, καὶ ἀποθανών, καταλλάξῃ ἡμᾶς τῷ Θεῷ, ἀναστὰς δέ ἐκ νεκρῶν, συναναστήσῃ ἡμᾶς ἐκ τῆς φθορᾶς· « Ἔπρεπε γὰρ αὐτῷ, » δι' ὃν τὰ πάντα, καὶ δι' οὗ τὰ πάντα, » πολλοὺς υἱοὺς εἰς δόξαν ἀγαγόντα, τὸν » ἀρχηγὸν τῆς σωτηρίας αὐτῶν, διὰ παθημάτων τελειῶσαι » (3). Τοιοῦτος οὖν ἐφάνη εἰς τὸν κόσμον ἐν τῇ πρώτῃ αὐτοῦ παρουσίᾳ, ὁποῖος ἦν τότε, ἤγουν μετὰ σαρκὸς παθητῆς καὶ φθαρτῆς· τοιοῦτος δὲ φανερωθῆναι μέλλει ἐν τῇ δευτέρᾳ αὐτοῦ ἐλεύσει, ὁποῖός ἐστι, μετὰ τῆς ἀπαθοῦς δηλαδή, καί ἀφθάρτου, καὶ τεθεωμένης αὐτοῦ σαρκός.

Βλέπε δὲ τὴν ἄπειρον σοφίαν καὶ εὐσπλαγχνίαν τοῦ Θεοῦ· κἂν « ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβών, ἐν ὁμοιώματι » ἀνθρώπων γενόμενος, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος, ἐταπείνωσεν ἑαυτόν, » γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ » (4)· ὅμως ἀπ' ἀρχῆς, ὅτε συνελήφθη ἐν τῇ γαστρὶ τῆς μητρός, καὶ ἐγεννήθη εἰς τὸν κόσμον, ἕως τέλους, ὅτε εἰς τὸν οὐρανὸν ἀνελήφθη, παρέστησε τόσας ἀποδείξεις, ὅτι ἐστὶ Θεός, ὅσας ὅτι ἐστὶ καὶ ἄνθρωπος· τὰ πρὸς τὴν παρθένον εὐαγγέλια, ὁ ἄσπορος τόκος, ἡ ἐκ παρθένου γέννησις, ὁ ἄγγελος, ὁ πρὸς τοὺς ποιμένας ἀναγγείλας τὴν μεγάλην χαράν, καὶ εἰπών· « Ἐτέχθη ὑμῖν σήμερον Σωτήρ, ὅς ἐστι » Χριστὸς Κύριος, ἐν πόλει Δαβίδ » (5)· ἡ δόξα Κυρίου ἡ περιλάμψασα αὐτούς, καὶ τὸ πλῆθος τῆς ἐπουρανίου στρατιᾶς, ἥτις τὸν Θεὸν ἐδοξολόγει, κραυγάζουσα· « Δόξα » ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν » ἀνθρώποις εὐδοκία » (6)· ὁ ἐν τῇ ἀνατολῇ φανεὶς ἀσυνήθης οὐράνιος ἀστήρ, καὶ ὁδηγῶν τοὺς μάγους, « Ἕως ἐλθών, ἔστη » ἐπάνω, ὅπου ἦν τὸ παιδίον » (7)· οἱ βασιλεῖς οἱ μάγοι, οἵτινες ἀπὸ ἀνατολῶν ἦλθον, « καὶ πεσόντες, προσεκύνησαν αὐτῷ· » καὶ ἀνοίξαντες τοὺς θησαυροὺς αὐτῶν, » προσήνεγκαν αὐτῷ δῶρα, χρυσόν, καὶ λίβανον, καὶ σμύρναν » (8)· οὐκ ἦσαν ταῦτα ἀποδείξεις, ὅτι ὁ γεννηθεὶς οὐκ ἔστιν ἄνθρωπος μόνον, ἀλλὰ Θεὸς ὁμοῦ καὶ ἄνθρωπος;

Ὅταν εἰς τὸν Ἰορδάνην βαπτισθείς, ἀνέβη ἀπὸ τοῦ ὕδατος, τότε ἀνεῴχθησαν εὐθὺς οἱ οὐρανοί, καὶ τὸ Πνεῦμα τὸ ἅγιον κατέβη ἐπ' αὐτόν, καὶ φωνὴ ἠκούσθη ἐκ τῶν οὐρανῶν λέγουσα· « Οὗτός ἐστιν ὁ Υἱός μου, ὁ » ἀγαπητός, ἐν ᾧ ηὐδόκησα » (9)· ὅταν εἰς τὸ Θαβώριον ὄρος μετεμορφώθη, τότε « ἔλαμψε τὸ πρόσωπον αὐτοῦ ὡς ὁ ἥλιος· » τὰ δὲ ἱμάτια αὐτοῦ ἐγένετο λευκὰ ὡς » τὸ φῶς » (10)· ἐφάνη δὲ ἐκεῖ ὁ Μωϋσῆς καὶ ὁ Ἠλίας μετ' αὐτοῦ συλλαλοῦντες, καὶ δηλοποιοῦντες, ὅτι ζώντων καὶ νεκρῶν ἐστι Κύριος· ἐκεῖ δὲ καὶ φωτεινὴ νεφέλη, καὶ φω-

(1) Ματθ. 17, 6. (2) Ἑβρ. 4, 15. (3) Αὐτ. 2, 10. (4) Φιλιπ. 2, 7, 8. (5) Λουκ. 2, 11.
(6) Αὐτ. 14. (7) Ματθ. 2, 9. (8) Αὐτ. 2, 11. (9) Αὐτ. 3, 17. (10) Αὐτ. 17, 2.

νὴ ἐκ τῆς νεφέλης κηρύττουσα· « Οὗτός » ἐστιν ὁ Υἱός μου, ὁ ἀγαπητός, ἐν ᾧ εὐδό» κησα αὐτοῦ ἀκούετε » (1)· ὅταν εἰς τὴν Ἱερουσαλήμ, καὶ εἰς τὰ περίχωρα αὐτῆς περιήρχετο, τότε ἡ παρουσία αὐτοῦ ἐδίωξε τὰ δαιμόνια, κραυγάζοντα, καὶ λέγοντα· « Τί ἡμῖν καὶ σοί, Ἰησοῦ Υἱὲ τοῦ Θεοῦ, » ἦλθες ὧδε πρὸ καιροῦ βασανίσαι ἡμᾶς » (2); ἡ ἐπιτίμησις αὐτοῦ κατεύνασε τὸν ἄνεμον καὶ τῆς θαλάσσης τὰ κύματα, ἡ εὐλογία αὐτοῦ ἐχόρτασε διὰ πέντε ἄρτων πεντάκις χιλίους ἄνδρας χωρὶς τῶν γυναικῶν καὶ τῶν παιδίων, ἡ ψηλάφησις αὐτοῦ ἐφυγάδευσε τὸν πυρετόν, ὁ σύελος αὐτοῦ ἐφώτισε τοὺς ἐκ γενετῆς τυφλούς, τὰ κράσπεδα τῶν ἱματίων αὐτοῦ ἐξήραναν τὰς αἱμοῤῥοίας, τὸ πρόσταγμα αὐτοῦ ἐκαθάρισε τοὺς λεπρούς, συνέσφιγξε τοὺς παραλύτους, ἔστυψε τοὺς ὕδρωπας, ἔδωκε φωνὴν εἰς τοὺς ἀλάλους, καὶ ἀκοὴν εἰς τοὺς κωφούς, ὁ λόγος αὐτοῦ ἰάτρευσε πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν, ἡ φωνὴ αὐτοῦ ἀνέστησεν ἐκ νεκρῶν οὐ μόνον τοὺς πρὸ ὀλίγου ἀποθανόντας, ἀλλὰ καὶ τοὺς τεταρταίους· οὐκ εἰσὶ ταῦτα ἰσχυραὶ ἀποδείξεις, ὅτι οὐκ ἔστιν ἄνθρωπος ἁπλοῦς, ἀλλὰ Θεὸς ὁμοῦ καὶ ἄνθρωπος;

Ἀναβίβασον τὸν νοῦν σου ἐπάνω εἰς τὸ ὄρος τοῦ Γολγοθᾶ. Τί βλέπεις ἐκεῖ; βλέπεις τὸν Ἰησοῦν ὡς ἄνθρωπον ἐν μέσῳ δύο λῃστῶν ἐσταυρωμένον· βλέπεις ὅμως, ὅτι « ἀπὸ ἕκτης ὥρας σκότος ἐγένετο ἐπὶ » πᾶσαν τὴν γῆν, ἕως ὥρας ἐννάτης· καὶ » τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη εἰς » δύο ἀπὸ ἄνωθεν ἕως κάτω· καὶ ἡ γῆ ἐσεί» σθη· καὶ αἱ πέτραι ἐσχίσθησαν, καὶ τὰ » μνημεῖα ἠνεῴχθησαν, καὶ πολλὰ σώμα» τα τῶν κεκοιμημένων ἁγίων ἠγέρθη » (3)· βλέπε ἐκεῖ, πῶς εἷς τῶν στρατιωτῶν διὰ τῆς λόγχης κεντᾷ τὴν πλευρὰν τοῦ νεκροῦ αὐτοῦ σώματος, ὅμως « εὐθὺς ἐξῆλθεν αἷμα » καὶ ὕδωρ » (4)· τὸ μὲν αἷμα ἵνα σώσῃ με, τὸ δὲ ὕδωρ ἵνα ἁγιάσῃ με. Κατάβα εἰς τὸν κῆπον τοῦ Ἰωσήφ· τί βλέπεις ἐκεῖ; σῶμα νεκρόν, σμύρνῃ καὶ σινδόνι ἐνειλημμένον, εἰς τὸν κενὸν δὲ τάφον ἐνταφιαζόμενον· εἰς τὴν θύραν τοῦ μνημείου βλέπεις λίθον μέγαν σφόδρα, καὶ σφραγίδας ἐπὶ τοῦ μνήματος, καὶ κουστωδίαν φυλάττουσαν τὸν τάφον· ἀλλὰ μετὰ τρεῖς ἡμέρας σεισμός, ὁ λίθος μετηρμένος, ἄγγελοι ἔνδοθεν τοῦ μνημείου, ἄγγελος ἀστραπηφόρος ἐπὶ τὸν λίθον τοῦ μνήματος καθήμενος, γυναῖκες μυροφόροι μύρα φέρουσαι, ἵνα ἀλείψωσι τὸ σῶμα, μὴ εὑρίσκουσαι δὲ αὐτό, ἀλλὰ μανθάνουσαι παρὰ τῶν ἀγγέλων, ὅτι ἀνέστη ἐκ νεκρῶν· καὶ αὐτὸς δὲ ὁ ἐκ νεκρῶν ἀναστὰς Ἰησοῦς πρῶτον μὲν ἀπαντᾷ ταῖς μυροφόροις καὶ λέγει αὐταῖς τό, « χαίρετε » (5), τῆς προπατορικῆς λύπης τὸ ἀντίθετον· ἔπειτα παῤῥησιάζεται ἐνώπιον τῶν Ἀποστόλων, καὶ δεικνύει αὐτοῖς τὰς χεῖρας καὶ τὴν πλευρὰν αὐτοῦ (6), καὶ ψηλαφᾶται ὑπ' αὐτῶν, καὶ συνεσθίει μετ' αὐτῶν, καὶ διὰ τεσσαράκοντα ἡμερῶν « ὀπτανόμενος αὐτοῖς, καὶ λέγων τὰ » περὶ τῆς βασιλείας τοῦ Θεοῦ » (7), πληροφορεῖ μὲν αὐτούς, δι' αὐτῶν δὲ τὸν κόσμον ὅλον, ὅτι ἀνέστη ἐκ τῶν νεκρῶν. Οὐκ εἰσὶν ἆρά γε ταῦτα ἀρκετὰ πρὸς πληροφορίαν, ὅτι ὁ Ἰησοῦς Χριστὸς οὐκ ἦν μόνον ἄνθρωπος, ἀλλὰ Θεὸς καὶ ἄνθρωπος;

Ἐὰν δὲ ὑψώσῃς τῆς ψυχῆς σου τὰ ὄμματα καὶ εἰς τὸ ὄρος τῶν Ἐλαιῶν, βλέπεις τὸν Ἰησοῦν Χριςὸν ὑπὸ νεφέλης ἀναλαμβανόμενον, καὶ τοὺς Ἀποστόλους εἰς τὸν οὐ-

(1) Ματ. 3. (2) Αὐτ. 8, 29. (3) Αὐτ. 27, 45, 51, 52. (4) Ἰωάν. 19, 34. (5) Ματθ. 28, 8, 9. (6) Ἰωάν. 20, 20. (7) Πράξ. 1, 3.



ρανὸν ἀτενίζοντας, ὅπου αὐτὸς ἐπορεύετο· ἀκούεις δὲ καὶ τοὺς ἁγίους ἀγγέλους, λέγοντας πρὸς αὐτούς· « ἄνδρες Γαλιλαῖοι, » τί ἑστήκατε ἐμβλέποντες εἰς τὸν οὐρανόν; » οὗτος ὁ Ἰησοῦς, ὁ ἀναληφθεὶς ἀφ' ὑμῶν » εἰς τὸν οὐρανόν, οὕτως ἐλεύσεται, ὃν τρό» πον ἐθεάσασθε αὐτὸν πορευόμενον εἰς τὸν » οὐρανόν » (1)· τί τούτων ἢ βεβαιότερον, ἢ ἀποδεικτικώτερον τῆς θεότητος τοῦ Ἰησοῦ Χριστοῦ; Ἐὰν δὲ οὐκ ἐνεφανίσθη ἐν τῇ πρώτῃ αὐτοῦ παρουσίᾳ ἐπὶ θρόνου πυρὸς καθήμενος, οὐδὲ ἔδειξε ποταμὸν πυρὸς ἔμπροσθεν αὐτοῦ, οὐδὲ ἐφανέρωσε τὰς χιλιάδας καὶ μυριάδας τῶν λειτουργούντων καὶ παρισταμένων ἐνώπιον αὐτοῦ, οὐδὲ ἐκάθισε κριτήριον, οὐδὲ παρέστησε πάντας κρινομένους, οὐδὲ ἤνοιξε τὰ βιβλία τῶν πράξεων, οὐδὲν παράδοξον· διότι τότε ἦλθεν, οὐχ' ἵνα κρίνῃ, ἀλλ' ἵνα σώσῃ· οὐχ ἵνα δοξάσῃ ἢ καταδικάσῃ, ἀλλ' ἵνα λυτρώσῃ καὶ ἐλεήσῃ.

Ἀγαπητοί μου ἀδελφοί, ὁ προφήτης Δανιήλ, ἰδὼν τὰ μέλλοντα γενέσθαι ἐν τῇ δευτέρᾳ τοῦ Χριστοῦ παρουσίᾳ, περιέγραψε μὲν τὴν δόξαν, μεθ' ἧς αὐτὸς τότε φανερωθήσεται, περὶ ἡμῶν δὲ τοῦτο μόνον εἶπε· » καὶ πάντες οἱ λαοί, φυλαί, καὶ γλῶσσαι » δουλεύσουσιν αὐτῷ » (2). Ὁ δὲ θεῖος Ἀπόστολος οὐ μόνον εἶπεν, ὅτι ὁ Χριστὸς φανερωθήσεται ἐν δόξῃ, ἀλλ' ὅτι καὶ ἡμεῖς φανερωθησόμεθα ἐνώπιον αὐτοῦ· « Ὅταν ὁ » Χριστὸς φανερωθῇ ἡ ζωὴ ἡμῶν, τότε καὶ » ὑμεῖς σὺν αὐτῷ φανερωθήσεσθε ἐν δόξῃ » (3). Ἐδηλοποίησε δὲ καὶ τό, διὰ τί φανερούμεθα ἐνώπιον αὐτοῦ· « τοὺς γὰρ πάντας ἡμᾶς, » εἶπε, φανερωθῆναι δεῖ ἔμπροσθεν τοῦ βή» ματος τοῦ Χριστοῦ, ἵνα κομίσητε ἕκαςος » τὰ διὰ τοῦ σώματος, πρὸς ἃ ἔπραξεν, » εἴτε ἀγαθόν, εἴτε κακόν » (4). Τοῦτο δὲ σημαίνει, ὅτι παριστάμεθα εἰς τὸ φοβερὸν ἐκεῖνο κριτήριον, ἵνα κριθέντες λάβωμεν τὴν ἀνταπόδοσιν τῶν ἔργων, ὧν ἐπράξαμεν ἐν ταῖς ἡμέραις τῆς προσκαίρου ζωῆς ἡμῶν. Μὴ νομίσητε, δέ, ὅτι τὸ κριτήριον ἐκεῖνο ἔχει ὁμοιότητα μετὰ τῶν ἐπὶ γῆς κριτηρίων· διότι εἰς μὲν τὰ γήϊνα κριτήρια κρύπτει ὁ κρινόμενος τὰ πταίσματα αὐτοῦ διὰ τοῦ ψεύδους, ἀπατᾷ διὰ τῆς δολιότητος τῶν λόγων, ὑπερισχύει διὰ τῆς μεσιτείας τῶν φίλων, νικᾷ διὰ τῶν δώρων, ἀθωοῦται διὰ τῆς μαρτυρίας τῶν ψευδομαρτύρων· εἰς δὲ τὸ κριτήριον τοῦ Θεοῦ οὐδὲ τὸ ψεῦδος χωρεῖ, οὐδὲ ἡ δολιότης εὑρίσκει τόπον, οὐδὲ ἡ μεσιτεία ἰσχύει, οὐδὲ τὰ δῶρα φαίνονται, οὐδὲ αἱ ψευδομαρτυρίαι ἐκφωνοῦνται· διότι τότε ἀνοίγουσι τὰ βιβλία, τὰ ὑπὸ τοῦ Δανιὴλ ὁραθέντα, ἐν αὐτοῖς δέ εἰσι γεγραμμένα, καὶ τὰ ἔργα, καὶ τὰ λόγια, καὶ οἱ διαλογισμοὶ ἑνὸς ἑκάστου τῶν ἀνθρώπων· ὅθεν εὐθὺς φανεροῦνται ἐνώπιον πάντων, οὐ μόνον ὅσα φανερῶς ἐπράξαμεν, ἀλλὰ καὶ αὐτὰ τῶν καρδιῶν ἡμῶν τὰ ἀπόκρυφα· διὰ τοῦτο δὲ ὁ Ἀπόστολος οὐκ εἶπε παρασταθήσεσθε, ἀλλά, φανερωθήσεσθε, ἵνα διὰ τούτου δηλοποιήσῃ, ὅτι παντὸς ἀνθρώπου, πιστοῦ καὶ ἀπίστου, δικαίου καὶ ἁμαρτωλοῦ, φανεροῦνται ἐνώπιον πάντων, ὅσα αὐτὸς ἔπραξε, καὶ εἶπε, καὶ ἐσυλλογίσθη.

Ἄπιστοι, ὅσοι καταλιπόντες τὴν πίςιν, κατεποντίσθητε εἰς τῆς ἀπιστίας τὰ βάραθρα· τότε παῤῥησιάζεται ἐνώπιον παντὸς τοῦ κόσμου τὸ ἀληθινὸν τῆς ἀπιστίας ὑμῶν αἴτιον· τότε βλέπει ὁ κόσμος ὅλος, ὅτι οὐχ ὁ λόγος, ὡς ὑμεῖς ἐκαυχᾶσθε, ἔπεισεν ὑμᾶς,

(1) Πράξ. 11. (2) Δαν. 7, 14. (3) Κολ. 3, 4. (4) Β'. Κορ. 5, 10.

ἀλλ' ἡ ὑπερηφάνεια κατεπόντισεν· οὐχ ἡ αἴσθησις ἐπληροφόρησεν, ὡς ἐλέγετε, ἀλλ' ἡ κακία ὑπεσκέλισε· βλέπει ὁ κόσμος ὅλος τότε, ὅτι ἐκεῖνος μὲν ἐτόλμα καὶ ἔλεγεν, οὐκ ἔστι Θεός, οὐκ ἐπειδὴ εἶχεν ἀπόδειξιν, ἀλλ' ἐπειδὴ ἤθελεν ἵνα φανῇ εὐφυέστερος τῶν ἄλλων καὶ ὀξυνούστερος· οὗτος δὲ ἐξηυτέλιζε τὴν χριστιανικὴν πίστιν, οὐκ ἐπειδὴ ἐγνώριζεν, ὅτι οὐκ ἔστιν ἀληθής, ἀλλ' ἐπειδὴ ἔβλεπεν, ὅτι οἱ νόμοι αὐτῆς ἐμποδίζουσι τὰς πονηρὰς τῆς σαρκὸς αὐτοῦ ἐπιθυμίας· ἐκεῖνος κατηγόρει τὴν πίστιν, ἵνα σκεπάσῃ τῶν ἔργων αὐτοῦ τὴν αἰσχύνην καὶ τὸ ὄνειδος· οὗτος δὲ ἔλεγεν, ὅτι τὰ τῆς πίστεώς εἰσι μῦθοι, ἵνα σβέσῃ τοὺς φλογεροὺς τῆς συνειδήσεως αὐτοῦ ἐλέγχους. Ὢ πόσων δακρύων εἰσὶν ἄξιοι οἱ δυστυχέστατοι ἄπιςοι! αὐτοὶ καὶ πρὸ τῆς φοβερᾶς ἐκείνης κρίσεώς εἰσι κεκριμένοι, καὶ διωρισμένοι διὰ τὴν αἰώνιον κόλασιν· « Ὁ δὲ μὴ πιστεύων ἤδη κέκριται, ὅτι μὴ πεπίστευκεν εἰς τὸ ὄνομα « τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ » (1)· διὰ τοῦτο ἔλεγεν ὁ προφήτης· « Οὐκ ἀναςήσονται ἀσεβεῖς ἐν κρίσει » (2), ἤγουν οὐκ ἀνίστανται, ἵνα κριθῶσιν, ἀλλ' ἵνα κατακριθῶσιν εἰς τὰς ἀτελευτήτους βασάνους.

Ἁμαρτωλοί, ὧν πρῶτός εἰμι ἐγώ, « Κριτήριον ἐκάθισεν » (3)· οὐαὶ ἡμῖν· τὸ μὲν κριτήριόν ἐστιν ἀλάνθαστον, ὁ δὲ κριτὴς ἀδυσώπητος· « Καὶ βίβλοι ἠνεῴχθησαν »· οὐαὶ ἡμῖν· τὰ ἀνεῳγμένα βιβλία περιέχουσι τὰς πράξεις, τοὺς λόγους, τὰς ἐνθυμήσεις· « ἠνεῴχθησαν » δέ, εἶπεν, ἐπειδὴ τότε φανεροῦνται οὐ μόνον τὰ φανερά, ἀλλὰ καὶ τὰ ἀπόκρυφα πάντα γυμνὰ καὶ τετραχηλισμένα. Ὢ! ποία αἰσχύνη τότε περικαλύψει τὸ πρόσωπον ἡμῶν, ὅταν ὅλος ὁ κόσμος βλέπῃ τοὺς ἀποκρύφους δόλους, καὶ τὰς κρυπτὰς ἀπάτας, ὅσας πρὸς βλάβην τοῦ πλησίον μετήλθομεν; πόσον ὄνειδος, ὅταν ὁ κόσμος ὅλος βλέπῃ τὴν δολερὰν ὑπόκρισιν, τὴν ἐσχηματισμένην ἀγάπην, τὰ ἀνελεήμονα, καὶ φθονερά, καὶ μνησίκακα ἡμῶν σπλάγχνα; πόση ἐντροπή, ὅταν ἐνώπιον παντὸς τοῦ κόσμου παρουσιασθῶσι πᾶσαι αἱ μιαραὶ αἰσχρότητες τῶν ἁμαρτιῶν τῆς σαρκός, ὅσας ἡμεῖς ἐν νυκτὶ καὶ σκότει, καὶ ἐν ἀποκρύφῳ ἐπράξαμεν; Ὅταν δέ, Θεάνθρωπε Ἰησοῦ μου, ἴδω τὸν σταυρόν σου καὶ τὴν πληγὴν τῆς πλευρᾶς σου, καὶ αἰσθανθῶ, ὅτι πολλάκις διὰ τῶν ἁμαρτιῶν μου ἀνεςαύρωσά σε, καί σε παρεδειγμάτισα (4), πολλάκις διὰ τῶν ἀνομιῶν μου ἀνεκέντησα τὴν πλευράν σου, ποία ἡ ἀπολογία μου τότε; ποία ἡ πρόφασίς μου; ποῖος ὁ λόγος μου; τότε οὐδὲν τοιοῦτον ἔχει τόπον. Ὅταν δὲ βλέπωμεν ἕτοιμον τοῦ πυρὸς τὸν ποταμόν, ποῖος φόβος, καὶ ποῖος τρόμος τότε; ποῖος δὲ ἀπελπισμός, ὅταν ὁ κριτὴς ἐκφωνήσῃ τὴν ὑπὲρ ἡμῶν ἐσχάτην ἀπόφασιν· « Πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ τὸ πῦρ τὸ αἰώνιον, τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ » (5); Ἡ μετάνοια ἥτις ἐστὶ παντοδύναμος πρὸ τῆς κρίσεως ἐστὶν ἀδύνατος μετὰ τὴν κρίσιν· τὰ δάκρυα, τὰ καθαρίζοντα ἡμᾶς ἀπὸ πάσης ἁμαρτίας πρὸ τῆς κρίσεως, μετὰ τὴν τὴν κρίσιν εἰσὶ μάταια καὶ ἀνωφελῆ, καὶ ἄπρακτα.

Ἄνθρωποι ἅγιοι καὶ δίκαιοι, μακάριοι ὑμεῖς ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ὅταν ὁ Χριστὸς φανερωθῇ ἐνώπιον ὑμῶν, καὶ ὑμεῖς ἐνώπιον αὐτοῦ· δεδοξασμένοι ὑμεῖς, ὅταν ἀνοίξωσι τὰ βιβλία, ἐν οἷς « τὰ ὀνόματα ὑμῶν ἐγράφη » (1)· διότι τότε βλέπει ὁ κόσμος, πόσον ἠγαπήσατε τὸν Θεόν, πόσον εὐεργετήσατε τὸν πλησίον· βλέπουσι πάντες οἱ ἀπ' αἰῶνος ἄνθρωποι τὴν ταπείνωσιν τῆς καρδίας, τὴν καθαρότητα τοῦ νοός, τὴν πίστιν καὶ τὴν εὐλάβειαν τῆς ψυχῆς ὑμῶν, τὰς προσευχάς, τὰς νηστείας, τοὺς ὑπὲρ Χριστοῦ ἱδρῶτας καὶ κόπους, τὸ ὑπὲρ Χριστοῦ ἐκχυθὲν αἷμα, καὶ τὸν ὑπὲρ Χριστοῦ μαρτυρικὸν ὑμῶν θάνατον. « Τότε οἱ δίκαιοι, εἶπεν ὁ Κύριος, ἐκλάμψουσιν ὡς ὁ ἥλιος » (2)· τοῦτο δὲ σημαίνει, ὅτι πᾶσα ἀρετὴ τότε φεγγοβολεῖ ὡς τοῦ ἡλίου αἱ ἀκτῖνες, τότε κηρύττει ὁ Θεὸς ἐνώπιον παντὸς τοῦ κόσμου, ὅσας ἐλεημοσύνας ἐποιήσατε πρὸς τοὺς πτωχούς· « Ἐπείνασα γάρ, λέγει, καὶ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ ἐποτίσατέ με· ξένος ἤμην, καὶ συνηγάγετέ με· γυμνός, καὶ περιεβάλετέ με· ἠσθένησα, καὶ ἐπεσκέψασθέ με· ἐν φυλακῇ ἤμην, καὶ ἤλθετε πρός με » (3)· τότε δὲ ἐκφωνεῖ πρὸς ὑμᾶς· « Δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου »· (4)· ὑμεῖς δὲ ταύτην τὴν εὐλογημένην φωνὴν ἀκούσαντες, εἰσέρχεσθε εἰς τὴν χαρὰν τοῦ Κυρίου, εἰς τὸν νυμφῶνα τῆς θείας δόξης, εἰς τὴν τελείαν ἀπόλαυσιν τῆς μακαριότητος, εἰς τὴν αἰώνιον βασιλείαν τοῦ Ἰησοῦ Χριστοῦ, ἵνα μετ' αὐτοῦ βασιλεύητε εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

(1) Ἰωάν. 3, 18! (2) Ψαλ. 1, 5. (3) Δαν. 7, 10. (4) Ἑβρ. 6, 6. (5) 25, 41.



Ἀλλὰ πῶς ἂν δυνηθῶμεν φυγεῖν τὴν καταδίκην τῶν ἁμαρτωλῶν, καὶ καταξιωθῆναι τῆς δόξης τῶν δικαίων; ὁ θεόπνευστος Παῦλος, ἀφ' οὗ εἶπε τό, « Ὅταν ὁ Χριστὸς φανερωθῇ, ἡ ζωὴ ἡμῶν, τότε καὶ ὑμεῖς σὺν αὐτῷ φανερωθήσεσθε ἐν δόξῃ » (5), ἐδίδαξεν εὐθὺς καὶ τὸν τρόπον, εἰπών· « Νεκρώσατε οὖν τὰ μέλη ὑμῶν τὰ ἐπὶ τῆς γῆς »· ἐπειδή, λέγει, ὁ Χριστὸς φανερωθήσεται ἐνώπιον ὑμῶν ὡς κριτής, ὑμεῖς δὲ ἔμπροσθεν αὐτοῦ, ὡς κρινόμενοι, ἀνάγκη ἐστίν, ἵνα καταδαμάσητε τῆς σαρκὸς τὰ πάθη, καὶ τὰς κοσμικὰς ἐπιθυμίας· διὰ τί δὲ τοῦτο; διότι ἐὰν μὲν παρασταθῶμεν ἐνώπιον αὐτοῦ ῥερυπωμένοι ὑπὸ τῶν σαρκικῶν παθῶν, καὶ μεμολυσμένοι ὑπὸ τῶν ἐπιθυμιῶν τοῦ κόσμου, ἀπεκδέχεται ἡμᾶς ἡ ἀτελεύτητος κόλασις· ἐὰν δὲ εὑρεθῶμεν καθαροὶ ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, εἰσερχόμεθα εἰς τὴν ἀπὸ καταβολῆς κόσμου ἡτοιμασμένην βασιλείαν, χάριτι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν·

(1) Λουκ. 10, 20. (2) Ματθ. 13, 43. (3) Αὐτ. 25, 35, 36. (4) Αὐτ. 34. (5) Κολ. 3, 4, 5.

# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΗΝ ΠΡΟΣ

# ΕΒΡΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

## ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗ: ΚΥΡ. ΠΡΟ ΤΗΣ ΧΡΙΣΤΟΥ ΓΕΝΝΗΣΕΩΣ.

« ἈΠ' ἀρχῆς κόσμου καταπαύσας ὁ Θεὸς » τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀπὸ πάντων τῶν » ἔργων αὐτοῦ » (1), προεσήμανε τὴν ἡμέραν τοῦ σαββάτου, ἤγουν τὴν ἑορτήν, καὶ ἐνομοθέτησεν αὐτήν, ὅταν ἐν τῷ ὄρει Σινᾷ ἔδωκε τὸν νόμον (2), ἵνα καταπαύοντες οἱ ἄνθρωποι ἀπὸ πάσης σωματικῆς ἐργασίας, προσηλῶνται ὅλως δι' ὅλου εἰς τὰ ἔνθεα τῆς ἀρετῆς ἔργα. Ψυχωφελὴς δὲ ἀληθῶς ἐστιν ἡ περὶ τῶν ἑορτῶν διάταξις τῶν θεοφόρων πατέρων· ἐθεσμοθέτησαν αὐτοὶ οἱ πανσέβαστοι προεόρτια καὶ μεθέορτα· τὰ μὲν προεόρτια, ἵνα πρὸ τῆς ἑορτῆς διὰ τῆς μετανοίας καὶ ἐξομολογήσεως προετοιμαζώμεθα ἑορτάσαι μετὰ καθαρᾶς ψυχῆς καὶ καρδίας· τὰ δὲ μεθέορτα, ἵνα καὶ μετὰ τὴν ἑορτὴν δοξολογίαν προσφέρωμεν πρὸς τὸν πανυπεράγαθον δημιουργόν, καὶ σωτῆρα ἡμῶν, τὸν καταξιώσαντα ἡμᾶς ἑορτάσαι θεοπρεπῶς. Ἐπειδὴ δὲ ἡ σήμερον ἡμέρα ἐστὶν ἡ Κυριακὴ πρὸ τῆς ἑορτῆς τῆς Χριστοῦ γεννήσεως, ἥτις ὡς προεόρτιος ταύτης τῆς μεγάλης καὶ σωτηριώδους ἑορτῆς λογίζεται, διὰ τοῦτο διέταξαν, ἵνα σήμερον καὶ τὸ Εὐαγγέλιον ἀναγινώσκηται, τὸ περιέχον τὴν κατὰ σάρκα γενεαλογίαν τοῦ Ἰησοῦ Χριστοῦ, καὶ ἡ ἐπιστολὴ τοῦ Παύλου, ἡ διαλαμβάνουσα τὰ περὶ τῶν πρὸ Χριστοῦ δικαίων κατορθώματα, ἐξόχως δὲ τοῦ πανενδόξου αὐτοῦ προγόνου, ἤγουν τοῦ πατριάρχου Ἀβραάμ, καὶ πάντες μὲν οὗτοι οἱ δίκαιοι ἐπίστευσαν, ὅτι ὁ ἐλευσόμενος Χριστός ἐστιν Υἱὸς Θεοῦ, καὶ Σωτὴρ τοῦ κόσμου, ἐξαιρέτως δὲ ὁ Ἀβραάμ, ὅςις « Καὶ » εἶδε τὴν ἡμέραν τοῦ Κυρίου, καὶ ἐχάρη » (3)· ταύτης δὲ τῆς πίστεως αὐτοῦ τὴν ἔνδειξιν περιγράφων ὁ θεῖος Ἀπόστολος, λέγει·

*Ἀδελφοί, πίστει παρῴκησεν Ἀβραὰμ εἰς τὴν γῆν τῆς ἐπαγγελίας ὡς ἀλλοτρίαν, ἐν σκηναῖς κατοικήσας, μετὰ Ἰσαὰκ καὶ Ἰακώβ, τῶν συγκληρονόμων τῆς ἐπαγγελίας τῆς αὐτῆς* (4).

Ἡ γῆ τῆς ἐπαγγελίας, ἤγουν ἡ γῆ, ἣν ὑπεσχέθη ὁ Θεὸς τῷ Ἀβραάμ, κατὰ μὲν τὸ γράμμα ἐστὶν ἡ Παλαιστίνη, ἡ λεγομένη γῆ Χαναάν, καὶ κατοικουμένη τότε ὑπὸ τῶν Χαναναίων· κατὰ δὲ τὸ ἀλληγορικὸν νόημά ἐςιν ἡ ἐπουράνιος Ἱερουσαλήμ, καὶ ἡ θεία δόξα καὶ μακαριότης (5). Σκηνὴ δέ ἐςιν

(1) Γεν. 2, 2. (2) Ἐξ. 20, 8. (3) Ἰωάν. 8, 56. (4) Ἑβρ. 11, 9. (5) Γεν. 12, 5, 6.



οἰκία κινητή, ἐκ δερμάτων, ἢ ἄλλων τινῶν ὑφασμάτων κατεσκευασμένη· τὸ δέ, « Παρῴκησεν Ἀβραὰμ εἰς τὴν γῆν τῆς ἐπαγγελίας ὡς ἀλλοτρίαν, ἐν σκηναῖς κατοική» σας μετὰ Ἰσαὰκ καὶ Ἰακώβ », δύο προξενεῖ ἀπορίας· ἡ πρώτη προκύπτει ἐκ τοῦ εἰκοστοῦ πέμπτου κεφαλαίου τῆς Γενέσεως, ἐν ᾧ φαίνεται, ὅτι ὁ Ἰακὼβ ἐγεννήθη μετὰ τὸν θάνατον τοῦ Ἀβραάμ· πῶς οὖν αὐτὸς συνέζησε μετὰ τοῦ Ἰακὼβ εἰς τὴν γῆν τῆς ἐπαγγελίας; Λύεται ὅμως ἡ τοιαύτη ἀπορία μετ' εὐκολίας, ἐὰν παρατηρήσωμεν τὰ ἔτη τῆς ζωῆς τοῦ Ἀβραάμ, καὶ τὸ ἔτος τῆς γεννήσεως τοῦ Ἰακώβ· διότι ὁ Ἀβραὰμ ἔζησεν « Ἑκατὸν ἑβδομήκοντα πέντε ἔτη. » Καὶ αὐτὸς μὲν ἦν ἑκατὸν ἐτῶν, ὅτε ἐγέν» νησε τὸν Ἰσαάκ » (1)· ὁ δὲ Ἰσαὰκ ἦν ἑξήκοντα, ὅτε ἐγέννησε τὸν Ἰακώβ (2)· ἐκ τούτου δὲ φανερόν ἐστιν, ὅτι ὁ Ἰακὼβ ἐγεννήθη δεκαπέντε ἔτη πρὶν ἢ ἀποθάνῃ ὁ Ἀβραάμ· κἂν δὲ τὸ εἰρημένον κεφάλαιον ἱστορῇ τοῦ Ἰακὼβ τὴν γέννησιν μετὰ τὸν θάνατον τοῦ Ἀβραάμ, οὐ λέγει ὅμως, ὅτι, ἀφ' οὗ ἀπέθανεν ὁ Ἀβραάμ, τότε ἐγεννήθη ὁ Ἰακώβ· ὅθεν οὐδεμία ἐστὶν ἀντίφασις, οὐδὲ ἀντιλογία· ἡ δὲ δευτέρα ἀπορία γεννᾶται ἐξ αὐτῶν τῶν ὑποσχέσεων τοῦ Θεοῦ· διότι ὁ Θεὸς ῥητῶς καὶ ἐκπεφασμένως ὑπεσχέθη τῷ Ἀβραάμ, λέγων· « Πᾶσαν τὴν γῆν, ἣν » σὺ ὁρᾷς, σοὶ δώσω αὐτήν, καὶ τῷ σπέρ» ματί σου ἕως αἰῶνος· ἀναστάς, διόδευσον » τὴν γῆν εἴς τε τὸ μῆκος αὐτῆς, καὶ εἰς » τὸ πλάτος· ὅτι σοὶ δώσω αὐτήν, καὶ τῷ » σπέρματί σου εἰς τὸν αἰῶνα » (3). Πῶς οὖν ὁ μὲν παντοδύναμος καὶ ἀψευδέστατος Θεὸς ὑπεσχέθη εἰς αὐτὸν τὴν γῆν τῆς ἐπαγγελίας, αὐτὸς δὲ ἔζησεν ἐν αὐτῇ ὡς πάροικος καὶ ξένος, κατοικῶν ἐν σκηναῖς, οὐ μόνον δὲ αὐτός, ἀλλὰ καὶ τὸ σπέρμα αὐτοῦ, ἤγουν ὁ Ἰσαὰκ καὶ ὁ Ἰακώβ, οἱ συγκληρονόμοι τῆς αὐτῆς γῆς; Πῶς μετὰ τὴν τοιαύτην ὑπόσχεσιν « Οὐκ ἔδωκεν αὐτῷ κληρο» νομίαν ἐν αὐτῇ, οὐδὲ βῆμα ποδός » (4); Ἀληθῶς τοῦ Ἀβραὰμ οἱ ἀπόγονοι, ἀφ' οὗ ἐδουλώθησαν τετρακόσια ἔτη εἰς τὴν Αἴγυπτον (5), ἐκεῖθεν ἐξελθόντες, κατεκυρίευσαν τῆς γῆς τῆς ἐπαγγελίας, πλὴν ἡ τοιαύτη ἐξουσία οὐκ ἦν αἰώνιος, ὡς ὑπέσχετο ὁ Θεός, εἰπών· « Σοὶ δώσω αὐτήν, καὶ τῷ σπέρμα» τί σου εἰς τὸν αἰῶνα » (6)· πρόσκαιρος ἦν, διότι ἐξήλειψεν αὐτὴν παντελῶς ὁ Οὐεσπεσιανὸς καὶ ὁ Τίτος. Ὁ θεοδίδακτος Παῦλος ἔλυσε ταύτην τὴν μεγάλην ἀπορίαν, φανερώσας, ὅτι τὰ περὶ τοῦ Ἀβραὰμ εἰσιν « ἀλληγορούμενα » (7), ἤγουν ἔχουσι καὶ ἄλλα νοήματα, πλὴν τῶν νοημάτων τοῦ γράμματος· ὅθεν ἡ γῆ τῆς ἐπαγγελίας, ἡ αἰσθητή, ἐσήμαινεν ἄλλην γῆν νοητὴν καὶ ἐπουράνιον, τὴν ἄνω δηλονότι Ἱερουσαλήμ· αὐτὴν ὑπεσχέθη ὁ Θεὸς τῷ Ἀβραάμ, καὶ τοῖς πνευματικοῖς αὐτοῦ τέκνοις· αὐτὴν καὶ αὐτός, καὶ τὰ πνευματικὰ τέκνα αὐτοῦ κληρονομοῦσιν εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· αὐτῆς δὲ τύπος ἦν καὶ σύμβολον ἡ γῆ τῆς Παλαιστίνης· διὰ τοῦτο δὲ ὁ Ἀπόστολος εἶπε· « Πίστει παρῴκησεν Ἀβραὰμ εἰς τὴν » γῆν τῆς ἐπαγγελίας, ὡς ἀλλοτρίαν », τουτέστιν, ὡς πάροικος καὶ ξένος ἔζησεν ἐν τῇ γῇ τῆς ἐπαγγελίας, πιστεύων, ὅτι καὶ αὐτός, καὶ πᾶν τὸ πνευματικὸν αὐτοῦ σπέρμα, κληρονομήσουσι τὴν ἐπουράνιον Ἱερουσαλήμ· ἐπιβεβαιοῦσι δὲ τοῦτο τὸ νόημα τὰ ἑξῆς ἀποστολικὰ λόγια·

(1) Γεν. 25, 7. Αὐτ. 21. 5. (2) Αὐτ. 25, 26. (3) Αὐτ. 13. 15, 17. (4) Πράξ. 7, 5. (5) Γεν. 15, 13. (6) Αὐτ. 13, 17. (7) Γαλ. 4, 24.

*Ἐξεδέχετο γὰρ τὴν τοὺς θεμελίους ἔχουσαν πόλιν, ἧς τεχνίτης καὶ δημιουργὸς ὁ Θεός* (1).

Ἀκούεις τό, διὰ τί ὁ Ἀβραὰμ ἔζησεν ὡς πάροικος καὶ ξένος εἰς τὴν γῆν τῆς ἐπαγγελίας; διότι ἤλπιζε, λέγει, καὶ περιέμενε τὴν ἀπόλαυσιν τῆς πόλεως, ἥτις ἔχει τοὺς θεμελίους, καὶ ἐτεχνιτεύθη, καὶ ἐδημιουργήθη ὑπὸ τοῦ Θεοῦ· ἐὰν δὲ παρατηρήσῃς τοὺς χαρακτῆρας ταύτης τῆς πόλεως, βλέπεις, ὅτι αὐτὴ οὐκ ἔστιν ὑλικὴ καὶ ἐπίγειος, ἀλλὰ νοερὰ καὶ ἐπουράνιος· πρῶτος χαρακτὴρ ταύτης εἰσὶ τὰ θεμέλια, δεύτερος, ἡ θεία αὐτῆς τεχνοσύνη καὶ δημιουργία. Ποία δὲ πόλις γήϊνος οὐκ ἔχει θεμέλια; οὐδεμία· ἐκ τούτου φανερόν ἐστιν, ὅτι ὁ Ἀπόστολος εἶπε· « Τὴν τοὺς θεμελίους ἔχουσαν πόλιν », ἵνα φανερώσῃ τὸ στερεὸν καὶ ἀμετάβλητον τῆς πόλεως ἐκείνης· πᾶσα πόλις ἐπίγειος μεταβάλλεται, καὶ διαφθείρεται· ἐκείνη δὲ ἡ πόλις ἕστηκεν ἀμετάβλητος καὶ ἄφθαρτος. Τὰς ἐπιγείους πόλεις τεχνιτεύουσι, καὶ οἰκοδομοῦσι τῶν ἀνθρώπων αἱ χεῖρες· ταύτην δὲ τὴν πόλιν ἐτεχνίτευσε, καὶ ἐδημιούργησε τοῦ Ὑψίστου Θεοῦ ἡ δεξιά. Αὐτὴ οὖν ἐστιν ἡ πόλις, ἣν κατὰ ἀποκάλυψιν εἶδεν ὁ ἐπιστήθιος Ἰωάννης· « Καὶ ἔδειξέ μοι, λέγει, τὴν πόλιν τὴν μεγάλην, τὴν ἁγίαν Ἱερουσαλήμ, καταβαίνουσαν ἐκ τοῦ οὐρανοῦ ἀπὸ τοῦ Θεοῦ· καὶ τὸ τεῖχος τῆς πόλεως ἔχον θεμελίους δώδεκα καὶ ἐν αὐτοῖς ὀνόματα τῶν δώδεκα Ἀποστόλων τοῦ ἀρνίου » (2). Αὕτη ἡ πόλις ἐστὶν ἡ Ἐκκλησία τῶν πρωτοτόκων, τῶν « ἐν οὐρανοῖς ἀπογεγραμμένων » (3), ἡ Ἐκκλησία τῶν σωζομένων, ἡ θριαμβεύουσα· ἐπειδὴ δὲ μέρος αὐτῆς ἐστιν ἡ ἐν γῇ Ἐκκλησία τοῦ Χριστοῦ, ἡ πολεμουμένη καὶ μηδέποτε καταργουμένη, διὰ τοῦτο εἶπεν, ὅτι εἶδεν αὐτὴν « καταβαίνουσαν ἐκ τοῦ οὐρανοῦ ἀπὸ τοῦ Θεοῦ ». Ταύτην οὖν τὴν πόλιν, ἧς τύπος ἡ αἰσθητὴ γῆ τῆς ἐπαγγελίας, ὑπεσχέθη, καὶ ἔδωκεν ὁ Θεὸς εἰς τὸν Ἀβραάμ, καὶ εἰς τὰ κατὰ πνεῦμα αὐτοῦ τέκνα· ταύτης δὲ τὴν κληρονομίαν περιμένων ὁ Ἀβραάμ, ἔζησεν εἰς τὴν αἰσθητὴν γῆν τῆς ἐπαγγελίας, ὡς εἰς ξένην γῆν, κατοικήσας ἐν σκηναῖς μετὰ Ἰσαὰκ καὶ Ἰακώβ, τῶν συγκληρονόμων τῆς αὐτῆς ἐπουρανίου πόλεως. Μετὰ ταῦτα, ἤγουν μετὰ τὸν περὶ τοῦ Ἀβραὰμ λόγον, ἱστορεῖ διὰ τῆς σήμερον ἀναγνωσθείσης ἐπιστολῆς ὁ πανάριστος Ἀπόστολος τὰ τῶν δικαίων κατορθώματα. Ἐπειδὴ δὲ ταῦτα ἄλλοτε διηρμηνεύθησαν (4), διὰ τοῦτο καταλιπόντες τὴν τούτων ἑρμηνείαν, ἀρχόμεθα τῆς ἠθικῆς παραινέσεως.

(1) Ἑβρ. 11, 10. (2) Ἀποκ. 21, 10, 14. (3) Ἑβρ. 12, 23. (4) Τῇ Κυριακῇ τῶν ἁγίων Πάντων.



# ΟΜΙΛΙΑ

ΜΕΤΑ ΤΗΝ ΠΡΟΣ

## ΕΒΡΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗ: ΚΥΡ. ΠΡΟ ΤΗΣ ΧΡΙΣΤΟΥ ΓΕΝΝΗΣΕΩΣ.

ΑΔΕΛΦΟΙ, « ὅσα γὰρ προεγράφη, λέγει ὁ θεόπνευστος Παῦλος, εἰς τὴν ἡμετέραν διδασκαλίαν προεγράφη » (1). Ἀληθῶς δὲ διδασκαλία, φωτίζουσα τὸν νοῦν, καὶ νουθεσία, ὁδηγοῦσα πρὸς τὴν ἀρετὴν τὴν προαίρεσιν, ἐστὶ μεταξὺ τῶν ἄλλων, τῶν εἰς τὰ ἱερὰ βιβλία περιεχομένων, τὸ τοῦ πατριάρχου Ἀβραὰμ πολίτευμα· τούτου τοῦ ἀνδρὸς τὸν βίον καὶ τὴν πολιτείαν ἐθαύμασαν, καὶ ἔτι ἄχρι τῆς σήμερον θαυμάζουσιν οὐ μόνον οἱ Ἰουδαῖοι, οἱ ἐκ τοῦ γένους αὐτοῦ σαρκικῶς καταγόμενοι, καὶ οἱ ἐξ ἐθνῶν χριςιανοί, οἱ πιςεύσαντες εἰς τὸν ἐκ τοῦ σπέρματος αὐτοῦ σάρκα λαβόντα, Χριςὸν τὸν Θεόν, ἀλλ' ἐπαίνοις ἔστεψαν καὶ αὐτοὶ οἱ κατὰ πάντα ἀλλότριοι, οἱ εἰδωλολάτραι δηλαδὴ καὶ ἄπιστοι (2). Ὁλόκληρα βιβλία συγγράψαι δύνανται οἱ σοφοὶ ἄνθρωποι εἰς ἔπαινον τῆς πίστεως, τῆς ἀγάπης, τῆς ἐλπίδος, τῆς φρονήσεως, τῆς μεγαλοψυχίας, τῆς δικαιοσύνης, τῆς ὑπακοῆς, τῆς εὐσπλαγχνίας, καὶ τῶν λοιπῶν τούτου τοῦ θαυμαστοῦ ἀνθρώπου ἀρετῶν καὶ κατορθωμάτων· ἐγὼ οὐδὲ σκοπὸν ἔχω, ἀλλ' οὐδὲ δύναμιν, ἵνα περὶ παντὸς τοῦ πολιτεύματος αὐτοῦ λαλήσω· ἐπειδὴ δὲ πολλάκις ἐθαύμασα, βλέπων, ὅτι διεπέρασεν ὅλον τὸν καιρὸν τῆς ζωῆς αὐτοῦ ἐν σκηναῖς, καὶ ἔζησεν εἰς τὴν ὑπὸ Θεοῦ ὑποσχεθεῖσαν αὐτῷ γῆν, ὡς πάροικος, καὶ ὡς ἐν ξένῃ γῇ πολιτευόμενος· περὶ τούτου μόνου βούλομαι λαλῆσαι, καθότι τοῦτο τὸ παράδειγμα δύναται ἀποσπάσαι τὸν νοῦν ἡμῶν ἀπὸ τῆς εἰς τὰ γήϊνα πράγματα προσπαθείας τε καὶ προσηλώσεως.

Υἱὸς τοῦ εἰδωλολάτρου Θάῤῥα ἦν ὁ Ἀβραάμ (3), ἐξ οὗ καὶ Λάβαν ὁ ἔγγονος αὐτοῦ, ἐσέβετο τὰ εἴδωλα τὰ ὑπὸ τῆς θυγατρὸς αὐτοῦ Ῥαχὴλ κλαπέντα. Γνωστὸν δέ ἐστι, πόσον ἐφρόντιζον οἱ εἰδωλολάτραι περὶ τῶν ὑλικῶν καὶ γηΐνων πραγμάτων, καὶ πόσον ἐσπούδαζον ὑπὲρ τῆς κτήσεως οὐ μόνον τῶν κινητῶν, ἀλλὰ καὶ τῶν ἀκινήτων κτημάτων· ὁ Ἀβραὰμ ἐκ τοιούτων γεννητόρων γεννηθεὶς καὶ ἀνατραφεὶς (4), ἐκτὸς τοῦ ἀγροῦ Ἐφρών, ὃν ἠγόρασεν, ἵνα θάψῃ τὴν Σάῤῥαν, οὐδὲ οἶκον ᾠκοδόμησεν, οὐδὲ ἀμπελῶνας ἐφύτευσεν, οὐδὲ γῆν ἠγόρασεν, οὐδὲ « βῆμα ποδὸς ἐκτήσατο » (5), ἀλλ' ἔζησε καθ' ὅλον τὸν καιρὸν τῆς ζωῆς αὐτοῦ ἐν σκηναῖς, ἤγουν εἰς κινητὰ καὶ εὐτελῆ κατοικήματα. Τίς δὲ ἄρά γε ὁ λόγος τούτου

(1) Ῥωμ. 15, 4. (2) Ὅρ. Ἰωσ. β. Ι. κ. 8. Ἀρχαιολ. (3) Ὅρ. Ἐπιφ. β. 1. σ. 8. κατ. Αἱρέσ. (4) Γεν. 23, 20.
(5) Πράξ. 7, 5.

τοῦ ἀσυνήθους ἔργου; μήπως οὐκ εἶχε τὸν τρόπον ὁ Ἀβραάμ, ἵνα ἀγοράσῃ κτήματα ἀκίνητα; ἀλλ' αὐτὸς εἶχε πλοῦτον κινητὸν πολύν· « Ἄβραμ δὲ ἦν πλούσιος σφόδρα » κτήνεσι, καὶ ἀργυρίῳ καὶ χρυσίῳ » (1)· μήπως περιττὸς ἦν αὐτῷ ὁ οἶκος, καθότι οὐκ εἶχε πολλοὺς συγκατοίκους; ἀλλὰ κἂν μόνος ἦν, ἐχρησίμευεν αὐτῷ ὁ οἶκος πρὸς ἀσφάλειαν αὐτοῦ καὶ ἀνάπαυσιν· πρὸς τούτοις δὲ αὐτὸς οὐκ ἔζη μόνος, ἀλλ' εἶχε μετ' αὐτοῦ πολλοὺς οἰκογενεῖς· διότι, ὅταν παρετάχθη εἰς πόλεμον, ἵνα ἐλευθερώσῃ τὸν Λώτ, τότε εὑρέθησαν οἱ οἰκογενεῖς αὐτοῦ τριακόσιοι δέκα καὶ ὀκτὼ (2)· μήπως ἐστοχάζετο, ὅτι πολλὰ ὀλίγον καιρὸν μέλλει διατρίψαι εἰς ἐκείνην τὴν γῆν; ἀλλ' ὁ Θεός, εἰς ὃν αὐτὸς ἐπίστευσεν, ὑπεσχέθη αὐτῷ, ὅτι ἡ γῆ ἐκείνη διωρισμένη ἦν οὐ μόνον εἰς αὐτόν, ἀλλὰ καὶ εἰς τὸ σπέρμα αὐτοῦ αἰωνίως· « Ὅτι πᾶσαν τὴν γῆν, ἣν σὺ ὁρᾷς, » σοὶ δώσω αὐτὴν καὶ τῷ σπέρματί σου » ἕως αἰῶνος » (3). Διὰ ποῖον οὖν λόγον ἔζησεν ὁ Ἀβραὰμ εἰς τὴν γῆν τῆς ἐπαγγελίας ὡς ξένος καὶ πάροικος, καὶ ὡς ἄνθρωπος, ὅστις μετ' ὀλίγον ἔμελλεν ἀναχωρῆσαι ἐκεῖθεν; Ἄνθρωποι φιλοκτήμονες καὶ πλεονέκται, ὅσοι μεγαλύνετε τὰς οἰκίας ὑμῶν, καὶ σπουδάζετε δικαίως καὶ ἀδίκως πολυπλασιάσαι τοὺς ἀγροὺς καὶ ἀμπελῶνας καὶ τὰ λοιπὰ ὑμῶν κτήματα, τί λεγετε ἀκούοντες, ὅτι ὁ Ἀβραὰμ οὐδὲ « βῆμα ποδὸς ἐ» κτήσατο εἰς τὴν γῆν, τὴν ὑπὸ Θεοῦ αὐ» τῷ δοθεῖσαν » (4); δύνασθε ἆρά γε ὑμεῖς κατανοῆσαι διὰ ποῖον λόγον ἐποίησε τοῦτο ὁ Ἀβραάμ; ὑμεῖς, ἐπειδὴ φρονεῖτε τὰ ἐπίγεια, νομίζετε ἴσως, ὅτι παράλογόν ἐςι τοῦ Ἀβραὰμ τὸ ἔργον· ὁ Παῦλος ὅμως, ὅστις οὐκ ἐφρόνει τὰ ἐπίγεια, ἀλλὰ τὰ οὐράνια, ἐγνώρισε καὶ ἐφανέρωσε τοῦ ἔργου τούτου τὸν λόγον εἰπών· « ἐξεδέχετο γὰρ τὴν τοὺς » θεμελίους ἔχουσαν πόλιν, ἧς τεχνίτης καὶ » δημιουργὸς ὁ Θεός » (5). Ἰδοὺ ὁ λόγος· ἐγνώρισεν ὁ θεοφώτιστος Ἀβραὰμ ὅτι οὐκ « ἔχομεν ὧδε μένουσαν πόλιν, ἀλλὰ τὴν » μέλλουσαν ἐπιζητοῦμεν » (6)· κατενόησε τὸ πρόσκαιρον τῶν ἐπιγείων πραγμάτων καὶ τὴν αἰωνιότητα τῶν ἐπουρανίων, καὶ ἐπληροφορήθη, ὅτι οὐδὲν πρᾶγμα κοσμικὸν ἔχει θεμέλια στερεὰ καὶ ἀσάλευτα, ἀλλὰ πάντα, καὶ αὐτὰ δηλονότι τὰ φαινόμενα ἀκίνητα καὶ ἀκλόνητα, κινοῦνται, καὶ μεταβάλλονται, καὶ διαφθείρονται· εἶχε δὲ ὁ μακάριος πάντοτε πρὸ ὀφθαλμῶν τὴν μετάστασιν ἐκ ταύτης τῆς προσκαίρου καὶ ξένης γῆς πρὸς τὴν ἀτελεύτητον ἡμῶν πατρίδα· ὅθεν, ὡς διακριτικὸς καὶ φρόνιμος, προσηλώσας τὸν νοῦν καὶ τὴν καρδίαν αὐτοῦ πρὸς τὴν ἐπουράνιον Ἱερουσαλήμ, αὐτὴν ἐπόθει, καὶ ὑπὲρ αὐτῆς ἠγωνίζετο, μηδόλως φροντίζων περὶ τῶν ἐπιγείων κτημάτων.

Τοῦτο τὸ παράδειγμα διδάσκει ἡμᾶς, ποῖόν ἐστι τῆς ψυχικῆς ἡμῶν ἀπωλείας τὸ αἴτιον. Ἡμεῖς οἱ ἄθλιοι ἔχομεν πάντοτε προσηλωμένα τὰ ὄμματα καὶ τῆς διανοίας καὶ τοῦ σώματος ἡμῶν κάτω εἰς τὴν γῆν, καὶ οὐδέποτε αἴρομεν αὐτὰ ἄνω εἰς τὸν οὐρανόν· οὐδέποτε συλλογιζόμεθα τὰ ἀληθινὰ καὶ αἰώνια ἀγαθὰ τῆς ἐπουρανίου ἡμῶν πατρίδος, ἀλλ' ἐπιβλέπομεν διὰ παντὸς εἰς τὰ μάταια καὶ ὀλιγοχρόνια πράγματα ταύτης τῆς γῆς, ἐν ᾗ ἐξωρίσθημεν· ἀμνημονοῦμεν, ὅτι ἐσμὲν θνητοὶ καὶ πρόσκαιροι, καὶ πολιτευόμεθα, ὥσπερ ἐὰν ἤμεθα ἀθάνατοι καὶ

(1) Γεν. 13, 2. (2) Αὐτ. 14, 14. (3) Αὐτ. 13, 15. (4) Πράξ. 7, 5. (5) Ἑβρ. 11, 10.
(6) Αὐτ. 13, 14.



αἰώνιοι· ἐπειδὴ δὲ ἀφιερωμένη ἐστὶν ἡ ψυχὴ καὶ ἡ καρδία ἡμῶν εἰς ταῦτα τὰ φθαρτὰ καὶ πρόσκαιρα, διὰ τοῦτο ζῶμεν εἰς ταύτην τὴν γῆν, ὥσπερ ἐὰν οὐκ εἴχομεν ψυχὴν ἄφθαρτον, καὶ ὥσπερ ἐὰν οὐ περιέμενεν ἡμᾶς θάνατος, καὶ κρίσις, καὶ ἀνταπόδοσις· ἐκ τούτου ἡ ζέουσα καὶ ἀκόρεστος ἐπιθυμία τῆς ἀπολαύσεως τῶν ἐπιγείων προσκαίρων ἀγαθῶν· ἡ τοιαύτη δὲ φλογερὰ ἐπιθυμία καταποντίζει ἡμᾶς εἰς τῆς ἀδικίας καὶ ἀνομίας τὰ βάραθρα· τοῦτο δέ ἐστι τῆς ψυχῆς ἡμῶν ἡ ἀπώλεια.

Ὁ πολυεύσπλαγχνος Θεὸς διὰ τῶν Θείων Γραφῶν καθ' ἑκάστην ἡμέραν κηρύττει τῆς ζωῆς ἡμῶν τὸ πρόσκαιρον· « Ἄνθρω» πος, λέγει, ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ, » ὡσεὶ ἄνθος τοῦ ἀγροῦ, οὕτως ἐξανθήσει » (1)· κηρύττει καθ' ἑκάστην τὸ ῥυτιδανὸν τῶν κοσμικῶν πραγμάτων· « Ματαιότης, λέγει, » ματαιοτήτων τὰ πάντα ματαιότης » (2). Ἀλλ' ἡμεῖς ἐμφράττοντες τὰ ὦτα, « ὡς ἡ » ἀσπὶς ἡ κωφή, καὶ βυοῦσα τὰ ὦτα αὐ» τῆς » (3), οὐδόλως ἀκούομεν τοῦ πανοικτίρμονος τὴν φωνήν. Τοῦ σώματος αἱ αἰσθήσεις πείθουσιν, ὅτι ἐσμὲν πάροικοι ἐν ταύτῃ τῇ γῇ, καὶ ὅτι μετὰ θάνατον οὐδὲν ὠφελοῦσιν ἡμᾶς τὰ γήϊνα κλήματα· ὅπου καὶ ἂν στραφῇς, βλέπεις τὸν θάνατον· θερίζει αὐτὸς καὶ νέους καὶ γέροντας, καὶ ῥωμαλέους καὶ ἀῤῥώστους, καὶ πᾶσαν ἡλικίαν καὶ τάξιν, καὶ αὐτὰ τὰ ἄωρα βρέφη· βλέπεις δὲ ὀφθαλμοφανῶς, ὅτι μετὰ θάνατον ἐντυλίττουσιν εἰς ἓν σάβανον καὶ ἐκεῖνον, ὅστις ἐνδεδυμένος ἦν βύσσον καὶ πορφύραν· βλέπεις, ὅτι μετὰ θάνατον θάπτουσιν εἰς τρεῖς, ἢ τέσσαρας πήχεις γῆς καὶ ἐκεῖνον, ὅστις κατῴκει ὑψηλὰ καὶ εὐρύχωρα παλάτια· ἐὰν δὲ ἀνοίξῃς τοὺς τάφους, οὐδεμίαν βλέπεις διαφορὰν οὐδὲ μεταξὺ πλουσίου καὶ πένητος, οὐδὲ μεταξὺ σοφοῦ καὶ ἀμαθοῦς, οὐδὲ μεταξὺ ἀξιωματικοῦ καὶ ἰδιώτου, οὐδὲ μεταξὺ δεσπότου καὶ δούλου, οὐδὲ μεταξὺ βασιλέως καὶ στρατιώτου· βλέπεις, ὅτι πάντες εἰσὶν ὅμοιοι, πάντες δηλαδή εἰσιν ὀστᾶ γυμνά, καὶ κόνις καὶ τέφρα, καὶ δυσωδία· ἀλλ' ἡμεῖς βλέποντες, οὐ βλέπομεν, καὶ ἀκούοντες, οὐκ ἀκούομεν, τυφλοὶ καὶ κωφοὶ ἐπίτηδες γινόμενοι· οὐδὲ τῶν αἰσθήσεων ἡ προσβολή, οὐδὲ τοῦ Θεοῦ ἡ φωνὴ πείθει ἡμᾶς, ὅτι ἐσμὲν πρόσκαιροι, ὅτι θάνατος ἡμᾶς περιμένει, ὅτι οὐδεμίαν ὠφέλειαν προξενοῦσιν εἰς ἡμᾶς μετὰ θάνατον ἐκεῖνα τοῦ κόσμου τὰ πράγματα, ὑπὲρ ὧν τοσοῦτον ἐκοπιάσαμεν, καὶ τοσοῦτον ἠγωνίσθημεν ὅλον τῆς ζωῆς ἡμῶν τὸν καιρόν. Τί ἆρά γέ ἐστι τοῦτο; ἀνοησία ἐστίν, ἢ ἀναισθησία;

« Ὁμοία ἐστίν, εἶπεν ὁ Κύριος ἡ βασι» λεία τῶν οὐρανῶν ἀνθρώπῳ ἐμπόρῳ, ζη» τοῦντι καλοὺς μαργαρίτας, ὃς εὑρὼν ἕνα » πολύτιμον μαργαρίτην, ἀπελθών, πέπρα» κε πάντα, ὅσα εἶχε, καὶ ἠγόρασεν αὐ» τόν (4). Ποῖον τὸ νόημα ταύτης τῆς παραβολῆς; αὐτὴ σημαίνει, ὅτι ὅλος ὁ καιρὸς τῆς ζωῆς ἡμῶν ἐστιν, ὡς ὁ καιρὸς τῆς ἐμπορικῆς πανηγύρεως· ὁ πραγματευτὴς ὑπάγει εἰς τὴν ἐμπορικὴν πανήγυριν, ἵνα κερδήσῃ δηνάρια· ὁ χριστιανὸς εὑρίκεται εἰς τὴν παροῦσαν ζωήν, ἵνα κατορθώσας τὴν ἀρετήν, ἀπολαύσῃ τὴν τῶν οὐρανῶν βασιλείαν· πᾶσα ἐμπορικὴ πανήγυρις ὀλίγας ἡμέρας διαρκεῖ, ἔπειτα παύει· πᾶσα ζωὴ ἀνθρώπου ὀλιγοχρόνιός ἐστιν, ἔπειτα λαμβάνει τέλος· πόσον οὖν μωρὸς καὶ ἀναίσθη-

(1) Ψαλ. 102, 15. (2) Ἐκκλ. 1, 2. (3) Ψαλ. 57, 4. (4) Ματθ. 13, 45, 46.

τός ἐστιν ἐκεῖνος ὁ πραγματευτής, ὅστις
ἐλθὼν εἰς τὴν ἐμπορικὴν πανήγυριν, οὐδὲ
πωλεῖ, οὐδὲ ἀγοράζει, ἀλλὰ κτίζει παλά-
τια, καὶ φυτεύει ἀμπελῶνας, καὶ γεωργεῖ
ἐκείνην τὴν γῆν, ἣν μετ' ὀλίγας ἡμέρας ἐγ-
καταλείπει, καὶ ἐπιςρέφει εἰς τὴν ἰδίαν πα-
τρίδα; πολλῷ μωρότερος καὶ ἀναισθητότε-
ρός ἐστιν ἐκεῖνος ὁ χριστιανός, ὅστις εἰς τὴν
περίοδον τῆς ζωῆς αὐτοῦ οὐδόλως φροντίζει,
ἵνα πωλήσῃ, ἤγουν ἀποξενώσῃ πάσας τὰς
σαρκικὰς αὐτοῦ ἐπιθυμίας, καὶ ἀγοράσῃ
τὸν τίμιον μαργαρίτην, τουτέστιν ἀπολαύ-
σῃ τὸν Ἰησοῦν Χριστόν, ἀλλὰ νύκτα τε
καὶ ἡμέραν σπουδάζει ὑπὲρ τῆς κτήσεως
ἐκείνων τῶν πραγμάτων, ὅσα μετ' ὀλίγον
ἐγκαταλείπει, καὶ ἀπέρχεται εἰς τὴν αἰώ-
νιον πατρίδα. Ἀλλὰ διὰ τί οὗτος πολλῷ
μωρότερος καὶ ἀναισθητότερος ἐκείνου; διό-
τι, πρῶτον μέν, ὁ ἀριθμὸς τῶν ἡμερῶν τῆς
ἐμπορικῆς πανηγύρεως ἔχει τινὰ λόγον, κἂν
μικρότατον, πρὸς τὰς ἡμέρας τῆς ζωῆς
τοῦ ἐμπόρου· ὁ δὲ ἀριθμὸς τῶν ἡμερῶν τῆς
προσκαίρου ζωῆς τοῦ χριστιανοῦ οὐδένα λό-
γον, οὐδὲ σύγκρισιν ἔχει μετὰ τοῦ ἀπείρου
ἀριθμοῦ τῶν ἡμερῶν τῆς αἰωνίου ζωῆς, κἂν
αὐτὸς ζήσῃ τοῦ Μαθουσάλα τὰ ἔτη· δεύτε-
ρον, ὁ μὲν πραγματευτὴς ἐπιστρέφει πάλιν,
ἐὰν θέλῃ, εἰς τὸν τόπον, ὅπου ἐκείνη ἡ ἐμ-
πορικὴ πανήγυρις, καὶ ἀπολαμβάνει τὸ κέρ-
δος τῶν ἰδίων κόπων κἂν δὲ μὴ ἐπιστρέ-
ψῃ, δι' ἐπιτρόπων μετέχει τοῦ καρποῦ τῶν
ἐκεῖ κτημάτων αὐτοῦ· ὁ δὲ χριστιανὸς μετὰ
θάνατον οὐδὲ ἐπιστρέψαι δύναται εἰς τὸν
κόσμον, οὐδὲ ἐπιτρόπους δύναται καταςῆ-
σαι, ἵνα τοὺς καρποὺς τῶν πόνων αὐτοῦ συ-
νάγωσι· τρίτον, ὁ μὲν πραγματευτής, ἀμε-
λήσας τῆς πραγματείας αὐτοῦ τὸ ἔργον,
στερεῖται κέρδους φθαρτοῦ καὶ προσκαίρου·
ὁ δὲ χριστιανός, μὴ φροντίσας περὶ τῶν
τῆς ἀρετῆς κατορθωμάτων, στερεῖται τῆς
αἰωνίου βασιλείας· τέταρτον, ὁ μὲν πραγ-
ματευτής, ἐὰν μὴ πραγματευθῇ εἰς τὴν
τοῦ ἐνεστῶτος ἔτους πανήγυριν, πραγμα-
τεύεται εἰς τὴν τοῦ ἐλευσομένου· ὁ δὲ χρι-
στιανός, ἐὰν μὴ ἐμπορευθῇ εἰς τὸν καιρὸν
τῆς ζωῆς αὐτοῦ, ἄλλην ζωὴν ἐμπορικὴν
οὐκ ἔχει, ἐπειδὴ ἡ μέλλουσα ζωὴ οὐκ ἔστι
ζωὴ κατορθωμάτων ἀρετῆς, ἀλλ' ἀνταπο-
δόσεως ἔργων.

Χριστιανοὶ οὖν, « ἕως πότε βαρυκάρ-
» διοι; ἵνα τί ἀγαπᾶτε ματαιότητα, καὶ
» ζητεῖτε ψεῦδος » (1); διὰ τί περιπατεῖτε
« ὡς ἄσοφοι » (2), καὶ ὄχι ὡς σοφοί; διὰ τί
γίνεσθε ἄφρονες, μὴ « συνιέντες, τί τὸ θέ-
» λημα τοῦ Κυρίου »; διὰ τί οὐ γίνεσθε
« φρόνιμοι ὡς οἱ ὄφεις, καὶ ἀκέραιοι ὡς αἱ
» περιστεραί » (3); Ποῖος φρόνιμος ἄνθρω-
πος ἀνταλλάττει πρᾶγμα ἀθάνατον καὶ
αἰώνιον ἀντὶ φθαρτοῦ καὶ ἐφημέρου; καὶ ὅ-
μως τοιαύτην ἀνταλλαγὴν ποιοῦμεν καθ'
ἑκάστην ἡμέραν· καὶ ὁ μὲν Κύριος ἡμῶν
διδάσκει, καὶ κηρύττει, ὅτι οὐδὲν ὠφελεῖ ἡ-
μᾶς ὅλος ὁ κόσμος, ἐὰν ζημιώσωμεν τὴν
ψυχὴν ἡμῶν, καὶ ὅτι οὐκ ἔστιν ἐν τῷ κό-
σμῳ πρᾶγμα ἄξιον, ἵνα ἀνταλλαχθῇ διὰ
τῆς ψυχῆς· « Τί γὰρ ὠφελεῖται ἄνθρωπος,
» ἐὰν τὸν κόσμον ὅλον κερδήσῃ, τὴν δὲ ψυ-
» χὴν αὐτοῦ ζημιωθῇ; ἢ τί δώσει ἄνθρω-
» πος ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ » (4);
Ἡμεῖς δὲ οἱ ἀνόητοι χωρὶς τινος σκέψεως
προδίδομεν τὴν ψυχὴν διὰ τὰ πρόσκαιρα
τούτου τοῦ κόσμου ἀγαθά; εἰς πόσας
ἁμαρτίας καταποντίζονται, ὅσοι νικη-
θέντες ὑπὸ τῆς ἐπιθυμίας τοῦ πλούτου, σπου-

(1) Ψαλ. 4, 5. (2) Ἐφ. 5, 15, 17. (3) Ματθ. 10, 16. (4) Αὐτ. 26, 16.



δάζουσι περὶ τῆς τούτου κτήσεως· « Οἱ
« δὲ βουλόμενοι πλουτεῖν, λέγει ὁ θεῖος Ἀ-
» πόστολος, ἐμπίπτουσιν εἰς πειρασμὸν
» καὶ παγίδα, καὶ ἐπιθυμίας πολλὰς ἀνοή-
» τους καὶ βλαβεράς, αἵτινες βυθίζουσι τοὺς
» ἀνθρώπους εἰς ὄλεθρον καὶ ἀπώλειαν » (1).
Καὶ ὑμεῖς μὲν σημειώσατε τοῦτον τὸν λό-
γον· « ἐπιθυμίας πολλὰς καὶ ἀνοήτους, καὶ
» βλαβεράς »· ἐγὼ δὲ καθιστορήσω τὴν
ἀνοησίαν τῶν προσηλωμένων εἰς τὰ ἐπίγεια
ἀγαθά.

Ὁ τῶν ἁπάντων δεσπότης καὶ Κύριος
διὰ λαμπροῦ καὶ ἐνδόξου κηρύγματος προσ-
καλεῖ πάντας πρὸς τὴν ἀπόλαυσιν τῆς ὑπ'
αὐτοῦ ὑπὲρ αὐτῶν ἡτοιμασμένης βασιλείας·
« ἔρχεσθε, λέγει, ὅτι ἤδη ἕτοιμά εἰσι πάν-
» τα » (2)· ἐγκαταλείψατε τὰς κοσμικὰς
φροντίδας, ἐν αἷς βεβυθισμένη ὑπάρχει ἡ
ψυχὴ ὑμῶν, καὶ ἔρχεσθε πρός με διὰ τῆς
μετανοίας καὶ τῆς τῶν ἀρετῶν ἐργασίας·
« Ἕτοιμά εἰσι τὰ πάντα »· χαρὰ ἀνεκλά-
λητος, φῶς ἀνέσπερον, δόξα αἰώνιος, μα-
καριότης ἀθάνατος, τοῦ ἀκροτάτου τῶν ἐφε-
τῶν Θεοῦ ἀπόλαυσις ἀτελεύτητος· ἔρχεσθε,
ταῦτα πάντα ὑπὲρ ὑμῶν εἰσιν ἕτοιμα. Τί
ἀποκρινόμεθα ἡμεῖς πρὸς ταύτην τὴν δε-
σποτικὴν πρόσκλησιν; ἡμεῖς πάντες πα-
ραιτούμεθα, διαφόρους προβάλλοντες προ-
φασιολογίας· ἐκεῖνος μὲν λέγει, ὅτι ἠγόρα-
σεν ἀγρόν, καὶ ἔχει ἀνάγκην, ἵνα ἐξελθών,
ἐπισκεφθῇ αὐτόν· « Ἀγρὸν ἠγόρασα, καὶ
» ἔχω ἀνάγκην ἐξελθεῖν καὶ ἰδεῖν αὐτόν·
» ἐρωτῶ σε, ἔχε με παρῃτημένον » (3)· οὗ-
τος δὲ ἀποκρίνεται, ὅτι ἠγόρασε πέντε ζεύ-
γη βοῶν, καὶ ὑπάγει ἵνα δοκιμάσῃ αὐτά.
« Ζεύγη βοῶν ἠγόρασα πέντε, καὶ πορεύο-
» μαι δοκιμάσαι αὐτά· ἐρωτῶ σε ἔχε με
» παρῃτημένον » (4)· ὁ ἄλλος ἀπαντᾷ, λέ-
γων, ὅτι συνεζεύχθη γυναικί, καὶ διὰ τοῦ-
το οὐ δύναται ἐλθεῖν πρὸς ἀπόλαυσιν τῶν
ἡτοιμασμένων αὐτῷ ἀγαθῶν· « Γυναῖκα
» ἔγημα, καὶ διὰ τοῦτο οὐ δύναμαι ἐλ-
» θεῖν » (5). Ὢ πλάνη σατανική, ὢ μωρία
ἀνέκφραστος· ἐάν τις τῶν ἐπιγείων βασι-
λέων προσεκάλει σε, ἵνα καταστήσῃ σε κλη-
ρονόμον τῆς βασιλείας αὐτοῦ, ἔλεγες ἆρά
γε πρὸς αὐτόν, ὅτι οὐ θέλεις ἐλθεῖν, ἐπειδὴ
ἔχεις ἀνάγκην, ἵνα ἐπισκεφθῇς τὸν ἀγρόν
σου, ἢ ἵνα δοκιμάσῃς τοὺς βόας σου; ἢ ἔλε-
γες πρὸς αὐτόν, ὅτι οὐ δύνασαι γενέσθαι βα-
σιλεύς, ἐπειδὴ ἔχεις γυναῖκα; Οὐχὶ ἐπίγειος
βασιλεύς, ἀλλ' ὁ ἐπουράνιος βασιλεὺς τῶν
βασιλευόντων, ὁ Θεός, ὁ πλάστης καὶ δη-
μιουργὸς πάσης τῆς ὁρατῆς καὶ ἀοράτου
κτίσεως, προσκαλεῖ. καὶ λέγει σοι ἐλθεῖν
πρὸς αὐτόν, ἵνα καταστήσῃ σε κληρονόμον
τῆς ἀφθάρτου καὶ αἰωνίου αὐτοῦ βασιλείας·
σὺ δὲ παραιτεῖσαι, καὶ φεύγεις, προβάλλων
ὡς ἐμπόδιον τὸν ἀγρόν σου, καὶ τοὺς βόας
σου, καὶ τὴν γυναῖκά σου; τί τούτου ἐστὶν
ἢ ἀνοητότερον, ἢ μωρότερον; δι' ἕνα ἀγρὸν
πρόσκαιρον, διὰ πέντε εὐτελῆ βοῶν ζεύγη,
διὰ μίαν φθαρτὴν γυναῖκα καταφρονεῖς
μίαν βασιλείαν ἀτελεύτητον; τί τούτου πα-
ραλογώτερον, ἢ ἀναισθητότερον;

Σημείωσαι δέ, ὅτι ταῦτα τὰ τρία, ἤγουν
ὁ ἀγρός, τὰ πέντε ζεύγη τῶν βοῶν, καὶ ἡ
γυνή, σημαίνουσιν ἐκεῖνα τὰ πράγματα,
δι' ὧν ἡμεῖς προφασιζόμενοι, οὐχ ὑπακούο-
μεν εἰς τοῦ Θεοῦ τὰ προστάγματα· καὶ ὁ
μὲν ἀγρὸς σημαίνει τὸν κόσμον, διότι « ἀ-
» γρός ἐστιν. ὁ κόσμος » (6), καθὼς εἶπεν
ὁ Κύριος· τὰ δὲ πέντε ζεύγη τῶν βοῶν, τὰς
πέντε αἰσθήσεις· διότι δι' αὐτῶν ἀναβαίνει

(1) Τιμ. 6, 9. (2) Λουκ. 14, 17. (3) Αὐτ. 18. (4) Αὐτ. 19, (5) Αὐτ. 20. (6) Ματθ. 13, 38.

τῆς ψυχῆς ὁ θάνατος (1), καὶ δι' αὐτῶν πειράζει ἡμᾶς ὁ Σατανᾶς, καὶ εἰς ἄγγελον φωτὸς μετασχηματιζόμενος (2)· ἡ δὲ γυνή, φανερόν ἐστιν ὅτι σημαίνει τὰς σαρκικὰς ἐπιθυμίας· ἐκ τούτων δὲ τῶν τριῶν πηγάζουσι πᾶσαι αἱ ὑπὲρ τῆς ἁμαρτίας προφασιολογίαι· ἐκεῖνος μέν, ὅταν οὐ ποιῇ τοῦ Θεοῦ τὸ θέλημα, προφασίζεται, λέγων, ὅτι ἐπλάνησεν αὐτὸν ὁ κόσμος· οὗτος δέ, ὅτι ἐνίκησαν αὐτὸν οἱ πειρασμοὶ τοῦ διαβόλου· καὶ ὁ ἄλλος, ὅτι ὑπεσκέλισεν αὐτὸν τῆς σαρκὸς ἡ πύρωσις.

Ἀλλὰ πῶς δύναμαι, λέγεις, μὴ φροντίζειν περὶ τῶν ἐπιγείων πραγμάτων; ἔχω οἶκον, καὶ γυναῖκα, καὶ τέκνα, πῶς οὖν δύναμαι θρέψαι, καὶ κυβερνῆσαι αὐτά, ἐὰν μὴ ἔχω ἐπίγεια κτήματα; ἐκ τούτου οὖν ἀναγκάζομαι φροντίζειν περὶ τῆς τούτων κτήσεως. Ἀλλὰ ποῖος νόμος διορίζει σοι, ἵνα ϛαυρώσας τὰς χεῖρας, καθήσῃς ἀργός, καὶ ἐγκαταλείψῃς πᾶσαν φροντίδα περὶ τῆς κυβερνήσεως καὶ καλῆς καταστάσεως τοῦ οἴκου σου; οὐδείς. Ἄκουσον, τί προστάσσει ὁ Κύριος· « Ζητεῖτε δὲ πρῶτον τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ τὴν δικαιοσύνην αὐτοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν » (3)· ἡ πρώτη, λέγει, καὶ ἡ καθ' αὐτὸ μέριμνά σου ἔϛω ὑπὲρ τῆς ἀπολαύσεως τῆς θείας βασιλείας, καὶ ὑπὲρ τῆς ἐργασίας τῆς δικαιοσύνης, ἤγουν πάσης ἀρετῆς· ὅταν δὲ αὐτή ἐστιν ἡ πρώτη καὶ κυρία φροντίς σου, τότε οὐ καταφρονεῖς τὴν ἐντολὴν τοῦ Θεοῦ, ἵνα κερδήσῃς χρυσίον καὶ ἀργύριον· τότε οὐδὲ τὸν ὀρφανὸν δυναστεύεις, ἵνα πλατύνῃς τὰ ὅρια τοῦ ἀγροῦ σου, οὐδὲ τὴν χήραν βλάπτεις, ἵνα μεγαλύνῃς τὸν ἀμπελῶνά σου, οὐδὲ ἀδικεῖς τὸν πλησίον σου, ἵν' αὐξήσῃς τὸν οἶκόν σου· τότε οὐδὲ τὴν ἀνομίαν στέργεις, οὐδὲ τὴν ἁμαρτίαν θέλεις, ἵνα δι' αὐτῆς πλεονάσῃς τὰ ὑπάρχοντά σου· φροντίζεις τότε περὶ τῆς κυβερνήσεως, καὶ καλῆς καταστάσεως καὶ τῆς γυναικός σου, καὶ τῶν τέκνων σου, καὶ τοῦ οἴκου σου, πλὴν μετὰ δικαιοσύνης, οὐχὶ μετ' ἀδικίας, μετ' ἀληθείας καὶ ἁπλότητος, οὐχὶ μετὰ ψεύδους καὶ ἀπάτης, μετὰ μέτρου καὶ διακρίσεως, οὐχὶ ἀμέτρως καὶ ἀδιακρίτως, προτιμῶν τὰ γήϊνα κτήματα τῶν ἐπουρανίων ἀγαθῶν· ὅταν δὲ ταῦτα ποιῇς, τότε ὁ Θεὸς διευθύνει τὴν μέριμνάν σου, καὶ εὐλογεῖ τοὺς κόπους σου, καὶ οὐ μόνον δίδωσί σοι τὰ ἐπουράνια ἀγαθά, ἀλλὰ προστίθησιν ἐπὶ σοὶ καὶ τὰ ἐπίγεια· « Καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν ». Ἄκουσον δὲ καὶ τὸ ἔτι περισσότερον.

Ὁ θεῖος Ἀπόστολος Παῦλος, κᾂν « σκύβαλα » (4) ἐλογίζετο πάντα τὰ ἐγκόσμια πράγματα, ὅμως συνηρίθμησε, καὶ συνέταξε μεταξὺ τῶν ἀρετῶν τὴν τεκνοτροφίαν, καὶ τὴν περὶ τοῦ ἰδίου οἴκου καλὴν ἐπιστασίαν καὶ φροντίδα· διότι περὶ μὲν τῆς ἐκλογῆς τῆς γυναικός, τῆς χήρας, εἶπεν· « Ἐν ἔργοις καλοῖς μαρτυρουμένη, εἰ ἐτεκνοτρόφησεν, εἰ ἐξενοδόχησεν, εἰ ἁγίων πόδας ἔνιψεν, εἰ θλιβομένοις ἐπήρκεσεν, εἰ παντὶ ἔργῳ ἀγαθῷ ἐπηκολούθησε » (5)· περὶ δὲ τῶν ἀναγκαίων συστατικῶν τῶν τῆς ἐκκλησίας διακόνων ταῦτα ἐνομοθέτησε· « Διάκονοι ἔστωσαν μιᾶς γυναικὸς ἄνδρες, τέκνων καλῶς προϊστάμενοι, καὶ τῶν ἰδίων οἴκων » (6). Ἀρετὴ οὖν ἐστιν ἡ περὶ τῆς τεκνοτροφίας, καὶ τῆς καλῆς τοῦ οἴκου ἐπιϛασίας μέριμνα· ἐὰν δέ, θέλων θρέ-

(1) Ἱερ. 9, 21. (2) Β'. Κορ. 11, 14. (3) Ματθ. 6, 32. (4) Φιλιπ. 3, 8. (5) Α'. Τιμ. 3, 10.
(6) Αὐτ. 3, 12.



ψαι τὰ τέκνα σου, καὶ κυβερνῆσαι τὸν οἶκόν σου, ἀμνημονήσας παντελῶς τῶν ἐντολῶν τοῦ Θεοῦ, πλανᾷς, καὶ ψευδομαρτυρῇς, καὶ ἁρπάζῃς τὰ ξένα πράγματα, καὶ ἀδικῇς τὸν πλησίον σου, καὶ ποιῇς πᾶσαν ἄλλην ἁμαρτίαν, τότε ἡ ἀρετὴ τῆς τεκνοτροφίας τρέπεται εἰς κακίαν, καὶ ἡ ἀγαθὴ πρᾶξις τῆς καλῆς τοῦ οἴκου σου ἐπιστασίας μεταβάλλεται εἰς ἀνομίαν· σὺ δὲ πράττεις τότε ἔργα μωρὰ καὶ ἀνόητα· καθότι προτιμᾷς τὸν οἶκόν σου μᾶλλον, ἢ τὴν ψυχήν σου, καὶ τὰ κτίσματα μᾶλλον, ἢ τὸν ποιητήν σου, καὶ προξενεῖς οὐχὶ ὠφέλειαν, ἀλλὰ βλάβην ὑπερμεγίστην εἰς τὰ τέκνα σου, διδάσκων αὐτὰ διὰ τοῦ παραδείγματός σου τῆς ἁμαρτίας τὰ ἔργα, καὶ θησαυρίζων ἐν τῷ οἴκῳ σου τὴν θείαν ἀγανάκτησιν καὶ τὴν τιμωρίαν, δι' ἧς ὁ Θεὸς παιδεύει πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν.

Ἀλλὰ ποῖον ἆρά γέ ἐστι ταύτης τῆς εἴτε μωρίας, εἴτε ἀναισθησίας ἡμῶν τὸ θεραπευτικὸν βάλσαμον; πῶς ἆρά γε δυνάμεθα ἡμεῖς ἀποστρέψαι τὴν ἐπιθυμίαν ἡμῶν ἀπὸ τῶν ματαίων τοῦ κόσμου τούτου πραγμάτων, καὶ μηδέποτε δι' οὐδεμίαν περίστασιν προτιμῆσαι αὐτὰ τῶν ἐπουρανίων; Ἐὰν μὲν προσηλώσωμεν τὸν νοῦν εἰς τὸν οὐρανόν, συλλογιζώμεθα δὲ διὰ παντὸς τὰ ἄφθαρτα καὶ αἰώνια ἀγαθὰ τῆς μακαρίας ἡμῶν πατρίδος, καὶ πιστεύωμεν ἀδιστάκτως, καὶ ἐλπίζωμεν ἀναμφιβόλως, ὅτι ἀπολαμβάνομεν αὐτά, ἐὰν μηδὲν προτιμήσωμεν τῆς τοῦ Θεοῦ ἀγάπης, ἡ τοιαύτη πίστις καὶ ἡ ἐλπὶς πείθουσιν ἡμᾶς, ἵνα πολιτευώμεθα εἰς τὸν κόσμον ὡς ξένοι καὶ πάροικοι, μηδὲν τῶν ἐπιγείων προτιμῶντες τοῦ θείου θελήματος. Ἐπιβεβαιοῖ τοῦτο τοῦ Ἀβραὰμ τὸ παράδειγμα, τὸ σήμερον ἀναγνωσθὲν ἐν τῇ ἐπιστολῇ τοῦ θεοκήρυκος Παύλου· « Πίϛει, λέγει, παρῴκησεν Ἀβραὰμ εἰς τὴν γῆν τῆς ἐπαγγελίας ὡς ἀλλοτρίαν, ἐν σκηναῖς κατοικήσας μετὰ Ἰσαάκ, καὶ Ἰακώβ, τῶν συγκληρονόμων τῆς ἐπαγγελίας τῆς αὐτῆς » (1). Ἀκούεις; ἔζησε, λέγει, ὁ Ἀβραὰμ εἰς τὴν ἰδίαν γῆν ὡς πάροικος, καὶ ὡς ζῶν εἰς ξένην γῆν, κατῴκησεν ἐν σκηναῖς μετὰ Ἰσαὰκ καὶ Ἰακώβ, τῶν κληρονόμων τῆς αὐτῆς γῆς. Ἀλλὰ ποῖον βάλσαμον ἐθεράπευσε τὴν σαρκικὴν προσπάθειαν καὶ τὴν ἀσθένειαν τῶν ἑαυτοῦ αἰσθήσεων; ποία δύναμις μετέστρεψε τὴν ἐπιθυμίαν αὐτοῦ ἀπὸ τῶν ἐπιγείων εἰς τὰ οὐράνια; πῶς ἐδυνήθη ἐκτελέσαι τοῦτο τὸ μέγα κατόρθωμα; Ἡ πίστις καὶ ἡ ἐλπίς εἰσι τὸ βάλσαμον καὶ ἡ δύναμις· αὐταὶ ἔδειξαν τό, πῶς· « Ἐξεδέχετο γὰρ τὴν τοὺς θεμελίους ἔχουσαν πόλιν, ἧς τεχνίτης καὶ δημιουργὸς ὁ Θεός » (2).

(1) Ἑβρ. 11, 9. (2) Αὐτ. 10.

# ΟΜΙΛΙΑ

ΜΕΤΑ ΤΗΝ ΠΡΟΣ

## ΓΑΛΑΤΑΣ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗι ΚΥΡ. ΜΕΤΑ ΤΗΝ ΧΡΙΣΤΟΥ ΓΕΝΝΗΣΙΝ.

« ΕΓΚΩΜΙΑΖΕΤΩ σε ὁ πέλας, εἶπεν ὁ » σοφὸς Σολομών, καὶ μὴ τὸ σὸν στόμα, » ἀλλότριος, καὶ μὴ τὰ σὰ χείλη » (1). Σοφὴ ἀληθῶς ἡ τοιαύτη συμβουλή· διότι τίς ποτε πιστεύει εἰς τὰ λόγια τοῦ περιαυτολόγου, ἤγουν ἐκείνου, ὅστις ἐπαινεῖ ἑαυτόν; Ὅταν ἀκούωμεν περιαυτολογίας, πολλὰ διστάζομεν περὶ τῆς ἀληθείας τῶν λεγομένων, καὶ ὑποπτευόμεθα, ὅτι αὐτά εἰσι καύχησις ψευδὴς καὶ ματαία· ἐὰν δέ τις μαρτυρῇ περὶ ἑαυτοῦ, οὐδόλως πειθόμεθα, ὅτι ἀληθῆ εἰσι τὰ ὑπ' αὐτοῦ μαρτυρούμενα· « Ἐὰν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἡ μαρ» τυρία μου οὐκ ἔστιν ἀληθής » (2), εἶπεν ὁ Κύριος· καὶ ὅμως ὁ πανένδοξος Παῦλος χωρίς τινος συστολῆς, μᾶλλον δέ, μετὰ πολλοῦ θάῤῥους, ἀνακεκαλυμμένῳ προσώπῳ μαρτυρεῖ περὶ ἑαυτοῦ, ἐπαινῶν ἑαυτόν, καὶ ἐλπίζει, ὅτι οἱ ἀκούοντες πιστεύουσιν εἰς ὅσα αὐτὸς περὶ ἑαυτοῦ κηρύττει· ἐγώ, λέγει, οὐδὲ παρέλαβον, οὐδὲ ἐδιδάχθην τὸ Εὐαγγέλιον ὑπ' ἀνθρώπου, ἀλλ' αὐτὸς ὁ Ἰησοῦς Χριστὸς δι' ἀποκαλύψεως ἐφανέρωσέ μοι, ὅσα ὑμᾶς ἐδίδαξα· « Γνωρίζω ὑμῖν τὸ Εὐ» αγγέλιον, τὸ εὐαγγελισθὲν ὑπ' ἐμοῦ, ὅτι » οὐκ ἔστι κατὰ ἄνθρωπον· οὔτε γὰρ ἐγὼ » παρὰ ἀνθρώπου παρέλαβον αὐτό, οὐδὲ » ἐδιδάχθην, ἀλλὰ δι' ἀποκαλύψεως Ἰησοῦ » Χριστοῦ » (3). Τοῦτό ἐστι μέγας ἔπαινος· διότι διὰ τούτου παρέστησεν ἑαυτὸν ἰσότιμον τῷ προφήτῃ Μωϋσῇ, ὅστις ἀμέσως πρόσωπον πρὸς πρόσωπον ἐλάλησε μετὰ τοῦ ἀοράτου Θεοῦ, καὶ ὑπ' αὐτοῦ ἐδιδάχθη τὸν νόμον (4)· ὁ Θεός, λέγει, ὅστις ἐκ κοιλίας μητρός μου προώρισέ με, ἵνα κηρύττω αὐτὸν εἰς τὰ ἔθνη, καὶ ἐκάλεσέ με διὰ τῆς χάριτος αὐτοῦ, αὐτός μοι ἀπεκάλυψε τὸν μονογενῆ αὐτοῦ Υἱόν· « Ὁ Θεός, ὁ ἀφορί» σας με ἐκ κοιλίας μητρός μου, καὶ καλέ» σας διὰ τῆς χάριτος αὐτοῦ, ἀποκαλύψαι » τὸν Υἱὸν αὐτοῦ ἐν ἐμοί, ἵνα εὐαγγελίζω» μαι αὐτὸν ἐν τοῖς ἔθνεσιν » (5)· ἄλλος οὗτος ἔπαινος, τοῦ προλαβόντος πολλῷ ὑπέρτερος· διὰ τούτου ἔδειξεν ἑαυτὸν δεδικαιωμένον καὶ δεδοξασμένον· διότι κατὰ τὴν διδασκαλίαν αὐτοῦ, ὁ Θεὸς « οὓς προώρι» σε, τούτους καὶ ἐκάλεσε· καὶ οὓς ἐκάλε» σε, τούτους καὶ ἐδικαίωσε· καὶ οὓς ἐδι» καίωσε, τούτους καὶ ἐδόξασε » (6). Βλέπεις, ποῦ ἀνεβίβασε καὶ ὕψωσεν ἑαυτόν;

Ἄπορον φαίνεται τοῦτο καὶ παράδοξον· τοιοῦτος ἄνθρωπος, ὁποῖος ἦν ὁ Παῦλος,

(1) Παροιμ. 27, 2. (2) Ἰωάν. 5, 31. (3) Γαλ. 1, 11, 12. (4) Ἐξ. 33, 11. (5) Γαλ. 1, 15, 16. (6) Ῥωμ. 8, 30.



πεφωτισμένος ὑπὸ Θεοῦ, δεδιδαγμένος τῆς ταπεινοφροσύνης τὴν τελειότητα ὑπὸ τοῦ παραδείγματος τοῦ πρᾴου καὶ ταπεινοῦ τῇ καρδίᾳ, τοῦ ταπεινώσαντος ἑαυτὸν μέχρι δούλου μορφῆς, ἐπαινεῖ, καὶ ὑπερυψοῖ ἑαυτόν, ἐλπίζων ὅτι διὰ τῶν τοιούτων ἐπαίνων δύναται ἐπιστρέψαι τοὺς ἀνθρώπους ἀπὸ τῆς πλάνης, καὶ σῶσαι τὰς τούτων ψυχάς. Ἀλλὰ διὰ τί ἀποροῦμεν περὶ τοῦ Παύλου; καὶ οἱ προφῆται ἐκήρυξαν τοῦ Θεοῦ τὸν λόγον, διηγούμενοι τὰς ἑαυτῶν ὀπτασίας καὶ ἀποκαλύψεις, αἵτινες ἦσαν ἔπαινος αὐτῶν καὶ ἐγκώμια· οὐκ εἶπεν ὁ Δαβίδ· « Ὤμοσε Κύριος τῷ Δαβὶδ ἀλήθειαν, » καὶ οὐ μὴ ἀθετήσει αὐτήν· ἐκ καρποῦ τῆς » κοιλίας σου θήσομαι ἐπὶ τοῦ θρόνου σου; » (1) οὐκ ἐξεφώνησεν ὁ Ἡσαΐας· « Εἶδον τὸν » Κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ » ἐπηρμένου, καὶ πλήρης ὁ οἶκος τῆς δόξης » αὐτοῦ; » (2) ὁ Ἱερεμίας διηγήσατο, ὅτι ὁ Θεὸς ἐλάλησε μετ' αὐτοῦ, καὶ εἶπε πρὸς αὐτόν· « Πρὸ τοῦ με πλάσαι σε ἐν κοιλίᾳ, » ἐπίσταμαί σε, καὶ πρὸ τοῦ σε ἐξελθεῖν ἐκ » μήτρας, ἡγίακά σε, προφήτην εἰς ἔθνη » τέθεικά σε » (3)· ὁ Ἰεζεκιὴλ ἔγραψε· « Καὶ » ἠνοίχθησαν οἱ οὐρανοί, καὶ εἶδον ὁράσεις » Θεοῦ » (4)· ὁ Δανιὴλ ἱστόρησε· « Καὶ ἰδοὺ » ἀνὴρ Γαβριήλ, ὃν εἶδον ἐν τῇ ὁράσει ἐν » τῇ ἀρχῇ, πετόμενος, καὶ ἥψατό μου, ὡσεὶ » ὥραν θυσίας ἑσπερινῆς » (5)· τὰ αὐτὰ δὲ ἀναγινώσκομεν καὶ εἰς τῶν λοιπῶν προφητῶν τὰ βιβλία· καὶ αὐτὸς δὲ ὁ ἐπιστήθιος καὶ Εὐαγγελιστὴς Ἰωάννης, φανερόν ἐςιν, ὅτι ἐπήνεσεν ἑαυτόν, περιγράψας, ὅσα ὁ Θεὸς εἰς αὐτὸν ἀπεκάλυψε. Ταῦτα τὰ παραδείγματα αὐξάνουσιν, ἀλλ' οὐ διαλύουσι τὴν ἀπορίαν· διότι ἀποροῦμεν καὶ περὶ αὐτῶν, πῶς δηλαδὴ αὐτοὶ ἐτόλμησαν εἰπεῖν, ὅσα ἦσαν πρὸς ἔπαινον αὐτῶν, καθὼς καὶ ὁ Παῦλος, καὶ πῶς ἤλπισαν, καθὼς καὶ αὐτός, ὅτι ὁ κόσμος πιστεύει εἰς τὰ ὑπ' αὐτῶν λεγόμενα.

Πολλοί εἰσιν οἱ λόγοι, οἱ διαλύοντες ταύτην τὴν ἀπορίαν· πρῶτος· ἐκεῖνον λέγομεν περιαυτολόγον, ὅστις ἐπαινεῖ ἑαυτόν, ἵνα δοξασθῇ ὑπὸ τῶν ἀνθρώπων· οἱ δὲ προφῆται καὶ οἱ Ἀπόστολοι ἔλεγον, ὅσα περιεῖχον τοὺς ἐπαίνους αὐτῶν, οὐχ ἵνα ἐπαινέσωσιν ἑαυτούς, καὶ τιμηθῶσιν ὑπὸ τῶν ἀνθρώπων, ἀλλ' ἵνα κηρύξωσι τὰ περὶ τοῦ Θεοῦ, καὶ διορθώσωσι τὰ ἤθη τῶν ἀνθρώπων, διὸ οὐκ ἦσαν περιαυτολόγοι, ἀλλὰ θεολόγοι καὶ ἠθολόγοι· δεύτερος· αὐτοὶ μόνοι ὡς ἄξιοι εἶδον τὰς ὀπτασίας καὶ ἀποκαλύψεις· ὅθεν, ἐὰν αὐτοὶ οὐδὲ ἔγραφον, οὐδὲ διηγοῦντο αὐτάς, οὐδεὶς ἐμάνθανεν, ὅτι ὁ Θεὸς ἀπεκάλυψεν αὐτοῖς, ὅσα ἐκήρυττον· τρίτος· αὐτοὶ ἦσαν ἐπὶ τοῦτο ἀπεσταλμένοι ὑπὸ Θεοῦ, ἵνα δηλονότι διδάξωσιν, ὅσα ἐφανέρωσεν εἰς αὐτοὺς ὁ Θεός· « Τίνα ἀποςείλω » εἶπεν ὁ Κύριος πρὸς τὸν Ἡσαΐαν, καὶ τίς » πορεύσεται πρὸς τὸν λαὸν τοῦτον; καὶ εἶ» πα, ἰδοὺ ἐγώ εἰμι, ἀπόστειλόν με » (6)· « Στῆθι, εἶπε πρὸς τὸν Ἱερεμίαν, ἐν αὐλῇ » οἴκου Κυρίου, καὶ χρηματιεῖς ἅπασι τοῖς » Ἰουδαίοις, καὶ πᾶσι τοῖς ἐρχομένοις προσ» κυνεῖν ἐν οἴκῳ Κυρίου, ἅπαντας τοὺς λό» γους, οὓς συνέταξά σοι χρηματίσαι αὐ» τοῖς, μὴ ἀφέλῃς ῥῆμα » (7)· πρὸς δὲ τὸν Ἰεζεκιήλ· « Ἐξαποστέλλω ἐγώ σε, εἶπε, » πρὸς τὸν οἶκον Ἰσραήλ » (8)· διὰ τοῦτο δὲ ὁ Ζαχαρίας ἔλεγε· « Καὶ γνώσεσθε, ὅτι » Κύριος Παντοκράτωρ ἀπέσταλκέ με » (9)· ὁμοίως καὶ τὸν Παῦλον ἀπέστειλεν ὁ Κύ-

(1) Ψαλ. 131, 11. (2) Ἡσ. 6, 1. (3) Ἱερ. 1, 5. (4) Ἰεζ. 1, 1. (5) Δαν. 9, 21. (6) Ἡσ. 6, 8. (7) Ἱερ. 33, 2. (8) Ἰεζ. 2, 3. (9) Ζαχ. 2, 9.

ριος, εἰπών· « Πορεύου, ὅτι ἐγὼ εἰς ἔθνη » ἀποστελῶ σε » (1)· πρὸς δὲ τὸν ἐπιστήθιον Ἰωάννην ῥητῶς εἶπεν ὁ Κύριος, ἵνα γράψῃ τὰ εἰς αὐτὸν ἀποκαλυφθέντα· « Ὃ » βλέπεις, γράψον εἰς βιβλίον· γράψον, ἃ » εἶδες, καὶ ἅ εἰσι, καὶ ἃ μέλλει γίνεσθαι » μετὰ ταῦτα » (2). Ἀνάγκην οὖν ἔχοντες οὗτοι οἱ ἅγιοι ἄνθρωποι ἐκπληρῶσαι πιστῶς τῆς ἀποστολῆς αὐτῶν τὸ χρέος, διηγήσαντο, καὶ ἔγραψαν τὰς τούτων ὀπτασίας καὶ ἀποκαλύψεις· εἶχε δὲ ὁ λόγος αὐτῶν ἀρκετὴν μαρτυρίαν τὰ τούτων ἔργα· τὸ ἄμεμπτον καὶ καθαρὸν τοῦ βίου, τῆς σωφροσύνης τὸ φῶς, τῆς ἀγάπης ἡ λαμπρότης, πάσης ἀρετῆς ἡ ἀστροπόμορφος χάρις, καὶ τὰ δι' αὐτῶν ἐκτελούμενα ὑπερφυῆ θαύματα ἦσαν ἀξιόπιστοι μάρτυρες, ἐπιβεβαιοῦντες τῶν λόγων αὐτῶν τὴν ἀλήθειαν; « Τὰ ἔρ» γα, ἃ ἐγὼ ποιῶ, ἔλεγεν ὁ σωτὴρ τοῦ κό» σμου, ἐν τῷ ὀνόματι τοῦ πατρός μου, » ταῦτα μαρτυρεῖ περὶ ἐμοῦ· κἂν ἐμοὶ μὴ » πιστεύητε, τοῖς ἔργοις πιστεύσατε » (3)· τὰ ἔργα ἐβεβαίουν τὰ λόγια· ἡ μαρτυρία τῶν ἔργων διὰ τῆς βοηθείας τῆς χάριτος ἔπειθε τὰς καρδίας ἐκείνων, ὅσοι ἦσαν ἄξιοι, ἵνα πιστεύσωσιν εἰς τὰ ὑπ' αὐτῶν διδασκόμενα· τοῦτο δὲ σημαίνει οὗτος ὁ εὐαγγελικὸς λόγος, « Τοῦ Κυρίου συνεργοῦν» τος, καὶ τὸν λόγον βεβαιοῦντος διὰ τῶν » ἐπακολουθούντων σημείων » (4).

Παρατηρῶ εἰς τὰ σήμερον ἀναγνωσθέντα καὶ ἄλλον λόγον ἀπορίας ἄξιον. ὁ Παῦλος, διὰ τῆς ἐπιστολῆς αὐτοῦ ἀναμιμνήσκων εἰς τοὺς Γαλάτας τὴν ὑπ' αὐτοῦ διδαχθεῖσαν εὐαγγελικὴν διδασκαλίαν, λέγει, ὅτι αὐτὴ οὐκ ἔστι κατὰ ἄνθρωπον· « Γνωρίζω ὑμῖν τὸ Εὐαγγέλιον, τὸ εὐαγγε» λισθὲν ὑπ' ἐμοῦ, ὅτι οὐκ ἔστι κατὰ ἄνθρω» πον » (5)· τὸ δὲ « οὐκ ἔστι κατὰ ἄνθρω» πον » σημαίνει, ὅτι οὐκ ἔστι κατὰ τὰς κλίσεις καὶ διαθέσεις, καὶ ἤθη καὶ νόμους τῶν ἀνθρώπων, καὶ ἑπομένως οὐκ ἔστιν ἀρεστὸν εἰς αὐτούς, οὐδὲ εὐπρόσδεκτον. Ἀλλ' ὦ ἐπουράνιε διδάσκαλε, διὰ τί τοιουτοτρόπως ψυχραίνεις τὰς καρδίας τῶν μαθητῶν σου λέγων, ὅτι ἡ διδασκαλία σου «Οὐκ ἔςι κατὰ ἄνθρωπον;» ἆράγε οὐ γνωρίζεις, ὅτι εἰς τοὺς ἀνθρώπους τὰ ἀνθρώπινα ἀρέσκουσι, τὰ δὲ ὑπὲρ ἄνθρωπον οὐκ εἰσὶν αὐτοῖς ἀρεςά; πῶς οὐ διακρίνεις, ὅτι λέγων τὸ Εὐαγγέλιόν σου οὐ κατὰ ἄνθρωπον, ἐπιβεβαιοῖς, ὅτι ἐςὶν ἀπαράδεκτον τοῖς ἀνθρώποις; κηρύττεις πρὸς ἀνθρώπους εἰδωλολάτρας, οἵτινες ἐλάτρευον τοῖς σαρκικοῖς πάθεσι, καὶ προσηλωμένοι ἦσαν ὅλως διόλου εἰς τὴν ἐκπλήρωσιν τῶν σωματικῶν θελημάτων καὶ ἐπιθυμιῶν· τί οὖν ἐλπίζεις ἐξ αὐτῶν, ὅταν ἀκούωσιν ἐκ τοῦ στόματός σου, ὅτι τὸ Εὐαγγέλιόν σου οὐκ ἔστι κατὰ ἄνθρωπον; καὶ τί ἄλλο εἰ μὴ ἀποστροφὴν καὶ ἐξουδένωσιν τῶν εὐαγγελικῶν σου λόγων; Διὰ τί οὐ λέγεις πρὸς αὐτούς, ὅτι τὸ Εὐαγγέλιον φωτίζει τὸν νοῦν, στολίζει τὰ ἤθη, εὐτυχεῖς ποιεῖ τοὺς ἀνθρώπους, ἀλλ' εὐθὺς εἰς τὴν ἀρχὴν τῆς ἐπιστολῆς σου γράφεις, ὅτι διδάσκεις τὰ ὑπὲρ ἄνθρωπον; « Γνω» ρίζω ὑμῖν τὸ Εὐαγγέλιον, τὸ εὐαγγελι» σθὲν ὑπ' ἐμοῦ, ὅτι οὐκ ἔστι κατὰ ἄνθρω» πον » (6). Ἀξιόλογον ὑπόθεσιν περιέχουσιν, ἀγαπητοί μου ἀδελφοί, καὶ ταῦτα τὰ ἀποστολικὰ λόγια· διὰ τοῦτο πρέπον ἐστίν, ἵνα καὶ εἰς τὴν τούτων ἔρευναν ἀφιερώσωμεν τὸν λόγον· καὶ μὴ θαυμάσητε ἀκούοντες ὅτι πάλιν περὶ αὐτῶν λαλοῦμεν, κἂν ἄλλοτε

(1) Πράξ. 22, 21. (2) Ἀποκ. 1, 11, 19. (3) Ἰωάν. 10, 25, 38. (4) Μάρκ. 16, 20. (5) Γαλ. 1, 11·
(6) Αὐτ. 1, 11.



αὐτά τε, καὶ τὰ λοιπά, ὅσα ἡ σήμερον ἀναγνωσθεῖσα ἐπιστολὴ περιέχει, διηρμηνεύθησαν (1)· διότι καθὼς ἡ γῆ, ἡ διατρέφουσα τὸ σῶμα διὰ τῶν καρπῶν αὐτῆς, ὅσον μετ' ἐπιμελείας γεωργεῖται, τόσον περισσότερον καρποφορεῖ, οὕτω καὶ ὁ λόγος τοῦ Θεοῦ, ὁ τρέφων τὴν ψυχὴν ἡμῶν διὰ τῆς ἐν αὐτῷ θείας δυνάμεως, ὅσον μετ' εὐλαβείας ἐρευνᾶται, τόσον περισσότερον φωτίζει καὶ ὠφελεῖ.

Τὸ Εὐαγγέλιον τοῦ Παύλου χωρὶς πάσης ἀντιλογίας ἐστὶν αὐτὸ τὸ τοῦ Ἰησοῦ Χριστοῦ Εὐαγγέλιον· πῶς οὖν τοῦ Χριστοῦ τὸ Εὐαγγέλιον, ἤγουν ἡ διδασκαλία αὐτοῦ οὐκ ἔστι κατὰ ἄνθρωπον; διὰ ποῖον ἄλλον σκοπὸν ἦλθεν ὁ Υἱὸς τοῦ Θεοῦ εἰς τὸν κόσμον, εἰ μή, ἵνα διδάξας τὴν ἀλήθειαν τῆς πίστεως καὶ τὴν ἁγιωσύνην τῆς ζωῆς, σώσῃ τοὺς εἰς αὐτὸν πιστεύσαντας; « Ἐγὼ εἰς » τοῦτο γεγέννημαι, εἶπεν αὐτός, καὶ εἰς » τοῦτο ἐλήλυθα εἰς τὸν κόσμον, ἵνα μαρ» τυρήσω τῇ ἀληθείᾳ. Οὐ γὰρ ἦλθον, ἵνα » κρίνω τὸν κόσμον, ἀλλ' ἵνα σώσω τὸν » κόσμον » (2). Ἐὰν οὖν ὁ Χριστὸς ἐδίδαξε διδάγματα ἀπαράδεκτα τοῖς ἀνθρώποις, ματαίως ἦλθεν εἰς τὸν κόσμον· τοῦτο δέ ἐστιν ἀδύνατον. Ποῖον οὖν ἄνθρωπον ἐνόησεν ὁ Παῦλος, ὅταν εἶπεν ὅτι τὸ Εὐαγγέλιον οὐκ ἔστι κατὰ ἄνθρωπον; Θεωρεῖ αὐτὸς τὸν ἄνθρωπον εἰς δύο καταστάσεις· εἰς τὴν κατάστασιν τῆς δικαιοσύνης, ἐν ᾗ ἦσαν οἱ δύο πρωτόπλαστοι ἐν τῷ παραδείσῳ, ἐν ὅσῳ ἐφύλατον τὴν θείαν ἐντολήν, καὶ εἰς τὴν κατάστασιν τῆς ἁμαρτίας, ἐν ᾗ κατήντησαν αὐτοί τε, καὶ ὅλον τὸ ἐξ αὐτῶν γένος μετὰ τὴν τῆς θείας ἐντολῆς παράβασιν· ἐπειδὴ δὲ μετὰ τὴν τῶν πρωτοπλάστων πτῶσιν σπλαγχνισθεὶς ὁ Θεὸς τὸ τῶν ἀνθρώπων γένος, ἐξαπέστειλε τὸν Υἱὸν αὐτοῦ εἰς τὸν κόσμον, ἵνα ἀνακαινίσῃ αὐτούς, καὶ ἀναγάγῃ εἰς τὸ ἀρχαῖον ἀξίωμα, ἤγουν εἰς τὴν προτέραν τῆς δικαιοσύνης κατάστασιν, διὰ τοῦτο ὁ θεῖος Παῦλος παλαιὸν μὲν ἄνθρωπον ὠνόμασε τὸν ἐν τῇ καταστάσει τῆς ἁμαρτίας· νέον δέ, τὸν ὑπὸ τοῦ Ἰησοῦ Χριστοῦ ἀνακαινισθέντα καὶ καταντήσαντα εἰς τὴν κατάστασιν τῆς δικαιοσύνης. Ἄκουσον δὲ πόσον καθαρὰ λαλεῖ περὶ τούτων τῶν δύο ἀνθρώπων ὁ τοῦ Θεοῦ Ἀπόστολος· « Ἀποθέσθαι ὑμᾶς, λέγει, κατὰ τὴν προ» τέραν ἀναστροφήν, τὸν παλαιὸν ἄνθρω» πον, τὸν φθειρόμενον κατὰ τὰς ἐπιθυμίας » τῆς ἀπάτης· καὶ ἐνδύσασθαι τὸν καινὸν » ἄνθρωπον, τὸν κατὰ Θεὸν κτισθέντα ἐν » δικαιοσύνῃ καὶ ὁσιότητι τῆς ἀληθείας » (3). Σημείωσαι δέ, ὅτι ὁ μὲν καινὸς ἄνθρωπος, ὁ ὑπὸ τοῦ Κυρίου Ἰησοῦ ἀνακαινισθεὶς εὑρίσκεται εἰς τὴν φυσικὴν αὐτοῦ κατάστασιν, ἤγουν εἰς ἐκείνην τὴν κατάστασιν, ἐν ᾗ ὑπὸ Θεοῦ ἐπλάσθη· ὁ δὲ παλαιός, εἰς τὴν παρὰ φύσιν, τουτέστιν εἰς τὴν φύσιν, τὴν ὑπὸ τῆς ἁμαρτίας ἐφθαρμένην· καὶ ὅτι τοῦ μὲν καινοῦ ἀνθρώπου ἡ φύσις ἐστὶν ὡς ἐκείνη τοῦ Ἀδὰμ πρὸ τῆς ἁμαρτίας· τοῦ δὲ παλαιοῦ, ὡς ἡ φύσις τοῦ Ἀδὰμ μετὰ τὴν ἁμαρτίαν.

Ὅταν οὖν ἀκούῃς τὸν Παῦλον λέγοντα, ὅτι τὸ Εὐαγγέλιον οὐκ ἔστι κατὰ ἄνθρωπον, νόησον τὸν παλαιὸν ἄνθρωπον, τὸν φθειρόμενον κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης διότι αὐτὸς ὁ ἄνθρωπος οὐκ ἀρέσκεται εἰς τὰ ὑπὸ τοῦ Εὐαγγελίου διδασκόμενα, εἰς αὐτὸν ἀπαράδεκτά εἰσι τὰ εὐαγγελικὰ μαθήματα αὐτὸς διεγείρεται κατὰ τῶν εὐαγγελικῶν προσταγμάτων, καὶ κατηγορεῖ αὐτὰ ὡς

(1) Κυριακῇ Κ'. (2) Ἰωάν. 18, 37, καὶ 12, 47. (3) Ἐφεσ. 4, 22, 24.

βαρέα καὶ δύσκολα, καὶ διϊσχυρίζεται δέ, ὅτι εἰσὶν ἀδύνατα· ἐγώ, λέγει ὁ παλαιὸς ἄνθρωπος, θέλω καὶ ἐπιθυμῶ γενέσθαι πλούσιος· τὸ δὲ Εὐαγγέλιον διδάσκει πτωχείαν· « Πᾶς ἐξ ὑμῶν, λέγει, ὃς οὐκ ἀποτάσσεται πᾶσι τοῖς ἑαυτοῦ ὑπάρχουσιν, οὐ δύναταί μου εἶναι μαθητής » (1). Ἐγὼ θέλω πρωτεῖα· τὸ δὲ Εὐαγγέλιον κηρύττει ὅτι, ὅστις θέλει πρωτεῖα, ἐκεῖνος πρέπον ἐστίν, ἵνα κατασταθῇ δοῦλος· « Καὶ ὃς ἐὰν θέλῃ ἐν ὑμῖν εἶναι πρῶτος, ἔστω ὑμῶν δοῦλος » (2) Ἐγὼ φλέγομαι, ὀρεγόμενος ἐκπληρῶσαι τῆς σαρκὸς τὴν ἐπιθυμίαν· τὸ δὲ Εὐαγγέλιον πρῶτον μὲν ἐμποδίζει τὴν πρᾶξιν, λέγων· «Οὐ μοιχεύσεις» (3)· ἔπειτα καὶ τὴν ἐπιθυμίαν, λέγων· «Πᾶς ὁ βλέπων γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ» (4)· Ἐγὼ ὁρμῶ ὡς λέων ἀγριώτατος, ἵνα καταπίω τὸν ἐχθρόν μου· τὸ δὲ Εὐαγγέλιον βοᾷ· «Ἐγὼ δὲ λέγω ὑμῖν, ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν » (5). Ἑνὶ λόγῳ, εἴτι ἂν ἐγὼ θέλω, λέγει ὁ παλαιὸς ἄνθρωπος, εἴτι ἂν ἐγὼ ἐπιθυμῶ καὶ ὀρέγωμαι, τοῦτο ἐμποδίζουσι τοῦ Εὐαγγελίου οἱ νόμοι· ὅταν δὲ αὐτὸς ἀκούῃ τό, «Εἴτις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτόν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι· ὃς γὰρ ἂν θέλῃ τὴν ψυχὴν αὐτοῦ σῶσαι, ἀπολέσει αὐτήν· ὃς δ' ἂν ἀπολέσῃ τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ, εὑρήσει αὐτήν » (6)· τότε κραυγάζει· « Σκληρός ἐστιν οὗτος ὁ λόγος· τίς δύναται αὐτοῦ ἀκούειν; » (7) Ἀποστρέφεται δὲ τὸ Εὐαγγέλιον καὶ πίπτει εἰς τὴν ἀπιστίαν, καθὼς ἐκεῖνοι οἱ μαθηταὶ τοῦ Χριστοῦ, οἱ ἐγκαταλιπόντες αὐτόν, καὶ ἀπελθόντες εἰς τὰ ὀπίσω· ὁ παλαιὸς ἄνθρωπός ἐστιν ἄνθρωπος σαρκικός, τὸ Εὐαγγέλιον κηρύττει διδασκαλίαν πνευματικήν· ὁ δὲ σαρκικὸς οὐκ ἐπιδέχεται τὰ πνευματικά. « Ψυχικὸς δὲ ἄνθρωπος οὐ δέχεται τὰ τοῦ πνεύματος τοῦ Θεοῦ· μωρία γὰρ αὐτῷ ἐστι, καὶ οὐ δύναται γνῶναι, ὅτι πνευματικῶς ἀνακρίνεται» (8)· διὰ τοῦτο δὲ τοῦ Εὐαγγελίου οἱ νόμοι φαίνονται εἰς αὐτὸν οὐ κατὰ ἄνθρωπον, ἀλλ' ὑπέρτεροι τῆς τῶν ἀνθρώπων δυνάμεως.

Ἀλλὰ μετὰ τὴν προπατορικὴν παράβασιν πάντες, λέγεις, ἐσμὲν εἰς τὴν κατάςασιν τοῦ παλαιοῦ ἀνθρώπου, πάντες ἐνδεδυμένοι ἐσμὲν τὸν παλαιὸν ἄνθρωπον, τὸν φθειρόμενον κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης, πάντων ἔγκειται ἡ διάνοια « Ἐπιμελῶς ἐπὶ τὰ πονηρὰ ἐκ νεότητος » (9). Τί οὖν; ἆράγε εἰς πάντας φαίνεται τὸ Εὐαγγέλιον ὑπὲρ ἄνθρωπον; πάντες ἆρά εἰσιν ἀνεπίδεκτοι τῆς τούτου διδασκαλίας; Οὐχὶ πάντες· διότι βλέπομεν ἀναριθμήτους μυριάδας ἀνθρώπων, οἵτινες ὑπεδέχθησαν τοῦ Εὐαγγελίου τὰ διδάγματα, καὶ ἐσφράγισαν τὴν εἰς Χριστὸν πίστιν, ἄλλοι μὲν διὰ τῆς μέχρι θανάτου ὁμολογίας, καὶ διὰ τῆς ἐκχύσεως τοῦ ἰδίου αἵματος, ἄλλοι δέ, διὰ τῶν ἱδρώτων καὶ ἀγώνων τῆς ἀσκήσεως· βλέπομεν δὲ καὶ ἕως τῆς σήμερον πολλοὺς μετὰ πάσης ἀκριβείας φυλάττοντας ὅσα διδάσκει τὸ ἅγιον Εὐαγγέλιον.

Ἀληθῶς πάντες φοροῦμεν τοῦ παλαιοῦ ἀνθρώπου τὰ ἰδιώματα, καὶ τὰ πάθη, καὶ τὰς ἐπιθυμίας· καὶ ἐν ὅσῳ μὲν αὐτὸς ἐνεργεῖ ἐν ἡμῖν, καὶ βαρεῖα, καὶ δύσκολος, καὶ ἀπαράδεκτος φαίνεται ἡ εὐαγγελικὴ νομοθεσία. Ἀλλ' ἐπειδή, κἂν ὑπὸ τῶν ἐπιθυμιῶν τῆς ἀπάτης σκοτίζηται ὁ νοῦς, καὶ ἀσθενῇ

(1) Λουκ. 14, 33. (2) Ματθ. 20, 27. (3) Αὐτ. 19, 18. (4) Αὐτ. 5, 28. (5) Αὐτ. 44.
(6) Αὐτ. 16, 24, 25. (7) Ἰωάν. 6, 60. (8) Α'. Κορ. 2, 2, 14. (9) Γεν. 8, 21.



ἡ προαίρεσις, διαμένει ὅμως εἰς μὲν τὸν νοῦν ἡ φυσικὴ δύναμις τῆς διακρίσεως, εἰς δὲ τὴν προαίρεσιν ἡ ἐλευθερία τῆς ἐκλογῆς τοῦ καλοῦ· διὰ τοῦτο, ὅταν ὁ ἄνθρωπος ἔχῃ μικράν τινα κλίσιν εἰς τὸ ἀγαθόν, τότε ἡ χάρις τοῦ ὑπὲρ ἡμῶν παθόντος Ἰησοῦ Χριςοῦ, καὶ ἡ δύναμις τοῦ ζωοποιοῦ αὐτοῦ αἵματος, τοῦ ἐν τῷ σταυρῷ ὑπὲρ τῆς σωτηρίας ἡμῶν ἐκχυθέντος, διασκεδάζει τὸ σκότος τῶν παθῶν τοῦ παλαιοῦ ἀνθρώπου, καὶ διώκει τὴν ἐξ αὐτῶν ἐπεισενεχθεῖσαν ἀσθένειαν εἰς τὴν προαίρεσιν· φωτιζόμενος δὲ ὁ ἄνθρωπος ὑπὸ τοῦ φωτὸς τῆς τοιαύτης χάριτος, καὶ ἐνδυναμούμενος ὑπὸ τῆς τοιαύτης δυνάμεως, ἀνακαινίζεται, δεχόμενος τὴν ἐπίγνωσιν τῆς ἀληθείας, τουτέστι τὴν ἔνθερμον εἰς Χριστὸν πίστιν· αὐτὴ δὲ καταργεῖ τὸ κράτος τῶν ἐπιθυμιῶν τοῦ παλαιοῦ ἀνθρώπου, καὶ δίδωσι τὴν κυριότητα καὶ ἐξουσίαν εἰς τὸν νέον· αὐτὴ ἀνακαινίζει ἐν ὑμῖν τὴν δικαιοσύνην, καὶ τὴν ὁσιότητα τῆς ἀληθείας, τὴν ὑπὸ Θεοῦ ἐν τῷ καιρῷ τῆς πλάσεως ἡμῶν ἐμφυτευθεῖσαν ἡμῖν· διότι « αὕτη ἐστὶν ἡ νίκη ἡ νικήσασα τὸν κόσμον, ἡ πίστις ἡμῶν » (1)· τότε δὲ εἰς ἐκεῖνον τὸν ἀνακαινισθέντα, καὶ γενόμενον νέον ἄνθρωπον ἡ εὐαγγελικὴ νομοθεσία οὐ φαίνεται χαλινὸς σκληρός, οὐδὲ βάρος δυσβάστακτον, ἀλλὰ ζυγὸς χρηστὸς καὶ φορτίον ἐλαφρόν, καθὼς εἶπεν ὁ Κύριος (2)· τότε γνωρίζει, ὡς ὁ Πέτρος, ὅτι τὰ λόγια τοῦ Κυρίου εἰσὶ « Ῥήματα ζωῆς αἰωνίου » (3), καὶ ψάλλει, ὡς ὁ Δαβίδ· « Τὰ κρίματα Κυρίου ἀληθινά, δεδικαιωμένα ἐπὶ τὸ αὐτό, ἐπιθυμητὰ ὑπὲρ χρυσίον, καί λίθον τίμιον πολύν, καὶ γλυκύτερα ὑπὲρ μέλι καὶ κηρίον» (4)· ὅταν δὲ ἀκούῃ τὴν τούτων ἑρμηνείαν, τότε θερμαίνεται ἡ καρδία αὐτοῦ ὑπὸ τοῦ θείου ἔρωτος, καθὼς ἡ καρδία τοῦ Λουκᾶ καὶ τοῦ Κλεώπα, ὅταν ὁ Κύριος Ἰησοῦς ἐλάλει αὐτοῖς ἐν τῇ ὁδῷ, καὶ διηρμήνευεν αὐτοῖς τὰς Γραφάς (5).

Βλέπε εἰς τὸν Ζακχαῖον καὶ τοῦ παλαιοῦ ἀνθρώπου τὰ ἐλαττώματα, καὶ τοῦ νέου τὰ διὰ τῆς χάριτος κατορθώματα· αὐτός, ὑπὸ τῶν ἐπιθυμιῶν τῆς ἀπάτης φθειρόμενος, ἐγένετο ἀρχιτελώνης, καὶ πολὺν πλοῦτον ἐσύναξε δικαίως καὶ ἀδίκως, ἀλλ' « ἐζήτει ἰδεῖν τὸν Ἰησοῦν, τίς ἐστιν » (6)· ἐπειδὴ δὲ μικρὸς ὢν κατὰ τὸ ἀνάστημα τοῦ σώματος οὐκ ἠδύνατο ἰδεῖν αὐτὸν διὰ τὸ πλῆθος τοῦ ὄχλου, τοῦ περικυκλοῦντος αὐτόν, « προδραμὼν ἔμπροσθεν, ἀνέβη ἐπὶ συκομωρέαν, ἵνα ἴδῃ αὐτόν, ὅτι δι' ἐκείνης ἔμελλε διέρχεσθαι » (7). Τί ἐστι τοῦτο; οὐδὲν ἄλλο, εἰμὴ μικρά τις περιέργεια περὶ τὸ ἀγαθόν, καὶ μικρὰ διάθεσις εὐλαβείας· ὡς δὲ ἔφθασεν ὁ Ἰησοῦς ἐπὶ τὸν τόπον, ἐν ᾧ ἦν ἡ συκομωρέα, ἀναβλέψας, καὶ ἰδὼν αὐτόν, εἶπε· « Ζακχαῖε, σπεύσας κατάβηθι· σήμερον γὰρ ἐν τῷ οἴκῳ σου δεῖ με μεῖναι » (8)· διὰ τούτων τῶν λόγων ἐφώτισεν αὐτὸν ἡ θεία χάρις· ἤκουσεν ὁ Ζακχαῖος, ὅτι ὁ Ἰησοῦς Χριστός, ὁ μηδόλως αὐτὸν γνωρίζων, ἐκάλεσεν αὐτὸν κατ' ὄνομα, « Ζακχαῖε », ἐπίστευσεν, ὅτι οὐκ ἀποστρέφεται τὰς ἁμαρτίας αὐτοῦ, ἀλλὰ καταδέχεται ἐλθεῖν, καὶ μεῖναι εἰς τὸν οἶκον αὐτοῦ· διὸ φωτισθείς, ἐπίστευσεν, ὅτι ὁ Ἰησοῦς Χριστός ἐστιν ὁ παντεπόπτης, καὶ πάντων γνώστης, ὁ οἰκτίρμων καὶ ἐλεήμων τοῦ κόσμου σωτήρ· ἡ δὲ πίστις κατήργησε τὸν ἐν αὐτῷ παλαιὸν ἄνθρωπον, καὶ ᾠκοδόμησε τὸν νέον· ὅθεν κατέβη ἀπὸ τῆς

(1) Α'. Ἰωάν. 5, 4. (2) Ματθ. 11, 30. (3) Ἰωάν. 6, 68. (4) Ψαλμ. 18, 9, 10. (5) Λουκ. 24, 32.
(6) Αὐτ. 19, 3. (7) Αὐτ. 4. (8) Αὐτ. 5.

συκομωρέας πλήρης χαρᾶς πνευματικῆς· χαίρων δὲ καὶ ἀγαλλόμενος ὑπεδέχθη τὸν Ἰησοῦν Χριστὸν εἰς τὸν οἶκον αὐτοῦ, καὶ εὐθὺς ἐξεβόησεν ὁ τρισμακάριος τοῦ νέου ἀνθρώπου τὴν μακαρίαν φωνήν· « Ἰδού, εἶ» πε, τὰ ἡμίση τῶν ὑπαρχόντων μου, Κύ» ριε, δίδωμι τοῖς πτωχοῖς, καὶ εἴτινός τι » ἐσυκοφάντησα, ἀποδίδωμι τετραπλοῦν » (1). Τοῦτ' αὐτὸ βλέπεις εἰς τὴν Σαμαρεῖτιν. τοῦτ' αὐτό, εἰς τὸν Ματθαῖον· τοῦτ' αὐτό, εἰς τὸν Αἰθίοπα τὸν εὐνοῦχον· αὐτό, εἰς τὸν Παῦλον· τοῦτο, εἰς πάντας, ὅσοι πρότερον μὲν ἐφθείροντο ὑπὸ τῶν ἐπιθυμιῶν τῆς ἀπάτης τοῦ παλαιοῦ ἀνθρώπου, ἐπειδὴ δὲ εἶχον μικρὸν ἴχνος ἀγαθῆς διαθέσεως, ἐφωτίσθησαν ὑπὸ τῆς θείας χάριτος, καὶ πιστεύσαντες, ἐνίκησαν τοῦ παλαιοῦ ἀνθρώπου τὰς ἐπιθυμίας, καὶ κατώρθωσαν τὰς πράξεις τοῦ καινοῦ ἀνθρώπου, τοῦ ὑπὸ τοῦ Θεοῦ κτισθέντος « ἐν δικαιοσύνῃ καὶ ὁσιότητι τῆς » ἀληθείας » (2).

Ἀδελφοί, τὰ εὐαγγελικὰ προστάγματα αὐτὰ καθ' ἑαυτά εἰσιν ἁρμόδια καὶ ὠφελιμώτατα εἰς τοὺς ἀνθρώπους· φαίνονται δὲ ἁρμόδια, ἢ ἀνάρμοστα, κατὰ τὰς ἡμετέρας κλίσεις καὶ διαθέσεις. Καθὼς δὲ μία καὶ ἡ αὐτὴ τροφὴ εἰς μὲν τοὺς ὑγιεῖς φαίνεται γλυκεῖα καὶ νόστιμος, εἰς δὲ τοὺς ἀσθενεῖς, πικρὰ καὶ ἄνοστος, οὕτω καὶ οἱ εὐαγγελικοὶ νόμοι εἰς μὲν τοὺς ἔχοντας τὸν νοῦν καθαρὸν ἀπὸ τῶν τῆς σαρκὸς ἐπιθυμιῶν φαίνονται ἁρμόδιοι εἰς τὴν ἀνθρώπινον φύσιν, καὶ πολλὰ κατάλληλοι· εἰς δὲ τοὺς ἔχοντας τὸν νοῦν ἐσκοτισμένον ὑπὸ τῆς ζάλης τῶν παθῶν φαίνονται ἀνάρμοστοι καὶ ἀκατάλληλοι. Ἄνθρωποι, τί διδάσκει τὸ Εὐαγγέλιον; δικαιοσύνην διδάσκει, σωφροσύνην, ἀλήθειαν, ἀγάπην, πραότητα, ὑπακοήν· εἰπὲ οὖν, ἀλλ' εἰπὲ τὴν ἀλήθειαν· πότε αἰσθάνεσαι τὴν ἡσυχίαν καὶ ἀνάπαυσιν τῆς συνειδήσεώς σου; ὅταν δικαιοπραγῆς, ἢ ὅταν ἀδικῇς, καὶ ἁρπάζῃς, καὶ κλέπτῃς; ὅταν σωφρονῇς, ἢ ὅταν τρέχῃς εἰς τὰ πορνοστάσια, καὶ ἐπιβουλεύῃς τὰς ξένας γυναῖκας; ὅταν λαλῇς τὴν ἀλήθειαν, ἢ ὅταν κατασκευάζῃς τὸ ψεῦδος, καὶ πλανᾷς τὸν πλησίον σου; ὅταν ἀγαπᾷς, ἢ ὅταν μισῇς καὶ φθονῇς, καὶ καταδιώκῃς τὸν ἀδελφόν σου; ὅταν γίνεσαι πρᾷος, ἢ ὅταν ὀργιζόμενος, τρέμῃς, καὶ ἀφρίζῃς, καὶ τρίζῃς τοὺς ὀδόντας; ὅταν ὑπακούῃς, ἢ ὅταν παρακούῃς, καὶ ἀντιλέγῃς, καὶ φιλονεικῇς; Ὑπόθες μίαν πόλιν, ἐν ᾗ ὁ βασιλεύς ἐςι δίκαιος καὶ εὔσπλαγχνος, οἱ ἄρχοντες ταπεινοὶ καὶ ἥμεροι, οἱ κριταὶ δίκαιοι, οἱ στρατιῶται εὔτακτοι, οἱ πραγματευταὶ φιλαλήθεις, οἱ τεχνῖται ἄδολοι, πάντες οἱ ἐν αὐτῇ κατοικοῦντες σώφρονες, φιλάγαθοι, ἐλεήμονες, ἀλλήλους ἀγαπῶντες, καὶ ἀλλήλους εὐεργετοῦντες· ὑπόθες καὶ ἄλλην πόλιν· ἐν αὐτῇ δὲ ὑπόθες τὸν μὲν βασιλέα ἄδικον καὶ ἄσπλαγχνον, τοὺς ἄρχοντας ὑπερηφάνους καὶ ἀγρίους, τοὺς στρατιώτας ἀτάκτους, τοὺς πραγματευτὰς ψεύστας, τοὺς τεχνίτας δολερούς, πάντας τοὺς ἐγκατοίκους ἀσελγεῖς, μισοκάλους, ἀσπλάγχνους, μισοῦντας ἀλλήλους, καὶ ἀλλήλους βλάπτοντας· ποίαν τῶν δύο τούτων πόλεων ἐκλέγεις πρὸς κατοικίαν σου; τὴν πρώτην, ἐν ᾗ φυλάττονται οἱ εὐαγγελικοὶ νόμοι, ἢ τὴν δευτέραν, ἐν ᾗ καταφρονοῦνται; Τίς ἄνθρωπος, ἔχων νοῦν καὶ αἴσθησιν, ἐγκαταλείπει τὴν πρώτην, ἥτις ἐστὶν ἐπίγειος παράδεισος, ἵνα κατοικήσῃ εἰς τὴν δευτέραν, ἥτις ἐστὶν ἡ ἐπίγειος

(1) Λουκ. 8. (2) Ἐφεσ. 4, 24.



κόλασις; Βλέπεις, πόσον κατάλληλον καὶ ἁρμόδιόν ἐστιν εἰς τὸν ἄνθρωπον τοῦ Ἰησοῦ Χριστοῦ τὸ Εὐαγγέλιον; εἰς ἐκείνους δὲ τοὺς ἀνθρώπους· φαίνεται ἀνάρμοστον καὶ ἀκατάλληλον, ὅσοι ἔκδοτοι εἰς τῆς σαρκὸς τὰ πάθη, καὶ διεφθαρμένοι ὑπὸ τῆς ματαιότητος τοῦ κόσμου, καὶ δοῦλοι τοῦ ἀρχεκάκου ἐχθροῦ, οὐδὲ συλλογίζονται ὀρθῶς, οὐδὲ κρίνουσι μετὰ διακρίσεως, μὴ ἔχοντες δὲ οὐδὲ ἴχνος ἀγαθῆς διαθέσεως, διαμένουσιν ἐστερημένοι τοῦ φωτὸς τῆς θείας χάριτος· εἰς αὐτοὺς δὲ ἐπιβλέπει οὗτος ὁ ἀποστολικὸς λόγος· « Γνωρίζω ὑμῖν τὸ Εὐαγγέλιον, τὸ » εὐαγγελισθὲν ὑπ' ἐμοῦ, ὅτι οὐκ ἔστι κατὰ » ἄνθρωπον » (1).

# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΗΝ ΔΕΥΤΕΡΑΝ ΠΡΟΣ

# ΤΙΜΟΘΕΟΝ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

## ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗι ΚΥΡ. ΠΡΟ ΤΩΝ ΦΩΤΩΝ.

ΜΕΓΑΛΗΣ ἀληθῶς χάριτος ἠξίωσεν ὁ Θεὸς τὸν πατριάρχην Ἰακώβ· ἔδωκεν αὐτῷ ὁ Θεὸς χάριν, ἵνα γνωρίσῃ τοῦ θανάτου αὐτοῦ τὸν καιρόν· ὅθεν προσκαλέσας τοὺς υἱοὺς αὐτοῦ παρήγγειλεν αὐτοῖς τὰς τελευταίας παραγγελίας, πεπληρωμένας νουθεσιῶν, προφητικῶν λόγων, καὶ θείας εὐλογίας· « Ἐκάλεσε δὲ Ἰακὼβ τοὺς υἱοὺς αὐ» τοῦ, καί εἶπεν αὐτοῖς· συνάχθητε, ἵνα » ἀναγγείλω ὑμῖν, τί ἀπαντήσει ὑμῖν ἐπ' » ἐσχάτων τῶν ἡμερῶν· συνάχθητε, καὶ » ἀκούσατε υἱοὶ Ἰακώβ· ἀκούσατε Ἰσρα» ήλ, ἀκούσατε τοῦ πατρὸς ὑμῶν » (2). Μετὰ δὲ τὰς νουθεσίας καὶ προφητείας καὶ τὰς εὐλογίας ἐφανέρωσεν εἰς αὐτούς, ὅτι ἀποθνήσκει· « ἐγώ, εἶπε, προστίθεμαι πρὸς » τὸν ἐμὸν λαόν· θάψετέ με μετὰ τῶν πα» τέρων μου » (3). Πόσοι τῶν φιλοτέκνων πατέρων ἐπιθυμοῦσι ταύτης τῆς χάριτος; πλὴν ὀλίγοι ἀξιοῦνται. Ὁ πανᾀοίδιμος Ἀπόστολος Παῦλος πρὸς τοῖς ἄλλοις τοῦ Θεοῦ χαρίσμασι, καὶ τούτου κατηξιώθη· προεῖδεν αὐτός, καθὼς καὶ ὁ Πατριάρχης Ἰακώβ, τὸν καιρὸν τοῦ θανάτου αὐτοῦ· ὅθεν οὐχὶ ἀπὸ στόματος, ἐπειδὴ εἰς τὴν Ῥώμην εὑρισκόμενος μακρὰν ἀπεῖχεν ἀπὸ τῆς Ἐφέσου, ὅπου ἦν τὸ πνευματικὸν αὐτοῦ τέκνον, ὁ Τιμόθεος, ἀλλὰ δι' ἐπιστολῆς εὐλόγησε καὶ ἐνουθέτησεν αὐτόν τε καὶ πάντα τὰ πνευματικὰ αὐτοῦ τέκνα, προκατήγγειλε δὲ καὶ τὰ μέλλοντα συμβαίνειν εἰς τὴν ἐκκλησίαν, εἰπών· « ἔσται γὰρ καιρός, ὅτε » τῆς ὑγιαινούσης διδασκαλίας οὐκ ἀνέξον» ται· ἀλλὰ κατὰ τὰς ἐπιθυμίας τὰς ἰδίας » ἐπισωρεύσουσι διδασκάλους, κνηθόμενοι » τὴν ἀκοήν· καὶ ἀπὸ μὲν τῆς ἀληθείας τὴν

(1) Γαλ. 1, 11. (2) Γεν. 49, 1, 2. (3) Αὐτ. 29.

» ἀκοὴν ἀποςρέψουσιν, ἐπὶ δὲ τοὺς μύθους » ἐκτραπήσονται » (1)· προεῖπε δὲ διὰ τούτων τῶν λόγων τὰς μετὰ τοὺς Ἀποστόλους ἀναφανείσας αἱρέσεις. Μετὰ δὲ ταῦτα ἐφανέρωσεν, ὅτι ὁ καιρὸς τοῦ τέλους τῆς ζωῆς αὐτοῦ πλησιάζει· « ὁ καιρὸς τῆς ἐμῆς ἀνα» λύσεως ἐφέστηκε » (2). Τῆς ἐπιστολῆς ταύτης ἡ περικοπή, ἡ σήμερον ἀναγνωσθεῖσα, περιέχει μέρος τῶν παραγγελμάτων αὐτοῦ, δηλοποιεῖ δὲ καὶ τό, διὰ ποίου θανάτου ἔμελλε μεταβῆναι πρὸς τὸν Θεόν, ἵνα λάβῃ τῶν ἀγώνων αὐτοῦ τὰς ἀνταποδόσεις. Ὅστις μετ' εὐλαβείας ἀκούσῃ τὴν ἑρμηνείαν αὐτῆς, ἐκείνου ἡ καρδία πληροῦται κατανύξεως καὶ ἡ ψυχὴ λαμβάνει πολλὴν ὠφέλειαν.

*Τέκνον Τιμόθεε, νῆφε ἐν πᾶσι, κακοπάθησον, ἔργον ποίησον Εὐαγγελιστοῦ, τὴν διακονίαν σου πληροφόρησον* (3).

Ἐπειδὴ προλαβὸν εἶπεν, ὅτι ἔρχεται καιρός, (4) ὅτε ἐγκαταλείψουσιν οἱ ἄνθρωποι τὴν ὀρθὴν διδασκαλίαν καὶ τὴν ἀλήθειαν, καὶ προσηλώσουσιν ἑαυτοὺς εἰς τοὺς μύθους, διὰ τοῦτο παραγγέλλει εἰς αὐτόν, λέγων· « Νῆφε ἐν πᾶσιν », ἤγουν πρόσεχε, ἔσο γρήγορος εἰς πᾶσαν ὑπόθεσιν, μὴ ἀμελῇς, μὴ παραβλέπῃς, ἵνα μὴ ἀπολεσθῶσιν οἱ ὑπὸ σοῦ ποιμαινόμενοι· « κακοπάθησον », ὑπόφερε δηλονότι πᾶσαν κακοπάθειαν καὶ ταλαιπωρίαν ὑπὲρ τῆς σῆς σωτηρίας καὶ τῆς τοῦ πλησίον σου· « ἔργον ποίησον Εὐαγ» γελιστοῦ »· ὅτι μὲν ἦσαν Εὐαγγελισταὶ εἰς τὴν ἐκκλησίαν, φανερόν ἐστιν ἐκ τούτων τῶν λόγων τοῦ θεοφόρου Παύλου· « Καὶ αὐ» τὸς ἔδωκε τοὺς μέν, ἀποστόλους· τοὺς δέ, » προφήτας· τοὺς δέ, Εὐαγγελιστάς, τοὺς » δέ, ποιμένας καὶ διδασκάλους (5)· τῆς τάξεως δὲ τῶν Εὐαγγελιστῶν ἦν ὁ Φίλιππος, εἷς ὢν τῶν ἑπτὰ διακόνων· « Καὶ εἰ» σελθόντες, λέγει ὁ ἱερὸς Λουκᾶς, εἰς τὸν » οἶκον Φιλίππου τοῦ Εὐαγγελιστοῦ, τοῦ » ὄντος ἐκ τῶν ἑπτά, ἐμείναμεν παρ' αὐ» τῷ » (6)· Ἐκ τῶν ἔργων δὲ τοῦ Φιλίππου μανθάνομεν, ποῖόν ἐστι τὸ ἔργον τοῦ Εὐαγγελιστοῦ· ὁ Φίλιππος ἐξελθὼν ἐκ τῆς Ἱερουσαλήμ, ἐκήρυξε τὸν Χριστὸν εἰς τὴν Σαμάρειαν (7)· ὁμοίως καὶ εἰς τὴν ὁδόν, τὴν καταβαίνουσαν ἀπὸ Ἱερουσαλὴμ εἰς Γάζαν, ὅπου ἐδίδαξε τὸν Αἰθίοπα τὸν εὐνοῦχον· ἑνὶ δὲ λόγῳ, ἐκήρυττεν αὐτὸς τὸ Εὐαγγέλιον εἰς πολλὰς καὶ διαφόρους πόλεις· « Φίλιππος » δὲ εὑρέθη εἰς Ἄζωτον, καὶ διερχόμενος, » Εὐηγγελίζετο τὰς πόλεις πάσας, ἕως τοῦ » ἐλθεῖν αὐτὸν εἰς Καισάρειαν (8) ». Τοῦτο οὖν ἐστι τοῦ Εὐαγγελιστοῦ τὸ ἔργον, τὸ κηρύττειν τὸ Εὐαγγέλιον εἰς τοὺς ἀπίστους· ὁ Παῦλος οὖν διὰ τούτων τῶν λόγων· « ἔρ» γον ποίησον Εὐαγγελιστοῦ », οὐδὲν ἄλλο παραγγέλλει εἰς τὸν Τιμόθεον, εἰμὴ ἵνα κηρύττῃ τὸ Εὐαγγέλιον· ἀλλὰ καὶ οἱ Ἀπόστολοι ἐκήρυττον τὸ Εὐαγγέλιον. Ποία οὖν ἡ διαφορὰ μεταξὺ Εὐαγγελιςοῦ καὶ Ἀποστόλου; πρῶτον μέν, ἕκαστος τῶν Ἀποςόλων εἰς ἓν διωρισμένον μέρος τῆς γῆς ἐδίδασκε τὸ Εὐαγγέλιον· ὁ δὲ Εὐαγγελιστὴς ἀορίστως εἰς πάντα τόπον, καὶ εἰς πᾶν γένος ἀνθρώπων· δεύτερον δέ, οἱ Ἀπόστολοι ἦσαν οὐ μόνον διδάσκαλοι τοῦ Εὐαγγελίου, ἀλλὰ καὶ ἀρχιερεῖς καὶ ποιμένες· οἱ δὲ Εὐαγγελισταὶ μόνην τὴν εἰς Χριστὸν πίστιν εὐηγγελίζοντο, ἄλλοι δὲ ἐγίνοντο ποιμένες ἐκεῖ,

(1) Β'. Τιμ. 4, 3, 4. (2) Αὐτ. 6. (3) Αὐτ. 4, 5. (4) Αὐτ. 3, 4. (5) Ἐφεσ. 4, 11. (6) Πράξ. 21, 8. (7) Αὐτ. 8, 5, 26, 35. (8) Αὐτ. 40.



ὅπου αὐτοὶ ἔσπειρον τὰ Εὐαγγελικὰ σπέρματα (1). Τὸ δέ, « τὴν διακονίαν σου πλη» ροφόρησον », σημαίνει τό, πλήρωσον τὸ ἐπισκοπικόν σου ἐπάγγελμα, ἢ τό, δίδασκε καὶ πολιτεύου τοιουτοτρόπως, ὥςε οἱ ἀκούοντες τὸν διδασκαλικόν σου λόγον, καὶ βλέποντες τὸ πολίτευμά σου σύμφωνον τοῖς λόγοις σου, πληροφοροῦνται, ὅτι ἀληθῆ εἰσι τὰ ὑπὸ σοῦ διδασκόμενα. Διὰ δὲ τῶν ἑξῆς δηλοποιεῖ ὁ Παῦλος εἰς αὐτόν, διὰ ποῖον λόγον ἔγραφε πρὸς αὐτὸν ταύτας τὰς παραγγελίας.

*Ἐγὼ γὰρ ἤδη σπένδομαι, καὶ ὁ καιρὸς τῆς ἐμῆς ἀναλύσεως ἐφέστηκε* (2).

Τό, « σπένδομαι », σημαίνει τό, θυσιάζομαι, σφαγιάζομαι, προσφέρω ἐμαυτὸν εἰς θυσίαν. Βλέπε δέ, ὅτι ὁ τρισμακάριος Παῦλος οὐ μόνον ἐγνώρισεν, ὅτι ἐπλησίασεν ὁ καιρός, καθ' ὃν ἔμελλε μεταβῆναι πρὸς τὸν ποθούμενον αὐτῷ Χριστόν, ἀλλ' ἐγνώρισε προσέτι, ὅτι ἔμελλε διὰ μαρτυρίου τελειῶσαι τὸν βίον αὐτοῦ, καὶ προσαγαγεῖν τὸ αἷμα αὐτοῦ θυσίαν τῷ θεῷ· τοῦτο δὲ καὶ ἐγένετο· διότι ὑπὸ τοῦ Νέρωνος ἐν Ῥώμῃ ἀπετμήθη τὴν κεφαλήν· ἐπειδή, λέγει, ἑτοιμάζομαι θυσιασθῆναι ὑπὲρ τῆς ἀγάπης τοῦ Χριστοῦ, καὶ ἐπλησίασεν ἤδη ὁ καιρός, καθ' ὃν ἡ ψυχή μου μέλλει χωρισθῆναι τοῦ σώματός μου, διὰ τοῦτο ἔγραψά σοι, ὦ Τιμόθεε, ταύτας τὰς τελευταίας νουθεσίας μου καὶ παραγγελίας. Προτρέπει δὲ αὐτὸν πρὸς τὴν ἐκπλήρωσιν τῶν παραγγελιῶν καὶ διὰ τῶν ἔργων, προβάλλων εἰς αὐτὸν παράδειγμα τὰ ἑαυτοῦ κατορθώματα.

*Τὸν ἀγῶνα τὸν καλὸν ἠγώνισμαι, τὸν δρόμον τετέλεκα, τὴν πίστιν τετήρηκα* (3).

Ποῖός ἐστιν ὁ ἀγών, ὃν ὁ Παῦλος ἠγωνίσθη; οἱ φοβεροὶ διωγμοί, οἱ θανατηφόροι κίνδυνοι, ἡ φυλακή, τὰ δεσμά, ἡ ἅλυσις, αἱ μάστιγες, ἡ θηριομαχία, καὶ τὰ λοιπὰ παθήματα, ὅσα μετὰ τοσαύτης γενναιότητος ὑπὲρ Χριστοῦ ὑπέμεινεν ὁ ἀδαμάντινος (4). Καλὸς δὲ ὁ τοιοῦτος ἀγών, ὡς θεάρεστος, καὶ τῶν αἰωνίων καλῶν πρόξενος· εἶπε δέ, « τὸν ἀγῶνα τὸν καλόν », ἵνα ὑποδιαστείλῃ αὐτὸν τοῦ κακοῦ ἀγῶνος, διότι ὁ ἀγών, ὃν ἀγωνίζονται οἱ ματαιόφρονες ἄνθρωποι ὑπὲρ τῆς δόξης, καὶ τοῦ πλούτου, καὶ τῆς ματαιότητος τοῦ κόσμου, ἐστὶ κακὸς ἀγών, ὡς κακίας, καὶ τῶν αἰωνίων κακῶν πρόξενος. Τίς δὲ ὁ δρόμος, ὃν ἐτελείωσεν ὁ ἀείμνηστος; ὁ δρόμος τοῦ εὐαγγελικοῦ κηρύγματος, ὃν ἐτελείωσε διελθὼν « ἀπὸ » Ἱερουσαλὴμ καὶ κύκλῳ, μέχρι τοῦ Ἰλλυ» ρικοῦ » (5)· δρόμον δὲ νόησον καὶ τὴν κλίμακα πασῶν τῶν ἀρετῶν, εἰς ἣν αὐτὸς ἀνέβη, ἔτι δὲ καὶ τῆς προσκαίρου ζωῆς αὐτοῦ τὴν περίοδον· τὴν δὲ εἰς Χριστὸν πίστιν τετήρηκεν, ἐπειδή, κἂν ὑπὲρ αὐτῆς ἐδιώκετο, καὶ ἐκινδύνευε, κἂν ὑπὲρ αὐτῆς καθ' ἡμέραν ἐδοκίμαζε θανατηφόρους θλίψεις, ὅμως οὐκ ἠρνήσατο αὐτήν, ἀλλὰ διεφύλαξεν αὐτὴν ἐνώπιον βασιλέων καὶ τυράννων, καὶ ἐν μέσῳ τοσούτων φόβων καὶ παθημάτων.

*Λοιπόν, ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος, ὃν ἀποδώσει μοι ὁ Κύριος ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ὁ δίκαιος*

(1) Ὅρ. β. 3. κ. 37. Ἐκκλ. Ἱστορ. Εὐσεβ. (2) Β'. Τιμ. 4, 6. (3) Αὐτ. 4, 7. (4) Α'. Κορ. 15, 32. (5) Ῥωμ. 15, 19.

*κριτής· οὐ μόνον δὲ ἐμοί, ἀλλὰ καὶ πᾶσι τοῖς ἠγαπηκόσι τὴν ἐπιφάνειαν αὐτοῦ* (1).

Κοπιαστικὴ ἡ ἐκπλήρωσις τῶν παραγγελιῶν τοῦ Παύλου· χρείαν οὖν εἶχεν ὁ Τιμόθεος προθυμοποιήσεως, ἵν' αὐτὰς ἐκπληρώσῃ. Θαρσοποιεῖ οὖν αὐτὸν ὁ θεῖος αὐτοῦ διδάσκαλος, σὺν αὐτῷ δὲ καὶ πάντας τοὺς τῷ Κυρίῳ δουλεύοντας, προβάλλων τὰς ἐπουρανίους τοῦ θεοῦ ἀντιμισθίας· ἐπειδὴ ἠγωνίσθην, λέγει, τὸν καλὸν ἀγῶνα τῶν ἀρετῶν, καὶ ἐτελείωσα τοῦ Εὐαγγελικοῦ κηρύγματος τὸν δρόμον, καὶ ἐφύλαξα ἀπαράτρωτον τὴν εἰς Χριστὸν πίστιν, « λοιπὸν » ἀπόκειταί μοι », ἤγουν ἀκόλουθόν ἐστι τό, ὅτι ἠτοιμασμένος ἐστὶν ὑπὲρ ἐμοῦ « ὁ » τῆς δικαιοσύνης στέφανος », τουτέστιν ἡ ὑπὲρ τῆς ἀρετῆς ἀνταποδιδομένη βασιλεία· οὐκ εἶπε δέ, δώσει μοι, ἀλλ' « ἀποδώσει » μοι », ἵνα φανερώσῃ, ὅτι χρεωστική ἐςι τῷ λόγῳ τῆς δικαιοσύνης τοῦ θεοῦ ἡ τοιαύτη ἀνταπόδοσις· διὰ τοῦτο καὶ τοῦ δικαίου κριτοῦ μνημονεύει, καὶ τῆς ἡμέρας τῆς δικαίας κρίσεως, λέγων· « ὃν ἀποδώσει μοι » ὁ Κύριος ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ὁ δίκαιος » κριτής ». Ὁ δίκαιος κριτὴς ἐν τῇ ἡμέρᾳ τῆς δικαίας κρίσεως δικαίως ἀνταποδίδωσι τὰ βραβεῖα τῆς δικαιοσύνης εἰς τοὺς ὑπὲρ τῆς πίστεως καὶ τῆς ἀρετῆς ἀγωνισαμένους· Ἵνα δὲ μηδεὶς νομίσῃ, ὅτι περὶ ἑαυτοῦ μόνον ταῦτα λαλεῖ, ἐπισυνάπτει τό, « οὐ μόνον δὲ ἐμοί, ἀλλὰ καὶ πᾶσι τοῖς » ἠγαπηκόσι τὴν ἐπιφάνειαν αὐτοῦ »· μὴ νομίσητε, ὅτι μόνον εἰς ἐμὲ ἠτοιμασμένος ἐστὶν ὁ στέφανος τῆς δικαιοσύνης· διότι αὐτὸς ἕτοιμός ἐστιν ὑπὲρ πάντων τῶν ἠγαπηκότων τὴν ἐπιφάνειαν αὐτοῦ, ὅπερ ἐστίν, ὑπὲρ πάντων τῶν δικαίων· διότι αὐτοὶ ἀγαπῶσι τὴν ἐπιφάνειαν αὐτοῦ, ἐπιθυμοῦσι δηλονότι, ἵνα ἔλθῃ κρῖναι ζῶντας καὶ νεκρούς, ὅπως ἀπολαύσωσι τὴν « ἀπὸ καταβολῆς » κόσμου ἠτοιμασμένην αὐτοῖς βασιλεί- » αν (2) ». οἱ δὲ τρισάθλιοι ἁμαρτωλοὶ οὐκ ἀγαπῶσιν, ἀλλὰ φρίττουσι τὴν τοιαύτην θείαν αὐτοῦ παρουσίαν, τὴν περιμένουσαν αὐτοὺς ἀναλογιζόμενοι κόλασιν.

(1) Β'. Τιμ. 4, 8. (2) Ματθ. 25, 34.

---



# ΟΜΙΛΙΑ

ΜΕΤΑ ΤΗΝ ΔΕΥΤΕΡΑΝ ΠΡΟΣ

## ΤΙΜΟΘΕΟΝ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗ: ΚΥΡΙΑΚΗ: ΠΡΟ ΤΩΝ ΦΩΤΩΝ.

ΕΥΡΙΣΚΕΤΑΙ ἆρά γε εἰς τὸν κόσμον πρᾶγμα ἢ λυπηρότερον, ἢ ὀδυνηρότερον, ἢ φοβερώτερον τοῦ θανάτου; Ὅταν ὁ βασιλεὺς Ἀγὰγ εἶδε τοῦ Σαμουὴλ τὴν μάχαιραν εἰς τὸν λαιμὸν αὐτοῦ, τότε στένων καὶ τρέμων, ἐκραύγαζεν. « Εἰ οὕτω πικρὸς ὁ θάνατος » (1), κἂν ὁ θάνατος ἔσωζεν αὐτὸν ἐκ τῶν δεσμῶν καὶ τῆς αἰχμαλωσίας· ὁ δὲ προφητάναξ Δαβὶδ οὐδένα ἄλλον λόγον εὗρηκεν ἁρμόδιον πρὸς παράστασιν τῆς ὑπερβολικῆς στενοχωρίας καὶ θλίψεως, εἰμὴ τοῦ θανάτου τὰς ὠδῖνας καὶ τὴν σκληρότητα. « Ὠδῖνες, ἔλεγε, θανάτου ἐκύκλωσάν με, » προέφθασάν με σκληρότητες θανάτου (2) ». ὁ δὲ σοφὸς Σειρὰχ εἶπεν, ὅτι καὶ μόνη ἡ ἐνθύμησις τοῦ θανάτου καταπικραίνει τὴν καρδίαν τοῦ ἀνθρώπου. « Ὦ θάνατε, εἶ- » πεν, ὡς πικρόν σου τὸ μνημόσυνόν ἐστι » (3). Στέργουσιν οἱ ἄνθρωποι καὶ φυλακάς, καὶ δεσμά, καὶ ἐξορίας, καὶ ἀῤῥωστίας ὀδυνηράς, καὶ μελῶν ἀκρωτηριασμούς, καὶ πᾶσαν ἄλλην βάσανον μᾶλλον, ἢ τὸν θάνατον. Ταύτην δὲ τὴν ἀλήθειαν οὐκ ἀνατρέπουσι τὰ σπάνια παραδείγματά τινων ἀνθρώπων, οἵτινες αὐτόχειρες γινόμενοι, ἐθανάτωσαν ἑαυτούς· ὁ ὑπερβολικὸς θυμός, ἢ ἡ δοξομανία, ἢ ἡ ὑπερβολικὴ λύπη, ἢ ὁ παράλογος ἀπελπισμός, ἢ ἄλλο τι σφοδρότατον πάθος οὐ μόνον ἔσβεσε τὴν διάκρισιν τοῦ νοὸς αὐτῶν, ἀλλ' ἐνέκρωσε καὶ αὐτὴν τὴν δύναμιν, τὴν ὑπὸ θεοῦ ἐμφυτευθεῖσαν εἰς τὴν φύσιν πάντων τῶν ζώντων, τὴν δύναμιν, λέγω, τῆς ἰδίας διατηρήσεως· ἀπέδειξαν τοῦτο ἐκεῖνοι οἱ αὐτόχειρες, ὅσοι ἔπιον μὲν τὰ θανατηφόρα ποτά, ἢ ἔπληξαν ἑαυτοὺς πληγὴν ἐπιθανάτιον, πλὴν οὐκ ἀπέθανον εὐθύς· διότι οἱ τοιοῦτοι καὶ τοὺς ἰατροὺς προθύμως ἐδέχθησαν, καὶ τὰ ἰαματικὰ φάρμακα μετὰ σπουδῆς ἔπιον· τοῦτο δὲ ἀπόδειξίς ἐστι φανερά, ὅτι ἡ ὀδύνη τοῦ θανάτου, τοῦ πλησιάσαντος πρὸς αὐτούς, ἐνίκησε τὴν καταδυναστείαν τοῦ κατακυριεύσαντος πάθους· διὸ ὁ νοῦς αὐτῶν ἀνέλαβε τὴν ἀπολεσθεῖσαν διάκρισιν, ὁ δὲ νόμος τῆς φύσεως τὴν ἰδίαν δύναμιν· ἐκ τούτου δὲ αὐτοὶ ἐζήτησαν φυγεῖν τὸν θάνατον. Τοῦτο αὐτὸ ἀποδεικνύει, ὅτι πᾶς ἄνθρωπος αἰσθάνεται, ὅτι ὁ θάνατός ἐστι μείζων πάντων τῶν ἐν κόσμῳ κακῶν.

Ἀλλὰ διὰ τί τοῦτο; διὰ τί ποιεῖ ὁ θάνατος τόσον θλιβερὰν καὶ φοβερὰν αἴσθησιν εἰς τὸν ἄνθρωπον; διότι αὐτὸς μόνον βάλ-

(1) Α'. Βασ. 15, 32. (2) Β'. Βασ. 22, 6. (3) Σειρ. 41, 1.

λει ὑποκάτω εἰς τὰ ὄμματα τοῦ ἀνθρώπου τὴν φθορὰν καὶ ἐξουδένωσιν τῆς ἰδίας αὐτοῦ ὑπάρξεως. Τί βλέπεις εἰς τοῦ νεκροῦ τὸ σῶμα; ὄμματα τυφλά, ὠτία κωφά, ὄσφρησιν ἀνόσφρητον, στόμα ἄλαλον, ἁφὴν ἀναίσθητον, μέλη ἀκίνητα, σῶμα, κρυερᾶς πέτρας μηδὲν διαφέρον, σχῆμα ἀνθρώπου, καὶ οὐχὶ ἄνθρωπον· ὀλίγας δὲ ἡμέρας μετὰ τὸν θάνατον βλέπεις, ὅτι διαλύονται τὰ ἐντόσθια, καὶ ῥέουσιν αἱ σάρκες, καὶ τόση δυσωδία ἐξέρχεται ἐκ τοῦ ἀναλυομένου σώματος, ὥστε μὴ δυνάμενος στῆναι πλησίον αὐτοῦ, φεύγεις μακράν, κἂν συγγενής, κἂν φίλος ἦν, κἂν πολλὰ ἠγαπημένος σου ὁ νεκρὸς ἐκεῖνος· μετὰ δὲ καιροῦ παρέλευσιν, ἐὰν ἀνοίξῃς τὸν τάφον αὐτοῦ, οὐδὲν ἄλλο βλέπεις, εἰ μὴ ὀστᾶ ξηρὰ καὶ γεγυμνωμένα, καὶ τοιαῦτα, ὥστε οὐδὲ διακρῖναι δύνασαι, τίνος ἀνθρώπου εἰσὶν ὀστᾶ· καὶ αὐτὰ δὲ τὰ ὀστᾶ τελευταῖον διαλύονται, καὶ τῇ γῇ συμμίγνυνται, ὥστε οὐδὲ ἴχνος βλέπεις ἀνθρώπου. Ὁ θάνατος οὖν ἀποδεικνύει εἰς τὸν ἄνθρωπον, ὅτι ἁρπάζει τὴν ὕπαρξιν αὐτοῦ, καὶ καταντᾷ αὐτὸν εἰς τὴν ἀνυπαρξίαν· ἐπειδὴ δὲ τοῦτό ἐςι παρὰ φύσιν, καὶ πάντῃ ἐναντίον αὐτῆς, διὰ τοῦτο ταράττει, καὶ φοβίζει ὑπὲρ πᾶν ἄλλο πρᾶγμα.

Ὁ Θεός, ὅστις ἔπλασε τὸν ἄνθρωπον, ἵνα ζῇ αἰωνίως, ἔπλασε τὴν ψυχὴν τοῦ ἀνθρώπου, ἵνα διαμένῃ συνηνωμένη μετὰ τοῦ σώματος αὐτῆς εἰς τοὺς ἀπεράντους αἰῶνας τῶν αἰώνων. Ὁ φθόνος τοῦ διαβόλου ἔφερε τὸν θάνατον εἰς τὸν κόσμον· « Ὁ Θεὸς ἔκτισε τὸν ἄνθρωπον ἐπ' ἀφθαρσίᾳ, καὶ εἰκόνα τῆς ἰδίας ἰδιότητος ἐποίησεν αὐτόν, φθόνῳ δὲ διαβόλου θάνατος εἰσῆλθεν εἰς τὸν κόσμον » (1). Ἐπειδὴ δὲ ὁ θάνατος σχίζει τὰ κατὰ φύσιν ἄσχιστα, καὶ κόπτει τοὺς φυσικωτάτους δεσμούς, καὶ χωρίζει τὰ πλασθέντα, ἵνα μένωσιν ἀχώριςα, ἤγουν τὴν ψυχὴν ἀπὸ τοῦ σώματος, διὰ τοῦτο ἐπιφέρει τόσην βάσανον, καὶ λύπην, καὶ φρίκην, διὰ τοῦτο βλέπεις εἰς τοὺς ψυχορραγοῦντας τόσην βίαν εἰς τὴν ἀναπνοήν, τόσους σπασμοὺς εἰς τὰ μέλη τοῦ σώματος, τόσον φοβερὸν ἀγῶνα εἰς ὅλην τοῦ σώματος τὴν οἰκονομίαν.

Προστίθεται εἰς τὴν ὥραν τοῦ θανάτου ἡ ὀξυτάτη θλίψις διὰ τὸν παντελῆ χωρισμὸν ἀπὸ τοῦ κόσμου, καὶ πάντων τῶν ἐν τῷ κόσμῳ πραγμάτων. Πόσον λυπεῖται τότε ὁ βασιλεύς, βλέπων, ὅτι μετ' ὀλίγον ςερεῖται τῆς βασιλείας, καὶ γίνεται ἰδιώτης; πόσον ὁ ἄρχων, βλέπων, ὅτι γυμνοῦται τῆς ἰδίας ἐξουσίας, καὶ γίνεται ὡς εἷς τῶν ὑποχειρίων; πόσον ὁ πλούσιος, ὁρῶν ὅτι ὁ πλοῦτος αὐτοῦ μένει εἰς τὴν γῆν, αὐτὸς δὲ ἀπέρχεται πτωχὸς καὶ πένης; πόσον ἡ φιλόστοργος γυνή, βλέπουσα, ὅτι χωρίζεται τοῦ ἰδίου ἀνδρός, καὶ πόσον ἡ φιλότεκνος μήτηρ, βλέπουσα, ὅτι ἐγκαταλείπει τὰ φίλτατα αὐτῆς τέκνα; πόσον λυπεῖται τότε πᾶσα ψυχὴ ἀνθρώπου, αἰσθανομένη ὅτι ἀποσπᾶται τοῦ ἰδίου αὐτῆς σώματος; Ἐπειδὴ δέ, ὅσον ἀτονεῖ τὸ σῶμα, τόσον ἡσυχάζουσι τὰ τούτου πάθη, ὅσα τὴν ψυχὴν ἐσκότιζον· ὅσον δὲ ἡ ψυχὴ μένει ἐλευθέρα τῆς τῶν παθῶν τοῦ σώματος τρικυμίας, τόσον βλέπει τελειότερα καὶ τῆς ἁμαρτίας τὸ βάρος, καὶ τῆς κρίσεως τὴν δικαιοσύνην, καὶ τῆς ἀνταποδόσεως τὴν αἰωνιότητα· διὰ τοῦτο εἰς τὴν ὥραν τοῦ θανάτου διακρίνει ἡ ψυχὴ ἐντελῶς, ποίας βασιλείας ἐστέρησεν αὐτὴν ἡ ἁμαρτία, καὶ ποίας κολάσεως

(1) Σοφ. 2, 23, 24.



ἐποίησεν αὐτὴν ὑπόδικον· ἐκ τούτου τότε οἱ ἔλεγχοι τῆς συνειδήσεως γίνονται βαρύτατοι καὶ ἀφόρητοι· μαστίζει αὐτὴ τότε σφοδρότατα· ὁ Θεὸς ἔδωκέ σοι, λέγει, τὸν πλοῦτον, ἵνα ἐλεῇς τοὺς πτωχούς, σὺ δὲ δι' αὐτοῦ εὐηρέστησας τῆς σαρκός σου τὰς ἐπιθυμίας· ὁ Θεὸς ἔδωκέ σοι τὸ ἀξίωμα καὶ τὴν ἐξουσίαν, ἵνα ὑπερασπίζῃς τοὺς ἀδίκως δυναστευομένους, σὺ δὲ ἐδυνάστευσας τὸν ὀρφανόν, καὶ ἠδίκησας τὴν χήραν· ἡ ὑγεία σου οὐκ ἐγένετό σοι ὄργανον ἀρετῆς, ἀλλ' ἀφορμὴ ἀσωτείας· ἡ ἀσθένεια οὐκ ἐγένετό σοι ὄργανον ὑπομονῆς, ἀλλ' ἀφορμὴ γογγυσμοῦ καὶ ἀδημονίας· ἐκ τῆς ἀμελείας σου, καὶ τοῦ κακοῦ σου παραδείγματος διεστράφησαν τὰ τέκνα σου, καὶ ἐγένοντο ἄνθρωποι πονηροὶ καὶ διεστραμμένοι· ἐκ τῆς ὀλιγοπιστίας, καὶ ἀπροσεξίας σου ηὔξησαν τὰ σκάνδαλα, καὶ ἐπλήθυνεν ἡ ἁμαρτία· μετανοίας ἐστὶ χρεία, ἐξομολογήσεως δακρύων κραυγάζει ἡ συνείδησις, ἀλλὰ τῆς ψυχῆς τὸ ὄργανον, ἤγουν τὸ σῶμα, δι' οὗ ταῦτα γίνονται, ἐκνενευρισμένον, καὶ σχεδὸν νενεκρωμένον, οὐ δύναται συνεργῆσαι πρὸς τὸ ἔργον τῆς μετανοίας· ἐκ τούτου ὁ ἀπελπισμὸς ἄλλη βάσανος, τῶν προειρημένων σκληροτέρα.

Ὦ ποία ὥρα τότε! πάσχει τὸ σῶμα, πάσχει ἡ ψυχή, πάσχει ὁ νοῦς, πάσχει ἡ συνείδησις· βασανίζουσιν οἱ πόνοι, βασανίζει ἡ θλίψις, βασανίζει ὁ σκληρὸς τῆς συνειδήσεως ἔλεγχος, φλογίζει καὶ κατακαίει ὁ ἀπελπισμός· ὢ ποία ὥρα τότε! Ἀλλ' ἆρά γε οὐκ ἔστιν ἰατρός, οὐκ ἔστι βοτάνη, οὐκ ἔστιν ἔμπλαστρον, οὐκ ἔστι τρόπος τοῦ φυγεῖν τὸν θάνατον; οὐδείς· « Τίς ἐστιν ἄνθρωπος, ὃς ζήσεται, καὶ οὐκ ὄψεται θάνατον (1); μετὰ τὴν θείαν ἐντολήν, « Ἀπὸ δὲ τοῦ ξύλου τοῦ γινώσκειν καλὸν καὶ πονηρόν, οὐ φάγεσθε ἀπ' αὐτοῦ » (2)· καὶ μετὰ τὴν θείαν ἀπόφασιν· « Ἧ δ' ἂν ἡμέρᾳ φάγητε ἀπ' αὐτοῦ, θανάτῳ ἀποθανεῖσθε »· καὶ μετὰ τὴν παράβασιν τῆς ἐντολῆς, οὐδεὶς δύναται φυγεῖν τοῦ θανάτου τὴν μάχαιραν, ἀλλ' « ἀπόκειται τοῖς ἀνθρώποις ἅπαξ ἀποθανεῖν » (3)· οὐδεὶς δὲ δύναται μεταστρέψαι ταύτην τοῦ Θεοῦ τὴν ἀπόφασιν, μένει δὲ αὐτὴ ἀμετάβλητος καὶ ἀμετάτρεπτος· οὐδὲ τὸ πάθος, οὐδὲ ὁ ςαυρός, οὐδὲ τὸ αἷμα, οὐδὲ ὁ θάνατος τοῦ Ἰησοῦ Χριστοῦ μετέβαλεν αὐτήν· διότι καὶ μετὰ Χριστὸν πάντες ἀποθνήσκουσι, καθὼς καὶ πρὸ Χριστοῦ, πάντες μεταβαλλόμεθα εἰς γῆν, ἐξ ἧς ἐλήφθημεν, κατὰ τὸν τοῦ Θεοῦ ὁρισμόν, « Ὅτι γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ » (4). Διὰ τοῦτο δὲ καὶ αὐτὸς ὁ Θεάνθρωπος καὶ Σωτὴρ ἡμῶν οὐκ εἶπεν, ὁ πιστεύων εἰς ἐμὲ οὐκ ἀποθνήσκει, ἀλλ' ἐκήρυξε, λέγων· « Ὁ πιστεύων εἰς ἐμέ, κἂν ἀποθάνῃ, ζήσεται » (5).

Ἡ ἀπόφασις τοῦ θανάτου ἔμεινεν ἀμετάβλητος, ὅμως τὰς ὠδῖνας αὐτῆς ἔλυσε, καὶ κατήργησεν ὁ θεός, ἐκ νεκρῶν ἀναστήσας τὸν Ἰησοῦν Χριστόν, « Ὃν ὁ θεός, λέγει ὁ θεομακάριστος Πέτρος, ἀνέστησε, λύσας τὰς ὠδῖνας τοῦ θανάτου (6) ». Ἄκουσον δὲ ταύτης τῆς ἀληθείας τὴν ἀπόδειξιν. Ποῖαί εἰσι τοῦ θανάτου αἱ ὠδῖνες; πρώτην ὀδύνην προξενεῖ ὁ θάνατος εἰς τὸν ἄνθρωπον, πληροφορῶν αὐτόν, ὅτι αὐτὸς διαλύει, καὶ φθείρει παντελῶς τὴν τούτου ὕπαρξιν. Ἀληθῶς δὲ πρὸ τῆς ἀναστάσεως τοῦ Ἰησοῦ Χριστοῦ ἔμεινε μὲν ἡ ψυχὴ ἀθάνατος, πλὴν διελύετο τοῦ ἀνθρώπου τὸ

(1) Ψαλ. 88, 48. (2) Γεν. 2, 17. (3) Ἑβρ. 9, 27. (4) Γεν. 3, 19. (5) Ἰωάν. 11, 25. (6) Πράξ. 2, 24.

σῶμα, καὶ ἐφθείρετο τοῦ ἀνθρώπου ἡ ὑπόστασις, καὶ οὐδέποτε οὐδὲ ἡ ψυχὴ ἐπέστρεφεν εἰς τὸ ἴδιον σῶμα, οὐδὲ ἀνίστατο ἄνθρωπος ἐκ νεκρῶν, ἵνα μηκέτι ἀποθάνῃ, ἀλλὰ ζήσῃ εἰς τὸν αἰῶνα· μετὰ δὲ τὴν τοῦ Χριστοῦ ἀνάστασιν ἐδόθη πᾶσι τοῖς νεκροῖς τῆς ἀναστάσεως τὸ χάρισμα. « Χριστὸς » ἐγήγερται ἐκ νεκρῶν· ἀπαρχὴ τῶν κεκοι» μημένων ἐγένετο· ἐπειδὴ γὰρ δι' ἀνθρώ» που ὁ θάνατος, καὶ δι' ἀνθρώπου ἀνάσα» σις νεκρῶν· ὥσπερ γὰρ ἐν τῷ 'Αδὰμ » πάντες ἀποθνήσκουσιν, οὕτω καὶ ἐν τῷ » Χριστῷ πάντες ζωοποιηθήσονται » (1). 'Επειδὴ δέ, ὅταν ἀναστηθῶμεν ἐκ νεκρῶν, τότε « 'Αρπαγησόμεθα ἐν νεφέλαις εἰς ἀπάν» τησιν τοῦ Κυρίου εἰς ἀέρα, καὶ οὕτω » πάντοτε σὺν Κυρίῳ ἐσόμεθα » (2)· ὁ δὲ Κύριος, μεθ' οὗ πάντοτε ἐσόμεθα, ζῇ εἰς τοὺς αἰῶνας, φανερόν ἐστιν, ὅτι ἀνιστάμεθα, ἵνα μηκέτι ἀποθάνωμεν, ἀλλὰ ζῶμεν διαπαντός· ὁ θάνατος οὖν κατεστάθη ὕπνος, ἐπειδὴ ἐξουδένωσεν ὁ Χριστὸς τῆς ὀδύνης τὸ αἴτιον· διὰ τοῦτο δὲ ἔλεγεν ὁ Παῦλος· « Ποῦ σου, θάνατε, τὸ κέντρον; ποῦ σου, » ᾅδη, τὸ νῖκος » (3); Τί οὖν λυπεῖσαι, ὦ ἄνθρωπε; τί ὀδυνᾶσαι; ἀποθνήσκεις· ἀλλὰ πάλιν ἀνίστασαι· καθὼς κοιμᾶσαι, καὶ πάλιν ἐγείρεσαι. Πρὸ τῆς Χριστοῦ ἀνασάσεως ὁ θάνατος ἔφερεν ἀνυπαρξίαν εἰς τὴν ὑπόστασίν σου, ἀλλὰ μετὰ τὴν Χριστοῦ ἀνάστασιν ἐπανῆλθεν ἡ ὕπαρξις τῆς ὑποστάσεώς σου. Ἡ ἀνάστασις οὖν τοῦ Χριστοῦ κατέλυσε, καὶ ἐξηφάνισε τὸ αἴτιον τῆς ὀδύνης τοῦ θανάτου· ὅστις οὖν πιςεύει, καὶ ἐλπίζει εἰς αὐτόν, ἐστὶν ἀνώτερος ταύτης τῆς ὀδύνης· διότι ὁ Χριστὸς ἐδίδαξε μὲν διὰ λόγου, ὅτι, κἂν ἀποθάνωμεν, ἀναστησόμεθα, καὶ ζήσωμεν. « Ὁ πιστεύων εἰς » ἐμέ, κἂν ἀποθάνῃ, ζήσεται » (4)· ἔδειξε δὲ ἐμπράκτως, ὅτι οἱ νεκροὶ ἀνίστανται, ἐκ νεκρῶν ἀναστάς, καὶ ζῶν εἰς τὸν αἰῶνα. « Χριστὸς ἐγερθεὶς ἐκ νεκρῶν, οὐκέτι ἀπο» θνήσκει, θάνατος αὐτοῦ οὐκέτι κυ» ριεύει » (5).

Δευτέρα τοῦ θανάτου ὀδύνη ἐστὶν ἡ θλίψις διὰ τὸν χωρισμὸν ἀπὸ τοῦ κόσμου, καὶ διὰ τὴν στέρησιν τῶν ἐν τῷ κόσμῳ πραγμάτων· ἔπαυσεν ὁ Χριστὸς καὶ ταύτην τὴν ὀδύνην, ὑποσχεθεὶς εἰς τοὺς εἰς αὐτὸν πιστεύοντας τρυφὴν ἐπουράνιον, καὶ δόξαν ἀμάραντον, καὶ βασιλείαν αἰώνιον. « Κἀ» γώ, εἶπε, διατίθεμαι ὑμῖν, καθὼς διέθετό » μοι ὁ πατήρ μου βασιλείαν· ἵνα ἐσθίητε, » καὶ πίνητε ἐπὶ τῆς τραπέζης μου ἐν τῇ » βασιλείᾳ μου » (6). Ποῖον οὖν τόπον ἔχει εἰς ἐμὲ ἡ λύπη, ὅταν ἐγὼ πιστεύω καὶ ἐλπίζω, ὅτι, ἀφ' οὗ ἀποθάνω, ἐγκαταλείπω μὲν τὰ ἀγαθά, τὰ λυπηρά, καὶ φθαρτά, καὶ πρόσκαιρα, ἔρχομαι δὲ εἰς τὰ πανευφρόσυνα, καὶ ἄφθαρτα, καὶ ἀτελεύτητα; φεύγω τὰ σκύβαλα, καὶ πορεύομαι εἰς τὰ βασίλεια· ἀναχωρῶ ἀπὸ τῆς ζάλης τῶν παθῶν μου, καὶ καταντῶ εἰς τὴν γαλήνην τῆς ἀπαθείας· λυτροῦμαι ἀπὸ τῆς πολυταράχου θαλάσσης τῆς κακίας τῶν ἀνθρώπων, καὶ φθάνω εἰς τοὺς εὐδίους λιμένας τῆς ἀγαθωσύνης τῶν ἁγίων· ἀφίημι τὴν γῆν, καὶ ἀναβαίνω εἰς τὸν οὐρανόν;

Τρίτη τοῦ θανάτου ὀδύνη ἐστὶν ὁ βασανιστικὸς τῆς συνειδήσεως ἔλεγχος· ἀλλὰ καὶ τοῦτον καταπραΰνει ἡ εἰς Χριστὸν πίστις, καὶ ἡ εἰς αὐτὸν ἐλπίς. Ἐὰν εἰς τὴν ὥραν τοῦ θανάτου πιστεύωμεν, ὅτι ὁ μονογενὴς Υἱὸς τοῦ θεοῦ ἐκ τῶν πατρικῶν κόλπων

(1) Α'. Κορ. 15, 20, 21, 22. (2) Α'. Θεσ. 4, 17. (3) Α'. Κορ. 15, 55. (4) Ἰωάν. 11, 25.
(5) Ῥωμ. 6, 9. (6) Λουκ. 22, 29. 30.



καταβὰς εἰς τὴν γῆν, καὶ γενόμενος ἄνθρωπος, ἔπαθε, καὶ ἐσταυρώθη, καὶ ἀπέθανεν, οὐχ ἵνα καλέσῃ τοὺς δικαίους, ἀλλὰ τοὺς ἁμαρτωλοὺς εἰς μετάνοιαν· ἐὰν εἰς τὴν ὥραν τοῦ θανάτου ἐνθυμηθῶμεν, ὅτι ὁ Ἰησοῦς Χριστὸς « ἦλθεν εἰς τὸν κόσμον ἁμαρ» τωλοὺς σῶσαι » (1), καὶ ἐλπίσωμεν τὴν ἀπόλαυσιν τῆς ἀναπαύσεως, ἣν ὑπεσχέθη, ὅτε εἶπε· « Δεῦτε πρός με πάντες οἱ κοπι» ῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύ» σω ὑμᾶς » (2), καὶ ἐν κατανύξει ὁμολογήσωμεν, ὅτι « οὐκ ἐξ ἔργων τῶν ἐν δικαιο» σύνῃ, ὧν ἐποιήσαμεν ἡμεῖς, ἀλλὰ κατὰ » τὸν αὐτοῦ ἔλεον ἔσωσεν ἡμᾶς » (3), ἡσυχάζει τῆς συνειδήσεως ἡ ἐπίπληξις, καὶ κατευνάζει τοῦ ἐλέγχου αὐτῆς ἡ βάσανος.

'Αλλ' ἆρά γε εἰς πάντας τοὺς εἰς Χριστὸν πιστεύοντας, καὶ ἐλπίζοντας λύονται τοῦ θανάτου αἱ ὠδῖνες; μετέχουσιν ἆρά γε πάντες οἱ πιστοὶ ταύτης τῆς χάριτος; 'Αδελφοί μου, μὴ πλανᾶσθε, ὅταν ἀκούητε τὸ ὄνομα τῆς πίστεως, νομίζοντες, ὅτι πᾶσα πίστις ὠφελεῖ, καὶ σώζει· διότι ἡ πίστις, ἡ γυμνὴ τῶν καλῶν ἔργων, ἐστὶν ἀνωφελής· πίστιν ἔχουσι καὶ τὰ δαιμόνια· διότι καὶ αὐτὰ πιστεύουσιν, ὅτι ἐστὶ θεός, καὶ φρίττουσιν ἀπὸ προσώπου τῆς δυνάμεως αὐτοῦ. « Καὶ τὰ δαιμόνια, λέγει ὁ θεῖος 'Ιάκωβος, » πιστεύουσι, καὶ φρίσσουσι » (4), πλὴν οὐδεν ὠφελεῖ αὐτὰ ἡ τοιαύτη πίστις, ἐπειδή εἰσι γυμνὰ τῆς ἀγάπης, καὶ πεπληρωμένα πάσης πονηρίας. Ὅταν οὖν ἀκούητε, ὅτι ἡ εἰς Χριστὸν πίστις ὠφελεῖ, νοήσατε πάντοτε ἐκείνην τὴν πίστιν, περὶ ἧς ὁ 'Απόστολος Παῦλος εἶπε· « Πίστις δι' ἀγάπης ἐνεργουμένη » (5), ἤγουν, πίστις, ἐνεργοῦσα τῆς ἀγάπης τὰ ἔργα· τοῦτο δέ ἐστι πίστις, καρποφοροῦσα τῶν ἀρετῶν τὴν καρποφορίαν· αὐτή ἐστιν ἡ πίστις ἡ σωτηριώδης· αὐτή ἐστιν ἡ πίστις, ἥτις γεννᾷ τὴν μετὰ λόγου ἐλπίδα, τὴν ἐλπίδα, τὴν ἔχουσαν θεμέλια ἀληθινά, καὶ στερεά, καὶ ἀκράδαντα· αὐτή ἐστιν ἡ πίστις, ἡ λύουσα τοῦ θανάτου τὰς ὠδῖνας· ταύτην τὴν πίστιν εἶχον πάντες οἱ ἅγιοι· ταύτην τὴν πίστιν εἶχεν ὁ Παῦλος, ὅθεν ἐνόμιζε τὸν θάνατον κέρδος· » 'Εμοὶ γάρ, ἔλεγε, τὸ ζῆν Χριστός, καὶ τὸ » ἀποθανεῖν κέρδος » (6)· καὶ οὐ μόνον οὐκ ἐφοβεῖτο, ἀλλὰ καὶ ἐπεθύμει τὸν θάνατον· « Τὴν ἐπιθυμίαν ἔχων, ἔλεγεν, εἰς τὸ ἀνα» λῦσαι, καὶ σὺν Χριστῷ εἶναι » (7). Ἡ τοιαύτη δὲ πίστις ἐγέννα εἰς τὴν καρδίαν αὐτοῦ τὴν εὐλογοφανῆ καὶ βεβαίαν ἐλπίδα τῆς ἀπολαύσεως τῶν ἐπουρανίων στεφάνων· διὸ μετὰ παῤῥησίας ἔγραφε· « Τὸν » ἀγῶνα τὸν καλὸν ἠγώνισμαι, τὸν δρόμον » τετέλεκα, τὴν πίςιν τετήρηκα· λοιπὸν ἀπό» κειταί μοι ὁ τῆς δικαιοσύνης ςέφανος, ὃν » ἀποδώσει μοι ὁ Κύριος ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, » ὁ δίκαιος κριτής » (8). Παρατήρησον δέ, τί εἶπε καὶ περὶ τῶν λοιπῶν πιστῶν ἀνθρώπων· « Οὐ μόνον δὲ ἐμοί, ἀλλὰ καὶ πᾶσι τοῖς » ἠγαπηκόσι τὴν ἐπιφάνειαν αὐτοῦ (9) ». οὐκ εἶπε, πᾶσι τοῖς πιστεύουσιν εἰς αὐτόν, ἀλλὰ πᾶσι τοῖς ἠγαπηκόσι τὴν ἐπιφάνειαν αὐτοῦ, ἵνα διὰ τούτου διδάξῃ, ὅτι ἐκείνους ὠφελεῖ ἡ πίστις, καὶ ἐκεῖνοι ἔχουσι βεβαίαν τῆς σωτηρίας τὴν ἐλπίδα, ὅσοι, πράξαντες τὰ ἔργα τῆς πίστεως, ἐπιθυμοῦσι τὴν ἡμέραν τῆς ἀνταποδόσεως, ἵνα λάβωσι τῶν ἀγώνων αὐτῶν τὸν στέφανον.

Μακάριος οὖν ἐκεῖνος ὁ ἄνθρωπος, ὅστις ἐθησαύρισεν εἰς τὴν ψυχὴν αὐτοῦ ταύτην τὴν σωτήριον πίστιν, ἐξ αὐτῆς δὲ καὶ τὴν

(1) Ματθ. 9, 13. Α'. Τιμ. 1, 15. (2) Ματθ. 11, 28. (3) Τίτ. 3, 5. (4) Ἰάκ. 2, 19. (5) Γαλ. 5, 6.
(6) Φιλιπ. 1, 21. (7) Αὐτ. 23, (8) Β'. Τιμ. 4, 7, 8. (9) Αὐτ.

μετὰ λόγου βεβαίαν ἐλπίδα· μακάριος ἐκεῖνος ὁ ἄνθρωπος, ὅστις πιστεύει εἰς τὸν Ἰησοῦν Χριστὸν οὐχὶ ἀκάρπως, ὥσπερ τὰ δαιμόνια, ἀλλὰ καρποφόρως, ὥσπερ οἱ ἅγιοι· ὅστις πιστεύει, πιστεύων δέ, πράττει τῆς πίστεως τὰ ἔργα· μακάριος, ὅστις οὐ μόνον πιστεύει, ἀλλὰ καὶ σωφρονεῖ, καὶ δικαιοπραγεῖ, καὶ ἀγαπᾷ καὶ ἐλεεῖ, καὶ προσεύχεται, καὶ νηστεύει, καὶ φυλάττει πάσας τὰς ἐντολὰς τοῦ θεοῦ, καὶ ἐργάζεται πᾶσαν ἀρετήν· ἐκεῖνος, ὅταν ἔλθῃ ἡ ὥρα τοῦ θανάτου αὐτοῦ, ἔχει τὴν συνείδησιν ἥσυχον ἐκ τῶν ἐλέγχων τῆς ἁμαρτίας, τὴν καρδίαν χαίρουσαν διὰ τὴν ἀπόλαυσιν τῶν αἰωνίων ἀγαθῶν, τὴν ψυχὴν ἐλπίζουσαν τὴν αἰώνιον ζωὴν καὶ μακαριότητα· ὅθεν εἰς ἐκεῖνον οὐδὲν ἰσχύουσιν αἱ ὠδῖνες τοῦ θανάτου· ἐκεῖνον περικυκλοῦσι τότε οἱ ἅγιοι ἄγγελοι, ἵνα παραλάβωσι τὴν ψυχὴν αὐτοῦ· ἐκεῖνος ψάλλει τότε μετὰ τοῦ Δαβίδ. « Ἐν εἰρήνῃ ἐπὶ τὸ αὐτὸ κοιμηθήσομαι, » καὶ ὑπνώσω » (1). Τρισάθλιοι δέ, ὅσοι ἔχουσι τὴν πίστιν τῶν δαιμόνων, πιστεύουσι δηλονότι εἰς τὸν Θεόν, ἀλλὰ περιφρονοῦσι τὰς ἐντολὰς αὐτοῦ· πιστεύουσιν, ἀλλ' οὐδέποτε πράττουσιν ἀρετῆς ἔργον· πιστεύουσιν, ἀλλ' οὐδέποτε μετανοοῦσιν· οὐαὶ εἰς αὐτούς· διότι ἐν τῇ ὥρᾳ τοῦ θανάτου αὐτῶν γίνονται φλογεραὶ τοῦ θανάτου αἱ ὠδῖνες, ἐξαπτόμεναι ὑπὸ τῶν δαιμόνων, τῶν περικυκλούντων αὐτούς, ἵνα ἁρπάσωσι τὴν ἀμετανόητον αὐτῶν ψυχήν· οὐαὶ εἰς αὐτούς· διότι « θάνατος ἁμαρτωλῶν πονηρός » (2).

# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΗΝ ΠΡΟΣ

## ΕΦΕΣΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

### ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗι ΚΥΡΙΑΚΗι ΜΕΤΑ ΤΑ ΦΩΤΑ.

ΔΥΩ δημιουργήματα ἔκτισεν ἡ παντοδύναμος τοῦ ὑψίστου δεξιά· τὸ μὲν ὑλικόν, καὶ τοῦτό ἐστιν ὁ κόσμος· τὸ δὲ πνευματικόν, καὶ τοῦτό ἐστιν ἡ ἐκκλησία· ἔχει δὲ ἡ ἐκκλησία μέρη δύο· τὸ μέν, ἐν τῷ οὐρανῷ, ὅπου οἱ ἄγγελοι καὶ τῶν δικαίων τὰ πνεύματα, ὄρος Σιὼν λεγόμενον, καὶ ἐπουράνιος Ἱερουσαλήμ, καὶ πανήγυρις, καὶ ἐκκλησία « Πρωτοτόκων ἐν οὐρανοῖς ἀπογεγραμμένων » (3)· τὸ δέ, ἐπὶ τῆς γῆς, ὅπου τῶν πιστῶν τὸ πλήρωμα, τοῦτο δέ ἐστιν οἶκος θεοῦ, « Στύλος καὶ ἑδραίωμα τῆς ἀληθείας » (4). Καθὼς δὲ ἀπ' ἀρχῆς κόσμου ἀρχὴν ἔλαβεν ἡ ἐν οὐρανῷ ἐκκλησία διὰ τῆς δημιουργίας τῶν ἀγγὲλων, οὕτω καὶ ἡ ἐπὶ γῆς· διότι οἱ μὲν πιστοὶ καὶ ἅγιοι ἄνθρωποι, οἱ ἀπὸ Ἀδὰμ ἕως Μωϋσέως ἦσαν ἡ πρὸ νόμου ἐκκλησία· οἱ δὲ ἀπὸ Μωϋσέως

(1) Ψαλ. 4, 8. (2) Αὐτ. 33, 21. (3) Ἑβρ. 12, 23. (4) Ἰώβ. 38, 7.



ἕως Χριστοῦ, ἡ ἐν νόμῳ· οἱ δὲ ἀπὸ Χριστοῦ ἕως τῆς τοῦ κόσμοο συντελείας, ἡ ἐν χάριτι· καὶ ἡ μὲν ἐν οὐρανῷ ἐστιν αἰώνιος καὶ ἀτελεύτητος· ἡ δὲ ἐπὶ γῆς λαμβάνει τέλος, ὅταν τελευτήσῃ ὁ κόσμος· εἰς τὰ μέλη δὲ τούτων τῶν δύο δημιουργημάτων διαφορὰς ἐσημείωσε καὶ ἀνισότητας ὁ πάνσοφος Παῦλος· καὶ περὶ μὲν τοῦ κόσμου εἶπεν· « Οὐ πᾶσα σὰρξ ἡ αὐτὴ σάρξ· ἀλλὰ » ἄλλη μὲν σὰρξ ἀνθρώπων, ἄλλη δὲ σὰρξ » κτηνῶν· ἄλλη δὲ ἰχθύων, ἄλλη δὲ πτη- » νῶν· καὶ σώματα ἐπουράνια, καὶ σώμα- » τα ἐπίγεια· ἀλλ' ἑτέρα μὲν ἡ τῶν ἐπου- » ρανίων δόξα, ἑτέρα δὲ ἡ τῶν ἐπιγείων· » ἄλλη ἡ δόξα ἡλίου, καὶ ἄλλη ἡ δόξα σε- » λήνης, καὶ ἄλλη ἡ δόξα ἀστέρων· ἀστὴρ » γὰρ ἀστέρος διαφέρει ἐν δόξῃ » (1). Περὶ δὲ τῆς ἐν οὐρανῷ ἐκκλησίας ἐφανέρωσεν, ὅτι ἐν αὐτῇ εἰσιν ἀρχάγγελοι ἄγγελοι, ἀρχαί, δυνάμεις, θρόνοι, κυριότητες, ἐξουσίαι (2),· περὶ δὲ τῆς ἐν γῇ ἐκκλησίας ἐκήρυξε, λέγων· « Καὶ αὐτὸς ἔδωκε τοὺς μέν, Ἀπο- » στόλους· τοὺς δέ, Προφήτας· τοὺς δέ, Εὐ- » αγγελιστάς· τοὺς δέ, ποιμένας καὶ διδα- » σκάλους » (3). Εἶχε δὲ καὶ ἡ πρὸ νόμου ἐκκλησία καὶ θυσιαστάς· μάρτυς τούτου ὁ Ἄβελ· καὶ πατριάρχας· μάρτυρες τούτου ὁ Ἀβραὰμ καὶ ὁ Ἰσαὰκ καὶ ὁ Ἰακώβ, καὶ οἱ ἐξ αὐτοῦ δώδεκα· καὶ ἱερεῖς· μάρτυς δὲ ὁ Μελχισεδέκ, ὅστις, « ἦν ἱερεὺς τοῦ θεοῦ τοῦ » ὑψίστου » (4)· ὁμοίως δὲ καὶ ἡ ἐν νόμῳ ἐκκλησία εἶχεν ἀρχιερεῖς, καὶ ἱερεῖς, καὶ Λευΐτας, καὶ λαόν· Ἵνα δὲ μηδεὶς πλανώμενος νομίσῃ, ὅτι οἱ τοιοῦτοι βαθμοὶ καὶ αἱ ἀνισότητες αἱ εἰς τὴν ἐκκλησίαν ὁρώμεναι, συνεστάθησαν ὑπὸ ἀνθρωπίνης ἐφευρέσεως καὶ τέχνης, διδάσκει ὁ θεῖος διδάσκαλος καὶ τό, ὑπὸ τίνος, καὶ τό, τίνι λόγῳ, καὶ τό, διὰ ποῖον τέλος ἐνομοθετήθησαν· ταῦτα δὲ περιέχει ἡ περικοπὴ τῆς πρὸς τοὺς Ἐφεσίους ἐπιστολῆς αὐτοῦ, ἡ σήμερον ἀναγνωσθεῖσα· Ἵνα δὲ περὶ τούτου πληροφορηθῆτε, ἀκούσατε προσεκτικῶς τὴν ταύτης ἑρμηνείαν.

*Ἀδελφοί, ἑνὶ ἑκάστῳ ἡμῶν ἐδόθη ἡ χάρις κατὰ τὸ μέτρον τῆς δωρεᾶς τοῦ Χριστοῦ* (5).

Ποῖόν ἐστι τὸ μέτρον τῆς δωρεᾶς τοῦ Χριστοῦ; Ἡ ἀρετή ἐστιν· αὐτὴ διορίζει τὸ μέτρον τῆς δωρεᾶς τοῦ Χριστοῦ· ὅσον περισσοτέρα ἐστὶν ἡ ἀρετὴ ὑμῶν, τόσον περισσότερόν ἐστι τὸ μέτρον τοῦ χαρίσματος τοῦ Χριστοῦ, τὸ ὑμῖν διδόμενον· ἐδίδαξε τοῦτο αὐτὸς ὁ Κύριος, εἰπών· « Δίδοτε, καὶ » δοθήσεται ὑμῖν· μέτρον καλόν, πεπιεσμέ- » νον καὶ σεσαλευμένον καὶ ὑπερεκχυνόμε- » νον δώσουσίν εἰς τὸν κόλπον ὑμῶν· τῷ » γὰρ αὐτῷ μέτρῳ, ᾧ μετρεῖτε, ἀντιμε- » τριθήσεται ὑμῖν » (6). Ἀλλὰ τοῦτο λέγεις, οὐκ ἔστι δωρεά, ἀλλ' ἀνταπόδομα. Δωρεά ἐστι, πρῶτον μέν, ἐπειδὴ ἡ ἀρετή ἐστιν ἔργον τῆς τοῦ Θεοῦ βοηθείας, καθότι ἡμεῖς χωρὶς αὐτοῦ οὐδεμίαν ἀρετὴν δυνάμεθα κατορθῶσαι, « χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν » οὐδέν » (7)· δεύτερον δέ, ἐπειδὴ τὸ χάρισμα τοῦ Θεοῦ οὐδεμίαν σύγκρισιν ἔχει τῇ ἀρετῇ ἡμῶν, ἀλλὰ καθ' ὑπερβολὴν ὑπερβαίνει αὐτήν. Πῶς οὖν ἡ ἀρετὴ μέτρον ἐςὶ τῆς δωρεᾶς τοῦ Χριστοῦ, μηδεμίαν μετ' αὐτῆς ἔχουσα σύγκρισιν; Ἀφορμὴν μόνον δίδωσιν εἰς τὸν Θεὸν ἡ ἀρετή, ἵνα ἐκχέῃ τὸ ἔλεος αὐτοῦ ἐφ' ἡμᾶς, ἡ μὲν πολλή, περισ-

(1) Α'. Κορ. 15, 39, 40, 41. (2) Α'. Θεσ. 4, 16. Ῥωμ. 8. 38, Κολ. 1, 16 (3) Ἐφεσ. 4, 11. (4) Γεν. 14, 18.
(5) Ἐφεσ. 4, 7. (6) Λουκ. 6, 38. (7) Ἰωάν. 15, 5.

σοτέραν, ἡ δὲ ὀλίγη, ὀλιγωτέραν· κατὰ τοῦτο δὲ ἡ ἀρετὴ γίνεται μέτρον τῆς μείζονος, ἢ ἐλάττονος δωρεᾶς τοῦ Χριστοῦ, κἂν μηδεμίαν ἔχῃ μετ' αὐτῆς σύγκρισιν. Χάριν δὲ κατὰ τὴν δωρεὰν τοῦ Χριστοῦ ὠνόμασεν ὁ Ἀπόστολος τοὺς ἐκκλησιαστικοὺς βαθμοὺς καὶ τὰ χαρίσματα (1), ὡς φανερόν ἐστιν ἐκ τῶν κατωτέρω ὑπ' αὐτοῦ λεγομένων. Σειμείωσον δὲ τό, « ἐδόθη », ἵνα πληροφορηθῇς, ὅτι τὰ τοιαῦτα χαρίσματα οὐκ ἐφευρέθησαν ὑπὸ τῆς ἐπινοίας τῶν ἀνθρώπων, ἀλλ' ἐδόθησαν ὑπὸ τῆς τοῦ Θεοῦ χάριτος· ἵνα δὲ τοῦτο ἀποδείξῃ, προβάλλει τὴν ἑξῆς ψαλμικὴν προφητείαν, λέγων·

*Διὸ λέγει· ἀναβὰς εἰς ὕψος, ᾐχμαλώτευσεν αἰχμαλωσίαν, καὶ ἔδωκε δόματα τοῖς ἀνθρώποις* (2).

Ὁ προφητάναξ Δαβὶδ ἔψαλλεν, « ἀναβὰς εἰς ὕψος, ᾐχμαλώτευσας αἰχμαλωσίαν· ἔλαβες δόματα ἐν ἀνθρώποις » (3). Διὰ τί οὖν ὁ θεόπνευστος Παῦλος προβάλλων τὴν μαρτυρίαν τούτου τοῦ προφητικοῦ λόγου, μεταβάλλει τὸν λόγον εἰς τρίτον πρόσωπον, ἀντὶ δὲ τοῦ, « ἔλαβε », λέγει, « ἔδωκεν; Ὁ μὲν Δαβὶδ ἱστορικῶς ἀναφέρων τὴν ἀπὸ τῆς αἰχμαλωσίας τοῦ Φαραὼ ἀπολύτρωσιν τοῦ Ἰσραηλιτικοῦ λαοῦ, μνημονεύει τὰ δάνεια, τὰ ὑπὸ τῶν Αἰγυπτίων δοθέντα εἰς τοὺς Ἰσραηλίτας. Ἐπειδὴ δὲ τοῦτο ἐγένετο διὰ τῆς συνεργείας τῆς θείας χάριτος, ὡς μαρτυρεῖ ἡ ἁγία Γραφή, λέγουσα· « Καὶ ἔδωκε Κύριος τὴν χάριν τῷ λαῷ αὐτοῦ ἐναντίον τῶν Αἰγυπτίων· καὶ ἐχρήσαντο αὐτοῖς· καὶ ἐσκύλευσαν τοὺς Αἰγυπτίους » (4)· διὰ τοῦτο ὁ προφήτης, ὑμνολογῶν ὑπὲρ τούτου τὸν Θεόν, εἰς αὐτὸν ἀναφέρει τό. ἔλαβες. Θεέ, λέγει, ὑψώθης καὶ ἐμεγαλύνθης, καταστήσας δούλους σου τοὺς Ἰσραηλίτας, τοὺς ὄντας αἰχμαλώτους καὶ δούλους τοῦ Φαραώ· ἔλαβες παρὰ τῶν Αἰγυπτίων δόματα, ἤγουν τὰ δάνεια, καὶ ἔδωκας αὐτὰ τοῖς Ἰσραηλίταις· ὁ δὲ θεόπνευστος Παῦλος, καθὼς ἀλληγορήσας τοὺς δύω υἱοὺς τοῦ Ἀβραὰμ καὶ τὴν Ἄγαρ καὶ τὴν Σάῤῥαν (5), ἐφανέρωσε τὰ ὑπ' αὐτῶν τυπούμενα, οὕτως ἁρμόσας ἀναγωγικῶς εἰς τὸν Χριστὸν τὰ ὑπὸ τοῦ Δαβὶδ εἰρημένα, ἐδηλοποίησε τὸ προφητικὸν καὶ μυστικὸν αὐτῶν νόημα· ἐξέλαβε τὸν Ἰσραηλιτικὸν λαόν, τὸν αἰχμάλωτον καὶ δοῦλον τοῦ Φαραώ, ὡς τύπον τοῦ γένους τῶν ἀνθρώπων, οἵτινες αἰχμάλωτοι ἦσαν καὶ δοῦλοι τοῦ διαβόλου, λατρεύοντες αὐτῷ διὰ τῆς προσκυνήσεως τῶν εἰδώλων, καὶ τὸ θέλημα αὐτοῦ ποιοῦντες διὰ τῶν πονηρῶν ἔργων· διὰ τοῦτο δὲ ἐλάλησεν ἐν τρίτῳ προσώπῳ, εἰπών· ἔδωκε, καὶ οὐχὶ ἔλαβεν· ἐπειδὴ ὁ Ἰησοῦς Χριστὸς οὐ παρὰ ἀνθρώπων ἔλαβε τὰ δόματα, ἀλλ' ἔχων πᾶσαν ἐξουσίαν « ἐν οὐρανῷ καὶ ἐπὶ γῆς » (6), ὑπὸ τοῦ Πατρὸς αὐτοῦ δοθεῖσαν αὐτῷ, ἔδωκε τοῖς εἰς αὐτὸν πιστεύουσι τὰ θεῖα αὐτοῦ χαρίσματα. « Ἀνέβη, λέγει, ὁ Ἰησοῦς Χριςὸς εἰς ὕψος », ἤγουν, ἀνελήφθη εἰς τὸν οὐρανόν· « ᾐχμαλώτευσε », τουτέστιν, εἵλκυσε καὶ ὑπέταξεν ὑπὸ τὴν ἐξουσίαν αὐτοῦ τὴν αἰχμαλωσίαν, ἤτοι τὸ αἰχμάλωτον ἀνθρώπων γένος, καὶ ἔδωκεν εἰς αὐτοὺς τὰ θεῖα αὐτοῦ δῶρα· ἥρμοσεν οὖν ὁ ἱερομύστης ταῦτα τὰ προφητικὰ λόγια εἰς τὸν Ἰησοῦν Χριστόν. κατὰ τὸ σύνηθες αὐτῷ, περὶ οὗ ἔλεγεν· « Αἰχμαλωτίζοντες πᾶν νόημα

(1) Ἐφεσ. 4, 11. (2) Αὐτ. 4, 8. (3) Ψαλ. 67, 18. (4) Ἐξ. 12, 36. (5) Γαλ. 4, 24.
(6) Ματθ. 28, 19.



εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ » (1)· ἅμα δὲ καὶ ἐδίδαξεν, ὅτι « περιαιρεῖται τὸ κάλυμμα » (2) τῆς παλαιᾶς διαθήκης, ὅταν ἁρμοσθῶσι τὰ λόγια αὐτῆς ἐπὶ τὸν Ἰησοῦν Χριστόν. Ἐπειδὴ δὲ ἀνέφερεν ἀνάβασιν, καταλιπὼν τοῦ λόγου αὐτοῦ τὴν σειρὰν ὡς ἐν παρεκβάσει, λέγει.

*Τὸ δέ, ἀνέβη, τί ἐστιν, εἰ μὴ ὅτι καὶ κατέβη εἰς τὰ κατώτερα μέρη τῆς γῆς* (3);

Ἡ ἀνάβασις οὐ σημαίνει πάντοτε κατάβασιν· διότι πολλάκις ἀναβαίνομεν, κἂν πρότερον οὐ κατέβημεν, ἀλλ' ἐξ ἀρχῆς εὑρισκόμεθα κάτω· εἰς τὸν Ἰησοῦν Χριςὸν δὲ κατ' ἐξοχὴν ἁρμόζει οὗτος ὁ ἀποςολικὸς λόγος, ἐπειδὴ ἡ ἀνάβασις αὐτοῦ σημαίνει, ὅτι πρῶτον κατέβη, ἔπειτα ἀνέβη. Ἄκουσον τοῦ λόγου τὴν σειράν. Ὁ Ἰησοῦς Χριςός, ὡς Υἱὸς καὶ λόγος τοῦ Θεοῦ ὁμοούσιος τῷ Πατρί, καὶ συνυπάρχων αὐτῷ, ἦν ἀπ' ἀρχῆς εἰς τοιοῦτον ἄπειρον ὕψος, ὥστε ἄλλο τούτου ὑψηλότερον οὐκ ἔστι· διότι ποῖον ἄλλο ὕψος, ὑψηλότερον τοῦ κόλπου τοῦ θεοῦ, ἐν ᾧ ἦν « ὁ μονογενὴς Υἱός, ὁ ὢν εἰς τὸν κόλπον τοῦ Πατρός » (4); Ἐπειδὴ δὲ ὁ Δαβὶδ προφητεύων περὶ τοῦ Χριστοῦ, εἶπεν, « Ἀναβὰς εἰς ὕψος », ἐκ τούτου ὁ Παῦλος συμπεραίνει, ὅτι ὁ Δαβὶδ διὰ τῆς ἀναβάσεως προεῖπε καὶ τὴν κατάβασιν. Ἀληθῶς δὲ νόμιμόν ἐστι τὸ συμπέρασμα· διότι ὁ μονογενὴς Υἱός, καθὸ θεός, πανταχοῦ παρών ἐστι, καὶ οὐδὲ τόπος ἐστίν, ἐν ᾧ αὐτὸς οὐκ ἔστιν, οὐδὲ ὕψος, ὑψηλότερον τοῦ ὕψους, ἐν ᾧ αὐτός ἐστιν. Ἐπειδὴ οὖν ὁ προφήτης εἶπεν, ὅτι ἀνέβη, ἐξ ἀνάγκης ὡμολόγησε κατάβασιν, προϋπάρξασαν τῆς ἀναβάσεως· ὡμολόγησε διὰ τῆς ἀναβάσεως, ὅτι κατέβη πρῶτον ἐκ τοῦ οὐρανοῦ, ἤγουν « ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβών, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος· καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος, ἐταπείνωσεν ἑαυτόν, γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ ςαυροῦ » (5)· κατέβη εἰς τὰ κατώτερα μέρη τῆς γῆς, τουτέστιν εἰς τὸν τάφον, ἐν ᾧ ἐτάφη, κατὰ τό, « Ἔθεντό με ἐν λάκκῳ κατωτάτῳ, ἐν σκοτεινοῖς καὶ ἐν σκιᾷ θανάτου » (6), καὶ κατὰ τό, « Ἡ ὑπόστασίς μου ἐν τοῖς κατωτάτοις τῆς γῆς » (7)· ἔτι δὲ καὶ εἰς τὸν ᾅδην, καθὼς ὁ προφήτης, καὶ προπάτωρ αὐτοῦ προηγόρευσεν, εἰπών. « Οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδην, οὐδὲ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν » (8). Πρῶτον οὖν κατέβη ἐξ οὐρανοῦ, μὴ χωρισθεὶς τῶν κόλπων τοῦ Πατρός, καὶ γενόμενος ἄνθρωπος, ἀπέθανε, καὶ ἐτάφη, καὶ ἀνέστη· ἔπειτα ἀναληφθεὶς ἀνέβη ὡς ἄνθρωπος εἰς τὸν οὐρανόν, « Καὶ ἐκάθισεν ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγαλωσύνης ἐν τοῖς οὐρανοῖς » (9). Ἵνα δὲ μηδεὶς στοχασθῇ, ὅτι ἄλλος ἐστὶν ὁ καταβὰς ἐξ οὐρανοῦ, καὶ ἄλλος ὁ ἀναβάς, ἐπάγει, λέγων.

*Ὁ καταβάς, αὐτός ἐστι καὶ ὁ ἀναβὰς ὑπεράνω πάντων τῶν οὐρανῶν, ἵνα πληρώσῃ τὰ πάντα* (10).

Ἀκούων κατάβασιν, μὴ νομίσῃς τόπου μετάθεσιν· διότι συγκατάβασις γέγονε θεϊκή, οὐ μετάβασις δὲ τοπική· ἀλλὰ κένωσιν νόησον, ταπείνωσιν, ἐνανθρώπησιν, ὡς

(1) Β'. Κορ. 10, 5. (2) Αὐτ. 3, 16. (3) Ἐφεσ. 4, 9. (4) Ἰωάν. 1, 18. (5) Φιλιπ. 2, 7, 8.
(6) Ψαλ. 87, 6. (7) Αὐτ. 138, 15. (8) Αὐτ. 15, 15, 10. (9) Ἑβρ. 8, 1. (10) Ἐφεσ. 4, 10.

ἀλλαχοῦ ἐδίδαξεν ὁ αὐτὸς Ἀπόστολος (1)· οὐκ ἄλλος δέ ἐστιν ὁ ἐξ οὐρανοῦ καταβάς, καὶ ἄλλος ὁ εἰς αὐτὸν ἀναβάς, ἀλλ' εἷς καὶ ὁ αὐτὸς Υἱὸς τοῦ θεοῦ ἐστιν ὁ ἐξ οὐρανοῦ καταβάς, καὶ ἐν τῇ μήτρᾳ τῆς ἀειπαρθένου μητρὸς σαρκωθείς, καὶ ὁ εἰς τὸν οὐρανὸν ἀναβὰς κατέβη εἰς τὴν γῆν ὡς θεός, ἀνέβη εἰς τὸν οὐρανὸν ὡς ἄνθρωπος· κατέβη μὲν ἄσαρκος, ἀνέβη δὲ σεσαρκωμένος· ἀνέβη δὲ λέγει, « Ὑπεράνω πάντων τῶν οὐρανῶν. Περὶ δὲ τούτου σημείωσον, ὅτι τρεῖς εἰσιν οἱ οὐρανοί· δύο μὲν ἀναφέρει ὁ Μωϋσῆς, λέγων· « Ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐ» ρανόν, καὶ τὴν γῆν » (2)· ἰδοὺ ὁ εἷς· « Καὶ εἶπεν ὁ θεός, γενηθήτω στερέωμα, » καὶ ἐκάλεσεν ὁ θεὸς τὸ στερέωμα, οὐρανόν »· ἰδοὺ καὶ ὁ ἕτερος· ἐπειδὴ δὲ ἀκούομεν, ὅτι ἡ θεία γραφὴ ὠνόμασε τὰ πετεινὰ τὰ ἐν τῇ ἀτμοσφαίρᾳ πετόμενα, « πετεινὰ » τοῦ οὐρανοῦ » (3), φανερόν, ὅτι καὶ ἡ ἀτμοσφαῖρα λέγεται οὐρανός (4)· ἰδοὺ οὖν οἱ τρεῖς οὐρανοί· ἐκ τούτου οἱ Ἑβραῖοι εἰς τρία μέρη διῃρημένον νοοῦντες τὸν οὐρανόν, τὸ μὲν κατώτερον ὀνομάζουσι, νεφελοφόρον· τὸ δὲ ἀνώτερον, ἀστεροφόρον· τὸ δὲ ἀνώτατον, ἀγγελοφόρον. Ὑπεράνω οὖν πάντων τούτων τῶν οὐρανῶν ἀναβὰς ὁ Ἰησοῦς Χριστός, « ἐκάθισεν ἐκ δεξιῶν τοῦ θεοῦ » (5)· ἀνέβη δέ, ἵνα καὶ μετὰ σαρκὸς πληρώσῃ τὰ πάντα τῆς δεσποτείας αὐτοῦ (6), καθὼς πρὸ τῆς σαρκώσεως ἐπλήρου τὰ πάντα τῇ δυνάμει τῆς ἑαυτοῦ θεότητος. Ἔχει δὲ καὶ ἄλλο νόημα οὗτος ὁ λόγος· ἀνέβη, ἵνα διὰ τῆς ἀποστολῆς τοῦ παναγίου πνεύματος πληρώσῃ πάντας τοὺς εἰς αὐτὸν πιστεύοντας τῶν θείων αὐτοῦ χαρισμάτων· τοῦτο δὲ τὸ νόημα οὐ μόνον συμφωνεῖ μετὰ τοῦ, « ἵνα πληρωθῆτε εἰς πᾶν τὸ πλήρωμα τοῦ » θεοῦ » (7), ἀλλὰ καὶ μετὰ τῶν ἑξῆς λόγων, δι' ὧν ἐπιστρέφων εἰς τὸν πρῶτον αὐτοῦ σκοπόν, τὴν διανομὴν δηλονότι τοῦ μέτρου τῆς δωρεᾶς τοῦ Χριστοῦ, λέγει.

**Καὶ αὐτὸς ἔδωκε, τοὺς μέν, Ἀποστόλους· τοὺς δέ, Προφήτας· τοὺς δέ, Εὐαγγελιστάς· τοὺς δέ, ποιμένας καὶ διδασκάλους (8).**

Ἀπόστολοι ἦσαν οἱ ὑπὸ τοῦ Κυρίου Ἰησοῦ ἐκλεχθέντες, καὶ ἀποσταλέντες, ἵνα κηρύξωσι τῆς εὐσεβοῦς πίστεως τὰ δόγματα, καὶ τῆς χρηστοηθείας τὴν νομοθεσίαν (9)· ἦσαν δὲ οὗτοι οἱ δώδεκα, καὶ οἱ ἑβδομήκοντα, ἔτι δὲ καὶ ὁ θεόκλητος Παῦλος. Προφήτας δὲ λέγει, οὐχὶ τοὺς πρὸ Χριστοῦ προφητεύσαντας, ἀλλὰ τοὺς μετὰ Χριστὸν προλέγοντας τὰ μέλλοντα γενέσθαι· τοιοῦτοι προφῆται, ἅμα δὲ καὶ διδάσκαλοι ἦσαν « ὅ,τε Βαρνάβας, καὶ Συμε» ών, ὁ καλούμενος Νίγερ, καὶ Λούκιος ὁ » Κυρηναῖος, Μαναήν τε, Ἡρώδου τοῦ » τετράρχου σύντροφος, καὶ Σαῦλος » (10)· ὁμοίως καὶ ὁ Ἰούδας, καὶ ὁ Σίλας, ἔτι δὲ καὶ οἱ κατελθόντες « ἀπὸ Ἱεροσολύμων » προφῆται εἰς Ἀντιόχειαν » (11)· μεταξὺ δὲ τούτων καὶ ὁ Ἄγαβος, ὅστις προεῖπε τὸν μέγαν λιμόν, τὸν « ἐπὶ Κλαυδίου Καίσαρος » (12), καὶ τὰ ἐν Ἱεροσολύμοις δεσμὰ τοῦ Παύλου, πρὸς τούτοις δὲ καὶ αἱ τέσσαρες παρθένοι, θυγατέρες Φιλίππου, τοῦ ἑνὸς τῶν ἑπτὰ διακόνων· Εὐαγγελισταὶ δὲ ἦσαν αὐτοὶ οἱ τῶν ἁγίων Εὐαγγελίων συγγραφεῖς, καὶ ἄλλοι τινές, οἱ πανταχοῦ ἀπεριορίστως περιερχόμενοι, καὶ κηρύττον-

(1) Φιλιπ. 2, 7, 8. (2) Γεν. 1, 1, 6, 8. (3) Ψαλ. 8, 8. (4) Ὅρ. τοὺς Ἱερ. Κριτ. ἐν κ. 12. τῆς πρὸς Κορ. ἐπισ. (5) Πράξ. 7, 55. (6) Ὅρ. Οἰκουμ. καὶ Θεοφύλ. Αὐτ. (7) Ἐφεσ. 3, 19. (8) Αὐτ. 4, 11. (9) Ματθ. 10, 5. Λουκ. 10, 1. Πράξ. 26, 17. (10) Πράξ. 13, 1. (11) Αὐτ. 15, 32. (12) Αὐτ. 11, 27, 28.



τες τὸ Εὐαγγέλιον (1)· τοιοῦτοι ἦσαν οἱ « Κύπριοι, καὶ Κυρηναῖοι, οἵτινες εἰσελθόν» τες εἰς Ἀντιόχειαν, ἐλάλουν πρὸς τοὺς » Ἑλληνιστάς, Εὐαγγελιζόμενοι τὸν Κύ» ριον Ἰησοῦν » (2)· Εὐαγγελιστὴς δὲ ἦν καὶ αὐτὸς ὁ τρισμακάριος Φίλιππος, ὁ τῶν προφητίδων πατήρ (3), Ποιμένες δὲ ἦσαν οἱ κατὰ πόλιν καὶ χώραν διωρισμένοι πρὸς τὸ ποιμαίνειν τὴν ἐκεῖ ἐκκλησίαν· τοιοῦτοι δὲ ἦσαν ὁ Τιμόθεος καὶ ὁ Τίτος, ὁ μὲν τῆς Ἐφέσου, ὁ δὲ τῆς Κρήτης ἐπίσκοπος· τοὺς αὐτοὺς δὲ διδασκάλους ὠνόμασεν ὁ Παῦλος, συνδήσας τὰ δύο ὀνόματα, καὶ εἰπών, » ποιμένας καὶ διδασκάλους », καθότι παντὸς ἐκκλησιαστικοῦ ποιμένος ἐπάγγελμα καὶ χρέος ἀπαραίτητόν ἐστι τὸ διδάσκειν. Ταῦτα, λέγει, τὰ πνευματικὰ χαρίσματα, ἤγουν τὸ ἀποστολικόν, τὸ προφητικόν, τὸ Εὐαγγελιστικόν, τὸ ποιμαντικὸν καὶ διδασκαλικόν, αὐτὸς ὁ Κύριος ἔδωκε τοῖς ἀνθρώποις· ἐφανέρωσε δὲ διὰ τῶν ἑξῆς καὶ τό, διὰ ποῖον τέλος ἔδωκε ταῦτα τὰ χαρίσματα.

**Πρὸς τὸν καταρτισμὸν τῶν ἁγίων, εἰς ἔργον διακονίας, εἰς οἰκοδομὴν τοῦ σώματος τοῦ Χριστοῦ (4).**

Πολλαχοῦ ἁγίους ὀνομάζει ὁ Παῦλος τοὺς πιστούς, καθότι διὰ τοῦτο προσεκλήθησαν ὑπὸ θεοῦ εἰς τὴν πίστιν, ἵνα κατασταθῶσιν ἅγιοι, καὶ καθότι πᾶς ὁ ὢν τῇ ἀληθείᾳ πιστός, ποιεῖ ἔργα ἅγια· σῶμα δὲ Χριστοῦ ἐστιν ἡ ἐκκλησία· « Ἀνταναπληρῶ, λέγει, τὰ « ὑστερήματα τῶν θλίψεων » τοῦ Χριστοῦ ἐν τῇ σαρκί μου ὑπὲρ τοῦ » σώματος αὐτοῦ, ὅ ἐστιν ἡ ἐκκλησία » (5). ἡ ἐκκλησία δέ, ἤγουν οἱ εἰς Χριστὸν πιστεύοντές εἰσι τὸ μυστικὸν σῶμα τοῦ Ἰησοῦ Χριστοῦ, ἐπειδὴ αὐτοὶ συνηνωμένοι εἰσὶ μετ' αὐτοῦ. « Ὅσοι γάρ, λέγει, εἰς Χριςὸν » ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε » (6). Ἀκούεις δέ, διὰ ποῖον σκοπὸν καὶ τέλος δίδωσιν ὁ θεὸς εἰς τοὺς ἀνθρώπους τὰ πνευματικὰ ἐπαγγέλματα καὶ ἀξιώματα; « πρὸς καταρτισμόν, λέγει, τῶν ἁγίων », ἵνα καταρτίζωσι δηλονότι καὶ ἀναβιβάζωσιν εἰς τὴν πνευματικὴν τελειότητα τοὺς πιστούς. « Εἰς ἔργον διακονίας », ὅπερ ἐστίν, ἵνα ὑπηρετῶσι τοὺς πιστοὺς εἰς τὰς πνευματικὰς αὐτῶν χρείας· « εἰς οἰκοδομὴν » τοῦ σώματος τοῦ Χριστοῦ », τουτέστιν, ἵνα ἐπιστρέφοντες τοὺς ἀπίστους καὶ ἁμαρτωλούς, καὶ ἐπιστηρίζοντες τοὺς πιστοὺς καὶ φιλαρέτους, αὐξάνωσι τὴν τοῦ Χριστοῦ ἐκκλησίαν. Οὐαὶ οὖν εἰς ἐκείνους, ὅσοι λαμβάνοντες τὰ ἐκκλησιαστικὰ ἀξιώματα καὶ χαρίσματα, μετέρχονται αὐτὰ οὐχὶ πρὸς καταρτισμόν, καὶ ὑπηρεσίαν, καὶ οἰκοδομὴν τῶν πιστῶν, ἀλλὰ πρὸς ἴδιον κέρδος, καὶ ἀνάπαυσιν, καὶ τιμήν. Ἄκουσον δὲ καὶ τό, ἕως πότε οἱ λαμβάνοντες τὰ τοιαῦτα χαρίσματα χρέος ἔχουσιν, ἵνα ἐπιμένωσι πρὸς τὴν ἐργασίαν τῆς εἰς αὐτοὺς δοθείσης διακονίας.

**Μέχρι καταντήσωμεν οἱ πάντες εἰς τὴν ἑνότητα τῆς πίστεως, καὶ τῆς ἐπιγνώσεως τοῦ Υἱοῦ τοῦ θεοῦ, εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ (7).**

Ἑνότης τῆς πίστεώς ἐστιν ἡ συμφωνία καὶ ὁμογνωμοσύνη εἰς τὰ ὀρθὰ δόγματα

(1) Πράξ. 21, 11. Αὐτ. 9. Ὅρ. Θεοφ. καὶ Οἰκουμ. Αὐτ. (2) Ὅρ. κ. 37, β. 3. Ἐκκλ. ἱς. Εὐσ. Πράξ. 11, 20. (3) Πράξ. 21, 8. (4) Ἐφεσ. 4, 12. (5) Κολ. 1, 24. (6) Γαλ. 3, 27. (7) Ἐφεσ. 4, 13.

τῆς πίστεως, καὶ εἰς τὰ ἅγια τοῦ Εὐαγγελίου νομοθετήματα. « Πληρώσατέ μου, ἔ» λεγεν ὁ Ἀπόστολος, τὴν χαράν, ἵνα τὸ » αὐτὸ φρονῆτε, τὴν αὐτὴν ἀγάπην ἔχον» τες, σύμψυχοι, τὸ ἓν φρονοῦντες » (1). ἐπίγνωσις δὲ τοῦ Υἱοῦ τοῦ Θεοῦ ἐστιν ἡ γνῶσις τῆς μετὰ τοῦ Θεοῦ καὶ Πατρὸς αὐτοῦ ὁμοουσιότητος, καὶ τῆς ὑπὲρ τῆς σωτηρίας ἡμῶν θείας αὐτοῦ ἐνανθρωπήσεως, ἔτι δὲ καὶ πάντων τῶν περὶ αὐτοῦ ὀρθοδόξως πιστευομένων· αὕτη δὲ ἡ γνῶσις πρόξενος γίνεται τῆς αἰωνίου ζωῆς. « Αὕτη δέ » ἐστιν ἡ αἰώνιος ζωή, ἵνα γινώσκωσί σε » τὸν μόνον ἀληθινὸν θεόν, καὶ ὃν ἀπέστει» λας Ἰησοῦν Χριστόν » (2) Τί δὲ σημαίνει τό, « εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλι» κίας »; διάφοροί εἰσι τοῦ ἀνθρώπου αἱ ἡλικίαι, ἡ βρεφώδης, ἡ νηπιώδης, ἡ παιδική, ἡ νεανική, ἡ ἀνδρική, ἡ γεροντική· πρὶν ἢ φθάσῃ ὁ ἄνθρωπος εἰς τὴν ἀνδρικὴν ἡλικίαν, ἀτελές ἐστι τὸ σῶμα αὐτοῦ· ὅταν δὲ καταντήσῃ « εἰς ἄνδρα τέλειον », τότε ἔχει τελείαν καὶ ἀπηρτισμένην πᾶσαν τὴν τοῦ σώματος αὐτοῦ οἰκονομίαν· τὸ μέτρον οὖν τῆς ἀνδρικῆς ἡλικίας ἐστὶν ἡ τελειότης τοῦ ἀνθρωπίνου σώματος· τὸ οὖν « εἰς ἄν» δρα τέλειον, εἰς μέτρον ἡλικίας », μεταφορικῶς ἐκλαμβανόμενον, οὐδὲν ἄλλο σημαίνει, εἰμὴ τὴν πνευματικὴν τοῦ ἀνθρώπου τελειότητα, ἤγουν τὸν τέλειον ἄνθρωπον κατὰ τὴν πίστιν καὶ τὴν ἀρετήν· ἐπιβεβαιοῦσι τοῦτο τὰ μετὰ ταῦτα ὑπὸ τοῦ Ἀποστόλου λεγόμενα· διότι εἰπὼν τό, « εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας », ἐπιφέρει ταῦτα· « ἵνα μηκέτι ὦμεν νήπιοι, κλυδωνι» ζόμενοι, καὶ περιφερόμενοι παντὶ ἀνέμῳ » τῆς διδασκαλίας » (3). Ποῖον δέ ἐστι τὸ πλήρωμα τοῦ Χριστοῦ; ἡ ἐκκλησία τοῦ Χριστοῦ ἐστιν, ὡς ὁ αὐτὸς Παῦλος διηρμήνευσεν, εἰπών. « Καὶ αὐτὸν ἔδωκε κεφαλὴν » ὑπὲρ πάντα τῇ ἐκκλησίᾳ, ἥτις ἐστὶ τὸ » σῶμα αὐτοῦ, τὸ πλήρωμα τοῦ πάντα ἐν » πᾶσι πληρουμένου » (4). πλήρωμα δὲ τοῦ Χριστοῦ λέγεται ἡ ἐκκλησία, ἤγουν οἱ εἰς αὐτὸν πιστεύοντες, ἐπειδὴ αὐτοί εἰσι τὰ μέλη τῆς ἐκκλησίας, τουτέστι τοῦ μυςικοῦ σώματος τοῦ Χριστοῦ, τοῦ ἔχοντος αὐτὸν κεφαλήν (5). Καθὼς δὲ τὰ μέλη χωρὶς κεφαλῆς οὐκ ἔστι σῶμα πεπληρωμένον καὶ τέλειον, οὕτω καὶ ἡ κεφαλὴ χωρὶς τῶν λοιπῶν μελῶν ἐστι σῶμα ἐλλειπὲς καὶ ἀτελές· ἐπειδὴ οὖν οἱ πιστοί, μέλη ὄντες τοῦ ὅλου μυστικοῦ σώματος τοῦ Χριστοῦ, ἀπαρτίζουσι καὶ ἀναπληροῦσιν αὐτό, διὰ τοῦτο λέγονται πλήρωμα τοῦ Χριστοῦ, ἤγουν πλήρωμα τῆς ἐκκλησίας τοῦ Χριστοῦ, ἧς αὐτός ἐστιν ἡ κεφαλή. Ἰδοὺ δὲ ὅλον τὸ νόημα τῶν προκειμένων Ἀποςολικῶν λόγων· πάντες, λέγει, ὅσοι ἔχουσι χάρισμα Ἀποστολικόν, ἢ προφητικόν, ἢ Εὐαγγελιστικόν, ἢ ποιμαντικὸν καὶ διδασκαλικόν, χρέος ἔχουσιν ἀπαραίτητον, ἵνα ἀπαρτίζωσι τοὺς πιστούς, καὶ διακονῶσι τὰ πρὸς τὴν ψυχικὴν αὐτῶν ὠφέλειαν, καὶ αὐξάνωσι, καὶ ἐπιστηρίζωσι τὰ τῆς ἐκκλησίας, ἕως ἂν πάντες οἱ πιστοὶ σύμφωνοι γενόμενοι εἰς τὰ δόγματα τῆς πίστεως, καὶ τέλειοι εἰς τῆς ἀρετῆς τὰ κατορθώματα, ἀναδειχθῶσιν ἄξιοι τοῦ πληρώματος τοῦ Ἰησοῦ Χριστοῦ, ἄξια δηλαδὴ μέλη τοῦ σώματος αὐτοῦ, τουτέστι τῆς ἐκκλησίας.

(1) Φιλιπ. 2, 2. (2) Ἰωάν. 17, 3. (3) Ἐφεσ. 4, 14. (4) Αὐτ. 1, 22, 23. (5) Α'. Κορ. 12, 27. ὅρ. Οἰκουμ. ἐν κ. 1. τῆς πρὸς Ἐφεσ. ἐπιστ.



# ΟΜΙΛΙΑ

ΜΕΤΑ ΤΗΝ ΠΡΟΣ

## ΕΦΕΣΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

### ΤΗΝ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗΝ ΤΗ͂Ι ΚΥΡΙΑΚΗ͂Ι ΜΕΤΑ ΤΑ ΦΩΤΑ.

ΥΠΟΘΕΣΙΝ προβάλλει ἡ σήμερον ἀναγνωσθεῖσα ἐπιστολὴ τοῦ θεοῤῥήμονος Παύλου, ἐναντιουμένην εἰς τὸ ψευδεπίπλαστον νεοφανὲς σύστημα τῆς μεταξὺ τῶν ἀνθρώπων ἰσότητος· αὐτὸς κηρύττει φανερά, ὅτι ὁ Θεὸς κατέστησεν ἄλλους μὲν Ἀποςόλους, ἄλλους δὲ προφήτας, ἄλλους δὲ Εὐαγγελιστάς, ἄλλους δὲ ποιμένας καὶ διδασκάλους (1)· τὰ αὐτὰ δὲ ἔγραψε πλατύτερον ἐν τῇ πρὸς Κορινθίους ἐπιστολῇ αὐτοῦ, λέγων· « Καὶ οὓς μὲν ἔθετο ὁ Θεὸς ἐν τῇ ἐκκλησίᾳ » πρῶτον Ἀποςόλους, δεύτερον προφήτας, » τρίτον διδασκάλους, ἔπειτα δυνάμεις, » εἶτα χαρίσματα ἰαμάτων, ἀντιλήψεις, » κυβερνήσεις, γένη γλωσσῶν » (2). ταῦτα δὲ εἰπών, ἐξελέγχει εὐθὺς τὴν ἰσότητα, λέγων· μήπως νομίζητε, ὅτι πάντες εἰσὶν ἴσοι; « Μὴ πάντες, Ἀπόστολοι; μὴ πάντες, » προφῆται; μὴ πάντες, διδάσκαλοι; μὴ » πάντες, δυνάμεις; μὴ πάντες χαρίσμα» τα ἔχουσιν ἰαμάτων; μὴ πάντες γλώσ» σαις λαλοῦσι; μὴ πάντες διερμηνεύου» σιν » (3). Οὐχί, λέγει· οὐχ οὕτως ἔχουσι τὰ πράγματα· ὅθεν ἔχετε ζῆλον καὶ προθυμίαν, ἵν' ἀπολαύσητε τὰ ἀνώτερα χαρίσματα. Ζηλοῦτε δὲ τὰ χαρίσματα τὰ κρείττονα. Ταῦτα πάντα, ὡς ἀκούετε, τὴν μεταξὺ τῶν ἀνθρώπων ἀνισότητα ἐκπεφασμένως διδάσκουσι. Ποία οὖν ἐστιν ἡ βάσις τῆς εἰς τοὺς παρόντας καιροὺς κωδωνιζομένης ἰσότητος; ποῦ θεμελιοῦται αὐτή; ποῦ στηρίζεται; οὐδαμοῦ. Αὐτή ἐστιν ἐναντία τῶν νόμων τοῦ Θεοῦ, ἐναντία τῶν πολιτικῶν διατάξεων, ἐναντία πάντων τῶν ὁρωμένων κτισμάτων, ἐναντία τέλος πάντων καὶ αὐτῶν τῶν τῆς ἀνθρωπίνης φύσεως ἰδιωμάτων. Ἐὰν μετὰ προσοχῆς ἀκούσητε τὰ ἑξῆς, ἴσως λάβετε περὶ τούτου τελείαν τὴν πληροφορίαν.

Βλέπομεν εἰς τὴν Παλαιὰν Διαθήκην, ὅτι ὁ Θεὸς πολλὰ ἐνομοθέτησε περὶ δεσποτῶν καὶ δούλων· ὅταν ἐλάλησε περὶ τῆς τοῦ σαββάτου ἐντολῆς, διέταξεν, ἵνα καὶ οἱ δοῦλοι μηδὲν ἐργάζωνται ἐν ἐκείνῃ τῇ ἡμέρᾳ. « Οὐ ποιήσεις, εἶπεν, ἐν αὐτῇ πᾶν » ἔργον σύ, καὶ ὁ υἱός σου, καὶ ἡ θυγά» τηρ σου, ὁ παῖς σου, καὶ ἡ παιδίσκη » σου » (4)· ὁμοίως δὲ καὶ ὅταν ἐνομοθέτησε τὴν τελετὴν τοῦ πάσχα, παρήγγειλεν, ἵνα καὶ οἱ δοῦλοι ἐσθίωσι τὸ πάσχα. « Ἀλλ' ἢ » ἐναντίον Κυρίου τοῦ Θεοῦ σου φαγῇ αὐ» τὸ ἐν τῷ τόπῳ, ᾧ ἂν ἐκλέξηται Κύριος

(1) Ἐφεσ. 4, 11. (2) Α'. Κορ. 12, 28. (3) Αὐτ. 29, 30. (4) Ἐξ. 20, 10.

» ὁ Θεός σου αὐτῷ, σὺ καὶ ὁ υἱός σου, καὶ ἡ θυγάτηρ σου, ὁ παῖς σου καὶ ἡ παιδίσκη σου » (1)· ἀλλὰ καὶ περὶ τῶν ἑορτῶν ἐνετείλατο, ἵνα καὶ οἱ δοῦλοι πανηγυρίζωσιν ἐν ταῖς ἑορτασίμοις ἡμέραις· « Καὶ εὐφρανθήσῃ ἐν τῇ ἑορτῇ σου σὺ καὶ ὁ υἱός σου, » καὶ ἡ θυγάτηρ σου, ὁ παῖς σου καὶ ἡ παιδίσκη σου » (2). Ἐπειδὴ οὖν ὁ Θεὸς ἐνομοθέτησε τὰ περὶ τῶν δούλων, φανερόν ἐστιν, ὅτι διώρισε τάξιν δεσποτῶν καὶ δούλων, καὶ ἑπομένως ἐνομοθέτησεν ἀνισότητα ὁρατήν· διότι τίς οὐ βλέπει, ἢ τίς οὐ γνωρίζει, πόση ἀνισότης ἐστὶ μεταξὺ δεσπότου καὶ δούλου;

Ἀλλ' ὁ Θεός, λέγεις, διέταξε τὰ περὶ τῶν δούλων, ἐπειδὴ οἱ ἄνθρωποι πρὸ τῆς θείας αὐτοῦ νομοθεσίας, κακῶς μετελθόντες τῆς ἀνθρωπίνης φύσεως τὸ δικαίωμα, εἶχον δούλους. Πῶς; ὁ Θεός, ὁ πανυπερτέλειος καὶ παντοδύναμος, ἔδωκε νόμους, ἵνα βεβαιώσῃ τὰς καταχρήσεις καὶ τὰς ἀδικίας τῶν ἀνθρώπων; τοῦτό ἐστιν ἀτοπώτατον καὶ βλάσφημον. Ὁ πανυπεράγαθος νομοθέτης διὰ τοῦτο παρέδωκε τοὺς θείους αὐτοῦ νόμους, ἵνα διορθώσῃ τὰς καταχρήσεις καὶ ἀδικίας, καὶ φανερώσῃ τὰ θεῖα καὶ ἀνθρώπινα δικαιώματα· αὐτὸς ὡς παντεξούσιος ἠδύνατο νομοθετῆσαι τὴν διόρθωσιν ταύτης τῆς ἀδικίας· εἶχεν ὡς δημιουργὸς πᾶσαν τὴν ἐξουσίαν εἰπεῖν· ἄνθρωποι, πάντες ἐστὲ ἴσοι· ἵνα τί ἄλλος μὲν γίνεται δεσπότης, ἄλλος δὲ δοῦλος; ἀπολύσατε τοὺς δούλους, μηδεὶς ἐχέτω δοῦλον, ἀλλὰ καθεὶς ὑπηρετείτω ἑαυτόν· καὶ ὅμως αὐτὸς οὐ μόνον οὐδὲν τοιοῦτον εἶπεν, οὐ μόνον διέταξε τὰ περὶ τῶν δούλων, ἀλλὰ καὶ ἐνομοθέτησεν, ἵνα κτήσωνται δούλους· ἄκουσον, πόσον φανερῶς περὶ τούτου ἐλάλησε· « Καὶ παῖς καὶ » παιδίσκη, ὅσοι ἂν γένωνταί σοι, ἀπὸ τῶν » ἐθνῶν, ὅσοι κύκλῳ σου εἰσίν, ἀπ' αὐτῶν » κτήσεσθε δοῦλον καὶ δούλην » (3). Πρὸς τούτοις δὲ τί ἄλλο, εἰ μὴ ἀνισότητα, σημαίνει ἡ τόση ἐξουσία, ὅσην ἔδωκεν ὁ Θεὸς εἰς τὸν Μωϋσῆν, ἔπειτα εἰς τὸν Ἰησοῦν τοῦ Ναυή, ἔπειτα εἰς τοὺς Κριτάς; τί ἄλλο δὲ ἐφανέρωσεν, εἰ μὴ ἀνισότητα, ὅταν ἔδωκε βασιλικὴν ἐξουσίαν εἰς τὸν Σαοὺλ κατὰ τὴν αἴτησιν τοῦ λαοῦ, ἔπειτα ἐξέλεξεν αὐτὸς τὸν Δαβίδ, καὶ κατέστησεν αὐτὸν βασιλέα τοῦ Ἰσραήλ; πόση δὲ ἀνισότης ἐστὶ μεταξὺ πλουσίου καὶ πτωχοῦ; καὶ ὅμως ἡ Θεία Γραφὴ διδάσκει, ὅτι ὁ ποιητὴς ταύτης τῆς ἀνισότητός ἐστιν ὁ Θεός· « Πλούσιος, λέ» γει, καὶ πτωχὸς συνήντησαν ἀλλήλοις· » ἀμφοτέρους δὲ ἐποίησεν ὁ Κύριος » (4).

Ἐὰν δὲ ἀνοίξῃς τὸ ἱερὸν Εὐαγγέλιον, βλέπεις οἰκοδεσπότας καὶ μισθουμένους ἐργάτας, κυρίους τοῦ ἀμπελῶνος καὶ ἐπιτρόπους (5)· βλέπεις κυρίους καὶ οἰκονόμους καὶ δούλους· βλέπεις βασιλεῖς αἴροντας λόγον μετὰ τῶν δούλων αὐτῶν, καὶ βασιλεῖς ποιοῦντας γάμους, καὶ δούλους προσκαλοῦντας τοὺς κεκλημένους, καὶ στρατεύματα πεμπόμενα πρὸς τιμωρίαν τῶν ἀπειθησάντων (6)· τί ἄλλο δὲ ταῦτα σημαίνουσιν εἰ μὴ ἀνισότητας; βλέπεις τέλος πάντων καὶ αὐτὸν τὸν πανυπεράγαθον καὶ δικαιότατον Θεὸν μετὰ ἀνισότητος διαμερίζοντα τὰ τάλαντα· « Καὶ ᾧ μὲν ἔδωκε, λέγει, πέντε » τάλαντα, ᾧ δέ, δύο, ᾧ δέ, ἕν, ἑκάστῳ » κατὰ τὴν ἰδίαν δύναμιν » (7). Εἴτι δ' ἂν νοήσῃς ἀντὶ ταλάντου, ἢ πλοῦτον, ἢ δόξαν, ἢ ἐπιστήμην, ἢ τέχνην, ἢ κάλλος, ἢ ἐπιτηδειότητα, τὰ πέντε καὶ δύο, καὶ ἕν, ἀνισό-

(1) Δευτ. 12, 18. (2) Αὐτ. 16, 14. (3) Λευϊτ. 25, 44. (4) Παροιμ. 22, 2. (5) Ματθ. 20, 1, 8. Λουκ. 12, 42 (6) Ματθ. 18, 23. καὶ 22, 2, 3. κτ. (7) Ματθ. 25, 15.



τητα σημαίνουσιν· ἐπιβεβαιοῖ δὲ οὗτος ὁ εὐαγγελικὸς λόγος, ὅτι καὶ αὐταὶ αἱ δυνάμεις τῶν ἀνθρώπων οὐκ εἰσὶν ἴσαι, ἀλλ' ἄνισοι· διότι λέγει « ἑκάστῳ κατὰ τὴν ἰδίαν » δύναμιν ». Μετὰ δὲ ταῦτα ἀκούεις αὐτὸν τὸν Θεὸν ζητοῦντα πολὺ παρ' ἐκείνου, εἰς ὃν ἔδωκε τὸ πολύ, καὶ περισσότερον παρ' ἐκείνου, εἰς ὃν ἔδωκε τὸ περισσότερον· « Παντὶ δέ, ᾧ ἐδόθη πολύ, πολὺ ζητηθή» σεται παρ' αὐτοῦ· καὶ ᾧ παρέθεντο πο» λύ, περισσότερον αἰτήσουσιν αὐτόν » (1). Ἐπειδὴ οὖν ὁ Θεὸς ἐστιν ὁ ποιητὴς τῆς ἀνισότητος, ἔδωκε δὲ περὶ αὐτῆς νόμους, τίς οὐ βλέπει, ὅτι ἡ ἰσότης ἐκ διαμέτρου ἐναντιοῦται εἰς τοὺς θείους αὐτοῦ νόμους; ἐπειδὴ ὁ πάνσοφος καὶ φιλανθρωπότατος Θεὸς κατέστησεν ἀνίσους τοὺς ἀνθρώπους, τίς οὐ βλέπει, ὅτι οἱ κηρύττοντες τὴν ἰσότητα, ἀντιφέρονται κατὰ τῶν νόμων τοῦ δημιουργοῦ τῆς κτίσεως, καὶ βούλονται ἐξουδενῶσαι τὴν θείαν αὐτοῦ νομοθεσίαν;

Ἀλλὰ μήπως ἡ μεταξὺ τῶν ἀνθρώπων ἰσότης συμφωνεῖ μετὰ τῶν πολιτικῶν διατάξεων; Ἡ χρεία καὶ ἡ ἀνάγκη τῆς μεταξὺ ἀλλήλων βοηθείας συγκροτεῖ τὰς πόλεις· ἡ αὐτὴ δὲ ἀνάγκη διδάσκει τὰς ἐν αὐταῖς διαταγάς· ὁ Κάϊν πρῶτος φοβούμενος καὶ τρέμων, μήπως θανατώσωσιν αὐτόν, καθὼς αὐτὸς ἐθανάτωσε τὸν ἀδελφὸν αὐτοῦ τὸν Ἄβελ, ᾠκοδόμησε πόλιν, ἵνα, ὑπὸ τῶν ἐν αὐτῇ πολιτῶν βοηθούμενος, φύγῃ τοῦ θανάτου τὸν κίνδυνον. « Γίνεται τοίνυν, λέ» γει ὁ φιλόσοφος ὁ Πλάτων, πόλις, ὡς » ἐγῷμαι, ἐπειδὴ τυγχάνει ἡμῶν ἕκαστος » οὐκ αὐτάρκης, ἀλλὰ πολλῶν ἐνδεής » (2). Ἀκούεις; πᾶς ἄνθρωπος οὐ δύναται ἐπαρκέσαι ἑαυτῷ, ἀλλὰ χρείαν ἔχει πολλῶν βοηθημάτων· διὰ τοῦτο πολλοὶ συνερχόμενοι συνιστῶσι πόλιν, ἵνα ὑπ' ἀλλήλων βοηθούμενοι, προφθάνωσι τὰς ἑαυτῶν ἀνάγκας· ἀληθῶς δὲ ἀναγκαία ἡ μεταξὺ ἀλλήλων βοήθεια· οἱ ἄτεχνοι χρείαν ἔχουσι τεχνίτου, ἵνα οἰκοδομήσῃ αὐτοῖς οἶκον, καὶ ῥάψῃ ἐνδύματα, καὶ τεχνιτεύσῃ τὰ ἐκ τῆς τέχνης ἀναγκαῖα· οἱ ἀγράμματοι χρείαν ἔχουσι διδασκάλου, ἵνα διδάξῃ αὐτοὺς γράμματα· οἱ ἄῤῥωστοι χρείαν ἔχουσιν ἰατροῦ, ἵνα ἰατρεύσῃ, ἢ κἂν παρηγορήσῃ τὰς ἀσθενείας αὐτῶν· οἱ τυφλοὶ χρείαν ἔχουσι χειραγωγοῦ· οἱ παράλυτοι, κηδευτοῦ· οἱ ἐν κλίνῃ κατακείμενοι, ὑπηρέτου· οἱ ἀσύμφωνοι, κριτοῦ· οἱ ἄτακτοι, ἄρχοντος τιμωροῦ· πᾶσα ἡ πόλις χρείαν ἔχει φυλάκων, ἵνα ἐπαγρυπνοῦντες, φυλάττωσιν αὐτὴν ἐκ τῆς τῶν ἐχθρῶν ἐπιβουλῆς.

Ἐκ τούτου δὲ φανερόν ἐστιν, ὅτι πᾶσα πόλις ὁμοία ἐστὶ σώματι ἀνθρώπου, διάφορα μέλη ἔχουσα, ὑπ' ἀλλήλων βοηθούμενα, καὶ τὴν ὅλην ὁμήγυριν συνδέοντα, καὶ διαφυλάττοντα· ἔχει ἡ πόλις βασιλέα ἀντὶ κεφαλῆς, ἄρχοντας, ἀντὶ ὀφθαλμῶν, κριτάς, ἀντὶ ὠτίων, στρατιώτας, ἀντὶ στήθους, πραγματευτὰς καὶ τεχνίτας, ἀντὶ χειρῶν, δούλους, ἀντὶ ποδῶν. Ἐὰν καταστήσῃς πάντας τοὺς πολίτας ἴσους, γίνεται ἡ πόλις ὥσπερ ἀνθρώπινον σῶμα, ἢ ὅλον κεφαλή, ἢ ὅλον ὀφθαλμοί, ἢ ὅλον ὦτα, ἢ ὅλον στῆθος, ἢ ὅλον χεῖρες, ἢ ὅλον πόδες· τοῦτο δὲ τότε οὐκ ἔστι σῶμα ἀνθρώπου, ἀλλὰ τέρας ἀλλόκοτον· ὅταν ποιήσῃς πάντας τοὺς πολίτας ἴσους, τότε διὰ τὸ δικαίωμα τῆς ἰσότητος ἔσονται ἢ πάντες βασιλεῖς, ἢ πάντες ἄρχοντες, ἢ πάντες κριταί, ἢ πάντες στρατιῶται, ἢ πάντες πραγ-

(1) Λουκ. 12, 48. (2) Πλάτ. β. 2. Περὶ Πολιτ.

ματευταί, ἢ πάντες τεχνῖται, ἢ πάντες δοῦλοι· ποῦ δὲ τότε εἰς τὴν πόλιν ἐκείνην βασιλεύς, ἵνα μετὰ πληρεξουσιότητος ἐμποδίζῃ τὰς ἀταξίας, καὶ παιδεύῃ τοὺς ἀτάκτους, προφθάνῃ εὐθὺς τὰς κατεπειγούσας ἀνάγκας, καὶ ἀπαρεμποδίστως διευθύνῃ ὅλον τὸ ὑπήκοον; ποῦ ἄρχοντες ἀγρυπνοῦντες ὑπὲρ τῆς τῶν νόμων διατηρήσεως; ποῦ κριταί, ἵνα κρίνωσι τὰς τῶν πολιτῶν κρισολογικὰς ὑποθέσεις; ποῦ στρατιῶται, διαφυλάττοντες τὴν πόλιν ἀπὸ τῆς τῶν ἐχθρῶν ἐφόδου; ποῦ πραγματευταί, μεταφέροντες ἀλλαχόθεν, ὅσα ἀναγκαῖα καὶ χρήσιμα, μὴ εὑρισκόμενα δὲ ἐν ἐκείνῃ τῇ πόλει; ποῦ τεχνῖται, τεχνιτεύοντες καὶ τὰ πρὸς τὴν χρείαν, καὶ τὰ πρὸς τὴν ἀνάπαυσιν; ποῦ δοῦλοι ὑπηρετοῦντες, τοὺς μὴ δυναμένους ὑπηρετῆσαι ἑαυτούς; Τοιαύτη πόλις οὐδὲ ἐφάνη πώποτε, οὐδὲ ἔστιν, οὐδὲ δύναται στῆναι, ἀλλ᾽ἔστι τέρας ἀλλόκοτον καὶ ἀνύπαρκτον· διότι ἡ ἰσότης φέρει εἰς αὐτὴν τὴν ἀνυποταξίαν, τὴν αὐτονομίαν, τὴν ἀναρχίαν, ἑπομένως δὲ καὶ τὸν διασκορπισμὸν αὐτῆς, καὶ τὴν τελείαν ἐξουδένωσιν. Τὰ αὐτὰ δὲ συμβαίνουσιν εἰς πᾶσαν κώμην καὶ χώραν, καὶ εἰς πᾶσαν ἀνθρώπων ὁμήγυριν, καὶ εἰς αὐτὰς τὰς ὁλοκλήρους μεγάλας βασιλείας, ὅταν εἰσέλθῃ εἰς αὐτὰς ἡ ἰσότης· διότι καὶ ἡ βασιλεία ὡς μία πόλις ἐστὶν, ἐκ πολλῶν συγκειμένη πόλεων, ὑπ᾽ἀλλήλων βοηθουμένων, καὶ ἀσφαλιζομένων. Αὐτὴ οὖν ἡ φύσις, ἵν᾽ οὕτως εἴπω, τῆς πόλεως γεννᾷ τὴν ἀνισότητα, καὶ ὑπαγορεύει τοὺς πολιτικοὺς νόμους τῶν ἀνωτάτων, καὶ μέσων, καὶ κατωτάτων βαθμῶν καὶ τάξεων τῆς ἀνισότητος· τόσον δὲ ἀναγκαῖαί εἰσιν αἱ τοιαῦται ἀνισότητες πρὸς σύστασιν καὶ διαμονὴν τῶν πόλεων, ὥστε, ὅσοι ἐναντιούμενοι εἰς τὰς πολιτικὰς διατάξεις, σπουδάζουσι ποιῆσαι ἴσους πάντας τοὺς πολίτας, ἐκεῖνοί εἰσιν ἐπίβουλοι καὶ φθορεῖς τῶν βασιλειῶν, καὶ τῶν πόλεων, καὶ πάσης ἀνθρωπίνης ὁμηγύρεως.

Ἀλλ᾽ αὐτοί, λέγεις, οἱ πολῖται ἴσοι ὄντες, ἐκλέγουσι, καὶ διορίζουσι καὶ ἄρχοντας καὶ κριτάς, καὶ στρατιώτας, καὶ τοὺς λοιπούς, ὅσοι ἀναγκαῖοί εἰσι πρὸς σύστασιν τῆς κοινότητος· ἀλλὰ τοῦτο τί ἄλλο ἐστίν, εἰ μὴ τό, ὅτι οἱ ἴσοι ἐξ ἀνάγκης γίνονται ἄνισοι; πολεμεῖς τὴν ἀνισότητα ἔπειτα γίνεσαι ποιητὴς αὐτῆς καὶ δημιουργός· διὰ λόγου ἐπιβεβαιοῖς, ὅτι πάντες ἐσμὲν ἴσοι, διὰ δὲ τῶν ἔργων ἀποδεικνύεις, ὅτι ἐσμὲν ἄνισοι· φάσκεις, καὶ ἀντιφάσκεις, καὶ σεαυτῷ ἀντιλέγεις, καὶ οὐ διακρίνεις, οὐδὲ τί λέγεις, οὐδὲ τί πράττεις. Ἐπειδὴ οὖν λέγεις, ὅτι οἱ ἴσοι πολῖται ἐκλέγουσιν ἄρχοντας, καὶ κριτάς, καὶ τοὺς ἑξῆς ἀξιωματικούς, ἐκ τούτων σου τῶν λόγων ὁμολογεῖς, ὅτι ἡ ἰσότης εἰς τὰς πολιτείας οὐκ ἔχει τόπον, ἀλλ᾽ἀναγκαία ἐςὶν ἡ ἀνισότης.

Ἐρευνήσατε νῦν, καὶ παρατηρήσατε τὰ βλεπόμενα κτίσματα· ὑψώσατε πρῶτον τὰ ὄμματα εἰς τὸν οὐρανόν· βλέπετε ἐκεῖ ἰσότητα; οὐδεμίαν· ἐκεῖ ἀστέρες ἀπλανεῖς, ἐκεῖ πλανῆται πρῶτοι καὶ δεύτεροι, ἐκεῖ κομῆται· αὐτοὶ δὲ διαφέρουσιν ἀλλήλων κατὰ τὸ μέγεθος, κατὰ τὴν λαμπρότητα, κατὰ τὰ ἀπὸ τῆς γῆς ἀποστήματα, κατὰ τὰς περιοδικὰς αὐτῶν κινήσεις· καταβιβάσατε ἔπειτα τὰ ὄμματα εἰς τὴν γῆν· ποῦ βλέπετε ἰσότητα; οὐδαμοῦ· οὐδὲ εἰς τὰ δένδρα, οὐδὲ εἰς τοὺς θάμνους, οὐδὲ εἰς τοὺς χόρτους, οὐδὲ εἰς τὰ φύλλα, οὐδὲ εἰς τὰ ἄνθη, οὐδὲ εἰς τοὺς σπόρους, οὐδὲ εἰς τοὺς καρπούς. Πόση ἡ διαφορὰ τῶν λίθων; πόσον διαφέρουσιν ἀλλήλων τὸ μάρμαρον, ὁ πυρίτης, τὸ ἀλάβαστρον, ὁ ἀδάμας, ὁ ἄνθραξ, ὁ σάπφειρος, ὁ σμάραγδος, καὶ οἱ λοιποί; πόση ἡ διαφορὰ τῶν μετάλλων; πόσον διαφέρουσιν ἀλλήλων τὸ χρυσίον, τὸ ἀργύριον, ὁ σίδηρος, ὁ μόλυβδος, ὁ κασσίτερος, ὁ ὀρείχαλκος, καὶ τὰ λοιπά; πόση ἡ διαφορὰ τῶν ζώων; πόσον διαφέρουσιν ἀλλήλων τὰ πετεινά, τὰ τετράποδα, τὰ ἑρπετά, τὰ χερσαῖα, τὰ ἔνυδρα, τὰ ἀμφίβια, τὰ ἄγρια, τὰ ἥμερα; Πόση δὲ ἡ διαφορὰ καὶ μεταξὺ αὐτῶν τῶν τεσσάρων ςοιχείων, ἐξ ὧν πάντα τὰ σώματα σύγκεινται; διαφέρουσι δὲ ἀλλήλων οὐ μόνον τὰ ἑτεροειδῆ, ἀλλὰ καὶ αὐτὰ τὰ ὁμοειδῆ, διότι καὶ ἀστὴρ ἀστέρος διαφέρει, καὶ πλανήτης, πλανήτου, καὶ κομήτης, κομήτου, μετὰ βίας εὑρίσκεις δύο κυπαρίσσους, ἢ δύο ῥόδα, ἢ δύο κόκκους σίτου, ἢ δύο μῆλα, ἢ δύο σμαράγδους, ἢ δύο τμήματα χρυσίου, ἢ δύο περιστεράς, ἢ δύο βόας, ἢ δύο ὄφεις, ἢ δύο σμαρίδας, ἢ δύο νήσσας, ἢ δύο λέοντας, ἢ δύο πρόβατα κατὰ πάντα, καὶ διὰ πάντα ἴσα. Εἴδη διάφορα ἔχει καὶ τὸ πῦρ· πῦρ ἡλιακόν, πῦρ ἠλεκτρικόν, πῦρ καμινιαῖον, πῦρ ἀςραπιαῖον· καὶ ὁ ἀήρ· ἀὴρ ψυχρός, θερμός, ὑγρός, ξηρός· καὶ τὸ ὕδωρ· ὕδωρ ἁλμυρόν, γλυκύ, πικρόν, ὀξύ, στυφόν· καὶ ἡ γῆ· γῆ μέλαινα, κοκκίνη, πηλώδης, ἀμμώδης, λιπαρά, ξηρά, πολύκαρπος, ὀλιγόκαρπος.



Στρέψατε νῦν τὰ ὄμματα πρὸς τοὺς ἀνθρώπους, καὶ παρατηρήσατε πρῶτον τὰ ἐν αὐτοῖς βλεπόμενα. Πᾶς ἄνθρωπος ἔχει χαρακτῆρας προσώπου ἰδίους, ἴδιον ἀνάστημα, ἰδίαν φωνήν, ἴδιον χρῶμα, ἴδιον περιπάτου σχηματισμόν, ἰδίαν ποσότητα δυνάμεως, ἰδίαν ταχύτητα κινήσεως, ἰδίαν χειρῶν ἐπιτηδειότητα· ἐκ τούτου ὁ μέν ἐστιν ὡραῖος, ὁ δέ, δυσειδής· ὁ μὲν ἔχων τὰ μέλη σύμμετρα, ἐστὶν εὔμορφος· ὁ δὲ ἔχων αὐτὰ ἀσύμμετρα, ἐστὶ δύσμορφος· ὁ μέν ἐστι καλύφωνος· ὁ δέ, κακόφωνος· οὗτος μὲν δυνατός· ἐκεῖνος, ἀσθενής· οὗτος, εὐκίνητος· ἐκεῖνος, δυσκίνητος· οὗτος, ἐπιτήδειος· ἐκεῖνος, ἀνεπιτήδειος. Παρατήρησον καὶ τὰ ἔσω τῶν ἀνθρώπων· πάντες μὲν ἔχουσι νοῦν· πλὴν πόσον διαφέρει νοῦς νοὸς κατὰ τὴν ὀξύτητα, κατὰ τὴν ἀντίληψιν, κατὰ τὴν διάκρισιν, κατὰ τήν φρόνησιν; πάντες ἔχουσι μνήμην· ἀλλὰ πόσον διαφέρει μνήμη μνήμης; ἄλλος μὲν μνημονεύει εὐκόλως, πλὴν καὶ εὐκόλως ἀμνημονεῖ· ἄλλος δυσκόλως μνημονεύει, πλὴν καὶ δυσκόλως ἀμνημονεῖ· ἄλλος δυσκόλως μνημονεύει, καὶ εὐκόλως ἀμνημονεῖ· ἄλλος καὶ εὐκόλως μνημονεύει, καὶ δυσκολώτατα ἀμνημονεῖ· αὕτη δέ ἐςιν ἡ τελειοτέρα μνήμη. Ἐκ τούτων βλέπομεν, ὅτι ἐκεῖνος μέν ἐςιν ὀξύνους· οὗτος δέ, βραδύνους· ἄλλος ἀντιλαμβάνεται μετὰ εὐκολίας· ἄλλος μετὰ δυσκολίας· ἄλλος διακρίνει ἐντελῶς· ἄλλος ἀτελῶς· ἄλλος ἔχει φρόνησιν πολλήν· ἄλλος ὀλίγην· ἄλλος μνημονεύει πολλῶν· ἄλλος, ὀλίγων. Ἐὰν εἰσέλθῃς διὰ τοῦ νοός σου καὶ εἰς τὰς ἐνδοτέρας τῶν ἀνθρώπων διαθέσεις, βλέπεις καὶ εἰς αὐτὰς ἀνισότητα μεγάλην· ὁ μέν ἐστι πρᾷος· ὁ δὲ θυμώδης· οὗτός ἐστι ταπεινόφρων· ἐκεῖνος, ὑπερήφανος· οὗτός ἐςι συμπαθής· ἐκεῖνος, ἄσπλαγχνος· οὗτος, ἥμερος· ἐκεῖνος, ἄγριος· οὐδὲ τὰ ἐκ τοῦ αὐτοῦ πατρός, καὶ τὰ ἐκ τῆς αὐτῆς μητρὸς γεννηθέντα δίδυμα τέκνα, καὶ ὁμοῦ τραφέντα, καὶ τῆς αὐ-

τῆς ἀνατροφῆς καὶ παιδαγωγίας ἀπολαύσαντα, ἔχουσι τὰς αὐτὰς διαθέσεις· ἐκ τοῦ αὐτοῦ πατρὸς Ἰσαάκ, καὶ ἐκ τῆς αὐτῆς μητρὸς τῆς Ῥεβέκκας δίδυμοι ἐγγεννήθησαν ὁ Ἡσαῦ, καὶ ὁ Ἰακώβ, ὑπὸ τῶν αὐτῶν γονέων ἐπαιδαγωγήθησαν, τὰς αὐτὰς εἶχον συναναστροφάς, τὴν αὐτὴν δίαιταν, τὸ αὐτὸ πολίτευμα· καὶ ὅμως πόση τοῦ ἤθους αὐτῶν ἡ διαφορά; « Ηὐξήνθησαν δέ, λέγει ἡ Θεία Γραφή, οἱ νεανίσκοι· καὶ ἦν » Ἡσαῦ ἄνθρωπος εἰδὼς κυνηγεῖν, ἄγροι- » κος· Ἰακὼβ δέ, ἄνθρωπος ἄπλαστος, οἰ- » κῶν οἰκίαν » (1).

Μετὰ δὲ τὰς τοσαύτας καὶ τοιαύτας ἀνισότητας, ὅσας ἐποίησε, καὶ ἐνομοθέτησεν ὁ Θεός, ὅσας ἐξ ἀνάγκης διέταξαν αἱ πολιτεῖαι, ὅσας δεικνύουσι πάντα τὰ κτίσματα, ὅσας βλέπομεν ἐξόχως εἰς τοὺς ἀνθρώπους, ἐγείρονται ἄνθρωποι τυφλοί, κωφοί, ἀνόητοι, ἀναισχύντως ἐπιχειροῦντες πεῖσαι τοὺς ἀνθρώπους, ὅτι εἰσὶν ἴσοι. Ἀλλὰ ποῦ ἵσταται καὶ ποῦ στηρίζεται ἡ τοιαύτη ἰσότης; εἰς τοὺς ἔξω χαρακτῆρας τῶν ἀνθρώπων; ἢ εἰς τοὺς ἔσω; ἢ εἰς τὰς ἐνδοτέρας αὐτῶν διαθέσεις; ἀλλ' ὅσοι ἄνθρωποι, τόσαι καὶ αἱ τῶν ἔξω χαρακτήρων ἀνισότητες· ὅσοι ἄνθρωποι, τόσαι καὶ αἱ τοῦ νοὸς αὐτῶν διαφοραί· ὅσοι ἄνθρωποι, τόσαι καὶ αἱ τούτων διαθέσεις· ὁ νόμος, ὁ λόγος, τὰ πράγματα ἡ φύσις, ἡ αἴσθησις πείθει, ὅτι ἐσμὲν ἄνισοι· πῶς οὖν, καὶ κατὰ τί ἐσμεν ἴσοι; Μήπως λέγουσιν αὐτοί, ὅτι ἐσμὲν ἴσοι, ἐπειδὴ τὰ σώματα πάντων ἐκ τῆς γῆς εἰσιν; ἀλλ' ἐκ τῆς γῆς ἐστι καὶ τὸ χρυσίον, καὶ ὁ ἀδάμας, καὶ ὁ σίδηρος καὶ ὁ μόλυβδος, καὶ ὁ ὑδράργυρος· ἴσα ἆρά γε λέγουσι καὶ αὐτά; Ἐκ τοῦ αὐτοῦ πηλοῦ ὁ κεραμεὺς πλάττει σκεύη μικρά, μεγάλα, πολυτελῆ, εὐτελῆ, κεχρυσωμένα, περιηργυρωμένα, πρὸς διαφόρους ὑπηρεσίας χρήσιμα· ἆρά γε καὶ αὐτὰ νομίζουσιν ἴσα; Ἐπὶ τούτοις, ἐν ὅσῳ ζῶμεν τὸ σῶμα ἡμῶν οὐκ ἔστι γῆ, ἀλλ' ὀστέα, νεῦρα, φλέβες, σάρξ, αἷμα, ζωτικὸν πνεῦμα, καρδία, πνεύμων, ἧπαρ, καὶ τὰ λοιπά· ἀλλὰ ταῦτα πάντα μετὰ θάνατον γίνονται γῆ· ἀλλ' αὐτοὶ λέγουσιν, ὅτι οἱ ζῶντές εἰσιν ἴσοι· ὥςε τὸ τούτων ἐπιχείρημα φαίνεται τοιοῦτον· ἐπειδὴ τὰ σώματα τῶν ἀνθρώπων μετὰ θάνατον γίνονται γῆ· ἄρα οἱ ἄνθρωποι οἱ ζῶντές εἰσιν ἴσοι· Ποῖον τούτου τοῦ σοφίσματος, ἢ παραλογώτερον, ἢ πανουργότερον;

Ὁ Θεὸς ἐποίησε πάντα τὰ ἑαυτοῦ κτίσματα ἄνισα, ἵνα ἐκ τῆς συνδρομῆς τῶν ἀνίσων, καὶ ἐκ τῆς τούτων ποικιλίας καταρτίζηται, καὶ καθωραΐζηται τοῦτο τὸ πάνσοφον καὶ ὑπερθαύμαςον σύστημα τοῦ παντός. Βλέπει δὲ ταύτην τὴν ἀλήθειαν, ὅστις ἀκριβῶς παρατηρεῖ, ὅτι ἡ ἀνισότης συνδέει, καὶ ἡ ποικιλία καλλωπίζει τὰ σύμπαντα. Ὁ Θεὸς ἔπλασε τοὺς ἀνθρώπους ἀνίσους, ἵνα ἡ τούτων ἀνισότης ἀναγκάζῃ αὐτούς, ἵνα ὁμοῦ συζῶσι, καὶ συμπολιτεύωνται· ἡ ἀνισότης ἀναγκάζει αὐτοὺς ὁμοῦ συμβιοτεύειν, ἵνα τὸ ὑστέρημα τοῦ ἑνὸς ἀναπληροῦται ὑπὸ τοῦ πλεονάσματος τοῦ ἄλλου. Ἐὰν πάντες οἱ ἄνθρωποι ἦσαν κατὰ πάντα ἴσοι, οὐδεὶς χρείαν εἶχε τῆς τῶν ἄλλων βοηθείας· ὅθεν ἐλύετο τῆς ἑνώσεως ὁ δεσμός, καὶ ἐφθείροντο αἱ βασιλεῖαι, καὶ ἐξηφανίζοντο αἱ πόλεις, καὶ ἐξουδενοῦντο πᾶσαι αἱ τῶν ἀνθρώπων ὁμηγύρεις.

Ἐκ τούτων τίς οὐ βλέπει, ὅτι τὸ σύςημα τῆς ἰσότητός ἐστι πλάσμα τῆς φαντα-

(1) Γεν. 25, 27.



σίας ἀνύπαρκτον, καὶ οὐχὶ δικαίωμα τοῦ τῶν ἀνθρώπων γένους; Αὐτό ἐςιν ἐφεύρημα βλαβερωτάτης πονηρίας, ἐξαφανίζον τὰ ἀληθινὰ καὶ ὑπαρκτικτὰ τῶν ἀνθρώπων δικαιώματα· ἀπάτη ἐστίν, ἥτις ἀναποδίζει πάντας τοὺς νόμους καὶ πᾶσαν εὐταξίαν· πληροῖ δὲ ὑπερηφανείας τὸν νοῦν τῶν εὐτελεςέρων ἀνθρώπων, ἐξαλείφει τὴν πρὸς ἀλλήλους ἀναγκαίαν εὐλάβειαν καὶ ὑπακοήν, καὶ συμφορὰς προξενεῖ ἀναριθμήτους καὶ ὑπερβολικὰς δυστυχίας· διότι ἡ φαντασία τῆς ἰσότητος ἐγείρει τὸν δοῦλον κατὰ τοῦ δεσπότου, καὶ τοὺς ἰδιώτας κατὰ τῶν ἀρχόντων, καὶ τὸ ὑπήκοον κατὰ τοῦ βασιλέως· ἐγείρει τὸν υἱὸν κατὰ τοῦ πατρός, καὶ τὴν θυγατέρα κατὰ τῆς μητρὸς αὐτῆς, καὶ φυτεύουσα εἰς τὰς καρδίας τῶν ἀνθρώπων τῆς ἀκαταςασίας καὶ ἀποςασίας τὸ πνεῦμα, ἐξολοθρεύει οὐ μόνον τὰς πόλεις καὶ χώρας, ἀλλὰ καὶ αὐτὸ τὸ γένος τῶν ἀνθρώπων. Τὸ σύστημα τῆς ἰσότητός ἐστιν ὁ φθορεὺς τῆς ἐκκλησίας· διότι, ἐὰν αὐτὸ εἰσέλθῃ εἰς τὰς καρδίας τῶν πιστῶν, μὴ γένοιτο, Κύριε, ἐξουδενοῖ καὶ αὐτὴν τὴν ἐκκλησιαστικὴν ἱεραρχίαν, ἐξ ἧς διευθύνονται, καὶ σώζονται αἱ τῶν ἀνθρώπων ψυχαί· αὐτὸ τὸ σύστημά ἐστιν ὁ διδάσκαλος τῆς ἀπιστίας· διότι, ὅστις πιστεύει, ὅτι οἱ ἄνθρωποί εἰσιν ἴσοι, ἐκεῖνος ἀρνεῖται τὴν ἀληθῆ διδασκαλίαν τῶν Θείων Γραφῶν, καὶ γίνεται ἀσεβὴς καὶ ἄπιστος. Αἱ Θεῖαι Γραφαὶ διδάσκουσιν, ὅτι ὁ Θεὸς χειροτονεῖ τοὺς ἐξουσιαστὰς καὶ ἄρχοντας· « Οὐκ εἶχες ἐξουσίαν » οὐδεμίαν κατ' ἐμοῦ, εἶπεν ὁ Κύριος πρὸς » τὸν Πιλάτον, εἰ μὴ ἦν σοι δεδομένον ἄνω- » θεν » (1)· καὶ ὅτι συντάσσων τὰ δικαιώματα αὐτοῦ μετὰ τῶν δικαιωμάτων τῶν βασιλέων, θέλει, ἵν' ἀποδίδωμεν εἰς τοὺς βασιλεῖς, ὅσα πρέπουσιν εἰς αὐτούς, καθὼς ἀποδίδομεν, ὅσα πρέπουσιν εἰς αὐτόν· « Ἀπόδοτε οὖν, εἶπε, τὰ Καίσαρος Καί- » σαρι, καὶ τὰ τοῦ Θεοῦ, τῷ Θεῷ » (2)· « Πᾶσα ψυχή, εἶπεν, ἐξουσίαις ὑπερεχού- » σαις ὑποτασέσθω· οὐ γάρ ἐστιν ἐξουσία, » εἰ μὴ ἀπὸ Θεοῦ· αἱ δὲ οὖσαι ἐξουσίαι, » ὑπὸ τοῦ Θεοῦ τεταγμέναι εἰσίν· ὥστε, ὁ » ἀντιτασσόμενος τῇ ἐξουσίᾳ τῇ τοῦ Θεοῦ » διαταγῇ ἀνθέστηκεν· οἱ δὲ ἀνθεστηκό- » τες, ἑαυτοῖς κρίμα λήψονται » (3). Τί δὲ ἄλλο διδάσκουσι ταῦτα, εἰ μὴ τὴν ὑπεροχήν, καὶ τὴν μεταξὺ τῶν ἀνθρώπων ἀνισότητα; τί ἄλλο, εἰ μὴ ὅτι ὁ Θεὸς καθιστᾷ τοὺς βασιλεῖς εἰς τὸν θρόνον τῆς ἐξουσίας; τί ἄλλο, εἰ μὴ ὅτι ὅστις ἐναντιοῦται εἰς ταύτην τὴν ἀνισότητα, ἐκεῖνος ἐναντιοῦται εἰς τὸν Θεόν, τὸν ταύτην ποιήσαντα; τίς δὲ ἄλλος ἐναντιοῦται εἰς ταύτην τὴν ἀνισότητα, εἰ μὴ ὅστις οὐ μόνον κηρύττει ἰσότητα μεταξὺ τῶν ἀνθρώπων, ἀλλὰ καὶ ἐπαγγέλλεται μῖσος ἄσπονδον, καὶ παντελῆ ἀφανισμὸν τῶν βασιλέων καὶ ἀρχόντων; ὅτι δὲ ὁ τοιοῦτός ἐστιν ἀσεβὴς καὶ ἄπιστος, οὐδεμιᾶς ἀποδείξεως ἔχει χρείαν.

Ἀδελφοί μου χριστιανοί, προσέχετε ἑαυτοῖς, καὶ διακρίνατε, πόσον παράλογός ἐςι τῆς ἰσότητος τῶν ἀνθρώπων ἡ διδασκαλία· κατανοήσατε, καὶ γνῶτε, ὅτι ὁ σκοπὸς αὐτῆς ἐστιν ἡ καταστροφὴ τῆς πίστεως, καὶ ἡ οἰκοδομὴ τῆς ἀσεβείας· ἐμβλέψατε καὶ ἴδετε, ὁποῖά εἰσι τὰ ἐλεεινὰ αὐτῆς ἀποτελέσματα. Τὴν τῶν ἀνθρώπων ἀνισότητα ᾠκονόμησεν αὐτὸς ὁ δημιουργὸς τῆς κτίσεως, ἵνα ὁ καθεὶς χρείαν ἔχῃ τῆς τῶν ἄλλων βοηθείας· ἐκ τούτου δὲ πάντες πλησιά-

(1) Ἰωάν. 19, 11. (2) Ματθ. 22, 21. (3) Ῥωμ. 13, 1, 2.

ζουσιν ἀλλήλοις, καὶ ἀγαπῶσιν ἀλλήλους, καὶ συνιστῶσι τὰς πόλεις, καὶ τὰς βασιλείας, καὶ τὰς κοινὰς τῶν ἀνθρώπων ὁμηγύρεις, ἐν αἷς αὐτὸς ὁμοφώνως ἐν γῇ δοξάζεται ὑπὸ τῶν ἀνθρώπων, καθὼς καὶ ἐν οὐρανῷ ὁμοθυμαδὸν ὑπὸ τῶν ἁγίων ἀγγέλων· καθὼς δὲ διὰ τῆς ἀνισότητος πάντων τῶν λοιπῶν κτισμάτων ἐτεχνίτευσεν ἡ σοφία τοῦ Θεοῦ τὸ ὡραῖον καὶ πάντερπνον σύςημα τοῦ κόσμου, οὕτω διὰ τῆς ἀνισότητος τῶν ἀνθρώπων ἐσύστησε καὶ ἐστερέωσεν οὐ μόνον τὰς πόλεις, ἀλλὰ καὶ αὐτὴν τὴν ἁγίαν αὐτοῦ ἐκκλησίαν. Ἀδελφοί μου, μνημονεύετε, τί εἶπε ῥητῶς τὸ Πνεῦμα τὸ ἅγιον· « Ἐν ὑστέροις καιροῖς, εἶπεν, ἀπο» στήσονταί τινες τῆς πίστεως, προσέχον» τες πνεύμασι πλάνης καὶ διδασκαλίαις » δαιμονίων » (1)· μὴ οὖν πλανᾶσθε ὑπὸ τῆς δαιμονικῆς διδασκαλίας τῶν ἀποστησάντων ἀπὸ τῆς προτέρας αὐτῶν πίςεως, καὶ κηρυττόντων τὴν πλάνην τῆς τῶν ἀνθρώπων ἰσότητος· μὴ πλανηθῆτε, νομίζοντες, ὅτι πάντες ἐσμὲν ἴσοι, καὶ οὐδείς ἐςιν ἡμῶν ἀνώτερος· ἀλλὰ βλέποντες τὰς ὑπ' αὐτοῦ τοῦ παντοκράτορος Θεοῦ διορισθείσας μεταξὺ τῶν ἀνθρώπων ἐπισήμους ἀνισότητας, ἀποστρεφόμενοι τὸ πανώλεθρον τῆς ἰσότητος σύστημα, « ὑποτάγητε πά» σῃ ἀνθρωπίνῃ κτίσει διὰ τὸν Κύριον, εἴτε » βασιλεῖ, ὡς ὑπερέχοντι, εἴτε ἡγεμόσιν, » ὡς δι' αὐτοῦ πεμπομένοις εἰς ἐκδίκησιν » μὲν κακοποιῶν, ἔπαινον δὲ ἀγαθοποιῶν (2)· » ὅτι οὕτως ἐστὶ τὸ θέλημα τοῦ Θεοῦ· ἀπό» δοτε πᾶσι τὰς ὀφειλάς· τῷ τὸν φόρον, » τὸν φόρον· τῷ τὸ τέλος, τὸ τέλος· τῷ τὸν » φόβον, τὸν φόβον· τῷ τὴν τιμήν, τὴν τι» μήν » (3). Γένοιτο.

# ΟΜΙΛΙΑ

ΜΕΤΑ ΤΗΝ ΠΡΟΣ

## ΤΙΤΟΝ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΠΑΥΛΟΥ

### ΤΗΝ ΑΝΑΓΙΝΩΣΚ. ΤΗι ΚΥΡΙΑΚΗι ΤΩΝ ΠΑΤΕΡΩΝ ΤΗΣ Δ'. ΣΥΝΟΔΟΥ.

ΕΑΝ ὁ φιλανθρωπότατος Θεὸς ἔχῃ ἕτοιμον ἀνταπόδοσιν καὶ δι' ἐκεῖνον, ὅστις δροσίσῃ τὴν δίψαν τοῦ πλησίον αὐτοῦ διὰ μόνου ψυχροῦ ὕδατος (4), πόσας μισθαποδοσίας ἔδωκε, καὶ ἔτι δώσει ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως εἰς τοὺς σήμερον ὑμνολογουμένους πανενδόξους πατέρας, οἵτινες ἐδρόσισαν τὰς τῶν ἀνθρώπων ψυχάς, ποτίσαντες αὐτοὺς οὐχὶ ὕδωρ ψυχρὸν καὶ φθαρτόν, ἀλλὰ τὸ ὕδωρ τὸ ζωηρὸν καὶ ἄφθαρτον καὶ ἁλλόμενον, « Εἰς ζωὴν αἰώνιον » (5), ἤγουν τὸ δόγμα τῆς ὀρθοδόξου καὶ σωτηριώδους πίςεως; Οὗτοι οἱ οὐρανοφάντορες ἐν τῇ κατὰ τὴν Χαλκηδόνα τετάρτῃ οἰκουμενικῇ συνόδῳ

(1) Α'. Τιμ. 4, 1. (2) Α'· Πέτρ. 2, 13, 14, 15. (3) Ῥωμ.. 13, 7. (4) Ματθ. 10, 42. (5) Ἰωάν. 4, 14.



συνελθόντες, καθεῖλον μὲν τὸν αἱρεσιάρχην Εὐτυχῆ, ἅμα καὶ τοὺς τούτου μαθητὰς καὶ προμάχους, τὸν ἐναντίον τοῦ εὐαγγελικοῦ κηρύγματος, συγχέοντα δυσσεβῶς καὶ παραλόγως εἰς μίαν τὰς δύο φύσεις καὶ τὰς δύο ἐνεργείας τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ· τοῖς δὲ εὐαγγελικοῖς δόγμασιν ἑπόμενοι, εὐλόγως ἐκήρυξαν, καὶ εὐσεβῶς ἐδίδαξαν δύο τὰς ἐν Χριστῷ φύσεις, καὶ δύο τὰς ἐνεργείας, τὴν θείαν καὶ τὴν ἀνθρώπινον· ἐγένετο δὲ ἀληθῶς τοῦτο τῆς ὀρθοδόξου διδασκαλίας αὐτῶν τὸ ὕδωρ « Πηγὴ » ὕδατος » (1), ἐξ οὗ οἱ πίνοντες ἅλλονται, τουτέστιν ὡς πηδῶντες φθάνουσιν εἰς τὴν ζωὴν τὴν αἰώνιον. Βλέπομεν δὲ ἡμεῖς ἐπὶ τῆς γῆς τὰ ἴχνη καὶ τὴν σκιὰν ἐκείνης τῆς δόξης, ἧς αὐτοὶ οἱ τρισμακάριοι ἀπολαμβάνουσιν ἐν οὐρανοῖς· διότι ἡ τοῦ Χριστοῦ ἐκκλησία τοσούτους αἰῶνας κατὰ πᾶν ἔτος τὴν ἀνάμνησιν ποιοῦσα τῆς τούτων συνοδικῆς συνελεύσεως, ἐνδόξως πανηγυρίζει, καὶ μετὰ πολλῶν ἐπαίνων ἐγκωμιάζει τὸν ἔνθεον τῆς ψυχῆς αὐτῶν ζῆλον, καὶ τὰ ἡρωϊκὰ καὶ σωτηριώδη αὐτῶν κατορθώματα· εἰς δόξαν δὲ καὶ τιμὴν αὐτῶν ἀναγινώσκει τὴν σήμερον καὶ τὸ μέρος τῆς πρὸς Τίτον ἐπιστολῆς τοῦ θεηγόρου Παύλου, ἵνα ἀποδείξῃ, ὅτι, ὅσα αὐτὸς ἐπ' ὀνόματι τοῦ Τίτου παρήγγειλεν εἰς τοὺς τῆς ἐκκλησίας ποιμένας, ταῦτα πάντα αὐτοὶ θαυμασίως ἐξετέλεσαν.

Κἂν ἄλλοτε διηρμηνεύθησαν τὰ τῆς σήμερον ἀναγνωσθείσης ἀποστολικῆς ἐπιστολῆς λόγια (2), ἀναμελετήσωμεν ὅμως πάλιν τὰ αὐτά, καὶ μετ' εὐλαβείας ἀνερευνήσωμεν· τὸ αὐτὸ μὲν θέαμα πολλάκις βλεπόμενον χορτάζει, ὁμοίως καὶ τὸ αὐτὸ ἄκουσμα πολλάκις ἀκουόμενον, καὶ ἡ αὐτὴ τροφὴ πολλάκις ἀναμασσωμένη· ἀλλὰ τὸν λόγον τοῦ Θεοῦ, κἂν καθ' ἑκάςην ὥραν ἀναγινώσκῃ, ἢ ἀκούῃ, ἢ μελετᾷ ὁ εὐσεβὴς καὶ φιλόθεος ἄνθρωπος, οὐδέποτε κόρον λαμβάνει, ἀλλὰ πάντοτε ἐπιθυμεῖ τὴν τούτου ἀνάγνωσιν καὶ ἔρευναν καὶ μελέτην· καὶ φωτίζεται ἀναγινώσκων, καὶ ὠφελεῖται ἐξετάζων, καὶ γλυκαίνεται μελετῶν τὰ ἐν αὐτῷ ψυχωφελῆ νοήματα· « Ἐπιθυμητά εἰσι » τὰ λόγια τοῦ Κυρίου ὑπὲρ χρυσίον καὶ » λίθον τίμιον πολύν, καὶ γλυκύτερα ὑπὲρ » μέλι καὶ κηρίον » (3). Γλυκύτατά εἰσι καὶ ἐν τῷ στόματι καὶ ἐν τῷ λάρυγγι, ἤγουν καὶ ἐν τῇ διανοίᾳ καὶ ἐν τῇ ψυχῇ τῶν εὐσεβῶν τοῦ Θεοῦ τὰ λόγια, ἐπειδὴ τὴν μὲν διάνοιαν φωτίζουσι διὰ τοῦ γλυκεροῦ φωτὸς τοῦ θείου Πνεύματος, τὴν δὲ ψυχὴν εὐφραίνουσι διὰ τῆς γλυκυτάτης εὐφροσύνης τῆς θείας χάριτος· ὁποῖος δὲ γίνεται ὁ ἄνθρωπος ἐκ τῆς τοιαύτης μελέτης καὶ ἐξετάσεως, περιέγραψεν ὁ ἅγιος προφητάναξ, εἰπών· « Ἐν τῷ νόμῳ αὐτοῦ μελετήσει ἡμέ» ρας καὶ νυκτός· καὶ ἔςαι ὡς τὸ ξύλον τὸ » πεφυτευμένον παρὰ τὰς διεξόδους τῶν » ὑδάτων, ὃ τὸν καρπὸν αὐτοῦ δώσει ἐν » καιρῷ αὐτοῦ, καὶ τὸ φύλλον αὐτοῦ οὐκ » ἀποῤῥυήσεται, καὶ πάντα ὅσα ἂν ποιῇ, » κατευοδωθήσεται » (4)· περιερευνήσωμεν οὖν πάλιν τὰ αὐτά, οὐχὶ ὅμως πάντα, ἐπειδὴ οὐδὲ ὁ καιρὸς τοῦτο συγχωρεῖ, οὐδὲ ἡ δύναμις· μέρος δὲ μόνον, ἤγουν ταῦτα τὰ δύο ῥήματα· « Πιστὸς ὁ λόγος » (5)· καὶ μὴ νομίσητε, ὅτι, ἐπειδή εἰσιν ὀλίγα, περιέχουσιν ὀλίγα, ἢ μικρὰ νοήματα· διότι ἐξ αὐτῶν μόνον ῥέουσι νοήματα, ὅσα δύνανται καὶ τοὺς ἀπίστους ἑλκύσαι, καὶ τοὺς

(1) Ἰωάν. 4. 14. (2) Τῇ Κυρ. τῶν Πατέρ. τῆς Ζ'. Συνόδου. Τίτ. 3. 8. Αὐτ. (3) Ψαλμ. 18. 10. Ψαλμ. 118. 103. (4) Ψαλ. 1. 2. 3.

πιςτοὺς στηρίξαι εἰς τὴν εἰς Χριςὸν πίςιν, καὶ ὁδηγῆσαι πρὸς τὸν ἅγιον τῶν θείων ἐντολῶν δρόμον.

Ὅτι μὲν ὁ Παῦλος εἰπών, « Πιστὸς ὁ » λόγος » (1), ἐφανέρωσε διὰ τούτου, ὅτι τὸ εὐαγγελικὸν κήρυγμά ἐστιν ἀξιόπιστον καὶ ἀναμφίβολον, καὶ βέβαιον· ἐπιμαρτυροῦσι τὰ ἑξῆς ὑπ' αὐτοῦ προστεθέντα λόγια εἰς τὴν πρὸς Τιμόθεον ἐπιστολήν· « Πιστὸς ὁ » λόγος, ἔγραψε πρὸς αὐτόν, καὶ πάσης » ἀποδοχῆς ἄξιος » (2). Ποῖος δὲ λόγος; « ὅτι Χριστὸς Ἰησοῦς ἦλθεν εἰς τὸν κόσμον » ἁμαρτωλοὺς σῶσαι »· οὗτός ἐςιν ὁ λόγος ὁ πιστός· τὸ δέ, πόθεν ἔχει τὸ ἀξιόπιστον, ἤγουν τὰς ἀποδείξεις, τοῦτό ἐστι τὸ πάσης περιεργείας ἄξιον· καλὴ δὲ ἡ τοιαύτη περιέργεια· διότι ἐξ αὐτῆς ἡ ἔρευνα, ἐκ τῆς ἐρεύνης ἡ μάθησις, ἐκ τῆς μαθήσεως ἡ ἀπόδειξις, ἐκ τῆς ἀποδείξεως ἡ πληροφορία, ἐκ τῆς πληροφορίας ὁ ζῆλος, ἐξ αὐτοῦ δὲ ἡ ἔνθερμος πίστις, καὶ τῶν θείων ἐντολῶν ἡ ἐκπλήρωσις, ἐκ τούτου δὲ ἡ αἰώνιος σωτηρία. Ἀλλ' ἆρά γε ἔχει ἡ πίστις ἀπόδειξιν; « Ἔ» στι δὲ πίστις, λέγει ὁ θεοφόρος Παῦλος, » ἐλπιζομένων ὑπόστασις, πραγμάτων ἔ» λεγχος οὐ βλεπομένων » (3). Τὰ ἐλπιζόμενά εἰσιν ἀβέβαια, τὰ μὴ βλεπόμενά εἰσι δυσνόητα· ποία οὖν ἀπόδειξις περὶ τῶν ἀβεβαίων καὶ δυσνοήτων; μόλις ἡμεῖς δυνάμεθα ἀποδεῖξαι τὰ ὁρώμενα, καὶ αἰσθητά, καὶ ψηλαφώμενα. Ἀκούσατέ μου περὶ τούτου· πᾶσα ὑπόθεσις οὐκ ἐπιδέχεται τὰς αὐτὰς ἀποδείξεις, ἀλλὰ πᾶσα μάθησις, καὶ ἐπιστήμη, καὶ τέχνη, ἔχει ἰδίας ἀποδείξεις· ἄλλας ἀποδείξεις ἔχουσιν αἱ λεγόμεναι μαθηματικαὶ ἐπιστῆμαι· ἄλλας, ἡ ἀστρονομία· ἄλλας, ἡ φυσιολογία, ἄλλας, ἡ ἱςορία· ἄλλας, ἡ ἠθολογία· ἄλλας, ἡ ἰατρολογία· ἄλλας, ἡ θεολογία· παραλογεῖ δὲ καὶ ἐπιχειρεῖ τὰ ἀδύνατα, ὅστις σπουδάζει ἐφαρμόσαι τὰς γεωμετρικάς, ἢ ἀριθμητικὰς ἀποδείξεις ἐπὶ πᾶσαν ἄλλην μάθησιν καὶ ὑπόθεσιν. Καὶ ποῖαι μέν εἰσιν αἱ ἀποδείξεις πάσης ἄλλης μαθήσεως, διδάσκουσιν εἰς τὰ σχολεῖα οἱ σοφοὶ διδάσκαλοι· ποίας δὲ ἀποδείξεις ἔχει ἡ πίστις, ἐδίδαξεν ἡμᾶς ὁ ἐπουράνιος ἄνθρωπος, ὁ οὐρανομύστης καὶ θεορρήμων Παῦλος· « Καὶ ὁ λόγος μου, εἶπε, » καὶ τὸ κήρυγμά μου οὐκ ἐν πειθοῖς ἀν» θρωπίνης σοφίας λόγοις, ἀλλ' ἐν ἀποδείξει πνεύματος καὶ δυνάμεως » (4)· τοῦτο δέ, λέγει, ηὐδόκησεν ὁ Θεός, ἵνα μὴ λογισθῇ ἡ πίστις μηχανὴ καὶ κατασκεύασμα τῆς σοφίας τῶν ἀνθρώπων, ἀλλ' ἔργον καὶ κατόρθωμα τῆς θείας δυνάμεως· « Ἵνα ἡ πίστις » ἡμῶν μὴ ᾖ ἐν σοφίᾳ ἀνθρώπων, ἀλλ' ἐν » δυνάμει Θεοῦ » (5).

Ποία δέ ἐστιν ἡ ἀπόδειξις τοῦ πνεύματος, καὶ ποία ἡ τῆς δυνάμεως; τοῦ μὲν πνεύματος ἡ ἀπόδειξίς εἰσι τὰ θαύματα· τῆς δὲ δυνάμεως, ἡ βοήθεια τῆς θείας χάριτος· ἡ χάρις συνεργεῖ, καὶ βοηθεῖ ἡμᾶς, ἵνα πιστεύσωμεν, τὰ θαύματα ἐφέλκουσι, καὶ ἐπιστηρίζουσιν ἡμᾶς εἰς τὴν πίστιν· « ἐκεῖνοι δέ, ἤγουν οἱ Ἀπόστολοι, λέγει ὁ » Εὐαγγελιςής, ἐξελθόντες, ἐκήρυξαν παν» ταχοῦ, τοῦ Κυρίου συνεργοῦντος » (6)· ἰδοὺ ἡ συμβοήθεια τῆς χάριτος· « Καὶ τὸν » λόγον βεβαιοῦντος διὰ τῶν ἐπακολουθούν» των σημείων »· ἰδοὺ ἡ ἐκ τῶν θαυμάτων βεβαίωσις καὶ τὸ στήριγμα.

Καὶ ἡ μὲν χάρις τοῦ Θεοῦ φωτίζει πάντας, ἐπειδὴ ὁ Θεὸς πάντας τοὺς ἀνθρώπους ἐπίσης ἀγαπῶν, καθότι πάντες ἐπίσης εἰσὶ

(1) Τίτ. 3. 8. (2) 1. Τιμ. 1. 15. (3) Ἑβρ. 11. 1. (4) 1. Κορ. 2. 4. (5) Αὐτ. 5. (6) Μάρκ. 16. 20.



κτίσματα αὐτοῦ. « Πάντας ἀνθρώπους θέ» λει σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας » ἐλθεῖν » (1)· ὅθεν ὡς ἐκ μέρους τῆς χάριτος πάντες εἰσὶ καὶ πεφωτισμένοι, καὶ σεσωσμένοι· τοῦτο δέ ἐστι τὸ ὑπὸ τοῦ Παύλου εἰρημένον· « Τῇ γὰρ χάριτί ἐστε σε» σωσμένοι διὰ τῆς πίστεως » (2). Οὐδὲν δὲ θαυμαστόν, ἐὰν πολλοὶ ὑπὸ τῆς χάριτος φωτιζόμενοι, οὐ πιςεύωσι· διότι καὶ ὁ ἦχος τοῦ λαλοῦντος πίπτει εἰς τὰ ὦτα πάντων τῶν περιεστώτων, καὶ τὸ φῶς τοῦ ἡλίου εἰς τὰ ὄμματα τῶν ἐνατενιζόντων εἰς τὰς ἀκτῖνας αὐτοῦ, πλὴν οὐδὲ οἱ κωφοὶ ἀκούουσι τὸν ἦχον, οὐδὲ οἱ τυφλοὶ βλέπουσι τὸ φῶς· ἔρχεταὶ μὲν τοῦ Θεοῦ ἡ χάρις εἰς τὴν καρδίαν παντὸς ἀνθρώπου, καὶ λαλεῖ, καὶ φωτίζει· πλὴν οὐ καρποφορεῖ οὐδὲ εἰς τοὺς ὑπὸ τῆς σκληροκαρδίας αὐτῶν κεκωφωμένους, οὐδὲ εἰς τοὺς ὑπὸ τοῦ σκότους τῶν παθῶν τετυφλωμένους· εἰς ἐκείνους δὲ μόνον ἐνεργεῖ, ὅσοι καὶ τὴν καρδίαν ἔχουσιν ἁπαλὴν ὑπὸ τῆς ἀγαθότητος, καὶ τὸν νοῦν ἐλεύθερον ὑπὸ τῆς τῶν παθῶν τυραννίας· « Ἔ» χαιρον », λέγει ὁ ἱερὸς Λουκᾶς περὶ τῶν ἐν Ἀντιοχείᾳ τῆς Πισιδίας ἐθνικῶν, « καὶ » ἐδόξαζον τὸν λόγον τοῦ Κυρίου· καὶ ἐπί» στευσαν, ὅσοι ἦσαν τεταγμένοι εἰς ζωὴν » αἰώνιον » (3).

Ἀλλὰ τῆς χάριτος, λέγεις, οἱ φωτισμοὶ καὶ ἡ ἐνέργεια οὐκ εἰσὶ πράγματα αἰσθητὰ καὶ ὁρατά. Τίς βλέπει, ἢ τίς αἰσθάνεται, ὅτι ἡ χάρις φωτίζει καὶ ἐνεργεῖ; ἐκεῖνος βλέπει, καὶ αἰσθάνεται, ὅστις ἄπιστος ὤν, ἐν ῥιπῇ ὀφθαλμοῦ μεταβάλλεται ἐκ τῆς ἀπιστίας εἰς τὴν πίστιν· αὐτὸς βλέπων ἐν ἑαυτῷ τὴν τοιαύτην ἀλλοίωσιν, γνωρίζει τῆς χάριτος τὴν δύναμιν· εἶδον, καὶ ᾐσθάνθησαν τὸν φωτισμόν, καὶ τὴν ἐνέργειαν τῆς χάριτος, « ψυχαὶ ὡσεὶ τρισχίλιαι » (4), ὁμοίως καὶ ὡσεὶ πέντε χιλιάδες ἀνδρῶν, οἵτινες ἀκούσαντες τὸν Πέτρον διδάσκοντα τοῦ Θεοῦ τὸν λόγον, ἐπίστευσαν εὐθὺς εἰς τὸν Ἰησοῦν Χριστόν, καὶ ἐβαπτίσθησαν· οἱ δὲ μὴ πιστεύοντες οὐδὲ βλέπουσιν, οὐδὲ αἰσθάνονται τῆς θείας χάριτος τὴν ἐνέργειαν, οὐ καθότι ἡ χάρις οὐκ ἐφώτισεν, οὐδὲ ἐνήργησεν ἐν αὐτοῖς, ἀλλὰ καθότι αὐτοὶ τυφλοὶ καὶ ἀναίσθητοι ὄντες ὑπὸ τῆς κακίας, οὐδὲ εἶδον, οὐδὲ ᾐσθάνθησαν τὸ φῶς, καὶ τὴν ἐνέργειαν τῆς χάριτος.

Ὅτι δὲ τὰ θαύματα ἐφελκυστικὰ καὶ βεβαιωτικά εἰσι τῆς πίστεως καὶ διὰ λόγου, καὶ διὰ τῶν ἔργων, ἐδίδαξεν ἡμᾶς ὁ Θεάνθρωπος· διὰ λόγου μέν, εἰπών· « αὐτὰ τὰ » ἔργα, ἃ ἐγὼ ποιῶ, μαρτυρεῖ περὶ ἐμοῦ, » ὅτι ὁ πατήρ με ἀπέσταλκε (5)· Τὰ ἔργα, » ἃ ἐγὼ ποιῶ ἐν τῷ ὀνόματι τοῦ πατρός » μου, ταῦτα μαρτυρεῖ περὶ ἐμοῦ » (6). Δι' ἔργου δέ, ὅταν αὐτὸς μὲν ὡς Θεὸς συγχωρήσας τὰς ἁμαρτίας τοῦ παραλυτικοῦ, εἶπε· « Τέκνον ἀφέονταί σοι αἱ ἁμαρτίαι » σου » (7)· οἱ δὲ γραμματεῖς οἱ ἐκεῖ καθήμενοι διελογίζοντο, ὅτι λαλεῖ βλασφημίας· τότε, ἵνα ἀποδείξῃ, ὅτι ἐξουσίαν ἔχει ὡς Θεὸς συγχωρεῖν τὰς ἁμαρτίας, ἐθαυματούργησε, σφίγξας τοῦ παραλύτου τὰ μέλη δι' ἑνὸς προστακτικοῦ λόγου, καὶ ποιήσας αὐτὸν ὑγιῆ καὶ ῥωμαλέον· « Ἵνα δὲ » εἰδῆτε, εἶπεν, ὅτι ἐξουσίαν ἔχει ὁ Υἱὸς » τοῦ ἀνθρώπου ἀφιέναι ἐπὶ τῆς γῆς ἁμαρ» τίας, λέγει τῷ παραλυτικῷ· σοὶ λέγω, » ἔγειραι, καὶ ἆρον τὸν κράββατόν σου, » καὶ ὕπαγε εἰς τὸν οἶκόν σου » (8). Ἀπέδειξε διὰ τοῦ θαύματος, ὅτι ἐςὶ Θεὸς ἀληθινός.

(1) 1. Τιμ. 2. 4. (2) Ἐφεσ. 2. 8. (3) Πράξ. 13. 48. (4) Πράξ. 2. 41. Πράξ. 4. 4. (5) Ἰωάν. 5. 36. (6) Ἰωάν. 10. 25. (7) Μάρκ. 2. 5. (8) Αὐτ. 10. 11.

Διὰ τοῦτο ἡ πάνσοφος τοῦ Θεοῦ πρόνοια ἀπ' ἀρχῆς κόσμου κατεσκεύασε μίαν ἀλληλένδετον σειρὰν θαυμάτων· ἀποδεικτικῶν τῆς εἰς τὸν Χριστὸν πίστεως· πρὸ Χριστοῦ ἐποίησε θαύματα συμβολικὰ, θαύματα προκατασκευαστικά, θαύματα προορατικά· ἐπὶ Χριστοῦ δὲ καὶ μετὰ Χριστὸν παντὸς εἴδους θαυμάσια. Ἕβδομος, ἀπὸ Ἀδὰμ ὁ Ἐνὼχ εὐαρεστήσας τῷ Θεῷ οὐκ ἀπέθανεν, ἀλλὰ μετετέθη (1)· σύμβολον τοῦτο τῶν ἀνθρώπων, τῶν διὰ τῆς εἰς Χριστὸν πίστεως εὐαρεστησάντων τῷ Θεῷ, καὶ μετατεθέντων ἐκ τῆς φθορᾶς τοῦ θανάτου εἰς τῆς ζωῆς τὴν ἀφθαρσίαν· θείᾳ δυνάμει κατασκευάζει κιβωτὸν ὁ Νῶε, δι' αὐτῆς δὲ σώζει ἐκ τοῦ κατακλυσμοῦ τοῦ ὕδατος τῶν ἀνθρώπων τὸ γένος· σύμβολον τοῦτο τῆς ἐκκλησίας, ἣν τῇ δυνάμει τῆς θεότητος αὐτοῦ οἰκοδομήσας ὁ Χριστὸς, δι' αὐτῆς σώζει τὰς ψυχὰς ἀπὸ τοῦ καταποντισμοῦ τῆς ἁμαρτίας (2). Ἐκ στείρας ἡ γέννησις τοῦ Ἰσαάκ· τύπος τοῦτο τῆς ἐκ παρθένου ἀσπόρου γεννήσεως τοῦ Ἰησοῦ Χριστοῦ· τίθεται δὲ εἰς τὸ θυσιαστήριον ὁ Ἰσαὰκ, πλὴν οὐ σφάζεται, ἀλλ' ἀβλαβὴς ἀπολύεται, ἀντ' αὐτοῦ δὲ θυσιάζεται ὁ κριός, ὁ « κατεχόμενος ἐν φυτῷ Σαβὲκ ἐκ τῶν κεράτων » (3)· αἴνιγμα τοῦτο σημαῖνον, ὅτι ἀπαθὴς μὲν ἔμεινεν ἡ θεότης τοῦ Θεανθρώπου, ἔπαθε δὲ ἡ τούτου σὰρξ, ὅτε ἐκρέματο ἐν τῷ ξύλῳ τοῦ σταυροῦ. Κλίμακα βλέπει ὁ Ἰακὼβ, ἄγγελοι δὲ δι' αὐτῆς ἀναβαίνουσι καὶ καταβαίνουσι· καὶ οἱ μὲν καταβαίνοντες τύπος ἦσαν τῶν πρὸς τὴν ὑπηρεσίαν τοῦ μυστηρίου τῆς θείας ἐνανθρωπήσεως καταβάντων ἀγγέλων· οἱ δὲ ἀναβαίνοντες, τῶν ἀνθρώπων, οἵτινες διὰ τῆς εἰς Χριστὸν πίστεως ὡς ἄγγελοι ἐπὶ γῆς ζήσαντες, ἀναβῆναι εἰς τὸν οὐρανὸν κατηξιώθησαν. Ὑπήκουσεν ὁ Ἰωσὴφ τὴν ἐντολὴν τοῦ πατρὸς αὐτοῦ· ἐν λάκκῳ δὲ βληθείς, καὶ πωληθεὶς ὑπὸ τῶν ἀδελφῶν αὐτοῦ ἐξῆλθε τοῦ λάκκου ζῶν (4)· ταῦτα εἰς προτύπωσιν τοῦ Χριστοῦ, ὅστις ἐγένετο ὑπήκοος τῷ πατρὶ αὐτοῦ, καὶ ἐπωλήθη ὑπὸ τοῦ Ἰούδα, καὶ ἐβλήθη ἐν τῷ τάφῳ, καὶ ἀνέστη ἐκ τῶν νεκρῶν (5).

Ἡμεῖς πιστεύομεν, μᾶλλον δὲ βλέπομεν, ὅτι ὁ νόμος, ὁ ὑπὸ τοῦ Θεοῦ δοθεὶς εἰς τὸ ὄρος τὸ Σινᾶ, « παιδαγωγὸς ἡμῶν γέγονεν εἰς Χριστόν » (6). Ἡ κατὰ τάξιν Ἀαρῶν νομικὴ καὶ πρόσκαιρος ἱερωσύνη ὁδηγεῖ ἡμᾶς πρὸς τὴν πίστιν τῆς κατὰ τὴν τάξιν Μελχισεδὲκ αἰωνίου ἱερωσύνης τοῦ Ἰησοῦ Χριστοῦ· διότι « πρόδρομος ὑπὲρ ἡμῶν εἰσῆλθεν Ἰησοῦς κατὰ τὴν τάξιν Μελχισεδέκ, ἀρχιερεὺς γενόμενος εἰς τὸν αἰῶνα » (7). Ὁ ἀμνός, ὁ θυόμενος ἐν τῇ τελετῇ τοῦ πάσχα, ἀνάγει ἡμᾶς εἰς τὴν πίστιν τοῦ ἀμνοῦ τοῦ Θεοῦ, τοῦ αἴροντος τὴν ἁμαρτίαν τοῦ κόσμου (8), καὶ ὑπὲρ ἡμῶν τεθέντος Ἰησοῦ Χριστοῦ· « Καὶ γὰρ τὸ πάσχα ἡμῶν ὑπὲρ ὑμῶν ἐτύθη Χριςός » (9). τὸ ἐν τῇ ἐρήμῳ μάννα χειραγωγεῖ ἡμᾶς πρὸς τὴν μετάληψιν τοῦ μυςηρίου τῆς θείας εὐχαριστίας· διότι « οὗτός ἐστιν ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς, οὐ καθὼς ἔφαγον οἱ πατέρες ἡμῶν τὸ μάννα, καὶ ἀπέθανον· ὁ τρώγων τοῦτον τὸν ἄρτον ζήσεται εἰς τὸν αἰῶνα » (10). Ἐὰν δὲ ἐρευνήσῃς καὶ τὰ λοιπά, ὅσα διαλαμβάνουσι τὰ βιβλία τοῦ μωσαϊκοῦ νόμου, βλέπεις, ὅτι προκατασκευάζουσιν ἡμᾶς πρὸς τὴν ὑποδοχὴν τῶν εὐαγγελικῶν διαταγμάτων· πόσα δὲ θαύματα

(1) Γεν. 5, 24. (2) Αὐτ. 6, 22. (3) Αὐτ. 22, 13. (4) Αὐτ. 37, 14. (5) Φιλιπ. 2, 8.
(6) Γαλ. 3, 24. (7) Ἑβρ. 6, 20. (8) Ἰωάν. 1, 29. (9) Α'. Κορ. 5, 7. (10) Ἰωάν. 6, 58.



ἐποίησεν ὁ Θεὸς εἰς τὸ ὄρος τὸ Σινᾶ, ὅτε παρέδωκε τοῖς ἀνθρώποις τοῦτον τὸν παιδαγωγὸν νόμον, τὸν προετοιμάζοντα πρὸς τὴν ὑποδοχὴν τῆς εἰς τὸν Υἱὸν αὐτοῦ πίστεως; ἐκεῖ τότε φωναί, καὶ ἀστραπαί, καὶ νεφέλη, καὶ σάλπιγγες, καὶ πῦρ· « Τὸ ὄρος τὸ Σινᾶ ἐκαπνίζετο ὅλον, διὰ τὸ καταβεβηκέναι ἐπ' αὐτὸ τὸν Θεὸν ἐν πυρί· καὶ ἀνέβαινεν ὁ καπνός, ὡσεὶ καπνὸς καμίνου » (1).

Τῶν δὲ θαυμάτων τῶν ἁγίων προφητῶν ἄλλα μέν εἰσιν ἔργα, προτυποῦντα τοῦ Ἰησοῦ Χριστοῦ τὰ θαύματα· ἄλλα δέ, προφητεῖαι, πάντα τὰ περὶ αὐτοῦ προκαταγγέλλουσαι. Βλέπω νοερῶς τὸν Μωϋσῆν εἰς τὴν ἔρημον Ἐδώμ· αὐτὸς ὑψοῖ τὸν ὄφιν τὸν χαλκοῦν ἐπὶ σημείου· οἱ δὲ Ἰσραηλῖται, οἱ ὑπὸ τῶν ὄφεων πληγέντες, ἐνατενίζοντες πρὸς τὸν χαλκοῦν ὄφιν, κατὰ τὴν παραγγελίαν τοῦ Μωϋσέως, οὐκ ἀπέθνησκον, ἀλλ' ἰατρεύοντο ἀπὸ τῶν πληγῶν τῶν ὄφεων, καὶ διέμενον ζῶντες καὶ ὑγιεῖς· « Καὶ ἐγένετο, ὅταν ἔδακεν ὄφις ἄνθρωπον, καὶ ἐπέβλεψεν ἐπὶ τὸν ὄφιν τὸν χαλκοῦν, καὶ καὶ ἔζη » (2)· στρέφω τὰ ὄμματα εἰς τὸ σημεῖον τοῦ σταυροῦ, καὶ βλέπω τὸν Υἱὸν τοῦ ἀνθρώπου ὑψωμένον ἐν αὐτῷ· πιστεύω καὶ ὁμολογῶ, ὅτι αὐτός ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ, ὁ λυτρωτὴς τοῦ κόσμου, καὶ ἰατρεύομαι ἀπὸ τῶν πληγῶν τῶν ἁμαρτιῶν μου, καὶ ἀπολαμβάνω τὴν αἰώνιον σωτηρίαν· « Καὶ καθὼς Μωσῆς, εἶπεν ὁ Κύριος, ὕψωσε τὸν ὄφιν ἐν τῇ ἐρήμῳ, οὕτως ὑψωθῆναι δεῖ τὸν Υἱὸν τοῦ ἀνθρώπου, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτόν, μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον » (3). Ἀκούεις θαῦμα τοῦ Μωϋσέως πρὸς ἰατρείαν τῶν Ἰσραηλιτῶν, τύπον σαφέστατον τοῦ θαύματος τοῦ Ἰησοῦ Χριστοῦ διὰ τὴν σωτηρίαν τῶν πιστῶν; Εἰς τὴν Ἐδῶμ τίθεται ἐπὶ στήλης ὁ ὄφις ὁ χαλκοῦς· εἰς τὸν Γολγοθᾶ ὑψοῦται ἐν τῷ σταυρῷ ὁ Υἱὸς τοῦ ἀνθρώπου· εἰς τὴν Ἐδὼμ ὁ αἰσθητὸς ὄφις δάκνει τοὺς Ἰσραηλίτας· εἰς τὴν Ἐδὲμ ὁ νοητὸς ὄφις ἐτραυμάτισε τὸ γένος τῶν ἀνθρώπων· ἐκεῖ πληγαὶ σωματικαί, ὧδε τραύματα ψυχικά· ἐκεῖ ἡ ὅρασις τοῦ χαλκοῦ ὄφεως θεραπεύει τὰς πληγάς, καὶ δίδωσι πρόσκαιρον ζωήν· ὧδε ἡ εἰς τὸν Χριστὸν πίστις ἐξαλείφει τὰς ἁμαρτίας, καὶ παρέχει σωτηρίαν αἰώνιον. Βλέπε καὶ τὸν Ἰωνᾶν τρεῖς ἡμέρας, καὶ τρεῖς νύκτας ἐνταφιασμένον εἰς τὴν κοιλίαν τοῦ κήτους, καὶ μετὰ ταῦτα ἐξερχόμενον ζῶντα καὶ ἀβλαβῆ. Τοῦτο τὸ θαῦμα τόσον φανερὰ προετύπωσε τὴν τριήμερον ταφήν, καὶ τὴν ἐκ νεκρῶν ἀνάςασιν τοῦ Ἰησοῦ Χριςοῦ, ὥςε αὐτὸς τοῦτο, ὡς ἀποδεικτικώτερον τῆς πρὸς αὐτὸν πίςεως, προέτεινε πρὸς τοὺς σκληροτραχήλους καὶ ἀπίστους Ἰουδαίους, λέγων· « Γενεὰ πονηρὰ καὶ μοιχαλὶς σημεῖον ἐπιζητεῖ, καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ, εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ τοῦ προφήτου· ὥσπερ γὰρ ἦν Ἰωνᾶς ἐν τῇ κοιλίᾳ τοῦ κήτους τρεῖς ἡμέρας, καὶ τρεῖς νύκτας· οὕτως ἔσται ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ καρδίᾳ τῆς γῆς τρεῖς ἡμέρας, καὶ τρεῖς νύκτας » (4). Παρέρχεταί με ὁ καιρός, ἐὰν ἀκολουθήσω τὴν διήγησιν πάντων τῶν θαυμάτων, τῶν προτυπωσάντων τοῦ Ἰησοῦ Χριστοῦ τὰ παράδοξα ἔργα.

Ἐὰν ἐρευνήσῃς τὰ βιβλία τῶν θεοπνεύστων προφητῶν, εὑρίσκεις ἄλλα ἐξαίσια θαύματα, τὰς περὶ τοῦ Χριστοῦ δηλονότι προφητείας· ὁ μέγας προφήτης Μωϋσῆς ἐφανέρωσεν, ὅτι ὁ Θεὸς ἐλάλησε πρὸς αὐτὸν

(1) Ἐξοδ. 19, 18. (2) Ἀριθμ. 21, 9. (3) Ἰωάν. 3, 14, 15. (4) Ματθ. 12, 39, 40.

περὶ τῆς εἰς τὸν κόσμον παρουσίας τοῦ Υἱοῦ αὐτοῦ, καὶ εἶπε ταῦτα· « Προφήτην ἀναστήσω αὐτοῖς ἐκ τῶν ἀδελφῶν αὐτῶν, » ὥσπερ σέ· καὶ δώσω τὰ ῥήματα ἐν τῷ » στόματι αὐτοῦ, καὶ λαλήσει αὐτοῖς καθ' » ὅ,τι ἂν ἐντείλωμαι αὐτῷ· καὶ ἄνθρωπος, » ὃς ἐὰν μὴ ἀκούσῃ, ὅσα ἂν λαλήσῃ ὁ προ- » φήτης ἐκεῖνος ἐπὶ τῷ ὀνόματί μου, ἐγὼ » ἐκδικήσω ἐξ αὐτοῦ » (1). Ὁ Δανιὴλ προεῖπεν ἐπ' ἀκριβὲς τὸν καιρόν, καθ' ὃν ὁ Χριστὸς ἐλθεῖν ἔμελλεν εἰς τὸν κόσμον· « Ἕως » Χριστοῦ, εἶπεν, ἡγουμένου ἑβδομάδες » ἑπτά, καὶ ἑβδομάδες ἑξήκοντα δύο » (2)· ὁ Ἡσαΐας προηγόρευσε τὴν ἐκ παρθένου γέννησιν αὐτοῦ, ὀνομάσας αὐτὴν σημεῖον, ἤγουν μέγα θαῦμα· « Διὰ τοῦτο, εἶπε, δώσει » Κύριος αὐτὸς ὑμῖν σημεῖον· ἰδοὺ ἡ παρ- » θένος ἐν γαστρὶ λήψεται, καὶ τέξεται » υἱόν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἐμ- » μανουήλ » (3)· ὁ δὲ Μιχαίας προεφανέρωσε καὶ τὸν τόπον, ἐν ᾧ ὁ Χριστὸς ἔμελλε γεννηθῆναι, εἰπών· « Καὶ σὺ Βηθλεέμ, » οἶκος Ἐφραθά, ὀλιγοστὸς εἶ τοῦ εἶναι ἐν » χιλιάσιν Ἰούδα· ἐκ σοῦ μοι ἐξελεύσεται, » τοῦ εἶναι εἰς ἄρχοντα τοῦ Ἰσραήλ, καὶ » ἔξοδοι αὐτοῦ ἀπ' ἀρχῆς ἐξ ἡμερῶν αἰῶ- » νος » (4)· τὴν κατάβασιν καὶ διαμονὴν τοῦ παναγίου Πνεύματος ἐπὶ τὴν ἀνθρωπότητα τοῦ Ἰησοῦ Χριστοῦ, ὅτε ἐν τῷ Ἰορδάνῃ ἐβαπτίσθη (5), καὶ τὸ διὰ ποῖον σκοπὸν ἀπεστάλη ὁ Χριστὸς εἰς τὸν κόσμον παρὰ τοῦ Θεοῦ καὶ πατρὸς αὐτοῦ, προεδήλωσεν ὁ αὐτὸς Ἡσαΐας, λέγων· « Πνεῦμα » Κυρίου ἐπ' ἐμέ, οὗ εἵνεκεν ἔχρισέ με, εὐαγ- » γελίσασθαι πτωχοῖς ἀπέσταλκέ με, ἰά- » σασθαι τοὺς συντετριμμένους τὴν καρ- » δίαν, κηρύξαι αἰχμαλώτοις ἄφεσιν, καὶ » τυφλοῖς ἀνάβλεψιν » (6). Ὁ Ζαχαρίας ὥσπερ ἂν καὶ ἔβλεπεν, οὕτω περιέγραψε τὴν πανένδοξον αὐτοῦ εἴσοδον εἰς τὴν πόλιν Ἱερουσαλὴμ « Χαῖρε, λέγων, σφόδρα, » θύγατερ Σιών, κήρυσσε, θύγατερ Ἱερουσα- » λήμ· ἰδοὺ γὰρ ὁ βασιλεύς σου ἔρχεταί σοι » δίκαιος καὶ σώζων, αὐτὸς πραΰς, καὶ ἐπι- » βεβηκὼς ἐπὶ ὑποζύγιον καὶ πῶλον νέον » (7). Τὴν δὲ δόξαν τῆς ἐν τῷ Θαβωρείῳ ὄρει θείας αὐτοῦ μεταμορφώσεως οὐ μόνον προκατήγγειλεν ἡ δόξα, ἡ τὸ πρόσωπον τοῦ Μωϋσέως περιλάμψασα (8), ἀλλὰ καὶ προηγόρευσεν αὐτὴν ὁ προφητάναξ, εἰπών· « Θαβὼρ καὶ Ἑρ- » μὼν ἐν τῷ ὀνόματί σου ἀγαλλιάσονται » (9). Ἄκουσον δέ, πόσον φανερὰ προεῖπον οἱ θεοδίδακτοι προφῆται, ὅσα πάθη ὑπέμεινε διὰ τὴν σωτηρίαν ἡμῶν ὁ ὑπὲρ ἡμῶν σαρκωθείς· προεῖπον τὰ ἄνομα συνέδρια, τὰ κατ' αὐτοῦ συναθροισθέντα διὰ τοῦ, « Ἵνα τί ἐ- » φρύαξαν ἔθνη, καὶ λαοὶ ἐμελέτησαν » κενά; παρέστησαν οἱ βασιλεῖς τῆς γῆς, » καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτὸ » κατὰ τοῦ Κυρίου καὶ κατὰ τοῦ Χριστοῦ » αὐτοῦ » (10)· προεῖπον τὴν ἐγκατάλειψιν τῶν μαθητῶν αὐτοῦ, τοὺς ὀνειδισμοὺς τῶν στρατιωτῶν, τὴν προδοσίαν τοῦ Ἰούδα· « Ἐμάκρυνας, εἶπον, τοὺς γνωστούς μου » ἀπ' ἐμοῦ, ἔθεντό με βδέλυγμα ἑαυτοῖς· » παρεδόθην καὶ οὐκ ἐξεπορευόμην » (11)· προεῖπον τὰς μάστιγας, τὰ ῥαπίσματα, τὰ ἐμπτύσματα· « Τὸν νῶτόν μου ἔδωκα » εἰς μάστιγας, τὰς δὲ σιαγόνας μου εἰς » ῥαπίσματα, τὸ δὲ πρόσωπόν μου οὐκ ἀ- » πέστρεψα ἀπὸ αἰσχύνης ἐμπτυσμά- » των » (12)· τὴν γεῦσιν τῆς χολῆς καὶ τοῦ ὄξους· « Ἔδωκαν εἰς τὸ βρῶμά μου χολήν, » καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με

(1) Δευτ. 18, 18, 19. (2) Δαν. 9, 25. (3) Ἡσ. 7, 14. (4) Μιχ. 5, 2. (5) Ἰωάν. 1, 32. (6) Ἡσ. 61, 1. (7) Ζαχ. 9, 9. (8) Ἐξ 34, 30. (9) Ψαλ. 88, 12. (10) Αὐτ. 2, 1, 2. (11) Αὐτ. 87, 8. (12) Ἡσ. 50, 6.



» ὄξος » (1)· τὸν διὰ κλήρου ὑπὸ τῶν στρατιωτῶν γενόμενον διαμερισμὸν τῶν ἱματίων αὐτοῦ· « Διεμερίσαντο τὰ ἱμάτιά μου » ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβα- » λον κλῆρον » (2)· τὸ τῆς λογχευθείσης πλευρᾶς αὐτοῦ κέντημα· « Καὶ ἐπιβλέψον- » ται πρός με, εἰς ὃν ἐξεκέντησαν » (3). Προεῖπον τὰ περὶ τῆς ταφῆς αὐτοῦ· « Ἔθεν- » τό με ἐν λάκκῳ κατωτάτω, ἐν σκοτεινοῖς » καὶ σκιᾷ θανάτου » (4)· τὰ περὶ τῆς ἀναστάσεως αὐτοῦ· « Σὺ ἀναστὰς οἰκτειρήσεις » τὴν Σιών, ὅτι καιρὸς τοῦ οἰκτειρῆσαι αὐ- » τήν, ὅτι ἥκει καιρός » (5)· τὴν εἰς οὐρανοὺς ἀνάληψιν αὐτοῦ, καὶ τὸν τόπον, ἐξ οὗ ἔμελλεν ἀναληφθῆναι· « Καὶ στήσονται οἱ » πόδες αὐτοῦ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐπὶ τὸ ὄ- » ρος τῶν Ἐλαιῶν, τὸ κατέναντι Ἱερουσα- » λὴμ ἐξ ἀνατολῶν » (6). προεφήτευσαν δὲ καὶ τὸ ὅτι αὐτὸς ἔμελλεν ἀποστεῖλαι τὸ πανάγιον πνεῦμα πρὸς τοὺς εἰς αὐτὸν πιστεύοντας· « Καὶ ἐκχεῶ, εἶπον, ἀπὸ τοῦ πνεύ- » ματός μου ἐπὶ πᾶσαν σάρκα » (7).

Οὐκ εἰσὶν ἄρά γε ταῦτα τὰ θαύματα ἀπόδειξις, πληροφοροῦσα, ὅτι ἡ εἰς Χριστὸν πίστις ἐστὶν ἀληθινὴ καὶ βεβαία καὶ ἀναντίρρητος; Οἱ προφῆται ἦσαν ἄνθρωποι, καθὼς καὶ ἡμεῖς· πόθεν οὖν αὐτοὶ τοσούτους αἰῶνας πρὸ τῆς ἐν τῷ κόσμῳ παρουσίας τοῦ Ἰησοῦ Χριστοῦ εἶδον καὶ ἐγνώρισαν τὰ περὶ αὐτοῦ, καὶ μετὰ τοσαύτης ἀκριβείας καὶ διὰ πραγμάτων αὐτὰ προετύπωσαν, καὶ διὰ λόγων προεῖπον; ποίᾳ δυνάμει ἢ νοός, ἢ ψυχῆς, ἢ καρδίας; ποίᾳ, λέγω, δυνάμει ἀνθρωπίνῃ ἐποίησαν τοὺς περὶ Χριστοῦ τύπους, καὶ εἶπον τὰς περὶ αὐτοῦ προφητείας; Ἐὰν τὰ βιβλία τῶν προφητῶν ἦσαν μόνον εἰς τὰς χεῖρας τῶν χριστιανῶν, εἶχε τόπον τῆς δολιότητος ἡ ὑποψία, ἠδύνατο δηλονότι ὁ ἄπιστος ὑποπτεῦσαι, ὅτι ὑπὸ χριστιανῶν κατεσκευάσθησαν τὰ περὶ τοῦ Χριστοῦ, καὶ ἐτέθησαν εἰς τῶν προφητῶν τὰ βιβλία· ἀλλὰ τὰ προφητικὰ βιβλία, ὁμοίως καὶ τοῦ Μωϋσέως ἡ πεντάβιβλος, συνεγράφησαν ἀπ' ἀρχῆς ἑβραϊστί, ἔκτοτε δὲ ἕως τῆς σήμερον μετὰ πολλῆς ἐπιμελείας τε καὶ εὐλαβείας φυλάττονται καὶ ἀναγινώσκονται ὑπὸ τῶν Ἑβραίων· οἱ δὲ Ἑβραῖοί εἰσιν ἄσπονδοι ἐχθροὶ καὶ πολέμιοι τοῦ Ἰησοῦ Χριστοῦ· δικαίως οὖν καὶ εὐλογοφανῶς ὁ θεομακάριστος Πέτρος προτιμῶν τῆς ἀποδείξεως τῶν ἑαυτοῦ αἰσθήσεων τὴν ἀπόδειξιν τῶν περὶ Χριστοῦ προφητευθέντων λόγων, ἐκήρυττε, λέγων· « Καὶ ταύτην τὴν φωνὴν ἡμεῖς ἠκούσαμεν ἐξ οὐρανοῦ ἐνεχθεῖσαν » (8), ἤγουν τὴν φωνὴν τὴν μαρτυροῦσαν ὅτι ὁ Ἰησοῦς Χριστὸς ἐστιν ὁ ἀγαπητὸς τοῦ Θεοῦ Υἱός· « Σὺν αὐ- » τῷ ὄντες ἐν τῷ ὄρει τῷ ἁγίῳ· καὶ ἔχομεν βεβαιότερον τὸν προφητικὸν λόγον ». Οὗτος οὖν ὁ προφητικὸς λόγος, ὁ βεβαιότερος καὶ αὐτῆς τῆς τῶν αἰσθήσεων προσβολῆς, ἀποδεικνύει, ὅτι ὁ περὶ τοῦ Χριστοῦ λόγος ἐστὶ πιστὸς καὶ ἀληθινός, ὡς εἶπεν ὁ Παῦλος.

Ναὶ « Πιστὸς ὁ λόγος » (9)· ἀποδεικνύουσι τοῦτο ἐκ περιουσίας καὶ τὰ ἐν τῇ γεννήσει τοῦ Χριστοῦ, καὶ τὰ ὑπ' αὐτοῦ τοῦ Ἰησοῦ Χριστοῦ γενόμενα μεγάλα καὶ ἐξαίσια θαύματα· ὁ ἀστήρ, ὁ ἐλθὼν καὶ σταθεὶς « Ἐπάνω οὗ ἦν ὁ γεννηθεὶς Ἰησοῦς » (10), κἂν ἀστέρα, κἂν πλανήτην, κἂν κομήτην, κἂν ἄγγελον τοῦτον νοήσῃς· οἱ βασιλεῖς οἱ μάγοι, οἱ ἀπὸ τοσοῦτον μεμακρυσμένων τόπων ἐλθόντες, ἵνα προσκυνήσωσι, καὶ δῶρα προσφέρωσιν εἰς τὸν γεννηθέντα· οἱ ἄγγελοι, οἱ ἀπ' οὐρανοῦ κατελθόντες, καὶ τὰς οὐρα-

(1) Ψαλ. 68, 21. (2) Αὐτ. 21, 18. (3) Ζαχ. 12, 10. (4) Ψαλ. 87, 7. (5) Αὐτ. 101, 13. (6) Ζαχ. 14, 4. (7) Ἰωήλ. 2,28. (8) Β'. Πέτρ. 1, 18, 19. (9) Τίτ. 3, 8. (10) Ματθ. 2, 9.

νίους δοξολογίας ψάλλοντες (1)· ἡ δόξα Κυρίου ἡ περιλάμψασα τοὺς ποιμένας, καὶ ἡ χαρὰ ἡ μεγάλη καὶ παγκόσμιος, ἡ πρὸς αὐτοὺς εὐαγγελισθεῖσα, εἰσὶ θαύματα ἀποδεικτικὰ τῆς τοῦ Ἰησοῦ Χριστοῦ θεότητος· τυφλοὶ ἀναβλέπουσι, χωλοὶ περιπατοῦσι, κωφοὶ ἀκούουσι, παράλυτοι συσφίγγονται, λεπροὶ καθαρίζονται, ὑδρωπικοὶ ἰατρεύονται, πυρετοὶ διώκονται, αἱμόῤῥοιαι ἵστανται, δαιμόνια φυγαδεύονται, πᾶσα νόσος θεραπεύεται· πληθύνονται οἱ πέντε ἄρτοι, κοπάζει ἡ κυμαινομένη θάλασσα, ἡσυχάζει τοῦ ἀνέμου ἡ βία, ἐγείρονται οἱ νεκροί, ἀνίστανται ἐκ τῶν τάφων καὶ οἱ τεταρταῖοι· θαύματά εἰσι ταῦτα, ὑπ' αὐτοῦ τοῦ Ἰησοῦ Χριστοῦ τετελεσμένα, ὅταν ἐδίδασκεν εἰς τὴν Ἱερουσαλήμ· ἐσκοτίσθη ὁ ἥλιος, ἐσείσθη ἡ γῆ, ἐσχίσθησαν αἱ πέτραι, διεῤῥάγη τοῦ ναοῦ τὸ καταπέτασμα, ἤνοιξαν τὰ μνημεῖα, ἠγέρθησαν πολλὰ σώματα τῶν κεκοιμημένων ἁγίων (2)· ταῦτα τὰ θαύματα ἐγένοντο, ὅτε ἐπὶ σταυροῦ ἐκρέματο ὁ Θεάνθρωπος· σεισμὸς γίνεται μέγας, ἄγγελος Κυρίου καταβαίνει ἐξ οὐρανοῦ, καὶ ἀποκυλίει τὸν μέγαν λίθον « ἀπὸ τῆς θύρας τοῦ μνημείου » (3)· οἱ τὸν τάφον φυλάσσοντες στρατιῶται ἀπὸ τοῦ φόβου ἐσείσθησαν, « καὶ ἐγένοντο ὡσεὶ νεκροί » (4)· ὁ ἄγγελος εὐαγγελίζει εἰς τὰς μυροφόρους τὴν ἀνάςασιν, λέγων, ὅτι ὁ Ἰησοῦς ὁ ἐσταυρωμένος « ἠγέρθη ἀπὸ τῶν νεκρῶν, καὶ ἰδοὺ προάγει ὑμᾶς εἰς τὴν Γαλιλαίαν· ἐκεῖ αὐτὸν ὄψεσθε » (5)· συναντᾷ ταῖς μυροφόροις καὶ αὐτὸς ὁ ἐκ νεκρῶν ἀναστὰς Ἰησοῦς, λέγων αὐταῖς τό, χαίρετε » (6), τὸ τῆς προπατορικῆς λύπης ἀντίδοτον, καὶ αὐτοὶ δὲ οἱ ἀναστάντες ἅγιοι « ἐξελθόντες ἐκ τῶν μνημείων μετὰ τὴν ἔγερσιν αὐτοῦ, εἰσῆλθον εἰς τὴν ἁγίαν πόλιν, καὶ ἐνεφανίσθησαν πολλοῖς » (7). Ταῦτά εἰσι τῆς ἀναστάσεως αὐτοῦ τὰ θαυμάσια.

Ἀλλὰ τίς εἶδε, λέγεις, ἢ τίς ἤκουσε ταῦτα, ἵνα πληροφορηθῇ καὶ πιστεύσῃ; οἱ θεῖοι Ἀπόςολοι· « Ὃ ἦν ἀπ' ἀρχῆς, λέγει ὁ ἐπιστήθιος Ἰωάννης, ὃ ἀκηκόαμεν, ὃ ἑωράκαμεν τοῖς ὀφθαλμοῖς ἡμῶν, ὃ ἐθεασάμεθα, καὶ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν περὶ τοῦ λόγου τῆς ζωῆς· ὃ ἑωράκαμεν, καὶ ἀκηκόαμεν, ἀπαγγέλλομεν ὑμῖν, ἵνα καὶ ὑμεῖς κοινωνίαν ἔχητε μεθ' ἡμῶν » (8). Βεβαία δὲ τῶν Ἀποστόλων ἡ μαρτυρία, καὶ ὑπερβαίνουσα κατὰ τὴν βεβαιότητα πᾶσαν ἄλλην μαρτυρίαν, ἐπειδὴ ἦσαν μάρτυρες αὐτόπται τῶν πραγμάτων, ἐπειδὴ συμφώνως τὰ αὐτὰ ἐμαρτύρησαν, ἐπειδὴ ἐπίςευον, ὅτι ὁ Θεὸς ἀπολεῖ « πάντας τοὺς λαλοῦντας τὸ ψεῦδος » (9), ἐπειδὴ ἦσαν πάσῃ ἀρετῇ καὶ ἁγιωσύνῃ κεκοσμημένοι· ἀπὸ δὲ τῶν ἐναρέτων καὶ ἁγίων ἀνδρῶν ἀπέχει ἡ ὑπόκρισις, καὶ ἡ ἀπάτη, καὶ τὸ ψεῦδος, ὅσον ἀπέχει ὁ οὐρανὸς ἀπὸ τῆς γῆς· ἐπειδὴ ἐβεβαίωσαν τὴν ἑαυτῶν μαρτυρίαν διὰ τῶν ἀγώνων, καὶ διωγμῶν, καὶ κινδύνων, καὶ παθημάτων, ὅσα ὑπέμειναν, ἵνα κηρύξωσι τὴν εὐαγγελικὴν ἀλήθειαν· ἐπειδὴ ἐσφράγισαν τὰ ὑπ' αὐτῶν κηρυττόμενα διὰ τοῦ ἰδίου αἵματος, καὶ διὰ τοῦ ἰδίου θανάτου. Πρὸς τούτοις οἱ Ἀπόστολοι ἐκήρυξαν τὰ θαύματα, καὶ τὴν ἀνάστασιν, καὶ πάντα τὰ περὶ τοῦ Ἰησοῦ Χριστοῦ, οὐ μόνον εἰς χώρας μακρὰς ἀπὸ τῆς Ἱερουσαλήμ, οὐδὲ μετὰ πολὺ διάστημα καιροῦ ἀπὸ Χριστοῦ, οὐδὲ εἰς ἀνθρώπους μὴ γνωρίσαντας τὸν Ἰησοῦν Χριστόν, ἀλλὰ καὶ εἰς αὐτὴν τὴν

(1) Λουκ. 2, 9, 10. (2) Ματθ. 27, 52. (3) Αὐτ. 28, 2. (4) Αὐτ. 4, (5) Αὐτ. 7. (6) Αὐτ. 9.
(7) Αὐτ. 27, 53. (8) Α'. Ἰωάν. 1, 1, 3. (9) Ψαλ. 5, 6.



πόλιν Ἱερουσαλήμ, ὅπου ὁ Χριστὸς ἔζησε, καὶ ἐδίδαξε, καὶ μετὰ παρέλευσιν μόνον πεντήκοντα ἡμερῶν μετὰ τὴν ἐκ νεκρῶν αὐτοῦ ἀνάστασιν, καὶ ἐνώπιον ἐκείνων τῶν ἀνθρώπων, οἵτινες καὶ εἶδον, καὶ ἤκουσαν, καὶ ἐγνώρισαν τὸν Ἰησοῦν Χριστόν· ἐκήρυξαν δὲ τὰ περὶ τοῦ Ἰησοῦ Χριστοῦ οὐ μόνον ἐνώπιον τοῦ χυδαίου λαοῦ, ἀλλὰ καὶ ἔμπροσθεν τῶν ἀρχόντων, καὶ πρεσβυτέρων, καὶ γραμματέων (1). Πῶς οὖν οἱ μὲν Ἀπόστολοι ἐτόλμων λαλεῖν τόσον γυμνὸν ψεῦδος ἐνώπιον αὐτῶν, αὐτοὶ δὲ οὐκ ἤλεγξαν αὐτοὺς ὡς ὑποκριτὰς καὶ πλάνους; διὰ τί οὐκ εἶπον πρὸς αὐτούς· ἆ, ψεῦσται, πῶς οὐκ ἐντρέπεσθε κηρύττειν περὶ τοῦ Χριςοῦ τοιαῦτα ψεύδη; ἀπατεῶνες, πῶς τολμᾶτε καὶ λέγετε, ὅτι ἐν τῷ ὀνόματι τοῦ Ἰησοῦ Χριστοῦ ἰατρεύσατε τὸν ἐκ κοιλίας μητρὸς αὐτοῦ χωλόν (2); οὐδὲν τοιοῦτον ἐξεφώνησαν, ὅτε ἐν τῷ συνεδρίῳ αὐτῶν καθήμενοι, ἀνέκρινον αὐτούς, ἀλλὰ « καλέσαντες αὐτούς, παρήγγειλαν αὐτοῖς τὸ καθόλου μὴ φθέγγεσθαι, μηδὲ διδάσκειν ἐπὶ τῷ ὀνόματι τοῦ Ἰησοῦ » (3)· αὐτοὶ δὲ ἀποκριθέντες πρὸς αὐτούς, « Οὐ δυνάμεθα γὰρ ἡμεῖς ἃ εἴδομεν, καὶ ἠκούσαμεν, μὴ λαλεῖν » (4), ἐξῆλθον ἀπὸ τοῦ συνεδρίου, καὶ οὐκ ἔπαυσαν θαυματουργοῦντες, καὶ διδάσκοντες. Ποία οὖν ἄλλη μαρτυρία, ἢ ἱστορία εὑρίσκεται εἰς τὸν κόσμον ἢ ἰσχυροτέρα, ἢ βεβαιοτέρα, ἢ ἀποδεικτικωτέρα τῆς μαρτυρίας τῶν Ἀποστόλων, καὶ τοῦ εὐαγγελικοῦ αὐτῶν κηρύγματος;

Σημείωσαι δέ, ὅτι καὶ τὰ θαύματα, τὰ ὑπὸ τῶν Ἀποστόλων γενόμενα, « τοῦ Κυρίου συνεργοῦντος, καὶ τὸν λόγον βεβαιοῦντος διὰ τῶν ἐπακολουθούντων σημείων » (5), ἦσαν ἄλλη ὑπερτέρα ἀπόδειξις, πληροφοροῦσα τὰς τῶν ἀνθρώπων καρδίας περὶ τῆς ἀληθείας τῶν ὑπ' αὐτῶν κηρυττομένων. Σιωπῶ δὲ ἐγὼ τὰ ὑπ' αὐτῶν γενόμενα μεγάλα σημεῖα καὶ τέρατα ἐν Ἱερουσαλήμ (6), καὶ τὴν ἐκ νεκρῶν ἀνάστασιν τῆς Ταβιθὰ ἐν Ἰόππῃ (7), καὶ τὴν τοῦ Εὐτύχου εἰς τὴν Τρῳάδα (8), καὶ τὰς ὑπὸ τῆς σκιᾶς τοῦ Πέτρου γενομένας ἰατρείας τῶν « ἐπὶ κλινῶν καὶ κραβϐάτων » κατακειμένων ἀσθενῶν, καὶ « τῶν ὀχλουμένων ὑπὸ πνευμάτων ἀκαθάρτων » (9), καὶ τὴν διὰ τῶν σουδαρίων καὶ συμικινθίων τοῦ Παύλου θαυματουργικὴν θεραπείαν τῶν ἀσθενῶν, καὶ τὴν ἀπὸ τῶν ἀκαθάρτων πνευμάτων ἐλευθερίαν (10)· σιωπῶ πάντα τὰ λοιπὰ μυριάριθμα θαύματα, τὰ ὑπὸ τῶν θεοφόρων Ἀποστόλων τελεσθέντα, καὶ ὑπὸ τοῦ αὐτόπτου Λουκᾶ ἱστορηθέντα, ἵνα προβάλλω ἄλλου εἴδους θαῦμα, μέγα τε καὶ ἐξαίσιον.

Ἵνα δὲ ἀκριβῶς κατανοήσητε τὴν τούτου δύναμιν, λάβετε κατὰ νοῦν μίαν τῶν βασιλευουσῶν πόλεων, τὴν ἐπισημοτέραν οὐ μόνον κατὰ τὴν ἔκτασιν, καὶ κυριότητα, καὶ τὸν πλοῦτον, ἀλλὰ καὶ κατὰ τὰς ἐπιστήμας, καὶ μαθήσεις, καὶ τέχνας, καὶ ἐμπορίας, καὶ στρατηγίας· νοήσατε δέ, ὅτι πάντες οἱ ἐν αὐτῇ κατοικοῦντές εἰσιν εἰδωλολάτραι, ἔκδοτοι εἰς τὰς δεισιδαιμονίας, προσηλωμένοι εἰς τῆς σαρκὸς τὰς ἡδονάς, καὶ τῶν ἐπιθυμιῶν αὐτῆς τὰς ἀπολαύσεις· καὶ ὅτι εἷς Ἑβραῖος ἁλιεύς, πάμπτωχος, ἀγράμματος, ἁπλοῦς, καὶ ἄπρακτος, ἐλθὼν ἀπὸ τῆς Ἱερουσαλὴμ εἰς αὐτὴν τὴν πόλιν, κηρύττει παῤῥησίᾳ, λέγων· ἄνθρωποι, τὰ εἴδωλα, ὅσα ὑμεῖς ὡς θεοὺς προ-

(1) Πράξ. 4, 5, 6. (2) Αὐτ. 3, 2. (3) Αὐτ. 4, 18. (4) Αὐτ. 20. (5) Μάρκ. 16, 20. (6) Πράξ. 6, 8.
(7) Αὐτ. 9, 40. (8) Αὐτ. 20, 12. (9) Αὐτ. 5, 15, 16. (10) Αὐτ. 19, 12.

σκυνεῖτε, οὐκ εἰσὶ θεοί, ἀλλὰ ξόανα κωφά, καὶ ἄλαλα, καὶ ἀναίσθητα· εἷς δέ ἐστιν ὁ Θεὸς ὁ ἀληθινός, ὁ ποιητὴς τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὁ Ἰησοῦς Χριςός, ὅστις ἐν Ἱερουσαλὴμ καταδικασθεὶς εἰς θάνατον ὑπὸ τοῦ Πιλάτου, ἀπέθανεν ἐσταυρωμένος ἐν μέσῳ δύο λῃστῶν· ἐὰν οὖν ζητῆτε τῆς ψυχῆς ὑμῶν τὴν σωτηρίαν, ἀνάγκη ἐστίν, ἵνα πιστεύσαντες, ὅτι αὐτός ἐστιν ὁ Θεός, ἐξουδενώσητε τὰ εἴδωλα, καὶ διὰ τὴν πρὸς αὐτὸν ἀγάπην ἐγκαταλείψητε τὰ ἄσωτα ἤθη, καὶ τὰς παραλόγους συνηθείας, ἀρνηθῆτε δὲ πᾶσαν ἡδυπάθειαν, καὶ σαρκὸς ὄρεξιν, σταυρώσητε δὲ ἑαυτοὺς σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις, καί ἑτοιμασθῆτε πρὸς διωγμούς, πρὸς δεσμά, πρὸς φυλακάς, πρὸς πᾶν εἶδος περιφρονήσεως καὶ βασάνου, τελευταῖον δὲ καὶ εἰς σφαγάς, καὶ θανάτους· ἐὰν εὐθὺς μετὰ τοῦτο τὸ κήρυγμα ἐβλέπετε, ὅτι πλῆθος τῶν πολιτῶν ἐκείνων, καὶ σοφοὶ καὶ ἀμαθεῖς, καὶ ἄρχοντες καὶ ἰδιῶται, καὶ πλούσιοι καὶ πτωχοί, καὶ ἄνδρες καὶ γυναῖκες, καὶ νέοι καὶ γέροντες, καὶ πάσης ἡλικίας, καὶ τάξεως, καὶ κατασάσεως ἄνθρωποι, ἀρνούμενοι τὴν τῶν εἰδώλων λατρείαν, ἐπίστευον εἰς τὸν Ἰησοῦν Χριστόν, καὶ ἀποστρεφόμενοι πᾶσαν σαρκὸς ἡδονήν, ὑπέμενον προθύμως πᾶν εἶδος κακουχίας, πολλοὶ δὲ καὶ τὸ ἴδιον αἷμα, καὶ τὴν ἰδίαν αὐτῶν ζωὴν ἐθυσίαζον ὑπὲρ τῆς ἀγάπης τοῦ Ἰησοῦ Χριστοῦ· τί ἆρά γε τότε ἐνομίζετε; ἐβλέπετε ἆρά γε εἰς ταύτην τὴν ἀλλοίωσιν λόγον ἢ φυσικόν, ἢ πολιτικόν, ἢ ἠθικόν; τοῦτο δὲ οὐκ ἔστιν ὑπόθεσις, ἀλλὰ πρᾶγμα γεγενημένον καὶ τετελεσμένον. Καὶ πόλις μέν ἐστιν ἡ τότε προκαθημένη, καὶ πολιαρίθμων κυριαρχοῦσα πόλεων, καὶ βρίθουσα σοφίας, καὶ πλούτου, καὶ τρυφῆς, καὶ δόξης, καὶ πάσης ἄλλης κοσμικῆς εὐτυχίας, τουτέστιν ἡ Ῥώμη. Ἑβραῖος δὲ ἁλιεύς, καὶ πτωχός, καὶ ἀγράμματος, καὶ ἀπολίτευτος, καὶ ἄπρακτος, ἐκ τῆς Ἱερουσαλὴμ ἐξελθών ἐστιν ὁ Πέτρος· πόλις ἐστὶν ἡ τῶν Ἀθηνῶν, ἐν ᾗ τότε ἤκμαζον αἱ ἐπιστῆμαι, καὶ τέχναι, καὶ ἡ κοσμικὴ φιλοσοφία, καὶ πᾶσα ἄλλη εὐτυχία καὶ δόξα· Ἑβραῖος δὲ πτωχός, καὶ ἀμαθὴς τῷ λόγῳ, καὶ ἀδύνατος, ἐστίν, ὁ Παῦλος. Ποίᾳ οὖν δυνάμει ἢ φυσικῇ, ἢ πολιτικῇ, ἢ ἠθικῇ ὁ μὲν Πέτρος εἰς τὴν Ῥώμην, ὁ δὲ Παῦλος εἰς τὰς Ἀθήνας, ἔπεισεν ὁ μὲν τοὺς Ῥωμαίους, ὁ δέ, τοὺς Ἀθηναίους, ἵνα ἀποστραφῶσι τὴν πλάνην τῶν εἰδώλων, καὶ πιστεύσωσιν εἰς τὸν Ἰησοῦν Χριςόν, καὶ καταλιπόντες καὶ νόμους, καὶ ἤθη, καὶ συνηθείας προπατορικάς, ὑπομείνωσιν ὑπὲρ αὐτοῦ πᾶσαν ταλαιπωρίαν καὶ κάκωσιν, πολλοὶ δὲ ἐξ αὐτῶν καὶ τὸν μαρτυρικὸν θάνατον; Οὐκ ἔστι τοῦτο θαῦμα θαυμάτων; θαῦμα ὁρατόν, ψηλαφητόν, ἀναμφίβολον; οὐκ ἔστι τοῦτο ἀπόδειξις, ὅτι τοῦ Θεοῦ ἡ δύναμις ἐποίησε ταύτην τὴν ἀλλοίωσιν; Τοῦτο μόνον ἐστὶν ἀποδεικτικόν, ὅτι ἡ εἰς Χριστὸν πίστις ἐστὶ θεία καὶ ἀληθινή· τοῦτο ἀποδεικνύει, « Ὅτι πᾶν τὸ » γεγενημένον ἐκ τοῦ Θεοῦ, νικᾷ τὸν κό» σμον· καὶ αὕτη ἐστὶν ἡ νίκη, ἡ νικήσα» σα τὸν κόσμον, ἡ πίστις ἡμῶν » (1).

Ἡ ἀπὸ Ἐνὼχ ἕως τῆς παρουσίας τοῦ Ἰησοῦ Χριστοῦ χρυσόπλοκος σειρὰ τῶν τύπων καὶ συμβόλων, τῶν προτυπούντων, καὶ προσημαινόντων τὸν Ἰησοῦν Χριστόν· αἱ ἀλληλένδετοι καὶ φανεραὶ προφητεῖαι, αἱ προκαταγγέλλουσαι πάντα τὰ περὶ αὐτοῦ·

(1) Α'. Ἰωάν. 5, 4.



τὰ μεγάλα θαύματα, τὰ ὑπὲρ Χριστοῦ, καὶ ὑπ' αὐτοῦ τοῦ Ἰησοῦ Χριστοῦ γενόμενα· μετ' αὐτὸν δὲ καὶ τὰ πολλὰ τεράστια, τὰ ὑπὸ τῶν Ἀποστόλων αὐτοῦ τελεσθέντα, αποδείξεις εἰσὶ τῆς εἰς Χριστὸν πίστεως, τοσοῦτον ἰσχυραί, ὥστε οἱ ἀκούσαντες, καὶ κατανοήσαντες αὐτάς, μὴ νικηθέντες δὲ ὑπὸ τῆς τούτων δυνάμεως, ἀνάξιοι ἦσαν τοῦ χαρίσματος τῆς πίστεως διὰ τὴν κακίαν τῆς ἰδίας αὐτῶν προαιρέσεως· καὶ διὰ τοῦτο ἢ οὐδόλως ἐπίστευσαν, ἢ πρὸς καιρὸν πιστεύσαντες, ἔπειτα τὴν πίστιν ἠθέτησαν.

« Μέγας Κύριος καὶ αἰνετὸς σφόδρα, » καὶ τῆς μεγαλωσύνης αὐτοῦ οὐκ ἔστι » πέρας· γενεά, καὶ γενεὰ ἐπαινέσει τὰ ἔρ» γα σου, καὶ τὴν δύναμίν σου ἀπαγγε» λοῦσι· τὴν μεγαλοπρέπειαν τῆς δόξης » τῆς ἁγιωσύνης σου λαλήσουσι, καὶ τὰ » θαυμάσιά σου διηγήσονται » (1). Ἔπλασας, Κύριε, τὸν ἄνθρωπον αὐτεξούσιον· ἐπειδὴ δὲ « ἀμεταμέλητά » (2) εἰσι τὰ θεῖά σου χάρισματα, οὐδένα βιάζεις, ἵνα πιστεύσῃ εἰς τὸν μονογενῆ σου Υἱόν· ἐξαπέστειλας ὅμως τὸ Πνεῦμα τοῦ Υἱοῦ σου εἰς τὰς καρδίας ἡμῶν « κράζον, ἀββὰ ὁ πα» τήρ », καὶ ὁδηγοῦν ἡμᾶς πρὸς τὴν εἰς αὐτὸν πίστιν· κατεσκεύασας δὲ καταπειθούσας ἀποδείξεις, καὶ ἐποίησας ἀπ' ἀρχῆς τοσοῦτον πλῆθος θαυμάτων, ἵνα δι' αὐτῶν πληροφορηθεὶς πᾶς ἄνθρωπος, πιστεύσῃ εἰς τὸν μονογενῆ σου Υἱόν, ὃν ἀπέστειλας Σωτῆρα τοῦ κόσμου, καὶ πληροφορηθῇ, ὅτι πιστός ἐστιν ὁ λόγος τοῦ εὐαγγελικοῦ κηρύγματος· καὶ οὕτως ἀναγάγῃς πάντας εἰς τὸ ἀρχαῖον ἀξίωμα, ἐξ οὗ πεσόντες, ἀπώλοντο. Σὺ οὖν, Κύριε, δημιουργὲ τῶν ἁπάντων, πανυπεράγαθε, παντελεήμων, φιλανθρωπότατε, διαφύλαξον πάντας ἀπὸ τῆς ἐπηρείας τῶν κατὰ τοὺς παρόντας καιροὺς ὑπὲρ ἄλλοτέ ποτε κύκλῳ περιπατούντων ἀσεβῶν (3), καὶ καταξίωσον ἡμᾶς, ἵνα καὶ εἰς αὐτὴν τὴν ὥραν τῆς ἐσχάτης ἡμῶν ἀναπνοῆς ὁμολογήσωμεν, ὅτι πιστός ἐστιν ὁ λόγος τῆς εἰς τὸν Υἱόν σου πίστεως· καὶ ἐκβοήσαντες, πιστεύω, Κύριε, καὶ ὁμολογῶ, ὅτι σὺ εἶ ἀληθῶς ὁ Υἱὸς τοῦ Θεοῦ, ὁ λυτρωτὴς τοῦ κόσμου, παραδώσωμεν τὴν ψυχὴν ἡμῶν εἰς τὰς δημιουργικὰς καὶ πανευσπλάγχνους χεῖράς σου· ναί, Κύριε, ὅτι σὸν τὸ κράτος, καὶ σοῦ ἐστιν ἡ δύναμις, καὶ τὸ ἔλεος, καὶ ἡ εὐσπλαγχνία εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

(1) Ψαλ. 144, 3, 4, 5. (2) Ῥωμ. 11, 29. (3) Ψαλ. 11, 8.

## ΤΕΛΟΣ ΤΟΥ ΔΕΥΤΕΡΟΥ ΤΟΜΟΥ.

Ἐάν τι καλὸν φέρω, σόν, Θεοῦ Λόγε,
τὸ δ' ἄλλως ἔχον, τοῦ πλάσαντός με ἔργον,
ἡ βίβλος φωνεῖ τά δε τοῖς αὐτὴν μετιοῦσιν.

# ΠΙΝΑΞ

## ΤΩΝ ΕΜΠΕΡΙΕΧΟΜΕΝΩΝ.


Σελ.

ΕΡΜΗΝΕΙΑ εἰς τὴν δευτέραν πρὸς Κορινθίους ἐπιστολὴν τοῦ Παύλου, τὴν ἀναγινωσκομένην τῇ ΙΗ'. Κυριακῇ. . . . . . 1

Ὁμιλία περὶ ἐλεημοσύνης, ὅτι Θεοῦ νομοθεσία ἐστὶν ἡ ἐλεημοσύνη, ὅτι αὐτὴ ἐστιν ἀρετὴ πολλὰ ἀρεστὴ εἰς τὸν Θεόν, καὶ ὅτι δι' αὐτὴν λαμβάνομεν καὶ ἐν τῇ γῇ καὶ ἐν τῷ οὐρανῷ μεγάλας ἀνταποδόσεις. . . . . . 5

Ἑρμηνεία εἰς τὴν δευτέραν πρὸς Κορινθίους ἐπιστολὴν τοῦ Παύλου, τὴν ἀναγινωσκομένην τῇ ΙΘ'. Κυριακῇ. . . . . . 10

Ὁμιλία περὶ τοῦ, ὅστις πληροφορηθῇ, ὅτι πᾶσα δυστυχία καὶ ὀδύνη ἐκ Θεοῦ ἐστιν, αὐτὴ ἡ πληροφορία γίνεται βάλσαμον θεραπευτικὸν πάσης ὀδύνης καὶ θλίψεως. . . 18

Ἑρμηνεία εἰς τὴν πρὸς Γαλάτας ἐπιστολὴν τοῦ Παύλου, τὴν ἀναγινωσκομένην τῇ Κ'. Κυριακῇ.. . . . . . 23

Ὁμιλία περὶ συκοφαντίας, καὶ τίνι τρόπῳ δεῖ ἀπολογεῖσθαι κατὰ τῶν συκοφαντούντων ἡμᾶς. . . . . . 29

Ἑρμηνεία εἰς τὴν πρὸς Γαλάτας ἐπιστολὴν τοῦ Παύλου, τὴν ἀναγινωσκομένην τῇ ΚΑ'. Κυριακῇ. . . . . . 36

Ὁμιλία περὶ τοῦ ὅτι ἡ ἀρετὴ ἐστι κατὰ φύσιν, παρὰ φύσιν δὲ ἡ κακία. . . . . . 40

Ἑρμηνεία εἰς τὴν πρὸς Γαλάτας ἐπιστολὴν τοῦ Παύλου, τὴν ἀναγινωσκομένην τῇ ΚΒ'. Κυριακῇ. . . . . . 46

Ὁμιλία περὶ ἀνθρωπαρεσκείας, ὅτι ἡ ἀνθρωπαρέσκεια κατακρημνίζει τοὺς ἀνθρώπους εἰς πολλὰ καὶ μεγάλα ἁμαρτήματα. . . . . . 51

Ἑρμηνεία εἰς τὴν πρὸς Ἐφεσίους ἐπιστολὴν τοῦ Παύλου, τὴν ἀναγινωσκομένην τῇ ΚΓ'. Κυριακῇ. . . . . . 57

Ὁμιλία περὶ τοῦ ὅτι ἄφευκτον τῆς ἐργασίας τῶν ἀρετῶν τὸ χρέος. . . . . . 61

Ἑρμηνεία εἰς τὴν πρὸς Ἐφεσίους ἐπιστολὴν τοῦ Παύλου, τὴν ἀναγινωσκομένην τῇ ΚΔ'. Κυριακῇ. . . . . . 67

Ὁμιλία περὶ τοῦ, ὅτι ὁ Χριστός ἐστιν ἡ εἰρήνη ἡμῶν, καὶ ὅτι αὐτός ἐστιν ὁ δοτὴρ τῆς ἀληθινῆς εἰρήνης, καὶ ὅτι ὑπόσχεται καὶ ὁ κόσμος εἰρήνην, πλὴν ἄλλη ἐστὶν ἡ εἰρήνη τοῦ κόσμου, καὶ ἄλλη ἡ τοῦ Θεοῦ. . . . . . 71

Ἑρμηνεία εἰς τὴν πρὸς Ἐφεσίους ἐπιστολὴν τοῦ Παύλου, τὴν ἀναγινωσκομένην τῇ ΚΕ'. Κυριακῇ. . . . . . 77

Ὁμιλία περὶ τοῦ, ὅτι ἡ μεταξὺ τῶν ἀνθρώπων συμφωνία ἐστὶν ἡ πηγὴ πάσης εὐτυχίας, καὶ τῆς αἰωνίου σωτηρίας ἡ πρόξενος. . . . . . 81

Ἑρμηνεία εἰς τὴν πρὸς Ἐφεσίους ἐπιστολὴν τοῦ Παύλου, τὴν ἀναγινωσκομένην τῇ ΚϚ'. Κυριακῇ. . . . . . 88

Ὁμιλία περὶ μέθης, καὶ ὅτι αὐτή ἐστιν ἁμαρτία πολλὰ μεγάλη.. . . . . . 94





Σελ.

Ἑρμηνεία εἰς τὴν πρὸς Ἐφεσίους ἐπιστολὴν τοῦ Παύλου, τὴν ἀναγινωσκομένην τῇ ΚΖ'. Κυριακῇ. . . . . . 101

Ὁμιλία περὶ ἐγρηγόρσεως, καὶ τῶν ἰδιωμάτων αὐτῆς, καὶ ὅτι ὁ ἐγρηγορῶν ὑπὲρ τῆς σωτηρίας αὐτοῦ, καθοπλίζεται ὑπὸ Θεοῦ μετὰ τῆς ὑπὸ τοῦ Παύλου καλουμένης πανοπλίας. . . . . . 107

Ἑρμηνεία εἰς τὴν πρὸς Κολοσσαεῖς ἐπιστολὴν τοῦ Παύλου, τὴν ἀναγινωσκομένην τῇ ΚΗ'. Κυριακῇ. . . . . . 115

Ὁμιλία περὶ τοῦ, ὅτι ὁ χριστιανός, ὅσον προσεκτικώτερα περιεργάζεται τὸν λόγον τοῦ Θεοῦ, τόσον πλουσιωτέραν καὶ σωτηριωδεστέραν κερδαίνει τὴν ψυχικὴν ὠφέλειαν· καὶ περὶ τῶν εὐεργετημάτων τοῦ Θεοῦ πρὸς τὸν ἄνθρωπον. . . . . . 120

Ἑρμηνεία εἰς τὴν πρὸς Κολοσσαεῖς ἐπιστολὴν τοῦ Παύλου, τὴν ἀναγινωσκομένην τῇ ΚΘ'. Κυριακῇ. . . . . . 128

Ὁμιλία περὶ τοῦ, ὅτι ὁ ἀποστολικὸς λόγος « ἀπεκδυσάμενοι τὸν παλαιὸν ἄνθρωπον σὺν » ταῖς πράξεσιν αὐτοῦ, καὶ ἐνδυσάμενοι τὸν νέον τὸν ἀνακαινούμενον εἰς ἐπίγνω» σιν κατ' εἰκόνα τοῦ κτίσαντος », οὐκ ἔστι συμβουλή, ἀλλὰ νομοθεσία· καὶ ὅτι ἡ ἐκπλήρωσις τῶν τε δεσποτικῶν προσταγμάτων, καὶ τοῦ ἀποστολικοῦ τούτου προστάγματος, οὐκ ἔστιν ἔργον ἀδύνατον· καὶ οἱ λέγοντες ἀδύνατον τὴν τούτων ἐκπλήρωσιν, βλασφημοῦσι κατὰ τοῦ Θεοῦ. . . . . . 133

Ἑρμηνεία εἰς τὴν πρὸς Κολοσσαεῖς ἐπιστολὴν τοῦ Παύλου, τὴν ἀναγινωσκομένην τῇ Λ'. Κυριακῇ. . . . . . 140

Ὁμιλία περὶ τῆς ὠφελείας τῆς προξενουμένης ἐκ τῆς τῶν Θείων Γραφῶν μελέτης. . 145

Ἑρμηνεία εἰς τὴν πρὸς Τιμόθεον ἐπιστολὴν τοῦ Παύλου, τὴν ἀναγινωσκομένην τῇ ΛΑ'. Κυριακῇ. . . . . . 152

Ὁμιλία περὶ τῶν ἀπερισκέπτως ἐκλαμβανόντων τὸ παράδειγμα τοῦ Παύλου, καὶ ἀμεριμνούντων, καὶ θαρρούντων εἰς τὸ τοῦ Θεοῦ ἔλεος καὶ τὴν μακροθυμίαν, καὶ μὴ σπουδαζόντων γενέσθαι ἄξιοι τούτων, διὰ τῆς ἀποχῆς τῶν ἁμαρτημάτων, καὶ τῆς ἐργασίας τῶν ἀρετῶν. . . . . . 155

Ἑρμηνεία εἰς τὴν πρώτην πρὸς Τιμόθεον ἐπιστολὴν τοῦ Παύλου, τὴν ἀναγινωσκομένην τῇ ΛΒ'. . . . . . 161

Ὁμιλία περὶ τοῦ, ὅτι ἡ εὐσέβειά ἐστι πρὸς πάντα ὠφέλιμος, καὶ περὶ τῶν εἰς τοὺς παρόντας καιροὺς ἀποῤῥιψάντων αὐτὴν παντελῶς, καὶ γεγονότων ἀπίστων, καὶ ἐξ ὁλοκλήρου ἀσεβῶν καὶ ἀθέων. . . . . . 168

Ἑρμηνεία εἰς τὴν δευτέραν πρὸς Τιμόθεον ἐπιστολὴν τοῦ Παύλου, τὴν ἀναγινωσκομένην τῇ ΛΓ'. Κυριακῇ. . . . . . 177

Ὁμιλία εἰς τὸ ῥητὸν τοῦ Παύλου, τό, « Καὶ πάντες δὲ οἱ θέλοντες εὐσεβῶς ζῆν ἐν Χρι» στῷ Ἰησοῦ διωχθήσονται », ἤτοι, ὅτι τοῦτο σκανδαλίζει πολλούς, τοῦτο ὅμως ἐστὶν ἀπόδειξις τῆς πίστεως· ὅτι ἡ εἰς Χριστὸν πίστις οὐκ ἔστιν ἔργον ἀνθρώπων, ἀλλὰ τῆς ὑπερφυσικῆς τοῦ Θεοῦ δυνάμεως κατόρθωμα. . . . . . 180

Ἑρμηνεία εἰς τὴν πρώτην πρὸς Κορινθίους ἐπιστολὴν τοῦ Παύλου, τὴν ἀναγινωσκομένην τῇ ΛΔ'. Κυριακῇ τοῦ Ἀσώτου. . . . . . 188

Ὁμιλία περὶ τοῦ ἁμαρτήματος τῆς πορνείας. . . . . . 194

Ἑρμηνεία εἰς τὴν πρώτην πρὸς Κορινθίους ἐπιστολὴν τοῦ Παύλου, τὴν ἀναγινωσκομένην τῇ ΛΕ'. Κυριακῇ τῆς ἀποκρέω. . . . . . 200

Ὁμιλία περὶ κοιλιοδουλείας, καὶ τῶν ταύτης εἰδῶν. . . . . . 204

Σελ.

Ἑρμηνεία εἰς τὴν πρὸς Ῥωμαίους ἐπιστολὴν τοῦ Παύλου, τὴν ἀναγινωσκομένην τῇ Λϛ΄. Κυριακῇ τῇ τυροφάγου. . . . . 210

Ὁμιλία περὶ κατακρίσεως, καὶ πόσον τὸ βάρος αὐτῆς. . . . . 215

Ἑρμηνεία εἰς τὴν πρὸς Ἑβραίους ἐπιστολὴν τοῦ Παύλου, τὴν ἀναγινωσκομένην τῇ Α΄. Κυριακῇ τῶν νηστειῶν. . . . . 221

Ὁμιλία περὶ νηστείας, ἤτοι πόσον ἁμαρτάνει, ὅστις καταφρονεῖ τῆς νηστείας τοὺς νόμους, καὶ πόσον καρποφορεῖ τῆς νηστείας ἡ ἀρετή, καὶ πόση ἡ ὑπὸ Θεοῦ ὑπὲρ αὐτῆς ἀνταπόδοσις. . . . . 225

Ἑρμηνεία εἰς τὴν πρὸς Ἑβραίους ἐπιστολὴν τοῦ Παύλου, τὴν ἀναγινωσκομένην τῇ Β΄. Κυριακῇ τῶν νηστειῶν. . . . . 231

Ὁμιλία περὶ τῶν ἀμελούντων τῆς ψυχικῆς αὐτῶν σωτηρίας, καὶ ὅτι οἱ τοιοῦτοι εὐλόγως συνετάχθησαν ὑπὸ τοῦ Ἀποστόλου μετὰ τῶν παραβατῶν καὶ παρηκόων. . . . . 237

Ἑρμηνεία εἰς τὴν πρὸς Ἑβραίους ἐπιστολὴν τοῦ Παύλου, τὴν ἀναγινωσκομένην τῇ Γ΄. Κυριακῇ τῶν νηστειῶν. . . . . 244

Ὁμιλία περὶ μετανοίας, καὶ περὶ τῆς παντοδυνάμου μεσιτείας τοῦ Ἰησοῦ Χριστοῦ, τοῦ Υἱοῦ τοῦ Θεοῦ. . . . . 250

Ἑρμηνεία εἰς τὴν πρὸς Ἑβραίους ἐπιστολὴν τοῦ Παύλου, τὴν ἀναγινωσκομένην τῇ Δ΄. Κυριακῇ τῶν νηστειῶν. . . . . 255

Ὁμιλία περὶ ὅρκου, ἤτοι τί ἐστιν ὁ ὅρκος, ἀρετὴ δηλονότι ἢ ἁμαρτία, ἢ ἔργον ἀδιάφορον; . . . . . 260

Ἑρμηνεία εἰς τὴν πρὸς Ἑβραίους ἐπιστολὴν τοῦ Παύλου, τὴν ἀναγινωσκομένην τῇ Ε΄. Κυριακῇ τῶν νηστειῶν. . . . . 267

Ὁμιλία περὶ τοῦ μεγάλου μυστηρίου τῆς θείας εὐχαριστίας, ὅτι ὅσον ἐστὶν ἀκατάληπτον εἰς τὴν δύναμιν τοῦ νοὸς, τόσον ἀναγκαῖόν ἐστι διὰ τὴν σωτηρίαν τῆς ψυχῆς. . . . . 271

Ἑρμηνεία εἰς τὴν πρὸς Φιλιππησίους ἐπιστολὴν τοῦ Παύλου, τὴν ἀναγινωσκομένην τῇ Κυριακῇ τῶν Βαΐων. . . . . 277

Ὁμιλία περὶ χαρᾶς, καὶ περὶ τοῦ, τίς ἐστιν ὁ δυνάμενος χαίρειν πάντοτε. . . . . 282

Ὁμιλία εἰς τὸ ῥητὸν τοῦ Ἀποστόλου, τό, « ἐμοὶ δὲ μὴ γένοιτο καυχᾶσθαι, εἰμὴ ἐν τῷ » σταυρῷ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ », ἤτοι περὶ τῶν εἰδῶν τῆς καυχήσεως καὶ περὶ τοῦ, διὰ τί ὁ Ἀπόστολος καταλιπὼν πᾶν ἄλλο καύχημα, ἐκαυχᾶτο ἐν τῷ σταυρῷ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. . . . . 288

Ὁμιλία εἰς τὸ ῥητὸν τοῦ Ἀποστόλου, τό, « Χριστῷ συνεσταύρωμαι· ζῶ δὲ οὐκέτι ἐγώ, » ζῇ δὲ ἐν ἐμοὶ Χριστός », ἤτοι περὶ τοῦ, ὅτι ἡ σταύρωσις τῶν ἐπιθυμιῶν, καὶ ἡ ἀκινησία πρὸς τὸν κακόν, καὶ ἡ νέκρωσις τῶν παθῶν οὐκ ἔστιν ἀδύνατον εἰς τὴν φύσιν τῶν ἀνθρώπων. . . . . 295

Ἑρμηνεία εἰς τὴν πρὸς Τίτον ἐπιστολὴν τοῦ Παύλου, τὴν ἀναγινωσκομένην τῇ Κυριακῇ τῶν πατέρων τῆς ἑβδόμης Συνόδου. . . . . 301

Ὁμιλία περὶ πίστεως θερμῆς, καὶ ὀλιγοπιστίας, καὶ πόθεν αὗται προσγίνονται. . . . . 305

Ὁμιλία μετὰ τὴν πρὸς Κολοσσαεῖς ἐπιστολὴν τοῦ Παύλου, τὴν ἀναγινωσκομένην τῇ Κυριακῇ τῶν προπατόρων, ἤτοι περὶ τῆς δευτέρας τοῦ Χριστοῦ παρουσίας, καὶ τῆς μελλούσης κρίσεως. . . . . 312

Ἑρμηνεία εἰς τὴν πρὸς Ἑβραίους ἐπιστολὴν τοῦ Παύλου, τὴν ἀναγινωσκομένην τῇ Κυριακῇ πρὸ τῆς Χριστοῦ γεννήσεως. . . . . 320



Σελ.

Ὁμιλία περὶ τῆς τῶν ὑλικῶν καὶ γηΐνων πραγμάτων προσπαθείας καὶ προσηλώσεως. 323

Ὁμιλία μετὰ τὴν πρὸς Γαλάτας ἐπιστολὴν τοῦ Παύλου, τὴν ἀναγινωσκομένην τῇ Κυριακῇ μετὰ τὴν Χριστοῦ γέννησιν, ἤτοι περὶ τοῦ παλαιοῦ ἀνθρώπου, καὶ τοῦ νέου τοῦ κατὰ Θεὸν κτισθέντος. . . . . 330

Ἑρμηνεία εἰς τὴν δευτέραν πρὸς Τιμόθεον ἐπιστολὴν τοῦ Παύλου, τὴν ἀναγινωσκομένην τῇ Κυριακῇ πρὸ τῶν Φώτων. . . . . 337

Ὁμιλία περὶ θανάτου καὶ τῶν ὀδυνῶν αὐτοῦ, καὶ περὶ τοῦ, πῶς αἱ ὠδῖνες τοῦ θανάτου λύονται. . . . . 341

Ἑρμηνεία εἰς τὴν πρὸς Ἐφεσίους ἐπιστολὴν τοῦ Παύλου, τὴν ἀναγινωσκομένην τῇ Κυριακῇ μετὰ τὰ Φῶτα. . . . . 346

Ὁμιλία περὶ τοῦ ψευδεπιπλάστου νεοφανοῦς συστήματος τῆς μεταξὺ τῶν ἀνθρώπων ἰσότητος. . . . . 353

Ὁμιλία μετὰ τὴν πρὸς Τίτον ἐπιστολὴν τοῦ Παύλου, τὴν ἀναγινωσκομένην τῇ Κυριακῇ τῶν πατέρων τῆς τετάρτης συνόδου εἰς τό, « Πιστὸς ὁ λόγος »· περὶ τοῦ, ὅτι ἡ εἰς Χριστὸν πίστις ἐστὶν ἀληθής, καὶ βεβαία, καὶ ἀναντίῤῥητος. . . . . 360

Ἆσμα

Δέξαι [illegible] [illegible] [illegible] τὴν [illegible] [illegible]
τὸ βασιλικόν σου [illegible] καὶ [illegible]
καὶ [illegible] χαρμονή
ἦλθεν ὁ Βασιλεύς σου, καὶ ἰδοὺ τὸ φῶς σου ἤδη
[illegible] [illegible] ἡ δόξα, καὶ τὸ σήμερον κ' ἡ νίκη
καὶ ἡ χάρις ἡ [illegible]
Ἆσμα [illegible] [illegible], ἀπὸ τὴν [illegible] [illegible]
τῶν [illegible] [illegible] φέρει, τοῦ Μονάρχου [illegible]
[illegible] τῶν Φαραώ
Ἡ Εὐρώπη κ' ἡ Ἀσία, [illegible] [illegible] [illegible]
ὁ δὲ ἦχος [illegible], νέον ἀγαθοδωρίας
Ἀναγγέλλει τὴν γαῖαν
Ἔλαμψεν ἐν γῇ Αἰγύπτου, μετὰ [illegible] αἰώνων
χαῖρε ὁ [illegible], ὁ Ἀστὴρ τῶν [illegible]
τοῦ [illegible] τοῦ [illegible]
Τοῦ Πατρὸς δ' ἐκεῖ τὸ βῆμα, [illegible] [illegible]
χαῖρε ὁ [illegible], ὁ Ἀστὴρ τῶν [illegible]
Τοῦ [illegible] τοῦ [illegible]
Βασιλεῦ [illegible] [illegible], [illegible] [illegible] [illegible]
[illegible] [illegible] [illegible], [illegible] [illegible] [illegible]
ἐν [illegible] ἀγαλλιάσει
Εἶδε [illegible] [illegible], [illegible] [illegible] [illegible]
Τόσοι ὁ θεὸς [illegible], [illegible] [illegible] [illegible]
Καὶ τὸ κράτος σου [illegible]

[illegible]

[illegible]

[illegible] ... Σιμπέας ...

[illegible]

[illegible] [illegible] Νοεμβρίου 12 [illegible]

1765 [illegible]

α' μία κάσσα καρυδένια [illegible] [illegible]
[illegible] τέσσερις [illegible] [illegible] – [illegible]
[illegible] [illegible] – ἕνα [illegible] – [illegible]
[illegible] [illegible] – [illegible] [illegible]
Νικολάου [illegible] [illegible] –
β' δύο ἄσπρα [illegible] [illegible]
[illegible]. γ' δύο [illegible] [illegible] –
δ' [illegible] – ε' δύο [illegible] –
ς' δύο [illegible] [illegible] [illegible]
ζ' δύο [illegible] [illegible] ἑνὸς [illegible] [illegible]
[illegible] η' [illegible] [illegible] – [illegible]
[illegible] θ' [illegible] [illegible] – ι' [illegible] [illegible]
[illegible] [illegible] – ια' [illegible]
[illegible] – ιβ' δύο [illegible] [illegible]